Hic enim loco *του Πριντον*, quae vox nihili est, exhibet *πριν εον*. Atque levissima hac mutatione inducta, *αποσπασματιον* hoc iam non amplius mutilum est: *το πριν εον μεγα δενδρον επι χθονι, και φερεκαρπον.*

V. 8. *Μιθρον. Gud. μινθον·* optime. *Μινθος* pro *μινθη* occurrit apud *Theophr. Hist. Plant.* L. VI. c. 7. alibi, indicante *Stephano in Thes. Indice* v. *Μινθα*.

P. 740. 40. *Ασωπον βαθυσχοινον. Gud. Ασωπον δ' ἱκοντο βαθυσχοινον·* et sic *Il.* IV. 383. Porro, quae Cel. *Relandus* Lib. add. p. 212. ex *Ultrai.* promit, iisdem verbis in *Gud.* v. *σχοινοφορος* quoque exstant. Observandum interim, vocem *παραπαγγης*, quam Vir doctissimus e serie *Persicarum* eliminandam censet, et quae in *Etymol. M.* editione principe, nec non *Turrisani* obtinuerat, iam a *Sylb.* reiectam, et in *παρασαγγης* mutatam esse.

V. 41. *απο μεταφορας· και ἡ κατευθυντηρια καθετος. και ὁ ψαλμωδος φησι. κ. τ. λ.* Notandum verba, *απο μεταφορας*, minime ad praecedentia trahenda esse: uti fit in tribus prioribus editionibus; novissimam nondum vidi. In eo enim, quod *Parasange Persica* dicatur *σχοινος*, nulla quidem inest metaphora. Distinguendum igitur cum *Gud.* qui postquam dixerat, *και μετρον γεωμετρικον περσικον, ὁ και παρα περσαις παρασαγγης καλουμενος* (M. *ὁ — καλειται*, vel *το — καλουμενον*) punctum statuit. Pergit dein: *λεγεται δε απο μεταφορας και ἡ κατευθυντηρια.* Vocabulum hoc obvenit in *Brev. Schol. Il.* XV. 410. ubi vox *σταθμη* explicatur: quod scil. sit instrumentum fabri lignarii, quo ligna diriguntur, *κατευθυντηρια* quoque appellatum: adeoque *amussis*. Quae in *Sylb.* sequitur vox *καθετος*, a viro doct. pro *καθοδος* superiorum editionum substituta, omnino a *Gud.* abest, scribente, *καθως και ὁ ψαλμωδος φησι.* etc. Locus exstat *Ps.* CXXXVIII. 5.

P. 512. 45. *εν τοις αδοκιμοις ἑαυτων ονομασι.* Rectius cum *Gud.* leges *νομισμασι*, quod et confirmat *Schol. Aristoph. Av.* 158.

P. 513. *Κικυς.* In hac voce explicanda edito uberior est *codex Gud.* cuius verba eo lubentius referam, quo digniora videntur, ut cum reliquis MSS. conferantur. Ait scil *κικυς ἡ δυναμις. Απολλοδωρος ικμας. Αλλ' ου γαρ οἱ ενηεις εμπεδος ουδε τακτικοις.* (Corruptissime. Quis enim crederet, carmen aliquod *Homeri* in his verbis latere. Lege interim ex *Od.* XI. 392.

Αλλ' ου γαρ οἱ ετ' ην ις εμπεδος, ουδ' τι (M. ουδ' ετι) κικυς.
Verum non amplius illi aderat vis firma, non amplius robur.

Misere scil. *Homeri* carmina ab exscriptoribus passim habita sunt; cuius rei innumera exempla ipsum *Etymologicum* subministrabit. Sic verbi caussa: p. 138. 34. *ενθ' αρεθη διαειδεται ανδρα*, ex *Il.* XIII. 277 legenda sunt, *ενθα μαλιστ' αρετη διαειδεται ανδρων.* P. 279. 52. *διχα φρεσιν ἡνδανε βουλη*, ex *Il.* XVIII. 510. coll. *Od.* III. 150. *διχα δε σφισιν ἡνδ. βουλη.* P. 306. 33. *καδδυσεν εν θαλασσῃ*, ubi *Sylb.*, haud scio an verius, inquit, *καδδ' εδ' εν θαλαμῃ*. Imo *θαλαμω*, ex *Il.* III. 382. P. 450. 2. *εκβαντες επι θινα*, sine dubio ex *Od.* XVI. 358. restituendum, ubi *αναταντες εβαν επι θινα θαλασσης. Ibid.* v. 36. *θινι φοινικοεντι*, ex *Il.* XXIII. 693. *θιν' επι φυκιοεντι.* P. 458. 17. *ειξας ῳ θυμῳ μιγη φιλοτητι και ευνῃ*, ex *Od.* V. 126. *ῳ θυμῳ ειξασα* etc. *Ibid.* v. 18. *ἑνα θυμον εχοντες και επιφρονα βουλην*, ex *Od.* III. 128. *ἑνα θυμον εχοντε νοῳ και επιφρονι βουλῃ φραζομεθ'.* P. 627. 30. *Η, και νωτερον υἱον οπασσατο κυδος*, ex *Il.* XIX. 258. *Η, και Νεστορος υἱας οπασσατο κυδαλιμοιο.* Reliqua ut taceam, in aliud tempus reservanda. Pergendum cum *Gudiano*:) *απο του αναικικυειν· πολυς δ' ανεκικυεν ἱδρως.* (Leg. *αναχηκιειν* et *ανεκηκιεν*, ex *Il.* XXIII. 507. coll. VII. 262. ubi *Br. Sch.* *το ανεκηκιεν* explicant, *ανεθορεν, ανεβαλλεν, ανιει·* conf. *Eustath.* p. 680. 20. seq.) *Και Αισχυλος εν Σισυφῳ. και θανοντων εισιν ουκ ενεστιν ικμασι, τα σοι δ' ουκ ενεστι κικις, ουδ' αἱμορρυτοι φλεβες. θανοντων φησιν αψυχοις. Και παρα Πινδαρῳ· εστι δε τοι χεκων ακνει καπνος.* (Inedita sunt haec *Aeschyli* et *Pindari* fragmenta, absque codicum ope haud facile restituenda.) *Ὁ δε Ὁμηρος κατα τουναντιον τον ασθενη ακικυν λεγει· νυν δε μ', εων ολιγος τε, και ουτιδανος, και ακικυς.* (*Od.* III. 515.) *Ὁ δε Αλκαιος ὁμοιως Ὁμηρῳ τον ισχυρον* (legendum puto, *την ισχυν*, respicit enim versum *Od.* XI. 392. supra allegatum.

Hesych. κικυς, δυναμις.) κικυν καλει· και το κικιδιον, το εκθλιβομενον εκ του κροτωνος λιπασμα. Hactenus *Gudianus.* Obferva quaefo, verba και το κικιδιον etc. ad illuftrationem του κικυς nihil facere. Exciditne igitur vocabulum aliquod? Nihil certius. Infere το κικι, quod eft fruticis fpecies, *Crotoni* vel *Ricino* fimile, ex quo *oleum cicinum* exprimebatur. *Hefych.* Κικη, (L. Κικι,) φυτον. *Suidas*, Κικι, ειδος ελαιου· ελαιῳ κικινῳ αναμιξαντες, *cum id oleo cicino mifcuiffent.* Huius plantae indeque expreffi olei meminit *Herodotus*, cuius verba omnino digna funt, ut recenfeantur. Ait p. 146. init. Αλειφατι δε χρεωνται Αιγυπτιων οἱ περι τα ἑλεα οικεοντες, απο των σιλλικυπριων του καρπου, το καλευσι μεν Αιγυπτιοι κικι, ποιευσι δε ὡδε· παρα τα χειλεα των τε ποταμων και των λιμνεων σπειρουσι τα σιλλικυπρια ταυτα, τα εν Ἑλλησι αυτοματα αγρια φυεται. Ταυτα εν τῃ Αιγυπτῳ σπειρομενα καρπον φερει πολλον μεν, δυσωδεα δε. Τουτον επεαν συλλεξωνται, οἱ μεν κοψαντες απιπουσι· οἱ δε και φρυξαντες απεψουσι, και το απορρεον απ᾽ αυτου συγκομιζονται. Εστι δε πιον, και ουδεν ἡσσον του ελαιου τῳ λυχνῳ προσηνες· οδμην δε βαρεαν παρεχεται. Aegyptii, *qui paluftria accolunt, unguento utuntur ex fructu* Sillicypriorum, *quod appellant* Aegyptii *KIKI, hunc in modum conficientes.* Sillicypria *haec, quae apud* Graecos *ultro agreftia nafcuntur, ad labra fluminum ftagnorumque* Aegyptii *ferunt, eaque in* Aegypto *multum quidem fructum ferunt, fed graveolentem. Hunc ubi collegerunt, alii frictum coquunt, et quod ex eo defluit excipiunt, pingue quiddam, et non minus ad lucernam idoneum quam oleum, fed graveolentiam exhibens.* Conf. ibi *Weffel.* et, quem adducit, *Salmaf.* ad *Solin.* p. 704. 705. Το κικιδιον legere me non memini. Legendum citra dubium ex *Suidae* loco add. et *Diofc.* L. IV. c. 164. κικινον ελαιον, oleum quod ex *cici* fructu αποθλιβεται, exprimitur. Vid. *Steph. Thef. ind.* v. κικι.

Ex difputatis abunde, puto, liquet, *Gudianum codicem* in emendando *Etymologico M.* operam praeftare minime contemnendam, modo quis eum diligenter excutere, varietatesque debita animi adtentione perpendere velit. Neque tamen in hoc folum illius confiftit ufus, verum et infigne praebet auxilium in reftituendis integris articulis, qui five exfcriptorum incuria, five iniuria temporis, ex codice, quem *Calliergus* prelo commifit, exciderunt. Neminem enim infitiaturum confido, una alterave de caufa plures titulos ex *Etymologico* exulare, qui modo reputat, omnem vocabulorum feriem inde a verbo Μακρυνω ad vocem usque Μεγα, ut in antecedentibus iam monui, ex editis penitus excidiffe. Commode hunc hiatum fupplent codices *Gudianus* et *Ultraiectinus*, vocabulorum circiter centum, *Etymologico* inferendorum, feriem exhibentes. Exfcribi illa meo rogatu et ad me deferri curavit *S. Ven. Ravius*, quo ea commode cum *Gudiani* excerptis conferre poffem: quo facto non tantum, quod cuivis ftatim in oculos incurrit, deprehendi, *Gudiano* fimillimum effe *Ultraiectinum*, fed et comperi, diligentem utriusque collationem, altero alterum emendante et illuftrante, bono cum fructu poffe inftitui, adeoque ob infignia, quae inde redundatura funt, emolumenta imprimis neceffariam effe. Hoc ut pateat, allatis exemplis monftrabo.

Μανια, μανον ελεγον το αραιον, ὡς και Αισχυλος· εμμανοις στυλοις επιπλοις· τουτ᾽ εστιν αραιοις. (Similia habet *Ultraiectinus*, nifi quod verba *Aefchyli* efferat, εμμανος στημοις πεπλοις. Uterque corrupte. Servat tamen *Ultrai.* veftigia verae lectionis rectius *Gudiano*: ut qui legendum puto, εν μανοστημοις πεπλοις. *Hefychius*, μανοστημοις, αραιοστημοις, eundem fine dubio *Aefchyli* locum refpiciens, ex Tragoedia iam non fuperftite. Quod fi quis pro αραιοις *MSS.* cum *Hefych.* αραιοστημοις legendum effe contendat, illi equidem non refragabor. Μανοστημοι five αραιοστημοι πεπλοι igitur erunt pepli, qui *raro* five *laxo funt ftamine.* Vocabulum μανος idem effe quod αραιος, pluribus exemplis docuit *Ruhnk.* in *Tim. Lex. Plat.* p. 127. 1. quibus adde *Plutarch. Symp.* I. 6. p. 1109. *ed. Steph.* τα γαρ φλεβια της γλωττης, (ὡς Πλατων φησι,) μαλακα και μανωτερα οντα, συντεινει· *Venulas enim linguae, (ut* Plato *ait,) molliores ac rariores conftringit.* Locus, quem innuit, *Platonis* exftat in *Timaeo*, p. 65. C. D. Opp. T. III. ubi in editis *(Ald.* faltem et *Steph.)* quidem eft, τα νοτερα, *humida:* attamen *Stephanus* in margine notat, legi quoque μανωτερα, *rariora:* atque

sic *Plutarchum* legisse, verba ex eo allata indicare videntur. Atque *Suidam* μανοτερος (rectius cum ω scribitur,) exhibetur, absque addita explicatione. Suppleri potest ex *Cyrillo Brem.* μανωτερον, λεπτοτερον, κουφοτερον.)

Μανιαν, (*Ultrai.* Μαν αν ου, lego, μανιαν ουν, ut indicetur, verba haec arcto cum praecedentibus nexu cohaerere, accusandique casum venire a verbo ελεγον,) την αραιωσιν και χαυνοτητα των φρενων· αραιον γαρ το ασθενες· κατα τουναντιον ουν αγχινους (*Ultrai.* και τουναντιον δε αγχινουν.) καλειται παρα συνεχες (*Ultrai.* addito artic. το συναχες, sic) και πυκνας εχειν τας φρενας· και πυκνος, και πυκινος· και αυτη ἡ συνεχησις, (ita uterque. Leg. puto συνεσις,) εστι συγκλεισις, (*Ultrai.* συμβλησις,) και οιον ενωσις, (*Ultrai.* γνωσις) φρενων. (Conf. *Eustath.* p. 1519. 12.)

Μαλεια, ονομα ορους· δια της ει διφθογγου γραφεται. Είρηται (*Ultrai.* ειρηται.) και χωρις του ιωτα, μαλεα· ὡς και παρ' Ευριπιδῃ. (*Orest.* 362. *Cycl.* 18. alibi. Conf. *Steph.* de *Urb.* v. Μαλεα, ibique *Berkel.* et *Pinedo:* it. *Duker.* ad *Thucyd.* p. 170. 80.) ἰστεον δε, ὁτι, ἡνικα μεν δια της ει διφθογγου γραφεται, προπαροξυνεται, Μάλεια· ἡνικα δε δια του ε μονου, παροξυνεται, (*Ultrai.* οἷον) μαλέα. (*Ultrai.* repetit, quod initio iam dictum erat, το δε μαλεια δια της ει διφθογγου γραφεται· cuius generis monita fere ubivis in *Etymologicis* tam MSS quam edito occurrunt, quo perpetua alioquin confusio, quam aequivoca diphthongorum et vocalium pronunciatio necessario gignit, aliquantum evitetur. *Μαλειαν* igitur scribendum esse docet, non *Μαλιαν*· quod tamen occurrit apud *Strabon.* p. 916. fin. edit. *Amst.* 1707. Fol.)

Μαριλη (*Ultrai.* μαλιρη. Male.) σημαινει την κονιν, την γινομενην εκ του καταςβεννυσθαι τους ανθρακας. (*Photius MS.* Μαριλη, ὁ χνους των ανθρακων, και ἡ απ' αυτων ασβολη· quod ex parte cum *Suida* et *Hesychio* convenit.) τα γαρ δια του ιλη μονογενη, μη οντα απο κρασεως, και μη εχοντα απο πλεονασμου το ιωτα, αποστρεφονται την ει διφθογγον· οιον ὁμιλη, το (deest artic. in *Ultrai.*) ὁμιλιον· ιλη ἡ αθροισις, (*Ultrai.* την αθροισιν. Male.) στατιλη, το αποξυσμα (*Ultrai.* αποξυμα. Et hoc male.) των δερματων. Μη οντα απο κρασεως· ὁτι απο του ενδεια την ἑλην γινεται δειλη, και κρασει δειλη· (*Ultrai.* ὁτι ενδεια το ἑλη, γινεται δειλη και κρ. δ. Utrumque male. V. *Etymol. M.* p. 261. 20. v. Δειλη. *Gud.* eadem v. δειλη, δια της ει διφθογγου γραφεται, παρα το ενδειν και ελλειπειν την ἑλην, ητοι την θερμασιαν, δειελη ουν φησι· εστι δε κατα κρασιν των δυο εε εις την ει διφθογγον, δειλη. Ex his igitur et *Gud.* et *Ultrai.* corrig. scil. απο του ενδειν την ἑλην γινεται δειλη, etc. Pergunt codices:) μη οντα απο των εχοντων το ιωτα· ὁτι απο του ἑλη, του σημαινοντος την θερμασιαν, γινεται εἱλη, πλεονασμῳ του ιωτα. Προσκειται μονογενη, δια το δειλος, δειλη· χωρις του οφειλη, (*Ultrai.* addit, του σημαινοντος το χρεος,) και απειλη.

Μαραινω, παρα το αρης, ὁ σημαινει τον πολεμον, αραινω, και πλεονασμῳ του μ, μαραινω. και εις το μαραμενος. (*Gud.* et *Ultrai.*)

Μαργαριτης, μαργαριτη εκ δενδρου. (Deest in *Gud.*)

Μαργος, ὁ μαινομενος, οὐ μη εστιν αρωγη· η παρα το εστερησθαι τι εργαζεσθαι αγαθον, παρα το μη, (*Ultrai.* παρα την μη στερησιν, και το εργον· και εις το επιχιθη.

Μαυλις, ἡ μαχαιρα· και ισως ειρηται παρα το μαυρον, ὁ εστι το αμαυρον τη λαμπηδονι. Ὁτι δε ανευ του α λεγεται, σαφως (*Ultrai.* σαφες. Recte.) παρ' Ἡσιοδῳ· Ρεια τε μιν μαυρουσι θεοι. (Locus *Hesiodi* est *Εργ.* 325. Conf. *Aeschyl. Agam.* 304.

Σῦ γουσα λαμπας δ' ουδεπω μαυρουμενη.

Fa'sa lampas neutiquam obscurata: ubi *Schol.* σημειωσαι, inquit, ὁτι απεβαλε το α δια το μετρον.) Δημητριος δε, παρα το ὁμον αυλιζεσθαι το ς φορουσιν, ὁμαυλις· αποπεσοντος ουν του ο, εμεινε μαυλις. (Variant codices. *Gud.* ὁμαλις, vitiose. *Ultrai.* divisim ὁ μαυλις, deinde αποπεσοντος ουν του ο μ, εμεινεν αυλις. Male. Legendum, uti exhibuimus. Conf. *Sch. Thucyd.* p. 6. 99 et *Suid.* v. *Μαυλιας*, ibique *Kusterus.* Aliam vocis derivationem invenies apud *Eustath.* p. 691. 55.)

Ματαιος. *Παρα το ματος, ὁπερ ειρηται παρα την ατην, ματιος. ὡς φιλος, φιλιος, και φιλαιος, οὑτω ματιος, αφ' οὑ ματια, και ματαιος. ὡς παρα το θαλασσα, θάλασσιος, θαλασσαιος· Καλλιμαχος· πολυθαλασσιων μανδοτερον επιδων.* (Sic uterque codex miro consensu. Leg. cum *Ernestio* V. Cl. *πουλυ θαλασσαιων μυνδοτεροι νεποδων*· multo mutiores piscibus marinis. Vid. *Fragm. Callim.* p. 552. 260.) *ὡς παρα την ὡραν, ὡριος και ὡραιος.* (*Utrai.* addit *'Ομηρος*· innuens *Od.* IX. 131.

φεροι δε κεν ὡρια παντα.)

Atque sic quidem facili negotio plura addere possem, nisi satis clarum esset ex dictis, *Gudianum* cum *Utraiectino* codice mire convenire, et utrumque adeo ad illustrandum, emendandum et augendum *Etymologicum M.* esse posse perutilem; praecipue si, quod maxime optandum, etiam *Leidensis* codicis diligens et accurata collatio instituatur. In praesenti igitur hic subsisto, alia, favente summo numine, propediem daturus in *Sylloge Emendationum* Etymologici M. *inque illud Observationum, ex* Homero, Apollonio Rhodio et Nicandro, graecisque eorum interpretibus *petitarum.*

ΣΥΝ ΘΕΩ, ΑΡΧΗ ΤΗΣ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ ΕΤΥΜΟΛΟΓΙΑΣ.

ΑΡΧΗ ΤΟΥ Α ΣΤΟΙΧΕΙΟΥ.

Ἀβάλε σχετλιαστικὸν ἐπίῤῥημα, παρὰ τὸ βάλλω. Καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἐπίῤῥημα ἀβάλε.

Ἃ ἐπίῤῥημα παρὰ τὸ ἀβάλε [1]).

Ἃ σχετλιαστικὸν ἀναφώνημα, καὶ σύστημα ὑδάτων [2]).

Ἀαδεῖν, ὀχλεῖν, ἀπορεῖν.

Ἀαδεὴ, ὑίεια ὄρθρος [3]).

Ἀάθην, ὑπατήθην [4]).

Ἀάκατος, τριχκὰς κύπριος.

Ἀακραγὲς, συὸς κόπρος.

Ἄακτον, ἄθραυστον.

Ἀάλιον, ἄπληκτον.

Ἀάρης, χρήσιμος.

Ἀβύρβηλον, ἀναίσχυντον.

Ἄβαξ, κυρίως ὁ μὴ ἔχων βάσιν· καταχρηστικῶς δὲ καὶ ἐπὶ οἵου δή ποτε σανιδίου.

Ἀβλέπημα, ἁμάρτημα· τὸ ἄνευ βουλῆς πραττόμενον.

Ἄβυσσος, ὑδάτων πλῆθος ἀπέραντον.

Ἀβληχρὸν, τὸ ἀσθενές. δύναται τὸ α, καὶ κατ' ἐπίτασιν τὸ σφόδρα.

Ἀβροτάζειν, τὸ μὴ συναντᾷν.

Ἀβελτηρία, ἀνοησία, μωρία· ἢ τὸ βέλτιον μὴ γινώσκουσα. ἀπὸ τοῦ ἀβέλτερος· τοῦτο δὲ παρὰ τὸ βέλτερον, μετὰ τοῦ στερητικοῦ α, ἀβελτηρία θηλυκὸν, καὶ τροπῇ ἀβέλτημα. τὸ δὲ βέλτερον ἀπὸ τοῦ βάλλω, τύπου συγκριτικοῦ. ὥσπερ γὰρ παρὰ τὸ φέρω, φέρτερος, οὕτω καὶ παρὰ τὸ βάλλω βέρτερος (sic). συντάσσεται αἰτιατικῇ· τὸ δὲ φέρω τῇ δοτικῇ καὶ αἰτιατικῇ.

Ἀβλεμέως, ἀφροντίστως· οἷον ἀμελέως παρὰ τὸ ἀμελεῖν· ὑπερθέσει ἀλεμέως· καὶ ἐν πλεονασμῷ τοῦ β ἀβλεμέως.

Ἀβροείμονες, κατηγλαϊσμένοι, λαμπροφόροι, ἁπαλοφόροι. ἁβρὸν γὰρ τὸ λαμπρὸν καὶ τρυφερὸν καὶ κοῦφον. ἅβρος οὖν ὁ ἁπαλὸς, παρὰ τὸ ἅπτω· ὁ εὐβαφής. οὕτω Φιλόξενος. Οἱ δὲ κατὰ στέρησιν τοῦ βάρους βάρος [5]) καὶ ἄβρος, ὁ μὴ ὢν βαρὺς, ἀλλὰ κοῦφος καὶ ἐλαφρός. Καὶ ἀβαρῆ ἀγάλματα, ξόανα, ἀφομοίωσιν εἰκόνος, ἀνδριάντες καὶ ῥώμυλοι κολοσσοὶ, χαρακτῆρες, ὄψεως εἶδος [*]). ἀβρός· βορά· βορ καὶ ἀβρῶς, ὁ κούφως βαίνων. καὶ ἀβαρὴς κατὰ στέρησιν τοῦ βάρους.

Ἀβρότη ἡ νὺξ ἀπρότη τις οὖσα, παρὰ τὸ μὴ προϊέναι ἐν αὐτῇ· ἢ ἐν ᾗ βροτοὶ οὐκ ἀναστρέφονται· ἢ παρὰ τὸν βροτὸν εἰς τὴν τοιαύτην ὥραν ἠρεμεῖν.

Ἀβροτάξομεν, παρὰ τὸ βροτῷ μὴ τυχεῖν.

Ἄβυσσος, ὡς ἂν εἴπῃ τὶς ἄβατός ἐστι, παρὰ τὸ δύω τὸ ὑπεισέρχομαι, δύσσος καὶ ἄβυσσος. ἢ παρὰ τὸ βύω τὸ ἀσφαλίζω, βυσσὸς καὶ ἄβυσσος· μετὰ τοῦ στερητικοῦ α, ὁ [6]) μήπω ὑπό τινος ὑπεισερχόμενος.

Ἀβρὰ ὀξύτονον καὶ δασύνεται, ἡ τρυφερὰ καὶ μαλακή.

Ἄβρα βαρύτονον, ἡ θεράπαινα καὶ ἀκόλουθος.

Ἀβροτάξομεν, κυρίως ἐπὶ τῶν τοξευόντων τοῦ βροτοῦ ἀποτυχεῖν, ὡς ἐν πολέμῳ· καταχρηστικῶς δὲ ὡς ἐπὶ τοῦ ἀποτυχεῖν· τὸ θέμα ἀβροτάζω, ὁ μέλλων ἀβροτάξω.

Ἄγω, καὶ ἀγῶ διαφέρει. Τὰ μὲν βαρύτονον σημαίνει τὸ φέρω· τὸ περισπώμενον σημαίνει τὸ θαυμάζω. Καὶ ἐκ τοῦ μὲν ἄγω γίνεται ἄγη ἡ ἔκπληξις, ἐκ δὲ τοῦ ἄγη γίνεται τὸ ἀγῶ. Τὰ γὰρ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ὡς ἐπὶ τὸ πλεῖστον ἀπὸ τῶν εἰς ητα θηλυκῶν γίνονται.

Ἀγάζω, τὸ θαυμάζω· τοῦτο παρὰ τὸ ἀγῶ· ἐξ οὗ καὶ ῥῆμα εἰς μι ἄγημι· καὶ ἄγαμαι παθητικόν. τοῦτο παρὰ τὸ ἄγη, ὁ σημαίνει τὴν ἔκπληξιν· τοῦτο παρὰ τὸ ἄγω, τὸ θραύω καὶ συντρίβω· τὰ γὰρ ἐκπλησσόμενα κατέαγεν ἡ διάνοια, καὶ οἱονεὶ συντέθραυσται [7]). τὸ δὲ ἄγη ἄκλιτόν ἐστιν· ἐπειδὴ τὰ εἰς γη ἰαμβικὰ ἀπὸ συμφώνου ἄρχονται, οὐκ ἀπὸ φωνήεντος, οἷον στέγη, σφάγη· πρόσκειται ἰαμβικὰ διὰ τὸ ἄγη, ὃ σημαίνει τὴν κλάσιν τοῦ κύματος· τοῦτο γὰρ ἀπὸ φωνήεντος ἄρχεται, ἀλλ' οὐκ ἔστιν ἰαμβικὸν, ἀλλὰ σπονδειακόν· Τὸ γὰρ α μακρόν ἐστιν. Ἐπειδὴ οὖν τὸ ἄγη εἰς γη ἐστι, καὶ ἰαμβικὸν, ἀπὸ φωνήεντος ἄρχεται, εἰκότως ὡς μὴ ἔχων τι μιμήσασθαι, ἔμεινεν ἄκλιτον.

Ἀγαθὸς, ἐπίθετόν ἐστιν ἁπλοῦν καὶ σύνθετον. Οἱ μὲν, ὥσπερ ἀπὸ τοῦ σκεδῶ ποιοῦσι τὸ σκεδάζω, οὕτω καὶ ἀπὸ τοῦ ἀγῶ ἀγάζω, ἀγαστὸς καὶ ἀγαθὸς τροπῇ τοῦ τ εἰς θ. τὸ γὰρ κρεμάστρα κρεμάθρα λέγομεν. λέγεται δὲ ἀγαθὸν παρὰ τὸ ἄγαν θέειν, ἢ παρὰ τὸ ἄγαν θεοῦ ἐφιέμενον· ἢ παρὰ τὸ ἀγαπᾷν τὸν θεὸν, ἐφ' ᾧ ἄγαν θέομεν ἐφιέμενοι.

Ἀγάκλειτος, ἀπὸ τοῦ κλείω, ὅ ἐστι τὸ δοξάζω, γίνεται· Τὸ δὲ κλείω ἀπὸ τοῦ κλέος, γέγονε κλέω, καὶ κατὰ πλεονασμὸν τοῦ ι κλείω. καὶ ἐν συνθέσει ἀγάκλειτος.

---

1) Ἃ, ἐπίῤῥημα ἐπιτιμητικόν, Schol. Arist. Pl. 127. 2) cfr. Jon. Ramus, in Ulysse et Outino, p. 151. 3) ἀαθρος (sic). sed vid. Hesych. v. ἀαδεῖν, et interpr. 4) L. ἀπατήθην. 5) βάρος (sic) L. ἄβαρος. *) (Sic) sed cfr. Etym. M. voc. αβρος. 6) (sic). ὁ intellige τόπος. 7) cf. Etym. M. v. Αγη (sic).

Ἀγάλακτες, οἱ ἀδελφοὶ, παρὰ τὸ α, σημαῖνον τὸ ὁμοῦ, ὁμογάλακτές τινες ὄντες· παρὰ τὸ γάλα· οἱονεὶ τὸ αὐτὸ γάλα σπάσαντες.

Ἄγαλμα, ἐκ τοῦ ἀγάλλω· ἐν ᾧ ἀγάλλεταί τις ἐν αὐτῷ. Κἄντε ἱμάτιον, κἄντε εἰκών. Καὶ εἰς τὸ ξόανον.

Ἀγάμενοι, παρὰ τὸ ἀγάζω, ὅ ἐστι τὸ θαυμάζω.

Ἄγαν, ἐπίῤῥημα. Τὸ γαν μακρόν· τὰ εἰς αν λήγοντα ἐπιῤῥήματα μακρὸν ἔχουσι τὸ α· οἷον πέραν, λίαν, ἄγαν· πλὴν τοῦ ὅταν καὶ πάμπαν.

Ἀγάπη, παρὰ τὸ ἄγειν τὸ πᾶν· ἤτοι ἑνοῦν καὶ συνάπτειν εἰς ὁμόνοιαν· ἢ παρὰ τὸ ἄγαν ποιότητα ἔχειν.

Ἀγαπῴην ῥῆμα εὐκτικόν· ἐκ τοῦ ἀγαπάω ἀγαπῶ, ἀγαπάων, ἀγαπῶν, ἀγαπάοντος, ἀγαπῶντος, ἀγαπάοιμι, ἀγαπῷμι, ἀγαπάοι, ἀγαπῷ. Καὶ οἱ Ἴωνες ἐν τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν εἰώθασιν ἐπεντιθέναι τὸ η· καὶ ἀναλόγως πάλιν γίνεται τὸ τρίτον ἀγαπῴη. Κανὼν γάρ ἐστιν ὁ λέγων πᾶν τρίτον εἰς ω μέγα [1]) λῆγον προσθέσει τοῦ σ ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ σ εἰς ν ποιεῖ τὸ γ πρόσωπον [2]).

Ἀγέλη, τὸ πλῆθος τῶν ζώων ἢ προβάτων.

Ἀγέλη, ποίμνης διαφέρει· ἀγέλη βοῶν, ποίμνη ἐπὶ προβάτων.

Ἀγασσάμενοι, θαυμάζοντες· παρὰ τὸ ἀγάζω.

Ἀγαυὸς, θαυμαστὸς, λαμπρὸς, ἢ ὁ ἥλιος, παρὰ τὸ ἀγῶ τὸ θαυμάζω, γίνεται ῥῆμα εἰς μι ἄγημι, τὸ παθητικὸν ἄγαμαι· καὶ ἐξ αὐτοῦ ἀγαὸς καὶ πλεονασμῷ τοῦ υ αἰολικῶς ἀγαυός.

Ἄγαυρος, παρὰ τὸ ἀπὸ τῆς γῆς αἴρεσθαι· ἢ παρὰ τὸ γαίω τὸ γαυριῶ. ὡς καὶ Ὅμηρος [3])· καθέζετο κύδεϊ γαίων.

Ἀγαρηνὸς, παρὰ τὸ ἄγαν ῥεώδη ἀγαρηνός. Τὸ ῥῶ ἦτα διὰ τί; τὰ εἰς νος ἐθνικὰ ὀξύτονα διὰ τὸ ἦτα γράφονται· οἷον ἀγαρηνὸς, ἀβιδηνὸς, δαμασκηνός· πλὴν τοῦ αἰδεσινὸς, αἰμεσινός.

Ἀγαυρὸς, παρὰ τὸ γαίω τὸ γαυριῶ· ἐπιτατικὸν τὸ α ἔχει.

Ἀγγεῖα, παρὰ τὸ διάγειν τι ἐν αὐτῷ, καὶ εἰς τὸ γραφεῖον.

Ἀγγείλας, ἐκ τοῦ ἀγγέλλω γέγονεν, ὥσπερ ἀπὸ τοῦ στέλλω στείλας, οὕτω καὶ ἀπὸ τοῦ ἀγγέλλω ἀγγείλας.

Ἄγγελος, παρὰ τὸ ἄγω ἐγένετο ἄγελος καὶ πλεονασμῷ τοῦ γ ἄγγελος· ἢ παρὰ τὸ διαγγέλλεσθαι δι' αὐτοῦ· ἢ παρὰ τὸ εἰς ἀγγελίαν πέμπεσθαι ἐκ θεοῦ ἐπὶ γῆς [4])· ἢ ἐξ ἀνθρώπου πρὸς ἄνθρωπον.

Ἄγγελος, ἐξάγγελος καὶ αὐτάγγελος διαφέρει. Ἄγγελος μὲν πᾶς ὁ ἀγγέλλων τὰ ἔξωθεν· ἐξάγγελος δὲ ὁ πάντα τὰ ἔνδωθεν τοῖς ἔξω διαγγέλλων· ὃν Θουκυδίδης διάγγελλον ἐκάλεσε, λέγων· Ἦσαν γάρ τινες τῶν οἰκία διάγγελοι τῶν ἔνδοθεν. Αὐτάγγελος δὲ ὁ αὐτὸς ἀφ' ἑαυτοῦ διαγγέλλων· καὶ μηδὲν ὑφ' ἑτέρου πεμπόμενος.

Ἄγειν καὶ φέρειν διαφορά· ἄγεται μὲν γὰρ τὰ ἔμψυχα· φέρεται δὲ τὰ ἄψυχα βαστακτικά.

Ἀγαυὸς, σημαίνει τρία, τὸν γενναῖον καὶ θαυμαστόν· οἷον· μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυόν. Σημαίνει δὲ καὶ ὄνομα κύριον, ὡς τὸ Δηΐφοβόν τε καὶ ἱππόνοον καὶ ἀγαυόν [5]). σημαίνει δὲ καὶ ὄνομα ἐθνικόν.

Ἀγαυὸς, παρὰ τὸ γαίω τὸ γαυριῶ, ἀγαιὸς καὶ τροπῇ τοῦ ι εἰς υ ἀγαυός.

Ἀγελαῖος, ὀχλώδης, ἰδιώτης, ῥεμβώδης, παρὰ τὸ ἀγέλη· τοῦτο δὲ παρὰ τὸ ἄγω. διὸ καὶ προπερισπᾶται. τὰ γὰρ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν γινόμενα ὀνόματα ἀρσενικὰ διὰ τὸ αιος προπερισπῶνται· οἷον γάζα, γαζαῖος, ῥώμη, ῥωμαῖος. Τὸ δὲ ἀγέλαιος κύριον ὄνομα προπαροξύνεται.

Ἀγέρωχον, εὔκλεα, ἔντιμον ἐπὶ γέρας ὀχούμενον· ἔνιοι δὲ τὸν ἐπεισάκτῳ χρώμενον τροφῇ. Ἀγέρωχον δὲ λέγει [6]) τὸν ἀγείροντα τὴν ὀχὴν, τουτέστι τὴν τροφήν. Οἱ δὲ τὸν ὑπερήφανον ἢ μεγάλαυχον ἢ ἀλαζόνα.

Ἀγερώχων, ἀλαζόνων· ἡ μὲν συνήθεια τὴν λέξιν ἐπὶ τοῦ ψόγου τάσσει· τοὺς γὰρ αὐθάδεις καὶ ἀπαιδεύτους ἀγερώχους λέγουσα. Ὁ δὲ Ὅμηρος τοὺς ἄγαν ἐντίμους· ἀπὸ τοῦ ἄγαν ἐπὶ τὸ γέρας ὀχεῖσθαι.

Ἀγήοχα, παρὰ τὸ ἄγω, ἄξω, ἦχα, καὶ τὸ ἀττικὸν ἄγηχα· καὶ πλεονασμῷ τοῦ ο ἀγήοχα.

Ἀγαὶ, τραύματα, τρώσεις· ἀπὸ τοῦ κατάσσω.

Ἀγαὶ, αἰγιαλοὶ κατὰ τοὺς Ἴωνας.

Ἀγήνωρ, παρὰ τὸ ἄγαν καὶ τὸ ἄνωρ γίνεται ἀγάνωρ, καὶ κατὰ τροπὴν τοῦ α εἰς η γίνεται ἀγήνωρ· καὶ ἀποροῦντες λέγομεν, ὅτι τροπὴν ἔπαθεν, ἢ ἴδιον σχηματισμόν· ὅτι ἐὰν εὑρεθῇ ἀντ' ἄλλης λέξεως κατ' ἀρχὴν συντιθέμενον τρέπει τὸ α εἰς η· καὶ τὸ η εἰς ω· οἷον εὐήνωρ, Ἀνθήνωρ. Τὸ δὲ Νικάνωρ κατὰ τροπὴν γέγονε βοιωτικήν. τροπῇ τοῦ α εἰς η γίνεται γήνωρ· καὶ ἀποροῦντες λέγομεν, ὅτι τροπὴν ἔπαθεν, ἢ ἴδιον σχηματισμὸν [7])· σημαίνει δὲ τὸν αὐθάδη.

Ἀγηστὸς, παρὰ τὸ ἄγαν ὀστώδη εἶναι τὸν τρόπον.

Ἀγείρω, διφθ. ἀγερῶ γὰρ αἰολικόν· καὶ ἀγορά· καὶ ἠγερέθοντο κατὰ Πριάμοιο· καὶ ὁμηγερέες.

Ἀγὴ, ἡ κλάσις τοῦ ξίφους· ἐκ τοῦ ἄσσω τὸ κλάνω· ὁ μέλλων ἄξω, ἦξα, καὶ τὸ προστακτικὸν ἆξον. Τὸ α περισπᾶται διὰ τὴν συνεκφώνησιν ἤγουν τὴν συνέμπτωσιν· ἔστι γὰρ τὸ ἐπὶ τὸ κομίζω· καὶ ὀξύνεται. Καὶ ὁ β [8]) ἦγον· καὶ τὸ παθητικὸν ἤγην· καὶ ποιητικῶς ἄγην· ἀγηοχώς.

Ἄγη, ἡ ἔκπληξις· οἱ γὰρ ἐκπληττόμενοι ἀκίνητοι καὶ ἄφωνοι μένουσι. Καὶ ἄγη ἡ κλάσις τοῦ κύματος τροπῇ τοῦ κ εἰς γ· ἀκὴ καὶ ἀγή· ἐκ τῆς παρεπομένης ἀφωνίας τῇ ἐκπλήξει.

Ἀγινεῖν, ἀπαρέμφατον, ὃ σημαίνει τὸ ἄγειν, ἀπὸ ῥήματος τοῦ ἄγω· καὶ κατὰ πλεονασμὸν τοῦ ι μακροῦ γίνεται ἀγινεῖν· ἀγίνεον, ἔφερον.

Ἅγιος, ἐκ τοῦ ἄγος γέγονεν· ἅγιον δέ ἐστι τὸ παντὸς ἄγους ὂν ἀνώτερον· ἢ τὸ δύναμιν ἔχον, πρὸς τὸ τοὺς ἑτέρους ἁγιάζειν.

Ἁγιστεία, ἁγιωσύνη ἐστι· ἅγιστον τὸ σέβασμα· καὶ ἐξ αὐτοῦ ἁγιάζω, ἁγιάσω. Ὁ παθητικὸς παρακείμενος ἡγίασμαι· τὸ γ ἡγίασται· καὶ ἐξ αὐτοῦ ἅγιστος καὶ τὸ θηλυκὸν ἁγιστεία.

Ἁγνεύειν, ἀπ' ἀφροδισίας· καθαρεύειν ἀπὸ νεκροῦ.

Ἀγχίνουν, συνετόν· παρὰ τὸ ἐγγὺς τὸν νοῦν ἔχειν.

Ἄγκος, ὁ κοῖλος τόπος τῆς γῆς· παρὰ τὸ κέω, οὗ κατὰ συναλοιφὴν, κῶ, δηλοῖ ..... τὸ κεῖσθαι. Ἄγκος, οὖν ἐν ᾧ ἐστὶ συνάγεσθαί τι καὶ κεῖσθαι.

---

1 Κανὼν — μέγα. Verba haec, prioribus erasis, ab altera manu superinducta, erronea videntur τὸ τρίτον erat a prima manu et errorem arguit. 2) (Sic sed vide Etymol. M. v. ἀγαπῴην. 3) Il. I, 405. 4) γῆς (sic) literis prioribus erasis. 5) cfr. Il. XXIV, 251. 6) λέγει (sic videtur excidisse nomen auctoris. 7) τροπῇ — σχηματισμόν. Sic videntur ex superioribus repetita esse. 8) β intellige ἀόριστος, quod Etym. M. addit. vid. v. ἆξον.

Ἄγκιστρον, παρὰ τὸ ἄγω τὸ φέρω, ἄγιστρον· καὶ τροπῇ ἄκιστρον, καὶ πλεονασμῷ τοῦ γ ἄγκιστρον. Ἢ παρὰ τὸ ἀνυάγω, ἀνύγιστρον καὶ ἄνκιστρον· καὶ τροπῇ τοῦ ν εἰς γ ἄγκιστρον.

Ἀγκοίνη, καὶ ἀγκώνη, ἡ ἀγκάλη.

Ἄγκος, εἰς τὸ μισγάγκεια.

Ἄγγινος, ὅπλον.

Ἀγκυλομήτεω, ἀγκυλομήτης ὁ Κρόνος ἐκλήθη, ἤτοι ὁ ἀγκύλα καὶ σκολιὰ βουλευσάμενος κατὰ τοῦ πατρὸς καὶ τῶν παίδων· ὥς φησιν Ἡσίοδος. Τοῦ μὲν γὰρ τὰ αἰδοῖα τῆς ἁρπαγῆς ἀπέτεμε· τοὺς δὲ κατέπιεν. Ἢ ὁ τὰ ἀγκύλα καὶ σκολιὰ καὶ δυσχερῆ πράγματα ἀμηχά (sic) δηλοῖ δὲ τὸ ἀγκύλον παρὰ τῷ ποιητῇ [1]).

Ἀγκυλομήτεω, ὄνομα ἐκ τοῦ ἀγκύλου. Σημαίνει δὲ ἀγκυλομήτης ἐπὶ τῶν ἀγκύλων καὶ σκολιῶν πραγμάτων ὀρθῶς βουλεύων. Τὸ ω μέγα διὰ τί; πᾶσα γενικὴ εἰς φωνῆεν λήγουσα αἱ διὰ τοῦ εω ἰωνικαὶ γενικαὶ εἰ μὲν ἀπὸ βαρυτόνων γενικῶν γεννῶνται προπαροξύνονται· οἷον Ἀτρείδου, Ἀτρείδεω· Αἰνείδεω, Πηλείδεω. Εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν παροξύνονται.

Ἀγκύλος, τὸ κυ ψιλὸν διὰ τί; τὰ διὰ τοῦ υλος ὀνόματα ὑπὲρ δύο συλλαβὰς ἔχοντα, εἴτε ὀξύτονα, εἴτε βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον κορβύλος, σημαίνει τὸν πορνοβοσκόν· Αἰσχύλος, ἀγκύλος, κρωμύλος.

Ἀγκὼν, παρὰ τὸ ἔχω τὸ ἐξέχω, ὁ ἐξέχων. ἢ παρὰ τὸ ἐγκεῖσθαι ἑτέρῳ ὀστέῳ τὸ ἕτερον ἢ παρὰ τὸ κατ' αὐτὸν ἄγεσθαι τὰς χεῖρας.

Ἀγκῶνες, δοράτια, οὐ λίαν σμικρὰ, ἀλλ' οὐ δὲ μεγάλα.

Ἀγλαὰ, παρὰ τὸ ἀγάλλω, ἐφ' ὃ τις ἀγάλλεται καὶ λαμπρύνεται· ἢ παρὰ τὸ αἴγλην ἔστιν ἀπὸ τοῦ αἴσσω τὸ ὁρμῶ· ἡ γὰρ λαμπηδὼν ὁρμητική. ἐφ' ᾗς τις ἀγάλλεται καὶ λαμπρύνεται.

Ἁγνεία, παρὰ τὸ ἄγονον ἵεσθαι βίον· ἢ παρὰ τὸ ἁγνιᾶν, ὅ ἐστι καθαρεύειν.

Ἁγνὸς, παρὰ τὸ ἅζω, ἁγνός.

Ἄγνοια, εἰς τὸ ἀμφισβητῶ.

Ἄγνος [2]) τὸ φυτὸν, παρὰ τὸ εἰς ἄγνοιαν συντελεῖν ἐσθιόμενον καὶ πινόμενον, ἔτι δὲ καὶ ὑποστρωννύμενον.

Ἀγνοῶ, παρὰ τὸ νοῶ τὸ γινώσκω, καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ τροπῇ τοῦ ν εἰς γ ἀγνοῶ. Οἱ γὰρ αἰολεῖς τὸ νοῶ γνοῶ λέγουσι.

Ἄγονος, ὄνομα, παρὰ τὸ γόνος, γόνος δὲ λέγεται βαρυτόνως ὁ γεννηθείς· ὀξυτόνως δὲ ὁ γεννήτωρ· γράφεται δὲ καὶ πλεονασμῷ τοῦ υ γουνός· καὶ πλεονασμῷ τοῦ υ ἄγουνος· ὡς καὶ ὁ ποιητής· γουνῷ ἀλωῆς [3])· ἀντὶ τοῦ γεννητικῷ καρπίμῳ τόπῳ· τὸ δὲ ἄγαμος τ' ἀπολέσθαι [4]), ὁ τέ σύνδεσμος ἀντὶ ἢ διαζευκτικοῦ παραλαμβάνεται. ἤτοι ἢ καὶ γεννηθεὶς πρὸ γάμου τ' ἀπολέσθαι.

Ἀγοράασθαι, ἐκ τοῦ ἀγορῶ, καὶ περισπᾶται· ἀπαρέμφατόν ἐστι· τὰ γὰρ εἰς ω λήγοντα ῥήματα τῷ η παραληγόμενα περισπῶνται. οἷον δημηγορῶ, ἀγρηγορῶ, μακρηγορῶ. οὕτως οὖν καὶ ἀγορῶ· ἔστι δὲ τῆς συζυγίας τῶν περισπωμένων· τὸ ἀπαρέμφατον ἀγοράασθαι.

Ἀγορὰ δὲ παρὰ τὸ ἄγαν ῥέειν ἕκαστον πρᾶγμα· καὶ ἄγορος ὁ ἐν τῇ ἀγορᾷ περιστρεφόμενος.

Ἀγορητὴς, ὁ ῥήτωρ ὁ ἀγορεύειν καὶ λέγειν εἰδώς.

Ἀγορεύω, παρὰ τὸ ἀγείρω· τοῦτο παρὰ τὸ ἄγω καὶ τὸ εἴρω τὸ λέγω· τὸ πρὸς λέγειν συναθροίζον.

Ἄγγος, παρὰ τὸ ἄγω ἄγος, καὶ πλεονασμῷ τοῦ γ ἄγγος· ἐν ᾧ τις ἄγεται.

Ἀγορῆθεν, διὰ τί προπερισπᾶται; ἐπειδὴ τὰ ἀπὸ ὀξυτόνων ἢ καὶ περισπωμένων παραγόμενα εἰς θεν πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον αὐγῆθεν, ἀγορῆθεν.

Ἄγοι κρητῶν, οἱ ἡγεμόνες τῶν Κρητῶν· ἄγος δὲ εἴρηται παρὰ τὸ ἄγειν τοὺς ὑποτεταγμένους.

Ἀγορήνδε, ἐπίρρημα τοπικόν· ἡ αἰτιατικὴ ὅταν ἔχη τὸν δὲ σύνδεσμον· ἔστι δὲ ἐπίρρημα τοπικὸν, καὶ ἓν μέρος λόγου.

Ἀγορὴν, εἰς τὸ [5]) ἀγορὰν· τουτέστιν εἰς τὴν ἐκκλησίαν· γίνεται δὲ τὸ ἀγορὴ, παρὰ τὸ ἀγείρεσθαι ἐν αὐτῇ τὸ πλῆθος καὶ συνάγεσθαι· ἢ παρὰ τὸ ἀγορεύειν ἐν αὐτῇ.

Ἀθήναζε, ἐπιρρηματικὴ ἡ σύνταξις· τουτέστιν εἰς Ἀθήνας· ὥσπερ οἴκαδε εἰς τὸν οἶκον.

Ἀγκὼν, τὸ στόμα, παρὰ τὸ ἄγαν ὀστώδη εἶναι τὸν τόπον.

Ἀγριωπὸς, ἀγριόφθαλμος, παρὰ τὸ ἄγριος καὶ τὸ ὢψ, ὠπὸς, ὃ σημαίνει τὸν ὀφθαλμὸν καὶ τὸ πρόσωπον. Τὸ δὲ ἄγριος παρὰ τὸ ἀγρός· τὸ δὲ ἀγρὸς παρὰ τὸ ἀὴρ, ἀέρος· καὶ ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ γ ἀγρός.

Ἄγροικος, καὶ ἀγροῖκος, διαφορά· Ἄγροικος μὲν ὁ ἀμαθὴς καὶ ἀπαίδευτος. Ἀγροῖκος δὲ ὁ μὴ ἥμερος, ἀλλ' ἴσως ἄγριος ἢ ἐν ἀγρῷ διαιτώμενος.

Ἀγρὸς, ὁ χῶρος τῆς κώμης· ἤτοι τῶν οἰκητόρων τόπος.

Ἀγρὸς, ἀρούρης διαφέρει· ἀγρὸς ὁ σπειρόμενος καὶ ἁπλῶς ὁ τὴν σπορὰν δεχόμενος. Ἄρουρα δὲ ἡ σπαρεῖσα καλλιεργία.

Ἀγρὸς, παρὰ τὴν ἄγραν· ἢ παρὰ τὸ ἀρῶ τὸ ἀροτριῶ, ἀρὸς καὶ ἄγρος· ἢ παρὰ τὸ ἄρης, ὃ σημαίνει τὸν σίδηρον, ὁ τῷ σιδήρῳ τεμνόμενος.

Ἄγραυλος παρὰ τὸ ἀγρὸς καὶ τὸ αὐλίζω. Ἀγρόαυλος καὶ ἄγραυλος, ὁ ἐν ἀγρῷ αὐλιζόμενος.

Ἀγραύλοι, οἱ ἄγροικοι· τουτέστιν οἱ ἐν ἀγρῷ αὐλιζόμενοι.

Ἀγρομένοισι, συναθροιζομένοις. ἔστιν ἀγείρω τὸ συναθροίζω· τὸ παθητικὸν ἀγείρομαι· ἡ μετοχὴ ὁ ἀγειρόμενος, κατὰ συγκοπὴν ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς ἀγρομένοισι, κατὰ πλεονασμὸν τοῦ ι ποιητικόν.

Ἀγροτέρας ἐλάφους, παρὰ τὸ ἀγηροτέρας· πολυχρόνιον τὸ ζῶον, ὡς χρησμός φησιν·

> ἐννέα γὰρ ζώει γενεὰς λακέριζα κορώνη
> Ἀνδρῶν γηρώντων, ἔλαφος δὲ [6]) τετρακόρωνος.

Ἀγρυπνία, παρὰ τὸ ἄϋπνος, ἀϋπνία, καὶ πλεονασμῷ τῶν συμφώνων [7]) ἀγρυπνία· τοῦτο δὲ παρὰ τὸ ὕπνος, ἄϋπνος, ὥσπερ κακὸς ἄκακος.

Ἀγρώσσω, ῥῆμα παράγωγον, ὁ χαρακτὴρ ἀγρὸς, ἀγρώσσω. Ὁ κανών· τὰ διὰ τῶν δύο σσ ἐκφερόμενα ῥήματα ἑνὶ φωνήεντι παραλήγεται, τὸ δὲ ο οὐ λαμβάνει· τὸ α, ὡς τὸ ἄλλος ἀλλάσσω· τὸ ε, ὡς τὸ

---

1) Deficiunt quaedam, ex Schol. ad Il. II. 205. unde et reliqua hausta sunt, supplenda. 2) Ἄγνος. Cfr. Etym. M. h. v. ex quo haec supplenda et emendanda. 3) Il. V, 530. 4) Il. III, 40. 5) (Sic). 6) post δὲ omissa est particula τε cfr. Etym. M. h. v. 7) (Sic) videtur excidisse post συμφώνων γ. καὶ ρ.

πῦρ πυρέσσω· τὸ η, ὡς τὸ πτήσσω· τὸ ι, ὡς τὸ δειδίσσω. Τὸ δὲ ο οὐκ ἔχει· τὸ γὰρ ὄσσω ἐκ τοῦ ὄπτω ἐστὶ μετειλημμένον. Τὸ υ, ὡς τὸ ἀφύσσω τὸ ἀπαντλῶ. Τὸ ω ὡς τὸ ὀνειρώσσω, ἀγρώσσω. ὥστε ἔχεις μὲν δοῦναι τὸ ο, οὐκ ἐν παραγωγῇ δὲ καὶ σημαίνει τὸ ἀγρεύω.

Ἄγρωστις, βοτάνη, ἐκ τοῦ ἀγρώσσω· ἄγρωστος, εἶδος πόας χορτώδους.

Ἄγυρις, αἰολικὸν ἡ ἄθροισις· παρὰ τὸ ἀγείρω ἀγορὰ καὶ ἄγυρις· καὶ εἰς τὴν πανήγυριν.

Ἀγύρτης, ὁ ἀλαζὼν καὶ ὁ ἀπατέων, ὁ ἐπαίτης· παρὰ τὸ περιϊέναι καὶ περινοστεῖν περὶ νῆκει. Λέγεται δὲ ἀκυρτικὰ [1]) καὶ τὰ χυδαῖα ψεύσματα.

Ἀγύρται, παρὰ τοῖς ἀρχαίοις, οἱ τὰ χρήματα ἐγείροντες [2]) ἑαυτοῖς ὀνόματι δαιμόνων· οἷον ῥέας καὶ τῶν λοιπῶν.

Ἄγχω, πνίγω, καὶ ἄγχειν πνίγειν· οὐδὲν γάρ ἐστιν ἄλλο τὸ ἄγχω, ἀλλ' ἢ τὸ ἄγω καὶ συνάγω τὴν λάρυγγα.

Ἄγχιστα, ἐπίῤῥημα τοπικὸν, ἐκ τοῦ ἄγχου ἄγχιστος. Καὶ ὄνομα παράγωγον ἀγχιστεὺς ὁ συγγενής. Καὶ ῥῆμα ἀγχιστεύω καὶ ἀγχιστεία.

Ἄγχω, ἐκ τοῦ ἄγω, πλεονασμῷ τοῦ ν ἀνύγω [3]). καὶ τροπῇ τοῦ γ εἰς χ ἄγχω.

Ἄγω καὶ ἀγῶ διαφέρουσι. Τὸ μὲν βαρύτονον σημαίνει τὸ φέρω. Τὸ δὲ περισπώμενον τὸ θαυμάζω.

Ἄγω, σημαίνει ε. ἄγω τὸ πορεύομαι, ἐξ οὗ καὶ ἀγυιὰ ἡ ὁδός. Ἄγω τὸ κλάνω, ἐξ οὗ καὶ τὸ, κατέαξαν αὐτοῦ τὰ σκέλη. Ἄγω τὸ φέρω καὶ ἑορτάζω, ἐξ οὗ καὶ ἀγόμενος τὸ φερόμενος· καὶ ἄγομαι τὸ ἑορτάζομαι. Ἀγῶ τὸ ἐκπλήττομαι, ἐξ οὗ καὶ ἄγαμαι. Ἄγω τὸ φθονῶ. ἐξ οὗ καὶ ἀγὸς, ὁ φθόνος.

Ἀγχώμαλος, ἰσόμαλος [4]), παρὰ τὸ μικρὰ [5]) ἴσα ἐγγὺς τοῦ ὁμαλοῦ, ἀπὸ τοῦ ἄγχι, ὃ σημαίνει τὸ ἐγγὺς, καὶ τὸ ὁμαλὸν γέγονεν ἀγχώμαλος. Καὶ γράφεται διὰ τοῦ ω μεγάλου, ἐπειδὴ τὰ παρὰ τοῦ ὁμαλὸς σύνθετα, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον· ἀγχώμαλος, ἀνώμαλος, κακώμαλος [6]).

Ἀγυιὰ, ἡ ῥύμη, παρὰ τὸ ἰάσσειν, καὶ ἄγεσθαι δι' αὐτῆς· ἀγυιὰ, ἀγορὰ, ἀμφόδια, ἐμβολὴ, ῥύμη, ὁδὸς· τὰ διὰ τοῦ υια θηλυκὰ ὀνόματα ὑπὲρ δύο συλλαβὰς παροξυνόμενα [7]) τῷ ι θέλει παραλήγεσθαι, οἷον· ἅρπυια, εἰλήθυια [8]).

[illegible]ων, μετοχή· ἀγὼν δὲ τὸ περιεκτικὸν, ὃ καὶ ὀξύνεται.

Ἅδδην, σημαίνει τὸ δαψιλῶς· καὶ ἐξ αὐτοῦ ἀδδηφάγος δαψιλῶς ἐσθίων· γίνεται δὲ παρὰ τὸ δὴν τὸ ἐπὶ πολὺ· καὶ μετὰ τοῦ ἀθροιστικοῦ α, καὶ πλεονασμῷ τοῦ δ ἄδδην, ὡς τὸ ἅπας.

Ἀΐδης, παρὰ τὸ ἀΐδης ἄδης· τὸ δὲ ἀΐδης παρὰ τὸ εἴδω τὸ βλέπω, ἴδης, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀΐδης· ἐν ᾧ οὐδὲν βλέπομεν. Ἅδης γὰρ ἐστιν ἡ σκοτία καὶ ἡ ἀπώλεια.

Ἅδης, θάνατος, παρὰ τὸ σκοτεινὸν καὶ τὸ ἀειδὲς τῆς ἀνθρώπων ἀπωλείας.

Ἀΐδης, παρὰ τὸ ἀειδὲς εἶναι· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἄγειν καὶ τὸ δοὺς ἄκων τοὺς νεκροὺς καὶ μὴ βουλόμενος· ἢ ἐκ τοῦ ἀειδοῦς, ὅ ἐστιν ἀφανοῦς.

Ἄδεια, κατὰ τὸν προκείμενον λόγον τὸ ἀνκίδεια καὶ τὸ ἀπάχθοια.

Ἄδεια, ἀπὸ τοῦ δέους ὅ ἐστι φόβου, καὶ ἐκεῖθεν ἀδεία καὶ κατὰ κρᾶσιν ἄδεια.

Ἀδελφὸς, παρὰ τὸ ἐκ τῆς αὐτῆς δελφύος, ἤγουν μήτρας, ἢ γαστρὸς τὸ γάλα θηλάσαντα· ἢ παρὰ τὸ δελφὺς, ὃ σημαίνει τὴν μήτραν, καὶ τὸ α σημαῖνον τὸ ὁμοῦ. Ἀδελφειὸς διφθόγγῳ, καὶ γὰρ ἀδελφεός ἐστι, καὶ πλεονασμῷ τοῦ ι ἀδελφειός.

Ἀδέκαστος, ὁ δίκαιος καὶ ἀπροσωπόληπτος, καὶ ἀδωροδόκητος· παρὰ τὸ μὴ δέχεσθαι ἄδικον, ἢ πρόσωπον, ἢ δῶρον.

Ἀδεῖν, ἀρέσαι, ἀπαρέμφατον, ἀορίστου β καὶ μέλλοντος. Ἔστι ῥῆμα ἄδω [9]) τὸ ἀρέσκω, ὁ μέλλων ἄσω, ὁ β ἀόριστος ἅδον· ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων [10])· ὁ μὲν δεύτερος ἀδῶ, ἀδεῖς, ἀδεῖ· καὶ τὸ ἀπαρέμφατον ἀδεῖν.

Ἄδην, παρὰ τὸ ἄδειν τὸ κορέννυσθαι, ἅδομαι καὶ ἥδομαι· ἄδειν· ἄδος τέ μιν ἵκετο θυμός [11]). Λέγεται γὰρ οἱονεὶ τὸ εἰς ἡδονὴν κινεῖν. Ἃ ἐκ τοῦ ἐπεί κ' ἔδμεν πολέμοιο [12])· τὸ δὲ ἥδεσθαι καὶ ἔκπιεν ἥσατο δ' αἰνῶς [13])· ἀντὶ τοῦ ἐτέρφθη. Ἀπὸ τοῦ ὦ, ᾆς, ᾆ· τὸ αὐτὸ δηλοῦται τὸ κορεσθῆναι. Καὶ ἄσειν· ἐν τοίῃ· ταχέα κύνας· ἀπὸ δὲ τοῦ ἕω, τὸ ἔπειμι πρῶτον ἐάσας· ἀντὶ τοῦ ἧς ἐστιν ἄδος, ὁ κόρος, ἄδος τέ μιν ἵκετο θυμόν· ἵνα ἕω παρὰ τὸ ἕδω καὶ ἥδω. Ἢ, ἀφ' οὗ ἦδος καὶ εἶτα ἄδειν.

Ἀδεκὴς, παρὰ τὸ δείκω, ἀδεικής· καὶ τροπῇ τοῦ ι εἰς υ ἀδευκής· ὡς τρυφάλεια.

Ἀδὰμ, τοῦτο τὸ ὄνομα τὰ δ στοιχεῖα, ἤτοι τὰ δ πέρατα τοῦ κόσμου ἐν ἑαυτῷ περιέχει· τὸ μὲν πρῶτον στοιχεῖον τὸ α σημαίνει ἀνατολήν. Τὸ δὲ δεύτερον, ἤτοι τὸ δ δύσιν. Τὸ δὲ τρίτον ἤτοι τὸ α ἄρκτον, τὸ δὲ τέταρτον, ἤτοι τὸ μ μεσημβρία· ἑρμηνεύεται γηγενὴς, πῦρ καὶ πυῤῥός.

Ἀδῄωτον [14]), ἀπολέμητον, ἀπαίδευτον, ἀπόρθητον· τὴν χώραν ἀδῄωτον οἰκεῖν, φυλάττειν [15]) ἀπόρθητον· παρὰ τὸ δηῶ τὸ σημαῖνον τὸ πορθῶ. τοῦτο δὲ παρὰ τὸ δαΐω τὸ κόπτω, τροπῇ τοῦ αι εἰς η, μετὰ περισπωμένου τόνου δηῶ. τοῦ ι ἀνεκφωνήτου ὄντος. Τὸ δαίω σημαίνει δ· δαίω τὸ καίω· καὶ δαίω τὸ κόπτω· ἀμφότερα συντάσσεται πτώσει δοτικῇ· δαίω τὸ μανθάνω καὶ δαίω τὸ εὐωχοῦμαι, αἰτιατικῇ.

Ἀδιαφόρως, χωρὶς παρατηρήσεως.

Ἀδινάων, ἐπὶ τῶν μελισσῶν· ἡ εὐθεῖα, ἡ ἀδινή. Τὸ ἀρσενικὸν ἀδινός· τὸ δὲ ἰῶτα διὰ τί; τὰ εἰς νος ὀξύτονα [16]). Ἀδινάων ὅτε λέγει Ὅμηρος, παρὰ τὸ ἄδειν [17]) τὸ ἀθρόως. Ἀδινὸν πολὺ παρὰ τὸ ἄδειν τὸ δαψιλές [18])· ἢ καὶ ἐπιδεόμενον τῇ ψυχῇ. Ἀδινὸν κῦδος ἐλεεινόν. Ἀδινὸς τὸ τι βραχὺ διὰ τί; τὰ εἰς νος βαρύτονα σύστελλε τὸ ι· ἑσπερινὸς ἀδινός· πλὴν τοῦ χαλινὸς καὶ λαρινός. Διὰ τί δασύνεται; τὸ α πρὸ τοῦ δ δασύνεται.

---

1) (Sic). 2) (Sic) fortaſſe ἀγείροντες. 3) (Sic). 4) (Sic). 5) (Sic) cfr. Etym. M 6) (Sic.) 7) (Sic) cfr. Etym. M. 8) (Sic.) 9) Semper cum ſpiritu leni, Etym. M. cum denſo. 10) Il. XII, 80. 11) θυμόν. Il. XI, 88. 12) Ἃ ἐκ — πολέμοιο. Mire turbata haec ſunt, reſtituenda ex Etym. M. 13) Od. IX, 353.

14) cfr. Phavorin. h. v. 15) Scriptum erat Ἀφυλάττειν ex errore ejus, qui ſingulis articulis litteras capitales addit. Similis error in medio articulo Ἄδην erat commiſſus Ἃ ἐκ τοῦ etc. 16) cf. Etym. M. v. ἀδινός. 17) (Sic) Lege ἄδην. 18) Lege ἄδην τὸ δαψιλές.

Ἁδρὰ, πλούσιος μέγας, παρὰ τὸ ἥδω· ἡδόμεθα γὰρ τοῖς καλοῖς καὶ ἁδροῖς· οὕτως Ἡρωδιανὸς ἐν τοῖς ἐπιμερισμοῖς.

Ἀδριστίνη [1]), ὡς αἰητίνη. Καθόλου γὰρ ὁ διὰ τοῦ ν τύπος ἀπέστραπται τὴν διὰ τῆς η διφθόγγου παράληξιν· οἷον ἰατρίνη, θριδακίνη, κλεοβουλίνη. Ταύτῃ γοῦν καὶ τὸ ὑσμίνη [2]) ἐτυμολογοῦνται, ἤτοι παρὰ τὸ ὑπομένην δυσμενῆ τινα οὖσαν, διὰ τὸ ἰῶτα γράφεται, κατὰ τὴν παράδοσιν. Ἀργυροδίνης παρὰ τὴν δῖνα, ἥτις διὰ τοῦ ι γράφεται. Δίνας γὰρ αἰολεῖς.

Ἀδολεσχῶ, ἐκ τοῦ ἄδω τὸ ἀρέσκω, καὶ τοῦ λέσχος, τοῦτο ἐκ τοῦ λέσχη, ὃ σημαίνει τὴν φλυαρίαν. Τοῦτο παρὰ τὸ λέσχος, ὃ σημαίνει τὴν κοίτην· ἐπειδὴ τὸ παλαιὸν ἔθος ἦν, ἐν τῷ χειμῶνι τόπον εἶχον ἀποκεχωρισμένον, ἐν ᾧ πυρκαϊὰς ποιοῦντες, καὶ ἐν αὐταῖς καθεζόμενοι καὶ ὁμιλοῦντες διημέρευον φλυαροῦντες καὶ ἀδολεσχοῦντες. Ἀδολέσχης, ἀδολέσχου, ὁ κανών· τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα ἀρσενικὰ, μὴ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν. καὶ ἄλλως. Ἀδολεσχία, στενοχωρία, ἢ φλυαρία. Ἔστιν ἄδω καὶ σημαίνει τὸ ἀρέσκω, ὅπου γέγονεν ἀπὸ τοῦ ἥδω τὸ εὐφραίνομαι, καὶ λέσχη ἡ φλυαρία· καὶ ἐξ αὐτοῦ γίνεται ἀδολεσχῶ τὸ φλυαρῶ καὶ μετεωρίζομαι· ἤγουν τὸ περὶ τοὺς αὐτοὺς λόγους ἀναστρέφομαι. Τὸ δὲ ἀδολεσχῶ σημαίνει δ· τὸ φλυαρῶ· ὡς τὸ, ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου. Τὸ φιλοσοφῶ, ὡς τὸ, ὁ δὲ δοῦλος ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου· καὶ τὸ παίζω, ὡς τὸ, ἐξῆλθεν Ἰακὼβ ἀδολεσχῆσαι ἐν τῷ πεδίῳ· καὶ τὸ ὀλιγοψυχῶ, ὡς τὸ, ἠδολέσχησε τὸ πνεῦμά μου, ἀντὶ τοῦ ὠλιγοψύχησεν.

Ἄδω, σημαίνει τρία, τὸ ψάλλω, τὸ ὀρχοῦμαι, καὶ τὸ ὑμνῶ. Παρὰ τὸ εἴδω τὸ γινώσκω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀείδω, τὸ πάνυ γινώσκω· καὶ συναιρέσει τοῦ α ε εἰς α μακρὸν ᾄδω, καὶ μένει τὸ ι μὴ ἐκφωνούμενον.

Ἄδυτον, σπήλαιον· ὡς τὸ, ἄδυτά τε ἔχειν αὐτὸ μετὰ ὀροφαὶ [3]), οἷον οἶκοι ὑπόγαιοι, σκοτεινοί. Λέγεται γὰρ καὶ τὰ μύχια τῶν ἱερῶν ἄδυτα, εἰς ἃ οὐκ ἔστιν εἰσελθεῖν, ἀπὸ τοῦ δύω, ὃ σημαίνει τὸ ὑπεισέρχομαι. Ὁ παθητικὸς παρακείμενος δέδυμαι, δέδυσαι, δέδυται, καὶ ἐξ αὐτοῦ δυτὸς καὶ ἄδυτος. Ἄδυτα οὖν τὰ ἀφανῆ.

Ἀεὶ, διὰ διφθόγγου γράφεται· εὕρηται δὲ καὶ χωρὶς τοῦ ι· οἷον, θεοὶ αἰὲν ἐόντες. Τὰ δὲ παρὰ τὸ ἀεὶ συντεθέμενα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀείμνηστος, ἀειπάρθενος, ἀειθαλής. Ἰστέον δὲ, ὅτι ιβ φωναί εἰσι τοῦ ἀεί· ἔστι γὰρ αἰεὶ καὶ αἰὲν, καὶ αἰὲς ποιητικῶς· καὶ ἀεὶ συνεσταλμένον, καὶ αἲ παρὰ τοῖς Αἰολεῦσι, αἲν παρ' αὐτοῖς, ἐξ οὗ καὶ αΐδιος, διὰ τοῦ ἰῶτα. Παρὰ τοῖς Ταραντίνοις διὰ τοῦ αι γράφεται καὶ τοῦ η. Οἱ δὲ Ταραντῖνοι ἄποικοί εἰσι τῶν Δωριέων· ἔστι δὲ καὶ ἄες παρὰ Δωριεῦσι. Ταῦτα μὲν ἀπαρένθετα, καὶ ταῦτα ιβ φωνὰς λέγουσι εἶναι· ἐπειδὴ ἐστὶ καὶ τὸ ἀεὶ παρὰ Πεισάνδρῳ.

Ἀδρανεία, ἡ ἀσθενεία, ἐκ τοῦ ἀδρανὴς, ὃ σημαίνει τὸν ἀνίσχυρον, ὅπερ ἐκ τοῦ δραίνω τὸ πράττω· καὶ Ὅμηρος, ἀλλ' εἴ τι δραίνεις.

Ἀδράστεια, ἡ τύχη, ὅτι οὐδεὶς αὐτὴν ἀποδιδράσκει· ἢ ὅτι ἀναποδίδραστον αἰτίαν ἔχουσα κατὰ φύσιν.

Ἀδρὸς, πλούσιος, μέγας· παρὰ τὸ ἥδω, ἡδόμεθα γὰρ τοῖς μεγάλοις, καλοῖς καὶ ἁδροῖς· οὕτως Ἡρωδιανὸς ἐν τοῖς ἐπιμερισμοῖς.

Ἄεθλον, σημαίνει δύο· ἀρσενικῶς μὲν τὸν τόπον, καὶ τὸ ἀγώνισμα, ὡς ὁ ποιητὴς, οὗτος μὲν δὴ ἄεθλος· λέγει δὲ καὶ οὐδέτερον, τὸ ἄεθλον, τὸ ἐπὶ ἀγῶνος διδόμενον· ἑκὼν δ' ἔκφερ' ἄεθλον λέβητάς τε τρίποδάς τε.

Αἰηγενέτησι [4]), ἤγουν τοῖς [5]) παντὸς οὖσιν. ὁ κανὼν ἡ εὐθεῖα αἰειγενέτης· τὸ νε ψιλὸν διὰ τί; Τὰ διὰ τοῦ ετης ἀρσενικὰ βαρύτονα εἴτε ἁπλᾶ, εἴτε σύνθετα διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον, ξυνέτης, λογοθέτης, πλὴν τοῦ προσαίτης, σημαίνει τὸν πένητα, καὶ εὐχαίτης ὁ καλόθριξ ἵππος.

Ἀείδαρος, παρὰ τὸ ἀεὶ δαίρεσθαι. Καὶ εἰς τὸ γ στοιχεῖον.

Ἄειδε, προστακτικόν· τὸ θέμα εἴδω γράφεται διὰ τῆς ει διφθόγγου, ἀντιπαράκειται γὰρ αὐτῷ τὸ ἀοιδή. ἅτε γὰρ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν. οἷον λέγω λόγος, φέρω, φόρος, λείβω λοιβὴ, ἀλείφω ἀλοιφή· οὕτω καὶ ἀπὸ τοῦ εἴδω τοῦ σημαίνοντος τὸ ἐπίσταμαι καὶ τοῦ α ἐπιτατικοῦ μορίου ἀείδω, τὸ πολλὰ γινώσκω· ὁ παρατατικὸς ἤειδον· τὸ προστακτικὸν ἄειδε. Οἱ Ἴωνες γὰρ συνάρχομενοι τοὺς παρῳχημένους ποιοῦσι τοῖς ἐνεστῶσι, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε εἰς α μακρὸν ἄειδε [6]). Καὶ μὴν εἰ τὸ ι προσγεγραμμένον· καὶ τὸ ᾠδὴ γέγονεν ἀπὸ τοῦ ἀοιδή· καὶ κράσει τοῦ α ο εἰς ω ᾠδή. Τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους εἰς φωνῆεν λήγουσαν περισπᾶται, εἰ μὲν τύχῃ ἡ ει δίφθογγος· οἷον ὀπηδῶ, ἀοιδῶ, τραγῳδῶ, λοιδορῶ, ὁμαδῶ, ἀφ' οὗ καὶ ὁμάδης, ἐκ τοῦ ὁμαδὸς, τοῦτο παρὰ τὸ ὁμοῦ. Αὐδᾷν καὶ κελαυδᾷν, τὸ γὰρ κελάδων, κελάδοντος ἑτέρῳ λόγῳ· κατώρθωται· ἐξέφυγε δὲ τὸ ἀείδω καὶ ἐρείδω [7]).

Ἀείδω, εἴδω, τὸ ἐπιτατικὸν τὸ α· καὶ γὰρ ἀείδως ὁ πολλὰ εἰδὼς, πολύπειρος. Καὶ δή φησιν Ὅμηρος· ἀλλ' ὅγε τερψάμενος· εἴ τε καὶ πλείονα εἰδώς.

Ἀείδηλον, ἐκ τοῦ εἴδω τὸ βλέπω· ὥσπερ δὲ ἀπὸ τοῦ στίλπω ἢ στίλβω γέγονε στιλπὸς, οὕτω καὶ παρὰ τὸ εἴδω γίνεται ἰδὸς, διὰ τοῦ ἰῶτα. πολλὰ γὰρ εἰσὶν ὀνόματα [8]).

Ἀείδελος ὁ ἀφανὴς καὶ ἀόρατος, ἀπὸ τοῦ εἴδω, εἴδελος, καὶ ἐν συνθέσει ἀείδελος, ὁ μὴ θεωρούμενος· τὸ οὐδέτερον ἀείδελον· παρὰ τὸ εἴδω εἴδελον καὶ ἐπιτατικὸν ἀείδελον [9]).

Ἀειδέλιον, σκληρὸν, ἀπρεπὲς, κατὰ στέρησιν τοῦ ἐοικέναι καὶ εἴκειν· παρὰ γὰρ τοῦ ἴκελος· γίνεται δὲ καὶ διὰ τοῦ ἰῶτα, ἴκελος Διῒ τερπικεραύνῳ.

Ἀειδέμεναι, γινώσκειν, παραγωγὴ ποιητικὴ, οὐ δωρικὴ διάλεκτος. Τὸ α τοῦτο συνεσταλμένον ἐστὶ παρ' αὐτῷ ποιητῇ. ἅπαξ δὲ ἐκτεταμένον, ἐν τῷ· ἀείδη δεδαώς.

Ἀείκελον, παρὰ τοῦ εἴκω γέγονε, τοῦ σημαίνοντος τὸ ὁμοιῶ· εἴκελος, καὶ ἐν συνθέσει ἀείκελος· καὶ ἀείκελος ὁ ὅμοιος.

Ἀείκεσσιν, ἀπρέπεσι, δύο σσ ποιητικῶς.

Ἀεικὴς, ὁ σκληρὸς, ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ, γίνεται εἰκὴς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀεικής· ἔστι δὲ τριγενὲς, ὥσπερ ὁ εὐφυὴς, ἡ εὐφυὴς, καὶ τὸ εὐφυές.

---

1) Sic. F. Ἀδρηστίνη. Hesych. 2) cfr. Etym. M. v. ὑσμίνη. 3) (Sic.) cf. Etym. M. 4) Lege Αἰειγεν. 5) Fortasse διὰ παντός. 6) (Sic) Lege ᾄδω. 7) ἐξέφυγε etc. (Sic.) 8) Ἀείδηλον — ὀνόματα. (Sic) cfr. inferius p. 18. v. ἀΐδηλον. 9) (Sic.)

Ἀεικὴς, αἰσχρὸς, ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ· ἐξ οὗ ὁ οἶκος, οἱονεὶ εἰς ὃν ὑποχωροῦμεν· καὶ ἐκεῖθεν ἀεικής.

Ἀεικέστερος, δὲ ἔστιν ἀπρεπέστερος.

Ἀειτάνιν, διὰ τὸ ἀεὶ τανύεσθαι.

Ἀέκοντας, μὴ βουλομένους· ἀέκουσα; ἀέκω· καὶ ἡ μετοχὴ ὁ ἀέκων τοῦ ἀέκοντος. τὸ θηλυκὸν ἀέκουσα, παρὰ τὸ ἕκω τὸ θέλω ἡ μετοχὴ ἑκὼν, παραλόγως καὶ σεσημείωται· ἐν δὲ τῇ συνθέσει ἀναβιβάζουσι τοὺς τόνους. Καὶ μετὰ τοῦ στερητικοῦ α ἀέκων, καὶ κράσει τοῦ α ε ἄκων.

Ἄελλα, πνοὴ ἀνέμου, ἢ ἀνέμου συστροφή. Ἔστι δὲ ὄνομα προσηγορικὸν καὶ ῥηματικόν· γίνεται δὲ παρὰ τὸ ἄω τὸ πνέω, ἄελα καὶ πλεονασμῷ τοῦ ἑτέρου λ ἄελλα, ὡς τὸ θύελλα καὶ παροξύνεται [1]). Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς λα ὑπὲρ δύο συλλαβὰς ἔχοντα, τὴν πρὸ τέλους συλλαβὴν, εἰς λ καταλήγουσαν, ἅπαντα παροξύνονται [2])· οἷον δίκελλα, μάκελλα, θύελλα, πρίσκελλα, σίβιλλα [3]), Φαλκόνιλλα· οὕτως οὖν καὶ ἄελλα, ἡ ἄγαν ἑλοῦσα [4]).

Ἄελλα καὶ θύελλα διαφέρουσι· Ἄελλα μὲν γάρ ἐστι ἄημα συνεστραμμένον· θύελλα δὲ ἄελλα θύουσα καὶ ὁρμῶσα.

Ἀεργὸς, ἀργὸς, ὀκνηρὸς, ὁ ἄνευ εὐέργου ἀκάματος.

Ἀηδὼν παρὰ τὸ ἀείδω καὶ ἀείδων, καὶ τροπῇ αἰολικῇ τῆς ει διφθόγγου εἰς η ἀηδών.

Ἀερσίποδες, σημαίνει δὲ τοὺς εἰς ὕψος αἴροντας τοὺς πόδας, τουτέστι ταχεῖς. Καὶ γίνεται ἐκ τοῦ ἀείρω τὸ κουφίζω, ὁ μέλλων ἀερῶ καὶ αἰολικῶς ἀέρσω, καὶ ἐξ αὐτοῦ ἀερσίπους.

Ἀέσαι, κοιμᾶσθαι, παρὰ τὸ ἄωτόν τι παννύχιον ὕπνον ἀωτεῖν.

Ἄει, ἔπνει, ἀείμιος, ὑπὸ ἀνέμου καταπνεόμενος.

Ἀεσίφρων, ματαιόφρων, παρὰ τὸ ἀέσαι, ὅ ἐστι κοιμᾶσθαι, ὁ μὴ ἐγηγερμένας ἔχων τὰς φρένας.

Ἀεικέλιος, παρὰ τὸ εἴκελος, αἰσχρὸς, δεινὸς, κακὸς, οἰκτρὸς, εὐτελής.

Ἀείτης, ἑταῖρος, παρὰ τὸ ἀεὶ συνεῖναι τῷ ἑταίρῳ.

Ἀείδηλον, τὸ ἀεὶ δῆλον καὶ φανερόν.

Ἀείρω, ἀέῤῥω, αἰολικῶς.

Ἀετὸς, ἀεί ετος [5]), νέος ὢν, διὰ τὸ πολλάκις ἀνακαινίζεσθαι, καὶ πολλὰ ζῆν. λέγεται δὲ παρὰ τὸ αἴσσω τὸ ὁρμῶ, αἰτὸς καὶ ἀετός· ἢ παρὰ τὸ ἀεὶ ἐτεὸς εἶναι. Λέγεται γὰρ, ὅτι ἀετὸς ἐπὶ τοῦ ἀληθῶς σημαίνειν, παρὰ τοῦ Διὸς πέμπεται· Ὅμηρος. Ἀετὸς δ' ἐκλήθη, οὐχ ὥς τινες παρὰ τὸ αἴσσειν, ἀλλὰ παρὰ τὸ ἐτεὸν δηλοῦν, ὅ ἐστιν ἀληθῆ. Λέγεται γὰρ κατὰ τὴν τοῦ Διὸς γέννησιν τὸν ἀετὸν γεννηθῆναι, ἐν δὲ τῇ πρὸς τοὺς γίγαντας μάχῃ παραπτῆναι, διόπερ ἐν τῇ διανεμήσει τῶν πτερῶν Ζεὺς ἀετὸν εἵλετο, ᾧ καὶ προστάσσει, καὶ ἀγγέλῳ χρᾶται πρὸς ἐκείνους, ἢ [*]) ἐπιφανείας ἀξιοῖ.

Αἰετὸς, μετὰ τοῦ ι, παρὰ τὸ αἴσσειν. Ἀττικοὶ δὲ ἀετὸς χωρὶς τοῦ ι λέγουσιν, ὡς κλαίω, κλάω.

Ἀζηχὲς, παρὰ τὸ ἄδην, ὃ σημαίνει τὸ ἀδιαλείπτως, ἀδηχὲς καὶ τροπῇ ἀζηχὲς, τὸ σκληρὸν, ἀπὸ τῆς ἄζης, ὅ ἐστι ξηρασία, ἐναντία τοῖς θάλλουσι καὶ χλωροῖς, κατὰ στέρησιν τοῦ ζῆν· τὰ γὰρ ζῶντα καὶ χλοερὰ, κατάστρεφε οὖν [6]) εἰς τὸ σκληρόν. Οἱ δὲ ἀντὶ τοῦ ἀδιάλειπτον ἔθεντο· εἰωθότα ἔδμεναι ἄδδην [7]).

Ἄζυξ, μονάζων, ἄζευκτος, παρθενεύων.

Ἀζόμεναι, παρὰ τὸ ἄζω· ὁ σκληρὸς [8])· ἀποβολῇ τοῦ χ· ὡς λείβω εἴβω. Οἱ γὰρ ἄζοντες καὶ τιμῶντες ὑποχωροῦσι.

Ἄζη, ἡ ξηρασία.

Ἄζομαι, ἐντρέπομαι, σεβάζομαι, ἢ ὑποχωρῶ.

Ἄζω, τὸ ξηραίνω, κατὰ στέρησιν τοῦ μὴ ζῆν, τὸ γὰρ ζῶν καὶ ὑγρόν ἐστι· ἔνθα διέρος βροτον ἴζ [9]).

Ἀηδὼν, ὄρνεον, παρὰ τὸ ἀεὶ ἄδειν ἐν θέρει καὶ ἐν χειμῶνι· ἢ παρὰ τὸ ἀείδω ἀηδὼν κατὰ διάλεκτον τῶν Αἰολέων· ἢ διὰ τὸ ἡδυτάτως λαλεῖν.

Ἀηδῆ τὰ ἄγλυκα, παρὰ τὸ μὴ ἥδειν ἡμᾶς.

Ἀὴρ παρὰ τὸ ἀείρειν, ὅ ἐστι κουφίζειν· ἢ παρὰ τὸ ἄω τὸ πνέω· ἡ γὰρ κίνητις αὐτοῦ πρὸς τὸν ἄνεμον· ἢ παρὰ τὸ ἠρθῆσθαι τοῦ αὔοντος αὐτὸν αἰθέρος καὶ καίοντος.

Ἀὴρ παρὰ τὸ ἀραῖον εἶναι αὐτὸν, καὶ τοῖς πᾶσιν ἀναπνευστικόν.

Ἀήσυλα, ἄδηλα, ἁμαρτωλά. Ἔστιν ἥδω τὸ εὐφραίνομαι· ὁ μέλλων ἥσω, ἥσυλα [10]) καὶ μετὰ τοῦ στερητικοῦ α ἀήσυλα, τὰ μὴ εὐφραινόμενα, ἢ μὴ πρέποντα.

Ἄημα, σημαίνει τὸ πνεῦμα· γέγονε δὲ παρὰ τὸ ἄω, τὸ πνέω, ὁ μέλλων ἀήσω, ὁ παρακείμενος ἄηκα, ὁ παθητικὸς ἄημαι, καὶ ἐξ αὐτοῦ ἄημα.

Ἀήτης, ὁ ἄνεμος, ἐκ τοῦ ἄω τὸ πνέω· καὶ εἰς τὸ ἦτορ.

Ἀθέριζον, ἀπεδοκίμαζον, μεταφορικὴ ἡ λέξις, ἀπὸ μεταφορᾶς τῶν ἀσθένων, ἤγουν τῶν ἀσταχύων, τῶν ἐκ τοῦ ἅλωνος ἀποῤῥιπτομένων, οἱονεὶ ἡ μὴ θεριζομένη, καὶ πρὸς χρείαν ἀγομένη, ἀλλ' ἀποβαλλομένη. γίνεται δὲ ἐκ τοῦ θέρος θερίζω καὶ τοῦ στερητικοῦ α ἀθερίζω. Τὸ δὲ θέρος παρὰ τὸ θέρω τὸ θερμαίνω. Καὶ θέρσω, αἰολικῶς, καὶ θερσίτης καὶ θερμός.

Ἀθέσφατος, πολὺς, ἄφατος· ἐκ τοῦ θεὸς καὶ τοῦ φατός. Τοῦτο δὲ ἐκ τοῦ φημὶ τὸ λέγω, θεόφατός τις ὤν. Καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ σ θέσφατος καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀθέσφατος· οἷον ἀθεόφατος καὶ ἄπειρος· καὶ πλεονασμῷ τοῦ σ.

Ἀθηνᾶ, ἀθρηνά τις οὖσα, παρὰ τὸ νοῦν ἀθρεῖν ἐν τῷ κόσμῳ· ἢ παρὰ τὸ ἀθρεῖν· διανοητικὴ γὰρ ἡ θεός.

Ἀθηναίη, ἡ εὐθεῖα. Τὸ ναι δίφθογγος διὰ τί; ὡς τὸ δίκη δίκαια, ἔστι γὰρ ἀθήνη ἀθηναίη· ἢ παρὰ τὸ θῶ τὸ θηλάζω, ὁ μέλλων θήσω, ῥηματικὸν ὄνομα θήνη [11]). καὶ ἀθηνᾶ· ἀμήτωρ ἡ θεὸς παραδέδοται ἡμῖν· ἔστιν Ἀθηναία, ἀποβολῇ τοῦ ι ἀθηνάα, καὶ κράσει Ἀθηνᾶ.

Ἀθῆναι, δωρικῶς λέγουσι· ἀθᾶναι οἱ Αἰολεῖς.

Ἀεικίσσωσι, διὰ τοῦ ει διφθόγγου γράφουσι· ὥσπερ γὰρ ἀπὸ τοῦ εὐγενὴς εὐγενίζω καὶ ἀπὸ τοῦ εὐτελὴς εὐτελίζω, οὕτω καὶ ἀπὸ τοῦ ἀεικὴς ἀεικίζω, ὅπερ γράφεται διὰ τῆς ει διφθόγγου, κατὰ τὴν παραλήγουσαν.

Ἆθλον, ἀγώνισμα, παρὰ τὸ τλῶ τὸ καρτερῶ, τλὸν καὶ ἄτλον, καὶ τροπῇ τοῦ τ εἰς θ ἆθλον τὸ τῷ νικῶντι διδόμενον.

Ἆθλον, ἐπάθλου διαφέρει. ἆθλον μὲν γὰρ αὐτὸς ὁ ἀγών. Ἔπαθλον τὸ διδόμενον τῷ νικήσαντι.

Ἀθλήσαντα, κακοπαθήσαντα.

---

1) παροξύνεται (Sic) cfr. Etym. M. h. v. 2) (Sic.) 3) (Sic.) 4) (Sic.) 5) ἀεὶ ετος (Sic) cfr. Etym. M. h. v. *) (Sic) L. ...οὺς et cf. Schol. ad Il. VIII. 247. 6) (Sic.) 7) εἰωθότα — ἄδδην (Sic.) Lege εἰωθότες ex Il. V, 203. 8) τὸ ἄζω — σκληρὸς (Sic) corrupta certe. cf. Etym. M. v. Ἄζω. 9) διερος — ἴζ reliquum verbi penitus erat deletum. 10) μέλλων — ἥσυλα (Sic.) 11) θήνη (Sic) cf. Etym. M.

Ἄθλος, ἀρσενικὸν καὶ ἆθλον οὐδέτερον διαφέρει. Ἀρσενικῶς μὲν γὰρ τὸν ἀγῶνα δηλοῖ· οὐδέτερον δὲ τὸ ἔπαθλον. Ὅμηρος· οὗτος μὲν δὴ ἄεθλος ἄατος [1]) ἐκτετέλεσται.

Ἄθρει, ἐκ τοῦ δρῶ τὸ βλέπω καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀδρῶ, καὶ τροπῇ τοῦ δ εἰς θ ἀθρῶ· ὡς τὸ, ἀθρῶν ὁ πλάστης ἐν ζόφῳ τῶν πταισμάτων· καὶ ἐκ τούτου ἄθρει τὸ προστακτικόν.

Ἀθροίζω, συνάγω, ἐκ τοῦ θρόος θροῦς ὁ θόρυβος· οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος [2]). Ἐκ τοῦ οὖν θροὸς θροῦς ὁ θόρυβος. γίνεται κατὰ παραγωγὴν θροΐζω, καὶ κατὰ συναίρεσιν, καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἀθροίζω· τὸ θροι δίφθογγος διὰ τί; Τὰ διὰ τοῦ υζω ῥήματα [3]).

Ἀθρόοι, ταχεῖς, ὄνομα. Ἀθρόος δὲ διαφέρει τοῦ ἀθρόου. Ἄθροος προσταχτικὸν [4]) σημαίνει τὸν αἰφνίδιον· παροξύτονον δὲ τὸν συνηθροισμένον. Καὶ Ὅμηρος, ἡμεῖς δὲ ἀθρόοι ὧδε [5]), ἀντὶ τοῦ συνηθροισμένοι. Τὸ ἀθροιστικὸν α δασύνεται.

Ἀθρόος, παρὰ τὸ στέρησιν ἔχειν τοῦ θροῦ· ἀθρῶ τὸ βλέπω, καὶ ἀθρείω τὸ ἐπιθυμῶ ἰδεῖν, καὶ ἀθρείοντες ἰδεῖν ἐπιθυμοῦντες.

Ἄθυρος, ὁ μὴ θύρας τῇ γλώσσῃ τιθέμενος· ἐξ οὗ καὶ ἄθυρμα τὸ παίγνιον.

Ἀθῷος ὁ καθαρὸς, παρὰ τὸ θῶ ῥήματι, ὃ σημαίνει τὸ ζημιῶ, καὶ καταβάλλω, γίνεται θωή. Καὶ ὡς φῶ φωνὴ, καὶ ζῶ ζωὴ, οὕτω καὶ παρὰ τὸ θῶ τὸ καταβάλλω γίνεται θωὴ ἡ ζημία, ὁ γὰρ ζημιούμενος καταβάλλει. Καὶ ἐξ αὐτοῦ γίνεται θωὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀθῷος, ὁ ἀζήμιος.

Ἀθῷος, ὁ ἀναίτιος, καὶ ἀθῷος ὁ ἀζήμιος.

Ἀνθρήνη, ἡ μετὰ τοῦ ν ἐστιν εἶδος μελισσίου. Ἀθρήνη δίχα τοῦ ν ἐστιν εἶδος ἰχθύος, ὃ καὶ ἀφύη λέγεται.

Ἀθηρηλοῖγον [6]), τὸ πτύον, ᾧ τὰς ἀθέρας διαχωρίζουσι. Καὶ ἔστιν ἀθερολόγον, τὸ τοὺς ἀθέρας διαλέγειν· πλεονασμῷ τοῦ ι.

Αἲ ἐπίῤῥημα εὐχῆς, σημαντικόν. Τοῦτο ἐκ τοῦ εἴθω, τὸ σημαῖνον τὸ εἴθε τροπῇ τοῦ ε εἰς α καὶ ἀπὸ μὲν ει τὸ ι. καὶ γίνεται αἴ [7])

Αἰγανέει [8]), τὸ ἀκόντιον, παρὰ τὸ αἰγὸς ἵμαντα ἔχειν ἐν τῷ μέσῳ, ὃ οἱ κρατοῦντες.

Αἰγιαλὸς, διὰ τὸ ἐγγίζειν τῇ ἅλα [9]). Ἐτυμολογεῖται δὲ παρὰ τὸ νέον γείτονα τῆς ἁλός [10])· ἐξ αὐτοῦ γὰρ διὰ τῆς αι διφθόγγου, ἐκ τοῦ αἶα, ὃ σημαίνει τὴν γῆν· τοῦτο ἐκ τοῦ γαῖα ἀποβολῇ τοῦ γ· ἢ ἐγγὺς τῆς ἅλας [11]), ἤγουν τῆς θαλάσσης. ἢ παρὰ τὸ τὴν ἅλα ἐκεῖ κλᾶσθαι. ἢ τὸ περικεκλᾶσθαι ἐν αὐτῷ τὰ κύματα, ὡς Ἀπολλόδωρός φησιν· θάξαι γὰρ κλᾶται λέγεται· αἰγιαλὸς ἐστι, μέχρις οὗ τὸ μέγιστον τῆς θαλάσσης ἐκτρέχει κῦμα.

Αἴγισθος, παρὰ τὸ θῶ τὸ θηλάζω, γυναῖκά τε θήσατε μισθόν [12]).

Αἰγὶς, ὅπλον Διὸς καὶ Ἀθηνᾶς, τὸ κροσσωτὸν ἐξ αἰγὸς δέρματος. Αἰγὶς καὶ ἡ θάλασσαι ἴρηται.

Αἲ σχετλιαστικὸν ἐπίῤῥημα· ἀπὸ τοῦ εἶ τοῦ σημαίνοντος, τὸ εἴθε. Οἱ γὰρ Δωριεῖς τὴν ει δίφθογγον εἰς αι τρέπουσι, κατὰ διάλεκτον.

Αἴγειροι, εἶδος δένδρου, ἐν βοτανώδεσι γὰρ τόποις φυόμενοι [13]). ὠνομάσθησαν δὲ ἀπὸ τῆς ἀέρσεως αὐτῶν καὶ ἀναδόσεως. ἕλεος ἕλεον καὶ ἕλος δὲ καλεῖται τόπος κάθυγρος.

Αἰγίλιψ αἰγίλιπος, ἡ ὑψηλὴ πέτρα, παρὰ τὸ ἀπολείπεσθαι τὰς αἶγας ἐξ αὐτοῦ, διὰ τὸ ὕψος καὶ ἀναβῆναι οὐ δύναται.

Αἰγιόχοιο, αἰγίδα ἔχοντα. αἱ διὰ τοῦ οιο γενικαὶ θετταλικαί· γίνεται παρὰ τὸ ὀχὴ, ὃ σημαίνει τὴν τροφὴν, καὶ τὸ αἶξ, αἰγός. Λέγεται γὰρ αὐτὸν τεθηλακέναι Ἀμαλθία [14]) τὴν αἶγα. Οἱ δὲ, ὅτι σκεπαστήριον αὐτῷ αἰγὸς [15]) ἦν, ἀπὸ κρητικῆς ληφθεῖσα· οἱ δὲ ἀπὸ τοῦ καταιγίζειν τοῖς ἀνέμοις καὶ πνεύμασι. Καλεῖται γὰρ αἰγὶς ὁ ἄνεμος· οἱ δὲ, αἶγου πρώτην τοῦ Πανὸς θυγάτρα [16]). Ἐκ τοῦ ὀχὴ καὶ γίνεται εὐωχία, ἡ καλῶς τρέφουσα, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω.

Αἴγλη παρὰ τὸ αἶθον, ὅπερ δηλοῖ τὸ καιόν.

Αἰγλῆντα ὄνομα θηλυκὸν, καὶ κλίνεται ἡ Αἰγλῆντα, τῆς Αἰγλήντης. γέγονε δὲ ἀπὸ τοῦ αἴγλη, αἰγλήεις, αἰγλήεντος καὶ ἡ αἰτιατικὴ αἰγλήεντα, καὶ κατὰ κρᾶσιν αἰγλῆντα· καὶ μετάγεται ἡ αἰτιατικὴ εἰς εὐθεῖαν.

Αἰγοκέρως, ὁ ἀστὴρ, παρὰ τὸ ἄστρον καὶ ζῶον. Αἰγιδίου κέρατα ἔχον.

Αἰγοπολὸς, κρητικῇ συγκοπῇ αἰπόλος, ὁ αἰγοβοσκός.

Αἰγοπολὸς, εἰς τὸ ὀνειροπόλος.

Αἰγάστριος, αἶξ ἄγριος.

Αἴγυπτος, διὰ τὸ ἐγγὺς ποτοῦ, ὡς ἐγγίζουσα τῷ ποτῷ, ἢ τῷ ποταμῷ· ἢ παρὰ τὸ αἴθω τὸ καίω, ἐπειδὴ οἱ ἐν τῇ Αἰγύπτῳ ὑπάρχοντες κεκαυμένοι εἰσὶν, ἐκ τῆς σφοδρᾶς τοῦ ἡλίου φορᾶς. Ἐτυμολογεῖται δὲ παρὰ τὸ αἶγας πίονας ἔχειν, Αἴγυπτος σημαίνει τρία· ἐπὶ μὲν τῆς χώρας, αἴγυπτος μεθ' ἡμῖν ἀπόλλεσθαι [17]). ἐπὶ δὲ τοῦ ποταμοῦ, ὃν εἶδεν Ἡσίοδος, καὶ οἱ λοιποὶ ποιηταί· στήσας ἐν αἰγύπτῳ νῆας ἀμφιελίσσας· σημαίνει δὲ παρὰ τῷ θεολόγῳ τὴν ἁμαρτίαν· ὡς τὸ, σήμερον καθαρῶς ἐφύγομεν Αἴγυπτον· καὶ πάλιν, αἴγυπτος σκότει κολάζεται. Κέκληται δὲ αἴγυπτος, ἀπὸ Αἰγύπτου τινὸς βασιλεύσαντος ἐν αὐτῇ.

Αἴγυπτος παρὰ τὸ ἄγαν πιαίνειν καὶ εὔτραφῆ εἶναι, οἱονεὶ λιπαράν.

Αἰγίοχος, ἱμάτιον Διὸς ἐξ αἰγίας.

Αἰδεῖσθαι, ἐντρέπεσθαι πρώτῃ συζυγία, ἀπαρέμφατον, ἀντὶ τοῦ προστακτικοῦ. τὸ θέμα αἰδῶ, καὶ ὁ μέλλων αἰδήσω· ἐξ οὗ καὶ ἀδημοι [18]). τοῦτο παρὰ τὸ αἰδῶ, τοῦτο παρὰ τὸ εἴδω τὸ βλέπω, καὶ τοῦ στερητικοῦ α, ἀειδὼς καὶ αἰδώς. Οἱ γὰρ ἐντρεπόμενοι συστέλλουσι τὰ ὄμματα.

Ἀείδηλον, τὸ ἀεὶ δῆλον. Ἄρατος· τοῦδε τέρας περίσημι. ἀεὶ δῆλον ἐστήρικται [19]). Καὶ ἐστὶ παρὰ τὸ εἴδω εἴδηλος, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀείδηλον.

Ἀΐδηλον, ἄρνα τὸν ἀφανιστικὸν, παρὰ αἰδνὸν τὸ ἀφανιστικὸν, αἰδνόδηλον, καὶ κατὰ συγκοπὴν αἴδηλον. Καὶ ἔγκειται τὸ δήλειν, ὅ ἐστι τὸ βλάπτειν· ἔνθεν καὶ τὸ δήλημα καὶ δηλήσασθαι.

Ἀΐδηλον, ἐκ τοῦ εἴδω τὸ βλέπω, καὶ ὥσπερ ἀπὸ τοῦ στίλπνω στιλπνὸς, οὕτω καὶ παρὰ τὸ εἴδω γίνεται ἄϊδνον διὰ τοῦ ι, καὶ συναίρεσιν τοῦ ε. πολλὰ γὰρ εἰσὶν ὀνόματα

---

1) (Sic cf. Od. XXII, 5. 2) Il. IV. 437. 3) (Sic) ipse canon non extat. 4) (Sic) Lege προπαροξύτονον cf. Etym. M. h. v. 5) Il. I, 439. 6) Ἀθηρηλ (Sic). 7) cfr. Etym. M. h. v. 8) αικει (Sic, F. αι..ει pro α. 9) (Sic). 10) τὸ νέον — ἁλὸς (Sic) Lego ex Phavorino h. v. παρὰ τὸ τὴν αἶαν εἶναι γείτονα τῆς ἁλός. 11) (Sic). 12) (Sic) Supplenda ex Etym. M. h. v. et corrigenda ex Il. XXIV, 58. 13) (Sic) ομεναι. 14) (Sic) L. θεαν. 15) σκεπαστ. — αἰγὸς (Sic) cf. Etym. M. h. v. 16) αἴγου — θυγάτρα (Sic) cf. Etym. M. 17) ἀπολλ. (Sic) cf. Etym. M. h. v. 18) αδημοι (Sic) falso. Sequentia postulant αἰδώς. 19) Ἄρατος — ἐστήρικται (Sic.)

ἀπὸ ῥημάτων· καὶ μετὰ τοῦ δῆλον, ὃ σημαίνει τὸ Φανερὸν, γίνεται ἀΐδηλον· καὶ ἐν συγκοπῇ ἄδηλον.

Ἀΐδιος, διὰ τοῦ ι. παρὰ τὸ ἴζω γέγονεν ἴζιος· καὶ ἀΐδιος.

Ἀΐδιος παρὰ τὸ εἴδω, τὸ βλέπω· ὃ παρὰ τὸ Φαίνω· ὁ πάντοτε Φαινόμενος καὶ ζῶν. Κατ' ἀντίΦρασιν ὁ ἀθεώρητος καὶ αἰώνιος.

Ἄϊδος, εἰς ᾅδου, ἐκ τοῦ ἄϊς ἡ εὐθεῖα, καὶ ἐκ τοῦ ἀΐδου γενικῆς, κατὰ μετάπλασιν καὶ διαίρεσιν.

Ἄϊδι, οἱ μὲν Φασὶ, παρὰ τὸ εἴδω τὸ βλέπω, ὁ μέλλων εἴσω, ὄνομα ῥηματικὸν ἴς· πολλὰ γάρ εἰσιν ὀνόματα [1]· καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἄϊς, ἐν ᾧ οὐδέν ἐστιν ὁρᾶν· καὶ ἡ γενικὴ ἄϊδος. Καὶ Ὅμηρος· δῦναι δόμον Ἄϊδος εἴσω [2]. Καὶ ἡ δοτικὴ Ἄϊδι.

Αἰδοῖα, διότι αἰδούμεθα ἀλλήλοις ταῦτα δεικνύοντες.

Αἰδοῖα, τὰ ὀρχίδια, παρὰ τὸ αἰδῶ· καὶ γὰρ γυμνῶσαι καὶ Φανερῶσαι ταῦτα αἰδούμεθα· ἢ ἀπὸ τοῦ ἀναβαίνειν ἐπὶ συνουσίᾳ ὀργῶντα. ἔστιν οὖν ἰωνικὸν οἰδοῖα καὶ τροπῇ τοῦ ο εἰς α αἰδοῖα.

Αἰδοῖος, ὄνομα παράγωγον κτητικόν· πόσοι τύποι τῶν κτητικῶν; δύο· ὅτε εἰς κος καὶ εἰς ος καθαρὸν, ὡς τὸ ἀνθρώπειος, ἀρνεῖος, ἀριστάρχειος, πλατωνικός, δημοσθενικός. Εἰσὶ δὲ αὐτῶν παραλήξεις Η. Τοῦ εἰς κος εἰσὶν αὗται· ἢ γὰρ τῷ ι παραλήγει, ὡς τὸ ἑλληνικὸς, ῥωμαϊκὸς, ἢ τῷ α, ὡς τὸ ῥοδιακός. ἢ τῷ υ ὡς τὸ λυκικα θηλυκὸν [3]) ἀλυκὸς καὶ πλεονασμῷ τοῦ ρ ἀλυκρός· ἢ τῇ ει διΦθόγγῳ, ὡς τὸ ἑκτόρειος, ὁμήρειος· ἢ τῇ αι διΦθόγγῳ, ὡς τὸ ταλαντιαῖος· ἢ τῇ οι διΦθόγγῳ, ὡς τὸ παντοῖος, ἀλλοῖος, οὕτω καὶ αἰδοῖος· ἢ τῇ ει διΦθόγγῳ, ὡς τὸ κεραμεικὸς, βοεικὸς, ἢ τῇ ῳ διΦθόγγῳ, ὡς τὸ πατρῷος, ἡρῷος. Πόσας καταλήξεις ἐπιδέχονται τὰ εἰς ος κτητικὰ, καὶ πόσας παραλήξεις; καὶ τίνα εἰσὶ τὰ ὄντα, καὶ τύπῳ καὶ σημαινομένῳ κτητικά; τίνα μὲν τύπῳ κτητικά, σημαινομένῳ δὲ οὐκ ἔστιν; ὅθεν τὸ αἰδοῖος ἐκ τοῦ αἰδῶ, ὡς κτητικὰ γέγονε [4]), κατὰ τροπὴν Αἰολικὴν τῆς ῳ διΦθόγγου εἰς οι. Ἐκεῖνα εἰσὶ τῷ τύπῳ καὶ σημαινομένῳ κτητικὰ, ὅσα εἰς τὰ γενικὰ τοῦ πρωτοτύπου ἀναλύονται. Οἷον γραμματικὸς ὁ λόγος τοῦ γραμματικοῦ, ἀριστάρχειος βίβλος, ἡ τοῦ Ἀριστάρχου· ὅσα δὲ οὐκ ἀναλύονται εἰς τὴν πρωτότυπον γενικὴν, ταῦτα τῷ μὲν τύπῳ εἰσὶ κτητικὰ, καθότι τὰ εἰς κος τῷ ι παραλήγεται, τῷ δὲ σημαινομένῳ οὐκ εἰσὶ κτητικά. ὀΦθαλμικὸν γὰρ ἰατρὸν οὐ τὸν ὀΦθαλμὸν λέγομεν, ἀλλὰ τὸν ὀΦθαλμὸν ἰατρεύοντα [5]). Ὁμοίως καὶ ἡπατικὸν ἄῤῥωστον, οὐ τὸν τοῦ ἥπατος λέγομεν, ἀλλὰ τὸν τὸ ἧπαρ ἀλγοῦντα. εἴδη δὲ τοῦ κτητικοῦ τρία, οἰκειωματικὸν, συνεκΦαντικὸν, μετουσιαστικόν. Καὶ οἰκειωματικὸν μὲν τὸ οἰκείωσιν ἔχον πρὸς τόπον, οἷον, οὐράνιος, θαλάσσιος, ἐπίγειος, κύπριος, ῥόδιος. ΣυνεκΦαντικόν ἐστι, τὸ συνεκΦαῖνόν τι μεθ' ἑαυτοῦ, οἷον, γραμματικὸς, συνεκΦαίνει γὰρ τὴν γραμματικὴν, ἀστρονόμος, συνεκΦαίνει γὰρ τὴν ἀστρονομίαν. Μετουσιαστικὸν δέ ἐστι τὸ μετέχον οὐσίαν τινὸς, οἷον κέδρινος, δερμάτινος, χάλκειος, χρύσειος.

Αἰθαλόεν τὸ ἐπίθετον καὶ ἐπὶ μελάθρου· αὐτῇ δ' αἰθαλόεντος ὑπὲρ μεγάλοιο μελάθρων [6]). καὶ ἐπὶ στοᾶς· παρὰ τὸ αἰθάλη ἀπὸ τοῦ καιομένου πυρός· οἱ γὰρ παλαιοὶ οὐκ ἐχρῶντο ἐλαίῳ καὶ λύχνῳ, ἀλλὰ ξύλοις. Καὶ Ὅμηρος· νήησαν ξύλα πολλὰ, Φόως τε μὲν, ἠδὲ θέρεσθαι [7]). Διὸς σῆμα ἐν τῷ Ὀδυσσ. χρύσεον λύχνον ἔχουσα [8]).

Αἰδῶ, ὄνομα θηλυκὸν, πτώσει αἰτιατικῇ· σημαίνει δὲ τὴν ἐντροπὴν, ὡς τὸ, αἰδεῖταί τις τὸν πατέρα, σεβασμίως πρὸς αὐτὸν διακείμενος· αἰσχύνεταί τις, ἐΦ' οἷς κατὰ συνήθειαν ἁμαρτάνει· καὶ αἰσχύνεταί τις μεθυσκόμενος.

Αἰδὼς, καὶ αἰσχύνη διαΦέρουσι· αἰδὼς μὲν ἐντροπὴ πρὸς ἕκαστον σεβασμίως ἔχειν· αἰσχύνεται δὲ, ἐΦ' οἷς ἕκαστος ἁμαρτάνων αἰσχύνεται, ὡς μηδέ τι πράξας· καὶ αἰδεῖται μέν τις τὸν πατέρα, αἰσχύνεται δέ τις μεθυσκόμενος. Διαστέλλων δὲ τοῦτο Ἀριστόξενος ὁ μουσικός Φησι γοῦν διαΦορὰν τήνδε νομιστέον αἰδοῦς τε καὶ αἰσχύνης· ὅτι ἡ μὲν αἰδὼς πρὸς ἡληκίαν [9]), πρὸς ἀρετὴν, πρὸς ἐμπορίαν, πρὸς εὐδοξίαν· ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι πρὸς ἕκαστον τῶν εἰρημένων ὑπεροχῶν προσέρχεται οὕτω διακείμενος, οὐ δύναται ἡμαρτηκέναι τις, ἀλλὰ σέβεσθαι καὶ τιμᾶν τὰς προειρημένας ὑπεροχάς. ἡ δὲ αἰσχύνη πρῶτον μὲν πρὸς πάντα ἄνθρωπον· ἔπειτα δὲ τοῖς νομιζομένοις αἰσχροῖς· εἰς τὸ ἀναιδής· καὶ εἰς τὸ Φόβος.

Αἰεὶ, ἀεὶ, διὰ παντός· τὰ εἰς η λήγοντα [10]) ἐπιῤῥήματα, εἰ μὲν καθαρὰ, ἢ διπλῷ παραλήγει, διὰ τῆς ει διΦθόγγου γράΦεται, οἷον, αὐτοβοεὶ, ἀντὶ τοῦ παραχρῆμα, αὐτοθεεὶ, αὐτολεξεὶ, αὐτοψεί. Τὰ δὲ εἰς ι δισσύλλαβα ὀξυνόμενά εἰσι· σεσημείωται τὸ ἀγρεὶ καὶ τὸ ἐκεῖ, ὅπερ ἔστιν ἐξ ἀποκοπῆς.

Αἰὲν, σημαίνει τὸ διηνεκῶς. ἔστι δὲ ἐπίῤῥημα χρόνου δηλωτικόν· ποιητικὸν δέ ἐστι. γίνεται ἀεὶ, αἰὲν, αἰεὶ, ἀεί [11]).

Αἰζηὸς ὁ νεανίας· παρὰ τὸ αἷμα ζέειν ἐν αὐτῷ· τὸ ζη η διὰ τί; ἐκ τοῦ ἐτυμολόγου· παρὰ γὰρ [12]) τὸ ἀεὶ γίνεται καὶ ζέω, ὁ ἀεὶ ζέων καὶ ἀκμάζων πρὸς τὴν ἡλικίαν γίνεται αἰζεὸς, κατὰ κρᾶσιν [13]) τοῦ ε εἰς η αἰζηὸς, ἢ παρὰ τὸ αἷμα ζωτικὸν μᾶλλον ἔχειν.

Αἰζηοὶ νεανίαι θαλεροὶ καὶ ἀκμαῖοι· παρὰ τὸ θάλλειν, ὅ ἐστιν αὔξειν τῇ ἡλικίᾳ· ἢ παρὰ τὸ ζέειν τῇ νεότητι.

Αἰάζω, τὸ στενάζω, βοῶ καὶ ἀναβοῶ· οὗ ὁ μέλλων αἰάσω.

Αἴης, γαίης, παρὰ τὸ αὔω, τὸ ξηραίνω, αὔη καὶ τροπῇ τοῦ υ εἰς ι γίνεται αἴη, ἡ γενικὴ αἴης, γῆς.

Αἰειγενέτησιν, δοτικὴ, ἡ εὐθεῖα, αἰειγενέτης· τὸ νε ψιλὸν διὰ τί; τὰ διὰ τοῦ ετης ἀρσενικὰ βαρύτονα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα διὰ τοῦ ε ψιλοῦ γράΦεται, οἷον, μητιετὴς, λογοθετὴς, πλὴν τοῦ προσαιτὴς, εὐχαιτὴς, ὁ καλλόθριξ ἵππος.

Αἰθάλη, παρὰ τὸ αἴθω τὸ καίω· αἰθάλη δε σποδὸς τοῦ πυρός. Αἰθαλήεις τὸ λιγνυῶδες.

Αἶθε εἰς τὸ εἴθε.

Αἴθειν, εἰς τὸ θεός.

Αἰθὴρ ὁ ἀὴρ, παρὰ τὸ αἴθεσθαι· πυρώδης γάρ ἐστιν.

---

1) πολλὰ — ὀνόματα (Sic) superflua videntur. 2) Il. III, 322. 3) λυκικα θηλυκον Sic) cf. Etym. M. v. Αἰδοῖος. 4) αἰδῶ — γέγονε (Sic) Leg. ex Etym. M. ἐκ τοῦ αἰδῶος κτητικοῦ γίνεται. 5) ὀΦθαλμικὸν — ἰατρεύοντα (Sic) cf. Etym. M. 6) αὐτῇ — μελάθρων (Sic) Corrige ex Od. XXII, 239. 7) (Sic) corrige ex Od. XIX, 64. 8) Διὸς — ἔχουσα (Sic) respicit Od. XIX, 34. Fors. leg. διὸ καὶ Ἀθηνᾶ ἐν τῇ Ὀδυσσ. [illegible] ἔχε. 9) ἡληκίαν (Sic) L. ἡλικ. quid si [illegible] 10) F. [illegible] 11) ἀεὶ — ἀεὶ (Sic). 12) ἐκ — παρὰ γὰρ (Sic) cf. Etym. M. h. v. 13) (Sic) F. κατ' [illegible]

Αἴθουσα ἡ στοὰ, παρὰ τὸ αἴθεσθαι ὅ ἐστι καίεσθαι. Ζεὺς αὐτός φησιν [1]) ὑπὲρ τῆς τοῦ ἡλίου καύσεως.

Αἴθριπτος, ὁ ταχὺς, παρὰ τὸ ἵπτασθαι ἐν τῷ αἰθέρι.

Αἰθιόπιον, παρὰ τὸ αἰθίοψ, τοῦτο παρὰ τὸ αἴθω τὸ καίω.

Αἶθρος τὸ κρύος τὸ ὀρθρινὸν, εἴρηται δὲ παρὰ τὸν αἰθέρα.

Αἰθίοψ, ὁ μέλας. οἱονεὶ εἰς ὄψιν ὢν θείας δόξης, ἣν ὀπτάνεται τοῦ ἐν Ἐδὲμ παραδείσου. Τὴν δὲ διαγωγὴν 10 καὶ τὴν πολιτείαν τῶν πραγμάτων κέκτηται οἵτινες εἰσὶν οἱ ἅγιοι μάκαρες. Οὐδὲν ὑπάρχει αὐτοῖς πρὸς διαγωγὴν, ἀλλ' οὐρανὸς σκέπει, στρωμνὴ ὕλη, τράπεζα ἡ γῆ, ἀκρόδρυα εἰς βρῶσιν αὐτοῖς. Καὶ τρυφὴ, εὐχαὶ καὶ ὕμνοι εἰς θεὸν γινόμενοι. Ὁ αὐτὸς αἰθίοψ περιστόχειλος, χαλαστόδοντος, εὐροστόμυχος, τολμηρὸς, ἔμψυχος, δειλὸς ἐν καύματι, ἀνεπιθύμητος πολέμου· ἐπιθυμητὴς δὲ μᾶλλον καθεύδειν ἐν τῇ ἰδίᾳ γαίᾳ, καὶ ἀπολαύειν τῶν ἑαυτῆς παγκοσμίων ἀρωμάτων.

Αἴθουσαι, αἱ ὑπὸ τοῦ ἡλίου καταυγαζόμεναι στοαὶ, 20 παρὰ τὸ αἴθεσθαι, ὅ ἐστι καίεσθαι καὶ φλέγεσθαι.

Αἴκεν, ἐάν. ὁ εἰ σύνδεσμος συναπτικὸς κατὰ τροπὴν τοῦ ε εἰς α. Οἱ γὰρ Δωριεῖς τὸ ε εἰς α τρέπουσι· τὸ γὰρ εἴθε, αἴθε λέγουσιν, ἄρτεμις, ἄρταμις λέγουσιν· οὕτω καὶ τοῦτο πλεονασμῷ τοῦ ι.

Αἴκεν πως, ἐάν πως, ἐκ τοῦ εἴκεν αἴκεν, ἡ ει δίφθογγος εἰς αι, ὡς ἀνώγειον καὶ ἀνώγαιον, κατώγειον καὶ κατώγαιον, τὸ δὲ πῶς ἐπίρρημα πειστικόν [2]) ἐστι καὶ . . . . .

Αἰκία, ἡ τρῶσις· καὶ ὑβρισσώμετα [3]).

Ἄϊπνον, τὸ δεῖπνον. 30

Αἶκε πεισθητικόν.

Αἰκίζω οἱ μὲν ἀπὸ τοῦ ἀεικὴς, ὃ σημαίνει τὸν σκληρὸν καὶ ἀπότομον· γίνεται δὲ ἐκ τοῦ ἀεικίζω, καὶ γὰρ τὸ ει δίφθογγος [4]), ἐκλείψει οὖν τοῦ ε καὶ συναιρέσει τοῦ α ι εἰς τὴν αι δίφθογγον αἰκίζω. Ὅμηρος, ἀεικίσσωσι δὲ νεκρόν.

Ἀεικὲς, ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ μετὰ τοῦ στερητικοῦ α· ὁ μὴ εἴκων τινί.

Αἰκήσας κοσμήσας η. Αἰκίσας δὲ μάστιξας, ι.

Αἴλουρος, παρὰ τὸ αἰόλλειν τὴν οὐράν, ὅ ἐστι κινεῖν 40 καὶ ἀνάγειν· καὶ εἰς τὸ αἰολόπωλος καὶ κορυθαίολος.

Ἀριστία, εἰς θεὸν εὐχαριστία.

Αἷμα δύο πάθη ἀνεδέξατο, ἔνδειαν καὶ μετάθεσιν τοῦ πνεύματος. Καθ' ὅλον γὰρ ἡ γ συζυγία, ἐν τοῖς ῥηματικοῖς ὀνόμασι τὸ σ γεννᾷ· πείθω, πεῖσμα, κλώθω, κλῶσμα, ᾄδω, ᾆσμα· οὕτως οὖν ἔδει καὶ παρὰ τὸ αἴθω αἶσμα. Καὶ μεταθέσει τοῦ πνεύματος, ἡ γὰρ αι δίφθογγος πρὸ μὲν ἄλλου συμφώνου ψιλοῦται, πρὸ δὲ τοῦ μ δασύνεται.

Αἷμα τὸ θερμότατον τὸ ἐν τῷ σώματι. αἷμα καὶ λύθρον [5]) τὸ αὐτό. Παρὰ τὸ ἅμμα καὶ σύνδεσμά τι εἶναι τοῦ ὅλου σώματος. Καὶ ὁ Ἐμπαιδοκλῆς [6]) αἷμα γὰρ ἀνθρώπῳ ποιῆσαι [7]), περικάρδιον νόημα τοῦ ἀνθρώπου [8]) λέγει αὐτό. 50

Αἷμα, διὰ τὸ σῶμα· ὅπου γὰρ σῶμα, πάντως καὶ αἷμα.

Αἷμα, παρὰ τὸ ἀναδίδοσθαι.

Αἱμασία, τὸ ἐκ χαλίκων [9]) ᾠκοδομημένον τειχίον· κυρίως δὲ αἱμασία λέγεται φραγμὸς ἠκανθωμένος, γίνεται δὲ παρὰ τὸ αἱμάττεσθαι τοὺς δι' αὐτοῦ διερχομένους· τὸ δὲ αἱμάττω συντάσσεται πτώσει αἰτιατικῇ.

Αἱματόεσσα, αἱματώδης· ὁ κανὼν· πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη, τρέπουσα τὸ τέλος τῆς γενικῆς εἰς δ καὶ τὴν παραλήγουσαν [10]). Τὸ ἀρσενικὸν ὁ αἱματόεις· τὸ το μικρὸν διὰ τί [11]); Τὰ εἰς εις πόσας παραλήξεις ἐπιδέχονται; γ. Τὰ γὰρ εἰς εις ὀνόματα μετουσιαστικὰ πλεονασμῷ τῆς τοῦ πρωτοτύπου γενικῆς συλλαβὴν βαρύνει, καὶ ἢ τῷ η παραλήγεται, ἢ τῷ ο. σπανίως δὲ, τῷ ω· ὅτι ἔκτασίς ἐστι. οἷον τὸ εὐρώεις, κηώεις, ἐρώεις· καὶ τῷ μὲν ο οἷον, αἱματόεις, τιμόεις, σκιόεις. οὔρεά τε σκιόεντα. τῷ η, οἷον φθογγήεις καὶ θυήεις· βωμός τε θυήεις καὶ τὰ ὅμοια, κατὰ τροπὴν ἐγένοντο τοῦ ο εἰς η. Ἔστι γῦον καὶ σημαίνει τὸ μέλος, καὶ ἐξ αὐτοῦ γυόεις καὶ τροπῇ τοῦ ο εἰς η, γυήεις καὶ ἀμφιγυήεις. Καὶ ἔστι θύον καὶ σημαίνει μυρεψικὸν ἄνθος, ἡ βοτάνη καὶ γίνεται ἐξ αὐτοῦ θυόεις, καὶ τροπῇ τοῦ ο εἰς η θυήεις. Τὸ δὲ αἱματόεις ἔστι μετουσιαστικὸν, μετέχει γάρ. Ταῦτα δὲ τὰ εἰς εις ἅπαντα μετουσιαστικά εἰσι. Καὶ ἔστι καὶ ἰόεις· τοῦτο εἰ γράφεται διὰ τοῦ ι, ἔστιν ὁ μετέχων τοῦ ἴου. εἰ δὲ γράφεται διὰ τοῦ η, γίνεται ἀπὸ τοῦ ἠὼν ὃ σημαίνει τὸν αἰγιαλὸν, ἡ γενικὴ ἠῶνος, ἐξ αὐτοῦ ἠνόεις [12]) καὶ ἐν συγκοπῇ ἠόεις. Ἔστι δὲ καὶ κητόεις διὰ τοῦ η, γίνεται ἐκ τοῦ κότος, κοτόεις καὶ κητόεις.

Αἱμύνον [13]), τὸ αἱμοδόχον ἀγγεῖον.

Αἱμοδεῖν, σημαίνει τὸ τοὺς ὀδόντας ὀδυνᾶσθαι μετὰ τοῦ κνησμοῦ, ὡς καὶ αἱμάσσεσθαι, παρὰ τὸ αἷμα, ἐξ οὗ αἱμοδία, ἡ τῶν ὀδόντων ὀδύνη· αἱμοδία δὲ λέγεται ἡ τῶν ὀδόντων νάρκη.

Αἵμυλος ἔμπυρος, συνεστὸς [14]) κολακευτικὸς παρὰ τὸ δαίω τὸ μανθάνω. δαίμων, ἀποβολῇ τοῦ δ αἵμων· αἵμονα θήρας, τουτέστιν εὐδήμονα· ὑποκοριστικὸν τοῦ αἵμων αἵμολος, οὗ τὸ κτητικὸν αἱμύλιος. Καὶ Ἡσίοδος, αἱμυλίοισι λόγοισιν, ὅ ἐστι κολακευτικοῖς. ἢ παρὰ τὸ δαῆναι, δαίμων καὶ ἀποβολῇ τοῦ δ αἵμων, τούτου τὸ ὑποκοριστικὸν αἵμυλος, ὅ ἐστιν ἔμπειρος πρὸς τὴν Ἀρέθου Κρήνην ἐν Ἰθάκῃ δὲ καὶ ἐν Σικελίᾳ.

Αἰνείας ὁ ἥρως, υἱὸς Ἀγχίσου, παρὰ τὸ αἰνὸν τὸ δεινόν.

Αἰνὸς ὁ φοβερὸς, ἢ πονηρὸς ἢ κακός· ἀφ' οὗ αἰνόθεν καὶ αἰνῶς, καὶ αἰνότατος. παρὰ τὸ δεινός· τροπῇ τοῦ ε εἰς α, καὶ ἀποβολῇ τοῦ δ, ἢ παρὰ τὸ δαΐς, τὸ σημαῖνον τὴν μάχην, γέγονε δάϊνος, καὶ ἀφαιρέσει τοῦ δ αἰνὸς ὁ μάχιμος κατὰ συναίρεσιν.

Αἴνυμαι, τὸ ἀφαιρῶ τὸ λαμβάνω. Ὅμηρος· ἐξαίνυτο καμπύλα τόξα. Καὶ αἰνύμενος καὶ ἀπαινύμενος· παρὰ τὸ αἰρῶ αἰρνῶ, ὡς περῶ περνῶ, ἀφ' οὗ καὶ περνάσαι· νήσων ἐπὶ τηλεδαπάων· παράγωγον αἴρνυμι, καὶ αἴρνυμαι, καὶ ἀποβολῇ τοῦ ρ, αἴνυμαι.

Αἶνος, ὁ ἔπαινος, παρὰ τὸ ἰαίνω, ἀποβολῇ τοῦ ι. ἴαινος γὰρ ἐστὶ καὶ αἶνος. παρὰ τὸ διαχέειν καὶ χαίρειν τὴν ψυχήν· τοῦτο δύναται καὶ ἐπὶ τοῦ μυθώδους καὶ

---

1) Ζεὺς — φησιν (Sic) vere male. 2) (Sic.) 3) ἡ τρῶσις — ὑβρισσώμετα (Sic.) 4) καὶ γὰρ — δίφθογ. (Sic.) 5) Il. VI. 268. 6) Ἐμπαιδ. (Sic) cf. Etym. M. p. 667. l. 7. 7) ἀνθρώπῳ ποιῆσαι (Sic) lege ἀνθρώποισι. V. Etym. 8) τοῦ ἀνθρώπου (Sic, addidamentum ex male scripto nomine ἀνθρώποισι ortum.

9) (Sic.) 10) εἰς δ — παραλήγουσαν (Sic) male; reliqua canonis deficiunt. V. Etym. M. h. v. vid. infra v. εἰς. 11) τὸ το — διὰ τί (Sic), verum ratio omissa est. 12) ἠνόεις (Sic) 13) (Sic.) 14) ἔμπυρος, συνεστὸς (Sic) cf. Etym. M. h. v.

παροιμιακοῦ λόγου· ἰαινόμεθα γὰρ τῇ διηγήσει τῶν τοιούτων λόγων.

Αἴμων, ὁ ἔμπειρος, παρὰ τὸ δαίω τὸ διδάσκω, δαίμων καὶ αἴμων· καὶ εἰς τὸ Ἀπόλλων καὶ Λακεδαίμων.

Αἴνιγμα ἡ παραβολὴ καὶ ὁ σκοτεινὸς λόγος [1]· ἐκ τοῦ αἰνίσσω τὸ ἐν παραβολῇ λέγω. Τὸ αι δίφθογγος, ἐκ τοῦ αἰνὸς ὃ σημαίνει τὸν δεινὸν καὶ φοβερόν. Τοῦτο ἐκ τοῦ δεινὸς, αἰνός. Οἱ γὰρ Ἴωνες ἡνίκα ὕφεσιν ποιήσωνται τοῦ συμφώνου, τότε καὶ τὸ παραλῆγον φωνῆεν τρέπουσιν εἰς α· οἷον, δεινὸς, αἰνὸς, μέχρις, ἄχρις· εἰ δὲ σημαίνει τὸ ἐπιπλήσσω τὸ ε ψιλόν.

Αἶνος, ὁ ἔπαινος, ἐκ τῶν δημιουργημάτων ἤτοι κατορθωμάτων μνημονευόμενος. εὐκτικὸς λόγος· ἤτοι παρακλητικὸς λόγος. Ἔστι πόλις ἐξ οὗ καὶ Αἴνιοι.

Αἶνος, ὁ μῦθος, παρὰ τὸ ἰαίνω τὸ διαχέω καὶ τέρπω. ἰαίεντο δὲ φρένας εἴσω. ἴαινος καὶ ἀφαιρέσει τοῦ ι, αἰνὸς, ὁ τὴν διάνοιαν περιτέρπων· καὶ ἀπὸ τοῦ αἰνῶ καὶ συναινῶ.

Αἶνος, καὶ παροιμία διαφέρει. ὁ μὲν γὰρ αἶνος ἐστι λόγος, κατ' ἀναπόλησιν μυθικήν· ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἀνθρώπους εἰρημένος· οἷον, ἀπὸ μὲν ἀλόγων ζώων, ὥσπερ ὁ Ἀρχίλοχος, αἶνός τις ἀνθρώπων, ὡς ἄρ' ἀλώπηξ, ἢ ἀετὸς, ξυνωνίαν ἔθεντο. καὶ ἄλλως· τὸ δὲ ἄρ' ἀλώπηξ κερδαλέη συνῆντο τὸ πυκνὸν ἔχουσα νόον [2]. Καὶ Ἡσίοδος: νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω νοέουσι καὶ αὐτοῖς, ὡς δ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον [3]· ἀπὸ δὲ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ· ἄκουε δὲ τὸν αἶνον. ἔγκονται τμώλῳ δάφνην ἐλαίη εἶκος· οἱ πάλαι λυδοὶ λέγουσι θέσθαι [4]· καὶ ἐστιν αἶνος ἐξηπλωμένη παροιμία. καὶ μετὰ διηγήσεως ἀπαρτίζουσα τὸ νοούμενον, πρὸς παραμυθίας τε καὶ ὠφελείας τῶν ἀνθρώπων. παροιμία δὲ τὴν ἀπὸ τοῦ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει ἐνδέουσαν τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδεχομένην μετάφασιν· οἷον μὲν ε βοῦς ποτὲ βοτανις· καὶ κισσὸς μετ' ἀνθεστήρια [5].

Αἰνὴ καὶ πρῆστις ζῶα θαλάσσια.

Αἴνεσις παρὰ τὸ αἰνῶ αἰνέσω· τοῦτο παρὰ τὸ αἶνος· τοῦτο παρὰ τὸ ἰαίνω [6], ὁ μέλλων ἰανῶ, καὶ ἐξ αὐτοῦ ἴανος, καὶ ἐν ὑπερβιβασμῷ καὶ κράσει αἶνος. σημαίνει δὲ δύο, ὁπότε μὲν τὸν ἔπαινον· ὡς τὸ, Ἀντιλόχου μέν τοι αἶνος μέλεος εἰρήσεται αἶνος [7]. ποτὲ δὲ γνώμην παραμυθικὴν καὶ παραβεβλημένην πρὸς ὑποκείμενον· αἶνος μέν τοι ἀμύμων ὃν κατέλεξας [8].

Αἴνεσις καὶ αἰνετὸς, ἀπὸ τοῦ αἰνῶ, αἴνεσις. τοῦτο παρὰ τὸ αἶνος· τοῦτο παρὰ τὸ ἰαίνω τὸ εὐφραίνομαι.

Αἶνος παροιμίας διαφέρει. Ὁ μὲν γὰρ αἶνός ἐστι λόγος μυθικὸς ἐκφερόμενος ὑπὸ ἀλόγων ζώων ἢ φυτῶν, πρὸς ἀνθρώπων παραίνεσιν. Παροιμία δὲ τὴν ἀπὸ κεφαλῆς ἐπὶ χεῖρον ἀναφορὰν ἔχει ἐνδέουσαν τοῦ αἴνου.

Αἴνυτο, ἔστι ῥῆμα κτῶ, καὶ σημαίνει τὸ φονεύω, καὶ ὥσπερ παρὰ τὸ βῶ τὸ βαίνω, καὶ [9] κατὰ παραγωγὴν αἰνύω καὶ αἴνυμι, παράγωγον εἰς μι· τὸ παθητικὸν αἴνυμαι, ὁ παρατατικὸς αἰνύμην, καὶ ἐξ αὐτοῦ αἴνυτον· σημαίνει δὲ τὸ ἀφόρητον.

Αἶξ ἡ αἶγα [10], ὄνομα θηλυκὸν, παρὰ τὸ αἴσσω τὸ ὁρμῶ, ὁρμητικὸν γὰρ τὸ ζῶον αἴξ· πέπονθε δὲ τὸ [11] ὄνομα γέγονεν αἶξ. οὕτω καὶ τὸ θρᾷξ. Οὐδὲν εἰς ξ περισπᾶται. τὸ τοίνυν αἶξ ὀξύνεται, τὸ δὲ θρᾷξ περισπᾶται, καὶ τὸ ταῦξ καὶ τὸ γλαῦξ. Πάντων δὲ τῶν εἰς ξ ληγόντων ὀνομάτων, τοῦτο μόνον διὰ τὸ γ κλίνεται.

Αἶξ αἰγὸς, αἰγῶν ὁ τύπος, πᾶσα εὐθεῖα ἔχουσα τὸ σύμφωνον τοῦ μέλλοντος, ὀφείλει ἔχειν ἐν τῇ γενικῇ τὸ σύμφωνον τοῦ παρακειμένου, καὶ τοῦ μέσου π.....

Αἶξ αἰγὸς, ὁ κανὼν, τὰ εἰς ξ μονοσύλλαβα, ἔχοντα πρὸ τοῦ ξ δίφθογγον, ἀρχόμενα ἀπὸ συμφώνου διὰ τοῦ κ κλίνεται. οἷον γλαῦξ, γλαυκὸς, θρᾷξ, θρακός. Τὸ δὲ αἴξ, ἐπειδὴ ἀπὸ φωνήεντος μόνου ἤρξατο διὰ τοῦ γ κλίνεται.

Ἀΐξας ὁρμήσας, ὁ παρατατικὸς ἤϊσθον, καὶ οὔτε χρονικῶς αὐτὸ ηὔξαται, οὔτε συλλαβικῶς, τὸ γὰρ αἴσσω πάντοτε ὁ ποιητὴς μακρὸν ἔχει. ἀΐξασα πηδήσασα. τὸ α φύσει ἐστὶ μακρὸν, τὸ δὲ ι θέσει.

Αἰξωνεύεσθαι, σημαίνει τὸ κατηγορεῖν. βλάσφημοι γὰρ οἱ Αἰξωνοὶ, δῆμος γὰρ αἰξωνὴ τῆς κεκροπίδος αὐλῆς.

Αἰόλλω εἰς τὸ αἴλουρος, καὶ αἴτιος καὶ κορυθαίολος.

Αἴολος, ὁ ποικίλος. Αἴολος ὄνομα κύριον· ἐπίθετον [12]. παρὰ τὸ αἴειν ὃ δηλοῖ τὴν ἐνυπόστατον κίνησιν. ἔνθεν ἄειν, αἴειν τὸ ὁρμᾷν καὶ αἴσσειν.

Αἴολος, ὄφις.

Αἰολόπωλος, σημαίνει τὸν ταχὺν καὶ εὐκίνητον ἵππον. διὰ τί προπαροξύνεται, ἐπειδὴ τὰ εἰς ος δισσύλλαβα προπερισπώμενα ἐν τῇ συνθέσει προπαροξύνονται. οἷον οἶκος ἄοικος, κοῦρος ἐπίκουρος, οὕτω καὶ πῶλος αἰολόπωλος. τὸ πω μεγα [13] διὰ τί; παρὰ τὸ ἐν τῇ πόᾳ ἄλλεσθαι, πόαλος καὶ πῶλος. γίνεται δὲ ἐκ τοῦ αἰόλλω, ὃ σημαίνει τὸ κινῶ, καὶ τοῦ πωλῶ [14]. ἐκ δὲ αἰόλλω αἴλουρος, παρὰ τὸ αἰόλλειν τὴν οὐρὰν, δολερὸν γὰρ τὸ ζῶον.

Αἰπόλιον, ἐκ τοῦ αἴξ αἰγὸς, καὶ τοῦ πολῶ, τὸ ἀναστρέφομαι καὶ ἐνάγειν γίνεται, αἰγοπολίνιος, καὶ ἐν συγκοπῇ αἰπόλινος [15], καὶ σημαίνει τὸ ποίμνιον τὸ πλῆθος τῶν προβάτων. Διαφέρει δὲ αἰπόλιον ποιμνίου. τὸ μὲν αἰπόλιον σημαίνει τῶν αἰγῶν τὸ πλῆθος, τὸ δὲ ποίμνιον τῶν προβάτων.

Αἰπόλος, ποιμὴν αἰγῶν, ἐκ τοῦ αἶξ αἰγὸς, καὶ τοῦ πολῶ τὸ ἀναστρέφομαι, γίνεται αἰγοπόλος, καὶ κατὰ συγκοπὴν αἰπόλος. Καὶ διὰ τί οὐκ ἀναβιβάζει τὸν τόνον; τὰ δὲ σύνθετα ὁμοίως τοῖς [16] ἁπλοῖς κλίνονται, οἷον ὀνειροπόλος, θυηπόλος, μυστηπόλος. Προσκεῖται μετὰ προθέσεως διὰ τὸ ἀμφίπολις, πρόπολις [17].

Αἰπὺς ὁ χαλεπὸς καὶ σκληρὸς, παρὰ τὸ αἶπος ἀκρωτήριον τὸ τραχύ.

Αἰπεινὸς, διφθόγγῳ, ἴσως γὰρ παρὰ τὴν ἐπεὶ [18] δοτικήν. Οὕτως ἔχει καὶ τὸ ὀρεινὸς καὶ φαεινός. Καὶ οἱ Αἰολεῖς ὀρενὸς καὶ φαενός. Ἄλλως, τὰ παρ' ὀνόματος γινόμενα ὀξύτονα, εἰ μὴ ἐπὶ καιροῦ παράκεινται, διὰ διφθόγγου γράφεται. οἷον βορεινὸς, ἐλεεινὸς,

1) ἡ παραβολὴ — λόγος cf. Etym. M. v. παραβολή. 2) ὥσπερ ὁ — νόον (Sic) Sed cf. Barn. ad Od. XIV. 508. 3) Ἔργ. 202. 203. 4) ἔγκονται — θέσθαι (Sic) Vid. Bentlej. ad Callim. Fragm. 93. 5) μὲν ε βοῦς — ἀνθεστήρια (Sic.) 6) Αἴνεσις — τὸ ἰαίνω. Haec verba in Mscr. erant omissa. Supplevi ex Etym. M. v. αἴνεσις. 7) Ἀντιλόχου — αἶνος. Versus Homeri corruptus restituendus ex Il. XXIII. 795. 8) αἶνος — κατέλεξας. Od. XIV, 508. ibique Schol. et Barn. 9) βαίνω — καὶ (Sic) verba post βαίνω omissa sunt quaedam, restituenda ex Etym. M. h. v. 10) (Sic.) 11) Sic. 12) ὄνομα — ἐπίθετον (Sic) cf. Etym. M. 13) (Sic.) 14) (Sic) L. πῶλος. 15) ἐνάγειν — αἰπόλινος (Sic) male. 16) τὸν τόνον — ὁμοίως (Sic, cf. Etym. M. 17) προσκεῖται — πρόπολις (Sic) male. 18) ἐπεὶ Lege αἰπεῖ sed cf. articulum sequentem.

ἐρώτειος. Τό μέντοι ἀληθινὸς, φυζακινὸς, ῥαδινὸς, πεδινὸς, ἐρινὸς, χαλινὸς, κελαρινὸς, διὰ τοῦ ι ἐκτεταμένου γράφεται.

Αἰπεινὸς, ὕψηλος παρὰ τὸ ἔπος, ὅπερ ἐπὶ μὲν τῆς σημασίας τοῦ ὕψους διὰ τῆς αι διφθόγγου, ἐπὶ δὲ λόγου, διὰ τοῦ ε ψιλοῦ.

Αἰπὰ ῥέεθρα, παρὰ τὸ αἰπέα, καὶ ἐν συγκοπῇ αἰπᾶ, ὅθεν τὸ α βραχύ. Αἰπὰ οὖν ῥέεθρα τὰ δύσβατα, ἀπὸ μεταφορᾶς τῶν ἀκρωτηρίων. Αἶπος γὰρ τὸ ἀκρωτήριον.

Αἰπεία, ει καὶ πάντα τὰ, παρεσχηματισμένα τοῖς ἀρσενικοῖς, ὡς ταχεία, βραδεία, ἡδεία, διὰ τῆς γενικῆς αἰπέος, βραδέος, ταχέος. διδάσκουσι δὲ καὶ διάλεκτοι, ταχῆας γὰρ λέγουσι καὶ βαρῆας διὰ τοῦ η.

Αἰπόλος, παρὰ τὸ αἰγοπόλος· ἤγουν αἶγας βόσκων· ἢ ὁ περὶ τὰ αἴπη εἱλούμενα, ἅ εἰσιν ὄρη, ἢ ὁ περὶ τὰς αἶγας ἀναστρεφόμενος, καὶ συμπαραλαμβανόμενος, ἔξωθεν δὲ καί τοι προβασία.

Αἶρα, ἡ σφαῖρα· παρὰ τὸ ῥαίω, τὸ φθείρω, ῥαῖα καὶ ἐν ὑπερθέσει αἶρα. Καλλίμαχος [1]), αἰράων ἔργα διδασκόμεθα. παρὰ τὸ ῥαίω τὸ φθείρω, κατὰ Δωριέας φθαιρῶ, φθαῖρα καὶ ἀποβολῇ τοῦ φθ [2]), καὶ προσθέσει τοῦ σ. καὶ αἱρῶ τὸ νικῶ, ἐξ οὗ καὶ τὸ οὐχ αἱρήσεις τὸ οὐ νικήσεις.

Αἶρα, τὸ ζιζάνιον παρὰ τὸ αἵρεσθαι ἐκ τοῦ σίτου καὶ διαχωρίζεσθαι, ἢ παρὰ τὸ ῥαίω τὸ φθείρω.

Αἱρεῖτο ὡς τὸ αἱρῶ τὸ καταβάλλω. αἱρεῖσθαι εἰς τὸ ἀπορεῖσθαι.

Αἱρετὰ, ἀρετὴ ἐπίλεκτος. αἱρετὰ, αἱρῶ τὸ καταβάλλω καὶ πορθῶ.

Αἱρήσειν, πορθήσειν· ἀπὸ τοῦ ἀλῶ, ὃ σημαίνει τὸ πορθῶ, πλεονασμῷ τοῦ ι, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον.

Αἱρῶ, ὁ μέλλων αἱρήσω· τὸ ἀπαρέμφατον αἱρήσειν σὺν τῇ πτώσει αἰτιατικῇ. σημαίνει δὲ καὶ τὸ προαιροῦμαι πτώσει αἰτιατικῇ συντάσσεται. σημαίνει δὲ τὸ διαχωρίζω, ἐξ οὗ καὶ τὸ διαιρῶ, συντάσσεται δὲ πτώσει γενικῇ, καὶ αἱρῶ τὸ καταλαμβάνω μετὰ αἰτιατικῇ, μήδε σε λήθη αἱρείτω· ταῦτα τὰ δ περισπῶνται· αἴρω δὲ τὸ κουφίζω, καὶ αἴρω τὸ προσφέρω, ἐξ οὗ καὶ ἄρτος βαρύτονον. τὸ κουφίζω συντάσσεται μετὰ αἰτιατικῇ, τὸ προσφέρω μετὰ δοτικῇ.

Αἰρόπινον, τὸ ἀραιὸν κόσκινον, παρὰ τὸ τὰς αἴρας ποιεῖν ἀπεῖναι καὶ χωρίζεσθαι. αἶρα δὲ σπερματώδης, ἐκ παραφορᾶς τοῦ σίτου.

Αἰρόπινον, τὸ κόσκηνον [3])· πῖνος ὁ ῥύπος, καὶ πιναρὸν τὸ ῥυπαρὸν διὰ γὰρ τὸ αἴρειν τὸν ῥύπον, καλεῖται αἰρόπινον.

Αἱρῶ εἰς τὸ αἱρήσειν.

Αἶσα ἡ ἀεὶ ἴση.

Αἱριτὸς ὁ διὰ πειρίαν, αἵρετος δὲ ὁ δι' ἑαυτὸν ἐπιδέξιος.

Αἴσιμος παρὰ τὸ τὴν αἶσαν· ὡς σπορὰ σπόριμος, ἀλκὴ, ἄλκιμος, αἶσα, αἴσιμος. παρ' Ὅμηρον, πάντα κατ' αἶσαν ἔειπες [4]).

Αἶσα, ἡ μοῖρα καὶ ἡ εἱμαρμένη, παρὰ τὸ δαίω τὸ γινώσκω. δαίσω δαῖσα, ὡς βήσω, βῆσα, καὶ πείθω πεῖσα, ἡ πεισμονὴ, καὶ ἀποβολῇ τοῦ δ αἶσα, ἡ ἑκάστῳ μεριομένη [5]). ἢ παρὰ τὸ ἀεὶ, αἴσση, πάλιν γὰρ ἴσον ἔπεισιν.

Αἴσιον ἀγαθὸν, δεξιὸν, εἰρηνικὸν, γνήσιον, συμφέρον.

Αἶσαν, μοῖραν βίου ἀεὶ οὖσαν· καὶ εἰς τὸ αἰσιμία.

Αἴσθων ὁ αἰσθόμενος.

Αἴσθησις ἡ νόησις, παρὰ τὸ αἰσθῶ· τοῦτο παρὰ τὸ αἴσθω, ὅδ' ἔμβαλε θῦμον αἴσθων· τοῦτο δὲ παρὰ τὸ ἀΐω ὃ σημαίνει τὸ πνέω, καὶ τὸ ἀκούω· καὶ ἐπεκτάσει γίνεται ἄϊσθος, ὡς ἄκουσθος καὶ ἄϊσθος· ὡς ὅρμαθος [6]). ἀφ' οὗ ῥῆμα αἴσθω, ἡ μετοχὴ ὁ αἴσθων.

Αἰσιμία ἡ μαντεία, ἢ τὸ καθῆκον παρὰ τὴν αἶσαν ἢ μοῖραν.

Αἴσιος σημαίνει τὸν ἀκούοντα. γέγονε δὲ ἀπὸ τοῦ ἀΐων, ἄϊος.

Ἀΐσθω σημαίνει δύο, τὸ τε νοῶ ὃ καὶ ψιλοῦται· τὸ τε χαίρομαι. καὶ διὰ τὸ ἦσθα σου τοῖς λόγοις· καὶ ὁ θεολόγος οὐχ ἵνα συνησθῶσι, ἀλλ' ἵνα ἐφησθῶσι.

Αἶστρον εἰς τὸ ἄστρον.

Ἄϊστος, ἄγνωστος, καὶ ἀϊστῶσαι καὶ ἀϊστωθῆναι, καὶ συνθετὰ ἀποΐστός. τοῦτο δὲ ἀπὸ τοῦ ἵστημαι, δωρικῶς ἵσταμαι, ἵστασαι, ἵσταται καὶ ἐξ αὐτοῦ ἱστός. ὅθεν καὶ τὸ ἐπίσταμαι, μετὰ τοῦ στερητικοῦ α ἄϊστος.

Αἴσυλα τὰ σεσυλημένα τῆς αἴσης τουτέστιν ἁμαρτωλὰ ἢ ἐστερημένα τῆς αἴσης οὐ τῆς μοίρας ἀλλὰ τοῦ καθήκοντος.

Αἴσυλος, ὁ ἄδικος καὶ ἁμαρτωλὸς, παρὰ τὸ συλῶ ἄσυλος καὶ πλεονασμῷ τοῦ ι αἴσυλος.

Αἰσυμνητὴρ, ὁ βασιλεὺς, παρὰ τὸ αἰσυμνᾷν, ἢ παρὰ τὸ αἰσύνων μνήμην ποιεῖσθαι. ὁ γὰρ τύραννος τοὐναντίον ἢ αἰσιμομήτης [7]), ὁ αἴσια βουλευόμενος.

Αἴσχιστος, αἰσχρὸς, ἐπονείδιστος, ὄνομα εἴδους τῶν παραγώγων ὑπερθετικῶν, ἐκ τοῦ αἶσχος, ὅπερ ἐκ τοῦ ἴσχω, ἴσχος ὄνομα. καὶ μετὰ τοῦ στερητικοῦ α αἶσχος, καὶ ἐν συναιρέσει αἶσχος, ὃ οὐκ ἄν τις βούλοιτο ἔχειν. σημαίνει τὸ ὄνειδος. καὶ ἐξ αὐτοῦ αἰσχρὸς, αἰσχρότατος, αἰσχρίων καὶ ἐκβολῇ τοῦ ρ, αἰσχίων καὶ αἴσχιστος. ὥσπερ ἔστι μακρὸς μακρότατος, μακρίων καὶ μακίων, καὶ τροπῇ τοῦ α εἰς η μηκίων καὶ μήκιστος, τὸ μὰν δὴ μήκιστον [8]).

Αἰσιμνῆται, οἱ ἐπὶ νίκης λεγόμενοι βραβευταὶ καὶ ἀγωνοθέται, ἤγουν ἐπίσκοποι τοῦ ἀγῶνος, καὶ εἴη ἂν κατὰ τὸ ἕτοιμον αἴσιον νεμεῖται. οἷον [9]) τὸ αἴσιον τουτέστι τὸ κατὰ μοῖραν καὶ καθῆκον ἀπονέμοντες τοῖς ἀγωνιζομένοις.

Αἶσχος παρὰ τὸ α στερητικὸν καὶ τὸ ἴσχειν ὃ σημαίνει τὸ παῦσαι καὶ κωλῦσαι· οἱονεὶ ὥσπερ οὐκ ἔστι ῥαδίως ἴσχειν καὶ παύειν. Αἶσχος ἡ ἁμαρτία, λοιδορία, μῖσος, αἰσχύνης ἄξιον, σαπρία, καὶ μετὰ τοῦ στερητικοῦ α καὶ τὸ ἴσχω γέγονεν αἶσχος.

Αἰσχρὸς παρὰ τὸ αἶσχος, ὃ σημαίνει τὸ ὄνειδος, καὶ ὥσπερ παρὰ τὸ κύδω γέγονε κυδνὸς [10]), οὕτω καὶ παρὰ τὸ αἶσχος γίνεται αἰσχρός. Τὸ δὲ αἶσχος γίνεται ἐκ τοῦ ἔχω, καὶ πλεονασμῷ τοῦ σ ἔσχω καὶ ἴσχω καὶ μετὰ τοῦ στερητικοῦ α αἴσχω, καὶ αἶσχος. οὐκ [11]) ἄν τις βούλοιτ' ἂν ἔχειν. ἢ παρὰ τὸ αἶσχος αἰσχηρὸς, καὶ ἐν συγκοπῇ αἰσχρός.

Αἴσχυλος, ὁ ποιητὴς ὁ τραγῳδοποιός. παρὰ τὸ αἶσχος ὡς σιμμος [12]) σιμυλος, καὶ παρ' Αἰσχύνης αἰσχυνώδης [13]) παρὰ τὸ εἶναι ἀδήμονα.

Αἴτης, ὁ ἐρώμενος, παρὰ τὸ ἄειν ὃ ἔστι πνέειν, ὁ εἰσπνέων, ἔρωτα τῷ ἐραστῇ· Φασὶ γὰρ γενέσθαι τὸν

---

1) Vide Fr. Callim. 120. et interpr. 2) τοῦ φθ. (Sic) L. ἀπ. τοῦ θ. 3) κοσκην (Sic). 4) cf. Il. I. 286. 5) (Sic.) 6) αἴσθος — ὅρμαθος (Sic.) 7) (Sic). 8) τὸ — μήκιστον (Sic). 9) καὶ εἴη — οἷον (Sic). οἷον Lege οἱ. 10) κύδω — κυδνὸς (Sic) L. κύδος γέγονε κύδρος. 11) οὐκ ἄν τις (Sic) L. ὃ οὐκ ἄν etc. 12) (Sic). 13) παρ' Αἰσχ — αἰσχυνώδ. (Sic).

ἔρωτα διὰ τὸ εἰσπνεῖσθαι τὸν ἔρωτα τοῦ ὁρωμένου, ὅθεν καὶ εἰσπνήλας καλοῦσι τοὺς ἐραστὰς οἱ λάκωνες.

Αἰτίας, σημαίνει τὰς ἐρωτικὰς, ὥςπερ ἀπὸ τοῦ ὁ δεσπότης ἀρσενικοῦ, γίνεται τὸ θηλυκὸν διὰ τοῦ ι ἡ δεσποτὶς, οὕτω καὶ αἰτὶς διὰ τοῦ ι, αἴτιδος, καὶ ἐκεῖθεν αἰτίας.

Ἄϊος, ὁ ἄφωνος, οἷον ἄνευ ἰωῆς καὶ φωνῆς, οἱ γὰρ ἐκπεπληγμένοι ἄφωνοι γίνονται.

Αἰτιατικὸς, ἀπὸ τοῦ ἴω τὸ ἔρχομαι, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, αἴω τὸ πάνυ ἔρχομαι, καὶ ἐξ αὐτοῦ αἰτία. καὶ ἐκ τούτου αἰτιάσω καὶ αἰτιατικός.

Αἰτία καὶ ἡ χορδή.

Αἰτία πολλὰ σημαίνει, τὴν εὐθύνην, τὸν τρόπον καὶ τὴν ποίησιν καὶ τὴν ἀλήθειαν· ἐξ ἧς τὸ αἰτιατικὸν γίνεται.

Αἴω ἀκούω καὶ ὁ παρατατικὸς αἶον, ἄϊεν, ἐπηιουεν [1]).

Αἰτεῖν, ἐπὶ τοῦ ἀνταποδοῦναι, τοῦ αἰτεῖσθαι ἐπὶ τοῦ κιχρᾶσθαι [2]).

Αἴτνη, ὄρος Σικελίας, παρὰ τὸ αἴθω τὸ καίω, αἴτλη ὡς φάγω φάτνη, πήσσω πάχνη· φασὶ γὰρ αὐτὸ καπνὸν ἐκεῖθεν ἀναδίδοσθαι.

Αἶτος, εἰς τὸ ἀπρόσιτος.

Αἰτοῦμαι, εἰς τὸ αἰτῶ.

Αἰτῶ καὶ αἰτοῦμαι διαφέρουσι, τὸ μὲν γὰρ αἰτῶ ἐπὶ τὸ εἰς ἅπαξ τι λαβεῖν καὶ ἀναδοῦναι. Τὸ δὲ αἰτοῦμαι ἐπὶ τὸ χρᾶσθαι εἰς ἀπόδοσιν. Μένανδρος ἐν τῷ δυσκόλῳ διαστέλλει τὴν διαφορὰν, οὐ πῦρ γὰρ αἰτῶ, οὐ δὲ λεπάδες αἰτούμενος.

Αἰφνίδιον, παρὰ τὸ ἀφανὲς ἀφανίδιον καὶ ἐν συγκοπῇ αἰφνίδιον.

Αἰφνηδὸν, καὶ λαθρηδὸν, ἦτα. αἰφνιδίως δὲ καὶ λαθριδίως ι.

Αἰχμαλωτεύω ἐκ τοῦ αἰχμάλωτος τοῦτο δὲ ἐκ τοῦ αἰχμὴ καὶ τοῦ ἁλῶ τὸ πορθῶ.

Αἰχμὴ ὅπλον, παρὰ τὸ αἴσσω· εὐκίνητος γάρ. Ὅμηρος.

Αἰχμητάων τῶν πολεμιστῶν. Αἰχμήτης αἰχμήτου, παρὰ τὸ αἰχμὴ αἰχμῶ [3]) αἰχμᾶς, αἰχμάσσω. Αἰχμὴ ὅτι παρὰ τὸ αἴσσω, γίνεται αἴχη, καὶ κράσει αἰχὴ, καὶ πλεονασμῷ τοῦ μ αἰχμὴ, δωρικῶς δὲ ἡ διάλυσις. Τὰ δὲ ἀπὸ τῆς β συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα εἰς τῆς ὑπὲρ δύο σύλλαβας ὀξύνεται. Ἐραστὴς, θεατὴς, δαπανητὴς, λωβητής. Τὸ δὲ πεδήτης καὶ κομήτης καὶ ἀλήτης οὐ παρὰ ῥήματος, ἀλλὰ παρὰ τὸ πέδω [4]) καὶ κόμη καὶ ἄλη. Τὰ δὲ τοιαῦτα δισσύλλαβα ὀνόματα, δῆλον ὅτι ἀπὸ μονοσυλλάβων περισπωμέμων τῆς α συζυγίας ἐγένοντο καὶ βαρύνονται. οἷον κτῶ, κτήτης. καὶ Φιλοκτήτης, βῶ βήτης καὶ διαβήτης, θλῶ θλάτης, πρῶ πράτης. Τὸ δὲ αἰχμὴ [5]) παρὰ τὸ αἴσσειν· ἡ γενικὴ τῶν πληθυντικῶν αἰχμητῶν· ὁ κανών· τὰς εἰς ων γενικὰς τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γινομένας οἱ αἰολεῖς διὰ τοῦ α ων προσφέρουσιν· οἷον μέλισσαι, μελισσάων, μέλαιναι μελαινάων, αἰχμηταὶ αἰχμητάων· οἱ δὲ δωριεῖς [6]) διὰ τοῦ ε ων, πύλαι πυλέων. καὶ Ὅμηρος, ὡς εἰπὼν πυλέων. Καὶ ὥςπερ αἰχμητὴς αἰχμήτου αἰχμητάων καὶ αἰχμητέων, οὕτως αἰχμητῶν καὶ αἰχμητάων [7]).

Αἰχμάζειν, τὸ κινεῖν· αἰχμητὴς γὰρ ὁ πολεμικός· εἴρηται δὲ καὶ αἰχμὴ τὸ δόρυ παρὰ τὸ αἷμα χέειν.

Αἰχμάλωτος, ὁ τῇ αἰχμῇ ἁλωτός. ἔνθεν αἰχμάλωτον λέγομεν καὶ δορυάλωτον, τὸν ἐν πολέμῳ ληφθέντα διὰ δόρατος, ἤγουν αἰχμῆς αμφικ ... καὶ τὰ λοιπά [8]).

Αἰχμητὴς ὁ ἔνοπλος, ἐκ τοῦ αἰχμάζω, αἰχμάσω, αἰχματὸς καὶ αἰχμητής· εἰ γὰρ ἦν παρώνυμον ἀπὸ τοῦ αἰχμὴ ὤφειλε βαρύνεσθαι, ὥςπερ τὸ ὑπήνη ὑπηνήτης καὶ κορύνη κορυνήτης· τὸ δὲ αἰχμὴ ἐκ τοῦ αἴσσω· ἐτυμολογεῖται δὲ παρὰ τὸ αἷμα χέειν.

Αἶψα ἐπίῤῥημα, σημαίνει τὸ ταχέως. δοκεῖ γὰρ τὰ ταχέως γενόμενα ἀλλήλων ἅπτεσθαι διὰ τῆς συνεχείας.

Αἶψα, ταχέως, κατὰ στέρησιν εἴρηται τοῦ ἶψαι, ὅ ἐστι βλάψαι· μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν· διὰ τοῦ δὲ βλάψαι καὶ ἐμποδίζειν ἀνάγκης. Τὸ δὲ ἀνεμπόδιστον ταχὺ γίνεται, καὶ εὐκίνητόν ἐστι.

Αἰὼν ἡ ζωὴ θηλυκῶς. αὐτὴ δὲ φίλης αἰῶνος ἀμέρδεις [9]). γίνεται δὲ παρὰ τὸ ἀεὶ ὢν καὶ συστολῇ τοῦ ε, καὶ κράσει τοῦ αϊ, εἰς τὴν αι δίφθογγον γίνεται αἰών.

Αἰὼν παρὰ τὸ ἀεὶ ὤν. αἰὼν γὰρ ὁ ἀεὶ ὢν, παρὰ τὸ ἀεῖν, ὅ ἐστι πνέειν, ἔμπνουν δὲ τὸν ζῶντα φαμέν. ἢ παρὰ τὸ αἰῶνα τῆς ζωῆς, οἱ γὰρ ζῶντες ἐν χρόνοις καὶ ἔτεσι διαμένουσιν. Αἰὼν δὲ σημαίνει ε· αἰὼν δὲ λέγεται ἡ τοῦ ἀνθρώπου ἑκάστου ζωὴ, καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμὸς αἰὼν λέγεται καὶ ὁ μέλλων αἴδιος καὶ ἀτελεύτητος· καὶ οἱ ἑπτὰ αἰῶνες· καὶ ὁ νωτιαῖος μυελός· ὡς τὸ ἄνθρωπος νοσήσας τὸν αἰῶνα ἀπέθανεν.

Ἄκαιρον, τὸ παρὰ καιρόν.

Ἀκαλύφη [10]) ἡ κνήδη, ἔστι δὲ καὶ φυτὸν θαλάσσιον καὶ βοτάνη· ἐτυμολογεῖται δὲ παρὰ τὸ δῆξιν καὶ κνησμὸν ἐν τῷ ἅπτεσθαι ἐμποιοῦσα· κατ' ἀντίφρασιν, ἢ ἔχουσα καλὴν τὴν ἀφὴν, ἧς οὐκ ἔστιν ἀκάλως, ὅ ἐστιν ἡσύχως ἅπτεσθαι.

Ἄκαλος, ἐξ ἀκαλαρείταο, τοῦ πραέως καὶ ἠρέμα ῥέοντος [11]). εἴρηται δὲ παρὰ τὸ ἀκὴ δηλοῦσα τὴν ἡσυχίαν· ἀκὴν ἐγένοντο σιωπῇ. Καὶ ἄλλο παράγωγον ἐκ τοῦ ἄκος, καὶ τοῦ αλ πάλιν πλεονάσαντες, ἐγένετο ἄκαλος. οὕτω Φιλόξενος ἐν τῷ περὶ διπλασιασμῶν.

Ἀκάμπιος, εὐθύδρομος, ὁ ἐπ' εὐθείας περιπατῶν, παρὰ τὸ καμπτὴν μὴ ἔχειν.

Ἄκανθα, παρὰ τὸ αἰκίζειν, ἤγουν πλήττειν. ἢ παρὰ τὸ ἐν τῇ ἀκῇ, ἤγουν τῇ ὀξύτητι τρέχειν.

Ἀκάνθη πόλις Μακεδονίας. ὅτι ἀντὶ ἐρυμάτων ῥάχαι ὅ ἐστιν ἀκάνθαι [12]). Καὶ ἀκανθώδεσι φυτοῖς περιβέβληται.

Ἀκαρῆ ἐκ τοῦ κάρω καρῆ, ἐν ἀκαρῆ. Καρὴς ὁ ἐλάχιστος καιρὸς, κυρίως, ἐτίθεσαν δὲ ἐπὶ τοῦ οἴου δήποτε ἐλαχίστου. Μένανδρος· ὁρᾶς ἀκαρὴς παραπολλωνας [13]) ἀρτίως. καὶ Ἀριστοφάνης· γυμνὸς θυράζ' ἐξέπεσον· ἀκαρῆ χρόνον [14]) παρὰ τὸν καιρὸν καὶ τὴν στέρησιν, ἀκαιραῖόν τι ὂν [15]), κατ' ἔλλειψιν ἀκάραιον, τὸ μὴ καιρὸν ἔχον, ἀλλ' ἐλάχιστον. ἢ παρὰ τὸ κάρα το ἀκέφαλον [16]), μὴ ἀρχὴν ἔχον.

Ἀκαρυδὸν, τὸ βραχὺ, τὸ ὀλίγον, ἐκ μεταφορᾶς τῶν μὴ δυναμένων καρῆναι [17]) τριχῶν.

Ἀκέραιος παρὰ τὸ καίρω [18]), οὐ παράγωγον κεράω ὁ μὴ κεκράμενος κακοῖς ἀλλ' ἁπλοῦς.

---

1) (Sic). 2) τοῦ αἰτεῖσθαι — κιχρ. (Sic) vid. mox in αἰτῶ. 3) (Sic). 4) (Sic) F. πέδη. 5) (Sic). 6) Lege Ἴωνες. 7) (Sic) F. αἰχμητῶν. 8) αμφ.κ — λοιπά (Sic). 9) αὐτή — ἀμέρδεις (Sic) Emend. ex Il. XXII. 58. 10) (Sic). 11) Il. VI. 422. Sch. 12) ῥάχαι — ἀκάνθαι (Sic). 13) παραπ. (Sic) cf. Etym. M. in ἀκαρής. 14) ἐξεπ. — χρόνον (Sic) male. Vide Aristophan. Plut. 244. cf. Schol. 15) (Sic). 16) κάρα etc. (Sic). 17) (Sic). 18) (Sic) vid. L. κείρω.

Ἀκάτιον, σανδάλιον· παρὰ τὸ ἄγω, ἄξω, ἄκτος καὶ προσθέσει τοῦ α ἄκατος, καὶ ἐξ αὐτοῦ ἀκάτιον.

Ἄκατος, σημαίνει τὸ πλοιάριον, γίνεται δὲ παρὰ τὸ ἀκτὴ, ὃ σημαίνει τὸν αἰγιαλὸν, ἡ μὴ πελαγοδρομοῦσα ἀλλὰ τὰς ἀκτὰς περιερχομένη.

Ἀκέραιος, ὁ ὑγιὴς, ἀπὸ τοῦ κέρας, κέραιος καὶ ἀκέραιος. ὁ μὴ θυμούμενος διὰ τοῦ κέρατος βλάπτων ἢ βλαπτόμενος, ἀπὸ μεταφορᾶς τῶν τοῖς κέρασι ἀμυνομένων ζώων κέραιος, καὶ μετὰ τῆς α στερήσεως, ἀκέραιος, ὁ ἄργητος, καὶ ἀβλαβής. Καὶ εἰς τὸ ἀκραιφνής.

Ἀκεστὸν, ἰάσιμον, παρὰ τὸ ἀκέσασθαι· καὶ ἀνήκεστον τὸ ἀθεράπευστον.

Ἀκεσώδυνος, ὁ ἰάτρος, ὁ τὰς ὀδύνας θεραπεύων, ἐκ τοῦ ἀκῶ ἀκέσω καὶ τοῦ ὀδύνη, ἐξ οὗ ῥηματικὸν ἀκέστωρ ὁ ἰατρός. Ἀκεσώδυνον τὸ παυστικὸν τῶν ὀδύνων.

Ἀκέων, ἡσυχάζων. ἔστιν ἠκέω τὸ ἡσυχάζω, τροπῇ τοῦ η εἰς α ἀκέω, ἡ μετοχὴ ἀκέων, παρὰ τὴν ἀκὴν τὴν ἡσυχίαν. ἢ λυπούμενος παρὰ τὸ ἄχος ἀχέω, καὶ ἀκέω ἡ μετοχὴ ἀκέων ἀκέοντος, τὸ θηλυκὸν ἀκέουσα. Οἱ δὲ τὸ πάνυ σιγᾶν, καὶ λυπεῖσθαι λέγουσι· παρὰ τὸ κέω τὸ κοιμῶμαι, μετὰ τοῦ ἐπιτατικοῦ α ἀκέω καὶ ἀκέων. Τὸ δὲ ἀκέων, εἰ [1]) καὶ θηλυκὸν παρασχηματισμὸν ἔχει. Ὅμηρος, ἡδ' ἀκέουσ' ἀπεβήσατο. Ἀλλὰ καὶ ὡς ἐπίῤῥημα εἴρηται πληθυντικῶς, τὸ ἀκέων ἕκαστος· ἀλλ' ἀκέων δαίνυσθαι [2]). ἢ γίνεται παρὰ τὸ ἄγω τὸ ἐκπλήττομαι ἀγὴν, καὶ ἀκήν. ἔστιν οὖν ἐπίῤῥημα μεσότητος· ἀλλὰ κανὼν ἔστιν ὁ λέγων· ἐπὶ τῶν εἰς ω ληγόντων, οἷς παράκειται θηλυκὸν εἰς α τῇ παραλήξει τοῦ σ τούτοις παρέπεται τὸ εἶναι μετοχὴ, οἷον, λέγων λέγουσα. Φέρων φέρουσα, Φρονῶν φρονοῦσα· διὰ τούτου τοῦ λέγω [3]) δείκνυται τὸ κείων [4]) μετοχὴ, ἐκ τοῦ κείουσα [5]) γυναικῶν.

Ἀκὴ, εἰς τὸ ἄκανθα, καὶ ἀκέων κατ' ἄκρας καὶ ἄκος.

Ἀκηδία, μακεδωνικόν φησι τὸ ὄνομα, σημαίνει δὲ τὴν ῥαθυμίαν.

Ἀκηδιῶ, ἀμελῶ, παρὰ τὸ ἀκηδιῶ, τοῦτο παρὰ τὸ ἡδὺς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀηδὺς καὶ πλεονασμῷ τοῦ κ ἀκηδὴς, καὶ ἀκηδιῶ ἐξ αὐτοῦ· σημαίνει δὲ τὸ ἀμελῶ καὶ ῥαθυμῶ.

Ἀκήματα, θεραπεύματα, παρὰ τὸ ἀκῶ, ἀκέσω, ἐξ οὗ καὶ ἀκεστὴς καὶ ἀκεστός.

Ἀκὴν, ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ ἡσύχως καὶ ἀφώνως· γίνεται δὲ παρὰ τὸ ἄγη ὃ σημαίνει τὴν ἔκπληξιν, κατὰ μετάληψιν τοῦ γ εἰς κ, ὡς ἔστι τὸ λύγαιον, ὃ σημαίνει τὸ σκοτεινὸν, λυγόφωνος καὶ λυκόφωνος· Οὕτω καὶ ἄγη καὶ ἀκή. καὶ ἀκὴν ἀντὶ τοῦ ἡσύχως, οἶδε γὰρ ἡ ἔκπληξις καὶ ἀφωνίαν ἐμποιεῖν. ἢ παρὰ τὸ μὴ χαίνειν, μεταθέσει τοῦ χ εἰς κ.

Ἄκικυς, νεκρὸς· ἐκ τοῦ κινῶ· καὶ μετὰ τοῦ στερητικοῦ α ἄκικυς, ὁ μὴ πορευόμενος. καὶ εἰς τὸ κίκυς.

Ἀκήρυκτον, ἄγνωστον, ἄφωνον, καὶ μέγα καὶ εὐδιάλλακτον [6]).

Ἀκήρατος, παρὰ τὸ γῆρας γήρατος, καὶ τροπῇ τοῦ γ εἰς κ, κήρατος, καὶ μετὰ τοῦ στερητικοῦ α ἀκήρατος, οἱονεὶ ὁ ἀθάνατος.

Ἀκίβδηλος ὁ καθαρὸς, οἱονεὶ ἀκρύβδηλος· ἀπὸ τοῦ κρύβδω [7]), ἀκρύβδηλος [8]) καὶ ἀκίβδηλος, πλεονασμῷ τοῦ α, ὁ μὴ κρυβόμενος ἀλλὰ φανερός. καὶ κρύβω συντάσσεται μετὰ γενικῆς καὶ δοτικῆς.

Ἀκιδνὸς ὁ ἀσθενὴς παρὰ τὸ αἰκίζω αἰκιδνὸς καὶ ἀκιδνὸς ἀφ' οὗ καὶ τὸ συγκριτικὸν ἀκιδνότερος, ἤγουν ἀσθενέστερος, ἢ πρεπέστερος [9]), ἢ ἀφρονέστερος. Καὶ ἄκις ἡ ὀξύτης τοῦ σίτου τῆς σταχύος.

Ἀκινάκων, εἶδος ἀκοντίου περσικοῦ, παρὰ τὸ ἀκὴν ὃ σημαίνει τὴν ὀξύτητα.

Ἀκίνδυνον, παρὰ τὸ κίνδυνος τοῦτο δὲ παρὰ τὸ κινεῖν τὰς ὀδύνας, κινόδυνος, καὶ ἐν συγκοπῇ κίνδυνος. Καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκίνδυνος.

Ἀκὶς, τὸ τοῦ βέλους σίδηρον, παρὰ τὸ ἀκὴ ἀκὶς ὡς σκάφη σκαφὶς ὑποκοριστικόν.

Ἀκίζεσθαι, τὸ μωραίνειν, ἀπὸ Ἀκκοῦς τινὸς, ἥτις ἱστορεῖται μωρὰ γυνή.

Ἀκκίζεσθαι ἐπὶ τοῖς ὅπλοις. ἀκκίζεται τῆς ὕβρεως. ἔχεται, ἐπαίρεται, γυναικίζεται, θρύπτεται ἢ μωραίνει. σημαίνει δὲ καὶ τὸν θέλοντα μὲν προσποιούμενον καὶ μὴ θέλειν. Ἀκισμοὶ γὰρ προσποιήσεις εἰσὶ καὶ ὑποκρίσεις, ἀπὸ Ἀκκῶ τινος σαμίας μωρᾶς γυναικός.

Ἀκμὴ, ἡ ἀκροτάτη ὀξύτης τοῦ σιδήρου, κυρίως, παρὰ τὸ ἥκω, ὄνομα ἴκη [10]), ὃ σημαίνει τὴν ὀξύτητα, ἢ διὰ παντὸς ἰοῦσα.

Ἀκμῆτις, ἀπὸ τοῦ κάμνω.

Ἀκμὴ, ἡ νεότης, ἐξ οὗ καὶ ἀκμαῖος ὁ σφριγῶν νεανίας.

Ἀκμὴ παρὰ τὸ μὴ κάμνειν διὰ νεότητος ἔνθεν καὶ ὁ ἥλιος ἀκάμας παρὰ τὸ αἰεὶ νέον εἶναι. λέγεται δὲ καὶ ἡ ἔνδεια.

Ἀκίχητος, ὁ ἀκατάληπτος· καὶ εἰς τὸ κιχῶ.

Ἀκλόνητον, ἐκ τοῦ κλῶ τὸ κλάνω.

Ἀκμάζω, παρὰ τὸ ἀκμὴ ὃ σημαίνει τὴν ἡλικίαν, τὸ δὲ ἀκμὴ παρὰ τὸ ἀγῶ ἀγὴ καὶ πλεονασμῷ τοῦ μ ἀγμὴ καὶ μεταθέσει ἀκμή· ἢ παρὰ τὸ κμῶ, ὅ ἐστι τὸ α ἐκ τοῦ κάμω συγκοπέν· καὶ μετὰ τῆς α στερήσεως ἀκμὴ, ἡ μὴ κάμνουσα ταχέως, ἢ πόνους δυναμένη ὑποστῆναι.

Ἀκμηνὸς, ὁ ἄγευστος καὶ ἄσιτος, καὶ ἀκοπίαστος.

Ἀκμηνὸς, ὁ θάλλων καὶ αὔξων.

Ἀκμῆτες, ἀκοπίαστοι μὴ κάμνοντες, ἀπὸ τοῦ κάμνω, οὗ ὁ β ἀόριστος ἔκαμον, καὶ ἐξ αὐτοῦ καμὴς καὶ μετὰ τοῦ στερητικοῦ α ἀκαμὴς, καὶ συγκοπῇ ἀκμὴς καὶ ἀκμήτης. σημαίνει δὲ τοὺς ἀκμάζοντας καὶ τοὺς ἀσίτους. Τὸ δὲ ἀκμὴς τὸ σημαῖνον τὸ ἄσιτον γίνεται παρὰ τὸ ἀκτὴν ὃ σημαίνει τὸν σῖτον. Καὶ Ὅμηρος, Δήμητρος ἀκτὴν, τουτέστι ψωμὸν ἢ σῖτον. Τὸ δὲ κάμνω συντάσσεται μετὰ δοτικῆ.

Ἀκοίτης ἀνὴρ, μίξεως ἐπιθυμίας, ἄκοιτις δὲ γαμετὴ σύγκοιτος.

Ἀκμοθέτῳ τῷ ὀρύγματι, ἐν ᾧ ὁ ἀκμὼν ἐντίθεται.

Ἄκμων, ἀφ' οὗ τὸ σίδηρον παραλαμβάνουσιν οἱ χαλκεῖς. ἀκάμων τις ὢν, ὁ ἀκαμάτως φέρων τὰς πληγάς· ἐξ οὗ καὶ ἄκμων ὁ μὴ κάμνων καὶ μὴ τύπτων, ἀλλὰ τυπτόμενος μᾶλλον.

Ἄκνηστις ἡ ψοὰ παρὰ τὸ δυσκόλως κνήθεσθαι αὐτὴν διὰ τῆς χειρός.

Ἀκόλαστος, παρὰ τὸ μὴ κολάζειν τὴν ἐπιθυμίαν, ὅ ἐστιν κκόπτεσθαι [11]).

Ἄκνηστις ἡ ῥάχις, παρὰ τὸ μὴ δύνασθαι αὐτήν τινα κνήσασθαι τῇ ἰδίᾳ χειρί.

---

1) εἰ del. 2 (Sic). 3) λέγω (Sic) L. λόγου. 4) κείων L. κρε... 5) κείουσα L. κρείουσα. 6 μέγα — εὐδιαλλ. cf. Phavor. v. ἤγυκτος et ἀκήριτος. 7) Sic. 8) ἀκρύβδηλος (Sic) verbum τὸ α colore rubro erat additum, ex errore ejus, qui litteras capitales pinxit. Delendum igitur τὸ α m. mox in ακιβδ. 9) ἢ πρεπ. (Sic) ἀπρεπ. 10, ἴκη (Sic) L. ἠκή. 11, (Sic, F. ἐκκ.

Ἄκολος, ὁ μικρὸς ψωμὸς, εἴρηται ὁ μηκέτι δυνάμενος κωλύεσθαι [1]), καὶ εἰς μικρὰ τέμνεσθαι διὰ σμικρότητα.

Ἀκόλουθος, σημαίνει τὸν ὀπίσω τὴν κέλευθον ποιούμενος. τὸ γὰρ α τὸ ὀπίσω σημαίνει, καὶ ἐκ τοῦ ἐλεύθω ἔλευθος κέλευθος καὶ ἀκόλουθος.

Ἀκωκὴ, ἐπὶ δόρατος, ἡ ὀξύτης τοῦ βέλους.

Ἀκόνη, ὁ λίθος, δι' οὗ τὸ σίδηρον ὀξύνομεν, παρὰ τὸ κονῶ τὸ φθείρω καὶ λεπτύνω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀκονῶ, ἢ παρὰ τὸ κονῶ τὸ ἐνεργῶ. Τὸ κο μικρὸν διάτι; τὰ διὰ τοῦ ονη θηλυκὰ βαρύτονα διὰ τοῦ ο μικροῦ γράφεται.

Ἀκονιτὶ [2]) ἄνευ πόνου· οἷον ἀκονιτὶ τὰς πλείστας προςηγάγετο. ἐκ μεταφορᾶς τῶν ἀθλητῶν τῶν εὐμαρῶς παραγινομένων ὥστε μὴ κονίσασθαι, τουτέστιν κόνιν ἐπισπάσασθαι, τοῖς γὰρ παλαίουσιν ἐκ τῆς βίας ἱδρῶτα γίνεσθαι, εἶθα κόνιν ταῖς χερσὶ διαλαμβάνειν. ἢ ἀκονιτὶ εὐχερῶς, συντόμως, ὥστε μὴ δύνασθαι κονιορτὸν ἀγείρεσθαι.

Ἀκόνετον, βοτάνη δηλητηριώδης, ὅτι ἐν τοῖς ἀκονιοῖς [3]) ὄρεσι τῆς βαρυχνδίας [4]) φύεται. ἢ ὅτι ἀποκαταπάλαιστος [5]), καὶ ἀήττητός ἐστιν, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν, ὧν οἱ νικηταὶ ἀήττητοι ὄντες, οὐ κονιορτοῦνται. κονιοῦσθαι γὰρ τὸ παλαιόν [6]). Θεόκριτος· Κισσὸς ἑλιχρύσῳ κεκονισμένος, τὸ μὴ νικώμενον οὖν ὑπὸ τῶν πεινώντων [7]). Εὐφορίων θηλυκῶς λέγει τὴν βοτάνην, ἣν οὐδεὶς δύναται κονίσαι, τουτέστι νικῆσαι· κονιοῦνται γὰρ οἱ νικώμενοι τῶν παλαιστῶν.

Ἀκόντισε, παρὰ τὸ ἀκοντίζω, τοῦτο δὲ παρὰ τὸ ἄκον, παρὰ τὴν ἀκὴν καὶ ὀξύτητα.

Ἄκος, κυρίως ἡ διὰ σιδήρου θεραπεία, παρὰ τὸ ἀκὴ ὃ σημαίνει τὴν ὀξύτητα, ἐξ οὗ καὶ τὸ ἀκωκή. ἢ τὸ τῆς ἀκμῆς τοῦ ξίφους ἴαμα. καὶ εἰς τὸ φάρμακα.

Ἀκοστήσας, παρὰ τὰς ἀκοστὰς τὰς κριθὰς, ἐν ᾗ κριθιάσας ἢ ὑψαυχενίσας καὶ ἀτιμαγελὴς γεγονώς. ἢ ἀπὸ τοῦ ἄγος ἀγοστήσας, ὁ ἀγὸς θέλων εἶναι. ἢ ἀχθοστήσας, καὶ κράσει τοῦ θ ἀχοστήσας, καὶ ἀκοστήσας. Ὅμηρος [8])· Ἀκοστήσας, ἄκος τῆς στάσεως λαβὼν τουτέστιν ἴαμα. καὶ κριθιάσας. κυρίως δὲ πᾶσαι αἱ τροφαὶ τῶν ζώων ἀκοσταὶ καλοῦνται. παρὰ τὸ ἵστασθαι τὰ σώματα τρεφόμενα ἐν ἄλλῳ καιρῷ βέλτιον δὲ δυσχεράνας ἐπὶ τῇ τῆς φάτνης στάσει. Φάτνη δὲ ὁ τόπος ἐν ᾧ ἐσθίει τὰ ἄλογα, ἢ τετράποδα· ὥσπερ ἡ τράπεζα. καὶ εἰς τὸ φάτνη.

Ἄκος, θεράπευμα, κυρίως δὲ τῷ σιδήρῳ θεραπεύειν εἰς ἀκὴν ἀπεξυσμένῳ. ἔνθεν καὶ τὸν ἰατρὸν Φρύγες ἀκοστὴν λέγουσι· τὴν δὲ διὰ τῶν ὀξείων ῥαφίδων ἰωμένην. τάτε [9]) τῶν ἱματίων λακίδες ἀκεστρίας Ἀθηναῖοι καλοῦσι. οὕτως εὗρον ἐν ὑπομνήματι τῆς Ἰλιάδος.

Ἀκόλαστος, κυρίως τινες ἀπαίδευτος, ὁ δίχα ἀγωγῆς καὶ κολάσεως τετυχηκώς τις ἐπὶ παιδείας [10]) οὕτω Φίλων ἐν τῷ περὶ ἑλληνισμοῦ. Τινὲς δὲ οὕτω φασὶ, τὸν κατωφερῆ πρὸς συνουσίαν, διὰ τὸ μὴ κολάζειν τὴν ἐπιθυμίαν.

Ἀκόλαστος, ἀκονείτης. (Sic) F. ἀκρατής.

Ἀκολουθῶ, ἕπω καὶ ἐπίσπω τὸ ἀκολουθῶ, ὁμοίως καὶ τὸ εἶπον παρατατικόν. Ὀπηδαῖος, ὁ ἀκόλουθος, καὶ ἐπισπόμενος, καὶ ἑπόμενος καὶ ξυνοπαδὸς καὶ ὀπαδός.

Ἀκούσειας, ἀκούσαιμι, ἐξ αὐτοῦ ἀκούσειας. Ὁ κανών· τὰ εἰς μι εὐκτικὰ ἀόριστα ὄντα ἐνεργητικὰ οἱ Αἰολεῖς διὰ τοῦ εια προσφέρουσι, τίσαιμι, τίσειας, ὑποστρέψαιμι ὑποστρέψειας. ζήσαιμι δὲ οὐ λέγουσι ζήσειας ἐπειδὴ τὰ τοιαῦτα εὐκτικὰ εὐχὴν δηλοῦσι πράγματος ὀφείλοντος πληρωθῆναι. ὁ γὰρ λέγων γράψειας, εὔχεται ἵνα εἰς τέλος ἔλθῃ τοῦ γράψαι. ὅθεν οὐδένα λέγειν ζήσειας, ἐπειδὴ εὑρίσκεται εὐχόμενος, εἰς τέλος ἐλθεῖν τῆς ζωῆς, τουτέστιν, ἵνα ἀποθάνῃ. Καὶ λοιπὸν [11]) εὑρίσκεται κατευχόμενος αὐτοῦ. ὁ δὲ κανὼν τοῦ ἀκούσειας· ὅσοι δὲ αὐτῶν οὐχ εἶχον τὴν ἐνεργητικὸν μετοχὴν εἰς σ μετ' ὀξείας [12]).

Ἀκουτιεῖς, ἔστι ῥῆμα ἀκούω, ὁ παθητικὸς παρακείμενος, ἤκουσμαι, ἤκουσαι, ἤκουσται, καὶ ἐξ αὐτοῦ ἀκουστὸς, καὶ ἀκουτίζω ὁ μέλλων ἀκουτίσω, ἀποβολῇ τοῦ σ, ὁ ἀττικῶς ἀκουτιῶ, σημαίνει δὲ τὸ ἀκοῦσαι [13]).

Ἀκούω δὲ ῥῆμα, κοῶ τὸ νοῶ, κούω καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀκούω. οἱ γὰρ ἀκούοντες πάνυ νοοῦσι. καὶ εἰς τὸ πατρακούστης.

Ἀκράαντον, ἀτελείωτον, παρὰ τὸ κραίνω, τὸ τελειῶ· ἐξ οὗ καὶ ὁ μέλλων κρανῶ, ὁ ἀόριστος ἔκρανα· καὶ τροπῇ τοῦ α εἰς η ἔκρηνα, καὶ τὸ προστακτικὸν κρῆναι. Καὶ ὥσπερ παρὰ τὸ χραίνω, τὸ μολύνω, χραντὸς ὁ μεμολυσμένος, καὶ παρὰ τὸ φαίνω φαντὸς καὶ ἄφαντος οὕτω καὶ παρὰ τὸ κραίνω κραντὸς καὶ ἄκραντος [14])· ποιητικῶς.

Ἀκραιφνὲς, σημαίνει τὸ καθαρὸν καὶ εὐειδές. γίνεται δὲ ἐκ τοῦ ἀκέραιος καὶ τοῦ φαίνω· τὸ ραι δίφθογγος διὰ τί; ἐκ τοῦ κέραιος, τοῦτο δὲ ἐκ τοῦ κερῶ τὸ μιγνύω, κιρνῶ [15]) καὶ ὥςπερ παρὰ τὸ πῶ παίω, καὶ πλεονασμῷ τοῦ ν πνκίω, καὶ κατ' ἀναδιπλασιασμὸν παπαίνω· καὶ παρὰ τὸ περῶ τὸ τελειῶ, τὸ περαιῶ περαίνω, νέον περαίνεις, οὕτω καὶ παρὰ τὸ κερῶ, κιρνῶ, κεραίνω, κέραιος, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀκέραιος ὁ μὴ κεκραμένος κακοῖς, ἀλλ' ἁπλοῦς καὶ ἀποίκιλος, καὶ μετὰ τοῦ φαίνω ἀκεραιοφανὴς, καὶ ἐν συγκοπῇ ἀκραιφνής.

Ἀκρασία, ἀνωμαλία, παρὰ τὸ συγκεκρᾶσθαι.

Ἄκραστος, ἔστι ῥῆμα κερῶ, ὁ μέλλων κεράσω, οὗ παράγωγον κρῶ, κράσω, κρατὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀκρατός. κατ' ἀνάδοσιν τοῦ τόνου· οἱονεὶ ὁ μὴ μεμιγμένος. Καὶ εἰς τὸ κατακράω. Ἀπὸ δὲ τοῦ αὐτοῦ κρατὴρ, ἀφ' οὗ κιρνᾶται ὁ οἶνος.

Ἀκράτος, ἀκράγαντος, ἀκραγαντῖνος.

Ἄκρητα, εἰς τὸ ἄκριτα.

Ἀκρήβης, ὁ νέος.

Ἀκριβὴς, ἐκ τοῦ κρύβω, κρυβὴς καὶ ἀκριβὴς, μετὰ τοῦ στερητικοῦ α, καὶ μεταθέσει τοῦ υ εἰς ι. ἢ παρὰ τὸ ἀχρὶ καὶ τὸ βαιὸν ὃ σημαίνει τὸ ὀλίγον, ἀχριβὴς καὶ ἀκριβὴς ὁ καὶ τῶν ὀλίγων φειδόμενος. ἢ παρὰ τὸ ἀκριβὴς ὁ μέχρι βίου ζητῶν. ἢ ὥςπερ ἀπὸ τοῦ ἀφροδύτη γίνεται ἀφροδίτη, τροπῇ τοῦ υ εἰς ι, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀκρυβὴς γίνεται ἀκριβής· τὸν γὰρ ἀκριβῆ οὐδεὶς δύναται κρύψαι ἢ λαθεῖν.

Ἀκρέμων, ὁ κλάδος, εἴρηται καὶ κρέμων, δισσυλλαβῶς. παρὰ τὸ εὖρις. καὶ παρὰ τὸ κρεμῶ ἑκάτερον [16]).

Ἄκρις, βαρύτονον, τὸ ἀκρωτήριον, εἴρηται παρωνύμως, παρὰ τὸ ἄκρα ἄκρις. Ὀξυτόνως δὲ τὸ ζῶον, παρὰ τὸ

---

1) (Sic.) 2) (Sic.) 3) (Sic.) 4) (Sic.) 5) (Sic.) 6) (Sic.) 7) πεινωντ. (Sic.) 8) Il. VI, 506. et Schol. 9) (Sic.) 10) τετυχηκὼς — παιδείας (Sic) cf. Etym. M. 11) (Sic.) 12) ὅσοι — μετ' ὀξείας (Sic.) 13) τὸ ἀκοῦσαι (Sic) cf. Etym. M. 14) ἄκραντος (Sic) Omissa sunt aliquot verba restituenda ex Etym. M. 15) (Sic.) 16) εὖρις — ἑκάτερον (Sic.)

τὰς ἄκρας τῶν ἀσταχύων νέμεσθαι, ἢ παρὰ τὸ τὰ ἄκρα τῶν ἀσταχύων ἐσθίειν· ἢ παρὰ τὸ κάρα κάρις καὶ μετὰ τοῦ στερητικοῦ α ἄκαρις καὶ ἐν συγκοπῇ ἀκρίς, οἱονεὶ ἡ κάραν μὴ ἔχουσα, ἢ μικροκέφαλος· ἢ παρὰ τὸ μεγάλην κεφαλὴν ἔχειν. διάφορα γὰρ τὰ γένη τῶν ζώων.

Ἀκρέμων, ἀκρέμονος, καὶ ἀκρέμονες, κυρίως μὲν οἱ βλαστοὶ, καὶ οἱ κλάδοι τῶν δένδρων οἱ κάλλιστοι. καταχρηστικῶς δὲ ἐπὶ ἀνθρώπων οἱ ἐξοχώτατοι· παρὰ τὸ ἄκρον ὃ σημαίνει τὸ πέρας τοῦ σώματος, ἢ κορυφήν.

Ἀκροπήνη, ἐκ τοῦ ἄκρον καὶ τοῦ πένιον, ὃ σημαίνει τὸν ἄτρακτον, γίνεται ἀκροπήνιον. τὸ στρεφόμενον οὖν ἀκροπήνη [1]) καλεῖται.

Ἀκριτόμυθος, πολύλογος, ἐκ τοῦ κρίνω καὶ τοῦ μῦθος. κριτὸς καὶ ἀκριτόμυθος. καὶ ἀναβιβάζει τὸν τόνον, χωρὶς εἰ μὴ τὸ συνηρημένον κωλύσῃ, ὡς τὸ βροτολοιγός.

Ἄκριτον. τὸ ἀδιαχώριστον· παρὰ τὸ μὴ διαχωρίζεσθαι, ἐξ οὗ καὶ ὄρος ἀκριτόφυλλος.

Ἄκρητον, σημαίνει τὸ κρατῆρι τὸν οἶνον ἔμισγον τῶν τεκράων καὶ τῶν ἑλλήνων· ἀρτίως δὲ οὖν σημαίνει τοῦτο, ἀλλὰ ἄκρητον ἀντὶ τοῦ μίξαντες [2]) τῶν βαρβάρων τὸν οἶνον μετὰ τῶν ἑλλήνων, ἤγουν ἡμῶν· γίνεται δὲ ἐκ τοῦ κερῶ τὸ ἐπιχέω ὁ μέλλων κεράσω καὶ κατὰ συγκοπὴν κράσω, κρατὴρ καὶ κρητήρ. λοιπὸν ἐκ τοῦ κράσω γίνεται κρητὸς, καὶ ἄκρατος.

Ἀκροβολησαμένῳ, τῆς συμβουλῆς ἐν τῷ πολέμῳ ἀρξαμένῳ, ἢ ἀκοντίσαντι· τὸ θέμα ἀκροβολῶ, συντάσσεται μετὰ αἰτιατικῆς.

Ἀκροβόλησμα, παρὰ τὸ ἄκρος βαλλόμενον [3]).

Ἀκροβυστία, ἡ ἀπεριτμησία. ἀκροβυστία δὲ ἡ περιτομὴ κατά τινας, ἐκ τοῦ ἄκρον καὶ τὸ βύω. ἀκροβυής, τὸ μὴ κεκομμένον, ἀλλ' ὑγιὲς καὶ σῶον, καὶ ἀκέραιον εἶναι τὸ τοῦ ἀνδρὸς κρυπτὸν, οἱονεὶ ἀκρόκρυπτον.

Ἀκρότομος, ὑψηλὴ πέτρα, καὶ κληρά [4]).

Ἀκρώρεια, τὸ ὑψηλὸν, τὸ ἄκρον τοῦ ὄρους.

Ἄκρον, ὄνομα ῥηματικὸν, ἀπὸ τοῦ ἥκειν, ἐπί τι ἔξοχον ἐληλυθός.

Ἀκροθίνιον, σημαίνει τὴν ἀπαρχὴν, γέγονε δὲ παρὰ τὸ ἄκρων καὶ τὸ θίς, θινὸς, ὃ σημαίνει τὸν σωρὸν τῶν καρπῶν καὶ τῶν χρημάτων. καὶ εἰς τὸ ἀκτίς.

Ἀκροθίνια, αἱ τῶν ἐνιαυσιέων [5]) καρπῶν ἀπαρχαί· κυρίως δὲ καὶ ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, ἀπὸ τοῦ θινὸς τοῦ αἰγιαλοῦ. ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων, ἀπὸ τοῦ σίνεσθαι ἐν τῷ πολέμῳ πολλὰ τουτέστι βλάπτεσθαι. καὶ ακροθίνια ἡ ἀπαρχὴ τῶν καρπῶν, ἤγουν τὰ ἐκλεκτά. ἄκρον γὰρ ἡ ἀρχή. Ἀκροθίνια, ἀπαρχὰς τῶν προβάτων.

Ἄκρον, σημαίνει τὸ πέρας καὶ τὸ ἔξοχον. γίνεται δὲ παρὰ τὸ ἄχρι καὶ τὸ ὄν, ἄχρονον [6]), καὶ τὸ ἄκρον καὶ μέχρι τοῦτο διῆκον.

Ἄκρον ἄωτον, οὕτω δὴ ἅπαντες ἄκρον ἄωτον τὸ [7]) κατ' ἡμᾶς φιλοσοφήσαντες τὴν ἀπαρχὴν, κατὰ μετάληψιν. σημαίνει δὲ τὴν ἀπὸ τοῦ ἄνθους ἀρχὴν, καὶ καρπὸν καὶ τροφήν· ἄωτον γὰρ καὶ τὸ ἄνθος, καὶ ἡ ἡλικία, καὶ εἶδος δένδρου. ἀπὸ δὲ τοῦ ἄκρον τὸ σπουδαῖον, σημαίνει ἀκρωτήριον καὶ ὕψος· τὸ δὲ ἄωτον δηλοῖ ἱμάτιον ἐρίου· καὶ Ὅμηρος οἰὸς ἀώτῳ, τουτέστι τῷ ἄνθει, καὶ τῷ καλλίστῳ τοῦ προβάτου. λέγουσι καὶ τὸ ἐξ ἁπαλῶν ἐρίων γεγονότα περιβόλαια [8]). ἀλλαχῇ Ὅμηρος τί πάννυχον ὕπνον ἀωτεῖς, ἀντὶ τοῦ ἀπανθίζῃ, ἀπολαύεις.

Ἀκρωτηριάζω, ἱστορεῖται ὅτι τοὺς ἔν τινι ἁλῶντας ἀτοπήματι οἱ παλαιοὶ ἐνυβρίζοντες, τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον. τὸ οὖν κρω μέγα ὅτι παρὰ τὸ ὦς, ὠτὸς γέγονε.

Ἀκτάζων, ἀντὶ τοῦ ἐξανιστάμενος, ἀπὸ τοῦ ἄττω ἀττάζω καὶ ἀκτάζω.

Ἀκταίνειν, τὸ μετεωρίζεσθαι καὶ ἐπαίρειν, παρὰ τὸ ἧκται, ἀκτὸς, τὸ ῥῆμα ἐξ αὐτοῦ ἀκτῶ, ἀφ' οὗ τὸ κουφίζω παρ' Αἰσχύλῳ· ἀφ' οὗ ἀκταίνω, μετοχὴ ἀκταινόμενον τὸ ἄναγον καὶ δυνάμενον ἀνορθοῦν.

Ἀκταίωρος, ὁ φύλαξ παρὰ τὸ ἀκτὴν ὠρεῖν ὅ ἐστι φυλάσσειν.

Ἀκτὴ, ἡ ἀττικὴ, ἀπὸ πλείονα μέρους αὐτῆς εἰς θάλασσαν ἐκνενευκέναι.

Ἀκτὴ, παρὰ τὸ κατεάχθαι καὶ καταλελύσθαι σημαίνει δὲ δύο. τὸν αἰγιαλὸν, ὡς τὸ Ἀκτῇ ἐφ' ὑψηλῇ καὶ γίνεται παρὰ τὸ κατάσσεσθαι εἰς αὐτὴν τὰ κύματα. σημαίνει δὲ καὶ τὸ λεπτώματον τοῦ ἀλεύρου, ὡς τὸ, Δήμητρος ἀκτὴν, γίνεται δὲ παρὰ τὸ κατάσσεσθαι αὐτὴν ἐν τῷ ἀλήθεσθαι.

Ἀκτέριστος, ἀσκύλευτος, ἄκτητος, ἢ ἄταφος, ἐξ οὗ καὶ κτερίσαι τὸ θάψαι καὶ ἐνταφιάσαι.

Ἀκτὶς, διὰ τοῦ ι μακροῦ, ἀπὸ τοῦ ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦξαι, ἧκται, ἀκτὶς, οἱονεὶ ἡ πανταχοῦ φερομένη. ἢ ἐκ τοῦ ἧκτω, ἀκτὸς καὶ ἐκ τούτου ἀκτίς. δεῖ γινώσκειν ὅτι τὸ ἀκτὶς, σημαίνει τὴν ἀκτῖνα τοῦ ἡλίου. καὶ διὰ τοῦ ι γράφεται, ἐπειδὴ δικατάληκτόν ἐστι, λέγεται γὰρ ἡ ἀκτὶς καὶ ἡ ἀκτὶν, θηλυκῶς. πάντα δὲ τὰ εἰς ις δικατάληκτα διὰ τοῦ ι γράφεται. οἷον δελφὶν, δελφὶς, θὶν καὶ θίς. σημαίνει δὲ τὸν αἰγιαλὸν, καὶ τὸν σωρόν. σωρὸν δὲ εἴτε χρημάτων εἴτε σίτου, καὶ κριθῆς, εἴτε ὀστέων. θηλυκῶς δὲ λεγόμενον ἡ σορὸς τὸ μνῆμα σημαίνει καὶ διὰ τοῦ ο μικροῦ γράφεται. οὕτω δὲ ἀκτὶς διὰ τοῦ ι δεῖ γινώσκειν, ὅτι ἀκτὶς ἐτυμολογεῖται διαφόρως, ἢ γὰρ παρὰ τὸ ἄγω γίνεται ἀκτίς, ἡ πανταχοῦ ἀγομένη, ἡ γὰρ ἀκτὶς τοῦ ἡλίου πανταχοῦ φέρεται. ἢ παρὰ τὸ ἐκτείνω . . . . . ἐακτὶς καὶ ἀκτὶς πανταχοῦ γὰρ ἐφήπλωται [9]). ἢ παρὰ τὸ αἴσσω τὸ ὁρμῶ, ἡ γὰρ τοῦ ἡλίου λαμπηδὼν ὁρμητική ἐστιν. ἢ παρὰ τὸ ἄγω ἀκτὸς καὶ ἀκτὶς ὡς ἀπὸ τοῦ ἐρήσω [10]) ῥηγμὸς καὶ ῥηγμὶν ὁ αἰγιαλὸς, παρὰ τὸ ἐκεῖ ῥήγνυσθαι τὰ κύματα. Τὸ δὲ θὶς καὶ ῥὶς ὁ Ἀρίσταρχος διὰ τῆς ει διφθόγγου ἀξιοῖ γράφεσθαι. καὶ ἀκολουθῶν τὴν ἐτυμολογίαν ἔλεγεν, ὅτι τὸ θεὶς παρὰ τὸ θείνεσθαι ἐστί. καὶ γὰρ ἐν αἰγιαλῷ θείνονται καὶ τύπτονται τὰ κύματα. ἢ παρὰ θέειν, καὶ γὰρ ἐν αἰγιαλῷ θέει ἤγουν τρέχει τὰ κύματα. Τὸ δὲ ῥεὶς παρὰ τὸ ῥεῖν γέγονε, καὶ γὰρ ἐκ τῆς ῥινὸς ῥέουσι καὶ κατέρχονται τὰ περιττώματα τῆς κεφαλῆς. Ἀκολουθῶν οὖν ταύτῃ τὴν ἐτυμολογίαν εἴρηκεν αὐτὸ διὰ τῆς ει διφθόγγου. ἡ δὲ παράδοσις οἶδεν αὐτὸ διὰ τοῦ ι γράφεσθαι.

---

1) στ... — ἀκροπ. (Sic.)
2) (Sic) omissa est particula negativa μή.
3) τὸ ἄκρ. βαλλ. (Sic.)
4) (Sic) L. σκληρά.
5) (Sic) cf. Phavorin. h. v.
6) (Sic) L. ἄχρον. Vid. Phavor.
7) τὸ Etym. M. οἱ.
8) (Sic) F. λαια.
9) (Sic.)
10) (Sic.)

Ἀκτὶς, παρὰ τὸ κτεάγνυσθαι [1]) τὰ κύματα καὶ εἰς τὸ παρὰ θῖνα.

Ἄκυθος, λέγεται ὁ ῥύτος.

Ἄκυστις, βρύσις, παρὰ τὸ ταχέως καὶ ἀπνευστὶ πίνειν ἐξ αὐτοῦ.

Ἄκων, εἰς τὸ ἀέκοντας.

Ἄκοιτις, ἡ ἄλοχος, ἡ ἑτέρου εἰς κοίτην καὶ λέχος μὴ ἐλθοῦσα.

Ἀκῶ, τὸ θεραπεύω, ἐξ οὗ καὶ ἄκος ἡ θεραπεία καὶ ἀκὸς τὸ φάρμακον καὶ ἀνήκεστος ὁ ἀθεράπευτος.

Ἄλα, τὴν θάλασσαν, ἀθροῦν γὰρ ὕδωρ ἔστιν ἡ θάλασσα.

Ἀλάβαστρον, ἡ μυροθήκη· εἴρηται δὲ κατὰ πλεονασμὸν τοῦ ρ, ἀλάβαστόν τι ὤν· οὗ λαβέσθαι διὰ λειότητα ἀδύνατον.

Ἀλάβαστρον, μύρου βύγιον ἔστιν, ὑελοῦν, χωροῦν λιτρὰν μίαν, ἤγουν ἡμίναν. καὶ ἄλλως ξέστου μέτρον τὸ ἥμισυ. Ἀλάβαστρον δὲ λέγεται, διὰ τὸ ἔνθρυπτον ἀλὶ ἀπεικαζόμενον.

Ἀλαβὴς, ὁ ἰχθὺς, ὃ ἐστερημένος τοῦ λαβέσθαι, ἤγουν διὰ χειρὸς κρατεῖσθαι.

Ἀλαίνω, τὸ πλανῶμαι, παρὰ τὸ ἄλην, ὃ σημαίνει τὴν πλάνην.

Ἀλαζὼν, ὁ ἀπατεὼν καὶ κομπαστής· εἴρηται δὲ ἐν ἄλῃ καὶ πλάνῃ, καὶ ἐκ τοῦ περιϊέναι ζῶν. ἢ ὡς χρύσιππος [2]) ὁ ἄλλως ζῶν, οὐκ ἀπὸ ἐπιτηδευμάτων, ἀλλὰ ἀπάτης.

Ἀλαλάξατε, παρὰ τὸ ἀλαλάζω, τοῦτο ἐκ τοῦ λαλῶ, λαλάζω καὶ ἀλαλάζω. ἢ ἐκ τοῦ ἀλαλὴ ὃ σημαίνει τὸν θόρυβον.

Ἀλαλάζω, ὁ μέλλων ἀλαλάξω. γέγονε δὲ παρὰ τὸ λαλεῖν, λαλαγὴ καὶ ἀλαλάζω, ἐξ οὗ καὶ τὸ ἀλαλάξατε, τουτέστιν ὑμνήσατε τὸν θεόν.

Ἀλαπάζω, κενῶ καὶ ἀναλίσκω· οὗ ὁ μέλλων ἀλαπάξω, τὸ ἐκκενῶ. ἐξ οὗ καὶ ἀλαπαδνὸς, ὁ κενὸς τῆς δυνάμεως. Λάπαθον εἶδος βοτάνης κενωτικὸν γαστρός. Ἀλαπάξαι ἐκπορθῆσαι παρὰ τὸ λάπαθον τὴν βοτάνην· καὶ Δημόκριτος τοὺς βόθρους τοὺς περὶ τῶν γεννηγετῶν [3]) γινομένους λαπάθους καλεῖ, διὰ τὸ κενοῦσθαι. Ἀλαπάξαι οὖν κυρίως τὸ ἐκκενῶσαι· καὶ εἰς τὸ κενέων καὶ λαπάρα.

Ἀλαλαγμὸς, ὀλολυγμὸς διαφέρει. Ἀλαλαγμὸς ἔστιν ἐπινίκιος ἐν πολέμῳ κρότος, ὀλολυγμὸς δὲ ἔστιν κραυγὴ θρηνοτικὴ, καὶ ὀδυρμοῦ σημεῖον.

Ἀλαλητὸς, ὁ θόρυβος διὰ τὸ τῶν πολλῶν λάλημα εἶναι.

Ἀλαλύκτηκαι, τὸ ἀδημονῶ καὶ περιπεπλάνημαι· ἐκ τοῦ ἀλῶ, ἀλύσω, ἀλυκτὸς, γίνεται ῥῆμα ἀλυκτέω, ἀλυκτῶ, ὁ μέλλων ἀλυκτήσω, ὁ παρακείμενος ἠλύκτηκα, ὁ παθητικὸς ἠλύκτημαι. καὶ ὁ ἀττικὸς ἀλαλύκτημαι.

Ἀλαὸς, ὁ τυφλὸς κατὰ διάλυσιν.

Ἀλαῶ, σημαίνει δύο, ἀλαῶ τὸ ληφθῶ ἤτοι τὸ κρατοῦμαι, ἀλαῶ δὲ τὸ τυφλῶ, κατὰ στέρησιν τοῦ λαλεῖν ὃ ἔστι βλέπειν, ἐξ οὗ καὶ ἀλάωσαν τὸ ἐτύφλωσαν.

Ἀλακάτη, καὶ ἠλακάτη ἀπὸ τοῦ ἄγω, ἄξω, ἀκτὸς, εἴρηται καὶ ἄκτη, κατὰ πλεονασμὸν ἐν μαν .... *) τοῦ α, ἀκατὴ, καὶ ἐπεισελθόντος πάλιν τοῦ αλ ... μορίου, ὡς ἐπὶ ἄλλων πλείστων εἴρηται ἀλακάτη καὶ ἠλακάτη κατὰ Ἴωνας τὴν ἀγωγὴν τοῦ περιάγοντος αὐτὴν καὶ γενομένου νήματος ἐρίου ἢ λίνου. ἠλακάτη κατ' Ἴωνας, ὡς ἀπεδανὸς καὶ ἠπεδανός. Οὕτως οὖν Φιλόξενος ἐν τῷ περὶ διπλασίων.

Ἀλαπάζοντα, στίχας ἀνδρῶν πορθοῦντα, φθείροντα, κυρίως δὲ κενοῦντα, διὸ καὶ Ἀθηναῖοι τὰ τῆς γῆς κενώματα ἀλάπαθα καλοῦσι.

Ἀλαπάζειν, φθείρειν, ἐκ τοῦ λάπαθος ἥτις ἐστὶ βοτάνη κενωτικὴ καθαρτικὴ γαστρὸς, καὶ γίνεται παρὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὸ πάθος, παρὰ τὸ λίαν ἄποθεν ἡμῶν ποιεῖν τὰ πάθη. ἐκ τούτου γίνεται λαπάζω, καὶ πλεονασμῷ του α ἀλαπάζω. καὶ ἐξαλαπάξαι.

Ἀλᾶσθαι, παρὰ τὸ ἀλῶ ὃ σημαίνει τὸ πλανῶ, ὁ παθητικὸς ἐνεργητικὸς ἀλῶμαι, τὸ ἀπαρέμφατον ἀλᾶσθαι. τὸ δὲ ἀλῶ παρὰ τὸ τὴν ἄλην, ὅ ἐστι τὴν πλάνην. τουτέστι [4]) παρὰ τὸ ἅλα, ὅ ἐστι τὴν θάλασσαν· κυρίως γὰρ ἄλη ἡ ἐν θαλάσσῃ πλάνη. καὶ εἰς τὸ ἀλᾶσθαι [5]).

Ἄλαλος, παρὰ τὸ λαλῶ λάλος, καὶ μετὰ τοῦ στερητικοῦ α ἄλαλος.

Ἄλαστα, τὰ κακὰ ἀνεπίληστά τινα ὄντα· ἢ παρὰ τὸ λάζεσθαι, ὅ ἐστι λαβεῖν, ἃ οὐκ ἄν τις λαβῇ, φευκτά· ἐκ δὲ τοῦ ἐναντίου εἴρηται ἐσθλόν· ἐσθλόν τι ὃ θέλει τις ἔχειν.

Ἀλᾶται, πλανᾶται.

Ἄλαλος, ἐκ τοῦ λαλῶ, λάλος, καὶ μετὰ τοῦ στερητικοῦ α ἄλαλος.

Ἀλάστωρ, ὁ νεκρὸς, ὁ φονεὺς καὶ ὁ ἐφορῶν τοὺς φόνους Ζεὺς, ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος τοῦ ἐλαύνεσθαι· ἢ ἀπὸ τοῦ ἀλᾶσθαι, ὅ ἐστι πλανᾶσθαι, ἢ ὁ ἀλήστωρ δρῶν.

Ἀλαστῶ, λάζω τὸ λαμβάνω, λαστῶ καὶ ἀλαστῶ τὸ οὐ λαμβάνω. Ἀλαστὸν δ' οὐκ ἄν τις θέλει λαβεῖν.

Ἀλάστωρ, ὁ Ζεὺς, ὁ ἐποπτεύων τοὺς ἀλαστὰ καὶ χαλεπὰ ποιοῦντας. ἢ ὁ ἀσεβὴς, ἢ ὁ κακοποιὸς, οὕτως Ἡρωδιανός.

Ἄλγιον, αἴσχιον, ἀλγίων αἰσχίων ι καθόλου τὰ τοιαῦτα συγκριτικὰ τύπῳ παρηγμένα διὰ τοῦ ι γράφεται μόνου, ὅτι ἐστὶ ὑπὲρ δύο συλλαβάς· οἷον σταχίων, βραδίων, ἡδίων, κακίων, καὶ κάκιον, ἥδιον, τάχιον.

Ἀλαῶς, τετυφλώμενος, παρὰ τὸ λαῶς, στερητικὸν δὲ τὸ α.

Ἄλγος, λύπη, πόνος παρὰ τὸ ἀλέγω τὸ φροντίζω· ὃ περὶ πολλοῦ ποιούμεθα καὶ φροντίζομεν οἷον ἀλέγει τις καὶ ὀνομάζει. καὶ εἰς τὸ γλωσσαλγία.

Ἀλδήσκω, τὸ αὐξάνω, παρὰ τὸ ἀλῶ, ἀλήσω, ἀλήσκω καὶ πλεονασμῷ τοῦ δ, ἀλδήσκω.

Ἀλδαίνειν, τὸ αὔξειν, παρὰ τὸ ἄλλεσθαι καὶ πηδᾶν, κατὰ τὴν αὔξησιν.

Ἀλγηδὼν, παρὰ τὸ ἀλγῶ, ἀλγήσω, ἀλγηδών· τὸ δὲ ἀλγῶ παρὰ τὸ ἄλγος, τοῦτο παρὰ τὸ ἀλέγω τὸ φροντίζω, ἄλεγος καὶ κατὰ συγκοπὴν ἄλγος.

Ἀλεγίζω, παρὰ τὸ λέγω [6]) τὸ φροντίζω, τοῦτο παρὰ τὸ λέγω [7]) ἡ φροντίς, οἷον, οὐ ποιοῦμεν αὐτοῦ λόγον, ἤγουν φροντίδα, λέγω οὖν μετὰ τοῦ ἐπιτατικοῦ α ἀλέγω, καὶ ἐξ αὐτοῦ ἀλεγίζω τὸ παράγωγον.

Ἀλείπης, πηγὴ, ἐν Ἐφέσῳ οὕτω καλεῖται, διὰ τὸ μὴ λείπειν ποτέ.

---

1) (Sic.) 2) (Sic.) 3) γεννηγετῶν (Sic). v. Etym. M. *) (Sic). 4) (Sic.) 5) ἀλᾶσθαι (Sic). 6) (Sic.) 7) (Sic). L. λόγος.

Ἀλέασθαι, ἐκκλῖναι, ἀναχωρῆσαι· κυρίως δὲ τὸ ἀπὸ πυρὸς ἐκφυγεῖν· ἀλέα γὰρ ἡ θέρμη τοῦ πυρὸς, δαλέα τις οὖσα, ἀπὸ τοῦ δαίω τὸ καίω.

Ἀλεείνω, τὸ ἐκκλίνω ἐκφεύγω, φυλάσσομαι. σημαίνει δὲ τὴν θεραπείαν· καὶ γίνεται παρὰ τὸ ἀλέα, οἱονεὶ ἐκ τοῦ ψύχους εἰς τὴν θερμασίαν ἀποφεύγω. Μέλλοντα οὐκ ἔχει, ἀλλ' ἄχρι τοῦ παρατατικοῦ κλίνεται. Ἀλεείνω τὸ ει δίφθογγος; τὰ διὰ τοῦ ειν ω ῥήματα τὴν ει δίφθογγον ἔχει, ἀλεείνω, φαείνω· τὸ δὲ ἀλεείνω μέλλοντα οὐκ ἔχει· τὰ γὰρ διὰ τοῦ ειν ω ῥήματα ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς ει διφθόγγου γράφεται, καὶ μέλλοντας οὐκ ἔχουσι. τὸ δὲ ἀλεείνω γίνεται παρὰ τὸ ἀλέα, ὃ σημαίνει τὴν θέρμην.

Ἀλείαρ, σημαίνει τὸ ἄλευρον, ἐκ τοῦ ἀλέαρ κατὰ προσθήκην τοῦ ι, γίνεται ἀλείαρ.

Ἄλεισον, ποτήριον μέγα, παρὰ τὸ ἄλις πίνειν ἐξ αὐτοῦ, ἄλις δὲ τὸ ἀθλοῦν τὸ ποτήριον.

Ἄλεισον, τὸ ποτήριον, διφθόγγῳ, παρὰ γὰρ τὸ ἄλις ἐτυμολογεῖται. ἐξ οὗ ἔστιν ἀθρόα πίνειν.

Ἀλείτης, τὸ λει δίφθογγος διὰ τί; τὰ διὰ τοῦ ιτης παρώνυμα διὰ τοῦ ι γράφεται, πλὴν τοῦ ἀλείτης καὶ τὰ ὅμοια. τοῦτο δὲ ἐπειδὰν ἀντιπαράκειται αὐτὸ τὸ ο ἀλοίτης. σημαίνει δὲ καὶ αὐτὸ τὸν ἁμαρτωλόν. Καθόλου δὲ τὰ ἔχοντα τὸ ο ἀντιπαρακείμενον, ἔχουσι τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν. ἢ ὅτι κατὰ διάλεκτον αἰολικήν. Οἱ γὰρ Αἰολεῖς τὴν ει δίφθογγον εἰς οι τρέπουσι· τὸ γὰρ ὄνειρον ὄνοιρον λέγουσι, καὶ τὸ ἐπείγω ἐποίγω. γίνεται δὲ παρὰ τὸ ἀλιτῶ τὸ ἁμαρτάνω· ἐξ οὗ ἀλείτης ὁ ἁμαρτωλὸς, παρὰ τὸ τὰς λιτὰς μὴ τηρεῖν· ὅθεν καὶ ἀλεξίων διὰ τοῦ ι γράφεται, ὅτι παρὰ τὸ ἀλιτῶ γίνεται, τοῦτο γὰρ διὰ τοῦ ι γράφεται, ἐξ οὗ καὶ ἀλιτρὸς ὁ ἁμαρτωλός. ἡ δὲ παράδοσις διὰ τῆς ει διφθόγγου.

Ἀλείτης, πλάνος ἢ ἁμαρτωλός· ἀλίτης δὲ ὁ ἁλιευτὴς ι καὶ πόθεια [1]). γίνεται ἐκ τοῦ ἄτη ὃ σημαίνει τὴν βλάβην.

Ἀλεγεινὸς, διφθόγγῳ παρὰ τὸ ἀλέγειν, καὶ τὸ ἀλέγω. καὶ τὸ ἀλεγεινὸς, παρὰ τὸ ἀλεγείνω· οὕτω καὶ ἐλεείνω φαείνω: τὸ μὲν ὁρίνω ι, ἐπεὶ οἱ αἰολεῖς ὀρίνω.

Ἀλείφω, χρίω, ἤλειψεν ἔχρισεν.

Ἀλείπτης, διφθόγγῳ παρὰ τὸ ἀλείφω, λέγεται δὲ ὁ συνηγρόν [2]).

Ἀλεωρὴ, ἡ φυλακὴ καὶ ἡ φυγή· ἡ μὲν φυλακὴ παρὰ τὸ ἀλέαν τὴν θερμασίαν, καὶ τὸ ὠρεῖν τὸ φυλάσσειν· ἡ δὲ φυγὴ, παρὰ τὸ ἀλέασαι ἀπαραφυλάκτως. λέγεται δὲ καὶ τὸ συνάθροισμα τοῦ λαοῦ.

Ἀλείφω, διφθόγγῳ τὰ γὰρ ἀντιπαρακείμενον ἔχοντα τὸ ο ἔχουσι τὸ ε ἐγκείμενον.

Ἄλειπτος, ἐκ τοῦ ἀλῶ, τὸ πορθῶ, ἀλώσω.

Ἀλίβας, ὁ νεκρὸς καὶ ξηρὸς, ὁ μὴ ἔχων νοτίδα, καὶ λιβάδα τινά· οἱ γὰρ ζῶντες ὑγροί.

Ἀλέκτωρ, ὁ ἄρσην· ἀλεκτορὶς δὲ ὄρνις θήλεια.

Ἀλέκτωρ, παρὰ τὸ λέγω λέκτρον; ὡς κραίνω κρατρόν· ἢ παρὰ τὸ λέχω τὸ κοιμῶμαι, ἀλέκτωρ ὁ μὴ κοιμώμενος· καὶ εἰς τὸ ἤλεκτρον.

Ἀλέκταρ, διὰ τὸ ἄλλεσθαι καὶ τινάσσεσθαι, καὶ δηλεῖν τὴν ὥραν. τὸ γὰρ ἄλαι ῥωμαῖοι πτέρυγας καλοῦσι. κατάγων γὰρ καὶ ἀνάγων τὰς πτέρυγας, λέγει τὴν ὥραν.

Ἀλέκτωρ, εἶδος ὀρνέου ἀγρυπνητικὸν, ἀλεκτρυὼν ἀλεκτρυόνος.

Ἀλέξανδρος, παρὰ τὸ ἐπαλεξεῖν τῇ πατρίδι τοῖς πολεμίοις.

Ἀλέξω, ἐκ τοῦ ἀλέγω τὸ βοηθῶ, ἀλεξήσω ὁ μέλλων, ἀλέξημα τὸ ἰατρικὸν βοήθημα, ἐξ οὗ καὶ τὸ, ἵκται [3]) γὰρ αὐτὴν ἐξαλεξῆσαι θέλων. σημαίνει δὲ καὶ τὸ ἐξ ἀσθενείας ὑγιάναι.

Ἄλευρος, ὄνομα θηλυκὸν, παρὰ τὸ ἀλήθω, ἀλήσω, ἀλεύθω καὶ ἄλευρον.

Ἀλεξάνδρεια, καὶ ἀντιόχεια κατὰ παρώνυμον παραγωγὴν γέγονε. ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ γέγονε τοῦ ἀλεξάνδρου καὶ ἀντιόχου· καὶ ὅσα παρεσχηματισμένα τοῖς εἰς ευσ διὰ διφθόγγου γράφεται.

Ἀλευρότησις, ἡ κοσκίνησις, παρὰ τὸν σήσω μέλλοντα σῆσις καὶ ἀλευρότησις.

Ἀλεύατο, ἀλέω τὸ πλάνω καὶ ἐκκλίνω.

Ἀλεύω, ποίου σχήματος; συνθέτου ἐκ τοῦ ἀλῶ τὸ πλάνω καὶ τὸ ἐκκλίνω· τοῦτο ἐκ τοῦ λῶ τὸ θέλω, μετὰ τοῦ στερητικοῦ α ἀλῶ. οἱ γὰρ παλαιοὶ οὐ θέλοντες πλανῶνται, καὶ ὧν βούλονται οὐ τυγχάνουσι.

Ἀληθινὸς, ἐκ τοῦ ἀληθὲς γίνεται ἀληθινὸς, τὸ θι ἰῶτα.

Ἀλεώρη, ἡ φυλακὴ, σημαίνει δὲ καὶ φυγήν· παρὰ τὴν ἀλέαν, ὃ σημαίνει τὴν θερμασίαν, καὶ τὸ ὠρεῖν τὸ φυλάσσειν.

Ἀλήθεια, ἐκ τοῦ ἀληθὴς ἀρσενικοῦ, καὶ εἰς θηλυκὸν μετῆλθε διὰ τὴν ει δίφθογγον ἀλήθεια.

Ἀληθὲς, παρὰ τὸ λήθη τὸ μὴ λήθῃ τοῦ δικαίου ὑποπίπτον.

Ἀληθῶς, ἐπίῤῥημα βεβαιώσεως.

Ἄληκτον, παρὰ τὸ λήγω τὸ παύω· τὸ λη ἦτα διὰ τὸ, καὶ λέληκται· ὁ κατάπαυστος [4]) καὶ πολυς· ἐξ οὗ καὶ, ἄληκτον ὑμνεῖ τὸν κενούμενον λόγον. ἔστι δὲ ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ ἀλήκτως· μετάγεται γὰρ ἀπὸ ὀνόματος εἰς ἐπίῤῥημα μεσότητος· ἔστι τὸ ἄληκτον τὸ κτον μικρὸν, καὶ ἐπίῤῥημα ὁμοίως, καὶ φυλάσσει τὴν αὐτὴν γραφήν. Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς ἐπιῤῥηματικὴν σύνταξιν μεταγόμενα, καὶ τὴν αὐτὴν γραφὴν ταῖς πτώσεσιν ἔχει.

Ἀλησία, ἡ ἀφροδίτη, διὰ τὸ περὶ πᾶν ζῶον ἀλᾶσθαι.

Ἄληστα, διὰ τὸ ἀνεπίληστα εἶναι τὰ κακά.

Ἀλήτης, ὁ ἡρακλέους ἀπόγονος, ἀφ' οὗ καὶ οἱ κορύνθιοι ἀλητίδαι λέγονται.

Ἀλθαίνω, τὸ θεραπεύω, παρὰ τὸ ἄλθω. τοῦτο παρὰ τὸ ἄρδω [5]) τὸ βρέχω, ἐξ οὗ καὶ ἀρδεύω, ὥσπερ ὅταν βρέχῃ ξηρὰν οὖσαν τὴν γῆν, ἄτροφον αὐτὴν ποιεῖ. οὕτω καὶ ταῦτα.

Ἄλθετο, τὸ ὑγιανθῆναι καὶ τὸ θεραπευθῆναι, παρὰ τὸ ἀλδαίνειν, ὅ ἐστι αὔξειν. τὸ γὰρ ὑγιὲς αὔξεται. καὶ ὁ τῆς κορύνθου βασιλεύς [6]).

Ἀλήτης, ὁ πλανήτης, ἀπὸ τοῦ ἄλη ἡ πλάνη, καὶ ἀλητεύω τὸ πλανῶμαι. ἀλῆτις δὲ ὄνομα θηλυκόν.

Ἀλεξῶ, τὸ βοηθῶ παρὰ τὸ ἄλοχον· κυρίως τὸ γυναικὶ βοηθῆσαι. καταχρηστικῶς δὲ καὶ τὸ ὁπωσδήποτε. Ἀπὸ τοῦ ἄλκω ἄλξω, καὶ πλεονασμῷ τοῦ ε ἀλέξω, ὅπερ εἰς ἐνεργητικὸν ἀναχθὲν βαρύνεται ὑπὸ τῶν Ἀττικῶν.

---

1) (Sic.) 2) (Sic.) 3) ἵκται (Sic.) 4) (Sic.) Lego ἀκατ. 5) (Sic.) 6) καὶ — βασιλεύς. (Sic) pertinent ad ἀλήτης paulo ante lin. 41.

Ἀλίβας, ὁ νεκρὸς παρὰ τὸ λιβάδα καὶ ποιότητα μὴ ἔχειν. καὶ εἰς τὸ ἄζω. καὶ ζωννύω καὶ ὑγιής.

Ἀλιζῶνες, οἱ βυθηνοὶ, ὅμηρος, αὐτὰρ ἀλιζώνων καὶ ἐπίστροφος ἦρχον. διότι ἡ γῆ αὐτῶν θαλάσσῃ διεζώνννυται, καὶ οἱονεὶ χερόνησός ἐστιν ὑπὸ τοῦ εὐξείτου τῆς [1]) προποντίδος διεζωτμένη.

Ἀλιζώνων. τῶν παμφλαγόνων παρὰ τὸ ὑπεζῶσθαι τῇ ἁλί.

Ἅλιον, τὸ μάταιον, ἅλιον δὲ τὸ θαλάσσιον δασύνεται. ἀπὸ τῆς ἁλὸς γενικῆς, ἐν οὐδενὶ λόγῳ κειμένη. Πρὸ τῆς τῶν νηῶν εὑρέσεως γὰρ, τὸ τῆς θαλάσσης ὕδωρ ἄχρηστον.

Ἅλιος, νῦν ἐπίθετόν ἐστι κύριον [2]). τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος γινόμενα, μὴ σημαίνοντα μέρος σώματος, μηδὲ μεθουσίαν, μηδὲ κτητικὰ ὄντα, διὰ τοῦ ι γράφεται. οἷον, Φρὺξ, Φρυγὸς, Φρύγιος, χθὼν, χθονὸς, χθόνιος, ἢ μέρος σώματος, οἷον αἴγειος, βόειος, χήνειος, φλόγειος μετουσιαστικὸν οἷον ἀργύρειον ῥρίον, χρύσειον εἶμα [3]).

Ἅλιον, τὸ μάταιον, τὸ εἰς θάλασσαν ῥιπτόμενον, καὶ ἀφανιζόμενον, ἢ παρὰ τὸ ἅλα, ἀπὸ τοῦ μὴ εὐχρηστεῖν εἰς πόσιν τὸ θαλάσσιον ὕδωρ.

Ἀλητηρία [4]), δημήτηρ καὶ ὁ ἀλητήριος Ζεὺς, ὅτι λιμοῦ συντόμου γινομένου τοὺς ἀληθοῦντας πάντας ἐφυλάττοντο, διὰ τὸ μὴ βλέπειν τι τῶν ἀλουμένων [5]). ὡς οὖν ἐπόπτας καὶ τηρητὰς τῶν ἀλουμένων τοὺς θεοὺς οὕτως ἐπονόμαζον.

Ἁλίαρτος, ἡ πόλις, ἢ ὅτι ἐκ τῶν ἁλιέων, τοῦ ἄρτου [6]).

Ἁλιβδύειν, τὸ καταβαίνειν εἰς θάλασσαν, καταχρηστικῶς δὲ καὶ μεταφορικῶς, καὶ τὸ ἀφανίζειν· παρὰ τὸ ἅλα καὶ τὸ βδύειν αἰολικῶς πλεονασμῷ τοῦ β ὡς σίδειν, σίβδειν, ἀλιδύειν ἀλιβδύειν.

Ἀλιτία, καὶ ἀλιτρία ἡ ἁμαρτία, καὶ ἀλίτριχ ἡ ἁμαρτωλὸς, καὶ ἀλιτρὸς ὁ ἁμαρτωλὸς, καὶ ἀλιτὴρ ὁ ἁμαρτωλός. Τὸ λι ἰῶτα, καὶ τὸ τη ἦτα εἴρηται. Ἀλιτὴρ λέγεται παρὰ τὸ στέρησιν ἔχειν λιτῆς. τὸ λιτὴ διὰ τὸ ι γράφεται, τὰ γὰρ εἰς τη οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι.

Ἀλιτηρίου, ἀθέου, ἁμαρτωλοῦ, πλανητοῦ, θανάτῳ ἐνόχου.

Ἀλίσπαστον, καὶ ἀλίσπαρτον διαφέρουσι [7]). Τὸ μὲν γὰρ ἅλι πεπασμένον κρέας ἢ ἰχθὺν ἔλεγον ἀλίσπαστον. ἀλίσπαρτον δὲ, τὴν ἁλὶ κατεσπαρμένην χώραν. τῶν γὰρ ἀρχαίων τινῶν βαρβάρων δυσμένως διακειμένων πρὸς τοὺς ἕλληνας τὰς χώρας αὐτῶν ἁλὶ κατέσπειρον, εἰς τὸ μηκέτι δύνασθαι φέρειν καρπούς. ὅθεν καὶ ὁ βίος [8]) τοὺς ᾐκισμένους δεινῶς, καὶ δυσθεραπεύτως ἔχοντας τὰ σώματα ἀλισπάρτους καλεῖ.

Ἀλίπεδον, τὸ παραθαλάσσιον πεδίον, παρὰ τὴν ἁλὸς γενικὴν, καὶ τὸ πέδον· ἀλίπεδον ὁμαλεῖν ἔδαφος παρὰ τῇ θαλάσσῃ πεδίον [9]).

Ἅλις, ἐπίῤῥημα σημαῖνον τὸ πολὺ παρὰ τὴν ἅλαν πολλὴν οὖσαν.

Ἅλις, ἐπίῤῥημα δηλοῦν τὸ δαψιλῶς καὶ πολὺ, παρὰ τὸ ἄλις τὸ ἀληθές. καὶ τροπῇ τοῦ η εἰς α. πολλὰ ἐκπαράλληλα.

Ἅλις, ἱκανῶς ἐπίῤῥημα μεσότητος. δασύνεται διότι τὸ ἀθροιστικὸν α δασύνεται, οἷον ἅλις, ἅπας, γίνεται οὖν τὸ ἅλις ἐκ τῆς ἁλὸς γενικῆς.

Ἅλις, ἐπίῤῥημα ἐν αὐτῷ γὰρ ἀθρόον καὶ ἱκανόν ἐστι τὸ ὕδωρ.

Ἀλίσαι, τὸ κυλίσαι, παρὰ τὸ κυλίω, τροπῇ τοῦ υ εἰς α καλίω, καὶ πλεονασμῷ τοῦ ν καὶ δ καλίνδω, ὅπερ καὶ περισπᾶται καὶ βαρύνεται ἐκ τούτου κατ' ἀφαίρεσιν τοῦ κ ἀλίω γίνεται καὶ ἀλίνδω. ἀπὸ τοῦ ἀλίω ἤλικα καὶ ἤλισα· καὶ ὡς κόλυν βοηθρα [10]) ἀλινδηθρά.

Ἀλιτείνης, ὁ παράλιος τόπος, ὁ παρατεταμένος τῇ θαλάσσῃ.

Ἄλκαρ, ἴαμα καὶ βοήθημα.

Ἀλκαία, ἡ οὐρὰ, κυρίως ἡ τοῦ λέοντος, διὰ τὸ εἰς ἀλκὴν αὐτὸν τρέπειν· ἔχει γὰρ ἐπὶ τῇ οὐρᾷ κέντρον, ἀφ' οὗ παροξύνεται καθὼς φησιν ἱερώνυμος καὶ ἐπαφρόδιτος ἐν ὑπομνήσει ἀσπίδος Ἡσιόδου.

Ἀλκὴ, ἡ ἰσχὺς ἀρκή τις οὖσα· ἡ βοητικὴ ἀρκὴ γὰρ τὸ βοηθεῖν.

Ἀλκὴ, παρὰ τὸ ἀλκῶ τὸ βοηθῶ ἀρκὴ, καὶ κατὰ μετάθεσιν τοῦ ρ εἰς λ, ἀλκή. ἢ παρὰ τὸ τὴν ἀκμὴν τοῦ ἡλίκου· τοῦτο παρὰ τὸ κμῶ τὸ κοπιῶ γίνεται κμὴ, καὶ μετὰ τοῦ στερητικοῦ α ἀκμή. εἰ [11]) μὴ ταχέως κάμνουσα καὶ κοπιῶσα, ἀλλὰ φέρειν κόπους δυναμένη.

Ἀλκύων, ὄνομα ὀρνέου. λέγεται δὲ ὑποκοριστικῶς ἀλκιονὶς παρὰ τὸ ἐν τῇ ἁλὶ κύειν, ὅ ἐστιν ἐν θαλάσσῃ γεννᾶν. καὶ φασὶ ὅτι κύματα αὐτῷ ἀεὶ τὰ ὠὰ ἐπικλύζοντο, καὶ οὔσης ἀτέκνου ὁ Ζεὺς ἐλεήσας, ὥρισεν ἡμέρας τινὰς εὐδινὰς [12]) ἃς καλοῦσιν ἀλκυονίδας.

Ἀλλὰ, ὁ ἀλλὰ σύνδεσμος ἀντὶ τίνος παραλαμβάνεται; ἀντὶ τοῦ δὲ, οἷον, ἡμέρα μέν ἐστι, τὰ δὲ [13]) νέφη οὐχ ὁρῶ. κατὰ πόσους τρόπους διαφέρει ὁ ἤτοι σύνδεσμος τοῦ μεν συνδέσμου; κατὰ δύο· ὅτι ὁ μὲν ἤτοι ποιητικῶς λαμβάνεται, ὁ δὲ μὲν συνήθης ἐστί. καὶ ὅτι ὁ μὲν ἤτοι κατ' ἀρχὰς τίθεται, ὁ δὲ μὲν κατὰ τὸ μέσον παραλαμβάνεται.

Ἀλλ' ἄνα, ὁ ἀλλὰ σύνδεσμος, ἄνα δὲ ἡ εὐθεῖα ὁ ἄναξ. σημαίνει δὲ τρία, τὸν βασιλέα, ὡς τὸ ἄναξ ἀνδρῶν, καὶ τὸν θεὸν, ὡς τὸ, ὄφρα ἱλασσώμεθ' ἄνακτα, καὶ τὸν οἰκοδεσπότην, ὡς τὸ, αὐτὰρ ἐγὼ ἄναξ οἴκοι ἔσομαι [14]). καὶ ἡ κλητικὴ ὦ ἄναξ, ἀπέβαλε δὲ τὸ ξ ποιητικῶς, ὥσπερ καὶ τὸ ζεῦ ἄνα, ἀποβολῇ τοῦ κλητικοῦ ὦ.

Ἀλλ' ἄγετε, τὸ ἄγε στέρημά [15]) ἐστιν ἢ ἐπίῤῥημα; καὶ λέγομεν ἐπίῤῥημα. ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ ἀριθμὸν ἐπιδεχόμενα μετὰ τῆς δεούσης τῶν προσώπων καταλήξεως ῥήματά εἰσι, καὶ ὤφειλεν εἶναι ἐπίῤῥημα. Ἀλλ' ἕτερος κανών ἐστιν ὁ ποιῶν αὐτὸ ἐπίῤῥημα· ὥσπερ γὰρ τὸ δεῦρο ὁμολογουμένως ὂν ἐπίῤῥημα, ἐχόμενον δὲ προστακτικῆς ἐννοίας, μετὰ συνεκδρομὴν ἀριθμοῦ ἐδέξατο, ὡς ἐν τῷ, δεῦτε ὦ φίλοι τὸν ξεῖνον ἐρύομεν· οὕτω τὸ ἄγε ἐπίῤῥημα ὂν, κατὰ συνεκδρομὴν τοῦ ῥήματος ἔσχε πληθυντικῶς τὸ ἄγετε.

Ἀλλαντοπώλων, κρεωκόπων, κρεωπώλων καὶ σαλσικόπων, ἀλλᾶς ἀλλᾶντος καὶ τὸ πωλῶ γίνεται ἀλλαντοπώλης. τὸ δὲ ἀλλᾶς παρὰ τὴν ἀόλλησιν τῶν κρεῶν, ἢ παρὰ τὴν ἄλησιν, τουτέστι συγκοπήν· συντάσσεται δὲ τὸ πωλῶ πτώσει δοτικῇ καὶ αἰτιατικῇ· καὶ εἰς τὸ ἱμαῖος.

---

1) εὐξείτου τῆς (Sic) cfr. Etym. M. 2) ἐπιθ. — κύριον Sic) cfr. Etym. M. 3) ῥρίον — εἶμα (Sic.) 4) (Sic) L. ἀλιτ. 5) συντόμου — ἀλουμένων (Sic) cf. Etym. M. v. Ἀλιτήριος. 6) (Sic) cfr. Etym. M. 7) cf. Ammonius p. 11. Ed. Valck. 8) ὁ βίος cfr. inf. v. χυλός. 9) ὁμαλεῖν — πεδίον (Sic). 10) (Sic) L. κολυμβηθρα. 11) (Sic) F. ἡ. 12) (Sic.) 13) (Sic) cf. Etym. M. 14) αὐτὰρ — ἔσομαι (Sic) cf. Etym. M. v. ἄναξ. 15) (Sic) L. ἄγετε ῥῆμα etc. Vid. Etym. M. h. v.

Ἀλλήλοισι, ἀλλήλοις, ἡ εὐθεῖα τῶν πληθυντικῶν οὐκ ἔστι διὰ τί; διότι ἡ τοῦ ῥήματος σύνταξις τὴν ἐν τοῖς δευτέροις προσώποις μετάβασιν δηλοῖ. τὸ γὰρ ἀλλήλων ἤκουσαν τοιοῦτόν τι ἔστιν, ἄλλοι ἄλλους ἤκουσαν. ἀλλήλους ἔτρωσαν, οἱ ἄλλοι ἄλλους. Ἐγγινομένης δὲ τῆς εὐθείας ἐν τῷ ἀλλήλους νοηθήσεται τὸ ἄλλοι ἄλλοι, ὅπερ ἄλογον, διὰ τὸ ἀλλ' ἐπάλληλον τῶν δύο εὐθειῶν.

Ἀλληλούια, τῇ ἑβραΐδι διαλέκτῳ τὸ αλ κραταιὸς, τὸ λη θεὸς, καὶ τὸ ουια, οὗτος μόνος, τὸ ου οὗτος καὶ τὸ ια μόνος. καὶ ἄλλως, τὸ αλ μεθ' ἡμῶν, τὸ λη θεὸς καὶ τὸ ουια νίκος. καὶ ἄλλως, αλ θεὸς, λη ἰσχυρὸς, ουια κραταιός. καὶ ἄλλως, τὸ αλ ἔρχεται ἢ ἐφάνη, τὸ λη θεὸς, τὸ ουια ζῶν. τετρασυλλ. ἔχει δὲ μέρη λόγου δ [2]). καὶ ἄλλως, ἀλληλοῦ, αἰνεῖτε, ια τὸν κύριον.

Ἀλληγορία, παρὰ τὸ ἄλλως ἀγορεύεσθαι, παρὰ τὸ κείμενον.

Ἄλλον, ἀσύναρθρόν ἐστιν ἢ σύναρθρον; ποτὲ μὲν σύναρθρον, ποτὲ δὲ ἀσύναρθρον. καὶ ποτέ ἐστιν ἀσύναρθρον, καὶ ποτὲ σύναρθρον; ἡνίκα τοῦ κατηγορουμένου πλήθους ὅλον ἐστὶν ἐμπεριληπτικὸν, τὴν δὲ διαίρεσιν μερικὴν ποιεῖτε [3]), ἕξει καὶ τὸ ἄρθρον παραλαμβανόμενον. ὅτε δὲ ἀόριστόν ἐστιν τότε ἐμποδίζει καὶ τὰς τῶν ἄρθρων παρεμπτώσεις.

Ἄλλο τοῦτο, διὰ τί σεσημείωται; τὰ ἀπὸ οὐδετέρων παρασχηματιζόμενα ἀρσενικὰ, καὶ ὁμοφωνοῦντα τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, τὸ ἄρθρον ἐστὶ τὸ διακρῖνον. Ἐὰν γὰρ εἴπω σοφὸν, τοῦτο ἄδηλον, εἴτε εὐθεῖας ἐστὶν οὐδέτερον, εἴτε ἀρσενικοῦ αἰτιατική· προσερχομένων δὲ τῶν ἄρθρων διαφορὰν ποιοῦσιν. ἐὰν γὰρ εἴπω τὸν σοφὸν, τοῦτο ἐστιν αἰτιατικῆς τοῦ ἀρσενικοῦ, ἐὰν δὲ τὸ σοφὸν, εὐθείας οὐδετέρου· ἐπεὶ οὖν ἡ ἄλλο τοῦτο ἀντωνυμία οὐ δέχεται ἄρθρα, τὰ ὀφείλοντα διάκρισιν ποιεῖσθαι τῇ τε αἰτιατικῇ τοῦ ἀρσενικοῦ καὶ τῇ εὐθείᾳ τῶν οὐδετέρων, τούτου χάριν σεσημείωται.

Ἀλλοδαπῷ, ξένῳ. γίνεται ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν, ἤγουν τῶν ἄλλων, καὶ κατὰ παράγωγον ἀλλοδαπός. δι' ἣν αἰτίαν ἐκ μόνων τῶν πληθυντικῶν ἐγένετο ἡ παραγωγὴ τῶν κτητικῶν ἀντωνυμιῶν, καὶ οὐ καθ' ἕκαστον ἀριθμόν; καὶ λέγουσιν, ὅτι ἐπειδὴ ἀνέφικτόν ἐστιν ἐξ ἑνικοῦ ἢ δυϊκοῦ ἀριθμοῦ ἐθνικὴν παραγωγὴν γενέσθαι. οὐ γάρ ἐστιν ἐπινοῆσαι ἔθνος ἐν ἑνὶ ἀνθρώπῳ ἢ δυσὶν, ἀλλ' ἐπ' ἀπείροις. διὰ ταύτην τὴν παραγωγὴν ἔδοξε καὶ τὸ ἄλλος ἐν τῷ ἀλλοδαπὸς γινόμενον ἀντωνυμίαν εἶναι. οὐκ ἔστι δὲ, ἐπειδὴ μάχεται τῇ ἐννοίᾳ τῶν ἀντωνυμιῶν. ἃ γὰρ ὁρίζει ἡ ἀντωνυμία, ταῦτα ὑπὲρ τοῦ ἄλλος ἀναιρούμενα ἀοριστοῦνται· οἷον, ἀλλ' [4]) οὐκ ἐγὼ, ἄλλος οὐ σύ.

Ἀλλόθρους, παρὰ τὸ ἄλλος καὶ τὸ θροῦς. ἀλλόθρους γάρ ἐστιν ὁ ἀλλοτρίαν φωνὴν ἔχων ἤγουν βάρβαρος.

Ἄλλοι μὲν ῥα, οἱ μὲν δὴ ἄλλοι.

Ἀλλοίωσις, εἰς τὸ μεταβολεῖν.

Ἀλλόκοτος, παρηλλαγμένος.

Ἀλοίω, καὶ ἀλλοίω διαφέρει. Ἀλλοίω τὸ τύπτω ὡς τὸ, πολλὰ δὲ γαῖαν πολυφόρβην χερσὶν ἀλοίει [5]). καὶ περισπώμενον σημαίνει τὸ ἀλλάσσω, ὡς τὸ αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.

Ἀλλόκοτον, ἀνόμιον, τὸ ξένον, ἢ ἐξ ἀνομίων συνεστὼς, ἀλλότοκόν τι ὂν, καθ' ὑπερβιβασμόν. ἢ παρὰ τὸ ἀλλαχοῦ κεῖσθαι, καὶ μὴ κατ' αὐτὸ, ὡς τύπτω, τυπτύλος, σημαίνει δὲ τὴν σφοδρὰν ὁρμὴν, καὶ πίτυλος καθ' ὑπερβιβασμὸν, καὶ σκέπω, σκέπος καὶ πέσκος, σημαίνει δὲ τὸ δέρας πρόβιον [6]).

Ἄλλομαι, εἰς τὸ ἅλτος.

Ἄλλος, ἐκ τοῦ ἄλαλος γέγονε κατὰ συγκοπὴν, διότι τὸ ἄλλος ἀναιρετικόν ἐστι τῶν ὡρισμένων προσώπων, καὶ ὄνομά ἐστιν ἡ ἀντωνυμία, εἰσὶ γάρ τινες λόγιοι ἕλκοντες αὐτὸ ὡς ἀντωνυμίαν καὶ μὴ ὄνομα. ἐπειδὴ ὃν τρόπον τὸ ἐκεῖνος καὶ τὸ οὗτος ποιοῦσι τὰ οὐδέτερα αὐτῶν ἀποβολῇ τοῦ σ. οἷον ἐκεῖνο, τοῦτο, τὸν αὐτὸν τρόπον ἔχει καὶ τὸ ἄλλος οὐδέτερον ἀποβολῇ τοῦ σ. σεσημείωται τὸ ἄλλο, τοῦτο καὶ τὰ ὅμοια. ἕτερος δὲ λόγος ἐστὶ, τὸ μὴ εἶναι ἀντωνυμία. πῶς δέ ἐστιν ἀντωνυμία; λέγεται ἀντὶ ὀνόματος. Τὸ δὲ ἄλλος ἐστὶν ἀόριστον· διότι τὸ ἐκεῖνος καὶ τὸ τοῦτο καὶ τὰ λοιπὰ ἢ δεῖξιν σημαίνει ἢ ἀναφοράν· καὶ ἔστιν ὄνομα καὶ τὸ ἄλλος· καὶ κλητικὴν οὐκ ἔχει διὰ τί; διότι ἡ μὲν κλίσις τῆς φύσεως μάχεται τῇ σημασίᾳ τοῦ ὀνόματος. καὶ διὰ τί μάχεται; διότι ἡ μὲν κλητικὴ πρόσπαρόν ἐστι πρόσωπον καὶ γνωριζόμενον· τὸ δὲ ἄλλος ἀναινουμένου τινος καὶ ἀπόντος.

Ἄλλος, παρὰ τὸ ἄλαλος καὶ κατὰ συγκοπὴν ἄλλος. Τὸ δὲ ἄλαλος παρὰ τὸ λαλῶ, λάλος καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ προσθέσει ἑτέρου λ ἄλλος. σημαίνει δὲ ὄνομα ἀόριστον καὶ ξένον.

Ἀλλοπρόσαλλος, ὁ διπρόσωπος, ἢ ὁ εὐμετάβλητος καὶ εὐάρμοστος.

Ἀλλότριος, πλεονασμῷ τοῦ τ. ἀλλόριος γάρ ἐστιν, οἷον ἄλλων ὑπάρχων ὁρίων.

Ἀλλόφυλος, ἐκ τοῦ ἄλλος, καὶ τοῦ φυλὴ ἡ γενέα.

Ἄλλως, ἐπίρρημα μεσότητος, σημαίνει τὸ μάτην. ἄλλως ἄρα ἐξητατούμεθα ὑπὸ τῶν πρεσβυτέρων. Ἀριστοφάνης [7]). παρὰ τὸ ἦλος μάταιος· δαιμόνιε φρενὰς ἦλε διέφθειρε. παρὰ τὸ ἦλος ἤλων, ἤλως σημαίνει τὸ ματαίως· καὶ αἰολικῶς μετὰ διπλασιασμοῦ τοῦ λ, καὶ συστολῆς ἄλλως. εἰώθασι γὰρ οἱ αἰολεῖς τὰ ἀμετάβολα διπλασιάζειν καὶ συστέλλειν τὰς ὑποκειμένας συλλαβάς.

Ἄλμη, τὸ τῆς θαλάσσης ὕδωρ. Ἄλμη καὶ τῶν ἐξ ἁλῶν καὶ ποτίμων κεκραμένον ὕδωρ, παρὰ τὴν ἁλὸς γενικὴν, ὡς παρὰ τὸ κῦδος κύδιμος, ἁλὸς ἅλιμος καὶ ἁλίμη ὡς εὐφρόνιος [8]) εὐφρόνη· καὶ συγκοπῇ ἅλμη.

Ἁλμυρὸς, ὁ ἅλμης μετέχων, ὡς τολμὴ, τολμηρὸς, ἄτη ἀτηρὸς, ἄλμη ἁλμηρὸς, καὶ τροπῇ τοῦ η εἰς υ ἁλμυρὸς, ὡς τηρὸς τυρός· ἢ κυρίως τίθεται ἡ λέξις ἐπὶ τῶν εἰς ἅλα μυρομένων ποταμῶν, ὅ ἐστιν ἐκχεομένων.

Ἁλοσύδνη, ἡ κατὰ τῆς ἁλὸς δύνουσα, εἴρηται γὰρ οὕτως ἐπ' αὐτῆς· τὸ ἁλὸς δυρήη [9]), καὶ ὑπερθέσει ἁλοσύδνη· ἐπὶ μὲν τῶν νηρηΐδων καὶ τῶν κυφῶν οὕτως· ἐπὶ δὲ τῆς θαλάσσης εἴρηται οὕτως ἐπ' αὐτῆς, ὡς γηθόσηνος, γηθοσύνως [10]) καὶ ἁλόσυνος ἁλοσύνη καὶ πλεονασμῷ τοῦ δ ἁλοσύδνη.

Ἄλογον, διὰ τὸ ἄμοιρον λόγου. ἤγουν μὴ ἔχον λόγον.

---

1) Vid. Alberti ad Hesych. h. et v. Suicerus h. v. 2) τετρασυ. — λόγου δ. (Sic.) 3 (Sic) L. ται cfr. Etym. M. v. ἄλλος. 4) (Sic.) Leg. ἄλλος. v. Etym. M. 5) Omnia hic confusa. vide Il. IX, 564. 6) τὸ δέρας πρόβιον (Sic.) 7) Acharn. 114. ex quo locus additus emendandus est. 8) L. Φρονος. 9) L. δύνη. 10) ἐπὶ δὲ — γηθοσύνως (Sic) male. cf. Etym. M.

Ἄλοχος, τὸ α σημαντικόν ἐστι τὸ ὁμοῦ, καὶ τὸ ἅμα, ἡ οὖν ἄλοχος ὁμόλεχός ἐστι. καὶ ἀγάλακτες οἱ ἄδελφοι ὁμογάλακτές τινες ὄντες, οἵ τὸ αὐτὸ γάλα σπάσαντες.

Ἄλοχος, κυρίως ἡ ἑτέρου λέχους ἄπειρος, ἢ ἐκ παρθενίας. καταχρηστικῶς δὲ καὶ ἡ ὁμόλεχος, οἱαδήποτε τὸ α τὸ ὁμοῦ δηλοῦν.

Ἅλις, ἡ θάλασσα, παρὰ τὸ ἄλες [1]) καὶ συνεστραμμένον καὶ ἠθροισμένον. Καλλίμαχος· εἰς τὸ πρὸ τείχους ἱερὸν ἀλέες δεῦτε. καὶ τὸ ἅλις τὸ σημαῖνον τὸ ἀρκοῦν. καὶ τὸ ἀλεὶς τὸ συστραφείς. Ἄλες οὖν τὸ συστραφὲν καὶ συνηθροισμένον ὕδωρ.

Ἀλουργίς, παρὰ τὸ ἐκ τοῦ κόχλου τῆς θαλάσσης βαφῆναι.

Ἄλοξ, ὁ αὖλαξ. Εὐριπίδης· μὴ σπεῖρε τέκνον [2]) ἄλοκα δαιμόνων βίᾳ. παρὰ τὸ αὖλαξ ἐλλείψει τοῦ υ καὶ τροπῇ τοῦ α εἰς ο.

Ἀλογύδνη, θαλάσσιον θηρίον· παρὰ τὸ εἰς ἅλα δύνειν. ἐπὶ τῶν νυμφῶν.

Ἄλτο, ῥῆμα χρόνου μέσου ἀορίστου α, τρίτου προσώπου τῶν ἑνικῶν, ἅλλομαι τὸ πηδῶ, ὁ ἀόριστος ἧλα, ὁ μέσος ἀόριστος β [3]· ἡλάμην, ἧλω, ἧλατο, καὶ ἐν συγκοπῇ ἧλτο, καὶ ἅλτο. οἱ Ἴωνες καὶ οἱ ποιηταὶ κατὰ συγκοπήν.

Ἀλύειν, τὸ δυσφορεῖν καὶ λυπεῖσθαι, παρὰ τὸ μὴ λύσειν τῶν κακῶν εὑρίσκειν. καὶ ἀλύω τὸ χαίρω τὸ λυ ψιλὸν, ὥστε ἡ ἀλύκη· ὅτι Ἶρον πτωχὸν ἐνίκησας.

Ἅλις [4]) ποταμὸς ἐν παμφλαγονίᾳ κατὰ σινώπην χωρίζων χάλυβας καὶ λευκοσύρους τοὺς ἐν τῷ πόντῳ, Ἶριν δὲ αὐτὸν λέγει Καλλίμαχος. ἔστι δὲ μεταξὺ σαυαπέων καὶ ἀμισέων. εἴρηται δὲ ἅλις οἱονεὶ ἄλις τις ὢν, καὶ πλανήτης, πολλὴν γὰρ διοδεύει γῆν, τροπῇ του η εἰς υ, ὡς ἅλμη ἁλμυρός.

Ἀλύσιον, παρὰ τὸ τοὺς λυσσῶντας ὀνεῖν· ἔστι δὲ εἶδος βοτάνης ἐν ταῖς ὁδοῖς φυόμενον, πορφυροῦν ἐχούσης φύλλον.

Ἅλυσις, ἡ ἐκ χαλκοῦ ἢ σιδήρου ἢ ἄλλου τινος πεπληγμένη σειρά.

Ἄλφα, παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω, ὅθεν καὶ ἀλφεῖν τὸ ζητεῖν, καὶ εὑρίσκειν. ὡς πρῶτον εὑρεθὲν ἀνδράσιν ἀλφησταῖς, ὡς Ὅμηρος. διατί οὐ λέγεται μετὰ τοῦ ἄρθρου τὸ α, ἐπειδὴ δεῖξις· πρῶτ. καὶ ἀντὶ τοῦ ἄρθρου ἔστιν ἀλφεῖν, εἰς τὸ τημαλφέστατον [5]).

Ἄλτο, διὰ τί ψιλοῦται; ἐπεὶ μετέπεσεν ἡ δασεῖα εἰς ν. τὸ γὰρ α καταλῆγον εἰς ν ἑνὸς συμφώνου τῆς τρίτης συζυγίας ἐπαγομένου ψιλοῦται [6]).

Ἀλφησταῖς, ζητηταῖς, παρὰ τὴν ἐλπίδα καὶ τὸν λογισμὸν, οἷον ἀμειπτικοὶ, ἀλφαίνειν γὰρ τὸ ἀντικαταλλάσσεσθαι καὶ ἀμείβειν· μόνοις δὲ τοῖς ἀνθρώποις πρόσεστιν τὸ ἀμειπτικοὺς εἶναι.

Ἀλφειὸς, λέγεται ποταμὸς, παρὰ τὸ θεραπεύειν τοὺς ἀλφοὺς, ἤγουν τὰς λέπρας· ἢ παρὰ τὸ ἄμφειν, ὅ ἐστιν ὠφελεῖν, ὠφέλιμον γὰρ αὐτοῦ τὸ ὕδωρ.

Ἀλφηστὴς, παρὰ τὸ ἀλφεῖν τὸ καταλαμβάνειν.

Ἀλφηστης, εὑρετής· ἐκ τοῦ ἀλφῶ τὸ εὑρίσκω, ἀλφήσω γίνεται ἀλφηστὴς ὁ εὑρετικὸς, ἐξ οὗ καὶ ἀλφέσιμοι, οἱ λαμβάνοντες ἕδνα γυναῖκες.

Ἄλφιτον, τὸ παχὺ ἄλευρον, παρὰ τὰ ἀλφαίνειν, ἡ πρώτη εὑρεθεῖσα τροφή.

Ἀλφὸς, ὁ λευκὸς ἢ τὸ πάθος, ἄλλοφός τις ὤν, ἀλλοιοφανὲς τὸ χρῶμα ποιῶν. λέγεται γὰρ τὸ ἀλλοῖον καὶ ἕτερον, καὶ ἐπὶ τῶν τὸ χεῖρον [7]) ἐξηλλαγμένων.

Ἀλωπεκέα, τὸ πάθος τὸ ψιλωτικὸν τῶν τριχῶν καὶ τῶν γενείων, ἀπὸ τῆς ἀλώπεκος μεταφορικῶς. ἡ γὰρ ἀλώπηξ τὸ ζῶον ἔνθα ἂν οὐρήσῃ τὸν τόπον ἄκαρπον ποιεῖ, ξηραίνουσα τὴν προυπάρχουσαν βοτάνην, καὶ ἑτέραν ἀναβλαστῆσαι οὐ συγχωρεῖ.

Ἀλῶ, σημαίνει τὸ πλάνω, σύνθετον ἐκ τοῦ λῶ τὸ θέλω, μετὰ τοῦ στερητικοῦ α ἀλῶ. οἱ γὰρ πλανώμενοι οὐ θέλοντες πλανῶνται, οὐδὲ τυγχάνουσιν ὧν βούλονται.

Ἀλῶ, τὸ κρατῶ, ἀφ' οὗ καὶ τὸ ἀλῶμαι, οὗ ὁ β ἀόριστος ἥλων, ἧλως, ἥλω. ὁ γὰρ ἐν διαιρέσει ἑλῶ.

Ἀλώπηξ, παρὰ τὸ ἀλῶ τὸ πλανῶ, τῆς ἀλώπεκος, καὶ ὤφειλεν εἶναι ἀλώπηκος, ἀλλὰ τὰ εἰς ξ λήγοντα θηλυκὰ, οὐδέποτε τῷ ω παραλήγεται· εἰκότως οὖν ὡς διήλλαξε κατὰ τὴν παραλήγουσαν κατὰ τὴν εὐθεῖαν, διήλλαξε καὶ περὶ τὴν κλίσιν.

Ἀλώπηξ, ὅτι ἀλλοιωπεῖ τὰς ἕξεις, ἢ ὅτι ἀλλοιωπεῖ τὴν ὅρασιν καὶ τοὺς ὀφθαλμούς.

Ἀλῶναι, παρὰ τὸ ἐν ἀλλ ληφθῆναι· κυρίως δὲ ἐπὶ τῶν ἰχθύων.

Ἅλωσις, ἐκ τοῦ ἀλῶ τὸ πορθῶ· τοῦτο ἐκ τοῦ ἅλως ὃ σημαίνει τὴν ἅλωνα· εἰς αὐτὴν γὰρ πορθοῦνται καὶ συνθρύπτονται αἱ σταχύες. ταῦτο ἐκ τοῦ ἀλῶ τὸ συναθροίζω, ἐξ οὗ καὶ δασύνεται· τοῦτο δὲ ἐκ τοῦ ἅλς ἁλός.

Ἀλώνιτα [8]), τὰ βαρβάρους ἀνδράποδα. τοὺς γὰρ ἅλας διδόντα τοῖς δραξὶν ὠνοῦνται τὰ ἀνδράποδα.

Ἅλων, πῶς κλίνεται; τῆς ἅλωνος, τῇ ἅλωνι, τὴν ἅλωνα, ὦ ἅλων. εἰ δὲ ἀττικῶς οὕτω φαμέν· ἡ ἅλως, τῆς ἅλω, τῇ ἅλω, τὴν ἅλω, ὦ ἅλω.

Ἅμα, ἐπίρρημα συλλήψεως. γίνεται δὲ ἐκ τοῦ θαμὰ· διὰ τί δασύνεται; ἀναχωρήσει τοῦ θ ἔμεινεν ἡ ἀναλογοῦσα δασεῖα. βαρύνεται.

Ἅμα, καὶ ὁμοῦ διαφέρει [9]). ἅμα μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα· ὁμοῦ δὲ τοπικόν· σόλων μὲν γὰρ ἅμα ἐγένετο ἀναχάρσιδος τῷ σκύθει, ὥστε κατὰ τὸν αὐτὸν χρόνον ἤγμασεν, ὁμοῦ δὲ οὐκέτι, οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ἐγεννήθησαν, ἀλλ' ὁ μὲν ἀθανατησιν, ὁ δὲ ἐν σκυθίᾳ. Καὶ Ὅμηρος δὲ διαστέλλει, λέγων· αὐτὰρ ἐπεὶ κόσμηθε ἅμ' ἡγεμόνεσσιν ἕκαστοι. καὶ, οἱ δ' ἅμα πάντες ἐφίπποισι μάστιγας ἦραν.

Ἀμάδιος [10]), ἐπίρρημα ἐκ τοῦ ἅμα, ἀμάδιος.

Ἀμαζόνες, ἡ εὐθεῖα ἀμαζών. ἐκλήθη δὲ ἐκ τοῦ μαζὸς καὶ τοῦ στερητικοῦ α, ἀμαζὼν, πρὸς γὰρ τὸ μὴ ἐμποδίζεσθαι αὐτὰς ἐν τῷ τοξεύειν, τὸν ἕνα μαστὸν αὐτῶν ἀπέκοπτον. ἢ ὅτι λαμβάνουσαι ζώνην καὶ πανοπλίαν ἐξερχόμεναι ἠμῶν [11]) ἐθέριζον. ὥστε αὐτὰς κληθῆναι παρὰ τὸ ἐν ταῖς ζώναις ἀμᾶν. ἢ ὅτι μαζοῦ καὶ τρυφῆς οὐ μετέσχον, ἀλλ' ὄφεσι καὶ ἄλλοις τισὶ θηρίοις ἐτρέφοντο. ἢ παρὰ τὸ μάζαις μὴ χρᾶσθαι, ἤγουν ἡμεριναῖς τροφαῖς, ἀλλ' ὁ καὶ γαύραις καὶ χελώναις [12]).

---

1) cf. Etym. M. v. ἄλες. 2) (Sic). Phoeniss. v. 18. 3) (Sic) L. α. 4) L. ἅλυς. cf. Et. M. 5) (Sic.) L. τιμαλφ. 6) cf. Schol. ad Il. I. 532. ex quibus haec emendanda sunt. 7) (Sic.) Post τῶν omissa est praepositio ἐπὶ v. Etym. M. 8) (Sic) L. ἁλ. cf. Etym. M. 9) Emendand. hic articulus ex Ammonio p. 13. ibiq. Valcken. 10) (Sic). cf. Etym. M. h. v. 11) (Sic.) L. ἤμων. cf. Etym. M. h. v. 12) (Sic.) F. ἀλλ' ὄφεσι etc.

Ἀμαζών, ὄνομα ἐθνικὸν παρὰ ἕνα μαζὸν ἔχειν. τὸ γὰρ α ἐνταῦθα τὸ ἓν δηλοῖ.

Ἀμαζόνες, οἱ πένητες, οἱ μάζαν μὴ ἔχοντες ἤγουν τροφήν.

Ἀλῶ, τὸ παθητικὸν ἀλῶμαι, ἀλώμενος ἡ μετοχή· παρὰ τὸ ἀλῶ γίγονε ἀφαιρέσει ἀπὸ τοῦ θέλω τὸ αὐτὸ σημαῖνον ὅπερ κατὰ σύνθεσιν τὸ ἀλῶ, οἱ γὰρ πλανώμενοι ἂν ἐθέλουσιν ἀποτυγχάνουσιν. ἀλῶ τὸ συλλαμβάνω ὅπερ Ὅμηρος ἀλώω ἔφη, ἧκεν ἀλώω [1]), παράγεται δὲ ἀπ' αὐτοῦ καὶ τὸ ἁλίσκω, εἴρηται δὲ παρὰ 10 τὴν ἅλα τὴν θάλασσαν, ἀπὸ τοῦ τοὺς κατὰ θάλατταν λαμβανομένους πρῶτον ἁλίσκεσθαι νομίζοντες.

Ἀμαθής, παρὰ τὸ μὴ ἔχειν μάθησιν, μετὰ τοῦ στερητικοῦ α.

Ἄμαθος, ἡ τῆς πεδιάδος ἄμμος ἢ κόνις, ἧς οὐκ ἔστι μαθεῖν μέτρον ἢ ἀριθμόν.

Ἀμαθύνειν, παρὰ τὴν ἄμαθον, κόνιν ποιεῖν. Ὅμηρος, ἄνδρας μὲν κτείνουσι πόλιν δὲ καὶ πῦρ ἀμαθύνειν.

Ἀμαλή, ἀπαλή, ἡ δὲ λέξις μακεδόνος, ὅθεν καὶ προμάλη εἴρηται, ἡ πρὸ τοῦ δέοντος αὐξανομένη μυρίκη. 10 μάλειν γὰρ τὸ αὔξειν. καὶ ὁ τριχῶν ἔχων αὔξησιν μαλη.

Ἅμαξα, ἀπὸ τοῦ ἅμα ἄγειν, ἅμαξ τις οὖσα. καὶ ἄλλως ἄξω, ἄξα, ἅμαξα σύνθετον.

Ἅμαξα, παρὰ τὸ ἄγω, ἄξω, ἄξα καὶ ἅμαξα παρὰ τὸ ἅμα ἄγειν, ὡς δόξω, δόξα, βήσσω βῆσσα καὶ γνώσσω γνῶσσα καὶ ἀμοιβῇ [2]), καὶ πλεονασμῷ γλῶσσα. ἢ παρὰ τὸ ἄγεσθαι ὑπὸ τῶν ταύρων.

Ἀμαξητὸν [3]), ὁδὸν δημοσίαν. καὶ ἄλλως, ἄξω, ἄξα, ἅμαξα σύνθετον [4]). 30

Ἀμαιμάκετος, ὁ μακρὸς, παρὰ τὸ μῆκος, καὶ Ὅμηρος, ἱστὸν ἀμαιμάκετον· ἐκ γὰρ τοῦ μῆκος γίνεται μαμάκετος, καὶ πλεονασμῷ τοῦ ι μαιμάκετος, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀμαιμάκετος.

Ἀμαιμάκετον, ἄστατον, ἄμαχον, ἀνυπόστατον, μακρὸν καὶ φοβερὸν, ἢ ἀπροσμάχητον καὶ μεγάλην, ἀπὸ τοῦ μαιμῶ ὃ σημαίνει τὸ προθυμοῦμαι, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμαιμάκετος.

Ἀμαλδύναι, παρὰ τὸ μαιρῶ, μαιρῶ [5]), ἀφ' οὗ καὶ μαραίνω, κυρίως δὲ τὸ διὰ πυρὸς ἀφανίσαι. 40

Ἀμαλδύνω, τὸ διὰ πυρὸς ἀφανίζω, μαιρῶ τὸ λάμπω, ὁ μέλλων μαρῶ, μαλῶ, ἀμαλῶ, παράγωγον ἀμαλύνω καὶ πλεονασμῷ τοῦ δ ἀμαλδύνω.

Ἀμαλθείας κέρας, τὸ θει δίφθογγος. ἱστορεῖται. ἡ ῥέα τεκοῦσα τὸν Δία δέδωκε τῇ Ἀμαλθείᾳ τρέφειν· ἡ δὲ οὐκ ἔχουσα γάλα, αἰγὶ ὑπέβαλεν αὐτὸν, ὅθεν αἰγιοῦχος ἐκλήθη. ὁ γοῦν Ζεὺς τὴν μὲν αἶγα καθιστόρησεν [6]) ἐν τῷ οὐρανῷ. τὸ δὲ ἓν τῶν κεράτων ἀφελὼν τῇ Ἀμαλθείᾳ δέδωκε, παρασκευάσας αὐτὴν γενέσθαι πᾶν ὅπερ αἰτήσει διὰ τοῦ κέρατος. Ὅθεν καὶ 50 τοὺς εὐδαίμονας ἀμαλθείας κέρας ἔχειν φαμέν.

Ἀμαμαξύς, ἡ ἀναδενδρὰς παρὰ τὸ ἀμμύξαι [7]) ἡ συνδεδεμένη, ἀναδεσμοῦνται γὰρ αἱ ἀναδενδράδες· ἀμμαξύς, καὶ πλεονασμῷ τοῦ α ἀμαμαξύς.

Ἀμᾶν, εἰς τὸ ἀμὴ καὶ ἀμῶ. ἀμᾶν παρὰ τὸ ὁμοῦ ἐπισπᾶν ἤτοι κόπτειν ἐπὶ τὸ θερίζειν.

Ἀμάρα, τὸ σκαφίδιον, παρὰ τὸ μὴ ἐᾶν τὰ πεφυκότα αὐτῇ μαραίνεσθαι [8]). καὶ εἰς τὸ ἀμαρυγάς.

Ἀμάραντον, παρὰ τὸ ἀμβρεῖν. ὅτι οὐκ ἐᾷ τὰ πεφυκότα αὐτῇ μαραίνεσθαι [9]).

Ἀμάρας, ὀχετὸς ἢ τάφρος ἢ ὑδρυῤῥόα [10]) διὰ τὸ ἐν αὐτῇ ὄντα ἀμάραντα φυτά· ἢ παρὰ τὸ ἅμα τὸ ὁμαλῶς ῥεῖν. ἢ παρὰ τὸ ἅμα αἴρεσθαι καὶ ὀρύττεσθαι. ἅμα δέ ἐστιν ἐργαλεῖον οἰκοδομικόν.

Ἁμαρτῇ, ἐπίῤῥημα τὸ ὁμοῦ. Καί φησιν Ἀρίσταρχος, ἐκ τοῦ ἁμαρτήδην κατ' ἀποκοπὴν ἁμαρτῇ καὶ ὀξύνεται. ἀντίκειται δὲ αὐτῷ ἡ παράδοσις, μετὰ τοῦ ἰῶτα οὖσα. Ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ, ἁμαρτῶ καὶ ὁμαρτῇ. πόθεν ἁμαρτία, ἐκ τοῦ βροτὸς βροτία, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀβροτία καὶ ἁμαρτία.

Ἁμαρτία, κυρίως ἡ ἀποτυχία παρὰ τὸ μάρπτω ἀμαρπτία καὶ ἐλλείψει τοῦ π, ἁμαρτία, ἢ ὁ βούλεται μὴ μάρπτουσα ὃ ἔστιν ἐπιτελοῦσα. ἔνθα καὶ μάρτυς, ὁ μάλψας καὶ εἰδὼς τὸ ἀληθές. ἢ ἀπαρτία παρὰ τὸ ἄρω τὸ σημαῖνον τὸ ἁρμόζω, πόῤῥω οὖσα τοῦ συνηρμόσθαι ὃ βούλεται, τῆς ἀπὸ τοῦ ἄποθεν δηλούσης.

Ἁμαρτοέπης, ζητεῖ εἰς τὸ δαΐφρων· τὰ παρὰ τὸ ἁμαρτῶ συντεθέντα διὰ τοῦ ο μικροῦ καὶ διὰ τοῦ ι 10 γράφεται. Διὰ μὲν τοῦ ο μικροῦ ὡς τὸ ἁμαρτοέπης, διὰ δὲ τοῦ ι ὡς τὸ ἁμάρτινον.

Ἀμάρα, τὸ ὑδράγωγον. τὸ ἐπὶ ἐδάφους, διὰ τὸ παρὰ τὸ αἱμασίας ῥεῖν· ἢ ὅτι οὐκ ἐᾷ τὰ παραπεφυτευμένα αὐτῇ μαραίνεσθαι.

Ἁμαρτῶντας, ἐκ τοῦ ἁμαρτῶ βαρυτόνου.

Ἁμαρτῶ, εἰς τὸ νημερθές.

Ἁμαρτωλὸς, ἐκ τοῦ ἅμα ἐπιῤῥήματος, καὶ τοῦ ἀρτῶ ῥήματος τοῦ σημαίνοντος τὸ ἀποχωρίζομαι, ἁμαρτῶ καὶ ἐν συγκοπῇ ἁμαρτῶ καὶ ἁμαρτωλός. ἔχει δὲ καὶ 30 τὸ ι προσγεγραμμένον· καὶ Ὅμηρος, ἁμαρτῇ δούρασιν ἀμφί.

Ἀμαρυγὰς, καὶ ἀμαρύγματα· τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις. σημαίνει δὲ καὶ τὰς τοῦ μετώπου ῥυτίδας, αἵτινες εἴρηνται διὰ τὸ ἀμαυροὺς καὶ ἀλαμπεῖς εἶναι, ἢ παρὰ τὸ ἀμάραις ἐοικέναι, τουτέστιν ὀχετοῖς. ὥσπερ γὰρ ἐκεῖναι τὸ ὕδωρ, οὕτως αὗται τὸν ὑδρῶτα μετάγουσιν ἐπὶ τὰ κατώτερα μέρη τῆς κεφαλῆς. ἡ δὲ ἔκλαμψις εἴρηται παρὰ τὸ ἀμαρύσσω. ἀπὸ γὰρ τοῦ μαίρω τὸ λάμπω γίνεται μαρμαίρω, καὶ ἐνδιπλασιασμῷ, 40 εἶτα παράγωγον μαρύσσω καὶ ἐξ αὐτοῦ ἀμάρυγμα.

Ἀμάρυγμα, σημαίνει τὴν λαμπηδόνα τοῦ φωτός. παρὰ τὸ ἀμαρύσσω, τὸ δὲ ἀμαρύσσω παρὰ τὸ μαρμαίρω. τοῦτο παρὰ τὸ μαρμαίρω τὸ λάμπω· ἢ παρὰ τὸ μαρμαίρω κατ' ἀναδιπλασιασμόν· καὶ ὡς [11]) τὸ μαραγῶ.

Ἀμαυρὸς, ἐκ τοῦ μαίρω τὸ λάμπω, ἐξ οὗ καὶ μαρμαίρω· ἐκ τοῦ οὖν μαίρω τὸ λάμπω, γίνεται μαιρὸς, καὶ τροπῇ τοῦ ι εἰς υ, καὶ μετὰ τοῦ στερητικοῦ α 50 ἀμαυρὸς, ἤγουν ὁ ἀλαμπὴς καὶ σκοτεινός· ἐξ οὗ γίνεται ἀμαυρῶ ῥῆμα.

Ἀμαυρὸν, ἤτοι τὸ ὁρώμενον, ἢ τὸ μετὰ αὔρας φερόμενον, ἢ τὸ ἀλαμπὲς, παρὰ τὸ μαίρω τὸ λάμπω, ὅθεν τὸ μαρμαίρω. ἢ ἐκ τοῦ μαύρω μαυρῶ, καὶ κατὰ στέρησιν ἀμαυρὸς ὁ ἀλαμπής· ἢ παρὰ τὸ μαίρω μαρμαίρω, ὡς τὸ καίω καύσω, κλαίω κλαύσω.

Ἄμμη, τὸ χεῖλος τῆς λοπάδος, ἢ χύτρα· παρὰ τὸ ἐν ἀναβάσει εἶναι.

---

1) Il. XI, 405. αἴ κεν. 2) γνώσσω — ἀμοιβῇ. (Sic.) L. γνώσσω γνῶσσα. cf. Etym. M. v. γλῶσσα. 3) Vid. Phavorin. L. ἁμαξιτόν. 4) καὶ — σύνθετον. Ex superioribus repetita videntur. 5) (Sic.) F. μαρῶ. Vid. Etym. M. 6) L. καθιστέρισεν. 7) (Sic.) fortasse ut indicetur utroque modo hoc vocabulum scribi. 8) ἐᾶν — μαραίνεσθαι (Sic.). 9) ὅτι — μαραίν. (Sic.) 10) L. ὑδρυῤῥόα. 11) F. εἰς.

Ἀμβλὺς, σίδηρος ὁ μὴ ὀξύς· παρὰ τὸ μῶλος, μῶλυς καὶ μετὰ τοῦ στερητικοῦ α ἀμῶλος, ὁ μὴ ἐπὶ μῶλον, ὃ σημαίνει τὸν πόλεμον, ἐπιτήδειος, καὶ συγκοπῇ τοῦ ω μεγάλου καὶ διὰ τὴν ἀσυνταξίαν, προσθέσει τοῦ β ἀμβλύς· ὁ μὴ εὐθετῶν εἰς πόλεμον· καὶ εἰς τὸ ἀμπλακήματα. ὡς ἵππος ἱππύς.

Ἀμβλυωπία, ἡ τύφλωσις· ἐκ τοῦ ἀμβλυωπὸς, τοῦτο παρὰ τὸ ἀμβλὺ, ὃ σημαίνει τὸ ἀσθενὲς, καὶ τοῦ ὢψ ὠπὸς, οἱονεὶ ὁ μὴ καθαρὸν φῶς ἔχων, ἀλλ' ἀσθενὲς βλέπων.

Ἀμβλυώττειν, τὸ τυφλώττειν, καὶ βαρύνεσθαι τοὺς ὀφθαλμοὺς, ἀπὸ τοῦ ἀμβλὺς καὶ τοῦ ὄσσω τὸ βλέπω, ἀμβλυόσσω· καὶ ἀττικῶς ἀμβλυώττειν.

Ἀμβροσία, παρὰ τὸ ἄμβροτος· τοῦτο παρὰ τὸ βροτὸς, καὶ μετὰ τοῦ στερητικοῦ α καὶ πλεονασμῷ γίνεται ἄνβροτος καὶ τρέπεται τὸ ν εἰς μ. τὸ θηλυκὸν ἀμβροσία, καὶ σημαίνει τὴν ἀθανασίαν *).

Ἀμβροσία, δὲ ἡ ὄντως σοφία δεῖ γινώσκειν τὴν λέξιν ὅτι ὅταν μὲν παροξυτόνως ἀναγινώσκεται, τὰ θεῖα δηλοῖ, ὅταν δὲ προπαροξυτόνως βρῶμα θεῶν, παρὰ τὸ βροτοὺς μὴ μετέχειν αὐτοῦ.

Ἀμβρόσιος, τὰ διὰ τοῦ ιος κτητικὰ, ἀπὸ πρωτοτύπων εἰς ος γινόμενα, εἰ μὲν μεταβάλλουσι τὸ τ εἰς σ διὰ τοῦ ι γράφεται. οἷον ἀκήρατος ἀκηράσιος, ἄμβροτος ἀμβρόσιος. εἰ δὲ φυλάττουσι τὸ τ διὰ διφθόγγου· οἷον, Ἀρχέστρατος, ἀρχεστράτειος, Καλλίστρατος, καλλισράτειος, χωρὶς εἰ μὴ ὦσιν ἐθνικὰ, ὡς τὸ βιωτὸς βιώτιος [1]). γίνεται δὲ παρὰ τὸ ἄμβροτος, καὶ τρέπει τὸ ν εἰς μ. τὸ θηλυκὸν ἡ ἀμβροσία, καὶ σημαίνει τὴν ἀθανασίαν.

Ἀμβολιεργὸς, ὁ τὰ γεώργια ἀναβαλλόμενος. καὶ ἀμβολιεργὸς ὁ ὑπερθέμενος καὶ βραδύνων εἰς τὰς πράξεις.

Ἄμβρων [2]), κυρίως τὸ χεῖλος τῆς λοπάδος. πολλῶν ἤδη λοπάδων τοὺς ἄμβωνας παραλείχουσι. λέγονται δὲ καὶ οἱ ὀρεινοὶ καὶ ὑψηλοὶ τόποι· ἐπ' οὔρεος ἀμβώνεσσι. παρὰ τὸ βῶ βῶν, ὡς γυρῶ γυρῶν [3]) καὶ ἀνάγω [4]), καὶ ἐν συγκοπῇ ἄμβων, παρὰ τὸ ἄνω βαίνειν.

Ἀμβρόσιον, ἀθάνατον παρὰ τὸ βροτὸν ὃ σημαίνει τὸ αἷμα.

Ἀμβροσία, τὸ τῶν θεῶν βρῶμα, ἧς οὐχ οἷόν τε βροτὸν ἅψασθαι.

Ἀμαυρούμενοι, σκοτιζόμενοι, ὅθεν καὶ μαῦρον τὸ μὴ διαφανές.

Ἀμβρῶσαι [5]), τὸ ἀτελὲς βρέφος ἀποβαλεῖν, καὶ τὰ πρὸς τούτοις φάρμακα ἀμβλωθρίδια καλοῦσιν οἱ ἰατροὶ, ἀπὸ μεταφορᾶς τῶν ἀμπέλων. ὅποτε γὰρ αὗται τοὺς λεγομένους ὀφθαλμοὺς ἀποχυθεῖεν, λέγομεν αὐτὰς ἀμβλυώττειν, ἀντὶ τοῦ οὐ τελεσφοροῦσι καρπόν. καὶ ἐπὶ τῶν γυναικῶν τῶν ἀτελῆ τὰ βρέφη ἐκβαλλουσῶν, λέγομεν διαμβλώττειν, καὶ ἀμβλώττειν· ἢ ἐκ τοῦ ἀμβλῆσαι [6]) ὅ ἐστι τὴν φωνὴν ἀφανίσαι καὶ τροπῇ τοῦ εἰς ω ἀμβλῶσαι.

Ἄμβων, παρὰ τὸ ἄνω βαίνειν.

Ἀμείβω, διφθόγγῳ. τῷ ἔχειν ἀντιπαρακείμενον τὸ ο, οἷον ἀμοιβὴ, ὥσπερ λείβω λοιβὴ, ἀλείφω ἀλοιφὴ, οὕτω καὶ ἀμείβω ἀμοιβή.

Ἀμειδὲς, τὸ σκοτεινὸν, ἐκ τοῦ εἴδω τὸ βλέπω, ἢ ἐκ τοῦ μειδῶ τὸ γελῶ, ἀειδὲς καὶ ἀμειδές.

Ἀμείνων, διφθόγγῳ ἤτοι παρὰ τὸ μεῖον, ὃ διὰ τῆς ει διφθόγγου γράφεται· ἀμείων γὰρ ὁ μὴ ἐλάσσων τινός, καὶ πλεονασμῷ τοῦ ν ἀμείνων.

Ἀμειδὲς, τὸ στυγνὸν, σκυθρωπὸν, μειδιᾶν γὰρ τὸ γελᾶν· ἀμείδητον γοῦν ἐστὶν, ἐφ' ᾧ οὐκ ἄμποτε χαρείη τὶς, ἢ γελάσῃ.

Ἀμείβω, τὸ α βραχὺ διὰ τί; τὸ α πρὸ τοῦ β ἢ μ συστέλλεται.

Ἀμείβω, ἤμειψω [7]), ἡ μετοχὴ ἀμείψας· σημαίνει δὲ τὸ ἀλλάσσω, καὶ ἀποκρίνομαι καὶ περιπατῶ.

Ἀμαχὶ, ἄνευ ἀγῶνος καὶ μάχης, καὶ εἰς τὸ ἀκονητί.

Ἀμέγαρτον, παρὰ τὸ μεγαίρω. δηλοῖ δὲ καὶ τὸν μὴ φθονούμενον καὶ τὸν μέγαν, κατ' ἐναλλαγὴν πνεύματος· πῆ δὲ τὸν [8]) μολοβρὸν ἄγεις ἀμέγαρτε συβῶτα; καὶ φόνον [9]) δὲ ἀμέγαρτον.

Ἀμέγαρτος, εὐτελὴς, ἀμέγαρτε συβῶτα, παρὰ τὸ μεγαίρω τὸ φθονῶ, μέγαρτε καὶ ἀμέγαρτε, φθονεῖν γὰρ τοῖς εὐτελέσιν οὐ παραγίνεται.

Ἀμειδεῖς, τὲ καὶ στυγνοὶ, ἐν βάθει βουλευόμενοι ὅμοιοι σκοθρωποὶ, σημαίνει δὲ καὶ τὸ ἀγέλαστοι, καὶ ἀχαρεῖς ἀπὸ τοῦ μειδῶ μειδιῶ, τὸ γὰρ ἐπὶ τὸ βουλεύομαι διὰ τοῦ η γράφεται καὶ βαρύνεται· παρὰ γὰρ τὸ ἅδω γίνεται ὃ σημαίνει τὸ ἀρέσκω.

Ἀμείλικτον, ἀπὸ τοῦ μειλίσσω, μείλικτος καὶ ἀμείλικτος· τοῦτο ἀπὸ μεταφορᾶς τοῦ μέλιτος μελίσσω καὶ πλεονασμῷ τοῦ ι μειλίσσω, μείλικτος καὶ ἀμείλικτος ὁ ἀσυμπαθὴς καὶ ἀδυσώπητος καὶ σκληρός.

Ἀμείνων, μετοχὴ ἐκ τοῦ μέρος μερίων, καὶ ἐκβολῇ τοῦ ρ καὶ ἐν συναιρέσει μείων καὶ ἀμείων καὶ πλεονασμῷ τοῦ ν ἀμείνων· κλέπτει [10]) δέ τε νυκτὸς ἀμείνω, χωρὶς τοῦ ν, γένους θηλυκοῦ, πτώσεως αἰτιατικῆς τῶν ἑνικῶν. ὡς ἐλάσσονα, ἐλάσσοα, ἐλάσσω. ἐξ οὗ καὶ ἡ ἀμείνων, τῆς ἀμείνονος, καὶ ἡ αἰτιατικὴ τὴν ἀμείνονα.

Ἀμείνων, ὁ κρείττων, παρὰ τὸ μένων γέγονε ἀμένων καὶ πλεονασμῷ τοῦ ι ἀμείνων, τοῦτ' ἔστιν ὁ μὴ μένων, ἀλλ' ὑπὸ πάντων περιάρπαστος γενόμενος δι' ἁρπαγήν.

Ἀμέλγω, παρὰ τὸ ἅμα καὶ τὸ ἕλκω γίνεται ἀμαέλκω καὶ ἀμαέλγω, καὶ συγκοπῇ καὶ τροπῇ τοῦ κ εἰς γ ἀμέλγω. ἅμα γὰρ τὸ τὸν μαστὸν λαβεῖν τὸ γάλα ἐξέρχεται.

Ἀμενηνὸς, παρὰ τὸ μένος ἄμενος καὶ ἀμενηνὸς, σημαίνει δὲ τὸν ἀσθενῆ.

Ἀμέλδειν, παρὰ τὸ μερίδας τινὸς ἀφαιρεῖσθαι.

Ἀμερὲς, τὸ μὴ ἐκ μερῶν συγκείμενον.

Ἀμεριμνία, ἐκ τοῦ μὴ μερίζεσθαι εἰς πολλὰ τὸν νοῦν.

Ἄμητος, ἐκ τοῦ ἀμῶ, τὸ θερίζω, δευτέρας συζυγίας τῶν περισπωμένων, ὁ μέλλων ἀμήσω, καὶ ἐξ αὐτοῦ ἄμητος. διαφέρει δὲ ἄμητος καὶ ἀμητός. Ἄμητος αὐτὸς ὁ θερισμὸς, οἱονεὶ ὁ καρπὸς ὁ ἀμώμενος. Ἀμητὸς γὰρ ὁ καιρὸς τοῦ θέρους. τὸ α μακρόν. τὸ α πρὸ τοῦ μ καὶ β συστέλλεται. σεσημείωται τὸ ἀμητὸς καὶ ἀμῶ.

Ἀμὴν [12]), εἰς τὸ ἡμῖν.

Ἀμὴς, ἀμῆτος, ὁ πλακοῦς.

---

*) Exacte conveniunt cf. Etymolog. M. v. ἀμβρόσιος ὕπνος ad finem; ubi tamen una ferie diversi hi articuli leguntur. 1) (Sic.) L. βοιωτὸς, βοιώτιος. 2) (Sic.) L. Ἄμβων. 3) (Sic.) cf. Etym. M. 4) pro ἀνάγω legendum est ἀναβῶν. 5) L. ἀμβλῶσαι. 6) (Sic.) cfr. Etym. M. ἀμβλῶσαι. 7) (Sic.) 8) (Sic.) L. πῆ δὴ τόνδε etc. ex Od. XVII, 219. 9) Φόνον F. πόνον ex Il. II, 420. 10) κλέπτη ex Il. III, 11. 11) Plane contraria statuit Etym. M. h. v. 12) L. Ἄμμιν.

Ἀμίς, εὐρόδοχον ἀγγεῖον. ἢ τὸ κροκίον, παρὰ τὸ ὀμιχῶ ὀμὶς καὶ ἀμίς· ὡς ὀκριόεις καὶ ἀκριόεις. ἢ παρὰ τὸ ἅμη ἀμίς, ὡς σκάφη σκαφίς.

Ἅμιλλα, ἡ ἔρις. καὶ ὁ δρόμος, παρὰ τὸ ἅμα εἰλεῖσθαι. καὶ ἡ φιλονεικία. καὶ εἰς τὸ ὅμιλον.

Ἄμυσις, ἡ φυλλή. ἐξ ἧς ἐστιν ἅμα πίειν χωρὶς τοῦ διαπνεῦσαι. οἷον ἀπνευστί.

Ἀμιτὺς, πόλεως ὄνομα, παρὰ τὸ εἶναι καρποφόρον εἰς ὀπώραν παντοίαν.

Ἀμιχθαλόεσσα, ἀπρόσιτος καὶ ἀμιγής. καὶ Ὅμηρος ὡς ὁ ποιητής [1]), Λῆμνον ἀμιχθόεσσαν [2]). Ἀπρόσιτος δὲ διὰ τοὺς ἐνοικοῦντας σίντιας πειρατὰς ὄντας· παρὰ τὸ μίσγω μικτός· ὡς ἵππος ἵππαλος, μίκκος μίκκαλος, οὕτως οὖν καὶ μικτὸς μικταλὸς, καὶ ἐν συνθέσει ἀμικταλόεις καὶ τροπῇ ἀμιχθαλόεις, καὶ τὸ θηλυκὸν ἀμιχθαλόεσσα.

Ἄμμαξις, εἰς τὸ ἅμαξις.

Ἄμμες, ἀντωνυμία, αἰολικῶς, πτώσει αἰτιατικῇ, ἀντὶ τοῦ ἡμᾶς.

Ἄμμε, οὐ πληθυντικοῦ ἀλλὰ δυϊκοῦ ἀριθμοῦ. καί τινες μὲν ἀπὸ τοῦ ἄμμες αἰολικοῦ πληθυντικοῦ φασιν ἀποβολῇ τοῦ σ τὸ δυϊκὸν γενέσθαι· ὡς αἴαντες αἴαντε. τινὲς δὲ ἄλλοθεν λέγουσι τὸ ἄμμες, ἄμμε οἱ αἰολεῖς δὲ ἐκ τοῦ ἡμεῖς, ἢ δωρικῶς, ὅτι [3]) αἷμα ἡ ψυχὴ κατ' Ἐμπεδοκλῆν. Τινὲς δὲ καὶ Ὅμηρον οἷόν τι ταῦτα [4]) εἶναι τῆς δόξης ἐν τῷ λέγειν· ψυχὴ δὲ κατ' οὐτεταμένην [5]) ὠτειλὴν ἔσσυτ' ἐπειγομένη. οὐκ ἔστι δὲ ἀληθές. ὁ γὰρ Ὅμηρος ἀθάνατον αὐτὴν καὶ εὔφρονα εἶναι λέγει, δι' οὗ τὰς τῶν τεθνεώτων ψυχὰς ὀδυρομένας παρεισάγει, ὃν ποτμὸν γόωσαι [6]) καὶ ἀνδροτῆτα καὶ ἥβην, καὶ ἐν τῷ ᾅδῃ κολαζομένας καὶ τῶν οἰκείων παραπτωμάτων ὀδυρομένας ἕνεκα [7]).

Ἀμνίον, ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει ἀγγεῖον ὅπου τοῦ ἱερίου [8]) δέχονται. καὶ ἔστι κατὰ ἔτυμον ἀμένιον, στερητικὸν τοῦ μένους, τουτ' ἔστι τῆς ψυχῆς. Οἱ δὲ ἀττικοὶ σφάγιον αὐτὸ καλοῦσι. καὶ ἄλλως. ἄμνιον τὸ αἱμοδόχον ἀγγεῖον, παρὰ τὸ αἷμα αἵμνιον καὶ ἄμνιον ὡς αἴητον ἄητον. Φασὶ δὲ διὰ τῆς αι διφθόγγου γράφεται [9]).

Ἀμνηστεία, τὸ μὴ μνηστεύεσθαι. ἀμνηστεία δὲ ἡ ἀλήθεια.

Ἀμη, τὸ γεωργικὸν ἢ οἰκοδομικὸν ἐργαλεῖον, παρὰ τὸ ἅμα, ὅτι πλατὺ ὂν, ἅμα καὶ ὑφ' ἓν πολλὰ ἕλκει. ἢ παρὰ τὸ ἀμᾶν ὅ ἐστι κόπτειν καὶ θερίζειν. ἡμᾶς καὶ ἡμέας ἡμᾶς ἰωνικῶς, ἀμᾶς δὲ δωρικῶς. καὶ εἰς τὸ ἠμίν.

Ἀμήσειον, τὸ πτίον ἢ ἀξίνη.

Ἀμπελόεσσα. ἀρσενικὸν ἀμπελόεις, εἴδους τῶν παραγώγων μετουσιαστικοῦ, ἐκ τοῦ ἄμπελος, τοῦτο ἀναπελός τις οὖσα παρὰ τὸ ἄνω πελάζειν· ἢ παρὰ τὸ ἐν αὐτῇ ἔχειν τὸν πηλὸν ἤγουν τὸν οἶνον. καὶ πόθεν γίνεται ἄμπελος; παρὰ τὸ ἄμπηλος· πηλὸς γὰρ ὁ οἶνος, διὰ τὸ ποιεῖν πάλιν [10]) καὶ πηδᾶν. ἢ παρὰ τὸ ἄνω πελάζειν ἀνάπελός τις οὖσα, καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ἄμπελος. πόθεν ἄμπελος; παρὰ τὸ ἔχειν ἐν αὐτῷ τὸν πηλὸν, τουτέστι τὸν οἶνον. ἄμπελος τὸ κλῆμα, τὸν οἶνον τὴν βοτάνην. καὶ [11]) ἀναγωγὴν τὸν χν.

Ἄμπελος, διὰ τὸ εἶναι πᾶσι φιλητός· ἢ διὰ τὸ ἅμα εἶναι αὐτὸ πάλον [12]), ἤγουν χαράς.

Ἄμπελος, ἀμπελῶνος διαφέρει. ἄμπελος τὰ ὀλίγα καὶ σπάνια κλήματα, ἀμπελὼν δὲ ὁ περικλείων πολλὰς ἀμπέλους.

Ἀμπεπαλὼν, διασείσας, κινήσας, μετοχὴ β ἀορίστου. Οἱ γὰρ ἴωνες ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς εἰώθασιν ἀναδιπλασιάζειν, λάχωσι λελάχωσι, λάθῃ, λελάθῃ δ' ὀδυνάων [13]), τὸ ῥῆμα ἀναπάλλω.

Ἀμπεχομένη [14]), παλλίον, καὶ πᾶν ἱμάτιον, παρὰ τὸ ἀμπέχεσθαι καὶ ἀμφιέννυσθαι καὶ περιβάλλεσθαι.

Ἀμπεχόνιον, τὸ λεπτὸν ἱμάτιον.

Ἀμπεχόμενος, σκεπτόμενος ἢ καλυπτόμενος.

Ἀμπλάκημα, ἔστι ῥῆμα βάλλω, καὶ κατὰ συγκοπὴν βλῶ, καὶ ἐξ αὐτοῦ καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ μ ἀμβλὺ, τὸ μὴ ὂν ὀξὺ, ἤγουν τὸ μὴ βάλλον. γίνεται ἀμβλῶ, ἀμβλήσω, ἤμβληκα, ἤμβλημαι, ἄμβλημα, καὶ κατὰ πλεονασμὸν τοῦ α καὶ τοῦ κ ἀμπλάκημα, τροπῇ τοῦ β εἰς π. Τὸ θηλυκὸν ἡ ἀμπλακυία, καὶ ποιητικῶς ἀμπλακίη καὶ ἀμπλάκη, ἤγουν ἀποτυχία τῶν ἀγαθῶν ἔργων, ὅ ἐστιν ἁμαρτία.

Ἀμπώτεις [15]), αἱ παρὰ τὸν ὠκεανὸν ἀποφυγαὶ καὶ διαστάσεις, καὶ περὶ τὴν λιβύην. παρὰ τὸ ἀναπίπτεσθαι. κυρίως δὲ ἄμπωτις ἡ ἀναπέμπουσα.

Ἀμυδὶς, παρὰ ἅμα, ἅμαδις, καὶ τροπῇ τοῦ α εἰς υ ἀμυδίς.

Ἀμυδὶς, αἰολικῶς, παρὰ τὸ ἅμαδις. καὶ ἄμυδις τροπῇ τοῦ α εἰς υ, αἰολικῶς, ὡς σάρκες, σύρκες.

Ἀμυστὶ, ἡ ἀπνεύστη πόσις, παρὰ τὸ μὴ μύειν, ὅ ἐστι καμμύειν.

Ἀμύθητον, ἄλεκτον, ἀδιήγητον.

Ἀμυστὶ, πόσις, ἐν ᾗ οὐδεὶς [16]) ἀναπνέειν, παρὰ τὸ μὴ μύειν.

Ἄμπυξ, τὸ γυναικεῖον ἀνάδεσμα. ἀπὸ τοῦ εἰς τὰ ἄνω πεπυκνῶσθαι, καὶ τοιοῦτός τις κόσμος ἢ χαλινός.

Ἄμπωτις, ἡ ξηρότης, κυρίως δὲ λέγεται ἡ ἀναχώρησις, οἷον ἀναπίμπονα [17]). καταχρηστικῶς καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων, ἡ ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος ὑποχώρησις τῆς ὕλης.

Ἀμυδρὸς, παρὰ τὸ μυδρὸς, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον. ἀμυδρὸς δὲ ὁ ἀλαμπὴς καὶ σκοτεινός. τοῦτο παρὰ τὸ μύω, τὸ σημαίνον τὸ καμμύω.

Ἀμύμων, ὁ ἄψογος, παρὰ τὸ ἄμωμος. τὸ δὲ ἄμωμος παρὰ τὸ μῶμος, ἀμώμων καὶ ἀμύμων, τροπῇ τοῦ ω εἰς υ.

Ἀμύμων, ἀρσενικῶς μὲν καὶ θηλυκῶς ὁ ἄψογος, παρὰ τὸ μῶμον μώμων καὶ ἀμώμων, καὶ τροπῇ τοῦ ω εἰς υ ἀμύμων. ἢ παρὰ τὸ μύω μύμων καὶ ἀμύμων ὁ μὴ ταπεινούμενος.

Ἀμύναι, τὸ ἀποσοβῆσαι, ἢ τὸ βοηθῆσαι, παρὰ τὸ μόνην τὴν πρόφασιν. ἀμύναι κυρίως τὸ ἀπροφασίστως βοηθῆσαι. ἡμύνας σημαίνει τοὺς μελισμούς. ἔνθα ἀμύνειν τὸ ἀμελητὶ βοηθεῖν ἢ παρὰ τὸ ἀμεύω τὸ πορεύομαι ἀμεύνω, ὡς θύω θύσω [18]), κλίω κλίσω καὶ ἐνδείᾳ τοῦ ε ἀμύνω. τὸ μετὰ δρόμου βοηθεῖν. ἢ παρὰ τὸ ἀμύνω ἀμεύω γίνεται. τοῦτο προσθέσει τοῦ ε γίνεται ἀμύω, τὸ ὑπὸ χάριτος βοηθεῖν. Ἀναγκαῖα πάλλειν.

1) καὶ — ποιητής (Sic.) 2 (Sic.) Emend. ex. Il. XXIV, 753. 3) τὸ ἄμμες — ὅτι (Sic.) 4) οἷόν τι ταῦτα (Sic.) Leg. οἴεσθαι. ταύτης. 5) corr. ex Il. XIII, 518. 6) Corr. ex Il. XXII, 363. 7) κολαζομένας — ἕνεκα (Sic.) male. 8) Lege τὸ αἷμα τοῦ ἱερείου δέχονται. V. d. Schol. ad Od. III, 444. cf. infra p. 78. 9) Φασὶ — γράφεται (Sic.) 10) L. πάλλειν. 11) F. κατ' ἀναγωγὴν τὸν χριστόν. 12) F. αἰτίαν τοῦ πάλλειν. 13) Il. XV, 60. 14) (Sic) cf. Etym. M. v. ἀμπεχόνη. 15) cf. Etym. M. 16) (Sic.) F. οὐ δεῖ. 17) (Sic). cf. Etym. M. 18) L. θύνω — κλίνω cf. Etym. M. ex quo plura hic emend. veniunt.

δὲ ἡ τοῦ ε ἐπιστολὴ, τὸ γὰρ υ τῆς ευ διφθόγγου οὐκ ἐπεντίθεται. ἐπὶ δὲ τοῦ ὑγιαίνω γίνεται πυκνῶς δύω δύνω, ξύω ξύνω, ἀρτύω ἀρτύνω [1]).

Ἀμύναι, ἀποστρέψαι καὶ ἀλεξῆσαι καὶ βοηθῆσαι. σημαίνει δὲ καὶ τὸ τιμωρήσασθαι. τὸ δὲ ἀμύναι ἀπὸ τοῦ ἄμυνα ἡ ἐκδίκησις. τοῦτο παρὰ μύνη ἡ πρόφασις. μετὰ τοῦ ἐπιτατικοῦ α ἀμύνω.

Ἀμύναι, καὶ ἐπαμύναι, τινὲς ταὐτὰ ᾠήθησαν εἶναι· οὐκ ἀληθῶς, διαφέρει γὰρ, ἀμύναι δὲ οὖν ἔστιν τὸ ἀνταμείψασθαι τὸν ἠδικηκότα. ἐπαμύναι δὲ τὸ βοηθῆσαι. καὶ Ὅμηρος, ἀλλ' ἐπάμυνον.

Ἀμύνασθαι, καὶ ἀμύνειν διαφέρει. ἀμύνασθαι μὲν γὰρ τὸ κολάζειν τοὺς ἀδικήσαντας· ἀμύνειν δὲ τὸ βοηθεῖν.

Ἀμύνω, τὰ εἰς νω παραληγόμενα τῷ υ βαρύνεσθαι θέλει, καὶ ἐκτεταμένον ἔχει τὸ υ; εἰ δὲ ἔτι περισπάσθη προπροκάταρχον ἔχει ὄνομα, οὗ τὸ τέλος εἰς ω τραπὲν, ῥῆμα ποιεῖ. οἷον, ὀδύνη ὀδυνῶ.

Ἀμύξεις, σπαράξεις, παρὰ τὸ ἀμύσσω ἀμύξω. ἢ παρὰ τὸ αἷμα αἱμάσσω καὶ ἀμύξω. καὶ ταῖς ὄνυξι ξέω. ἐξ οὗ καὶ ἀμυχή. τὸ ἀπὸ πο^λι ἕρκος [2]).

Ἀμφικες [3]), ξίφος δύστομος, ἠκονημένον ἀμφοτέρωθεν.

Ἀμφηρεφέα, τὸ κατάσκιον, ἡ ἀμφηρεφὴς, τῆς ἀμφηρεφέος καὶ ἀμφηρεφοῦς. ἐκ τοῦ ἐρέφω ἐρεφὴς καὶ ἀμφηρεφὴς, παρὰ τὸ ἐρέφω τὸ στεγάζω.

Ἀμύσσω, παρὰ τὸ αἷμα, αἱμάσσω, τροπῇ τοῦ α εἰς υ, καὶ ἐκβολῇ τοῦ ι ἀμύσσω, ὡς μαθῶ, μαθὸς μυθός.

Ἀμφήριστον, ἀμφίλοχον. ἀμφίβολον ἢ ἄνισον παρὰ τὸ ἐρίζω, ὁ παθητικὸς παρακείμενος ἤρισμαι, ἤρισαι, ἤρισται, ἐξ αὐτοῦ ἀμφήριστος, καὶ τὸ οὐδέτερον τὸ ἀμφήριστον.

Ἀμφείμενος, διφθόγγῳ ἀμφέμενος γάρ.

Ἀμφισβητεῖν, εἴρηται παρὰ τὸ ἀμφιβαίνειν, τουτέστι κεχωρισμένον εἶναι, ὅπερ συμβαίνει τοῖς ἀμφισβητοῦσι.

Ἀμφίσκω, τὸ ἐνδύνω, ὑπέσχετο, ἐνεδύσατο. ἀμφιάσις δέ [4]).

Ἀμφικτύονες, οἱ περιοικοῦντες, τὸ γὰρ κτίσαι ἐπὶ τοῦ οἰκῆσαι ἔλεγον οἱ ἀρχαῖοι. εὐκτίμενον κατ' ἀλωήν, ἐν ᾗ καλῶς διάγουσιν ἄνθρωποί τε καὶ τὰ θρέμματα, εὐχερίας χάριν ποτισμῶν τε καὶ νομῶν. Ἀμφικτύονες δὲ ἔλεγον τοὺς τῶν Δελφῶν περὶ οἰκίαν νεμομένους Ἕλληνας. τροπῇ τοῦ ι εἰς υ.

Ἀμφὶ, περὶ, προθέσεις. ἰστέον ὅτι προθέσεις εἰσὶ τῇ μὲν φωνῇ ιη. τῷ δὲ σημαινομένῳ ιζ. ἡ γὰρ ἀμφὶ καὶ ἡ περὶ προθέσεις τὸ αὐτὸ σημαίνουσι. καὶ ἐν τῷ ἅμα εὑρίσκεται, οἷον, ἕκτωρ δ' ἀμφιπεριστρώφα καλλίτριχας ἵππους [5]). διαφέρει δὲ ἡ ἀμφὶ τῆς περὶ προθέσεως κατὰ τρόπους γ. ἡ μὲν γὰρ ἀμφὶ ἀποβάλλει τὸ ι, οἷον, ἀμφ' ἀγαθὸν θεράποντα, ἡ δὲ περὶ πρόθεσις οὐδέποτε. καὶ πάλιν, ἡ περὶ ἀναστρέφεται. οἷον κεῖνος δὰ περι κῆρι μακα^ττ [6])· ἡ δὲ ἀμφὶ οὐδέποτε ἀναστρέφεται. Καὶ ἡ μὲν περὶ καὶ μετάγεται εἰς μέρος λόγου, τουτ' ἔστιν εἰς ἐπίρρημα μεσότητος, ὡς ἐν τῷ· Ἰδομενεῦ περὶ μέν σε τίω, ἀντὶ τοῦ περισσῶς, ἡ δὲ ἀμφὶ οὐδέποτε.

Ἀμφίγυα, Ὅμηρος ἔγχεσιν ἀμφιγύοισι [7]), τοῖς ἀμφοτέρωθεν γυῖοσι δυναμένοις· ἀντὶ τῆς ἐπὶ δορατίδος καὶ τοῦ σταυρωτιδος [8]).

Ἀμφιαχυῖαν [9]), θηλυκὸν μετοχῆς, ἐκ τοῦ ἀμφιάχω τοῦτο ἐκ τοῦ ἰάχω, τοῦτο ἐκ τοῦ ἴα, ἡ ἐκπεμπομένη ἐξ αὐτοῦ βοὴ ἰὸς, μετὰ τοῦ στερητικοῦ α ἄϊος καὶ ἄνιος ὁ ἄφωνος, καὶ τὸ ἀττικὸν ἄνεως καὶ ἄνεῳ, δὴν δ' ἄνεῳ ἦσαν [10]), ἡ εὐθεῖα, τῶν πληθυντικῶν λοιπὸν ἐκ τοῦ ἴα γίνεται ἰάχω καὶ ἰαχὴ, καὶ ἀμφιάχω, ἀμφιάξω, ἀμφίαχα, ἀμφιαχὼς, ἀμφιαχυῖα· τὰ γὰρ εἰς α θηλυκὰ παρεσχηματισμένα ἰσοσυλλαβεῖ τῇ γενικῇ τοῦ ἀρσενικοῦ.

Ἀμφιβέβηκας, περιβέβηκας, ὅ ἐστιν ὑπερμαχεῖς, ὑπερασπίζῃ, κατὰ μεταφορὰν ἀπὸ τῶν ἀλόγων ζώων. ταῦτα γὰρ περιβέβηκεν ἑαυτοῖς, ὅτε τοῖς τέκνοις ἀμύνεται τοὺς ἐπιόντας· ἢ ἀπὸ τῶν περιβαινόντων τοῖς ἐν τῷ πολέμῳ τεθνηκόσι, καὶ ὑπερμαχούντων, ἵνα μὴ σκυλευθῶσι καὶ ὑβρισθῶσιν· ἢ μέσος κάθισαι ἐν αὐτῇ τιμώμενος; ὥσπερ πολιοῦχος καὶ οἰκιστής.

Ἀμφίβληστρον, διὰ τὸ ἀμφιβάλλεσθαι ἀμφίβληστρον· ἀπὸ τοῦ βάλλω κατὰ συγκοπὴν γίνεται βλῶ βλήσω, καὶ μετὰ τῆς ἀμφὶ προθέσεως, καὶ πλεονασμοῦ τοῦ σ ἀμφίβληστρον, τὸ ἀμφιβάλλεσθαι. σημαίνει δὲ τὸ δίκτυον.

Ἀμφιγυήεις, ἀμφοτέρωθεν χωλός· καὶ εἰς τὸ αἱματόεσσα.

Ἀμφιγυήεις, Ἥφαιστος, ὁ βραδὺς ἐν τῷ πορεύεσθαι, παρὰ τὸ τὰ γυῖα, ὅ ἐστιν ἄκρα χεῖρας καὶ πόδας. καὶ Ὅμηρος. καὶ ἔγχεσιν.

Ἀμφιελίσσας, τὰς ἀμφοτέρωθεν συστρεφομένας, ἐκ τοῦ ἑλίσσω. τὸ λι ἰῶτα διὰ τί; οὐδέποτε πρὸ τῶν δύο σσ [11]).

Ἀμφιέννυται, σημαίνει δὲ τὸ ἐπενδύεται. γίνεται δὲ παρὰ τὸ ἕω τὸ ἐνδύομαι, πλεονασμῷ τοῦ ν ἕνω· καὶ κατὰ παραγωγὴν ἐνύω καὶ πλεονασμῷ τοῦ ι εἰνύω. καὶ ἐπειδὴ ἔθος ἔχουσιν οἱ αἰολεῖς τὸ ι, πρὸ τὸ ἐπιφερόμενον σύμφωνον τρέπειν, οἷον εἴρω ἔρρω φθείρω φθέρρω, τὸν αὐτὸν τρόπον τρέπεται τὸ ι εἰς ν καὶ γίνεται ἐννύω καὶ μετὰ τῆς ἀμφὶ προθέσεως ἀμφιεννύω, καὶ ἐξ αὐτοῦ ἀμφιέννυμι, καὶ τὸ παθητικὸν ἀμφιέννυμαι, τὸ τρίτον ἀμφιέννυται. Καὶ εἰς τὸ ἐννύω.

Ἀμφιέσει, τὸ ἐνδύσει, τὸ ῥῆμα ἀμφιέζω, καὶ γίνεται παρὰ τὸ ἕω τὸ ἐνδύομαι, κατὰ πλεονασμὸν τοῦ ζ. τί διαφέρει τὸ ἀμφιέζω τοῦ ἀμφιάζω; ὅτι τὸ μὲν διὰ τοῦ ε ζω τὸ κοινὸν, τὸ δὲ διὰ τοῦ α δωρικόν· οὕτω καὶ ὑποπιέζω καὶ ὑποπιάζω.

Ἀμφικύπελλον, τὸ ποτήριον, παρὰ τὸ κῦφον, τὸ ἑκατέρωθεν κεκυρτωμένον.

Ἀμφιλαφὲς, τὸ δασύ.

Ἀμφίλαφον, τὸ ἑκατέρωθεν ληπτὸν, κατὰ συγγένειαν τοῦ β εἰς φ. σημαίνει δὲ τὸ ποτήριον. δοκεῖ δέ μοι παρὰ τὸ ἁφὴ, οἱονεὶ τὸ τῇ ἁφῇ ἑκατέρωθεν ὑποπίπτον.

Ἀμφιλύκη νὺξ, ἡ σκοτεινὴ, ἀμφίλογός τις οὖσα; λύκη γὰρ ἡ σκότεια, ἀμφιλύκη ἡ μὴ πεφωτισμένη νὺξ, ὁ βαθὺς ὄρθρος, λύκος γὰρ τὸ φῶς.

Ἀμφικύπελλον, τὸ ἀμφοτέρωθεν κοῖλον, τὸ περιφερὲς, οἱονεὶ ἀμφιχύπελλον, ἔνθα χῦται ὁ πηλὸς, τουτ' ἔστιν ὁ οἶνος, καὶ τροπῇ τοῦ χ εἰς κ, ἀμφικύπελλον. ὅθεν καὶ κάπηλος, ὁ τὸν οἶνον πωλῶν. εἴρηται δὲ πηλὸς ὁ οἶνος, παρὰ τὸ πάλλειν καὶ κραδαίνειν ἡμῶν τὴν κάραν, ὅθεν καὶ ἡ μέθυσις κραιπαλισμὸς λέγεται.

---

1) ἢ παρὰ τὸ ἀμύνω — ἀρτύω ἀρτύνω (Sic). Omnia hic confusa. 2) (Sic.) F. ἐπιπόλαιον ἕλκος ex Phavor. v. ἀμυχή. 3) L. ἄμφηκες. 4) (Sic.) 5) Il. VIII, 348. 6) κεῖνος — μακα^ττ (Sic.) 7) Il. XIII, 147. et alibi. 8) δορατίδος — σταυρ. (Sic) male cf. Etym. M. v. ἀμφίγυα. 9) Il. II, 316. 10) Il. IX, 30. 11) (Sic.)

Ἄμφιος, ὄνομα διὰ τοῦ ι. οὕτω καὶ ἡ παράδοσις, παρὰ γὰρ τὴν ἀμφὶ παρῆκται, ὡς παρὰ τὴν ὑπὲρ, καὶ [1] τὴν ἐν ἔνιος, οὕτω καὶ ἀμφὶ καὶ ἄμφιος. καὶ ἔκτασις τοῦ ι. ἔβαλεν [2] ἄμφιον σελάγου υἱόν.

Ἀμφιλάχαινεν, περιέσκεπεν, ὅθεν καὶ λαχάνα. διὰ τὸ ἐπίσκαπτον εἶναι τὴν γῆν αὐτῶν· καὶ εἰς τὸ λάκος.

Ἀμφισβήτησις, ἐκ τῆς ἀμφὶ προθέσεως, καὶ τοῦ βῶ τὸ λέγω· σημαίνει δὲ τὴν φιλονεικίαν. ἀμφισβητεῖν παρὰ τὸ χωρὶς βαίνειν, ὅ ἐστι μήτε συμφωνεῖν, μήτε συμβαίνειν.

Ἀμφοτέροιο, σημαίνει ἕνωσιν δύο ἀνδρῶν, ὅταν δὲ θέλῃς [3] χωρῆσαι ἑκάτερος χωριζέσθω· ἐπὶ μέντοι τριῶν ἢ πλῆθος οὐκ ἔτι λέγεται ἑκάτερος αὐτῶν, ἀλλ' ἕκαστος αὐτῶν.

Ἀμφίπολος, ἡ θεράπαινα, ἐκ τῆς ἀμφὶ προθέσεως, καὶ τοῦ πολῶ, πόλος καὶ ἀμφίπολος, οἱονεὶ ἡ περὶ τὴν δέσποιναν πολοῦσα, τουτέστιν ἀναστρεφομένη. διὰ τί προπαροξύνεται; τὰ παρὰ τὸ πολῶ καὶ χέω μὴ κατὰ πρόθεσιν συντιθέμενα προπαροξύνεται, οἷον ἀμφίπολος, πρόχοος [4]. καὶ εἰς τὸ θής.

Ἀμφίπολις, ὄνομα πόλεως Θράκης.

Ἀμφιῤῥόπους, ἐννοίας, ἀμφιῤῥόπους ἐπ' ἀδήλῳ ἔτι κειμένου τοῦ τέλους, ἀμφοτέρωθεν κλινούσας, ἢ καθελκούσας ἢ καθελκόντας. ἀπὸ τοῦ ῥέπω τοῦ σημαίνοντος τὸ κλίνω, ἢ ἐκτείνω.

Ἀμφισβητεῖν, τὸ ἀμφιβολεῖν, γίνεται ἐκ τοῦ βάζω πλεονασμῷ τοῦ σ.

Ἀμφισβήτησις, ἀγνοίας διαφέρει. ἄγνοια μὲν γάρ ἐστι παντα [5] ἀνεπιστημοσύνη τοῦ προκειμένου. ἀμφισβήτησις δὲ ἡ ἑτέρου πρὸς ἕτερον ἀμφιβολία περὶ τοῦ προκειμένου πράγματος.

Ἀμφισβητῶ, φιλονεικῶ, παρὰ τὸ ἀμφισβαίνειν τουτ' ἔστι κεχωρισμένως, ὅπερ συμβαίνει τοῖς ἀμφισβητοῦσι.

Ἀμφισβητεῖν, τὸ ζητεῖν, πλεονασμῷ τοῦ β. ἔστι ἀμφισητεῖν. ἢ παρὰ τὸ ἀμφὶς καὶ τὸ βαδίζειν, ἵνα σημαίνῃ τὸ ἀμφιλογεῖν, διπλασιασμῷ τοῦ β. ὡς ἐν τῷ ἀβδηρὸς ἀδηρὸς γάρ τις ἐστὶ, καὶ σίβδαι σίδαι γάρ.

Ἀμφιτρίτη, ἡ θάλασσα ἡ φοβερὰ τοῖς πλέουσι. ἀμφιτρήτη δὲ ἡ πέτρα ἡ ποτμ .... εἴρηται παρὰ τὸ ῥέειν εἴτε παρὰ τὸ τρεῖν, φόβον γὰρ ποιεῖ τοῖς πλέουσιν, ὡς φησι Δίδυμος. ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι, εἴτε γὰρ παρὰ τὸ ῥεῖν [6]· ὑπεβλήθη δὲ τῷ κανόνι τῶν εἰς η θηλυκῶν, καὶ διὰ τοῦ ι γράφεται.

Ἀμφορεὺς, παρὰ τὸ ἑκατέρωθεν φαίνεσθαι δύο ὦτα ἔχων. ἔστι δὲ μέτρον ξεστῶν κδ.

Ἄμφοβος, ὄνομα ἀειδάρου.

Ἀμφότερον, ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ ἀμφοτέρως. παράγεται δὲ ἐκ τοῦ οὐδετέρου ἀμφότερον, τὸ ἀρσενικὸν ὁ ἀμφότερος, καὶ τὸ πληθυντικὸν οἱ ἀμφότεροι. τοῦτο δὲ παρὰ τὴν ἀμφὶ πρόθεσιν καὶ τὸ ἕτερον, καὶ γίνεται ἀμφιέτερον, καὶ κατ' ἐναλλαγὴν τοῦ ι, καὶ ε εἰς ο ἀμφότερον.

Ἄμφω ἐστὶν ἡ εὐθεῖα τῶν δυϊκῶν, καὶ ἐστὶ θεματικόν.

Ἄμφω, δύο θεματικά. θεματικὰ δὲ εἴρηται, διότι οὐ γίνονται ἀπὸ τοῦ ἑνικοῦ, τὸ γὰρ σημαινόμενον κωλύει. τοῦ ἄμφω δὲ τὸ δύο διαφέρει, ὅτι τὸ μὲν δύο διὰ τοῦ ο μικροῦ γράφεται καὶ διὰ τοῦ ω μεγάλου, τὸ δὲ ἄμφω διὰ τοῦ ω μεγάλου πάντοτε. καὶ ὅτι τὸ μὲν δύο μετὰ ἄρθρου συντάσσεται, τὸ δὲ ἄμφω ἄνευ τοῦ ἄρθρου. τὸ ἄμφω δύο θεματικὰ, ποίας εὐθείας τῶν δυϊκῶν ἐστί; καὶ λέγομεν ὅτι οὐκ ἔχει, ἐπειδὴ ἐὰν ἔλθῃ εἰς τὰ δυϊκὰ ἀποβάλλει τὸ σημαινόμενον, ὥσπερ καὶ τὸ εἷς ἑνὸς τὸ δυϊκὸν οὐκ ἔχει, καὶ πάλιν τοῦτο οὐκ ἐγένετο ἀπὸ τοῦ ἑνικοῦ, τὸ γὰρ σημαινόμενον κωλύει. πῶς γὰρ ὁ δύο ἀριθμὸς ἐν ἑνὶ δύναται θεωρηθῆναι ἀριθμῷ; ἰστέον ὅτι τὸ μὲν ἄμφω διὰ τοῦ μὲν ω μεγάλου μόνον ἀεὶ, τὸ δὲ δύο διὰ τοῦ ω καὶ ο. καὶ τὸ μὲν διὰ τοῦ ο κοινὸν, τὸ δὲ ω Ἀττικὸν, ἀναλόγως δὲ τὸ δύο ἀριθμῷ εὕρηται. διὰ τῆς οι διφθόγγου γράφεται, οἷον, δύω, δύω δ' [7] οὐ δύναμαι ἰδέειν.

Ἀμφοῖν. καὶ δυοῖν φαμὲν οὖν καὶ ταῦτα θεματικὰ εἶναι. τὸ μέντοι δυοῖν εὕρηται καὶ δυοῖν [8].

Ἀμφ' ὤμοισι, σύνθετον ἐκ τῆς ἀμφὶ προθέσεως, ἥτις σημαίνει τὴν περὶ, καὶ τοῦ ὦμος. γίνεται ἀμφιώμοισι καὶ ἀμφ' ὤμοισι. σημαίνει δὲ παρὰ τοῖς ὤμοις ἀναβίβασιν, ἀποκοπῇ τοῦ τοῖς ἄρθρου. τὸν δὲ κανόνα τοῦ ὦμος, ζήτει εἰς τὸ ὦμος.

Ἀμῶ, τὸ θερίζω, παρὰ τὸ ἅμα, ἀμᾷν γὰρ λέγεται τὸ ὑφ' ἓν ἐπιλαμβάνειν. καὶ ἀμὴ τὸ ἐργαλεῖον, πρὸς ἀντιδιαστολὴν τῆς δικέλλας καὶ τῶν ὀδόντων. πλατεῖα γὰρ οὖσα ἅμα ἐφέλκεται καὶ τὴν γῆν, καὶ οἱ θερίζοντες ἅμα ἐφέλκουσι καὶ τοὺς στάχυας· διὸ καὶ τὰ δράγματα αὐτὰ καλοῦσι, καὶ εἰς τὸ ἀμῆσαι.

Ἄμωμος, ἄψογος, ἄμεμπτος, ἀπὸ τοῦ μῶμος ὃ σημαίνει τὸν ψόγον· τοῦτο παρὰ τὸ μῶ τὸ ζητῶ, καὶ μετὰ τοῦ στερητικοῦ α, ἄμωμος. τὸ μω μέγα διάτι; τὰ μέσον δύο ἀμεταβολῶν [9].

Ἀμωσγέπως, ἔστιν ὄνομα ἀμῶς, ὅπερ ἰσοδυναμεῖ τὸ τὶς, ἐξ οὗ καὶ τὸ ἀμόθεν ἐπίῤῥημα· τὸν ἀμόθεν γε θεᾶ, ἀντὶ τοῦ ἀπό τινος [10]. τοῦτο ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν γίνεται ἀμῶς· καὶ μετὰ τοῦ γε καὶ τοῦ πως συνδέσμων γίνεται ἀμωσγέπως. καὶ σημαίνει κατά τινα τρόπον. οἱδὲ φασὶν ἀμιγέπως.

Ἀνὰ, ὅσα ὀνόματα ἔχουσι τὸ ἀνὰ, τὸ ἄνω δηλοῦσιν, ἢ τὸ πάλιν ἐκ δευτέρου γινόμενον. ἀνὰ ἀντὶ τοῦ πάλιν λαμβάνεται.

Ἄναξ, ὁ βασιλεὺς εἰς ὃν πάντα ἀναφέρομεν.

Ἀναβάλλειν, τὸ ἐν πελαγῷ χειμῶνος ὄντος στείλαντες τὰ ὀθόνια σαλεύειν. σημαίνει δὲ τὸ ἀναχωρεῖν, οἷον, ἀναχωρέειν. τροπῇ τῶν στοιχείων συντάσσεται πτώσεως αἰτιατικῆς [11].

Ἀνάβασις, ἄνωθεν βάσις, ἢ πάλιν βάσις.

Ἀναβίωσις, ἄνωθεν βίος, ἤγουν ζωὴ, ἢ διὰ τοῦ ἄνω βάσις. ἤγουν πάτησις. ἢ πάλιν βίωσις, ἤγουν ζωή.

Ἀναβάτης, παρὰ τὸ βίβημι, βήσω, βέβηκα, βάτης καὶ ἀναβάτης.

Ἀνάβλησις, ἀναβολὴ καὶ ὑπέρθεσις, ἐκ τοῦ ἀναβάλλομαι τὸ ὑπερτίθεμαι, καὶ βραδύνω· καὶ, μὴ ἀναβάλλου πάτερ. γίνεται ἐκ τοῦ ἀναβάλλω καὶ ἀναβλῶ, καὶ ἀνάβλησις. ἡδὲ ἀνὰ πρόθεσις ἐν τῇ συνθέσει δύο σημαίνει τὴν ἄνω σχέσιν, ὡς τὸ ἀναδρομή ..... [12].

---

1) Sic, omissum est nomen ὑπέριος. cf. Etym. M. 2) (Sic.) L. καὶ βάλεν, ex Il. V, 612. 3) (Sic.) Plura hic corrupta sunt. 4) Falsa haec sunt. Vid. Etym. M. p. 93. ἀμφίπολος. etr. p. 34. αἰπόλος 5) (Sic.) F. ἡ παντὰς. 6) (Sic.) 7) (Sic.) L. δοιὼ δ' οὐ etc. ex Il. III, 236. 8) (Sic.) L. δοιοῖν. δοιοὶ Il. XII, 455. alibi. 9) τὰ μέσον etc. (Sic.) Reliqua desunt. 10) τὸν ἀμόθ. — τινος. Sic. emend. ex Od. I, 10. et Schol. 11) οἷον — αἰτιατικῆς (Sic.) 12) (Sic.) Reliqua desunt, reficienda ex Etym. M. v. ἀνά.

Ἀναβῶ, διάτι περισπᾶται; ἐπειδὴ πᾶν ὑποτακτικὸν ὁριστικὸν μονοσύλλαβον εἰς ω λῆγον, ἔχον τὴν μετοχὴν εἰς σ ὀξυτονὸν, ἐν τῇ συνθέσει τὸν αὐτὸν τόπον φυλάττει, βὰς, βῶ, ἐὰν ἀναβῶ, δοὺς, δῶ, ἐὰν ἀναδῶ, ἐὰν παραδῶ τὸ σῶμα. εἰ δὲ μὴ ἔχει τὴν μετοχὴν εἰς σ ὀξυτονὸν, ἐν τῇ συνθέσει τὸν τόπον ἀναπεμπει. οἷον, σχῶ, κατάσχω, καὶ πρόσχω, καὶ ἐπίσπω θάνατον, καὶ πότμον ἐπίσπῃ.

Ἀναγκὰ, ἄνωθεν κένωσις, ἢ πάλιν κένωσις.

Ἀναγκαῖα, ἡ ἄνωθεν κκινοποιηθεῖσα.

Ἀνάγκη, ἀναγκάς· ἀναγκὴ καὶ ἀνάγκη, ἐπειδὴ τὸ ταῖς ἀνάγκαις κρατούμενον κατὰ δύναμ.ν ἀφυκτέον κρατεῖται, ἢ παρὰ ἄκος, πρὸς ἣν ἄκος οὐκ ἔστιν εὑρεῖν [1]).

Ἀνάγκη, ἡ θεὸς καὶ τὸ πρᾶγμα, παρὰ τὸ ἀνάσσω καὶ τὸ πράττω, ἀνάγκη, πάντα γὰρ ἐπικρατεῖ. εἰ δὲ ἦν ἐπίῤῥημα, ὀξύνετο [2]) ἂν, ὡς στεναχῶ στεναχή. ἢ παρὰ τὸ ἀνάσσω, ἀνάγκη ἡ πάντα κρατοῦσα.

Ἀναθηλήσει, συζυγίας πρώτης τῶν περισπωμένων, θαλέω θαλῶ, ὁ μέλλων θαλήσω, καὶ τροπῇ τοῦ α εἰς η θηλήσω.

Ἀνάγνωσις, ἄνω γνῶσις, ἡ παρὰ θεοῦ γινώσκουσα γνῶσις, ἢ πάλιν γνῶσις.

Ἀναδενδρὰς, ἡ ἄμπελος, ἡ πρὸς τὸ δένδρον ἀνερχομένη. δένδρον δενδρὰς καὶ ἀναδενδράς.

Ἀνδραγαθία, καλοκαγαθία, γίνεται ἐκ τοῦ ἀνδρεία, καὶ ἀνδραγαθία ἡ ἀγαθὴ ἀνδρεία, ἥτις λέγεται ὁ θαυμαστὸς ἔπαινος.

Ἀνάθημα, ἀναθέματος διαφέρει, ἀνάθημα μὲν γάρ ἐστι τὸ διὰ τοῦ η γραφόμενον, τὸ ἀνιερούμενον τε καὶ ἀντιθέμενον ἱερῷ τινὶ τόπῳ. ἀνάθεμα δὲ διὰ τοῦ ε ἐκφωνούμενον τὸ ὕβρεως ἐχόμενον καὶ ἀναθεματισμοῦ. ἀνάθημα καὶ ἀναθήματα ἀγάλματα, κημείλια [3]), καὶ τα τῷ θεῷ παρατιθέμενα.

Ἀνὰ θύμον, ἀντὶ τῆς κατὰ ἀττικῶς· καὶ γὰρ οἱ Ἀττικοὶ τὴν ἀνὰ, ἀντὶ τῆς κατὰ παραλαμβάνουσιν.

Ἀναίδεια, ἡ ἀναισχυντὴ, ἐκ τοῦ ἀναιδὴς ἀρσενικοῦ, εἰς θηλυκὸν μετῆλθε διὰ τοῦ ει α ἀναίδεια. ἀναιδὴς παρὰ τὸ αἰδῶ καὶ κατὰ στέρησιν καὶ πλεονασμῷ τοῦ ν ἀναιδὴς, ὁ ἐστερημένος τῆς αἰδοῦς. τὸ δὲ αἰδὼς παρὰ τὸ εἴδω τὸ θεωρῶ, καὶ κατὰ στέρησιν ἀείδω.

Ἀναίδεια, κοινῶς, ἀναιδείη ἰωνικῶς.

Ἀναίνετο, ἀπηρνεῖτο, παρὰ τὸ ἀρνῶ ἀρνοῦμαι ἀναίη [4]). ἢ παρὰ τὸ ναὶ ἐπίῤῥημα ναίνω καὶ ἀναίνω. ἢ παρὰ τὸ αἰνῶ τὸ ἐπαινῶ [5]) τουτέστι τὸ οὐκ ἐπαινῶ, μετὰ τοῦ στρερητικοῦ α. καὶ εἰς τὸ ἀπηνήνατο.

Ἀνακωλὴ, ἡ ἀνάπαυσις, καὶ ἀνάκλησις. ἀνάκλησις δὲ ἀνακάλεσις.

Ἀνακλαστάριον, ἀνακλῶς πίνεις.

Ἀνάκρισις, εἰς τὸ ἐρώτησις.

Ἀνάτορον, καὶ ἀνακτώριον τὸ τοῦ ἄνακτος οἴκημα.

Ἀνάλογος, παράλογος. ἄλογος εἶτα δεύτερον σύνθετον μετὰ πλεονασμοῦ τῆς να συλλαβῆς ἀνάλογος, ὁ λόγος ἐρχόμενος, ὅ ἐστιν ὁ κατὰ λόγον ὅμοιος. κάνων, γίνεται πολλάκις ἐν ταῖς συνθετικαῖς στερήσεσι [6]; τῶν προλαβουσῶν στερήσεων ἀναιρετικαὶ, αἵτινες καλοῦνται ἐπιστερήσεις.

Ἀνάλογον, δηλοῖ τὸ ἀκόλουθον καὶ τὸ κατάλογον· δύο στερήσεις ἔχει ἡ λέξις, αἵτινες, ὁμοῦ οὖσαι κατάθεσιν δηλοῦσιν. ἔστι δὲ παρὰ τὸ λόγος ἄλογος, παράγωγον ἀνάλογος, ὡς πίστα, ἄπιστα ἀνάπιστα, πηρὸς, ἀνάπηρος, ὁ πεπηρωμένος. ἐπλεόνασε τὸ ν, ὡς ἐν τῷ ἀναίτιος καὶ ἀναίσχυντος.

Ἄναλκις, ὁ ἀδύνατος ὄνομα σύνθετον. ἀλκὴ, τοῦτο ἐκ τοῦ ἀλκῶ τὸ βοηθῶ, καὶ ἄλξω ὁ μέλλων, ὄνομα ῥηματικὸν ἄλξις καὶ ἐπὶ ἐπάλξεων πόλεως. ἐκ τοῦ οὖν ἀλκῶ ἀλκὴ, καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ ν ἄναλκις. κλίνεται ἀνάλκιδος. ὁ κάνων, τὰ εἰς ις βαρυτονὰ ἀρσενικὰ εἴτε κυριὰ εἴτε προσηγορικὰ παρώνυμα μακροῦ παραλήγοντα, διὰ τοῦ δος κλίνεται, Ἀδώνιδος, Θεόγνιδος, ἀνάλκιδος, νήιδος.

Αναλτος, ὁ ἀήδης, ἀπὸ τῶν ὄψων τῶν μὴ ἐχόντων ἅλας, ἀηδῶν ὄντων.

Ἄναξ, ὁ τὴν ἄνω τάξιν ἔχων καὶ ἄγων: παρὰ τὴν ἀνὰ πρόθεσιν, καὶ τὸν ἄξω μέλλοντα. ἢ παρὰ τὸ ἄνω τάξιν ἔχειν. ἢ παρὰ τὸ ἀναΐσσω, ἀναΐσσων κατὰ τὴν δύναμιν τοῦ κρατεῖν. διάτι βαρύνεται; τὰ εἰς αξ λήγοντα ὑπὲρ μίαν συλλαβὴν, βαρύνεσθαι θέλουσι, χωρὶς εἰ μὴ παρὰ ῥήματος εἴη συντεθειμένου ὑπὲρ μίαν συλλαβὴν φυλάττοντος, τὸ φάραξ, θώραξ, κόραξ· τὸ δὲ σφὰξ καὶ ἀπὸ τοῦ σφὰξ ἐπιῤῥήματος.

Ἄναξ, παρὰ τὸ τὰ πάντα εἰς αὐτὸν ἀναφέρεσθαι. καὶ εἰς τὸ ἀνὰ καὶ βασιλεύς.

Ἄνασσα, ἡ βασίλισσα, ἀπὸ τοῦ ἄνω ἀνάσσω, ὡς νεύσω ἢ νίσω νύσσα, μελίσσω καὶ μέλισσα. οὐ γὰρ παρὰ τὸ ἄναξ. τὰ γὰρ παρὰ ἐθνικοῦ οὕτω παράγονται. κύλιξ, κύλισσα, φοίνιξ φοίνισσα, ἐθνικά· ἐπὶ δὲ τοῦ χρώματος οὐκ ἔτι.

Ἀνάσσω, τὸ βασιλεύω, ὡς πατῶ πατάσσω, σαλῶ σαλάσσω, ἀνῶ ἀνάσσω, τὸ σημαῖνον τὸ ἀνύω, ἐξ οὗ καὶ ἀνὴρ καὶ ἀνύω παράγωγον.

Ἀναξυρίδας, φιμενάλια, βρακία, ἤτοι βαθέα καὶ ἄβατα ὑποδήματα, οἷον ἀνασυρίδας, καὶ παρὰ τὸ ἀνάσυρα, τροπῇ τοῦ σ εἰς ξ. συντάσσεται δὲ τὸ σύρω πτώσει αἰτιατικῇ καὶ δοτικῇ.

Ἀνάπαυσις, ἄνω παῦσις, ἢ πάλιν παῦσις.

Ἀνάπηρος, σεσινωμένος ἢ ἠχρειωμένος, ἢ νοσώδης καὶ λυπηρός· καὶ ἀνάπηρος ὁ γέρων ὁ ἐπιβλαβὴς καὶ μὴ ὑγιαίνων. παρὰ τὸ πήθω τὸ πανθάνω γίνεται οὖν πηρὸς ὁ ἐμπηρὸς ὁ ἠχρειωμένος, μετὰ τοῦ στερητικοῦ α ἀνάπηρος ὁ σεσινωμένος· αἱ γὰρ δύο στερήσεις ποιοῦσιν ἓν ἐπιτατικόν· καὶ εἰς τὸ τυφλός.

Ἀνάρσιος, παρὰ τὸ ἄρσω μελλοντα· ὅ ἐστιν ἁρμόζω ὁ ἀνάρμοστος τινὶ καὶ ἀσύμφωνος, ὥστε τὸ α εἶναι στερητικόν.

Ἀνάπλασις, παρὰ τὴν ἀνὰ πρόθεσιν καὶ τὸ πλάσσω τὸ ποιῶ, ὁ μέλλων πλάσω. ὤφειλεν εἶναι διὰ τοῦ ξ ὁ μέλλων· εἰ δὲ διὰ δύο σσ εἴη ὁ ἐνεστὼς ἀεὶ ὁ μέλλων διὰ τοῦ ξ πλὴν τοῦ πλάσσω τὸ ποιῶ καὶ τὰ ἑξῆς.

Ἀναῤῥιχόμενοι, ἀναλαμβανόμενοι, πρὸς ὕψος ἀντεχόμενοι ποσὶν ἢ χερσὶν ἐπὶ τοιχὸν ἢ δένδρον· Ἀριστοφάνης εἰρήνη, πρὸς ταῦτ' ἂν ἀναῤῥιχᾶται εἰς οὐρανόν· ἀπὸ μεταφορᾶς τῶν ἀραχνῶν, αἵτινες τὰ οἰκεῖα νήματα κατέχουσαι ἄνω φέρονται.

Ἄναρχος, ὁ μὴ παρά τινος ἡγεμονευόμενος ἢ ἀγόμενος. ἢ ὁ μήτε ἀρχὴν ἔχων, μήτε τέλος.

Ἀνασκολοπισθῆναι, ἀνασταυρωθῆναι, σκόλοπες γὰρ

---

1) corrupta. 2) ἦν — ὀξύνετο. (Sic) male. Vid. Etym. M. 3) (Sic) κειμήλια. 4) (Sic.) vid. Etymolog. M. v. ἀναίνομαι. 5) (Sic.) Lege ἀναίνω. 6) cfr. Etym. M. v. ἀνάλογος.

ξύλα ὀξέα. σκόλοψ οὖν παρὰ τὸ σκέλλω, σκέλοψ καὶ σκόλοψ, τροπῇ τοῦ ε εἰς ο.

Ἀνάστασις, ἄνω στάσις ἤτοι ἔργασις ἢ παράστασις, παρὰ τὸ στήσω μέλλοντα.

Ἀνάστηθι. προπαροξυτόνως, οἷον νὲς ἄνες, Φὲς ἄφες, σχὲς πρόσχες. εἰ δὲ προπαροξύνεται, οἷον στῆθι, βῆθι, ἀνάβηθι καὶ κατάβηθι [1]).

Ἀναστευου μετανάστης λέγεται ὁ μέτοικος καὶ Φυγὰς, παρὰ τὸ νάσσω τὸ οἰκῶ, ἐξ οὗ καὶ νάσσατο δ' ἀγχ' ἐλικῶνι, καὶ μετὰ τῆς μετὰ προθέσεως μεταναστεύου.

Ἀνασφῆλαι, ἀναῤῥωθῆναι, σφῆλον γὰρ τὸ ἰσχυρὸν. Στησίχωρος ἐρίσφηλον ἔφη τὸν Ἡρακλέα, ἴσον τῷ ἐρισθένει.

Ἀνάσχεο, μέσου ἀορίστου δευτέρου ὑποτακτικοῦ, κατὰ διάλυσιν ἰωνικὴν παρὰ τὸ σχῆμι, ὁ μέλλων σχήσω, ὁ παρακείμενος ἔσχηκα, ὁ παθητικὸς ἔσχημαι, ἐσχέθην ὁ μέσος ἐσχέμην, τὸ δεύτερον ἔσχεσο καὶ ἐκβολῇ ἔσχεο καὶ ἀνάσχεο.

Ἀναστὰς, μετοχὴ ἀορίστου δευτέρου τῶν εἰς μι, ἀπὸ τοῦ ἵστημι, ἐστὶ ἑστὰς καὶ ἀναστάς.

Ἀνάστα, ῥῆμα προστακτικὸν, καὶ ἔστι ἐπίῤῥημα παρακελεύσεως.

Ἀνασχων, ἀνατείνας, μέσου ἀορίστου δευτέρου, τὸ ῥῆμα ἀνάσχω ὁ μέλλων ἀνασχήσω, ὁ ἀόριστος ἀνέσχησα, ὁ β ἀόριστος ἀνέσχον ἡ μετοχὴ ὁ ἀνάσχων τοῦ ἀνάσχοντος. ἔστι δὲ πρώτης συζυγίας τῶν περισπωμένων.

Ἀναψύχω, ἐκ τοῦ ψύχω τὸ ζωογονῶ.

Ἀνατολὴ, ἄνω ἐπιτολὴ τοῦ ἡλίου, διὰ τὸ ἀνίσχεσθαι τὸν ἥλιον, πάντοτε. ἢ πάλιν ἐπιτολὴ τοῦ ἡλίου. καὶ ὅσα ὀνόματα ἔχουσι τὴν ἀνὰ πρόθεσιν τὸ ἄνω σημαίνει. ἀνατολὴ λέγεται ἡ τοῦ ἡλίου λάμψις ἀνατεῖλαι, ἐκ μεταφορᾶς τῆς τῶν βοτανῶν ἀνθήσεως.

Ἄναυρος, ὁ ἐξ ὑετῶν συνιστάμενος [2]), παρὰ τὸ αὔραν μὴ ἔχειν.

Ἀνατολὴ, διὰ τὸ ἀνέρχεσθαι τὸν ἥλιον, ἤγουν ἀνατέλλειν ἐξ αὐτοῦ.

Ἀναφορὰ, δέησις, παράκλησις, ἄνωθεν φορὰ, ἡ παραφορά.

Ἀνὰ ψυχὴν, ἄνωθεν ψυχὴν, ἢ πάλιν ψυχὴν, ταῦτα καὶ τὰ ὅμοια διπλῶς ῥητέον.

Ἄνδηρα, τὰ χείλη τοῦ ποταμοῦ, παρὰ τὸ ἄνω εἶναι τῶν δωρέων, οἱονεὶ τῶν ὑδάτων.

Ἀνδραγαθία ἀνδρείας διαφέρει, ἀνδρεία μὲν γάρ ἐστι δύναμις ἐπαινουμένη. ἀνδραγαθία δὲ ψυχὴν ἀρετὴν ἔχει μαρτυροῦσαν.

Ἄνδρα [3]), κυρίως ἐπίῤῥημα, καὶ σημαίνει κατὰ ἄνδρα, παρὰ τὴν ἀνδρὸς παραγωγὴν, ἢ παρὰ τὸ ἄνδρα, καὶ τὸ κάτω σύνθετον, ὁ κατὰ ἄνδρα κόσμος τεταγμένος. κάσω κὰξ, ὡς δάσω δὰξ καὶ ὀδάξ.

Ἀνδρακὰς, ὡς ἑκὰς ἐπιῤῥηματικὸν, καὶ σημαίνει κατ' ἄνδρα. δύναται δὲ καὶ ἴση μερὶς κατ' ἄνδρα εἶναι. κοινωνίαν δὲ ἔχει τὸ δ πρὸς τὸ κ. ὡς τὸ δαίειν καίειν ἀνδρακὰς οὖν οἱ ἀνάδραδες.

Ἀνδραχλος, πόα ἐν τοῖς κήποις, παρὰ τὸ ἄνδρι εἴκελος, ἄνδραχλος κατὰ συγκοπὴν καὶ τροπήν.

Ἀνδράποδον, ὁ φυγὰς δοῦλος, ἀπὸ τοῦ ἀποδεδόσθαι· ἢ παρὰ τὸ πέδη, τοῖς γὰρ αἰχμαλώτοις διὰ τὸ δραπετεύειν πέδας ἐπιβάλλουσιν.

Ἀνδράσιν, ἡ εὐθεῖα ὁ ἀνὴρ, ἀνέρος· καὶ ὤφειλεν εἶναι ἡ δοτικὴ τῶν πληθυντικῶν ἀνέρσιν, ἀλλὰ διὰ τὴν εὐφωνίαν ὑπερθέσει τοῦ ρ γίνεται. καὶ τροπῇ τοῦ ε εἰς δ καὶ πλεονασμῷ ὡς πατράσι καὶ θυγατράσι.

Ἀνδρεία, ἀπὸ τοῦ ἀνδρέϊα, κατὰ διάστασιν καὶ κατὰ κρᾶσιν ἀνδρεία καὶ ἀνδρεῖος.

Ἀνδραῖος, ῥωμαλὸς, θαῤῥαλεὸς, οὕτω καὶ γηραλεὸς.

Ἀνδρειφόντης, διφθόγγῳ ὁ ἀνδροφόνος, ἀπὸ τοῦ ἀνδρεφόντης, καὶ αὐτὸ κατὰ πλεονασμὸν τοῦ ι ἀνδρειφόντης.

Ἀνδρεία ῥώμης διαφέρει, ἀνδρεία μὲν γάρ ἐστιν ἰσχὺς ψυχῆς, ῥώμη δὲ σώματος. ὅθεν τὴν μὲν ἀνδρείαν ἐπὶ τῆς ψυχῆς τακτέον, τὴν δὲ ῥώμην ἐπὶ τοῦ σώματος. καὶ εἰς τὸ ἀνδραγαθία.

Ἀνέγναμψαν, αὐτὰρ ἐμοὶ δεσμὸν ἀνέγναμψαν [4]). ἀντὶ τοῦ ἀνέλυσαν, ὅταν γὰρ δεσμεύουσι τὰ σχοίνια, κατακάμπτεται ταῖς συναφαῖς. ἀνακάμπτεται δὲ καὶ ἀνορθοῦται, ὅταν ἀναλύηται [5]). γνάμψαι γὰρ τὸ κλάσαι, γναπτοῖς [6]) ἀγκίστροισι τοῖς ἐπικεκαμμένοις, καὶ ἐπέγναμψεν γὰρ ἅπαντας [7]). ἀναγνάμψαι οὖν ἐξαπλῶσαι, καὶ τὸ τὰ γεγενημένα [8]) ἀναλῦσαι. Δίδυμος ἐν ὑπομνήματι Ὀδυσσείας.

Ἀνέβη, ἐκ τοῦ βίβημι, βήσω, ὁ δεύτερος ἀόριστος ἔβην, ἔβη καὶ ἀνέβη.

Ἀνέδην, εἰς τὸ παραβλήδην.

Ἀνέδην, παρὰ τὸ ἀνίημι ἀνήσω ἐπίῤῥημα γέγονε ἔδη, ἀναίδην δὲ τὸ ἀθρόως.

Ἀνέδην, ἐπίῤῥημα, τὸ ἐξ ἑδρῶν ἀνατραπῆναι, διὰ τοῦ ε ψιλοῦ γράφεται, οὐ γὰρ ἐστι παρὰ τὸ ἀναίδεια καὶ στέρησις τοῦ ἔδη [9]) ἤγουν τῆς καθέδρας καὶ τοῦ ἐδάφους.

Ἀνδράποδον ἀνδραποδιστοῦ διαφέρει. ἀνδράποδον, ὁ φυγὰς δοῦλος, ἀνδραποδίστης, ὁ τοὺς φυγάδας λαμβάνων καὶ ἀπάγων.

Ἀνέκαθεν, ἐκ τοῦ ἄνω καὶ τοῦ ἑκὰς, ὃ σημαίνει τὸ μακρόν. σημαίνει δὲ τὸ μακρὸν καὶ ἄνωθεν ἐκ τοῦ παλαιοῦ χρόνου.

Ἀνέδυ καὶ ἀνεδύσατο ἀνῆλθεν.

Ἀναιδίην, δὲ τὸ ἀναισχύντως διὰ τῆς αι διφθόγγου.

Ἀνειμένος, ὁ ἀπολελυμένος καὶ κεχαυνωμένος. ἀκρα^{ττι} [10]) τῇ αὐτῶν ἀνειμένῃ πραγματείᾳ, ἀνατεθειμένῃ ἢ ἐξηθλωμένῃ· ἀπὸ τοῦ ἕω γίνεται παράγωγον ῥῆμα ἕημι, τὸ παθητικὸν ἕεμαι, καὶ κράσει εἷμαι, ἡ μετοχὴ ὁ εἱμένος καὶ ἀνειμένος· ἢ ἀπὸ τοῦ ἕω τὸ σημαῖνον τὸ πέμπω, ὁ παρακείμενος εἷκα, ὁ παθητικὸς εἷμαι, ἡ μετοχὴ ὁ εἱμένος καὶ ἀνειμένος· ἐξ οὗ καὶ ἀνειμένων πόλοιο, ἀντὶ τοῦ ἀνεῳγμένων.

Ἀνειμονος, ἀχίτων, παρὰ τὸ εἷμα τὸ ἱματιὸν, ἐν συνθέσει ἀνείμων. τὰ γὰρ ἀπὸ τῶν εἰς α ληγόντων οὐδετέρων τέσσαρας συνθέσεις ἀναδέχονται. ἢ γὰρ φυλάττουσι τὸ αὐτὸ τέλος, ὁπότε καὶ τὸ αὐτὸ γένος, οἷον δῆμα, διάδημα, γράμμα σύγραμμα, τάγμα σύνταγμα. ἢ καὶ ἀπὸ γενικῆς γίνεται ἡ σύνθεσις φυλαττομένης τῆς εἰς ος καταλήξεως, οἷον γράμματος καὶ ἀγράμματος. ἢ τρέπουσι εἰς τὴν εἰς [11]) ος κα ἄληξιν, οἷον σῶμα, εὔσωμος. ἢ τρέπουσι τὸ α εἰς τὴν ων

---

1) Confusa et omissa. Vid. Etym. M. v. ἀνάστα. 2) (Sic) γναμπτοῖς. 6) Od. IV, 369. 7) Il. II, 14. 8) (Sic). F.
omissum est nomen ποταμος supplendum ex Etym. M. 3) (Sic.) δεδεμημένα. 9) F. ἕδους. 10) (Sic). 11) εἰς τὴν εἰς
L. ἀνδρακας cl. Etym. M. 4) Od. XIV, 348. 5) (Sic.) (Sic.) corrig. ex Etym. M. v. ἀνείμων.

κατάληξιν, οἷον αἷμα ἀναίμων. αἷμα μὴ ἔχων εἷμα ἀνείμων. τὸ δὲ ἐρυσάρματες παρὰ γενικῆς· γράμματα πολυγράμματα, ἅρματα ἐρυσάρματα, τὸ πληθυντικὸν ἐρυσαρματοι, κατὰ πλεονασμὸν ἐρυσάρματες.

Ἀνείσθω ἐκ τοῦ ἕω τὸ συγχωρῶ, ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἶκα, ὁ παθητικὸς εἷμαι, ὁ ὑπερσυντελικὸς εἵμην, τὸ β ἕσο, καὶ τὸ προστακτικὸν εἷσο, εἵσθω καὶ ἀνείσθω.

Ἀνεῖσθαι, λελῦσθαι, ἀπὸ τοῦ ἕω τὸ σημαῖνον τὸ πέμπω, τοῦτο περισπᾶται, καὶ γὰρ ἑῶ ῥῆμα εἰς μι ἕημι, ὁ παρατατικὸς ἐνεργητικὸς [1]) ἕεμαι, καὶ κράσει εἷμαι, τὸ τρίτον εἷται, καὶ τὸ ἀπαρέμφατον εἷσθαι. καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ ν ἀνεῖσθαι. συντάσσεται οὖν μετὰ δοτικῆς, καὶ αἰτιατικῆς.

Ἄνεμοι, οἱονεὶ ἄμενοι τινὲς ὄντες, καὶ κατὰ μετάθεσιν στοιχείου ὡσὰν οὐκ ἠρεμοῦντες, οὐδὲ ἐν τῷ αὐτῷ μένοντες. ἕως οὐ δᾶν ἐν τῷ μένοντι ὦσι.

Ἄνεμος, παρὰ τὸ ἄω τὸ πνέω. ἢ μετὰ τοῦ στερητικοῦ α ἄμενος ὁ μὴ ἔχων δύναμιν. ἢ μετὰ τοῦ ἐπιτατικοῦ α, ὁ πάνυ ἔχων δύναμιν ἐπὶ τοῦ ἐναντίου, ἢ ἀνάμενος, ὅτι μένων πνεῖ.

Ἀνεμώλιος, ὁ μάταιος, ἐκ τοῦ ἄνεμος ἀνεμώνιος, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, ἤγουν τοῦ ν εἰς λ ἀνεμώλιος. οὐκ ἔστι δὲ σύνθετον, οὐ δεῖ γὰρ αὐτὸ σύνθετον ἡγεῖσθαι τὰ ὑπὸ ἀνέμων ὀλλύμενα. καὶ εἰς τὸ ἐτώσιος.

Ἀνεμῶνες, παρὰ τὸ ἀεὶ σαλεύεσθαι τὰ φύλλα ὑπολεπτότατα καὶ οἷον ἀνεμιαῖα τινὰ ὄντα.

Ἀνενδοιάστως, ἀπὸ τοῦ ἐνδοιάζω τοῦ σημαίνοντος τὸ ἀμφιβάλλω καὶ δοκῶ. γράφεται δὲ διὰ τῆς οι διφθόγγου πρὸς ἀντιδιαστολὴν τοῦ συνδυάζω, τοῦ σημαίνοντος τὸ ἀσφαλίζομαι. καὶ οὐ μὴ συνδυάζω μετὰ τῶν ἐκλεκτῶν. τὸ δὲ ἐνδοιάζω καὶ ἀσφαλίζομαι παρὰ τὸ δοάσω ῥῆμα ὃ σημαίνει τὸ ἀμφιβάλλω καὶ δοκῶ. ὧδε δὲ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι [2]). ἀπὸ οὖν τοῦ δοάσσω ῥήματος κατὰ τροπὴν δωρικὴν δοάζω, ὡς νίσσω νίζω, καὶ πλεονασμῷ τοῦ ι δοιάζω.

Ἀνενδοιάστως, ἀντὶ τοῦ ἀδιστάκτως, καὶ ἀναμφιβόλως.

Ἀνεξικακία, ἡ ἀνοχὴ τοῦ κακοῦ, παρὰ τοῦ ἀνέχεσθαι τῆς κακίας.

Ἀνεχαίτισεν, ἀνεκρούσατο, ἠπείθησεν, ἢ εἰς τοὐπίσω ἤγαγεν, ἡ μεταφορὰ ἐκ τῶν ἵππων. καὶ εἰς τὸ χαίτης.

Ἄνες, ἄφες, ἐκ τοῦ ἵημι τοῦ συγχωρῶ, ὁ μέλλων ἥσω, ὁ β ἀόριστος ἦν, ἡ μετοχὴ εἰς ἕντος, καὶ τὸ προστακτικὸν ἕς, καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἄνες.

Ἀνεσόβουν, σοβῶ ἐστὶ τὸ τρέχω, ἔνιοι τὸ ἐνδιώκω· τὸ μὲν οὖν ἀνεσόβουν ἀντὶ τοῦ ἀνέτρεχον πρὸς τυραννίδα. ἢ κατὰ ἀπόστασιν γίνεται ἐκ τοῦ σέβω. συντάσσεται μετὰ αἰτιατικῆς.

Ἄνετος, ἐκ τοῦ ἕω τὸ πέμπω, παρὰ τὸ ἀνίημι. καὶ ἀνίετος ὁ ἀπολελυμένος.

Ἄνευ, ἐκ τοῦ χωρὶς, φησιν ἐπίῤῥημα ἀποχωρισμοῦ σημαντικόν. συντάσσεται δὲ ἀεὶ γενικῇ. αἶκεν ἄνευ ἐμέθεν. ἐκτείνεται εἰς θε καὶ εἰς θεν. οὐδὲν αὐτῷ [3]) ἐπίῤῥημα εἰς θεν λῆγον. αἱ δὲ εἰς ευ λέξεις βαρυνόμεναι ἄπτωτοί εἰσι. περισπώμεναι δὲ πτωτικαί εἰσιν, Ἀχιλεῦ, Πηλεῦ.

Ἄνευ, ἐπίῤῥημα χωρισμοῦ ἢ τάξεως.

Ἀνεψιὸς, ὁ ἄνωθεν συνημμένος εἰς συγγένειαν. ψιὸς ὁ νῦν καλούμενος ἐξάδελφος, παρὰ τὸ ἀ εἰς συγγένειαν. ἢ παρὰ τὸ ἕπω, ἕψω, ὁ ἄνωθε μενος. καὶ εἰς τὸ φίλος· καὶ ἀνεψιός.

Ἀνεῴγεν, ἠνοίχθη, μέσος παρακείμενος, καὶ σι β τῶν βαρυτόνων. τὸ ῥῆμα ἀνοίγω, ὁ παρα ἤνωμαι [4]), ἐπεισόδῳ τοῦ ε ἠνέῳγον, συστολῇ τοι α ἀνέῳγον, καὶ ὁ μέσος παρακείμενος ἀνέῳγα, ἀνέῳγε. ἰστέον ὅτι τὸ ῥῆμα τοῦτο, ὅτε μὲν ἐσ εργητικὸν συντάσσεται δοτικῇ, ὅτε δὲ παθητι θείᾳ. τὸν δ' οὐ θεὸς ἄλλος ἄνωγεν. ἠνέῳ θύρα.

Ἄνεως ἰὴ ἡ φωνὴ, καὶ πλεονασμῷ τοῦ ω ἰωὴ τοῦ ἐπὶ πᾶσαν ἀκοὴν ἰέναι. καὶ κατὰ στέρησιν ὡς χῶρος ἄχωρος. μεταθέσει τοῦ ι εἰς ε ἄνεο νατοι καὶ παρὰ τὸ αὔω ῥῆμα. αὖε δ' Ἄρης ἑτέ ὄνομα ῥηματικὸν ἄναυος, ἀποβολῇ τοῦ υ ἄναος, κῶς ἄνεως. αὔω δὲ ἄναυος. ὡς αὔδω ἄναυδος.

Ἄνεος, ὁ ἄφωνος, ὁ ἄνευ ἰωῆς καὶ πνοῆς, οἱ πεπληγμένοι ἄφωνοι γίνονται.

Ἄνεως, τοῦτο σχηματίζεται διχῶς. ἢ γὰρ ἐκ ὁ σημαίνει τὴν φωνὴν, τοῦτο δὲ παρὰ τὸ ἰέναι ῥεύεσθαι, ἡ πανταχοῦ πεμπομένη φωνὴ, με στερητικοῦ α ἄνιος, κατὰ πλεονασμὸν τοῦ ν, μων ἀναίμων. προπαροξυτονὸν, οἷον σκιὰ, ὥρα ἄωρος, πεῖρα ἄπειρος, οὕτως οὖν καὶ ἴα, καὶ τὸ ἀττικὸν ἄνεως, ὡς καὶ προείπομεν. ἢ τὸ αὔω τὸ φωνῶ γίνεται ἄναυος ὁ ἄφωνος, κι βολῇ τοῦ υ ἄναος. προπαροξύνεται δέ. κανι ἐστιν ὁ λέγων, ὅτε ἀπὸ ῥημάτων ἀποτελεῖται σύνθετον εἰς ος λῆγον τρίτην ἀπὸ τέλους ἔχ ὀξεῖαν. οἷον μυκῶ ἐρίμυκος, συλῶ ἀήσυλος, οὕτ αὔω ἄναυος καὶ ἄναος [5]). μακρὸν τὸ α, κανο ἐστιν ὁ λέγων, ὅτε παρεπόμενόν ἐστι τῇ ἐκ συνεστώσει διφθόγγῳ, μετὰ τὴν ὑπόστασιν το τακτικοῦ φωνήεντος, ἐκτείνει τὸ α, οὐχ ἑτέροι ἐπικρατοῦντος, οἷον κλῶ κλάω, οὔραον οὐράδιον, οὖν αὔω ἀναύω καὶ ἄναυος.

Ἀνήει, τὸ ἀνῆλθε πόθεν ποιεῖς; ἐκ τοῦ εἴω ῥεύομαι, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, σος εἷα καὶ διαλύσει ἔϊα, καὶ τροπῇ τοῦ ε εἰς ὁ ὑπερσυνθελικὸς ᾔειν, τὸ δεύτερον ᾔεις· καὶ

Ἄνηθον, καὶ ἄνηγον καὶ ἡμίνθος καὶ καλάμινθι

Ἀνῆκεν ἡ φωνὴ, ἀόριστος ἢ παρακείμενος καὶ νει τὸ ἀνῆκεν εἴασε κατέλιπεν [6]). οὐδέποτε περι τικοῦ ἀόριστος εἰς α λῆγον συνέπεσεν, εἰ μὴ οὐ νος, ἐν πλεονασμῷ τοῦ ε ἧκε, καὶ Ἀττικῶς ἡ γίνεται ἕωκα. γέγονε δὲ κατὰ μετροποιίαν, ὠ ὤχηκε παρῴχωκε. τὸ δὲ θέμα τὸ σεσημειωμένο

Ἀνηλίων, ἀφωτίστων, σκοτεινῶν. ἐστὶ δῆλος ὁ ρὸς καὶ ἐκ τούτου γίνεται δήλιος, ἀποβολῇ τοῦ καὶ ἀνήλιος· καὶ ἡ γενικὴ τῶν πληθυντικῶν τι λίων.

Ἀνέῃ, ῥῆμα ὑποτακτικὸν τῶν εἰς μι, ἀνῶ, ἀνῇς ἀνέῃ, ὡς τὸ στῇς στήῃ. ὡς τὸ, οὐ θὴν μιν πά θις ἀνοίσει [7]) θυμὸς ἀγήνωρ.

Ἀνήνοθεν, ἀνώρμα, ἔστι μέσος παρακείμενος, λοῖ τὸ θ, οὐ γὰρ ὁ ἐνεργητικὸς παρακείμενος πι

---

1 (Sic) male ut et plura alia. Vid. Etym. M. h. v. 2) Il. XIII; 458. 3) (Sic) omissa sunt duo verba ἔχομεν ὅμοιον. Vid. Etym. M. 4) (Sic). L. ἤνῳγον. 5) cf. Etym. M. v. ἄνεως. 6) Omnia hic turbata. cf. Etym. M. 7) Il. ubi ἀνήσει. recte.

τοῦ θ ἐκφέρεται. ἔστιν οὖν τὸ θέμα θέω καὶ ἐν συνθέσει ἀναθέω καὶ ἀνθέω ὑπερβιβασμῷ τοῦ ε ἀνέθα, τούτου ὁ μέσος παρακείμενος. ἤνοθα, συνήθως τραπέντος τοῦ ε εἰς ο. καὶ ἀττικῶς ἀναδιπλασιασμῷ ἀνήνοθα. ἢ ἐκ τοῦ θέω τὸ τρέχω.

Ἀνήκεστον. παρὰ τὸ ἀκῶ τὸ θεραπεύω. ἔνθεν τὸ ἀκεώμεθα θᾶσσον [1]). ἀκῶ, ἀκέσω, ἀκεστός· ἀκεσταί τοι φρένες ἐσθλῶν. ὡς τελῶ τελέσω, τελεστὸς ἀτέλεστος. ἀκεστὸς οὖν καὶ τροπῇ τοῦ α εἰς η ἠκεστὸς, καὶ μετὰ τῆς α στερήσεως, ἥτις λαμβάνει πολλάκις τὸ ν ἀνήκεστος. ὡς τὸ ἀναιδὴς καὶ ἀναίσχυντος.

Ἄνηθον, ἐκ τοῦ ἠθεῖσθαι, οἷον ἀνορμᾶσθαι.

Ἄνηστις, ὁ ἄσιτος, παρὰ τὸ ἔδω ἐστὸς, πανώνυμόν ἐστιν, ὡς πιστὸς πίστις, καὶ κατὰ σύνθεσιν ἄνεστις καὶ ἄνηστις, τῆς στερήσεως μηδὲν πλέον σημαίνοντος, ὡς ἐν τῷ ἄσταφις. καὶ εἰς τὸ νῆστις.

Ἀνησίδανος, ἡ τὰ δῶρα ἀναδιδοῦσα· δάνος γὰρ τὸ δῶρον. ὅθεν κατ' ἀντίφρασιν δάνεια τὸ μὴ δῶρον.

Ἀνήνυτον, ἀνωφελὲς, ἀκατόρθωτον, καὶ μὴ ἀνυμένον ἐστίν. εἰς τὸ ἀνύω.

Ἀνὴρ ἀνθρώπου διαφέρει. ἀνὴρ μὲν γὰρ κυρίως λέγεται ὁ ἐπ' ἀρετῇ τινὶ διαπρέπων. ἄνθρωπος δὲ ὁ ἐπὶ μηδενὶ διαπρέπων. καὶ εἰς τὸ φίλος.

Ἀνὴρ, παρὰ τὸ ἀνύειν αὐτὸν καὶ πράττειν, ἀνυστικώτερος γὰρ ὁ ἀνὴρ τῆς γυναικός. καὶ εἰς τὸ μακάριος ἀνὴρ ἐν τοῖς ἐπιμερισμοῖς.

Ἀνηρείψαντο. ἀνήρπασαν παρὰ τὴν ἔραν τὴν γῆν ἀνηρέψαντο καὶ πλεονασμῷ τοῦ ι ἀνηρείψαντο, διὰ τὸ μέτρον. κυρίως δὲ τὸ ἐκ γῆς ἀναλαβεῖν.

Ἀνθέξητε, ἀντιλάβητε, ἐκ τοῦ ἀντέχω ἀνθέξω.

Ἀνθερεὼν, ὁ φάρυγξ, παρὰ τὸ ἐκεῖ πρῶτον ἐξανθεῖν τὸ γενεῖον. ἢ παρὰ ἄνθησιν τῶν τριχῶν.

Ἀνθηδὼν, ἡ μέλισσα παρὰ τὸ τὰ ἄνθη ἐνδεῖν ἐν αὐτῷ. ἀπλαῖ γὰρ τρύγος· γλυκὺς ἣν ἔτικτεν Ἀνθηδὼν [2]).

Ἀνηρίναστος, ὁ μὴ κρατῶν ἃ ἔχει, ἀλλὰ ἀποβάλλει, ἀπὸ τῶν συκῶν τῶν ἀποβαλλουσῶν, διὰ τὸ ἐπιβληθῆναι [3]) αὐταῖς τοὺς ὀλίνθους, τῶν ἀπὸ τῶν ἐρινεῶν. τοῖς γὰρ ὀλίνθοις τῶν ἀγρίων συκῶν ἐντίκτεσθαι ψῆνας, οἵτινες ἐπιδεσμούμενοι ταῖς ἱμέραις [4]) συκαῖς, ὑπὸ τῶν γεωργῶν ἐνδυόμενοι τοῖς φήλιξι στερεοὺς καὶ ἐπενπάντους αὐτοὺς ποιοῦσιν. ἐπὶ τῶν οὖν ἀπολλύντων ἃ ἔχουσιν ἐπέλαβον ἀνηρίναστος.

Ἀνθέριξ, παρὰ τὸ ἄνθος. σημαίνει δὲ τὸ ἄκρον τῶν ἀσταχύων.

Ἀνθίας, διὰ τὸ ὡς ἄνθος εἶναι, ἢ διὰ τὸ ἄνω θεωρεῖν, πρὸς τὸ καταδιώκειν τοὺς ἰχθύας.

Ἄνθεια, ἡ Ἥρα ὅτι ἀνίησι τοὺς καρπούς. ἡ αὐτὴ οὖσα τῇ Δημήτρι.

Ἀνθοποιόν. παρὰ τὸ ἄνθος καὶ τὸ ποίον. τὸ δὲ ἄνθος παρὰ τὸ ἄνω θέειν ὅ ἐστι τρέχειν. πᾶν γὰρ ἄνθος ἄνω τρέχει. δι' οὗ καὶ ἄνηθον, καὶ γράφεται διὰ τοῦ η.

Ἄνθραξ, παρὰ τὸ ἀναθερῶ τὸ θερμαίνω, ἀναθέραξ, καὶ ἐν συγκοπῇ ἄνθραξ.

Ἄνθραξ, λέγεται τὸ ἀπὸ τινὸς ὕλης μεταβληθὲν καὶ μεταποιηθὲν εἰς πυρὸς φύσιν. ἔχει δὲ ὁ ἄνθραξ φύσεις δύο, τὸ φωτιστικὸν, τὸ καυστικὸν, καὶ ὡς τὸ, ὕδωρ διξυῶ ἄνθρακα δέχεται, ἤγουν φωτιστικὸν καὶ καυστικόν. φωτιστικὸν μὲν τῶν δικαίων, καυστικὸν δὲ τῶν ἁμαρτωλῶν καὶ ἀνόμων. διφυὴς δὲ ἄνθραξ λέγεται ὁ Χριστὸς κατ' ἀλληγορίαν. γίνεται δὲ παρὰ τὸ θέρω τὸ θερμαίνω θέραξ. καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἀναθέραξ καὶ ἄνθραξ, σημαίνει τὸ πῦρ, ἤτοι τὸ πεπυρωμένων ξύλον λέγεται ἄνθραξ. τὸ δὲ ἐσβεσμένον κάρβων λέγεται. ἔστι δὲ καὶ λίθος οὕτω καλούμενος, τῇ χρόᾳ πύρινος.

Ἄνθρωπος, διὰ τὸ ἄνω θρεῖν [5]) τὸν ὦπα, ἤγουν ὁρᾶν. πάντων γὰρ τῶν κτηνῶν κάτω βλεπόντων, μόνος ἄνθρωπος ἄνω βλέπει. ἢ διὰ τὸ ὀρθῶς περιπατεῖν. καὶ εἰς τὸ ἀνὴρ καὶ ἐνάνθρωπος.

Ἄνιγρος. ὁ λυπηρὸς καὶ βλαβερὸς, παρὰ τὸ ἀνία ἀνιαρὸς καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ γ ἄνιγρος.

Ἀνία, ἡ λύπη παρὰ τὸ ἰέναι τὸ πορεύεσθαι μετὰ τοῦ στερητικοῦ α, ἐμποδιστικὸν γὰρ ἡ ἀνία τοῦ προκόπτειν, ὃ σημαίνει τὴν χαλεπότητα καὶ δυσίατον λύπην. καὶ γίνεται παρὰ τὸ ἰῶ τὸ θεραπεύω. ἴα καὶ μετὰ τοῦ στερητικοῦ α ἄϊα καὶ πολλάκις πέφυκε πλεονάζειν τὸ ν ἐν ταῖς στερήσεσιν, οἷον ἀαιδὴς, ἀναιδὴς, ἀαίμων, ἀναίμων. γράφεται δὲ διὰ τοῦ ι τὸ ἀνία διάτι; τὰ διὰ τοῦ νια θηλυκὰ ἔχοντα μακρὸν τὸ α διὰ τοῦ ι γράφεται, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, οἷον μανία, πενία, γωνία, ξενία, πρόσκειται μακρὸν ἔχοντα τὸ α διὰ τὸ πορνεία, ἀλαζονεία [6]). καὶ ἄλλως, τὰ διὰ τοῦ νια θηλυκὰ τῷ ι παραληγόμενα συστέλλει αὐτὸ, οἷον γωνία, πενία, ξενία. σεσημείωται τὸ ἀνία, ἐπειδὴ ἀπὸ τοῦ ἴω γέγονε τὸ θεραπεύω, ὅπερ ἔχει μακρὸν τὸ ι.

Ἀνία, ἡ βάσανος καὶ ἡ λύπη. ἀνία παρὰ τὸ ἀνίατος καὶ δύσκριτος.

Ἀνιῶ, ἰῶτα, ἀνιᾶν γὰρ οἱ Αἰολεῖς πολλάκις κατὰ συστολήν. ἔστι γὰρ ἡ ἐτυμολογία αὕτη παρὰ τὴν ἴασιν, ἥτις διὰ τοῦ ι γράφεται.

Ἀνιεὶς, ἀφιεὶς, παρορμῶν· ἔστι δὲ τὸ θέμα ἵημι, ὁ παρατατικὸς ἵην, ἡ μετοχὴ ἱεὶς ἱέντος, καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἀνιείς. συντάσσεται μετὰ αἰτιατικῆς. καὶ εἰς τὸ τίμη.

Ἀνιμῶ, ἐκ τῆς ἀνὰ προθέσεως καὶ τοῦ ἱμῶ τὸ ἀναλέγω. τοῦτο ἐκ τοῦ ἱμὰς ἱμάντος, ὃ σημαίνει τὸν λῶρον. οἱ γὰρ ἀρχαῖοι πρὸς τὸ μὴ κατακεκλᾶσθαι τὰ ἀγγεῖα αὐτῶν ἐκ δερμάτων ἐποίουν· ἐξ οὗ καὶ ἱμονιὰ τὸ ἀντλητήριον. καὶ εἰς τὸ ἱμάς.

Ἀνοεῖν τοῦ ἀγνοεῖν διαφέρει. ἀγνοεῖν μὲν γάρ ἐστι τὸ μὴδ ὅλως αἰσθάνεσθαι. ἀνοεῖν δὲ ἐπιλανθάνεσθαι.

Ἄνοια. παρὰ τὸ νοῦς νοὸς, νοῖα, καὶ μετὰ τοῦ στερητικοῦ α ἄνοια. τὸ νοι διφθόγγῳ διάτι; τὰ παρὰ τὸ νοῦς καὶ χροῦς καὶ ῥοῦς συγκείμενα διὰ τῆς οι διφθόγγου γράφεται. οἷον ἄνοια, σύννοια, εὔροια.

Ἀνόπιν καὶ κατόπιν, ἐκ τοῦ ἕπω τὸ ἀκολουθῶ, καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἀνόπιν· καὶ μετὰ τῆς κατὰ προθέσεως κατόπιν.

Ἀνοίγω, ἐκ τοῦ οἴγω τὸ ἀνοίγω, εὕρηται κατὰ διάστασιν ὤϊξε δὲ θύρας.

Ἀνοσιουργία, ἀσέβεια, τὸ ἄνευ ὁσίου ἔργου.

Ἀνόστιμος, παρὰ τὸ νόστος νόστιμος καὶ ἀνόστιμος, τὸ δὲ νόστος παρὰ τὸ νοστῶ, νοστεῖν.

Ἀννόνα, ἡ παρὰ βασιλέως διδομένη ἑκάστῳ ἐνιαυτῷ ῥόγα.

---

1) Il. XIII, 115. 2) ἐνδεῖν — Ἀνδηθὼν (Sic). 3) βαλλουσῶν — ἐπιβληθῆναι (Sic). cfr. Etym. M. 4) L. ἡμέροις. 5) (Sic.) θρεῖν quoque habet Etymologicon M, Sylb. vult ἀθρεῖν. Quid si θρεῖν sit compendium scriptionis pro θεωρεῖν? cfr. supra v. Ἀνθίας. 6) πρόσκειται — ἀλαζονεία (Sic.) corrupta.

Αντην, ἐναντίον ἐπίῤῥημα, παρὰ τὸ ἀντῶ ἄντην, ὡς κρύβω κρύβδην, καὶ μίγω μίγδην.

Ἀντήρεις, τὸ ὑποστήριγμα, παρὰ τὸ τέρας τὸ ἁπαλόν· τὸ ρεις διφθόγγῳ, ὤφειλε δὲ διὰ τοῦ ι. ἐπειδὴ τὰ εἰς θηλυκα [1]) κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον κρηπὶς, βολὶς, ἀσπίς· χωρὶς τοῦ κλεῖς, καὶ τῶν παρ' αὐτοῦ. πρόσκειται κοινολεκτούμενα διὰ τὸ ἀφανὴς, εἰς τοῦτο γὰρ οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου γράφουσιν. ἔδει γὰρ τὸ ἀντήρεις διὰ τοῦ ι γράφεσθαι, ἀλλ' ὑπὸ τῆς ἀφορμῆς τῆς ἐτυμολογίας διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ γὰρ τὸ ἐρείδω ἐρείσω γέγονε ἐκβολῇ τοῦ ω ἔρεις, καὶ ἐκτάσει τοῦ ε εἰς η, ἤρεις καὶ ἀντήρεις.

Ἀνταναιρεῖται, ἐκ τοῦ αἴρω τὸ ἐπαίρω, ὡς τὸ αἴρεται ἀπὸ τῆς γῆς τὸ μνημοσυνον αὐτοῦ. τὸ αἴρω σημαίνει δ. αἴρω τὸ προσφέρω, ἐξ οὗ καὶ ἄρτος, ὁ καθεκάστην τῷ σώματι ἡμῶν προσφερόμενος. αἴρω τὸ διαχωρίζω, ὡς τὸ διαιροῦνται αἱ προσῳδίαι. αἱρῶ τὸ προαιροῦμαι, ἐξ οὗ καὶ προαίρεσις καὶ προαιρετικός. αἱρῶ τὸ καταβάλλω, ὡς τὸ, Φῆ γὰρ ὅγ' αἱρήσειν Πριάμοιο πόλιν.

Ἄμμι, ἀντωνυμία δοτικῆς τῶν πληθυντικῶν, παρὰ τρισὶ διαλέκτοις λέγεται [2]). οἱ Ἴωνες συστέλλουσι τὸ ι καὶ βαρύνουσι, καὶ πλεονάζουσιν ἕτερον σύμφωνον, καὶ συστέλλουσι τὴν ἄρχουσαν, καὶ ψιλοῦσιν αὐτὸ, ὡς τὸ, ἄμμι δὲ ἔργον. οἱ δὲ Δωριεῖς συστέλλουσι τὸ ι καὶ ὀξύνουσι.

Ἄμμος, παρὰ τὸ ἄμικτον αὐτὴν εἶναι.

Ἄμνιον [3]), αἱμοδοχὸν ἀγγεῖον· Ὅμηρος, Περσεὺς δ' ἄμνιον εἶχε. αἵμνιον τὸ τοῦ αἵματος δεκτικὸν, ἀποβολῇ τοῦ ι ἄμνιον. παρὰ τὸ αἷμα ἄμνιον, ὡς αἴητον καὶ ἄητον. ἐστὶ μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει δὲ ἀγγεῖον, ὅπου τὸ αἷμα τοῦ ἱερείου δέχεται. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἀμένιον, στερητικὸν τοῦ μένους.

Ἀμνὶς, καὶ ἀμνὸς τὰ πρόβατα τὰ μικρὰ, παρὰ τὸ μένος καὶ τὸ α στερητικὸν, ἀμενηνός ὁ ἀσθενὴς, καὶ ἐκ τούτου ὑποκοριστικὸν ἀμνὶς καὶ ἀμνός.

Ἀμνὸς, τὸ μικρὸν πρόβατον, ὁ ἁπαλὸς καὶ τρυφερὸς, παρὰ τὸ μὴ ἔχειν μένος. ἢ παρὰ τὸ μνοὺς μετὰ τοῦ στερητικοῦ α καὶ ἀποβολῇ τοῦ υ ἀμνός. μνοὺς δέ ἐστιν ἡ ἁπαλοτατὴ θρὶξ τῶν ἀρτιγονῶν ζώων.

Ἀμολγὸν, τὸ μέσον τῆς νυκτὸς, καθ' ὃ οὐκ ἀμέλγουσιν.

Ἀμολγὸν, παρὰ τὸ μὴ ἀμέλγειν εἰς τοιαύτην ὥραν. καὶ Ὅμηρος, μολγῶν ἐν νυκτὸς, τουτ' ἔστιν ἀωρίας.

Ἄμοτον, ἀπλήρωτον, ἢ ἀκόρεστον, ἀφ' οὗ καὶ μότα τὰ πληρωτικὰ τῶν πραγμάτων [4]) εἴρηται ῥάκη.

Ἀμοῤῥαῖος, διὰ τοῦ ο μικροῦ. Ἀμωραῖος ἀπὸ τῆς μρο [5]) πόλεως διὰ τοῦ ω μεγάλου καὶ ἑνὸς ρ κατὰ παράδοσιν.

Ἀμοῤῥαίων, ὄνομα ἔθνους γενικῆς τῶν πληθυντικῶν. ἡ εὐθεῖα ὁ Ἀμοῤῥαῖος, τὸ δὲ τοπικὸν τὸ μω μεγα, καὶ ἓν ρ, οἷον τὸ Ἀμώριον.

Ἄμυδρος, παρὰ τὸ μύδρος ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον. ἀμυδρὸς ὁ ἀλαμπὴς καὶ σκοτεινὸς, τοῦτο παρὰ τὸ μύω τὸ καμμύω.

Ἄμυος, στερητικὸν τὸ α ἔγκειται, ὁ ἐκ τοῦ μνοῦ μεταβεβηκώς. μνοῦς δὲ λέγεται ἡ μαλακὴ θρὶξ, ἡ ἐκγεννητη πάντος ζώου.

Ἀντιάσας, ἀπαντήσας, ἐκ τοῦ ἀντιάζω τοῦτο ἐκ τοῦ ἀντιῶ, ἀντιάσω.

Ἀντίβιον, τὸ ἐναντίον τόξευμα, ἐπίῤῥημα τοπικόν. τὸ ον μικρὸν διάτι; τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιῤῥηματικὴν σύνταξιν μεταγόμενα καὶ τὴν αὐτὴν γραφὴν ταῖς πτώσεσιν ἔχει. γίνεται δὲ ἐκ τῆς ἀντὶ προθέσεως καὶ τοῦ βία, ὃ σημαίνει τὴν δύναμιν. σημαίνει δὲ ἡ ἀντὶ πρόθεσις τὴν ἐξ ἐναντίας σχέσιν.

Ἄντικρυς, καὶ ἀντικρὺ διαφέρει. ἄντικρυς σημαίνει τὸ διαῤῥήδην, τὸ φανερῶς, ἀντικρὺ δὲ τὸ ἐξ ἐναντίας [6]), παρὰ τὴν ἀντὶ καὶ τὸ κάρα, ἀντίκαρα, ἀντίκαρυ καὶ ἐν συγκοπῇ ἀντικρὺ, τὸ κατ' ἐναντίον, τὸ ὡς ἂν εἰ εἴπῃ τις ἀντικέφαλον, ἐξ ἐναντίας [7]). τοιοῦτον ἐν συγκοπῇ καὶ τὸ κρᾶναι τὸ ἐπιτέλεσαι, διὰ τοῦ νεύματος τῆς κεφαλῆς. τὸ κρυ ψιλὸν διάτι [8]); τὰ εἰς υ λήγοντα ἐπιῤῥήματα βραχὺ ἔχουσι τὸ υ, μεσσυγὺ, μεταξὺ, χωρὶς τοῦ ἀντικρὺ. καὶ ὤφειλεν εἶναι ἄντικρυ, ἀλλὰ τὰ εἰς σ λήγοντα ἐπιῤῥήματα εἰ μὲν φυλάσσει τὸ αὐτὸ σημαινόμενον, καὶ τὸν αὐτὸν τόνον φυλάττει, οἷον, οὕτως οὕτω, μέχρις μέχρι. ἐπεὶ οὖν τὸ ἀντικρὺ οὐ τὸ αὐτὸ σημαινόμενον ἐφύλαξεν, οὕτως οὐδὲ τὸν αὐτὸν τόνον ἀνεδέξατο. διὸ τὸ μὲν ὀξύνεται, τὸ δὲ προπαροξύνεται.

Ἀντιβολῶ, ἀντιμολῶ κατὰ συγγένειαν τοῦ β πρὸς τὸ μ. σημαίνει δὲ τὸ βοηθῶ, καὶ παρακαλῶ καὶ ὑπαντάω.

Ἀντιβολῶ, παρὰ τῆς ἀντὶ προθέσεως καὶ τοῦ βολῶ.

Ἀντιλάβοιτό σου, ὑπερμαχήσοι σοῦ, ἐκ τοῦ λήβω τὸ λαμβάνω, λήψω, ἔλαβον, τὸ εὐκτικὸν λάβοιμι, λάβοιο, λάβοιτο.

Ἀντίξουν, ἐναντίον, ἢ ἁρμόζον, ἢ ἀντισούμενον. ἡ γὰρ ἀντὶ πρόθεσις οὐ μόνον τὸ ἐναντίον σημαίνει, ὡς ἐν τῷ ἀντιστάτης, ἀλλὰ καὶ τὸ ἴσον, ὡς τὸ ἀντίθεον Αἴαντα ἀντὶ τοῦ ἰσόθεον. τροπῇ δὲ Ἀττικῇ τοῦ σ εἰς ξ, οἱ γὰρ Ἀττικοὶ τὸ σύμβολον ξύμβολον λέγουσι.

Ἀντίον, παρὰ τὸ ἄντω βαρύτονον ῥῆμα. ἔστι δὲ καὶ ἀντῶ περισπώμενον, ἀφ' οὗ τὸ ἀντήσω, καὶ ἄντην ἐπίῤῥημα, καὶ ἀντίος.

Ἀντιόωσα, παρὰ τὴν ἀντὶ πρόθεσιν γίνεται ἀντίος, ἐκ τούτου ἀντιάω, ἀντιῶ. ἀντιῶν οὖν ἡ μετοχὴ, τὸ θηλυκὸν ἀντιῶσα καὶ πλεονασμῷ τοῦ ο ἀντιόωσα, ὡς γελόωσα κυδιόωσα.

Ἀντίος, τὸ τι ἰῶτα διάτι [8]); τὰ διὰ τοῦ ιος [9]) ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἀναπέμπει τὸν τόνον ἐν τῇ συνθέσει, οἷον ποικίλος, παμποίκιλος, ἀγκύλος μετάγκυλος, Ἀθηναῖος Φιλαθήναιος, πλησίος, παμπλήσιος. χωρὶς εἰ μὴ σύνθετα ὑπάρχει ἕνεκα ἐνεργείας, παροξυνόμενον αἴολος, τὸ γὰρ κορυθαίολος οὐκ ἔχει ἐγκείμενον τὸ ὅλος, ἀλλὰ τὸ αἰόλλω ῥῆμα τὸ κινῶ, παρθένος ἀειπάρθενος [10]). εἰ μὴ χωρὶς σύνθετα ὑπάρχει διὰ τὸ βουκόλον, ἱπποβουκόλον τοῦτο γὰρ ἕνεκα ἐνεργείας τὸν αὐτὸν τόνον ἐφύλαξεν, εἰ τῇ συνθέσει, ὁ τοὺς ἵππους βόσκων, τὸ ἐναντίος παρέλκουσαν ἔχει τὴν εν πρόθεσιν. τὸ γὰρ ἀντίος ἐναντίος τὸ αὐτὸ σημαίνει. καὶ τούτου χάριν τοῦ ἁπλοῦ τὸν τόνον ἐφύλαξεν, ὡς σχεδὸν μὴ γενομένης συνθέσεως. καὶ εἰς τὸ ἐναντίον.

Ἀντιόχεια, κατὰ παρώνυμον παραγωγὴν γέγονε ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ τοῦ Ἀντιόχου.

---

1) (Sic). 2) (Sic.) Turbata quaedam. v. Etym. M. 3) cfr. supra p. 45. 4) (Sic). Phavor. πληγων. cf. et Schol. ad Il. IV, 440. et alibi. 5) (Sic.) 6) cf. Schol. ad Il. III, 359. ἐναντίον — ἐναντίας (Sic). 7) (Sic.) 8) Cfr. Etym. M. 9) (Sic.) Nihil ad rem. ιος L. ος. 10) omnia hic confunduntur. cf. Etym. M.

Ἀντισήκωσις, ἐκ τῆς ἀντὶ προθέσεως καὶ τοῦ σακὸς, ὃ σημαίνει τὴν ἀσπίδα.

Ἀντίπηξ, παρὰ τὴν ἀντὶ πρόθεσιν καὶ τὸ πτήσσω.

Ἀντισηκοῦντα, σημαίνει τὸν ἐξισάζοντα, καὶ γίνεται ἐκ τοῦ ἴσος ῥῆμα ἴσω, ὁ μέλλων ἰσώσω, ὁ παρακείμενος ἴσωκα καὶ ἐξ αὐτοῦ ῥῆμα ἰσηκῶ καὶ ἀντισηκῶ. ἢ παρὰ τὸ σώκειν ὃ σημαίνει τὸ ἰσχύειν. ἐξ οὗ σῶκος ὁ Ἑρμῆς τοῦτ' ἔστιν ὁ ἰσχυρός. σῶκος ὁ ἐριούνιος.

Ἀντίστοιχον, τὸ ἴσον, σκιᾶς γὰρ ἀντίστοιχον Φωνὴν ἔχεις, τουτ' ἔστιν ἴσον σκιᾶς, ἐκ τοῦ στείχω. τὸ στοι δίφθογγος διά τι; ὅσα ῥήματα ἐν κινήσεσιν εὑρίσκονται [1]. ἔστι ῥῆμα στείχω καὶ στιχῶ δευτέρας συζυγίας τῶν περισπωμένων ἀπὸ τοῦ στὶξ στιχὸς, καὶ ἀπὸ τοῦ στείχω στοιχὸς καὶ ἀντίστοιχον.

Ἀντίπαλος, ὁ ἐναντίος, ἢ ὁ ἀντιπαλαιων ἢ ὅτι ὁ κατὰ πάλον τουτ' ἔστι κλῆρον ἐναντιουμενος.

Ἀντιτόρησας, διατρήσας, διορύξας. πυκνὸν δόμον ἀντιτόρησας, ἀπὸ τοῦ τορῶ τορήσω.

Ἄντυγες, αἱ ἄνω περιτετυγμέναι περικεφαλαῖαι, καὶ γὰρ ἡ εἰς τὸ κάτω τετυγμένη καταῖτυξ καλεῖται.

Ἀντίχειρ, ὁ μέγας δάκτυλος, ὅτι ἀντίκειται τοῖς ἄλλοις, ἢ ὅτι τὸ ἴσον δύναται τῇ ὅλῃ χειρί. ἀργοὶ γάρ εἰσιν οἱ ἄλλοι χωρὶς αὐτοῦ.

Ἀντιφερίζει, ἀνθίσταται, ἀντιλέγει ἢ ἐξισοῦται, παρὰ τὸ φέρω φερίζω καὶ ἀντιφερίζω.

Ἄντυξ, ἡ ἀσπὶς ἀπὸ τοῦ ἄνω τετεῦχθαι. καὶ ἡ περιφέρεια τοῦ ἅρματος.

Ἄντλημα, ἐκ τοῦ ἄντλον, τοῦτο ἐκ τοῦ ἀντλᾶν, καὶ καρτερεῖν ἐκεῖσε τὸ ὕδωρ, τὸ διὰ τῶν ἐφιγμένων πόρων εἰσερχόμενον.

Ἄντρον, παρὰ τὸ ἄνω τετρῆσθαι, ἤγουν τετρυπῆσθαι. καὶ εἰς τὸ μανδρόν.

Ἄντυγες, οἱ τροχοὶ τοῦ ἅρματος, παρὰ τὸ ἄνω τετεῦχθαι. ὁμοίως καὶ τὸ καταῖτυξ.

Ἀντώνιος, ἄνθος ὠνήσεως, ἢ ἀντὶ ὠφελείας, ἀντὶ γὰρ ἀνδρέας ανδρε [2]). ὁ διὰ χριστὸν σαλὸς, ἀντὶ δὲ παυλου, παυλος ὁ ἁπλούστατος.

Ἀνύποιστος, ἀνυποφόρητος, ἀνυπομόνητος, ἐκ τοῦ οἴω τὸ φέρω οἰστὸς, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὕποιστος, καὶ τοῦ στερητικοῦ α καὶ πλεονασμῷ τοῦ ν ἀνύποιστος.

Ἀνύω, σημαίνει τὸ πράττω, τὸ τελῶ καὶ τὸ ὠφελῶ, καὶ τὸ κατορθῶ καὶ τὸ ὁδεύω.

Ἀνύω, παρὰ τὸ ἄνω τὸ πράττω. τὸ δὲ ἄνω διφορεῖται. ἔστι γὰρ παρὰ τῷ ποιητῇ καὶ μακρὸν καὶ βραχύ. καὶ μακρὸν μὲν, οἷον, μάλα γὰρ νὺξ ἄνεται [3]), βραχὺ δὲ, ὡς ἐν τῷ, ὅπως Ἥφαιστος γ' ἐθέλοι καὶ ἔργον ἄνυτο. τὸ δὲ ἀνύω ἀεὶ ὁ ποιητὴς ἐν συστολῇ παπαραλαμβάνει. καὶ εἰς τὸ μήνυμα, καὶ ὠκεανός.

Ἄνω, ἐκ τοῦ ἂν συνδέσμου γίνεται ἄνω, καὶ σημαίνει τὸν ὑψηλὸν τόπον. ὥσπερ καὶ ἡ κατὰ πρόθεσις προσλαμβάνει τὸ ω καὶ γίνεται κάτω. ὁμοίως καὶ ἡ ἐξ προσλαμβάνουσα τὸ ω γίνεται ἔξω. καὶ ἡ ἐν ὁμοίως ἔνσω καὶ ἔσω. τὸ δεξιὰ καὶ ἀριστερὰ εἴρηται.

Ἀνωγὴ, παρὰ τὸ ἄνω ἐπίῤῥημα καὶ τὸ γαῖα ὄνομα γέγονε ἀνωγὴ κατὰ κρᾶσιν.

Ἀνώγω, κελεύω, τοῦτο ἐκ τοῦ ἀνάσσω, ὁ μέλλων ἀνάξω, ὁ μέσος παρακείμενος ἄνηχα. καὶ ὥσπερ ἐκ τοῦ πέπληγα μέσου παρακειμένου ἐγένετο πεπλήγω, οὕτω καὶ ἀπὸ τοῦ ἄνηγα γίνεται ῥῆμα ἀνήγω, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν ἀνώγω. τοῖς γὰρ ἀνάσσουσι καὶ ἄρχουσι πέφυκε τὸ κελεύειν. ἔχει δὲ μέλλοντα. πληθὺν δὲ ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι.

Ἀνωϊστὶ, κρυφῶς, ἀπροσδοκήτως, παρὰ τὸ οἴω οἴω, ἐξ οὗ καὶ οἰσάμενος, οἰστὶ, καὶ ἐπεκτάσει τοῦ ο εἰς ω ὠϊστὶ, καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἀνωϊστί.

Ἄνωγεν, ἀορίστου δευτέρου τρίτου προσώπου. κατὰ συστολὴν τοῦ η ἔστι ῥῆμα ἀνωγῶ συζυγίας πρώτης τῶν περισπωμένων. ὁ παρατατικὸς ἠνώγουν, τὸ τρίτον ἠνώγει ὁ μέλλων ἀνογήσω, ὁ ἀόριστος ἠνώγησα, ὁ δεύτερος ἤνωγον, ὥσπερ ὀλισθῶ ὤλισθον καὶ ἁμαρτῶ ἥμαρτον.

Ἄορες, αἱ γυναῖκες κατ' ὑπέρθεσιν παρὰ τὸ ὀαρίζειν, ὅθεν καὶ τὸ ἄορον ἕνεκα.

Ἀοίδιμος, ὥσπερ παρὰ τὸ βουλὴ γίνεται βούλιμος, οὕτω καὶ ἀοίδιμος παρὰ τὸ ἀοιδή. ὡς τροφὴ τρόφιμος· καὶ ἀοίδιμος ὁ περιβόητος.

Ἀοίδιμος, ὀνόμαστος, περιβόητος, μακάριος παρὰ τὸ ἀείδω.

Ἀοιδὸς, ἐπίθετον παρὰ τὸ ἀείδω ἀοιδός. καὶ τὸ ἀείδω κατὰ συναλοιφὴν γέγονεν ᾄδω, ὁμοίως καὶ τὸ ἀοιδὸς ᾠδὸς, καὶ τὸ ἀοιδὴ ᾠδή. ἀπὸ τοῦ ἀοιδὸς παρῆκται ῥῆμα ἀοιδῶ. εἶτα ὡς κνήθω κνηθιῶ, μείδω μειδιῶ, οὕτω καὶ ἀοιδιῶ κατὰ παραγωγὴν, ἀοίδιμος ἐξ οὗ καὶ ἐπαοιδός.

Ἄορ, τὸ ξίφος, παρὰ τὸ ἀείρω, καὶ ἄορ, καὶ ἀείρεται.

Ἀορτὴρ, τὸ ἀπηωρημένον.

Ἀοσσητὴρ, βοηθὸς, ὁ ἄνευ ὄσσης καὶ κληδόνος αὐτόματος βοηθὸς, παρὰ τὴν ὄσσαν καὶ ὀσσητὴρ, καὶ ὁ ἀοσσητήρ.

Ἄξιος, καὶ ἀξία παρὰ τὸ ἄζω, μέλλοντα.

Ἀξιῶ, τὸ παρακαλῶ καὶ τιμῶ, δοξάζω, τὸ ἰσῶ, τὸ εὐπρεπῶ, καὶ τὸ ἐπιτυγχάνω.

Ἀξίνη, παρὰ τὸ ἄγω τὸ κλάνω, ἄξω, ἀξίνη.

Ἄξυλος, ὄνομα κύριον, παρὰ τὸ ἄξω μέλλοντα. τα διὰ τοῦ υλος τρισύλλαβα ποικίλα περὶ τὴν τάξιν εὑρίσκονται. δάκτυλος, δέρκυλος, κάμπυλος, κρώβυλος.

Ἀπαιωρημένος, ἐκ τοῦ αἴρω τὸ κουφίζω, καὶ πλεονασμῷ τοῦ ω αἰωρῶ, αἰωρήσω. ὡς ἐπὶ τοῦ εἴωθα, ὥσπερ ἐστὶν ἀπὸ τοῦ ἔθω, ἔσω, εἶκα, εἶθα, εἴωθα καὶ ἀφείηκα· καὶ πλεονασμῷ τοῦ ω αἰώρηκα καὶ ἄρηκα [4]), ὁ ἀόριστος ἀπηώρησα, ἡ μετοχὴ ὁ ἀπαιωρήσας.

Ἀπαγορεύειν, ἐκτὸς γένεσθαι τοῦ λέγειν. ἡ ἀπὸ πρόθεσις δηλοῖ τὸ χωρίζεσθαι. ὁ γὰρ ἀπαγορεύων ἐκτός ἐστι τοῦ λέγειν.

Ἁπαλὸν, ἐκ τοῦ ἀπαλὸν [5]) τοῦτο ἐκ τοῦ ἀφη, ἀφαλὸν καὶ ἁπαλὸν, οἱονεὶ τὸ εὐφυες καὶ τρυφερόν· διὸ καὶ δασύνεται.

Ἅπαξ, ἐπίῤῥημα ἀριθμητικόν.

Ἀπάνευθεν, ἐπίῤῥημα τοπικὸν, ἐκ τῆς ἀνὰ προθέσεως ἄνευ, ἄνευθεν καὶ ἀπάνευθεν. ὡς ἀπὸ τοῦ ἄτερ ἄτερθεν καὶ ἀπάτερθε. σημαίνει δὲ τὸ χωρίς.

Ἄπαστος, ὁ ἄγευστος παρὰ τὸ πῶ τὸ ἐσθίω. ἐξ οὗ καὶ πόα ἡ βοτάνη καὶ πηγὴ, καὶ φηγή. ἡ πρώτη γὰρ τροφὴ ἀπὸ δρυῶν, ὡς οὖν ἀπὸ τοῦ μῶ τὸ ζητῶ, γίνεται μαστὸς, οὕτω καὶ πῶ παστὸς καὶ ἄπαστος.

Ἀπαρτία, ὁ κατὰ τὸν οἶκον κόσμος, τὰ λεγόμενα ἔπιπλα. ἔστιν ἀπαρτῶ παράγωγον ἐκ τοῦ ἀπαρτίζω,

---

1) ὅσα — εὑρίσκονται cfr. Etym. M. ubi eadem haec regula imperfecte prouti hic adducitur. 2) (Sic.) 3) Il. X, 251. 4) ὡς ἐπὶ τοῦ εἴωθα — καὶ ἄρηκα (Sic). 5) (Sic.)

δηλαδὴ τὸ ἀρτίως, ὅ ἐστιν εὐαρμόστως συμπληρῶ. καὶ ἀπαρτία [1].

Ἀπαράσκευος, καὶ ἀπαρασκεύαστος διαφέρει. ὁ μὲν γὰρ δι' αὐτὴν τὴν χορηγίαν ἔχων ἀπαρασκεύαστος ἂν λέγοιτο. ὁ δὲ διὰ ἑτέρου ἀπαράσκευος. ὁ μὲν ἄρχων, ὁ μονόμαχον [2]) θέλων δοῦναι ἀπαράσκευος λέγεται. ὁ δὲ μονομάχος ἀπαρασκεύαστος [3]). τὸ μὲν γὰρ τὸ διὰ παθητικὴν ἔχει ἔμφασιν, τὸ αὐτεξιούσιον, ὁ δὲ παθητικήν.

Ἀπάτερθεν, ἄνευθεν καὶ χωρίς. ἀπὸ τοῦ ἄτερ ἐπιῤῥήματος ἄτερθεν καὶ ἀπάτερθεν.

Ἀπαργμάτων, τῶν τελείων θυσίων· καὶ γίνεται παρὰ τὸ ἄρχω, ἀπάρχη καὶ ἄπαργμα.

Ἀπάργματα, αἱ μεγάλαι ἀπαρχαὶ τῶν θυσιῶν. παρὰ τὸ ἄρχω ἄργμα, καὶ ἄπαργμα. Ὅμηρος· ἄργματα θῦσαι θεοῖς αἰειγενέτησι.

Ἀπαυθαδιάζω, ἀπὸ τοῦ αὐθάδης αὐθαδιάζω. τοῦτο κακὴν κάκως [4]).

Ἀπεληλαμένος, ἐκ τοῦ ἐλῶ ἐλάσω, ἐλήλακα ἐλήλαμαι, ἐληλαμένος καὶ ἀπεληλαμένος.

Ἀπάτη, ἡ πλάνη, ἀάτη, καὶ πλεονασμῷ τοῦ π ἀπάτη ἐκ τοῦ ἀπατάω.

Ἀπάλαμνος, ὁ μὴ δυνάμενος παλαμήσασθαι, ὅ ἐστι τεχνήσασθαι. ἢ ὁ μὴ ἐν παλάμῃ μένων, τουτ' ἔστι μάχῃ.

Ἀπαμείρεται, ἀποχωρίζεται. ἔστι μείρω τὸ μερίζω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμείρω, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀπαμείρω.

Ἀπελός, τὸ ἕλκος, παρὰ τὸ μὴ προσπελάζειν τὴν σάρκα, ἀλλὰ διῃρῆσθαι· καὶ γὰρ ἕλκος παρὰ τὸ διειλκύσθαι τὴν σάρκα ἐκ τῆς τομῆς.

Ἀπειλὴ, παρὰ τὸ ἀπόθεν εἶναι ἐλέους. ἀπείλειν σημαίνει τὸ ὑπισχνεῖσθαι, ἀπείλλειν δὲ τὸ εἴργειν. τὸ πει διφθόγγῳ διάτι; τὰ διὰ τοῦ ειλη θηλυκὰ ὀξύτονα τῇ ει διφθόγγῳ παραλήγεται, οἷον ἀπειλὴ ὠφειλὴ, ὠτειλὴ, πλὴν τοῦ χηλὴ καὶ θηλή. ψιλὴ δὲ ι.

Ἀπατούρια, ἑορτὴ ἐπιτελευμένη τῷ πυανεψίωνι μηνὶ τῷ Διονύσῳ. Φησὶ γὰρ καὶ τὸν Διόνυσον καὶ τὴν ἑορτὴν ἀπατούρια· ἢ ἀπὸ τῆς ἀπάτης. ἢ ἐπειδὴ ἐν ταύτῃ τῇ ἑορτῇ τοὺς γεννωμένους ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ παῖδας ἐνέγραφον, ὀμνύντες οἱ πατέρες περὶ τοῦτο ἀπάτῃ ἐόντες, τότε πατέρας ἔχειν παῖδας, ἢ Ἀθηναίων ἐδόκουν [5]).

Ἀπαυλία, ἑορτὴ παρὰ Ἀθηναίοις, ὅτι τότε ἄρχεται ἡ κόρη χωρὶς πατρὸς αὐλίζεσθαι.

Ἀπειλὴ, ἡ μετὰ ὀργῆς ἐπίπληξις. παρὰ τὸ ἀπείλλειν ὅ ἐστιν ἀπείργειν. ὁ γὰρ ἀπειλῶν τὸν θέλοντα τὶ πράττειν ἀπείργει. ἢ παρὰ τὸ ἀπὸ καὶ τὸ εἰλῶ, ἡ ἀποκλείουσα τῶν δεόντων. ἔστι γὰρ ἀπειλὴ λόγος συστρέφων τὸ δέον. ἢ λόγος ἀπείργων τῶν ἁμαρτημάτων.

Ἀπειλημμένοι, συνειλημμένοι, συγκεκλεισμένοι, κεκρατημένοι. ἀπὸ τοῦ λήβω, τὸ λαμβάνω, ὁ παθητικὸς παρακείμενος λέλημμαι, ἀποβολῇ τοῦ λ ἔλημμαι καὶ ὁ Ἀττικὸς εἴλημμαι.

Ἄπειρος, ὅτε τὸν ἀμαθῆ σημαίνει, γίνεται ἀπὸ τοῦ πεῖρα, ἄπειρος, οἱονεὶ ὁ ἐστερημένος τῆς πείρας. ὅτε δὲ τὸν μέγαν, ἀπὸ τῆς πέρας γίνεται ἄπερος καὶ κατὰ πλεονασμὸν τοῦ ι ἄπειρος, οἱονεὶ ὁ μὴ ἔχων πέρας.

Ἀπέκτατο, ἐκ τοῦ κτῶ τὸ φονεύω. παράγωγον κτῶμαι, ἔκταμαι, ἐκτάμην, ἔκτασο, ἔκτατο καὶ ἀπέκτατο.

Ἀπελάτης, κλέπτης, ἐκ τοῦ ἀπελαύνειν τὴν ἀπάτην.

Ἀπελεύθερος καὶ ἐξελεύθερος διαφέρει, ἀπελεύθερος μέν ἐστιν, ὁ ἐκ δουλείας ἐλευθερώμενος, ἐξελεύθερος δὲ ὁ γενόμενος διὰ χρέος προσήλυτος ἢ κατὰ ἄλλην τινὰ αἰτίαν δουλεύσας.

Ἀπεμυθεόμην, ἀπηγόρευον, ἐκώλυον, μυθέω, μυθῶ.

Ἀπεῤῥωγὼς, ἐκ τοῦ ῥήσσω τὸ ῥηγνύω.

Ἀπεκτόνει, κτείνω ὁ μέλλων κτενῶ, ὁ μέσος παρακείμενος ἔκτονα, ὁ ὑπερσυντελικὸς ἐκτόνειν, ἐκτόνεις, ἐκτόνει καὶ ἀπεκτόνει.

Ἄπενος, εἰς τὸ ἄφενος.

Ἀπεοικότα, ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ.

Ἀπερείσιος, ἐκ τοῦ πέρας ἄπερος, ἄπειρος, ἀπερείσιος, καὶ καθ' ὑπερβιβασμὸν ἀπειρέσιος τοῦ ι.

Ἀπερύκειν, κωλύειν, κατέχειν, κρατεῖν. ἐρύω, ἐρύκω, ἀπὸ τοῦ ἔρα, ὅ σημαίνει τὴν γῆν, ἐράκω καὶ ἐρύκω κατὰ τροπὴν τοῦ α εἰς υ· ἢ παρὰ τὸ εἴργω, ὃ σημαίνει τὸ κωλύω, ἐργύω καὶ ἐρύκω· κυρίως δὲ ἐρύκειν ἐν τῇ γῇ κατέχειν.

Ἀπεβουκόλισα, παρὰ τὸ βουκολῶ, τοῦτο παρὰ τὸ βουκόλος.

Ἀπεμόρξατο, ἀπὸ τοῦ ἀμέλγω, ἀμέλξω, ἤμελξα ἠμελξάμην, ἠμέλξατο· καὶ τροπῇ τοῦ ε εἰς ο, καὶ τοῦ λ εἰς ρ, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀπεμόρξατο, τὸ ἀπεδάκρυτο, σημαίνει τὸ ἀπενίψατο.

Ἀπερείσια, ἐκ τοῦ πέρας. ὧν οὐκ ἔστι πέρας.

Ἄπεσαν, ἀπέλαβον, διάτι προπαροξύνεται; πᾶν ῥῆμα εἰς αν λῆγον χρόνῳ βραχεῖ παραληγόμενον, ἁπλοῦν ἢ σύνθετον, ὅ ἐστι ῥῆμα [6]) προπαροξύνεται, εἰ μὴ Δωρικὸν εἴη· προπερισπᾶται δὲ μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἄπεσαν τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ δὲ ἀπεῖσαν οὐκ ἔστι.

Ἀπεσκοράκιζεν, ὕβριζεν, ἐξέριπτεν, ἢ ἐχλεύαζεν, εἰς ἔρημον ἔπεμπεν. Ἀριστοτέλης φησι, λοιμοῦ κατασχόντος, καὶ κοράκων πολλῶν γινομένων τοὺς ἀνθρώπους θηρεύοντας, καὶ περικαθαίροντο ἐὰν ζῶντας καὶ ἐπιλέγειν, τῷ λοιμῷ, φεῦγε κόρακας [7]). Ἀριστείδης δὲ ἀποδίδωσι, διότι ἐν τραχέσι τόποις καὶ κρημνώδεσι νεοττοποιεῖσθαι λέγειν ἡμᾶς τὴν παροιμίαν, φεῦγε σκόρακας [8]).

Ἀπετίνυυον, ἐκ τοῦ τίω τὸ ἀνταποδίδωμι. γίνεται δὲ κατὰ πλεονασμὸν τοῦ ν τίνω, καὶ κατὰ παραγωγὴν τιννύω.

Ἀπεχθὴς, τὸ ἀρσενικὸν καὶ θηλυκὸν ἀπεχθής. γέγονε δὲ παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ τὸ ἔχθος. σημαίνει δὲ τὴν ἔχθραν.

Ἀπηγόρευσεν, ἀπεῖπεν, παρεκελεύσατο. γίνεται δὲ ἐκ τῆς ἀπὸ προθέσεως, καὶ τοῦ ἀγορεύω καὶ ἀπαγορεύω, ὁ ἀόριστος ἀπηγόρευσα. σημαίνει δὲ τὸ ἀπαγορεύω τὸ ἀπαναίνομαι, ὅ ἐστιν ἀρνοῦμαι, τοῦτο ἐκ τοῦ ναὶ ἐπιῤῥήματος καὶ ἐξ αὐτοῦ ναίνω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀναίνω, τὸ ἀπαρνοῦμαι καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀπαναίνομαι. καὶ εἰς τὸ ἀπηνής· ἐκ τούτου οὖν τὸ ἀπαγορεύω.

Ἀπηλεγέως, ἀποτόμως· ἔστιν ἀλέγω τὸ βοηθῶ, ἐκ τούτου γίνεται ἀλεγὴς, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀπηλεγὴς καὶ τὸ ἐπίῤῥημα ἀπηλεγέως. ἢ παρὰ τὸ ἀλεγεῖν ἤγουν ἀφροντιστεῖν.

---

1) (Sic). Desunt quaedam supplenda ex Etym. M. 2) vel μονομαχίαν. 3) ὁ δὲ διὰ — ἀπαρασκ. (Sic). Plura sphalmata insunt. 4) (Sic.) 5) περὶ τοῦτο — ἐδόκουν (Sic) confusa et omissa restituenda ex Etym. M. 6) (Sic.) male. Emend. ex Etym. M. 7) Plurima hic male. 8) Φεῦγε σκόρακας (Sic.) Pro φεῦγ' ἐς κόρακας.

Ἀπηνήνατο, ἔστιν ἐπίῤῥημα συγκαταθέσεως ναι καὶ ἐξ αὐτοῦ ῥῆμα ναίνω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀναίνω τὸ ἀπαρνοῦμαι.

Ἀπηλγηκότες, ἀποκαμόντες, ἀπελπίσαντες ἀμεριμνήσαντες, ἢ ἀναισθήτως ἔχοντες.

Ἀπηνὴς, ὁ σκληρὸς, αἰνῶ καὶ ἀπαινῶ, ἐκ τούτου ἀπαινὴς καὶ ἀπηνὴς, ὁ ὢν ἐγγὺς τοῦ αἰνεῖσθαι, ἢ ἀπὸ τοῦ αἶνος, ὃ σημαίνει τὸν ἔπαινον, γίνεται αἰνὴς καὶ προςηνὴς, ὁ εὐπροσάγορος καὶ πρᾶος· παρὰ τοῦ ἐγγὺς εἶναι του αινεισθαι, οὕτως ἐκ τοῦ ἐναντίου παρὰ τὸ αἶνος μετὰ τῆς ἀπὸ δηλούσης τὸ πόῤῥω γίνεται ἀπηνὴς, ὁ πόῤῥω ὢν τοῦ αἰνεῖσθαι, ἢ ὁ μὴ ἡνίαις εἴκων, οἱονεὶ ὁ σκληρὸς, ἀπὸ μεταφορᾶς τῶν ἵππων. ἔστι δὲ τριγενές.

Ἀπία, ἡ Πελοπόννησος καὶ τὸ δένδρον. τὸ πι ἰῶτα διάτι; ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παῖδος· ἢ παρὰ τὸ ἄπιδα ὃ σημαίνει τὴν ἀπιδέαν, ἢ ἐν καταξήροις τόποις ὑπάρχουσα. ἐκ τοῦ πίω τὸ πίνω. ἐκβολῇ τοῦ ν ἐκ τούτου ἄπιός καὶ τὸ θηλυκὸν ἀπία, ἡ ἐν πολλοῖς ἔτεσι διψήσασα· πολυδίψιον Ἄργος ἱκοίμην. ἡ γὰρ πόλις ἐστὶν ἡ Ἑλλὰς, ἡ δὲ χώρα Ἀπία, ἥτις ὕστερον ἀπὸ τοῦ Πέλοπος καὶ τοῦ νῆσος ἐκλήθη Πελοπόννησος. οἱ δὲ ἀπὸ τοῦ ἐκεῖ πρῶτον πεφυτεῦσθαι ἀπίους.

Ἄπιον, τὸ ἀπίδιον, παρὰ τὸ ἐν ξηρᾷ γῇ θάλλειν τὴν τοιαύτην ὀπώραν.

Ἄπιος, ἡ ὄχλη [1]) καλουμένη γενικῶς, ὅτι πρῶτον ἐν Πελοποννήσῳ γεγονε· παρὰ τὸ ἐν διψηροῖς τόποις φύεσθαι, ἢ διὰ τὴν ποιότητα τοῦ χείλους [2]) αὐτῆς. Ἀπία δὲ ἡ Πελοπόννησος.

Ἀπίθησα, ἔστι θέμα πιθῶ γραφόμενον διὰ τοῦ ι, ὁ μέλλων πιθήσω, ὁ ἀόριστος ἐπίθησα, ὅθεν καὶ τὸ πιθήσας, ὡς τὸ ἐν δούλοις τοῦ καίσαρος δόγματι απεγράφε πιθησας [3]). ἔστι δὲ πάλιν ἀπιθῶ ῥῆμα, τὰ λοιπὰ δῆλα.

Ἁπλότης μωρίας διαφέρει, ἁπλότης γάρ ἐστι φρόνησις ἀπηλλαγμένη πανουργίᾳ, καὶ οἷον ἁπλή τις οὖσα, καὶ μὴ μεμιγμένη δυστροπίᾳ. μωρία δὲ ἐρημία φρένων.

Ἁπλοῦς, ὥσπερ ἀπὸ τοῦ μία γίνεται α, οὕτω καὶ ἀπὸ τοῦ α γίνεται ἁπλοῦς, οὐχὶ κατὰ σύνθεσιν, ὁμοίως καὶ ἀπὸ τοῦ β διπλοῦς καὶ τριπλοῦς ὁμοίως, καὶ τὰ θηλυκὰ αὐτοῦ· οἷον διπλῆ τριπλῆ. οὐ γίνεται δὲ ἀπο συναιρέσεως, οἷον ἁπλοὸς ἁπλοῦς, ἐπειδὴ τὸ θηλυκὸν αὐτῶν ἁπλοία εἶχεν εἶναι ἁπλοῦς, ἁπαλὸς δασύνεται. ἡνίκα δὲ γένηται κατὰ τρόπην ψιλοῦται [4]).

Ἄπλητα, οἱονεὶ ἄπληστα κατὰ διάλεκτον, λέγεται δὲ τὸ ἄπλητον ἀποκοπῇ τοῦ σ. σημαίνει δὲ τὰ ἄμετρα πολλὰ, μετὰ ἐπιτάσεως τοῦ α.

Ἀπληστία, διὰ τοῦ ι γράφεται, οὐ γὰρ εἴρηται ἀπληστεύομαι ἵνα ἐκ τούτου γράφηται διὰ τῆς ει διφθόγγου· ἀντὶ δὲ τοῦ παρὰ τοῖς ἰδιώταις λεγομένου ἀπληστεύομαι, πληστηριάζομαι εἴρηται παρὰ τοῖς ἀρχαίοις.

Ἀποάρσεων, ἀποβασταγμάτων. εἴρηται δὲ ἄρσις, παρὰ τὸ αἴρω τὸ βαστάζω, τὸ εἰς ὕψος βασταζόμενον, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα, ὁ παθητικὸς ἦρμαι, ἦρται, καὶ ἆρσις.

Ἀποβρίζω, τὸ ἀπὸ βορᾶς νυστάζω, παρὰ τὸ βορὰ καὶ τὸ ἵζω τὸ κατανεύω.

Ἀποαιρεῖσθαι, ἁρπάζειν, ὅ ἐστιν ἀφαιρεῖσθαι, κατὰ τὸ πλῆρες τῆς ἀπὸ προθέσεως, μὴ συγκοπεισης.

Ἀποβουκολῶ, σημαίνει τὸ ἀπατῶ καὶ ἀποπλανῶ.

Ἀποδαρθρεῖν, μὴ ταρθρον αἱρεῖσθαι, μήτ' ἀποδαρθῆναι [5]), τουτέστι κοιμηθῆναι. ἔστι ῥῆμα δρήθω τὸ κοιμῶμαι, ὁ β. ἀόριστος ἔδραθον, καὶ ἐν ὑπερβιβασμῷ τοῦ α ἔδαρθον καὶ Ἀττικῶς ἐδάρθην καὶ ὁ μέλλων β δαρθῶ, τὸ ἀπαρέμφατον δαρθῆναι, κατ' ἀντίφρασιν. δρῶ γὰρ τὸ ἐνεργῶ, οὗ παράγωγον δρήθω, οἱ δὲ κοιμώμενοι οὐδὲν ἐνέργουσι. συντάσσεται δὲ τὸ δρῶ μετὰ δοτικῆς.

Ἀποδημία ἐπιδημίας διαφέρει. ἀποδημία μὲν γάρ ἐστιν ἡ ἀφ' ἑτέρου ἐφ' ἕτερον ἔξοδος. ἐπιδημία δὲ, ἡ εἰς τὸν αὐτὸν τόπον ἐπάνοδος τε καὶ ὑποστροφὴ ἣ ἐξῆλθε τίς.

Ἀπόειπε [6]) ἀόριστος β προστακτικοῦ ἐνεργητικοῦ· διάτι προπαροξύνεται; πᾶν προστακτικὸν δισύλλαβον βραχυκατάληκτον ἑνικὸν, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον οἷον ἔλθε πρόελθε, καθὼς προεῖπον, βαίνε ἀνάβαινε, εἶπε πρόειπε [7]), ὅ ἐστιν ἀπήρνησαι.

Ἀποθέσθαι, ἀποβαλεῖν, διάτι μὴ ἀπόθεσθαι; πᾶν ἀπαρέμφατον φυλάττει τὸν ἴδιον τόνον [8]).

Ἀπόθου, εἰς τὸ προοῦ.

Ἀποθανεῖται ἐκ τοῦ θνῶ θνήσω, ὁ δεύτερος ἀόριστος ἔθανον, καὶ ἐξ αὐτοῦ ἔθαν, καὶ γίνεται θανῶ, θανοῦμαι καὶ θανεῖται.

Ἀποθανεῖν, εἴρηται ὅτι ἀπὸ χωρισμὸν δηλοῖ, οἷον ἀπέρχεσθαι, αἵρεσθαι τὸ χωρίζεσθαι τινὰ ἀπερχόμενον, ἀπόϋατος [9]). εἴη, ἐνεῦ ἔπος, ἀντὶ τοῦ ἐκτὸς γένοιτο. καὶ τὸ ἀποθανεῖν οὕτως ἔχειν καθὸ χωρίζονται οἱ τεθνεῶτες τῶν ζώντων [10]). οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ προθέσεως.

Ἀπεῖπεν, ἀντὶ τοῦ ἀπηγόρευσε.

Ἀποθυμία, ἀπὸ τοῦ θύω θύμος, ἀπόθυμος, ἀφ' οὗ τὸ ἀποθύμιον, ἀηδῆ καὶ οὐκ ἀρεστὰ, ἐξ οὗ καὶ τὸ ἀποθύμια ἔρδοι. σημαίνει δὲ ἐχθρὰ πράξοι. Ὅμηρος [11]).

Ἄποινα, ἀντίδοσις, λύτρον, οἱ μὲν ἐκ τοῦ φόνος ἄφονος, πλεονασμῷ τοῦ ι ἄφοινος, ἄφοινά τινα ὄντα, τὰ ὑπεξαιροῦντα τοῦ φοινικοῦ [12]). οἱ δὲ καὶ ἐκ τοῦ ποινὴ ἄποινος. ἢ ἐκ τοῦ φονὴ ὃ σημαίνει τὸν τόπον τῶν ἀναιρουμένων. ἄνδρας ἀπαίροντας ἐν ἀργαλέῃσι φονῇσι. καὶ προπαροξύνεται. τὰ γὰρ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν, εἰς ος γινόμενα ὀνόματα ἀρσενικὰ προπαροξύνεται, οἷον ὥρα ἄωρος, ποινὴ ἄποινος. τὸ δὲ ποινὴ ἐκ τοῦ φόνος γίνεται ἄφονος, καὶ πλεονασμῷ τοῦ ι, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, ἄποινος. τετραχῶς γὰρ τὰ εἰς η θηλυκα· ἢ γὰρ φυλάττουσιν, ἢ τρέπουσιν ἢ προσλαμβάνουσιν, ἢ μεταποιοῦσιν εἰς οὐδέτερον. λέγεται δὲ ῥῆμα καὶ τὸ ἀποινῶ, ἀποινᾷς δευτέρας συζυγίας τῶν περισπωμένων, τουτέστι τὸ χρήματα εἰςπράττομαι. τὸ δὲ φόνος παρὰ τὸ φένω τὸ ἀναίρω, ὡς λέγω λόγος. τὸ δὲ φένω παρὰ τὸ ἔνω τὸ φονεύω, ἐξ οὗ καὶ ἐνάλεος καὶ Ἐνυὼ ἡ πολεμικὴ θεὸς, τὸ δὲ ἔνω παρὰ τὸ ἔω τὸ τελειῶ, πλεονάζει πολλάκις ἐν ταῖς στερήσεσιν οἷον ἄξιος ἀνάξιος, αἴσχυντος ἀναίσχυντος, αἰδὴς ἀναιδὴς, ἀνδρὸς ἀνανδρὸς καὶ εἰς τὸ ποινή.

---

1) (Sic) Etym. M. ὄγχνη recte. 2) L. χυλοῦ. 3) ἐν δούλοις — πιθήσας. cf. Etym. M. v. ἀπίθησεν, ex hoc emendand. 4) plurima corrupta. 5) (Sic.) cf. Etym. M. 6) In codice est ἀπόειπε manifesto falsum. Cf. Etymol. M. p. 120. init. 7) (Sic.) L. ἀπόειπε. 8) (Sic.) Etymolog. M. recte addit καὶ ἐν τῇ συνθέσει. 9) (Sic.) F. ἀπόβατος. Sed cfr. infra p. 69. v. ἀπούατος. 10) καθὸ — ζώντων. cf. Etym. M. 11) Il. XIV, 261. et Schol. 12) (Sic.) F. φόνου ἕνεκα, sed cf. Etym. M.

Ἀπὸ σκοποῦ [1]), ἐξ ἀπεικασμοῦ, ἔξω ἄποθεν τοῦ σκοποῦ. εἴρηται δὲ ἀπὸ τῶν τοξοτῶν.

Ἀπὸ δόξης, ἄποθεν ἧς ἔχομεν διαθέσεως, Ὅμηρος, ἀπὸ καὶ κλισίαων ἔξω τῶν σκηνῶν, τῆς ἀπὸ ἐνταῦθα ἀναστρεφομένης, διάτι; ἐπειδὴ αἱ ἀναστρεφόμεναι προθέσεις, ὅτε μεταξὺ δύο κυρίων ἢ προσηγορικῶν εὑρεθῶσι συνδέσμοι παραλαμβανόμενοι μετὰ τὴν πρόθεσιν ἀναστρέφονται. οἷον, νεῶν ἀπὸ καὶ κλισιάων, Ἀγαμέμνονος περὶ καὶ Ἀχιλέως [2]). καὶ ἐὰν μεταξὺ δύο ὀνομάτων ἡ πρόθεσις τοῦ μὲν κυρίου ὄντος, τοῦ δὲ προσηγορικοῦ, ἢ ἐπιθετικοῦ, ἐν πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν, οἷον, μάχῃ ἔνι κυδιανείρῃ.

Ἀποκαραδοκίας, ἀντὶ τοῦ ἐλπίδος· παρὰ τοὺς ἀποσκοποῦντας τὶ ἐλπίζοντας· τῇ κεφαλῇ τὸ ἦθος ὑποσημαίνειν. κάρα δὲ ἡ κεφαλή. δοκοῦσι δὲ τὸ ἀναβλέπειν καὶ ἐλπίζειν.

Ἀποκναιόμενοι, διαφθειρόμενοι, ἀποκοπτόμενοι, λυπούμενοι, ὀδυνώμενοι. ἔστι ῥῆμα κτῶ ὃ σημαίνει τὸ φονεύω, οὗ τὸ παράγωγον κταίνω, ἀποβολῇ τοῦ τ καίνω, καὶ μεταθέσει κναίω. τὸ δὲ κτῶ συντάσσεται μετὰ αἰτιατικῆς.

Ἀποκναίεις, διαφθείρεις, διφθόγγῳ εἴρηται παρὰ τὸ κτῶ κταίνω, ὅθεν καὶ τὸ ἀπέκτα· ἀποκναιεις [3]).

Ἀπολαύσω παρὰ τὸ λῶ τὸ θέλω, οὗ τὸ παράγωγον λαύσω καὶ ἀπολαύσω.

Ἀποκοπρίας γίνεται ἀπὸ τῆς ἀπὸ προθέσεως, καὶ τοῦ κόπρος. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐκεῖσε ῥεῖν τὸν κόπρον ἡμῶν.

Ἀποκλήρωσις ἡ οἰκειότης, καὶ σχέσις τοῦ πράγματος. εἴρηται δὲ ἀποκλήρωσις, ἀπὸ τοῦ κλήρου, εἴτε τῆς κληρονομίας, εἴτε τοῦ μέτρου τῆς γῆς. ἐν ἀμφοτέρῳ γὰρ ἡ σχέσις ἐστιν καὶ οἰκειότης τῆς κληρονομίας καὶ κληρουχίας.

Ἄπολλον, ὅτε προπαροξύνεται ἡ κλητικὴ διὰ τοῦ ο μικροῦ γράφεται. οἷον, Ἀγάμεμνον, ὀλβιόδαιμον, κακόδαιμον, αὐτόδαιμον, Αὐτόμεδον, κυλλοπόδιον, χαμέλαιον, ἐνόσιχθον. εἰ δὲ παροξύνεται διὰ τοῦ ω μεγάλου γράφεται, οἷον ὦ χαλκοχίτων, ὦ Πλάτων. σεσημείωται ὦ Λακεδαῖμον, καὶ τὸ Παλαῖμον, σημαῖνον τὴν πάλην.

Ἄπολλον, ἡ εὐθεῖα ὁ Ἀπόλλων, καὶ κλίνεται Ἀπόλλωνος. ὁ κανὼν τὰ εἰς λων ὀνόματα δισύλλαβα [4]), εἴτε ὑπὲρ δύο συλλαβὰς φυλάττει τὸ ω ἐπὶ γενικῆς, οἷον Ἀσκάλων, Ἀπόλλων, Δόλων. καὶ ἔστιν ἡ κλητικὴ Ἄπολλον διὰ τοῦ ο μικροῦ· καὶ ἀναβιβάζει τὸν τόνον. ἔπει τὰ εἰς ων σύνθετα, λέγω ὑπὲρ δύο συλλαβὰς, ὅταν εἰς ον λήγει ἡ κλητικὴ, ἀναβιβάζει τὸν τόνον ἐπὶ τῆς κλητικῆς. πρόσκειται δὲ ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ον διὰ τοῦ ο μικροῦ. διὰ τοῦ ω μεγάλου χαλκοχίτων. καὶ ὦ Φιλοπλάτων. ταῦτα γὰρ εἰς ων ἔχουσι τὴν κλητικὴν, ἀλλὰ διὰ τοῦ ω. καὶ οὐκ ἀναβιβάζει τὸν τόνον ἐπὶ τῆς κλητικῆς [5]). τί ἐστιν ὅταν εἰς ων λήγει ἡ κλητική; ἀπόκρισις· συνεξακού[illegible] [6]) τὸ ω εἰς ο οἷον, Ἀγάμεμνον, ὀλβιόδαιμον, αὐτόδαιμον, χαμέλαιον, Ἄπολλον, ταῦτα γὰρ ἀναβιβάζουσι τὸν τόνον. διὰ τοῦ ο γράφουσι τὴν κλητικήν· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν διὰ τὸ ἄκμων, ὦ ἄκμον, τοῦτο γὰρ σύνθετόν ἐστι, παρὰ τὸ α ἐπιτατικὸν, καὶ τὸ κάμων ἀκάμων, καὶ συγκοπῇ ἄκμων, ὁ πάνυ κάμνων, ἔχει οὖν τοῦτο διὰ τοῦ ο μικροῦ τὴν κλητικὴν καὶ οὐ παροξύνεται κατὰ τὴν κλητικὴν, ἀλλὰ προπερισπᾶται. ἔστι δὲ σύνθετον καὶ τὸ ὦ Λακεδαῖμον σεσημειώμενον. οὕτω γὰρ φησι λέγεσθαι τὴν πόλιν, ἐπειδὴ πρῶτον οἱ θεοὶ ἐν αὐτῇ ἔλαχον, καὶ ἐκληρώσαντο τὰς πόλεις, οἷον λαχεδαίμων τις οὖσα, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλόν. καὶ τὸ Παλαίμων παρὰ τὸ πάλη ὃ σημαίνει τὴν παλαίστραν καὶ τὸ αἵμων ὃ σημαίνει τὸν ἔμπειρον γίνεται παληαίμων καὶ συγκοπῇ παλαίμων. θέλουσι δὲ καὶ τὸ Εὐδαίμων ὄνομα κύριον μὴ προπαροξύνεσθαι ἐν τῇ κλητικῇ, ἀλλὰ προπερισπᾶσθαι πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου, ἐκεῖνο γὰρ προπαροξύνεται κατὰ τὴν κλητικήν· εὔδαιμον, ὦ κακόδαιμον καὶ ὀλβιόδαιμον, ἐν οἷς ὄπισθεν εἰρήκαμεν. ἔστι δὲ Ἀπόλλων ὁ ἥλιος παρὰ τὸ ἀπολύειν ἢ πάλλειν τοὺς ἀκτίνας. ὁ δὲ λεγόμενος θεὸς παρὰ τὸ ἀπολύειν τοὺς ἀνθρώπους τῶν κακῶν, ἰατρὸς γὰρ καὶ μάντις ἦν. ὁ κανὼν, τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ω μεγάλου κλίνεται, οἷον Ἀσκάλων, Ἀσκάλωνος, Ἀπόλλων, Ἀπόλλωνος. διάτι βαρύνεται; τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύνεσθαι θέλουσι, εἰ μὴ ἢ περιεκτικὰ, Ἀσκάλων, Ἀπόλλων· τὸ ἀμπελὼν καὶ μηλὼν περιεκτικά. σεσημείωται τὸ Βαβυλὼν καὶ μιμαλλὼν θηλυκὰ, ὃ σημαίνει τὴν μονῳδίαν. οὕτω Καλλίμαχος.

Ἀπόλλων, ὄνομα κυρίου, βασιλεὺς Φρυγῶν, ἐκ τοῦ ἀπολύειν τοὺς ἀνθρώπους τῶν κακῶν. ἰατρὸς γὰρ καὶ μάντις.

Ἀπολογεῖσθαι τοῦ ἀπολογήσασθαι διαφέρει [7]). Ἀπολογεῖσθαι μὲν γὰρ ῥητέον τὸ ἀποδιδόναι τὸν λόγον τῶν δαπανημάτων, καὶ τὸ ἁπλῶς λογίζεσθαι, οἷον, ἀριθμητικην. Ἀπολογήσασθαι δὲ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν.

Ἀπόνασθαι, ἀπολαῦσαι. ἀπὸ τοῦ ὀνῶ, τοῦ σημαίνοντος ἀπολαύω, γίνεται ῥῆμα εἰς μι ὄνημι, ὁ παθητικὸς ἐνεστὼς ὄνημαι, καὶ τὸ ἀπαρέμφατον ὄνασθαι, καὶ ἀπόνασθαι. τὸ δὲ ὀνῶ σημαίνει δ. ὀνῶ τὸ ὀφελῶ, ἔπειτα δὲ καὶ αὐτὸς ὀνήσεαι αἴκε πίησθα. συντάσσεται μετὰ αἰτιατικῆς. ὠνῶ τὸ ἀγοράζω, ἐξ οὗ καὶ τὸ ὠνοτὸς, ὡς τὸ ὠνησάμην δούλην. ἀμφότερον πρώτης συζυγίας τῶν περισπωμένων. ὀνῶ τὸ ἀπολαύω. ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων, αὐτὰρ Ἀχιλλεὺς οἷος τῆς ἀρετῆς ἀπονήσεται [8]). καὶ ὀνῶ τὸ μέμφομαι, ἐξ οὗ καὶ ὁ μέλλων ὀνήσω, ὡς τὸ, ἔνθά κεν οὐκ ἔτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών. συντάσσεται δὲ τὸ μὲν ὀνῶ τὸ μέμφομαι αἰτιατικῇ, τὸ δὲ ὀνῶ τὸ ἀπολαύω γενικῇ, τὸ δὲ ἀγοράζω δοτικῇ καὶ αἰτιατικῇ, τὸ δὲ ὠφελῶ αἰτιατικῇ.

Ἀπονοστησειν, ἀποχωρήσειν, ἀπὸ τοῦ νόστος τοῦ σημαίνοντος τὴν ἀνακομιδήν. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν ἐδεσμάτων ὡς φησιν Ὅμηρος· ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, οὐδὲ τοκήων [9]).

Ἀπόνοια καὶ ἀπονεῖσθαι διαφέρει. ἡ ἀπὸ πρόθεσις χωρισμὸν δηλοῖ· ἀπονεῖσθαι μὲν οἷον ἀπόστασιν ἔχειν τοῦ νοῦ. ἀπόνοια δὲ ἡ χωρίζουσα τοῦ δέοντος. καὶ ἀποδόκιμος λέγεται ὁ κεχωρισμένος τῆς δεούσης δόξης.

Ἀποματτομενοι, ἀναλαμβάνοντες, μιμουμενοι, ἐντυποῦντες, ἐκ μεταφορᾶς τῶν σπόγγων, ἐξ οὗ ἐναποματτόμενοι. οἱ δὲ παρὰ τὸ ἀποπάλλειν τὰς ἀκτίνας.

Ἀπομάγματα καὶ ἀπομάργματα διαφέρει. ἀπομάγματα

1) Vid. Schol. ad Od. XI, 543. et interpr. Hesych. ad h. v. 2) Il. U, 91. 3) (Sic). omissa quaedam. 4) (Sic) insere εἴτε. 5) plerasque hic confusa. 6) (Sic.) 7) cfr. Ammonium h. v. 8) Il. XI, 761. 762. 9) Od. IX, 34.

μὲν εἰσι τὰ ἀποτυπώματα, καὶ ἀποσπογγίσματα. ἀπομάργματα δὲ τὰ ἀπαυγάσματα, καὶ ἀκτινόβολα.

Ἀπόπατος, ἡ τῶν σιτίων διὰ γαστρὸς κένωσις. καὶ ἀποπατῆσαι παρὰ τὸν πατὸν, ὅ ἐστι τὴν ὁδόν. τὸ ἄποθεν τοῦ πάτου γινόμενον. καὶ γὰρ ἀφοδεύειν λέγεται τὸ μὴ ἐν τῇ ὁδῷ τῇ λεωφόρῳ γινόμενον.

Ἀπόρυμα, τὸ ἥμισυ τοῦ σάτου, τὸ δὲ σάτον κβ ξέστων, παρ' ἄλλοις δὲ ιη· καὶ κδ. καὶ ιδ. καὶ εἰς τὸ σάτον. ἔστι δὲ ἐν τύπῳ κεραμεῶς.

Ἀπορία ἀφορίας διφέρει. ἀπορία μὲν γὰρ κυρίως ἀργυρίου σπανή. ἀφορία δὲ ἐνδεία καρπῶν.

Ἄπορος, κυρίως ὁ ἀδιόδευτος. πόρος γὰρ ὁ περάσιμος τόπος, ἀλλ' ὅτε δὴ πόρον ἶξον [1]). καὶ ὁ μὴ χρήματα ἔχων τουτέστιν ὁ μὴ διάβασιν ἔχων χρημάτων, ἐξ οὗ γίνεται ἀπορία.

Ἀποτρέπω, διώκω, ἐξ οὗ καὶ ἀποτρόπαιος, ὁ χαλεπὸς καὶ δεινὸς, καὶ κακὸς, καὶ μισητὸς, καὶ φευκτὸς, καὶ τὴν ὄψιν φοβερός.

Ἀπούατος, ἄποθεν τοῦ ὠτὸς, οἱονεὶ ὁ μὴ ἀκούων ἐκ διαστήματος. Ὅμηρος.

Ἀπούρας, ἀφελομενα· ἐπαυρῶ ἔστι τὸ ἀπολαύω πρώτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων ἐπαυρήσω, ὁ ἀόριστος ἐπήυρησα, καὶ ἐν συγκοπῇ ἐπηῦρα, ἡ μετοχὴ ἀπαύρας, καὶ τροπῇ τοῦ α εἰς ο ἀπούρας. καὶ τί μετέχει· τὴν ἀπόλαυσιν μοῦ ἀφελόμενος κατέχει.

Ἀπούρας, ἀπαύρας καὶ τροπῇ τοῦ α εἰς ο ἀπούρας. αὔρειν δὲ τὸ ἀπολαυειν· ἔνθεν σύνθετον, ἐπαυρήσασθαι οἷω. ἀπαύρειν οὖν καὶ ἀπούρας, οἷον, ἀφελόμενος τὴν ἀπόλαυσιν τοῦ γήρως. οἱ δὲ φήσιν ἀπὸ μεταφορᾶς τῶν ὑποσπώντων τοὺς ὅρους τινὸς, ἀπουρήσας καὶ ἀπούρας.

Ἀπότομον, τὸ ἀπόκρημνον καὶ ἀπεῖκον. ἢ τὸ ἀνένδοτον, πρὸς τὸ ἐνδόσιμον παραδιδόναι καὶ παραχωρεῖν [2])· ἐν ἑτέροις δὲ σημαίνει τὴν ἀρχὴν καὶ τὸ προοίμιον. ἐν γὰρ τοῖς χοροῖς ὁ χοροδιδάσκαλος [3]) ἀπαυλήσας τῷ καλουμένῳ ἐπιτονίῳ, τοῦτο τοῖς ἀπὸ τοῦ χόρου τὴν ἀρχὴν τῆς ἁρμονίας, καὶ συμφωνίας ἐνδίδωσι. λέγομεν δὲ προοίμιον τὸ ἐμβατήριον. κατ' ἄλλην μεταφορὰν ἐπὶ τῶν ὀρχουμένων, ὁ καταχρουστὶ τοῖς προτέροις χρησάμενος κρούσμασι, ταύτην τῆς ὀρχήσεως τὴν ἀρχὴν τοῖς ὀρχουμένοις παρέχεται. καὶ τοῦτο καλοῦσιν ἐμβατρόν.

Ἀπότροπος οἶνος, τραπεῖν γάρ ἐστιν αὐτὸ τὸ πατῆσαι. ὅθεν καὶ πρὸ τοῦ πατηθῆναι γινόμενον ἀπόσταγμα τῆς σταφυλῆς ἀπότροπος οἶνος λέγεται. οὕτως Ἐπαφρόδιτος ἐν ὑπομνήσει ἀσπίδος Ἡσιόδου.

Ἀποφαυλίζοντες, ἐπιτωθάζοντες, ἐξατελίζοντες, ἢ ὡς πονηρὸν ἐπιστρεφόμενοι, ἀεὶ γὰρ τὸ φαῦλον ἐπὶ τοῦ πονηροῦ τάττεται. φαῦλον οὖν ἐστὶν ὑπερβιβασμῷ τοῦ λ καὶ πλεονασμῷ τοῦ ρ φλαῦρον, ἐπὶ τοῦ πονηροῦ. τὸ δὲ φαῦλον δηλοῖ ποτὲ μὲν τὸ μέγα καὶ τὸ ἁδρὸν καὶ καλὸν, ποτὲ δὲ τὸ μοχθὸν καὶ μικρόν· ἐνίοτε τὸ ἁπλοῦν. Λάκωνες τὸ στερεὸν καὶ παχύ. ἔνιοι φαῦλον τὸ ὁλοσχερὲς, παρὰ τὸ λυφάω τὸ ω, τοῦτο παρὰ φαὸς ὃ σημαίνει τὴν λαμπηδόνα, ὡς Ὅμηρος, φάε δὲ χρυσόθρονος ἠώς [4]).

Ἀποφορὰ εἰσφορὰ διαφέρει. ἀποφορὰ μὲν γάρ ἐστι τὸ ὑπὸ τῶν ὑποτεταγμένων τελούμενον τοῖς δεσπόταις. τὸ δὲ ὑπὸ τῶν πολιτῶν δημοσίᾳ διδόμενον ὑποτέλεσμα καὶ εἰσφορά.

Ἀποφράδες, οὕτως ἡμέραι προσηγορικαὶ καλούμεναι, καὶ ἐπεικάδας καλοῦσι, φθίνοντος τοῦ μηνὸς τετράδα, τρίτην, δευτέραν, ἐν αἷς καὶ τὰς φορητικὰς ἐδίκαζον δικας, διὰ τὸ οἷον ἀποφράττεσθαι τὸ τῆς σελήνης φῶς ἐν αὐταῖς δὲ καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας, ἐπιθετικῶς ἐκάλουν. ἄνθρωπος ἀποφρὰς, καὶ βλέπων ἀπιστίαν.

Ἀποφώλια, ἀπαίδευτα, παρὰ τὸ ὀφώλια, οὕτω γὰρ ἐλέγοντο τὰ παιδευτήρια.

Ἀποφώλιος, ὁ ἀπαίδευτος, Ὅμηρος ἢ δὴ ἀλιτρός γ' ἐσσὶ, καὶ οὐκ ἀποφώλια εἰδώς [5]). παρὰ τὸ φωλεὸν, φωλεοὶ γὰρ τὰ παιδευτήρια τὰ διδασκάλου· τοὺς δὲ ἀδιδάκτους ἀποφωλίους ἐκάλουν· ἢ παρὰ τὸ φηλὸς, ὃ σημαίνει τὸν ἀπατεῶνα. φήλιος δὲ καὶ ἐν συνθέσει ἀποφήλιος, καὶ τροπῇ ἀποφώλιος· καὶ ἀρήγω ἀρηγὸς [6]), ῥήσσω ῥηγμὸς καὶ ῥωγμὸς ἔην γαίης [7]). θήσω θωμος ὁ σωρὸς, λέγονται δὲ καὶ ἀποφώλιοι ἀδόκιμοι, ἄγονοι, ἄπαιδες.

Ἀποχρώντως ἱκανῶς ἀρκοῦνται ἀπὸ τοῦ χρῶ συζυγίας δευτέρας τῶν περισπωμένων. ἡ μετοχὴ χρῶν, καὶ ἡ εὐθεία τῶν πληθυντικῶν χρῶντες, ἡ γενικὴ χρώντων, καὶ τὸ ἐπίῤῥημα χρωντως, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀποχρώντως.

Ἀπριάτην, ἄπρατον, ἐπίῤῥημα μεσότητος· ἢ ἐπιῤῥηματικῶς δεῖ ἀκούειν ἀπράτως καὶ ἀποίνως, τουτέστιν ἄνευ πράσεως· ἢ ὄνομα θηλυκὸν ἀπὸ τοῦ ὁ ἀπρίατος καὶ ἡ ἀπριάτη. πρίημι τὸ πωλῶ, τοῦτο δὲ παρὰ τὸ πρίω, ἐξ οὗ καὶ τὸ πρίωμαι φῆσιν ὁ κωμῳδὸς σελάχιον· ἐκ τοῦ πρίω, πριάσω, πεπρίακα, πεπρίαμαι, πεπρίασαι, πεπρίαται, πριατὸς καὶ ἀπριατὸς, ὁμοφώνως τῷ ἀρσενικῷ· τὰ γὰρ εἰς ος σύνθετα κοινὰ εἰσὶ τὰ γένη.

Ἀπρὶξ, συμφυῶς, ἰσχυρῶς, παρὰ τὸ πρίζω, πρίσω, πρὶς καὶ κατ' ἀποκοπὴν ἄπρις, ὡς θήσω θὴς, δώσω δὼς· ὁ ἀπρία δυνατόν. ἢ ἀπὸ τοῦ πρίζω, πρίσω, πρὶξ, μίγω, μίξω, μὶξ, καὶ ἐπιμὶξ, ὀκλάζω, ὀκλάσω, ὀκλὰξ, πτύξω, πτὺξ, ἐπίῤῥημα ποιότητος.

Ἀπρὶξ, ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς, προσπεφυκότως, κατόχως. Κύπριοι δὲ γένος τι ἀκάνθης. γέγονε δὲ ἀπὸ τοῦ πρίζω, οὗ ὁ μέλλων πρίξω, ἀποβολῇ τοῦ ω πρὶξ κατὰ Δωριεῖς, ὡς ἁρπάζω ἁρπάξω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀπρὶξ, τὸ ἰσχυρῶς κρατεῖν, ὥστε μὴ πρίζεσθαι, οἷον ἀποσχίζεσθαι τοῦ κρατουμένου τὸ κρατοῦν· καὶ εἰς τὸ ὑπόδρα.

Ἀπρόϊτος, ἀπρόϊκτος, ἐκ τοῦ ἴω τὸ πορεύομαι, ἰτῶ, ἰτὸς, καὶ ἀπρόϊτος.

Ἀπρόσιτον παρὰ τὸ μὴ προσιεναι. ἔστιν εἴω τὸ πορεύομαι. τοῦτο ἐν μὲν τοῖς ἑνικοῖς γράφεται διὰ διφθόγγου· ἐν δὲ τοῖς πληθυντικοῖς ι. τὸ πρῶτον τῶν πληθυντικῶν ἴμεν, τὸ δεύτερον ἴτε, καὶ ἐξ αὐτοῦ ἰτὸς, πρὸς ὃν τις εὐχερῶς πορεύεται, καὶ μετὰ τοῦ στερητικοῦ α ἄϊτος, πρὸς ὃν τις πορευθῆναι οὐ δύναται, καὶ πλεονασμῷ τῆς πρὸς προθέσεως, ἀπρόσιτος.

Ἀπροτίματος [8]), ἀπρόσψαυστος, ἄθικτος. μάσασθαι γὰρ τὸ ἅψασθαι, παρὰ τὸ μαστεύειν, ὅ ἐστι ζητεῖν. διὸ καὶ μαστὸς ὁ ἐπιμασσόμενος. ἐπιλτομενος, καὶ ἐσμᾶτο καθήψατο. καὶ εἰς τὸ αὐτομάτως.

---

1) Il. XIV, 433, et Schol. 2) παραχωρεῖν F. περὶ χωρίων vid. Pollux onom. L. I, 171. cf. infra p. 71. in v. ἀπώλεια. 3) Vid. Pollux Onom. L. IV, 106. 4) Od. XIV, 502. 5) Od. V, 182. et Sch. 6) (Sic.) adde, καὶ ἀγωγάς. 7) Il. XXIII, 420. ῥωχμός. 8) (Sic.) L. μαστος.

Ἀπτὴν, πετομένην, παρὰ τὸ πέτω πτὴν καὶ ἀπτήν.

Ἅπτω, τὸ προσεγγίζω, ὁ μέλλων ἅψω, ἐξ οὗ λέγεται ἀφαψέα τὰ μέλη. συντάσσεται δὲ μετὰ γενικῆς, ἐπειδὴ ἡ ἐκ τῶν αἰσθήσεων γινομένη ἐνέργεια μετὰ γενικῆς συντάσσεται. ἀκούω σου, γεύομαί σου, πλῆν τῆς ὁράσεως. καὶ εἰς τὸ ἐφησταῖς.

Ἀπώλεια, ἐκ τοῦ ἀπόλλω ῥήματος. διὰ τῆς ει διφθόγγου, πρῶτον μὲν τῷ λόγῳ τῶν διὰ τοῦ ε ι α προπαροξυτόνων ἔχοντα ἀντὶ παρακειμένων ἐνεστῶτα, διὰ τῆς ει διφθόγγου γράφεται. τὸ δὲ ἀπώλεια ἐξέτεινε τὸ ο εἰς ω, ἐπειδὴ τὰ περὶ τὸ ὀλῶ ἢ ὄλλω συντιθέμενα ἐκτείνουσι τὸ ο εἰς ω. οἷον ἀπώλεια, πανώλεια. ἀρχὴν δὲ τὸ προοίμιον, ἐν γὰρ τοῖς χοροῖς ὁ χοροδιδάσκαλος ἐπαυλήσας τῷ καλουμένῳ ἐπὶ τῷ ἐνίῳ [1]) τούτῳ τοῖς ἀπὸ τοῦ χοροῦ τὴν ἀρχὴν τῆς ἁρμονίας καὶ συμφωνίας ἐνδίδωσι. λέγομεν δὲ προοίμιον καὶ τὸ ἐμβατήριον κατ᾽ ἄλλην μεταφορὰν ἐπὶ τῶν οἰχουμένων [2]), ὃ ὁ κατακρούστι τοῖς προτέρῳ χρησάμενος κρούσμασι, ταύτην τὴν ἀρχὴν τῆς ὀρχήσεως τοῖς ὀρχουμένοις [3])· καὶ τοῦτο καλοῦσιν ἐμβατήριον.

Ἀπώναντο ἀπὸ τοῦ ὠνῶ, ὁ μέλλων ὠνάσω, ὃ σημαίνει τὸ φαυλίζω. τὸ παθητικὸν ὠνῶμαι, ὡς βοῶμαι. ὁ παθητικὸς παρακειμενος [4]) ὠνάμην, τὸ β ὠνῶ, τὸ γ τῶν πληθυντικῶν ὤναντο, καὶ ἀπώναντο.

Ἀπομόρξατο, ἀπεάλγω, ἀπομόργω ἐστιν ὁ ἐνέστως· τοῦτο ἐκ τοῦ ἀμέλγω τὸ ἐκπιέζω, μετάθεσις τοῦ ρ εἰς λ, ἀμελγὸς καὶ ἀμολγὸς ὁ ἐκπιέζων τὰ πρόβατα, ἐξ οὗ καὶ ὁ ἱππομοργὸς, ὁ ἵππους ἀμέλγων· λοιπὸν ἐστιν ἀμελγὸς καὶ βαρύνεται, ἐπειδὴ τὰ εἰς γω λήγοντα ῥήματα, εἰ μὲν ἔχουσι πρὸ τοῦ γ σύμφωνον βαρύνεται. οἷον, ἀμέργω, στέργω, εἴργω· χωρὶς εἰ μὴ ἔχουσιν ὄνομα προϋποκείμενον· τὸ γεωργός· τὸ δὲ ἀμέργω οὐκ ἔχει προϋποκείμενον ὄνομα· τὸ γὰρ ἀμόργη ἐκ τοῦ ἀμέργω γέγονε. σημαίνει δὲ δύο· τὴν ὑποστάθμην τοῦ ἐλαίου, καὶ τὴν τρυγὴν τοῦ οἴνου. ἔστι δὲ καὶ εἶδος βοτάνης πορφυρᾶς, ἐξ οὗ ἀμόργινα ἱμάτια λέγονται τὰ πορφύρα. λοιπὸν ἐκ τοῦ ἀμέργω κατὰ τροπὴν τοῦ α εἰς ο, ὡς ἀκριόεις ὀκριόεις, καὶ ἄρχαμος ὄρχαμος, γίνεται ὀμόργω, ὀμόρξω, ὠμορξάμην, ὠμόρξατο, καὶ ἀπωμόρξατο.

Ἀργειφόντης, παρὰ τὸ ἐναργεῖν τὰς φαντασίας ποιεῖν· οὕτως εὗρον ἐν ὑπομνήσει τοῦ Ἡσιόδου. οἱ δὲ διὰ τοῦ ι γράφοντες φασὶ, παρὰ τὸ ἄρι τὸ ἐπιτατικὸν μύριον, ὡς ἀρίζηλος, ἀρίδηλος, ἀριφόντης, ὁ μεγαλοφανταζόμενος διὰ τοὺς ὀνείρους, καὶ πλεονασμῷ τοῦ γ. ἢ παρὰ τὸ ἀργὸν τὸ λευκὸν, ἀργοφόντης τὶς ὤν, καὶ τροπῇ τοῦ ο εἰς ι ἀργιφόντης. ὡς ἀργίποδες κύνες· δῆλον δὲ ὡς εἴρηται τὸ ἀργὸν καὶ ἐπὶ τοῦ ταχέως, καὶ ἐπὶ τοῦ λευκοῦ· νῦν οὖν ἐπὶ τοῦ λευκοῦ κεῖται, ἵν᾽ ᾖ ἐπὶ τοῦ ἐναργεῖς τουτ᾽ ἔστι προδήλους τὰς φαντασίας ἐπιπέμπειν. ἢ ὁ ἀργὸς φόνου, εἰρηνικὸς γὰρ ὁ θεὸς, ὅπερ Ὅμηρος φῇ. διὰ τῆς Ἴριδος γίνεται διαγγελία ἐν τοῖς πολέμοις, καὶ οὐχὶ διὰ τοῦ Ἑρμοῦ.

Ἆρα καὶ ἄρα διαφέρει [5]). ὁ μὲν γὰρ κατὰ περισπωμένην λεγόμενος σύνδεσμος ἀπορηματικός ἐστιν· ὅτε δὲ διαποροῦντες λέγομεν, ἆρα ἔπος τὸ πρᾶγμα ἕξει. ὁ δὲ κατὰ συστολὴν συλλογιστικὸς, ἀλλὰ μὴν ἡμέρα ἐστί. εἰ τοῦτο σύμφερον ποιεῖν, ποιητέον ἡμῖν ἄρα ἐστί.

Ἀρα ἡ κατάρα, παρὰ τὸ αἴρω τὸ ἐπαίρω, ἢ πα[ρὰ τὸ] ἀρῶ τὸ ἐπεύχομαι· σημαίνει δὲ καὶ τὴν εὐχήν. κ[αὶ εἰ] μὲν σημαίνει τὴν εὐχὴν, γίνεται παρὰ τὸ αἴρω εἰς ὕψος ἐπαίρω, οἱ γὰρ εὐχόμενοι εἰώθασι τὰς χ[εῖρας] ἐκτείνειν. εἰ δὲ σημαίνει τὴν κατάραν, γίνεται τὸ ἀρῶ τὸ εὔχομαι, κατ᾽ ἀντίφρασιν.

Ἀῤῥαβὼν, ἡ ἐπὶ ταῖς ὠναῖς παρὰ τῶν ὠνου[μένων] διδομένη πρώτη καταβολὴ ὑπὲρ ἀσφαλείας. εἰ ῥαίβας, ῥαιβὼν· καὶ ἐμπροσθέσει τῆς α στερή[σεως] μετὰ πλεονάσμου τοῦ ρ, καὶ ἐκβολῇ τοῦ ι ἀῤῥαβὼ[ν] μὴ συγχωρῶν ῥαιμβὴν γένεσθαι τὴν πίστιν τῶν σ[υνα]λαττόντων· οὕτως Ἐπαφροδιτός.

Ἀρὰ σημαίνει δύο, τὴν εὐχὴν καὶ τὴν κατάραν, εἰς τὸ ἀρνῶν καὶ λυρικὴ [6]), καὶ μισθαρνίαν.

Ἀραβία, ἐκ τοῦ ἄραβος ἀραβία, τὸ δὲ ἄραβος κ[...] ἢ ἦχος, κυρίως ἡ ἐν ὄρει βοὴ ὄραβος καὶ ἄραβος.

Ἀραρυίας βεβαίας, ἡρμοσμένης· ἡ εὐθεῖα ἀρα[ρυῖα] τὸ ρυι δίφθογγος, ὡς ἐν τῷ πεποιηκυῖα. ἀρῶ τ[ὸ ἁρ]μόζω, ὁ μέλλων ἀρῶ, ὁ μέσος παρακείμενος ἤρ[α]… Ἀττικὸς ἄρηρα, ἡ μετοχὴ ἀρηρὼς καὶ τροπῇ Δωρικ[ῇ τοῦ] η εἰς α ἀραρὼς ἀραρότος. τὸ ρο μικρὸν διάτι; α[ἱ εἰς] ως μετοχαὶ ὀξύνονται, εἰ μὴ κατὰ πάθος ὦσι, διὰ τοῦ ο μικροῦ γράφονται. τὸ θηλυκὸν ἡ ἀρα[ρυῖα] τῆς ἀραρυίας.

Ἄρσαντες κατὰ θυμὸν, ἀρῶ οὖν Αἰολικῶς ἄρσ[ω] μετοχὴ ἄρσας· ἄρσαντες κατὰ θύμον.

Ἀράχνη ἀράχνης διαφέρει. ἀράχνη μέν ἐστι τὸ [λεπ]τοτατὸν ὕφασμα τοῦ ζώου, τουτ᾽ ἔστι τοῦ ἀρά[χνου] ἀράχνης δὲ αὐτὸ τὸ ζῶον. ἀρσενικῶς ἐκφωνόμενο[ν].

Ἀράχνη, παρὰ τὸ ἀραιὰ ἴχνη ἔχειν, ὅ ἐστι λ[επτὰ] καὶ ἀσθενῆ· ἢ παρὰ τὸ εἰς τὸν ἀέρα ἔχειν τὰ ἴχ[νη].

Ἀρβύλη εἶδος ὑποδήματος, παρὰ τὸ ἁρμόζειν ποδί. ἁρμόζω οὖν ἁρμόλη καὶ ἀρβύλη, ἁρμόζω [συν]τάσσεται πτώσει δοτικῇ.

Ἀργάλιον, ἐκ τοῦ ἄργον καὶ τοῦ ἄλιον, ὃ σημαίνε[ι] μάταιον.

Ἀργαλεὸς, χαλεπός. παράγονται τὰ τοιαῦτα [ὀνό]ματα, ἀπὸ τριῶν μερῶν τοῦ λόγου. ἀπὸ ὀνόμα[τος], ἀπὸ ῥήματος, ἀπὸ ἐπιῤῥήματος, ῥίμφα, ῥιμφαλ[έος] τὸ ἀργαλεὸς παρὰ τὸ ἄλγος, μεταθέσει τοῦ λ ε[ἰς ρ] ὁμοίως τὸ ὑδρηλοὶ ὑδρηροί· ὑδρηρὸς γὰρ ἦν τὸ ἀν[...]γον, ὑψηλὸς ὑψηρὸς, ὁ εἰς ὕψος ἠρμενὸς, σιγ[ηλὸς] σιγηρός.

Ἄργεϊ, τῷ Ἄργει, ἀπό τινος Ἄργου ἐν Πελοποννήσῳ [κα]τοικήσαντος. ἰστέον δὲ, αὗται αἱ δοτικαὶ ἐὰν μὲν ἔ[χω]σιν ἐπιφερώμενον σύμφωνον διαιροῦνται, οἷον Διομ[ήδεϊ] Διομηδεΐ Παλλὰς Ἀθήνη. εἰ δὲ φωνῆεν οὐ διαροῦν[ται] οἷον· σῷ θαρσεῖ ὅτ᾽ ἐμὸν δόλιχον [7]), ἐὰν δὲ μὴ κα[τὰ] τὸ μετρὸν, οἷον χαριζομένη πόσεϊ ᾧ [8]). καὶ οὐ[...]ρὶς μετροῦ παρήλλακται [9])· οἷον· πρόσθ᾽ ἔβαλον ἔπειτα δὲ ἡδεῖ οἴνῳ.

Ἀργειφόντης ὁ Ἑρμῆς παρ᾽ Ὁμήρῳ καὶ παρὰ [...]λοῖς· παρὰ δὲ Σοφοκλεῖ ἐπὶ δὲ τοῦ Ἀπόλλωνος, παρθενίου καὶ ἐπὶ Τηλέφου. ἢ παρὰ τὸ Ἄργον πολυόμματον κῦνα πεφονεῦσθαι τὸν Ἰοῦς φύλακα. παρὰ τὸ ἀργὰς, ὁ ταχὺς ἄγγελος· ἢ ὁ ἐναργεῖς φαντασίας ἀποτελῶν, ὀνειρόπεμπος γάρ ἐστιν. ἢ καταργεῖ τοὺς φόνους, εἰρηνικὸς γὰρ ὁ θεός· ἢ [...]

---

1) ἐπὶ τῷ ἐνίῳ (Sic.) alienum certe haec locum occupant. cf. supra p. 69. in v. ἀπότομον. 2) οι melius ορ supra. 3) omissum est verbum. 4) (Sic.) L. ἀόριστος πρῶτος. 5) cf. Ammonius p. 23. ex quo hic articulus emendandus est. 6) (… vid. infra v. λύρα. 7) Fors. Il. VI, 136. cfr. VII, 153. 8 … V, 71. 9) χωρὶς — πάρηλλ. Emendetur Etym. M.

Ἄργει πρῶτον καφῆναι. ἢ ὅτι τὸν ὄφιν τὸν τυθῶνα[1]) ἀνεῖλε. κατὰ γὰρ τὴν τῶν Ἀργείων γλῶσσαν ἀργὴν καλεῖται ὁ ὄφις, ἵν' ᾖ ὀφεοκτόνος καὶ εἶδος θηρίου καλεῖται ἄργη. καὶ οἱ κένταυροι οὕτως ὑπὸ τινῶν προτηγορεύθησαν.

Ἄργενος, τὸ κατὰ πάθος γενόμενον λευκὸν ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ ἀργὸς ὅ ἐστι λευκὸς, ὅθεν καὶ κύνας ἀργούς τινες τοὺς λευκούς.

Ἄρδις, ἡ ἀκὶς τοῦ βέλους, καὶ οὕτω Καλλίμαχος, ἀλλ' ἀπὸ τόξου αὐτὸς ὁ τοξευτὴς ἄρδιν ἔχων ἑτέρου[2]). ἢ παρὰ ἀρῶ τὸ ἁρμόζω. ἀφ' οὗ καὶ ὁ ἄρτος ὁ συμβαρηνὸς, παρὰ τὸ οὖν ἀρτῶ καὶ ἀρτῶ, ἄρτης διὰ τοῦ τ, ὅθεν καὶ πυλάρτης παρώνυμον. καὶ ὡς ἀπὸ τοῦ προφήτης προφῆτις, οἰκέτις[3]), οὕτω καὶ ἄρτις, καὶ τροπῇ τοῦ τ εἰς δ ἄρδις, ὡς χλίτη χλίδη. ἢ παρὰ τὸ ἄρης ὃ σημαίνει τὸν σίδηρον ἄρις. καὶ ἐν πλεονασμῷ τοῦ δ, ἄρδις. ἢ παρὰ τὸ ἠρτῆσθαι. οὕτως Ἐπαφρόδιτος.

Ἀρείων, χερείων, ταῦτα διὰ τῆς ει διφθόγγου γράφεται, ἐπειδὴ γὰρ τὸ ἄρειος χέρειος διὰ διφθόγγου. τὰ δὲ εἰς ος καθαρὸν, ἐὰν μεταβαίνει εἰς τοιοῦτον τύπον, τροπῇ τοῦ ος εἰς ων ἀποτελεῖται, λώιος, λωΐων, ῥᾴος, ῥαΐων, μαῖος, μειών.

Ἀρειμάνειος διφθόγγῳ, ἐπειδὴ πᾶσα δοτικὴ τὴν ἐκ τοῦ ἄρει[4]).

Ἀργειφόντης, παρὰ ἐναργεῖς τὰς φαντασίας ποιεῖν, ὡς φησὶν Ἀλεξίων καὶ Ἀρίσταρχος. ἢ ἀργειφόντης, ὁ μεγάλως φανταζόμενος τοῖς ὀνείροις, ὡς Δίδυμος καὶ Τρύφων. ἢ παρὰ τὸ ἀργὸν συγκείμενον τὸ λευκὸν, ἀργοφόντης τὶς ὤν. ἢ ἀργὸς φόνου καὶ εἰρηνικὸς ἢ ὁ φονεύσας Ἀργὸν τὸν πολυόμματον κύνα, ὃς ἐφύλασσε τὴν Ἰώ.

Ἀργεῖος διφθόγγῳ, καὶ γὰρ οἱ Αἰολεῖς ἀργέος φασι. σημαίνει δὲ τὸν ἀπὸ τοῦ Ἄργους καὶ τὸν ἵππον. ἐξ οὗ καὶ Ἀργεῖος πήγασος, ὁ ἵππος ὁ πηδητικός.

Ἀργὸς, παρὰ τὸ αἴρειν ὅ ἐστι προσφέρειν. Ὅμηρος, μή μοι οἶνον ἄειρε, πρόσφερε. Ἀργὸς δὲ παρὰ τὸ αἴρειν καὶ προσφέρειν.

Ἀργίνης, ὡς τὸ Ἧσι[5]), τὸ θηλυκὸν ἀργενὴ, πᾶν τοίνυν εἰς ος μετὰ συμφώνου. τὸ ἀρσενικὸν ἀργενὸς, γίνεται ἐκ τοῦ ἀργὸς, ὃ σημαίνει τὸ καθαρὸν, ἀργεινὸς, ὡς ἔλεος ἐλεεινός. τῷ ει διφθόγγῳ διάτι; τὰ μέντοι εἰς νος ὀξύτονα παρώνυμα. καὶ ἔθος ἐστὶ τῶν Ῥηγίνων διαλέκτῳ τὸ ι τρέπειν εἰς ν, τὸ γὰρ σπείδω σπένδω λέγουσι, καὶ τὸ ἔνδοι, ἔνδον. καὶ τὸ ἐρεβεινὸς ἐρεβεννὸς, ὅπερ ἀπὸ τοῦ ἔρεβος, οὕτω καὶ ἀπὸ τοῦ ἀργεινὸς ἀργεννός. οἱ δὲ Σικελοὶ τὸ ἐναντίον. τὸ γὰρ σπένδω σπείδω λέγουσι, καὶ τὸ οὐμέντον, οὐμέντοι.

Ἄργος, χώρα τοῦ Πελοπονήσου, ἀπὸ τοῦ ἄργους τοῦ πολυομμάτου κυνὸς ὢν ὠνομασμένος.

Ἄργος, ὁ λευκὸς, ἐκ τοῦ ἀργὸς ἀρσενικοῦ. καὶ εἰς τὸ ἀργύριον.

Ἄργος, ὁ λευκός. σημαίνει δὲ δύο, τὸν νωθρὸν καὶ δυσκίνητον, μᾶλλον δὲ ἀνενέργητον, παρὰ τὸ ἀργός τις εἶναι ἢ βοηθείας δεόμενος. ἢ παρὰ τὸ ἀρήγω τὸ βοηθῶ. σημαίνει δὲ καὶ τὸν καθαρὸν καὶ λευκὸν, ὡς ἐνταῦθα, γίνεται παρὰ τὸ ἄκρον[6]) ἄεργος, ἄργος. διειδὴς γὰρ ὁ ἀνὴρ καὶ διαφανὴς καὶ δίοσμος, ἅτε λεπτομερέστατος ὤν. καὶ κατ' ἀντίφρασιν τὸν ταχύν. ἄργος δὲ ὁ νωθρὸς καὶ δυσκίνητος.

Ἀργύριον ἐκ τοῦ ἄργυρος· τὸ δὲ ἄργυρος παρὰ τὸ ἀργὸς, ὃ σημαίνει τὸν λευκόν. λέγεται δὲ καὶ ἄσημος ὁ ἀτύπωτος καὶ ἀργός.

Ἄργυρος,, ρ δὴζ ὑπῆρχον[7]). ἄργυρος δὲ ἐτυπώθη ἀπ' ἀρχῆς τὸ νόμισμα. ἐκ δὲ τῶν Ἀσσυρίων ἐφοίτησεν Ἀβραὰμ, καὶ εἰς γῆν Χαναὰν φησὶ τὸν τύπον τοῦτον ἀνήνοχεν.

Ἀργύρειος, τὸ μετουσιαστικὸν, ἀπὸ τοῦ ἀργυρεός ἐστι προθέσει τοῦ ι, ὡς τὸ ἄχρεος ἀχρεῖος καὶ χρεῖα, παρὰ τὸ χρόα. τὰ σταθμοῦ γράμματα τρία. ἀργυρὸς ὁ τέλειος λιτρῶν ρ[8]). ἀργυρὸς καὶ μνᾶς καὶ μάνης ὀγκιῶν κ χαλκοῦ[9]). ἀργύρια δὲ τὰ τετυπωμένα. διὸ καὶ παρὰ Ἀλεξανδρεῦσι τὰ ἀργύρια χαλκινὰ καλοῦνται. ἐστὶ δὲ ὁ χαλκοῦς τῷ σταθμῷ ὄγδοον ὀγκίον, ὡς ἡ δραχμή. μνᾶς ἀντὶ τοῦ μανή. τῇ γὰρ Ἑβραΐδι ὁ ἀργυροῦς μανὴ καλεῖται. ἡ δὲ μνᾶ ἡ Ἰταλικὴ τὰς μ στατήρων ἐστὶ, τουτέστιν ὄγκια κ λίτραν μίαν, καὶ δίμοιρον[10]) ἀργυρίων. πολλοὶ τύποι κατὰ καιρὸν γεγόνασι, νούμμους τινὰς ἔχοντας, ἔπειπερ νοῦμμος τὶς Ῥωμαίων βασιλέων γεγένητο, καὶ κατὰ τὸ ὄνομα αὐτοῦ τετύπωται. δίχρυσον δὲ ἐκάλουν οἱ παλαιοὶ τὸ ἥμισυ τοῦ ἀργυρίου. τοῦτο ἐστὶν ὃ οἱ Ῥωμαῖοι μιλλιαρήσιον καλοῦσι, ὅπερ ἑρμηνεύουσι στρατιωτικὸν δόμα. τὸ δὲ δίχρυσον καὶ τοῦτο ἀργύριον ἦν, ὅπερ κίβδηλον ὕστερον ἐκλήθη. ἀναιρεθέντος οὖν τοῦ βασιλέως, τότε αὐτὸ νόμισμα ἐν τῷ διχρύσῳ ἐκεχάρακτο, τὸ ὄνομα αὐτοῦ ἀποβαλλόμενον κίβδηλον ἐκλήθη ἀδόκιμον.

Ἀργυρόηλον, ἐκ τοῦ ἀργυροῦ τοῦ κτητικοῦ, καὶ τοῦ ἧλος.

Ἀργυρότοξε, ἐκ τοῦ ἀργὸν ὃ σημαίνει τὸ καθαρὸν, καὶ τὸ τόξον ἤγουν τὸ ὅπλον, τουτέστιν ὁ λαμπρὸν τόξον ἔχων. τὸ γὰρ ἀργὸν σημαίνει καὶ τὸ λευκόν. τοῦτο ἐστὶ παρὰ τὸ ἀγλαὸν, τοῦτο παρὰ τὸ αἴγλη αἰγλαὸν, ἀποβολῇ τοῦ ι, καὶ μεταθέσει ἀλγὸν, καὶ τροπῇ τοῦ λ εἰς ρ ἀργόν. ὅτε δὲ σημαίνει τὸν ταχὺν, ἀπὸ τοῦ ἀρκῶ, ἀρκὸς, καὶ τροπῇ τοῦ κ εἰς γ ἀργός· ὁ γὰρ ταχὺς ἐπαρκεῖ ἐν τῷ νικᾶν.

Ἄρδην, παρὰ τὸ αἴρω ἄρδην, ὡς φύρω φύρδην, μίγω μίγδην. οὕτω Φιλόξενος. ἢ ἀπὸ τοῦ αἴρω ἀρῶ ἄρην καὶ ἄρδην. τὸ δην η διάτι; τὰ εἰς ν ἐπιρρήματα διὰ τοῦ η γράφεται. οἷον, χήδην, μάτην, ἄρδην, πλὴν τοῦ πρὶν, πάλιν καὶ τὰ λοιπά.

Ἄρδω, σημαίνει τὸ ποτίζω, ἐξ οὗ καὶ, ἄρσει οἱ λειμῶνες παρὰ τὸ ποτίζεσθαι καὶ ἄρσην. σημαίνει δὲ τὸ εὐφραίνομαι.

Ἄρδις, τὸ κοντάριον. ἡ ἀκὶς τάχα, ὅτι προαρμόζεται τῷ βέλει, οὕτως ὀφεῖλον λέγεσθαι. μεταπέπτωκε δὲ τὸ δ. καὶ γὰρ τὸν σίδηρον ἄρην λέγομεν καὶ παρώνυμον ἄρις καὶ ἄρδις.

Ἀρείη, ἐν πολεμῷ ἀπειλὴ, παρὰ τὴν ἄρεος γενικὴν ἀρέα, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἀρεία καὶ κατὰ τροπὴν Ἰωνικὴν τοῦ α εἰς η ἀρείη, ὡς πεῖνα πείνη. ἄρειος ἀπὸ τοῦ ἄρεος γέγονε τοῦ σημαίνοντος τὸν ἀνδρεῖον. καὶ κατὰ πρόσθεσιν τοῦ ι ἄρειος. καὶ εἰς τὸ ἀρήϊος.

Ἄρειος πάγος δικαστήριον Ἀθήνησιν οὕτω καλούμενον. Καλλίμαχος, αἱ δὲ πάγον φέρουσαι· ἢ ὡς φησὶν Αἰσχύλος, ὅτι αἱ Ἀμαζόνες ἐπὶ τὸν τόπον ἐκεῖνον ἐστρα-

---

1) (Sic.) L. τυφῶνα. 2) (Sic.) cf. Fragm. Callim. 130. Vid. Etymol. M. 3) Sic. 4) ἐπειδὴ — ἄρει (Sic., male. Vid. Etymol. M. 5) (Sic., male. cf. Etym. M. v. ἀργεννός. 6) (Sic.) male. 7) (Sic). 8) cf. Phavor. v. χρυσοῦς. 9) multa hic corrupta. 10) Sic.)

τεύσαντο, ἄρεος ὄντας. ἢ ὅτι ἄρη ἐν αὐτῇ ἐδικάσατο, ποσειδῶνι κατηγορήσαντι διὰ τὸν φόνον ἀλλιεροθίου [1]). πάγος δὲ ὁ λόφος, ὡς καὶ Ὅμηρος, πάγος δὲ τὲ βολῆσεν.

Ἀρέσει, παρὰ τὸ ἀρῶ τὸ ἀρέσκω, ὁ μέλλων ἀρέσω τὸ γ ἀρέσει.

Ἀρέσκω, ὡς ἀπὸ τοῦ ὀλῶ, ὀλέσω ἀλέσκω, καὶ τελῶ τελέσω τελέσκω, οὕτω καὶ παρὰ τὸ ἀρῶ, τὸ ἁρμόζω ὁ μέλλων ἀρέσω, κατὰ πλεονασμὸν τοῦ κ ἀρέσκω.

Ἀρετὴ, ἀρεσκὸν τῷ θεῷ τι, ἡ ἀρετὴ ἥτις ἐραστὴ καὶ φιλητή.

Ἀρετὴ λέγεται, παρὰ τὸ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον. ἡ ἀρετὴ ἐκ τοῦ ἀρέσκεσθαι καὶ ὑπὸ πάντων ἐπιθυμουμένη. ἢ ἐρατή τις οὖσα, ἣν πάντες ἐρῶνται, ἢ ἐπέραστος κτῆσις. σημαίνει δὲ τρία· τὴν κατὰ τὸν πόλεμον ἀνδρείαν, ὡς τό, οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λεγεσθαι [2]). ὅτε δὲ τὴν μεγάλην χάριν τῆς ἀνδρείας [3])· ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαίνεμεν. σημαίνει δὲ τὴν τῆς τύχης ἐπιμέλειαν. τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν [4]).

Ἀρετὴ, αἱρετή τις ἐστὶν, ἣν αἱροῦνται πάντες. οὕτω Δίδυμος ἐν ὑπομνήματι.

Ἀρετὴ, ἡ ἐν πάντι πράγματι αἱρετὴ· ὑπεροχῇ παρὰ τὸ αἱρῶ τὸ προαιροῦμαι.

Ἀῤῥητὸν, τὸ μὴ δυνάμενον ῥηθῆναι, καὶ μὴ λαλούμενον. ἀπόῤῥητον δὲ τὸ ἀκατάληπτον, καὶ μηδὲ ὅλως φρᾶσθαι δυνάμενον.

Ἀρητῆρα, τὸν ἱερέα, παρὰ τὸ ἀρᾶσθαι, ὅ ἐστιν εὔχεσθαι. ἢ παρὰ τὸ αἴρειν τὰς χεῖρας εἰς προσευχήν· ἢ παρὰ τὸ ἀρέσκειν τῷ θεῷ.

Ἀρητῆρα τὸν Χρύσην τὸν ἱερέα τοῦ Ἀπόλλωνος.

Ἀρητὸν, τὸ βλαβερὸν καὶ ἀρᾶς αἴτιον. γίνεται δὲ παρὰ τὸ ἀρεῖν ὅ ἐστι βλάβειν. ἢ τὸ ἄπευκτον.

Ἀρήϊος, ἐκ τοῦ ἀρέϊος τροπῇ τοῦ ε εἰς η, ὡς ὀδυσσήϊος ὀδυσσεΐος.

Ἀρήγω εἰς τὸ ἀργοῦς, καὶ ἀρήξειν, καὶ ἀρηγὸς καὶ ἀρωγός.

Ἄρειος, τὸ ρει δίφθογγος διάτι; τὰ ἀπὸ τῶν εἰς ος, εἴτε περιττοσυλλάβως κλινόμενα, εἴτε ἰσοσυλλάβως, διὰ τοῦ ειος γινόμενα κτητικὰ, διὰ τῆς ει διφθόγγου γράφεται, χωρὶς εἰ μὴ τὸ τ τρέπεται εἰς σ. οἷον, ἀριστοφάνειος, αἰσχύνειος, ἰορδάνειος, δημοσθένειος. πρόσκειται εἰ μὴ τρέπεται τὸ τ εἰς σ, διὰ τὸ ἱκέτης ἱκέσιος, δεσπότης δεσπόσιος, φηλήτης, ὁ κλέπτης, φηλήσιος. ἄρης οὖν ἄρειος, καὶ Ἰωνικῇ διαλύσει ἀρέϊος, κατὰ τροπὴν ἀρήϊος, ὡς τὸ ὀδυσσεΐος, ὀδυσσήϊον μέγα δόμα [5]).

Ἀρηΐφιλος, ὄνομα σχῆμα σύνθετον, ἐκ δύο τελείων ὡς χειρίσοφος, δουρίκτητος, δουρίκλειτος· οὕτω καὶ ἀρηΐος κατὰ τοὺς ἀρχαίους Ἴωνας, Ἰωνικῶς καὶ Δωρικῶς [6]), καὶ τοῦ φίλος γίνεται ἀρηΐφιλος.

Ἀρὴν πρόφασιν, παρὰ τὸ εἰς ἀρὰν ἀνεπιτήδειον εἶναι. ἐστὶ δὲ ἀρὴν ἀρῆνος καὶ συγκοπῇ ἄρνος.

Ἀρηΐφατος κατὰ διάλυσιν, ὃ ἐν πολέμῳ πεφονευμένος.

Ἄρης, τὸ τόξον, ὁ δαίμων, ὁ πόλεμος, καὶ ὁ θυμός. καὶ ἡ ἀφροσύνη, κατὰ μετάστασιν φυσικὴν, ἢ ὁ σωματοειδὴς θεὸς, καὶ ὁ ἀστήρ.

Ἄρης, ὄνομα κύριον θεὸς βασιλεὺς Θρακῶν, παρὰ τὸ τὴν ἄρσιν καὶ ἀναίρεσιν· ἢ παρὰ τὸ ἀρήγειν τὸ συλλαμβάνειν τὴν κατὰ βίαν μάχην σύμπτωσιν. καὶ εἰς τὸ ἀγρὸς, καὶ ἀριστίνδην, καὶ ἄριστος, καὶ ἄρουρα, καὶ ἐπήρεια, καὶ μαραίνω, καὶ φίλος.

Ἀρθρέμβολα, ὄργανα τιμωρητικὰ, παρὰ τὸ ἐξαρθροῦν τὸν ἐμβαλλόμενον. ἢ τὰ βαλλόμενα εἰς τὰ ἄρθρα τῶν μελῶν· καὶ βασανιστήριον.

Ἄρθρον, παρὰ τὸ ἀρηρέναι, ὅ ἐστι συνηρμόσθαι, ἤτοι ἐξαρμοῦν.

Ἄρθρον, τὸ προταττόμενον τῶν πτώσεων· παρὰ τὸ ἀρτῶ ὃ σημαίνει τὸ κατασκευάζω καὶ τελειῶ. ἄρτρον καὶ ἄρθρον παρὰ τὸ ἐν ἡμῖν ἄρθρα· ὥσπερ γὰρ τὰ ἄρθρα διορίζει ἑαυτά τε, καὶ τὰ παρακείμενα αὐτοῖς, οὕτω ταῦτα διαχωρίζει τὰς διαφορὰς τῶν πραγμάτων διάρθρωσιν ἐμφαίνοντα, δοκεῖ γὰρ διαρθροῦν καὶ ποιεῖν τὸ ἐπιφερόμενον ὄνομα φανερὸν, πότερον ἄῤῥεν ἐστὶν ἢ θηλὺ, καὶ πότερον ἐφ' ἑνὸς ἢ ἐπὶ πλειόνων.

Ἀρίζηλος, ὁ ἄγαν ἔκδηλος, παρὰ τὸ δῆλος· ἄδηλος, καὶ μετὰ περισσοῦ τοῦ ι αἴδηλος, καὶ κατ' ἐπένθεσιν τοῦ σ αἴσδηλος· τοῦ σ καὶ δ εἰς ζ τραπέντος αἴζηλος, καὶ ἐπεισόδῳ τοῦ ρ ἀρίζηλος. οὕτω Κρατῖνος. ἐγὼ δὲ παρὰ τὸ δῆλος, καὶ τὴν ἄρι ἐπίτασιν, εἶτα δὲ ἐν πλεονασμῷ τοῦ σ καὶ τροπῇ τοῦ δ εἰς ζ ἀρίζηλος, ἢ ἀπὸ τοῦ ζῆλος ἀρίζηλος.

Ἀρίδηλος, ὁ πάνυ φανερός· τοῦτο δὲ παρὰ τοῦ δαλὸς ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον, καὶ ἀναδόσει τοῦ τόνου δάλος, καὶ τροπῇ τοῦ α εἰς η δῆλος, καὶ μετὰ τοῦ ἄρι ἀρίδηλος. καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται, τρέπεται τὸ σ καὶ δ εἰς ζ, καὶ γίνεται ἀρίζηλος.

Ἀρίων, ὄνομα κύριον, διὰ τοῦ ι γράφεται, κατὰ διαστολὴν συγκριτικοῦ. τὸ δὲ ἄρειος [7]), ἀπὸ τοῦ ἄρεος γέγονεν, ἤγουν τὸ σημαινόμενον τὸν ἀνδρεῖον. καὶ γράφεται διὰ τῆς ει διφθόγγου.

Ἀρίγωνος, εἶδος ὅπλου, παρὰ τὸ ἄρι μόριον καὶ τὸ γωνία, ἀρίγωνος. καὶ σημαίνει ὅπλον πάντοθεν-ἔχων γωνίας.

Ἀρθήσεται, ἐκ τοῦ αἴρω, ἀρῶ, ἦρκα, ἦρμαι, ἤρθην, ἀρθήσεται.

Ἀριθμῆσαι, καὶ μετρῆσαι, τινὲς μὲν τὸ αὐτὸ ἐνόμισαν, διαφέρουσι δὲ ἀλλήλων. ὁ μὲν γὰρ ἀριθμὸς ἐπ' ὀλιγὸν λαμβάνεται, ὡς ὅτε λέγωμεν εἷς, δύο, τρεῖς. τὸ δὲ μετρῆσαι ἐπὶ πλῆθος· οἷον, ὡς ἐπὶ τοῦ σίτου ἐπικρ(θ)ῖ καὶ τῶν ὁμοίων. πλῆθος γὰρ ἐνταῦθα λαμβάνοντες μετροῦμεν.

Ἀριθμήμεναι, ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων, τὸ θ μετὰ τοῦ μ ἐν συλλήψει ἔστιν ἢ ἐν διαστολῇ, οὐδέποτε γὰρ συλλαβὴ εἰς δασὺ λῆγον. γίνεται δὲ παρὰ τὸ ἀριθμῶ. τοῦτο παρὰ τὸ ἀριθμὸς, ἐξ οὗ καὶ τὸ εναριθμιος.

Ἀριθμὸς, παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. ὡς τὸ ἄρσαντες κατὰ θυμόν· γίνεται ἀρμὸς, καὶ πλεονασμῷ τοῦ δ ἀρδμός· καὶ τροπῇ τοῦ δ εἰς θ καὶ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ἀριθμός. οἱονεὶ ἡ συνάθροισις τῶν μονάδων. ἢ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. ἁρμονίας [8]) γὰρ μονάδων ὁ ἀριθμός.

---

1) (Sic.) Cf. Phavorin. 2) Il. XIII, 275. 3) μεγάλην — ἀνδρείας (Sic.) cf. Etym. M. 4) Hesiod. Epy. 289. cf. Xenoph. Mem. Socr. L. II. c. 1. §. 20. 5) (Sic.) F. Od. XVIII, 352. 6) ἀρήϊος — δωρικῶς (Sic.) cf. Etym. M. 7) F. ἀρείων, comparativus scil. 8) cfr. Etym. M.

Ἀριθμῶν, μετοχὴ, τὸ θέμα ἀριθμῶ, τοῦτο παρὰ τὸ ἀριθμὸς, τοῦτο παρὰ τὸ ἀλίζω.

Ἀριπρεπέα, τὸν πάνυ εὐπρεπῆ, νῦν ἑνικόν. ἔστι καὶ οὐδέτερον πληθυντικῶν. καὶ ἀρσενικῶς [1]· καὶ Ὅμηρος, ἀμφὶ σελήνην φαίνετ' ἀριπρεπέα [2]), καὶ ἀρσενικῶς αἰτιατικὴ, φράσσατο δ' ἀριπρεπέα ἵππον [3]).

Ἀρίσταρχος σύνθετον. παρὰ τὸ ἄριστον ἄρχειν. ἀριστάρχειος δὲ αἱρεῖ παρὰ συνθέτου.

Ἀριστερὸς παρὰ τὸ ἄριστος, κατ' εὐφημισμὸν ὡς ἐπώνυμος.

Ἀριστερὰ, ἡ χεὶρ, εἴρηται ὡς Χρύσιππος ἀπὸ τοῦ αἴρω. ἐπειδὴ τὰ πολλὰ τῶν φορτίων βαστάζομεν ἐπὶ τοῦ ὤμου δι' αὐτῆς. βέλτιον δὲ κατ' εὐφημισμὸν, ὅθεν καὶ ἡ εὐώνυμος ὁμοίως ἡ καλώνυμος. ὡς φόβος φοβερὸς, οὕτως ἄριστος, ἀριστερός.

Ἀριστερὰ παρὰ τὸ ἀρηρέναι ἡ δεξία.

Ἀριστίνδην, ἐκλελεγμένους κατ' ἀριστείαν, ἀπὸ τοῦ ἀρείων συγκριτικοῦ. τὸ δὲ ἀρείων παρὰ τὸ ἄρης ὃ σημαίνει τὸν πόλεμον. κυρίως γὰρ ἀρείων ὁ ἐν τῷ πολέμῳ κρείττων. τὸ δὲ ἄρης παρὰ τὸ ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω· καὶ ἐξ αὐτοῦ, ῥῆς καὶ μετὰ τοῦ στερητικοῦ α ἄρης. ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ. τὸ δὲ ἴδην συντάσσεται μετὰ δοτικῆς.

Ἄριστος, κυρίως ὁ ἐν πολέμῳ ἰσχυρός. καταχρηστικῶς δὲ ὁ ἐπὶ παντὸς προσήκοντος. ὅτι δὲ κυρίως ἐπὶ τοῦ ἐν πολέμῳ ἰσχύρου εἴρηται δηλοῖ τὸ παρώνυμον ἀριστεύς. ἄριστος καὶ ἄριστον διχῶς ἐκφωνεῖται, ὥσπερ καὶ τὸ δεῖπνος καὶ τὸ δεῖπνον. σημαίνει δὲ τὴν στερέωσιν τῆς τροφῆς τοῦ σώματος. καὶ γὰρ πρότερον οἱ παλαίοι μεταλαμβάνοντες τροφῆς οὕτως ἐπὶ τὰς ἀριστείας ἐξίεσαν.

Ἄριστον, ἐπὶ τῆς εὐωχίας ἀόριστόν τι ὄν. ἀόριστον γάρ ἐστι κατὰ καιρόν· ἐντεῦθεν οὖν ἔχει τὸ α μακρόν· ἢ παρὰ τὸ τὸν ἄρεα. τοῖς γὰρ εἰς ἄρεα προϊοῦσι παρεσκευάζετο. ὡς καὶ τὸ δεῖπνον.

Ἄριστος, κράτιστος, παρὰ τὸ ἀρείων. τοῦτο παρὰ τὸ ἄρης ὃ σημαίνει τὸν πόλεμον. γίνεται συγκριτικὸν ἀρείων, ἄριστος ὁ κράτιστος. ἐξ οὗ ἄριστος κυρίως ὁ ἐν πολέμῳ ἀνδραγαθὴς, καταχρηστικῶς δὲ ὁ ἐν οἱῳδήποτε πράγματι. τὸ δὲ ἄρης παρὰ τὸ ῥῶ τὸ λέγω, καὶ μετὰ τοῦ στερητικοῦ α. ἐν γὰρ πολέμῳ οὐ λόγων ἀλλ' ἔργων χρεία.

Ἀρκὰς, ἀπὸ τοῦ Ἀρκαδία. καὶ ἡ ἀρκάς. ἡ ἄρκος ἐκ τοῦ διαρκέσαι.

Ἄρκιος, ὁ ἀρκετὸς, Ἡσίοδος δὲ ἄρκιον καὶ καλῶς λέγει καὶ ὠφέλιμον φῆσι. ἀρκετὸς καὶ βοηθῆσαι δυνάμενος. τὰ διὰ τοῦ ιος ὀνόματα προπαροξύτονα, παρ' ἐνεστώτων ἢ μελλόντων παρηγμένα διὰ τοῦ ι γράφεται, οἷον ἄγω ἅγιος, ὅσω ὅσιος, ἁρμόζω ἁρμόζιος, καὶ ἀρκῶ ἄρκιος, καὶ ψιλοῦται. σεσημείωται τὸ ἄρκυς, τοῦτο δὲ δασύνεται. τοῦ γεννήσαντος γὰρ τὸ πνεῦμα ἐφύλαξε, παρὰ τὸ εἴργω τὸ κωλύω.

Ἄρκτος, ὅτι ἀπὸ τοῦ ἄρκτου ἐγένετο, ἢ διὰ τὸ αἴρειν καλῶς. ἄρκτος δὲ λέγεται τὸ βόρειον κλίμα, ὅθεν πνεῖ ὁ βορρᾶς ἄνεμος.

Ἄρκτος, τὸ ζῶον. εἴρηται δὲ παρὰ τὸ ἀρκῶ ὅπερ καὶ ἐπαρκῶ λέγεται, ὁ μέλλων ἀρκέσω, ἀφ' οὗ καὶ κύριον ὄνομα ἀρκέσιος, ἐν πλεονασμῷ τοῦ ι. παρὰ τὸ δὴ τοῦτο γίνεται τὸ ἄρκος οὐδέτερον, οὗ μέμνηται ἀρκαῖος τὸ χαλινὸν ἄρκος ἔση. παρὰ οὖν τὸ ἀρκῶ ἄρκτος ἐν πλεονασμῷ τοῦ τ. τὸ ἐπαρκοῦν ἑαυτῷ ζῶον. φασὶ γὰρ αὐτὸ ζῆν τὸν χειμῶνα ἐκτὸς ἐπεισάκτου τροφῆς. οὕτω Κρατῖνος ἐν τῇ ἐπιτομῇ τῶν βασιλίδων, περὶ ὁμηρικῶν λέγων.

Ἄρκτος, διὰ τὸ εἶναι ἀργὴ, ἢ τάχα παρὰ τὸ ἀλκεῖν ἐγένετο. ἢ διὰ τὸ εἶναι στραβόραχος.

Ἄρκευθος, εἶδος φυτοῦ ἀκανθῶδες, οὗ τὴν ὀρμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφεται. εἴρηται παρὰ τὴν ἀρκὴν, ὅ ἐστιν βλάβην κεύθουσα. ἀράκευθος καὶ ἄρκευθος.

Ἄρκυον, παρὰ τὸ ἁρπάζω ἄρπυον καὶ ἄρκυον. ἐπιτήδειον γὰρ πρὸς τὸ ἁρπάζειν. ἢ παρὰ τὸ ἑλκύω ἕλκυον, καὶ τροπῇ τοῦ ε εἰς α, καὶ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, γίνεται ἄρκυον. ἢ παρὰ τὸ ἐρύκω τὸ κωλύω. διάτι βαρύνεται; τὰ εἰς ον λήγοντα καθαρὰ παραληγομένα τὴν α [4]) βαρύνονται εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβάς· οἷον κάρυον, κρόμμυον, δίκτυον, ῥίγυον, ἄρκυον. δισύλλαβα δὲ βρύον, θύον, πτύον.

Ἄρκυς, εἶδος δικτύου ἐκ παχέος σχοινίου, ὃ ἱστᾶσι πρὸς θήραν λεόντων ἢ ἄρκτων ἢ ἐλάφων. καὶ δασύνεται, ἐκ τοῦ εἴργω τὸ κωλύω, τροπῇ τῆς ει διφθόγγου εἰς α. Ἡσίοδος.

Ἄρκω, τὸ βοηθῶ, παρὰ τὸ ἄρ [5]) ὃ σημαίνει τὸν βρόχον. ἢ παρὰ τὸ ἄλξ, ἀλκὸς, ἀλκῶ καὶ ἄρκω, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. καὶ εἰς τὸ ποδάρκης.

Ἁρμαλιὴ, ἡ τροφὴ, ἐπεὶ δίκην ἅρματος ὀχετεῖ τὰ σώματα. ἢ παρὰ τὸ αἴρω τὸ προφέρω ἐστιν (ὡς Ἱπποκράτης ἐν ἀφορισμοῖς προάρματα τὰς τροφὰς καλεῖ). ὡς καὶ καθαίρω καθαρμός· παρὰ τὸ ἱπποάνακτι, ἢ ἁρμαλιὴ ἡ τροφὴ, παρὰ τὸ ἁρμόζειν καὶ ἰσχυροποιεῖν τὸ σῶμα.

Ἅρμα, παρὰ τὸ αἴρω, ἀρῶ, ἦρκα, ἧρμαι, ἅρμα. ἢ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. σημαίνει δὲ τρία. παρὰ Ἕλλησι μὲν τὸ ζεῦγος τῶν βοῶν, παρὰ δὲ Ῥωμαίοις τὴν καρουχαν [6]). σημαίνει δὲ καὶ ὄνομα πόλεως ἐν τῇ Βοιωτίᾳ· καὶ δόρυ καὶ ἀσπίδα καὶ θώρακα. διάτι δασύνεται; δείκνυται ἐκ τῆς συναλοιφῆς δασυνόμενον. ἐφ' ἅρματος ὠκέας ἵππους.

Ἁρμάμαξα, ἡ πρὸς ἀνδρῶν καθέδραν κατασκευασμένη ἅμαξα, οἷον ἅρμα καὶ ἅμαξα, ἡ ἀνδράμαξά τις οὖσα, ἡ ἄνδρας ἄγουσα.

Ἀρμένιος ἀπέργης εἰ μὴ ἄρῃ οὐ μένει, οὐχ ἠρεμεῖ, ἢ μὴ φονεύσῃ, θὴρ γάρ ἐστι, καὶ πρὸς αἷμα τρέχει ἀδελφοκτόνον [7]).

Ἄρμενον, παρὰ τὸ ἐν τῷ ἀέρι αἰρόμενον. ἢ ὅτι ἀειρόμενον τὸ διηνεκῶς κουφιζόμενον.

Ἁρμησαύγιον παρὰ τὸ ἅρμα, τὸ ἐπάνω τῶν ὅπλων.

Ἁρμόζω ἐκ τοῦ ἁρμοῦ, τοῦτο παρὰ τὸ ἀρηρέναι καὶ συνηρμόσθαι. καὶ διάτι δασύνεται; τὸ α λῆγον εἰς ρ ἐπιφερομένου τοῦ μ ἢ τοῦ π δασύνεται. τὸ μο μικρὸν διάτι; τὰ διὰ τοῦ οζω ῥήματα διὰ τοῦ ο μικροῦ γράφεται, οἷον δεσπόζω, ἁρμόζω, πλὴν τοῦ βρώζω, πλώζω, σώζω.

Ἀρνειοὶ καὶ ἄρνες διαφέρει, ἀρνειοὶ μὲν γὰρ οἱ τέλειοι, ἄρνες δὲ οἱ νέοι. Ὅμηρος, ἀρνειοὺς τε τράγους τε. καὶ ἀρνῶν πρωτοτόκων [8]) ῥέξειν κλειτὴν ἑκατόμβην. πρωτότοκον δὲ λέγεται τὸ πρωΐμως γεννηθέν.

---

1) L. οὐδετέρως. 2) Il. VIII, 555. 3) Il. XXIII, 453. Emendandum ex hoc loco Etym. M. v. ἅρμα. 7) Corrupta.
4) F. υ. 5) (Sic.) absque dubio ἄρκυς. 6) i. e. carrucam. 8) (Sic.) Il. IV, 102. et alibi exstat πρωτογόνων.

Ἀρναῖος ὄνομα κύριον, παρὰ τὴν ἀράν.

Ἀρνειὸς, τὸ νει διφθόγγῳ διάτι; τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα, καὶ τὰ ἑξῆς. τὸ δὲ ἀρνὸς παρὰ τὸ ῥῆν ῥηνός· τὸ ῥῆν η διάτι; πρὸς ἀντιδιαστολὴν τοῦ μέρους τοῦ σώματος. τοῦτο δικαταληκτόν ἐστι καὶ διὰ τοῦ ι γράφεται. καὶ συστολῇ τοῦ η ῥανὸς καὶ ἐν ὑπερβιβασμῷ. καὶ μετάγεται ἡ ἀρνὸς γενικὴ εἰς εὐθεῖαν, καὶ κλίνεται ἀρνὸς ἀρνοῦ. καὶ ἄρνα κατὰ μεταπλασμόν· ἡ εὐθεῖα τῶν δυϊκῶν ἄρνε. ἢ ἐκ τοῦ ῥὴν ῥηνὸς καὶ τροπῇ τοῦ η εἰς α ῥανὸς [1]), ἡ δοτικὴ ἄρνι, ἡ αἰτιατικὴ τὸν ἄρνα, ἡ εὐθεῖα τῶν δυϊκῶν ἄρνε. διαφέρει δὲ ἀρνειὸς καὶ ἀρνὸς, ὅτι τὸ μὲν ἀρνειὸς σημαίνει τὸν τέλειον τὸ δὲ ἀρνὸς τὸν νέον. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ κλίνεται ἀρνὸς ἀρνοῦ, ἀρνὸν καὶ ἄρνα, κατὰ πλεονασμον. καὶ ἐπὶ μὲν τοῦ τελείου λέγεται ἀρνειοὺς τὲ τράγους τέ. ἐπὶ δὲ τῶν νεωστὶ γεγεννημένων, ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.

Ἀρνεῖσθαι ἀπὸ τοῦ αἴρεσθαι τὰς χεῖρας ἐπὶ παραιτήσει. ὡς παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ· αὐτοῦ γὰρ εἰποντος, ἃ ἔλαβες ἀπόδος ἐμοῦ πατρὸς λαβὼν πάρα. Φαίνεται ὁ Μενέλαος ἀρνησάμενος διὰ τοῦ σχήματος τῶν χειρῶν ἐπάρας αὐτάς. διόπερ Ὀρέστης μηδὲν αὐτοῦ εἰπόντος ἐπιφέρει, οὐ χρη μετα εἶπον [2]).

Ἀρνειὸς ποὺς διφθόγγῳ· τῷ λόγῳ τῶν κτητικῶν.

Ἀρνειὸς, ὁ μέγας κριός· ἀρνιὸς ὁ ποιμὴν ἢ ὁ φυλάσσων.

Ἀρνίον παρὰ τὸ ἀρῶ τὸ εὔχομαι. τὸ εἰς εὐχὴν ἐπιτήδειον.

Ἀρνὸς παρὰ τὸ ἀρὰν, ὃ δηλοῖ τὴν εὐχὴν, γίνεται ἀρὴν, ἀρῆνος, καὶ κατὰ συγκοπὴν ἀρνός.

Ἀρνύμενος ἐκ τοῦ ἀρνός. πρότερον γάρ δι' ἀρνῶν ἐποίουν τὰς θυσίας. καὶ κλίνεται ἀρνὸς ἀρνοῦ, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀρνοὶ, καὶ κατὰ μεταπλασμὸν ἄρνες.

Ἀρνῶ εἰς τὸ μισθαρνία.

Ἀρνῶν, ἡ εὐθεῖα ἄρνες. ἡ εὐθεῖα ῥὴν ὃ σημαίνει τὸ πρόβατον, ἐκ τοῦ ἀρὰ ὃ σημαίνει τὴν εὐχὴν, τὸ ὑπὲρ εὐχῆς διδόμενον πρόβατον. καὶ ὁ ποιήτης. ἐν δ' ἄνδρες ναίουσι πολύῤῥηνες [3]). ἐκ τοῦ ἀρῶ τὸ εὔχομαι ἀρὴν, καὶ ἀφαιρέσει τοῦ α ῥήν. οἱ γὰρ παλαιοὶ δι' ἀρνῶν τὰς θυσίας ἐποίουν. ἡ γενικὴ ῥηνὸς καὶ ἐν συστολῇ τοῦ η εἰς α ῥανὸς, καὶ ἐν ὑπερβιβασμῷ ἀρνός. καὶ μετάγεται ἀπὸ γενικῆς εἰς εὐθεῖαν.

Ἀρνύμενος, ὁ λαμβάνων, ἢ ὁ ἀμείβων, ἢ ὁ φυλάσσων. γέγονε παρὰ τὸ αἴρω ἀρνῶ περισπωμένως, ὡς πίπλω πιπλῶ, ἴχνω ἰχνῶ. τούτου παράγωγον ἀρνύω, ὡς πληθύω, καὶ ἄρνυμι, ὅθεν ἄρνυμαι καὶ ἀρνύμενος.

Ἄρουρα ἡ γῆ παρὰ τὸ ἀρῶ τὸ ἀροτριῶ ἄρορα, καὶ ἄρουρα κατὰ πλεονασμὸν τοῦ υ.

Ἄρουρα ἡ γῆ παρὰ τὸ ἀροτριᾶσθαι. αἱ ἀρούραι.

Ἀροῦν, ἀρῶ, παρὰ τὸν ἄρεα τὸν σίδηρον, ὅτι σιδήρῳ τέμνεται ἡ γῆ διὰ τὴν ὕννιν. ἢ παρὰ τὸ ἀρεοῦσθαι τὴν γῆν, ἐν τῇ ἀρόσει τεμνομένην. ἄρουρα κυρίως ἡ ἠροτριασμένη γῆ, παρὰ τὸ ἀρῶ ἀρόσω, ἄρορα καὶ ἄρουρα, τὸ δὲ ἀρῶ παρὰ τὸ ἄρης, ὃ σημαίνει τὸ σίδηρον. σιδήρῳ γὰρ τέμνεται διὰ τῆς ὕννιος. διαφέρει δὲ γῆ καὶ ἄρουρα. γῆ λέγεται ἁπλῶς πᾶσα ἡ ξηρά. ἄρουρα δὲ ἡ πρὸς σπορὰν καρπῶν ἐπιτήδεια.

Ἄρουρα, παρὰ τὸ ἀραιοῦσθαι τὴν γεωργουμένην γῆν· κυρίως δὲ ἡ πρὸς σπορὰν καὶ ἄροσιν ἐπιτήδεια. ἢ παρὰ τὸ ἀρῶ τὸ ἀροτριῶ.

Ἁρπαγὴ καὶ ἁρπάγη διαφέρει. ὀξυτόνως μὲν ἁρπαγὴν τὴν αἰφνίδιαν καὶ μετὰ βίας ἀφαίρεσιν δηλοῖ. ἁρπάγη δὲ βαρυτόνως, ἡ ἔκτος τῶν φρέατων κάδους ἀφαίρουσα, ἤγουν ἐξαίρουσα [4]).

Ἁρπάσαι, ἀπαρέμφατον ἀορίστου πρώτου. δασύνεται. τὸ ε καὶ α πρὸ τοῦ ρ, ἐπιφερομένου του π δασύνεται. ἕρπω ἑρπετόν.

Ἅρπυια, ὄνομα θηλυκὸν, παρὰ τὸ ἁρπάζειν.

Ἁρπαλέως, ἁρπακτικῶς, ἀσμένως, ἡδέως, προσφιλῶς ἐπιθυμητικῶς.

Ἅρπη παρὰ τὸ ἅρπω, ἁρπάζω. ἅρπη σημαίνει τὴν δρεπάνην. ἄρπις δὲ τὸ ὑπόδημα παρὰ τὸ ῥάπτω, ῥάπτις καὶ ῥαπὶς, καὶ ὑπερθέσει ἄρπις.

Ἅρπυιαι, ἀνέμων εἶδος, παρὰ τὸ ἅρπω, ἁρπάζειν, ἢ δαίμονες ἢ ἄνεμοι ἁρπακτικοὶ, ἢ ὄρνεα ἁρπακτικά.

Ἀῤῥαβονίζω, ἐκ τοῦ ἀῤῥαβὼν ἀῤῥαβῶνος οἱονεὶ ἀῤῥαγών τις ἐστι· ἀφ' οὗ γὰρ ὁ ἀῤῥαβὼν, οὐ μετακινεῖται εἰς ἄλλον.

Ἀῤῥενικὸν, ἐκ τοῦ αἴρειν τὸ νῖκος.

Ἀῤῥενωπὸς, δύο ρρ, καὶ ὀξύνεται, καὶ τὸ ν ω μέγα. καὶ γὰρ ἄῤῥην ἄῤῥενος, καὶ τὸ ὢψ ὠπὸς, ὃ σημαίνει τὸ πρόσωπον· ἡ γενικὴ ὠπὸς, καὶ ἐξ αὐτοῦ ἀῤῥενωπὸς, ὁ ἄῤῥενα πρόσωπον ἔχων κατὰ συνεκδοχήν· ἤγουν ὁ ἀνδρεῖος καὶ δυνάμενος πρὸς ἔχθρον ἀντιταχθῆναι.

Ἄῤῥητον, ἀπευκτὸν, χαλεπὸν, παρὰ τὸν ῥήσω μέλλοντα.

Ἀῤῥίχων, ἐκ τοῦ ἀῤῥίχω ἓν ἀφαιρεῖσθαι μέλος. ἄῤῥιχοι δὲ λέγονται κόφινοι σύϊνοι, ἀρσενικῶς. Ἴωνες δὲ οἱ ἀνάῤῥιχοι, οἱ τὰ ἀναιροῦντα ἔχοντες, τουτ' ἔστι τὰ βελή. τὸ ἀναίρω συντάσσεται πτώσει αἰτιατικῇ καὶ δοτικῇ.

Ἀριδείκετος, ὁ λίαν ἐμφανὴς, παρὰ τὸ ἄρι ἐπιτατικὸν μόριον, καὶ τὸ δείκω τὸ δεικνύω.

Ἀῤῥωδεῖν, καὶ ὀῤῥωδεῖν διαφέρει, ἀῤῥωδεῖν τὸ καταφρονεῖν, καὶ τεθαῤῥηκέναι. ὀῤῥωδεῖν τὸ εὐλαβεῖσθαι.

Ἀῤῥωδεῖν καὶ ὀῤῥωδεῖν διαφέρει. καὶ ἔστιν ἐν ἀλλήλοις. τὸ μὲν γὰρ ὀῤῥωδεῖν, τὸ ο σημαίνει τὸ εὐλαβεῖσθαι, ἐξηγοῦνται τὴν λέξιν οὕτως. ὄῤῥος λέγεται ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὅν τινες ταῦρον λέγουσιν, ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀῤῥοπύγιον καλεῖται. οὐχ ὥς τινες ἀγνοοῦντες ὀρθοπύγιον. ἑτοίμως εἴρηται ὄρος ὢν τῆς πυγῆς καὶ οἷον ὀροπύγιον. οἱ δὲ εὐλαβούμενοι περί τινος πολλάκις καὶ τὰ ἄλογα [5]) τῶν ζώων ὑποστέλλειν εἴωθε τὴν οὐρὰν ὅταν εὐλαβῆται. εὐλόγως οὖν ἀπὸ τοῦ παρακολουθοῦντος τὸ ὀῤῥωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι.

Ἄῤῥωστος ἀῤῥωστοῦντος διαφέρει. ἄῤῥωστος μὲν γάρ ἐστιν ὁ νοσῶν. ἀῤῥωστῶν δὲ ὁ ἀδυνατῶν τι τελεῖν κατὰ τὰς ὀρέξεις. οὕτως Ἀριστοτέλης.

Ἄῤῥωστος, ἐκ τοῦ μὴ ἔχειν ῥῶσιν, ἤγουν ὑγιείαν.

Ἄῤῥωστος, παρὰ τὸ ῥῶ, ὃ σημαίνει τὸ ὑγιαίνω. γίνεται κατὰ παραγωγὴν ῥώζω, ὁ μέλλων ῥώσω, ῥωστὸς καὶ ἄῤῥωστος, ὁ ἐστερημένος τῆς ὑγιείας.

Ἄρσαντες ἁρμόσαντες, ἢ ἀρεσθέντες. ἀπὸ τοῦ ἀρέσαντες, ἄρσαντες.

---

1) cf. Etym. M. 2) F. οὐχ ῥήματα εἶπον. 3) Il. IX. cfr. Ammonium ibique Valcken. 154. 4) cfr. Ammonium. 5) περί — ἄλογα (Sic.)

Ἄρσαντες, ἐκ τοῦ ἀρῶ ἀρόσω, Αἰολικῶς ἦρσα, καὶ ἡ μετοχὴ ἄρσας, ἄρσαντος. ἢ ἐκ τοῦ ἁρμόζω, ἁρμῶ, ἥρμοσα, ἡ μετοχὴ ἁρμόσας, καὶ κατὰ συγκοπὴν ἄρσας.

Ἄρσην, ἀπὸ τοῦ ἄρδω καὶ μέλλοντα τοῦ ἄρσην, ὁ ἄρδων τὴν θήλειαν τῇ γονῇ. Ἐπαφρόδιτος δὲ παρὰ τὸ ἔρσι. πρακτικὸς γὰρ λέγεται ὁ ἄρσην κατὰ διάλεκτον, καὶ ἐτυμολογεῖται παρὰ τὸ ἔρδω, ἵν' ᾖ ὁ πρακτικός. οὕτως Ἡρώδης, ἐν τῷ περὶ γάμου καὶ συμβιώσεως.

Ἄρσην, παρὰ τὸ ἄρσαι ὅ ἐστι ποτίσαι. τοῦτο δὲ διὰ τὴν γονήν. ἄρδω ἄρσην.

Ἄρσιος, εἰς τὸ ἀσπάσιος.

Ἀρτηρία οἱονεὶ ἀρτερία, ἀπὸ τοῦ περιέχειν τὸ πνεῦμα καὶ τηρεῖν. δύναται γὰρ κατὰ μετάστασιν τοῦ ρ εἰς λ, οἷον ἀλτηρία, παρὰ τὴν ἄλυσιν [1]).

Ἄρτεμις. ἀερότεμίς τις οὖσα. ἡ τὸν ἀέρα τέμνουσα καὶ τὴν πορείαν αὐτῆς ποιουμένη. ἄρτεμις δὲ λέγεται ἡ σελήνη, ἢ παρὰ τὸ ἀτρέμη καὶ ὑγιῆ εἶναι αὐτήν. καὶ εἰς τὸ εὐφημισμόν. καὶ εἰς τὸ αἶκεν.

Ἄρτεμις, ἡ ὑγιὴς καὶ μὴ διεφθαρμένη. ἔστι δὲ ὄνομα κύριον βασιλίσσης Σκυθῶν.

Ἀρτεμίσιος, διὰ τοῦ ι. τὸ μι βραχὺ καὶ τὸ σι ἰῶτα, καὶ αὐτὸ μακρόν. τὰ γὰρ διὰ τοῦ ισιος καὶ ισια καὶ ισιον οὐδέτερον ἀποστρέφονται τὴν ει δίφθογγον. τουτέστιν ἀφροδίσιος, ἀφροδισία, ἀφροδίσιον.

Ἀρτάβη. τοῦτο μέτρον παρ' Αἰγυπτίοις ἐκλήθη. ἔστι δὲ ξεστῶν οβ [2]). ἐκ πολλῶν δὲ ἀκριβείας τοῦτο οὕτω συνήχθη. ἑβδομήκοντα γὰρ καὶ δύο ἄνδρες τότε τὸν πύργον ᾠκοδόμησαν, καὶ τὴν Βαβυλῶνα, ὅτε εἰς π [3]) γλώσσας ἡ μία συνῆλθεν, ὅθεν καὶ μέροπες ἐκλήθησαν διὰ τὴν μεμερισμένην φωνήν. τὸ δ' αὐτὸ καὶ ὁ μετρήτης. τὸ δὲ γομὸρ δεκατόν ἐστι τοῦ μεγάλου μέτρου τῆς ἀρτάβης, τουτέστι ξεστῶν πέντε.

Ἀρτηρία, οἷον ἀερτηρία τὶς οὖσα, ἐν ᾗ ὁ ἀὴρ τηρεῖται. πνεύματος γάρ ἐστι δεκτικὸν, ὥσπερ ἡ φλὲψ αἵματος. οὕτω Δίδυμος ὁ νεωτέρος. φησὶ ἰατρῶν παῖδες φλέβα αἵματος, ἀρτηρίαν δὲ πνεύματος ἀγγεῖον. ἡ ἀλτηρία τὶς οὖσα, ὅτι ἅλλεσθαι δοκεῖ πάλμους ποιοῦσα. οὕτω Σωρανός.

Ἄρτι καὶ ἀρτίως διαφέρει. ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίῤῥημα, καὶ πρὸ μικροῦ. τὸ δὲ ἀρτίως ἐπὶ τοῦ ἀπηρτισμένου τελείως ἔργου. τὸ μὲν γὰρ ἀρτίως σημαίνει αὐτὴν τὴν ὥραν. τὸ δὲ ἄρτι παρατατικόν.

Ἄρτιον ἐπίῤῥημα καιροῦ παρατατικον [4]). σημαίνει τὸ σῶον καὶ ὑγιὲς, καὶ γίνεται παρὰ τὸ ἀρτῶ, ἄρτιος καὶ ἄρτιον, τὸ δὲ ἀρτῶ παρὰ τὸ ἀρῶ, ὃ σημαίνει τὸ πλῆρες καὶ ὑγιές.

Ἄρτιος, σημαίνει τὸν ὑγιῆ καὶ πεπληρωμένον· γίνεται δὲ παρὰ τὸ ἀρτῶ τὸ ἑδραιῶ ἄρτιος, ὡς ἁρμόζω ἁρμόδιος. σημαίνει δὲ τὸ ἀρτῶ καὶ κρεμῶ.

Ἄρτιος ἀριθμος, ὁ δίχα ἤτοι εἰστεμνόμενον δύο ἴσα. οἷον, ὁ δύο τέμνεται εἰς δύο μονάδας. ὁ τέταρτος εἰς δύο δυάδας. ὁ ἕκτος εἰς δύο τριάδας. οὕτως ὁ ἑξάρτιος ἐστι τέλειος, πληροῦται γὰρ ἀπὸ τῶν ἰδίων μερῶν. μέρη δὲ αὐτοῦ ταῦτα. ἕκτον, τρίτον, ἥμισυ. ἐφ' ἑκάστου τούτων ὁ τέλειος οὗτος ἄρτιος ἐπληρώθη. ἔστι δὲ καὶ ἄρτιος ἀτελὴς καὶ ἄρτιος ὑπερτελὴς, καὶ ἀρτιάκις, ἄρτιος, καὶ ἀρτιοπέριττος, καὶ περισσάρτιος, καὶ τοιοῦτοι τινὲς ἀριθμοί. ἐκεῖνο δὲ ἰστέον, ὅτι οἱ πατέρες ἄρτιον εἴπωσι τὸ ὁλόκληρον, καὶ ἀνελλιπὲς σημαίνουσι.

Ἄρτος, παρὰ τὸ αἴρω τὸ προσφέρω, ὁ κατ' ἑκάστην τῷ σώματι ἡμῶν προσφερόμενος.

Ἄρτος, ἐκ τοῦ αἴρω τοῦ σημαίνοντος τὸ φέρω, ἄρκτος, ἦρκα, ἦρμαι, ἄρτος. σημαίνει δὲ τὸν ἐσθιόμενον ἄρτον, καὶ τὴν σάρκα. ἐξ οὗ καὶ τὸ, δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ.

Ἄῤῥωστος, παρὰ τὸ ῥῶ, τρίτης συζυγίας τῶν περισπωμένων, ὃ σημαίνει τὸ ὑγιαίνω, οὗ ὁ μέλλων ῥώσω, ἔῤῥωσα. παρὰ δὲ τοῦτο τὸ ῥῶ ὄνομα ῥῶσις. καὶ παρὰ τὸ ῥῶ, καὶ τὸ, τεύχεσιν ἐῤῥώσαντο [5]). παρέπεται γὰρ τοῖς ὑγιαίνουσι καὶ τὸ ἰσχύειν, καὶ τὸ ὁρμᾶν. δύναται καὶ παρὰ τὸ ῥώω, οὗ ὁ μέλλων ῥώσω.

Ἀρτύνας, ἐκ τοῦ ἀρτύω, τοῦτο παρὰ τὸ ἀρτῶ, τοῦτο παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ὁ μέλλων ἀρώσω, οἱ Αἰολεῖς ἄρσω, καὶ ἄρτος ὄνομα ῥηματικόν. ἐκ δὲ τοῦ ἀρτῶ ἀρτίζω καὶ καταρτίζω, καὶ ἀρτύω.

Ἀρτύω καὶ ἀρτυσία ὁ νόστος τοῦ ἅλατος οἱονεὶ ἁλυτίω καὶ ἁλυτισία, καὶ κατὰ μετάπλασιν ἀρτύω καὶ ἀρτυσία.

Ἀρύβαλλον, τὸ μαρσίππιον καὶ βαλάντιον, παρὰ τὸ ἀρύεσθαι καὶ βάλλειν, ἀρύβαλλος τὸ βαλάντιον, ἀπὸ τοῦ ἐρύειν τὰ βαλλόμενα ἤτοι βαστάζειν.

Ἀρχιτέκτων, παρὰ τὸ ἄρχω καὶ τὸ τέκτων. τὰ δὲ παρασύνθετα διὰ τοῦ ι γράφεται, οἷον, ἀρχιστράτηγος, ἀρχιτέκτων. τὸ τέκτων παρὰ τὸ τεύχω τὸ κατασκευάζω.

Ἀρχὸς ὡς ἀπὸ τοῦ ἄγω ἀγὸς ὁ ἡγεμων. καὶ ὁ θεολόγος, καὶ ἐκ τῶν ἐπῶν, καὶ γὰρ ἀγοῦ πίπτοντος ὅλος στρατὸς ἐς χθόνα πίπτει. οὕτω καὶ ἀπὸ τοῦ ἄρχω ἀρχός.

Ἄρχων, ὁ ἀρχὴν ἔχων, ἤγουν πάντα ἔχων, ἢ παρὰ τὸ ἄρχειν καὶ ὅλα ἔχειν, ἤγουν καὶ κρατεῖν ἄνευ λόγου.

Ἀρῶ, εἰς τὸ ἀσπάσιος, καὶ ἀραρύιας, καὶ ἄωρτο, καὶ ἀρητῆρα, καὶ ἐνειρω καὶ ξυνωρίς, καὶ ὄργανον.

Ἀρωγός, παρὰ τὸ ἀρήγω τὸ βοηθῶ. ἐξ οὗ καὶ Ἄρης ὁ θεὸς ὁ βοηθῶν, ἀρωγὸς τροπῇ τοῦ η εἰς ω. ὡς ἐν τῷ ἁμαρτηλὸς, ἁμαρτωλὸς. καὶ ὀξύνεται. τὰ εἰς ος ἀρσενικὰ εἴτε φύσει εἴτε θέσει μακρᾷ παραλήγεται, μὴ διὰ τοῦ γ δισσοῦ ὀξύνεται, εἰ μὴ κύρια ὑπάρχει. οἷον, πελαργὸς, ἀρωγὸς, βροτολοιγός.

Ἀσάμινθος, πύελος, παρὰ τὴν ἄσην, ὅ ἐστι τὸν ῥύπον μειύθειν, ἤγουν μειοῦν καὶ καθαίρειν. ἢ παρὰ τὴν τοῦ σώματος μειύθειν καὶ ἐλαττοῦσθαι. Ὅμηρος [6]).

Ἄσβεστος, ἀκατάπαυστος· μεταφορικῶς ἀπὸ τῶν ἀψύχων εἰς ἔμψυχα. ἀπὸ γὰρ τοῦ πυρὸς ἐπὶ τὸν γέλωτα μετήνεκται. σημαίνει δὲ δύο, τὸ φῶς τὸ μὴ σβεννύμενον, καὶ τὴν ἐκ λίθων καιομένων σποδόν.

Ἀσέλγεια ἐκ τοῦ ἀσελγὴς· τοῦτο παρὰ τὸ θέλγω τὸ ἀπατῶ, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α. οἱ δὲ λέγουσιν ἀπὸ Σέλγης τῆς πόλεως τινὸς, ἀφ' οὗ οἱ ἄνθρωποι κακῶς διακείμενοι ἀλλήλους ἐκίνουν μετὰ τοῦ ἐπιτατικοῦ α, ἐπὶ πολὺ ἀσελγαίνοντες.

Ἀσθένεια, ἐκ τοῦ μὴ ἔχειν σθένος ἤγουν δύναμιν.

Ἄσεμνα, ἄπρεπα, ἐκ τοῦ σεμνός· τοῦτο παρὰ τὸ σέβω. ὀξύνεται, τὰ εἰς μνος δισύλλαβα, εἰ ἔχει τὴν πρὸ τέλους φύσει μακρὰν μονογενῆ ὄντα βαρύνεται,

---

1) corrigenda quaedam. 2) 72. 3) i. e. 80. 4) (Sic.) 5) Od. XXIV, 69. 6) Il. X, 576. et Sch.

τριγενῆ δὲ ὀξύνεται. ο῟ον ὕμνος, σκύμνος. τὸ μὲν σεμνὸς τριγενὲς ὂν ὀξύνεται.

Ἀσηκρήτης [1]), συγγραφεὺς, ὁ τοῖς τῶν κρατούντων μυστηρίοις ὑπηρετούμενος. οὕτω γὰρ παρὰ τῇ Αὐσονίδι διαλέκτῳ τὸ ἀσηκρήτης ὄνομα ἐπὶ τῶν μυστηρίων μεθερμηνεύεσθαι βούλεται.

Ἀσελγαίνειν, τὸ παρὰ φύσιν ταῖς γυναιξὶ μίγνυσθαι. καταχρηστικῶς δὲ ὁπωσδήποτε ἀκολασταίνειν. εἴρηται δὲ ῥύπος [2].

Ἀσσάριον τοῦ ἀργύρου καλεῖται λεπτῶν ξ. ἀσσάριον σταθμὸς γραμμάτων ς.

Ἆσθμα, πνοὴ, φύσημα, ὄνομα ῥηματικόν. παρὰ τὸ ἄω ἐστι πλεονασμῷ τοῦ θ. ἢ παρὰ τὸ ἆμμα πέπονθεν ἐπενθέσει τοῦ θ. τὸ γὰρ ἀνάλογον ἦν ἆσμα. ὥσπερ καὶ χθὼν ὄνομα, χῶ τὸ χωρῶ, χὼν, καὶ κατ᾿ ἐπένθεσιν τοῦ θ χθών· ὥσπερ καὶ τὸ χθαμαλὴ παρὰ τὸ χαμαὶ, χαμαλὴ καὶ χθαμαλή. καὶ τὸ φθέγγεσθαι παρὰ τὸ φῶ, τὸ εἰς φῶς τὰ τοῦ νοῦ [3]), οὕτω δὲ ἔχειν φαμὲν, καὶ τὸν πόρθμον. παρὰ γὰρ τὸν πόρον.

Ἀσινὴς, καθαρὸς, ὁλόκληρος, ὁ μὴ πλεονάζων, μήτε ἐν δέοντι τοῦ σώματος ἀβλαβής· ἐκ τοῦ σίνω. καὶ εἰς τὸ ερισίβη· καὶ ζιζάνιον.

Ἀσίω, ὄνομα πολεως γενικῆς, ὡς εὐμελίω. ἡ εὐθεῖα Ἀσίας. ἐκλήθη οὖν Ἀσίας ὁ λειμὼν, ἀπὸ ἀσίου τοῦ κότυος, ὃς ἦν βασιλεὺς Λυδίας. καὶ κλίνεται Ἀσίας, ἀσίου, ὡς κοχλίας, κοχλίου. καὶ τὸ Ἰωνικὸν Ἀσίεω. ὁ κανών· οἱ Ἴωνες τὰς εἰς ου γενικὰς, τὰς ἀπὸ τῶν εἰς ας καὶ εἰς ης γινομενας, διὰ τοῦ εω προσφέρουσι, οἷον, Ὀρέστης, ὀρέστου, ὀρέστεω, Ἀτρείδης, ἀτρείδου, ἀτρείδεω, ἕταρον μεγαθύμου Ἑρμείεω. οὕτω καὶ ἀσίεω. ὁ τονός. αἱ δὲ [4]) τοῦ εω Ἰωνικαὶ γενικαὶ, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν ὦσι, προπαροξύνονται. χωρὶς εἰ μὴ κατὰ πάθος ὦσιν· οἷον Ὀρέστης, ὀρέστου, ὀρέστεω, βορέεω καὶ κατὰ συγκοπὴν βορέω. ὁμοίως καὶ ἐϋμμελίω Πριάμοιο [5]). οὕτως οὖν καὶ Ἀσίας, ἀσίου, ἀσίεω, καὶ κατὰ συγκοπὴν ἀσίω ἐν λειμῶνι [6]). καὶ ὅμως οὐ προπαροξύνεται ἐπειδὴ κατὰ συγκοπήν ἐστί.

Ἀσκελὲς, τὸ ξηρὸν, παρὰ τὸ ἄγαν ἐσκληκέναι, ὅθεν καὶ σκέλος εἴρηται τὸ ἄγαν ἐσκληκός. καὶ Ἀσκληπιὸς, ὁ μὴ ἐῶν ἐσκληκέναι τῶν θεραπευομένων τὰ σώματα.

Ἀσκαρδαμύκταν, ἐπικαλύπτω ὀφθαλμῷ χάριν τοῦ μύειν.

Ἄσκησις, διὰ τὸ ὡς ἀσκὸν νεκροῦσθαι τὸν ἀσκητήν· ὅρος δέ ἐστιν αὐτὸς ὁ πόνος καὶ ὁ κόπος τῆς ἀσκήσεως.

Ἀσκητὴς παρὰ τὸ ἀσκῶ ἀσκησω, σημαίνει δὲ τὸ πονῶ, ὁ τῆς ἀσκήσεως πόνος. καὶ εἰς τὸ ἥκειν.

Ἀσκὸς, ἐκ τοῦ σχίζω, μετὰ τοῦ στερητικοῦ α. οἱονεὶ ὑγιὴς· ὁ μὴ ἐσχισμένος.

Ἀσκληπιὸς, ὁ τὰ ἄγαν σκληρὰ ἤπια ποιῶν, τοῦ α ἐπίτασιν σημαίνοντος. ἢ ὁ τὰ σκελὴ καὶ πᾶν τὸ σῶμα ὑγιὲς ἔχων, καὶ ἀνώδυνον. οὕτως Ἡρωδοτός.

Ἀσκληπιὸς, ὄνομα ἰατροῦ, παρὰ τὸ τὰ ἀσκελὴ ἤπια ποιεῖν. ἀπὸ μέρους δὲ ὅλον τὸ σῶμα. ἢ ὁ τὰ ἄγαν σκληρὰ ἤπια ποιεῖ. καὶ εἰς τὸ φίλος, καὶ ὑγιῆ καὶ ἀνώδυνον.

Ἀσκαλωνίτης, διὰ τοῦ ι γράφεται, καὶ πάντα τὰ τοιαῦτα. πολίτης, ἐπαλξίτης [7]), μυλίτης εἴγε διδάσκει καὶ τὸ πολητίτης, μυθητίτης, μεμφίτης, ναυκρατίτης. καὶ τὰ παρακείμενα τούτοις θηλυκὰ παρώνυμα εἴτε αγιλ καὶ τὰ εἰς της βαρυτονα ἐνὶ φωνήεντι παραληγόμενα, ἑρμήτης, ἀγρότης, πρεσβύτης. ἐν πλεονασμῷ γὰρ τὰ τοιαῦτα ἐστὶ τὸ ι, ἀγροίτης, δαμοίτης, θυμοίτης.

Ἀσκῶ, κατασκευάζω, κοσμῶ, ὑφαίνω, γυμνάζω.

Ἀσκαλαβώτης. ζωΰφιον ἔοικεν εἶναι· ὃ σημαίνει τὸ ἡσύχως [8]) καὶ τὸ βῶ ῥῆμα, ἀσκαλαβώτης. ἢ ὅτε ἀσχάλλουϊ τῇ δημήτρι ἐπεβόησεν ἡ μητὴρ αὐτοῦ· ἀσχαλαβώτης τροπῇ τοῦ χ εἰς κ ἀσκαλαβώτης. οὕτως Ἐπαφρόδιτος.

Ἀσκωλίαζω καὶ ἀσκωλίζω τὸ χωλαίνω, καὶ βαδίζω δι᾿ ἑνὸς κώλου.

Ἀσπάζεται, ἐκ τοῦ σπῶ τὸ κατασπῶ, κατὰ στέρησιν τοῦ μὴ ἀποσπᾷν. ὁ γὰρ διαλυόμενος καὶ ἐχθαίνων ἀποσπᾷ ἑαυτὸν ἀπὸ τῶν φιλούντων αὐτόν.

Ἀσπάζω ἐστι ῥῆμα σπῶ, καὶ σημαίνει τὸ διαχωρίζω. ἐξ αὐτοῦ γίνεται σπάζω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσπάζω, τὸ μὴ διαχωρίζεσθαι, ἀλλ᾿ ὑπὸ τῆς φιλίας ἡνῶσθαι.

Ἀσπάλαθρος, εἶδος ἀκάνθης. εἴρηται παρὰ τὸ σπῶ, σπάλαθρος καὶ ἀσπάλαθρος, οὕτως ἀμάραντος εἰς τὸν Θεόκριτον. Ἐπαφρόδιτος δὲ παρὰ τὸ σπαλιεύειν ἐτυμολογει, ὅ ἐστι ξύειν. ἵν᾿ ᾖ σπάλαθος καὶ ἀσπάραθρος [9]).

Ἀσπαλιεὺς, ὁ ἁλιεὺς, παρὰ τὸ ἀποσπᾷν τοὺς ἰχθύας τῆς θαλάσσης, ἤγουν ἐκ τῆς ἁλὸς· οἷον σπῶ, σπαεὺς, καὶ πλεονασμῷ τῆς λι συλλαβῆς σπαλιεὺς. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀσπαλιεύς [10]).

Ἀσπάραγον, παρὰ τὸ ἄγαν σπᾶσθαι, ὅ ἐστι διατείνεσθαι.

Ἀσπάραγος, κυρίως ὁ ἐπὶ ἐλείου ἢ ὀρείου μὴ σπειρόμενος. οὕτως Ἡρωδ.

Ἀσπάσιος, ὄνομα ἀρσενικόν· τὸ θηλυκὸν ἀσπασίη. λέγεται ἐπιῤῥηματικῶς ἀσπασίως. καὶ ῥῆμα ἀσπάζομαι· καὶ ἀσπάζω, ῥηματικὸν ὄνομα ἀσπαστὸς καὶ οὐδέτερον ἀσπαστὸν, ὁ μέλλων ἀσπάσω, ἀφ᾿ οὗ καὶ ἀσπάσιος. ἐστι παρασύνθετον. τὸ γὰρ ἀσπάζομαι σύνθετόν ἐστιν, ἀπὸ τοῦ σπῶ ῥήματος, ἀφ᾿ οὗ τὸ σπῶμαι καὶ παράγωγον σπάζω. ὡς φρῶ φράζω, βῶ βάζω· καὶ προσῆλθεν ἡ α ἐπίτασις εἰς τὸ ἀσπάζω [11]), καὶ ἐποίησεν ἀσπάζω. τὸ γὰρ ἐπισπᾶσθαι ἐστὶ τὸ ἀσπάζεσθαι. ἡ διὰ τοῦ ιος παραγωγὴ ἀπὸ μέλλοντος τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξειαν. ὀρθώσω, ὀρθώσιος, αἰνήσω αἰνησιος, ἄξω, ἄξιος, ἀρῶ τὸ ἁρμόζω, ἄρσω ἄρσιος, ἀρκέσω ἀρκέσιος, καὶ μετὰ τοῦ ι ἀρκείσιος, ἄζω ἄσω ἄσιος, καὶ κατ᾿ ἀντίθεσιν ὅσιος. οὕτως οὖν καὶ ἀσπάζω ἀσπάσω ἀσπάσιος, καὶ θαυμάζω θαυμάσω θαυμάσιος. ὀξυτονα δὲ ἀνεψιὸς, δεξιός. τὸ δὲ πλησίος ἀπὸ τοῦ πλητὸς ἔχομεν τὴν χρῆσιν [12])· ὁ γὰρ ἄπλητος ἀντὶ τοῦ ἀπροσπέλαστος, πλητὸς, πλησίος, ὡς ἄμβροτος ἀμβρόσιος, τροπῇ του τέλους. οὐ γέγονε δὲ τὸ πλησίος παρὰ μέλλοντα. οἱ γὰρ Λάκωνες τὰ παρὰ μέλλοντα εἰς τὸ τ οὐ τρέπουσιν, ἀλλ᾿ ἀπὸ τοῦ τ εἰς τὸ σ,

---

1) vox latina a secretis. 2) (Sic) reliqua omissa sunt. Vid. Etym. M. h. v. 3) vid. Etym. M. 4) δὲ F. διά. 5) Il. IV, 165. et alibi. 6) Il. II, 461. ibiq. Schol. 7) cf. Etym. M. v. ἐπαλξίτης. 8) (Sic) omissa quaedam restituenda ex Etym. M. h. v. 9) σπάλαθος — ἀσπαρ. haec ad sequentia pertinere videntur. 10) Ἀσπαλιεὺς etc. Emendetur ex hoc articulo Etym. M. 11) εἰς τὸ ἀσπάζω (Sic.) L. σπάζω, nisi pro superfluis habenda. cfr. omnino Etym. M. 12) ἔχομεν τὴν χρῆσιν (Sic.) Etym. M. ἔχει μὲν τὸν χρόνον.

ἐνιαυτὸς, ἐνιαύσιος ἐνιαύτιος λέγουσιν· ὑπόμνησιν διδόντες τοῦ προτέρου τ. τὸ δὲ πλούσιος πλήτιος [1]) λέγουσιν, ὥστε οὐ παρὰ τὸν μέλλοντα.

Ἄσπετος, ἐκ τοῦ ἐπασπῶ. σπετὸς ὁ πολὺς, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἄσπετος.

Ἄσπετος, ὁ ἀπαρακολούθητος καὶ πολύς.

Ἄσπετον, τὸ πολύ. εἴρηται παρὰ τὸ α στερητικὸν μόριον καὶ τὸ σπῶ.

Ἀσπίζω, εἰς τὸ ὑπερασπιστής.

Ἀσπὶς σημαίνει δύο, τὸ ἑρπετὸν καὶ τὸ ὅπλον· καὶ τὸ μὲν ἑρπετὸν ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος τοῦ ὅπλου. οὕτω γὰρ συστρέψαν ἑαυτὸ, πολεμεῖ καὶ μάχεται τὸ ὅπλον [2]). γίνεται δὲ τὸ ὅπλον παρὰ τὸ σπίζω, ὃ σημαίνει τὸ ἐκτείνω καὶ μηκύνω, ὁ μέλλων σπίσω, σπὶς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσπὶς, τὸ μὴ εἰς ἔκτασιν μεμηκυμένον, ἀλλ' εἰς περιφέρειαν κεκλωμένον. ἀσπὶς ἀσπίδος. ὁ κανὼν, τὰ εἰς ις θηλυκὰ διὰ τοῦ δος κλίνεται. διάτι ὀξύνεται; τὰ εἰς σπις θηλυκὰ δισύλλαβα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχονται. βαρύνονται. οἷον. τράμπις τράμπιδος, ἔστι δὲ βαρβαρικὸν ὅπλον, θέσπις θέσπιδος, κάλπις κάλπιδος· εἰ δὲ ἀπὸ φωνήεντος ὀξύνονται· οἷον ἀσπὶς, ἐλπὶς, ἐμπὶς, σημαίνει δὲ τὸν κώνωπα.

Ἀσπὶς, τὸ ὅπλον. σπῶ ἔστι ῥῆμα, οὗ τὸ παράγωγον σπίζω, ἀφ' οὗ σπίδος ὁ μικρὸς. καὶ σπίδος τὸ οὐδέτερον, ἀπὸ δοτικῆς. ἀσπίδες οὖν εἴρηνται δι' ἀσπίδος τοῦ μικροῦ πεδίοιο [3]). ἀπὸ οὖν τὸ σπῶ σπίζω, σπὶς ῥηματικὸν ὄνομα, καὶ μετὰ τῆς α στερήσεως ἀσπὶς, ἀλλὰ περιφερὴς καὶ οὐ μακρὸς· ἐπὶ δὲ τοῦ ἑρπετοῦ δύναται κατ' ἐπίτασιν τοῦ α. οὕτω Φιλόξενος.

Ἀσπὶς, παρὰ τὸ σπῶ σπίζω τὸ ἐκτείνω. στερητικὸν δὲ τὸ α. καὶ κλίνεται ἀσπίδος. ὁ κανὼν, τὰ εἰς ις ὀνόματα εἴτε ἁπλᾶ εἴτε σύνθετα ἔχοντα τὸ π διὰ τοῦ δος κλίνεται. ἁπλᾶ μὲν οἷον κρηπὶς κρηπῖδος, σύνθετα δὲ οἷον ῥιψάσπις ῥιψάσπιδος.

Ἀσπόρως, ἐκ τοῦ ἄσπορος. τοῦτο ἐκ τοῦ σπείρω, σπορὰ καὶ μετὰ τοῦ στερητικοῦ α ἄσπορος. διάτι ἀναβιβάζει τὸν τόνον; τὰ γὰρ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκὰ εἰς ος συντεθειμένα ὀνόματα ἀναβιβάζουσι τὸν τόνον. οἷον τιμὴ ἄτιμος, ὥρα ἄωρος, κεφαλὴ ἀκέφαλος, σπορὰ ἄσπορος.

Ἄσσων, εἰς τὸ ἀγη ξίφος, καὶ ἀσύφηλος καὶ ἄττειν.

Ἄσσων, εἰς τὸ ἐπασσυτερόν.

Ἀστεμφὴς, καὶ ἀστεμφέως, ἀμετακινήτως καὶ ἰσχυρῶς παρὰ τὸ στέμμα, ὃ σημαίνει τὸ κινεῖν συνεχῶς. οὕτω μέμνηται Αἰσχύλος. ἀστεμβὴς οὖν ὁ ἀμετακίνητος, καὶ ἀστεμφὴς, οὕτω Φιλόξενος. ἢ παρὰ τὸ στρέφω ἀστρεφὴς καὶ ἐλλείψει τοῦ ρ καὶ πλεονασμῷ τοῦ μ ἀστεμφὴς καὶ ἀστεμφέως.

Ἀστάρτη, ὄνομα ἐστὶν εἰδώλου, λέγεται δὲ ἀπὸ μεταφορᾶς τοῦ ἄστρου. λοιπὸν παρὰ τὸ ἄστρον ἀστράτη καὶ ἐν ὑπερβιβασμῷ ἀστάρτη. ἄστρον γὰρ ἐν τῷ οὐρανῷ ἀνάπλασμα, ἀφ' οὗ καλεῖται τὸ εἶδος ἔχων ὄνομα ἄστρου.

Ἀστεμφὴς, ἀμετακίνητον, ἰσχυρῶς. ἐκ τοῦ στρέφω στρεφὴς καὶ μετὰ τοῦ στερητικοῦ α ἀστρεφὴς καὶ μεταθέσει τοῦ ρ εἰς μ ἀστεμφής.

Ἀστέρος, εἰς τὸ ἄστρον.

Ἀστὴρ, παρὰ τὸ αἴθω τὸ λάμπω αἰστὴρ καὶ ἀποβολῇ τοῦ ι ἀστήρ. ἢ ὁ μὴ στάσιν ἔχων.

Ἀστεῖος, ὁ ἐν ἄστει διατρίβων. λέγεται δὲ καὶ ὁ διὰ τὸ ἦθος χρηστὸν ἐπαινούμενος. ὡς ἦν τὸ παιδίον ἀστεῖον τῷ θεῷ. λέγεται καὶ ὁ γελωποιός.

Ἀστραπὴ, καὶ κεραυνὸς διαφέρει. ἀστραπὴ μὲν γὰρ ἡ προλάμπουσα καὶ προφθάνουσα τὴν βροντήν· κεραυνὸς δὲ ὁ ἐξ οὐρανοῦ κατερχόμενος καὶ καίων τὴν γῆν, ἤτοι πῦρ ἢ χάλαζα.

Ἀστραπὴ, παρὰ τὸ στεροπος, καὶ Ὅμηρος ἐκάλεσεν ἀντὶ τοῦ ὀφθαλμοῦ λάμποντος. ὦπες γὰρ ὀφθαλμοὶ λέγονται, παρὰ τὸ φαίνειν τὴν ἀστραπὴν, ὡς ὀφθαλμοὺς οὐρανίους, ἤγουν τοὺς ἀστέρας. διὰ τὸ καὶ τὴν ὀνομασίαν ἔχειν ἤτοι φῶς ἀπόῤῥηξις. συγκοπῆς γὰρ γινομένης τῶν νεφῶν μετὰ τοῦ ὕδατος ἐν τῷ ἀέρι ἀποτελεῖται ἡ ἀστραπὴ ἅμα τῇ βροντῇ.

Ἀστραπὴ, παρὰ τὸ ἀστράπτειν. τοῦτο παρὰ τὸ ἄστρον. τοῦτο παρὰ τὸ στερᾶς [4]) ἄττειν ἐν τῷ λάμπειν.

Ἀστὴρ, παρὰ τὸ ἄστατον ἔχειν τὸν δρόμον. ἢ παρὰ τὸ ἵστημι στήσω. κλίνεται δὲ ἀστὴρ ἀστέρος. σεσημείωται τὸ πατρος.

Ἀστιβητος, ἀπεριπάτητος, ἢ ἀδιάβατος, ἀπὸ τοῦ στείβω ὁ μέλλων δεύτερος στιβῶ. καὶ μετάγεται μὲν εἰς ἐνεστῶτα καὶ γίνεται στιβῶ στιβησω, ἐστίβηκα ἐστίβημαι, ἐστίβησαι, ἐστίβηται, στιβητὸς καὶ ἀστίβητος μετὰ τοῦ στερητικοῦ α. τὸ δὲ στιβῶ παρὰ τὸ στείβω. συντάσσεται δὲ μετὰ αἰτιατικῆς.

Ἄστικτος, ὁ ἀποίκιλος, ἐκ τοῦ στίβω τὸ ποικίλλω.

Ἀστράγαλος, παρὰ τὸ ἀστραβῆ καὶ ὀρθὴν φυλάττειν τὴν βάσιν τοῦ πόδος.

Ἀστραπὴ, παρὰ τὸ ἀστάτως καὶ ῥᾷον παύεσθαι· ἢ παρὰ τὸ ἀστέρος ὀπὴν ἔχειν, ἤγουν διάπυρος ἀστήρ.

Ἀστράπτω, ἐκ τοῦ ἀστεροπὴ, τοῦτο ἐκ τοῦ ἀστράπτω, τοῦτο ἐκ τοῦ ἀστὴρ ἀστέρος, καὶ τοῦ ὄπτω ἀστεροπτὴ καὶ ἀποβολῇ τοῦ τ ἀστεροπὴ καὶ ἐξ αὐτοῦ κατὰ παραγωγὴν ἀστεράπτω καὶ κατὰ συγκοπὴν ἀστράπτω.

Ἀστὴρ, καὶ ἄστρον διαφέρει. ἄστρον γάρ ἐστιν ὅλον τὸ ζώδιον, τὸ ἐκ πολλῶν ἀστέρων συνεστηκὸς, οἷον ἄρκτος [5]), ὁ ὠρίων καὶ τὰ παραπλήσια. ἀστὴρ δὲ ἕκαστον τῶν ἐν τῷ ζωδίῳ ὑπαρχόντων. ὡς ὅταν λεγομεν, τὴν ἄρκτον ἐξ ἀστέρων συγκεῖσθαι.

Ἀστράγαλος, ἀπὸ τοῦ ὀρθὴν καὶ ἀστραβῆ φυλάσσειν τὴν βάσιν τοῦ ποδὸς. πλεονασμῷ τοῦ ρ ἀστράγαλος, οὐ πρὸς τὸ μένειν καὶ ἑστάναι γεγόνως, ἀλλὰ πρὸς τὸ κινεῖσθαι. ἐπὶ δὲ τῶν ἄλλων ὀστέων τῶν ἐν τῷ νώτῳ, παρὰ τὸ ἐμπεπάρθαι καὶ μὴ στρέφεσθαι μηδὲ κινεῖσθαι. ἀστράγαλος τὸ τῶν ποδῶν σφυρόν. καὶ σφόνδυλοι δὲ ὑπὸ τοῦ ποιητοῦ ὠνομάσθησαν. ἐκ δέ μοι αὐχὴν ἀστραγάλων ἐάγη [6]). εἴρηται δὲ ἀστράγαλος ἀστράβαλός τις ὢν, καὶ ἀστραβῆ τὸν πόδα ἢ τὴν ῥάχιν φυλάσσειν, καὶ τροπῇ τοῦ β εἰς γ ἀστράγαλος, ὁ πρὸς κίνησιν καὶ οὐχὶ πρὸς τὸ ἑστάναι γεγονώς.

Ἀστερόεις αἱματόεις διφθόγγῳ, καὶ πάντα τὰ τοιαῦτα. ἡ γὰρ γενικὴ ἀστερόεντος, αἱματόεντος, τὸ οὐδέτερον ἀστερόεν, αἱματόεν. αἱ δὲ διάλεκτοι τρέπουσι τὴν ει δίφθογγον εἰς η ἀστερόης, αἱματόης.

---

1) (Sic.) Exciderunt quaedam restituenda ex Etymolog. M. 2) aliena sunt. 3) δι' ἀσπίδος — πεδίοιο (Sic) male ut et antecd. cfr. Il. XI, 753. 4) vel στεῤῥῶς. 5) Cfr. Schol. ad Il. IV, 75. et v. 5. 6) Od. XI, 65. cf. Schol. ad Od. X, 560. Ex hoc articulo Etym. M. emendari potest.

Ἀστρολόγος ἀστρονόμου διαφέρει. ἀστρονόμος μέν ἐστιν ἡ κατάλυσις τῶν ἀστέρων. ἀστρολόγος δὲ, ἡ, τὰ ἐκ τῶν κινήσεων ἀποτελέσματα, δηλοῦσα ἐπιστήμη.

Ἀστρονόμος, ἀστρῶν διανομεύς.

Ἀστρονόμος, ὁ τὴν κίνησιν τῶν ἄστρων γινώσκων. ἀστρολόγος, ὁ ἐκ τεκμηρίων ἡλίου καὶ σελήνης ἐπιστάμενος τὶ γίνεται.

Ἄστρον, παρὰ τὸ αἴθω τὸ λάμπω, ὁ μέλλων αἴσω, αἴστρον, καὶ ἀποβολῇ τοῦ ι ἄστρον. ἄστρον ἀστέρος διαφέρει. ἄστρον μὲν τὸ ἐκ πολλῶν ἀστέρων συνιστάμενον σχῆμα, ἤγουν ὅλον τὸ ζώδιον [1]). ἀστὴρ αὐτὸς ὁ λάμπων, ἤγουν ἕκαστος τῶν ἐκ τῶν ζωδιῶν ὑπαρχόντων. ὡς ὅταν λέγομεν τὴν ἄρκτον ἐξ ἀστέρων συγκεῖσθαι.

Ἄστυ, παρὰ τὸ ἄνω ἵστασθαι. οἱ γὰρ ἀρχαῖοι ἐφ' ὑψήλου τόπου τὰς πόλεις ἐποίουν. διαφέρει δὲ ἄστυ καὶ πόλις. πόλις λέγεται ὁ τόπος καὶ οἱ κατοικοῦντες, καὶ τὸ συναμφότερον. ἄστυ δὲ ὁ τόπος μόνον, καὶ Ὅμηρος, Φράζε μοὶ ὅπως πόλιν καὶ ἄστυ σαώσεις. ἐξ αὐτοῦ γίνεται ἀστεῖος ὁ πολίτης.

Ἀστεῖον, πολιτικόν.

Ἄστυ, τριχῶς λέγεται, αὐτὸ τὸ χώριον, καὶ ὁ ἐν αὐτῷ ὄχλος, καὶ τὸ συναμφότερον [2]). ὅθεν καὶ πόλις ἐτυμολογεῖται, διὰ τὸ μὴ γωνίαν ἔχειν, ἀλλ' ὑπερφερῆ εἶναι.

Ἄστυνος, ὁ πένης, ἐκ τοῦ μὴ ἔχειν στάσιν. οὕτω Σελεῦκος.

Ἀσύφηλον, ἄτιμον ἢ ἀπαίδευτον, ἀδόκιμον καὶ ἀνόητον, καὶ Ὅμηρος, ὁππότ' ἐκείνου μνήσομαι ὅς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔλεξεν [3]). ἔστι δὲ παρὰ τὸ ἄσσω ὁ σημαίνει τὸ βλάπτω καὶ τὸ φηλῶσαι, ὃ σημαίνει τὸ δηλωσαι, καὶ ἀπατῆσαι, ἐξ οὗ καὶ φῆλος ὁ ἀπατέων. καὶ φήλικτα σύκα τὰ ὠμὰ μὲν ὄντα, τῇ δὲ ἰδέᾳ πέπειρα. καὶ ὥσπερ παρὰ τὸ σώσω Σωσικράτης, Σωσίβιος, ἀρκέσω Ἀρκεσίλαος, οὕτω καὶ παρὰ τὸ ἄσω καὶ τὸ φηλὸς γίνεται ἀσίφηλος καὶ ἀσύφηλος, ὡς δίφρος δύφρος, καὶ τριφάλεια τρυφάλεια. ἢ παρὰ τὸ σόφος γίνεται σόφηλος, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσόφηλος, καὶ μεταβολῇ τοῦ ο εἰς υ, ὡς ἄγορος ἄγυρος, γίνεται ἀσύφηλος.

Ἄσυλος, ἀπὸ τοῦ ἄσω μέλλοντος, δηλοῦν τὸ βλάπτω.

Ἀσύῤῥοι, καὶ Ἀσύῤῥιοι τὸ γένος εἴρηνται, ἤγουν τὸ ἔθνος, παρὰ τὸν Ἀσσάρακον τοῦ ἔθνους ἐπικρατήσαντα. ἵν' ᾖ ἄσσατος καὶ ἐκβολῇ τοῦ κ, καὶ τροπῇ εἰς ρ ἄσσαρος [4]). καὶ τροπῇ τοῦ α εἰς υ ἄσσυρος, ὡς μάθω μύθω· καὶ κατὰ παράβασιν ἀσσύριος. οὕτως Ἐπαφρόδιτος. καὶ δοκεῖ καλεῖσθαι ἀσσυρίους τοὺς ἐν τῷ πόντῳ, παρὰ τὸ μηκέτι εἶναι σύρους, ἵν' ᾖ Ἀσσύριοι, διπλῷ σσ. καὶ θαῦμα εἰ ἀναδιπλασιασμὸς καὶ μετά τινα στέρησιν, καὶ γὰρ ἐπὶ τοῦ ἄληκτος καὶ ἄμμορος ἀλήκτωρ καὶ ἀννίφελος καὶ ἄῤῥωστος [5]).

Ἀσφάραγος, ὁ λεγόμενος φάρυγξ. εἴρηται ἄνευ τοῦ α, σφάραγος, παρὰ τὸ σφαραγεῖν ὅ ἐστιν ἠχεῖν, δι' αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται. Ἀρειδίκης δὲ φησὶ πλεονασμῷ τοῦ α καὶ τοῦ σ εἶναι σφάραγον, ἀντὶ τοῦ φάρυγγα. Πολέμαχος δὲ ὅτι ὁμοίως ἀπαίρει. ἄλλοι δὲ διὰ τὸ μὴ σπᾶσθαι ἀσπάραγον καὶ ἀσφάραγον· κερατώδης γὰρ εἶναι. οἱ δὲ κατὰ πλεονασμὸν τοῦ ρ ἀστάραγον τὸν φέροντα τὴν φωνήν. οὕτως Ἡρωδιανός· παρὰ τὸ σφάραγος πλεονασμῷ τοῦ α καὶ ἀσφάραγον τὸν βρόχον.

Ἀσφόδελον καὶ ἀσφοδελὸν διαφέρει παρὰ τοῖς Ἀττικοῖς. ἀσφόδελον μὲν γὰρ βαρυτόνως σημαίνει τὸ φυτὸν παρὰ τοῖς παλαιοῖς, ἀσφοδελὸν δὲ ὀξυτόνως τὸν τόπον ἐν ᾧ ἀσφόδελοι γίνονται.

Ἀσχαλᾷ, λυπεῖ, ἀδημονεῖ, ῥῆμα ἐνεργητικὸν β συζυγίας τῶν περισπωμένων. ἔστι γὰρ ἀσχαλάω καὶ ἐξ αὐτοῦ ἀσχαλῶ περισπώμενον. τὸ β ἀσχαλάεις, τὸ γ ἀσχαλάει, ἀσχαλᾷ, καὶ ἐν πλεονασμῷ τοῦ α ποιητικῶς, ὡς ἐν ἄλλῳ ὁ ποιήτης. οὔτε θαλάσσης κῦμα τόσον βοάα [6]). καί ἐστι τὸ μὲν α πρὸ τέλους βραχὺ, τὸ δὲ ἐπὶ τέλους μακρόν. ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα συλλαβὴ πλεονάζουσα, βραχυτέρα θέλει εἶναι τῆς ἐν ᾗ πλεοναζούσης συλλαβῆς.

Ἄσχετον, παρὰ τὸ ἔχω τὸ κρατῶ, ἀφαιρέσει τοῦ ε καὶ πλεονασμῷ τοῦ σ σχῶ, σχετὸς, ὁ κρατητὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἄσχετος ὁ ἀκράτητος.

Ἀσωπὸς, ὁ σκοτεινοπρόσωπος. παρὰ τὸ ἄσσον ὃ σημαίνει τὸν ῥυπὸν, καὶ τὸ ὢψ ὀπός. καὶ εἰς τὸ ἄσπετον.

Ἀσωτία, ἡ ἁμαρτία, τὸ μὴ ὂν εἰς σωτηρίαν. σωτὴρ γὰρ τὸ σῶον τηρεῖν.

Ἄσωτος, ἔξοχος καὶ ὁ αἰσχρὸς, παρὰ τὸ σώζω καὶ τὸ στερητικὸν α, ὁ ἐστερημένος τοῦ σώζεσθαι. καὶ ἐξ αὐτοῦ ἀσωτία. ἔστι δὲ τὸ ἄσωτος σύνθετον, παρὰ τὸ α στερητικὸν μόριον, καὶ τὸ σῶον· οἱονεὶ ὁ ἐστερημένος τοῦ σώου.

Ἀταλαίπωρος, ῥάθυμος, ὀλίγωρος, Ἀριστοφάνης Δαναΐσιν. οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διάκειται. σημαίνει δὲ τὸ κακοπαθεῖν καὶ ἐνεργεῖν. ταλαίπωρος δὲ κυρίως λέγεται, ὁ περὶ τὸν πῶρον τλῶν, τουτέστι καρτερῶν, οἷον ταλάπωρος καὶ πλεονασμῷ τοῦ ι ταλαίπωρος. οἱ γὰρ ἀρχαῖοι τοὺς νεφρικοὺς ταλαιπώρους ἔλεγον, τοὺς τλῶντας περὶ τὸν πῶρον. πῶρος δὲ ὄνομα λίθου.

Ἀταλὸς, ὁ νήπιος, παρὰ τὸ ἁπαλὸς, κατὰ μετάθεσιν στοιχείου τοῦ π εἰς τ, καὶ τὸ μὲν ἁπαλὸν δασύνεται, τὸ δὲ ἀταλὸν ψιλοῦται, οὕτω καὶ τὸ ἄττα.

Ἀταξία, τὸ μὴ ὂν ἐν τάξει καλῇ.

Ἀτὰρ, εἰς τὸ αὐτάρ.

Ἀταρπὸς ὁδός. Ἀπλαχυ [7]) παρὰ τὸ ἄτρεπτον καὶ ἴσον.

Ἀτασθαλία, ἡ περὶ τὸν οἶνον ἀταξία. καὶ ἀτασθαλίῃσι νόοιο. οὕτως ἐν Ἡσιόδῳ.

Ἀτασθαλία πονηροῦ, ἀπὸ τοῦ ταῖς ἄταις θάλλειν.

Ἀταρτηρὸς, χαλεπὸς, παρὰ τὸ τείρω τὸ καταπονῶ, καὶ κατὰ συγκοπὴν τρῶ, τρήσω, τρηρὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρατηρός [8]). ἢ παρὰ τὴν ἄτην ὃ σημαίνει τὴν βλάβην ἀτηρὸς, καὶ ἀταρτηρός.

Ἀταρτηρὸς, ἀτηρὸς, χαλεπὸς, ἀπειλητικὸς, πλεονάζει γὰρ ἡ ταρ συλλαβὴ, ὡς ἐπιτάῤῥοθος.

Ἀτάλαντος Ἄρηϊ. τάλαντον τὸν ζυγὸν εἴρηται, καὶ ταλαντεύειν τὸ ζυγοστατεῖν. ἔστιν οὖν τάλαντος, ὁ ὁμοτάλαντος, οἱονεὶ ὁ ἰσόζυγος καὶ ἀτάλαντος· ἢ πάνυ, ἢ πλεονασμῷ τοῦ α.

---

1) vide Uranologium p. 134. 2) Haec proxime antecedentibus contraria sunt. 5) Il. IX, 643. 4) ἵν' ᾖ ἄσσατος — ἄσσαρος (Sic.) corrupta. 5) καὶ θαῦμα — ἄῤῥωστος (Sic.) 6) Il. XIV, 394. 7) (Sic) τὸ Α in ἀπλαχυ, colore rubro erat pictum, vox nihili. 8) (Sic.) Male. Vid. Etym. M.

Ἀτάσθαλος, ἄδικος, ὑβριστὴς καὶ ἁμαρτωλὸς, παρὰ τὸ ἐν ἄταις θάλλειν, ἤγουν ἐν βλάβαις καὶ ἀδικίαις.

Ἀτάσθαλος, ὑβριστὴς, ἀκόλαστος, ἄδικος, αὐθάδης, ἁμαρτωλός.

Ἄτε. ἐπίῤῥημα παραβολῆς, ἀντὶ τοῦ ὥσπερ.

Ἀτειρής. ὁ σκληρὸς, ἐκ τοῦ ἀτερὴς γέγονε κατὰ πλεονασμὸν τοῦ ι ἀτειρὴς, οἱονεὶ ὁ μὴ ὢν ἁπαλός.

Ἀτελὲς καὶ ἀτελέσθερον διαφέρει. ἀτελὲς μὲν γάρ ἐστι τὸ μήπω τετελεσμένον. ἀτελέσθερον δὲ τὸ ἀδύνατον τελεσθῆναι. οἱ οὖν ἐναλλάσσοντες ταῦτα ἀκυρολογοῦσιν.

Ἀταρνείτης διφθόγγῳ. ἐπειδὴ τὸ πρωτότυπον αὐτοῦ ἐπ' εὐθείας ἔχει τὸ ε. τούτῳ τῷ λόγῳ καὶ τὸ ὀρείτης, παρὰ γὰρ τὸ ὄρει. ὅθεν καὶ τραπεζείτης τινὲς διὰ τῆς ει διφθόγγου γράφουσι.

Ἀτειρὴς, ὁ ἀκαταπόνητος. τούτου ἡ ἐτυμολογία ἐστὶν ἀθειρὴς, ἤτοι παρὰ τὸν αἰθέρα, ἀθειρὴς δὲ ὁ λαμπρὸς λέγεται. χαλκὸν δὲ περιβαλεῖν ἀθεῖρα τινὲς τὸ ἄγριον βλέμμα.

Ατημέλητος, ἐκ τοῦ τῶ, τὸ λαμβάνω, καὶ τὸ μέλλω τὸ φροντίζω, καὶ ἐπιμελούμενος, γίνεται τημελῶ, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτημελῶ. καὶ ἀτημέλητος ὁ ἠμελημένος.

Ατημελείτης, ἀπρονοητὴς, ἀνεπιμελής.

Ατεμβεῖν, τὸ στερίσκειν καὶ βλάπτειν, παρὰ τὸ ἄτην βάλλειν. οὐ γὰρ ἀτεμβεῖν οὐδὲ δίκαιον ξείνους Τηλεμάχου.

Ἀτενίζω, τὸ πάνυ βλέπω καὶ ἐκτείνω. τείνω ὁ μέλλων τενῶ καὶ κατὰ παραγωγὴν τενίζω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀτενίζω, τὸ λίαν ἐπιτεταμένως ὁρῶ.

Ἄτερ κατὰ διάλεκτον ἀντὶ τοῦ χωρίς.

Ἄτερπνος, οὕτως ὁ ἄγρυπνος παρὰ Ῥηγινοῖς, ὡς καὶ παρ' Ἰβυκῷ καὶ Στησιχόρῳ. οὐκ ἔστι δὲ ἡ φωνὴ κατὰ στέρησιν τοῦ τερπνοῦ. ὡς ὁ ἄκακος, καὶ ὁ ἄφιλος καὶ ὁ ἄσθενος. δεῖ οὖν ἀποδεῖξαι τὸ ὀφειλόμενον υ, ἔστι γὰρ κατ' ἐντέλειαν ἀτέρυπνος, ὁ χωρὶς ὢν ὕπνου.

Ἀτέραμνος, παρὰ τὸ τείρω τέραμος, ὡς πλέκω πλόκαμος καὶ πλεονασμῷ τοῦ ν τέραμνος καὶ ἀτέραμνος. ἢ παρὰ τὸ τέρεν μὴ εἶναι ἐν αὐτῷ. τοῦτο τὸ ν ἐπλεόνασεν, ὡς τὸ νώνυμος.

Ἀτέραμνον, ἀπαράτητον, σκληρὸν, δεινὸν, ἀκόρεστον, πολὺ, τὸ μὴ τέρεν ἀλλὰ σκληρόν· ἀτέραμνον οὖν τὸ μὴ εἶναι τέρεν, κατὰ στέρησιν, τουτέστι, τρυφερὸν καὶ ἁπαλον, τὸ εὐχέρως τειρόμενον τουτέστι βλαπτόμενον. λέγεται δὲ τέρεμνα τὰ μὴ ἑψημένα ὄσπρια, ἀλλὰ σκληρὰ καὶ κερασβολά. καὶ ἀτεράμων ὁ σκληρὸς καὶ ἀπηνὴς ἄνθρωπος.

Ἄτερος. εἰς τὸ θάτερος.

Ἀτέχνως καὶ ἀτεχνῶς διαφέρει. ἀτέχνως ἀδόλως ἀπλάστως. τεχνὴ γὰρ ὁ δόλος. καὶ Ὅμηρος· ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχοιντο [1]) πολύφρονος Ἡφαίστοιο. ἀτεχνῶς, ἀπλάστως καὶ σημαίνει καὶ τὸ ἁπλῶς καθάπαξ. οἱ δὲ ἐν ἴσῳ τῷ ὄντι καὶ τῇ ἀληθείᾳ. οἱ δὲ τὸ παράπαν καὶ τὸ καθολόν.

Ἄτη. ἡ βλάβη τὸ α μακρόν· οἱ μὲν ὅτι ἐστὶν ἀπάτη, καὶ κατὰ κρᾶσιν γίνεται ἄτη. οὐκ ἔστι δέ· πλεονασμὸς γάρ ἐστι τοῦ α. ἔστι δὲ ἄλλως εἰπεῖν, ὅτι ἔτεος ὁ μάταιος καὶ ψευδὴς, καὶ γέγονε ἐκ τοῦ ἐτεὸς καὶ τὸ θηλυκὸν ἀετὴ, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε εἰς α μακρὸν ἄτη. ἔστι καὶ ἄλλως τὸ λαμβάνω [2])· κύκλωψ τῆ πίε οἶνον, καὶ μετὰ τοῦ στερητικοῦ α γίνεται ἄτη. οὐδεὶς γὰρ αὐτὸ λαμβάνει, ἀλλὰ πάντες ἐκφεύγουσι. καὶ εἰς τὸ αἴτιος, καὶ ἀταρτηρὸς, καὶ ἀτάσθαλος καὶ ἄτρυτα.

Ἄτευκτα, ἀκάματα, σκληρὰ καὶ ἰσχυρά. σημαίνει δὲ καὶ ἀβλαβῆ.

Ἄτιμος, παρὰ τὸ τιμὴ, καὶ τὸ στερητικὸν α.

Ἀτίω, τὸ ἀτιμάζω. ἐκ τοῦ τίω τὸ τιμῶ· καὶ μετὰ τοῦ στερητικοῦ α ἀτίω.

Ἀτιτάλλω, σημαίνει δὲ τὸ γνησίως τρέφω. ἐξ οὗ καὶ τάλλος λέγεται ὁ νήπιος.

Ἀτίζεσθαι, ταράσσεσθαι παρὰ τὴν ἄτην. οἱ γὰρ ἐναντιοῦντες ταράσσονται. ἔστι δὲ παρὰ τὴν ἄτην, ἤγουν τὴν βλάβην.

Ἀτίζει, ἀτιμάζει, ἐξ οὗ καὶ τὸ ἠτίμησε. τοῦτο παρὰ τὸ ἀτιμῶ, ὡς τὸ βῶ βάζω. τοῦτο παρὰ τὸ ἄτιμος, τοῦτο παρὰ τὸ τιμὴ, τοῦτο παρὰ τὸ τίω. τὸ τι μακρόν. ἔστι δὲ τὸ ἀτιμῶ δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων. τὸ δὲ τίω σημαίνει τρία, τὸ τιμῶ· θεὸς δ' ὡς τίετο δήμῳ [3]), τὸ τιμωρῶ καὶ τὸ ἀποδίδωμι. τὸ ἀτιμῶ σημαίνει τρία, τὸ ἀτιμάζω, τὸ ὑβρίζω καὶ τὸ καταδικάζω. τί διαφέρει τὸ ἀτιμῶ, ἡ γ συζυγία, τοῦ ἀτιμάζω; ἀτιμῶ μὲν λέγεται τὸ κατὰ νόμον, ὁλοσχερῶς καταδιακρίνω, ἐξ οὗ καὶ τὸ ἐπὶ ξύλου ἠτιμωμένος, τουτέστι κατακεκριμένος. λάβετε γὰρ ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. ἀτιμάζω καὶ τὸ ὑβρίζω· πάλιν διαφέρει καὶ τὸ ἀτιμῶ ἡ γ συζυγία τῶν περισπωμένων τῆς δευτέρας. ἡ μὲν γὰρ τρίτη συζυγία παρασύνθετόν ἐστι. ἐκ τοῦ ἄτιμος· ἡ δὲ δευτέρα σύνθετος, ἐκ τοῦ τιμὴ, ἐξ οὗ καὶ τὸ ἠτίμησεν.

Ἀτιμοῦμαι καὶ ἀτιμάζεται διαφέρει. ἀτιμοῦμαι ὑπὸ τοῦ νόμου ὁλοσχερῆ ἀτιμίαν. ἀτιμάζεται δέ τις ὑβριζόμενος ἔν τινι πράγματι.

Ἀτλαντικὸν πέλαγος, ὁ ὠκεανὸς, ἀπὸ τοῦ Ἄτλαντος ὄρος τῆς Λιβύης. καὶ εἰς τὸ ἀστέρια.

Ἄτλας, ὄνομα θεοῦ, καὶ ὁ ἄξων, παρὰ τὸ μὴ κοπιᾷν. καὶ εἰς τὸ τλήσομαι.

Ἀτθὶς, ἡ Ἀττικὴ χώρα παρὰ τὰς Ἀθήνας.

Ἀτονία, ἐκ τοῦ μὴ ἔχειν τόνον, ἤγουν ἰσχύν.

Ἀτμὶς, ἀναθυμίασις, ἀνάδοσις. ἀσμὶς μεταβολῇ τοῦ σ εἰς τ ἀτμὶς, ὡς ἐφίημι ἐφεσμὴ ἐφετμή.

Ἀτμὸς, ἡ ἀναπνοὴ τοῦ θερμοῦ, παρὰ τὸ ἄω τὸ πνέω, ἄσω ἀσμὶς καὶ ἀτμις [4]).

Ἄτομον, παρὰ τὸ μοτὸν καὶ ἄτομον. ἐπιτατικὸν δὲ τὸ α.

Ἄττον, εἰς τὸ ἧττον.

Ἄτρακτος, παρὰ τὸ ταράσσω ταρακτὸς καὶ ἄτρακτος.

Ἀτραπὸν, τὸ ἄθρεπτον καὶ ἀμετάθετον τοῦ μερισμοῦ, ἢ τῆς ὁδοῦ.

Ἄτρακτον, τὸ γυναικεῖον ἐργαλεῖον, ἐφ' οὗ τὸ νῆμα περιέχεται. καταχρηστικῶς δὲ καὶ ἐπὶ βέλους εἴρηται, κατ' εὐφημισμὸν καὶ ἀτάρακτον ὤν. ἀεὶ γὰρ ταράττεται. ἢ ὅτι ἀτάρακτον τὸ νῆμα φέρει. παρὰ γοῦν τὸ ταράσσω, ταρακτὸς καὶ ἀτάρακτος, καὶ κατὰ συγκοπὴν ἄτρακτος. τὸ δὲ βέλος ἀπὸ τῆς παρὰ τὸ ξύλον ὁμοιότητος μεταφορικῶς εἴρηται. τρίβεια ἡ ἰδιωτεία καὶ ἡ χωρί[5]).

---

1 ἔχοιντο (Sic.) Verum erasa erat media vocis litera et litura superinductum τὸ οι. Vera lectio est ἔχυντο. Od. VIII. 297. Quem sine dubio hic locus habuit, altera manus ἔχοιντο substituit, simili indicio vocabula minus nota frequentioribus aliquando locum cedere debuisse. 2) (Sic.) F. τῷ τὸ λαμβ. 3) Od. XIV, 205. 4) (Sic. Etym. M. ἀσμος κ. ἀτμος. 5) τρίβεια etc. (Sic) F. ἀτρίβεια ut diversus a priori sit articulus.

Ἀστρολόγος ἀστρονόμου διαφέρει. ἀστρονόμος μέν ἐστιν ἡ κατάλυσις τῶν ἀστέρων. ἀστρολόγος δὲ, ἡ, τὰ ἐκ τῶν κινήσεων ἀποτελέσματα, δηλοῦσα ἐπιστήμη.

Ἀστρονόμος, ἀστρῶν διανομεύς.

Ἀστρονόμος, ὁ τὴν κίνησιν τῶν ἄστρων γινώσκων. ἀστρολόγος, ὁ ἐκ τεκμηρίων ἡλίου καὶ σελήνης ἐπιστάμενος τὶ γίνεται.

Ἄστρον, παρὰ τὸ αἴθω τὸ λάμπω, ὁ μέλλων αἴσω, αἴστρον, καὶ ἀποβολῇ τοῦ ι ἄστρον. ἄστρον ἀστέρος διαφέρει. ἄστρον μὲν τὸ ἐκ πολλῶν ἀστέρων συνιστάμενον σχῆμα, ἤγουν ὅλον τὸ ζώδιον [1]). ἀστὴρ αὐτὸς ὁ λάμπων, ἤγουν ἕκαστος τῶν ἐκ τῶν ζωδιῶν ὑπαρχόντων. ὡς ὅταν λέγομεν τὴν ἄρκτον ἐξ ἀστέρων συγκεῖσθαι.

Ἄστυ, παρὰ τὸ ἄνω ἵστασθαι. οἱ γὰρ ἀρχαῖοι ἐφ' ὑψήλου τόπου τὰς πόλεις ἐποίουν. διαφέρει δὲ ἄστυ καὶ πόλις. πόλις λέγεται ὁ τόπος καὶ οἱ κατοικοῦντες, καὶ τὸ συναμφότερον. ἄστυ δὲ ὁ τόπος μόνον, καὶ Ὅμηρος, φράζε μοὶ ὅπως πόλιν καὶ ἄστυ σαώσεις. ἐξ αὐτοῦ γίνεται ἀστεῖος ὁ πολίτης.

Ἀστεῖον, πολιτικόν.

Ἄστυ, τριχῶς λέγεται, αὐτὸ τὸ χώριον, καὶ ὁ ἐν αὐτῷ ὄχλος, καὶ τὸ συναμφότερον [2]). ὅθεν καὶ πόλις ἐτυμολογεῖται, διὰ τὸ μὴ γωνίαν ἔχειν, ἀλλ' ὑπερφερῆ εἶναι.

Ἄστυνος, ὁ πένης, ἐκ τοῦ μὴ ἔχειν στάσιν. οὕτω Σελεῦκος.

Ἀσύφηλον, ἄτιμον ἢ ἀπαίδευτον, ἀδόκιμον καὶ ἀνόητον, καὶ Ὅμηρος, ὁππότ' ἐκείνου μνήσομαι ὅς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔλεξεν [3]). ἔστι δὲ παρὰ τὸ ἄσσω ὁ σημαίνει τὸ βλάπτω καὶ τὸ φηλῶσαι, ὃ σημαίνει τὸ δηλῶσαι, καὶ ἀπατῆσαι, ἐξ οὗ καὶ φῆλος ὁ ἀπατέων. καὶ φήλικτα σῦκα τὰ ὠμὰ μὲν ὄντα, τῇ δὲ ἰδέᾳ πέπειρα. καὶ ὥσπερ παρὰ τὸ σώσω Σωσικράτης, Σωσίβιος, ἀρκέσω Ἀρκεσίλαος, οὕτω καὶ παρὰ τὸ ἄσω καὶ τὸ φηλὸς γίνεται ἀσίφηλος καὶ ἀσύφηλος, ὡς δίφρος δύφρος, καὶ τριφάλεια τρυφάλεια. ἢ παρὰ τὸ σοφὸς γίνεται σόφηλος, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσόφηλος, καὶ μεταβολῇ τοῦ ο εἰς υ, ὡς ἄγορος ἄγυρος, γίνεται ἀσύφηλος.

Ἄσυλος, ἀπὸ τοῦ ἄσω μέλλοντος, δηλοῦν τὸ βλάπτω.

Ἀσύῤῥοι, καὶ Ἀσύῤῥιοι τὸ γένος εἴρηνται, ἤγουν τὸ ἔθνος, παρὰ τὸν Ἀσσάρακον τοῦ ἔθνους ἐπικρατήσαντα. ἵν' ᾖ ἄσσατος καὶ ἐκβολῇ τοῦ κ, καὶ τροπῇ εἰς ρ ἄσσαρος [4]). καὶ τροπῇ τοῦ α εἰς υ ἄσσυρος, ὡς μάθω μύθω· καὶ κατὰ παράβασιν ἀσσύριος. οὕτως Ἐπαφρόδιτος. καὶ δοκεῖ καλεῖσθαι ἀσσυρίους τοὺς ἐν τῷ πόντῳ, παρὰ τὸ μηκέτι εἶναι σύρους, ἵν' ᾖ Ἀσσύριοι, διπλῷ σσ. καὶ θαῦμα εἰ ἀναδιπλασιασμὸς καὶ μετά τινα στέρησιν, καὶ γὰρ ἐπὶ τοῦ ἄληκτος καὶ ἄμμορος ἀλήκτωρ καὶ ἀννίφελος καὶ ἄῤῥωστος [5]).

Ἀσφάραγος, ὁ λεγόμενος φάρυγξ. εἴρηται ἄνευ τοῦ α, σφάραγος, παρὰ τὸ σφαράγειν ὅ ἐστιν ἠχεῖν, δι' αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται. Ἀρειδίκης δὲ φησὶ πλεονασμῷ τοῦ α καὶ τοῦ σ εἶναι σφάραγον, ἀντὶ τοῦ φάρυγγα. Πολέμαχος δὲ ὅτι ὁμοίως ἀπαίρει. ἄλλοι δὲ διὰ τὸ μὴ σπᾶσθαι ἀσπάραγον καὶ ἀσφάραγον· κερατώδης γὰρ εἶναι. οἱ δὲ κατὰ πλεονασμὸν τοῦ ρ ἀσφάραγον τὸν φέροντα τὴν φωνήν. οὕτως Ἡρωδιανός· παρὰ τὸ σφάραγος πλεονασμῷ τοῦ α καὶ ἀσφάραγον τὸν βρόχον.

Ἀσφόδελον καὶ ἀσφοδελὸν διαφέρει παρὰ τοῖς Ἀττικοῖς. ἀσφόδελον μὲν γὰρ βαρυτόνως σημαίνει τὸ φυτὸν παρὰ τοῖς παλαιοῖς, ἀσφοδελὸν δὲ ὀξυτόνως τὸν τόπον ἐν ᾧ ἀσφόδελοι γίνονται.

Ἀσχαλᾷ, λυπεῖ, ἀδημονεῖ, ῥῆμα ἐνεργητικὸν β συζυγίας τῶν περισπωμένων. ἔστι γὰρ ἀσχαλάω καὶ ἐξ αὐτοῦ ἀσχαλῶ περισπώμενον. τὸ β ἀσχαλάεις, τὸ γ ἀσχαλάει, ἀσχαλᾷ, καὶ ἐν πλεονασμῷ τοῦ α ποιητικῶς, ὡς ἐν ἄλλῳ ὁ ποιητής. οὔτε θαλάσσης κῦμα τόσον βοάα [6]). καί ἐστι τὸ μὲν α πρὸ τέλους βραχὺ, τὸ δὲ ἐπὶ τέλους μακρόν. ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα συλλαβὴ πλεονάζουσα, βραχυτέρα θέλει εἶναι τῆς ἐν ᾗ πλεοναζούσης συλλαβῆς.

Ἄσχετον, παρὰ τὸ ἔχω τὸ κρατῶ, ἀφαιρέσει τοῦ ε καὶ πλεονασμῷ τοῦ σ σχῶ, σχετὸς, ὁ κρατητὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἄσχετος ὁ ἀκράτητος.

Ἀσωπὸς, ὁ σκοτεινοπρόσωπος. παρὰ τὸ ἄσσον ὃ σημαίνει τὸν ῥυπὸν, καὶ τὸ ὢψ ὀπός. καὶ εἰς τὸ ἄσπετον.

Ἀσωτία, ἡ ἁμαρτία, τὸ μὴ ὂν εἰς σωτηρίαν. σωτὴρ γὰρ τὸ σῶον τηρεῖν.

Ἄσωτος, ἔξοχος καὶ ὁ αἰσχρὸς, παρὰ τὸ σώζω καὶ τὸ στερητικὸν α, ὁ ἐστερημένος τοῦ σώζεσθαι. καὶ ἐξ αὐτοῦ ἀσωτία. ἔστι δὲ τὸ ἄσωτος σύνθετον, παρὰ τὸ α στερητικὸν μόριον, καὶ τὸ σῶον· οἱονεὶ ὁ ἐστερημένος τοῦ σώου.

Αταλαίπωρος, ῥάθυμος, ὀλίγωρος, Ἀριστοφάνης Δαναΐσιν. οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διάκειται. σημαίνει δὲ τὸ κακοπαθεῖν καὶ ἐνεργεῖν. ταλαίπωρος δὲ κυρίως λέγεται, ὁ περὶ τὸν πῶρον τλῶν, τουτέστι καρτερῶν, οἷον ταλάπωρος καὶ πλεονασμῷ τοῦ ι ταλαίπωρος. οἱ γὰρ ἀρχαῖοι τοὺς νεφρικοὺς ταλαιπώρους ἔλεγον, τοὺς τλῶντας περὶ τὸν πῶρον. πῶρος δὲ ὄνομα λίθου.

Ἀταλὸς, ὁ νήπιος, παρὰ τὸ ἁπαλὸς, κατὰ μετάθεσιν στοιχείου τοῦ π εἰς τ, καὶ τὸ μὲν ἁπαλὸν δασύνεται, τὸ δὲ ἀταλὸν ψιλοῦται, οὕτω καὶ τὸ ἄττα.

Ἀταξία, τὸ μὴ ὂν ἐν τάξει καλῇ.

Ἀτὰρ, εἰς τὸ αὐτάρ.

Ἀταρπὸς ὁδός. Απλαχυ [7]) παρὰ τὸ ἄτρεπτον καὶ ἴσον.

Ἀτασθαλία, ἡ περὶ τὸν οἶνον ἀταξία. καὶ ἀτασθαλίῃσι νόοιο. οὕτως ἐν Ἡσιόδῳ.

Ἀτασθαλία πονηροῦ, ἀπὸ τοῦ ταῖς ἄταις θάλλειν.

Ἀταρτηρὸς, χαλεπὸς, παρὰ τὸ τείρω τὸ καταπονῶ, καὶ κατὰ συγκοπὴν τρῶ, τρήσω, τρηρὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρατηρός [8]). ἢ παρὰ τὴν ἄτην ὃ σημαίνει τὴν βλάβην ἀτηρὸς, καὶ ἀταρτηρός.

Ἀταρτηρὸς, ἀτηρὸς, χαλεπὸς, ἀπειλητικὸς, πλεονάζει γὰρ ἡ ταρ συλλαβὴ, ὡς ἐπιτάῤῥοθος.

Ἀτάλαντος Ἄρηϊ. τάλαντον τὸν ζυγὸν εἴρηται, καὶ ταλαντεύειν τὸ ζυγοστατεῖν. ἔστιν οὖν τάλαντος, ὁ ὁμοτάλαντος, οἱονεὶ ὁ ἰσόζυγος καὶ ἀτάλαντος· ἢ πάνυ, ἢ πλεονασμῷ τοῦ α.

---

1) vide Uranologium p. 134. 2) Haec proxime antecedentibus contraria sunt. 3) Il. IX, 643. 4) ἵν' ᾖ ἄσσατος — ἄσσαρος (Sic.) corrupta. 5) καὶ θαῦμα — ἄῤῥωστος (Sic.) 6) Il. XIV, 394. 7) (Sic) τὸ Α in ἀπλαχυ, colore rubro erat pictum, vox nihili. 8) (Sic.) Male. Vid. Etym. M.

Ἀτάσθαλος, ἄδικος, ὑβριστὴς καὶ ἁμαρτωλὸς, παρὰ τὸ ἐν ἄταις θάλλειν, ἤγουν ἐν βλάβαις καὶ ἀδικίαις.

Ἀτάσθαλος, ὑβριστὴς, ἀκόλαστος, ἄδικος, αὐθάδης, ἁμαρτωλός.

Ἆτε. ἐπίῤῥημα παραβολῆς, ἀντὶ τοῦ ὥσπερ.

Ἀτειρὴς. ὁ σκληρὸς, ἐκ τοῦ ἀτερὴς γέγονε κατὰ πλεονασμὸν τοῦ ι ἀτειρὴς, οἱονεὶ ὁ μὴ ὢν ἁπαλός.

Ἀτελὲς καὶ ἀτελέσθερον διαφέρει. ἀτελὲς μὲν γὰρ ἐστι τὸ μήπω τετελεσμένον. ἀτελέσθερον δὲ τὸ ἀδύνατον τελεσθῆναι. οἱ οὖν ἐναλλάσσοντες ταῦτα ἀκυρολογοῦσιν. 10

Ἀταρνείτης διφθόγγῳ. ἐπειδὴ τὸ πρωτότυπον αὐτοῦ ἀπ' εὐθείας ἔχει τὸ ε. τούτῳ τῷ λόγῳ καὶ τὸ ὀρείτης, παρὰ γὰρ τὸ ὄρει. ὅθεν καὶ τραπεζείτης τινὲς διὰ τῆς ει διφθόγγου γράφονται.

Ἀτειρὴς, ὁ ἀκαταπόνητος. τούτου ἡ ἐτυμολογία ἐστὶν ἀθειρὴς, ἤτοι παρὰ τὸν αἰθέρα, ἀθειρὴς δὲ ὁ λαμπρὸς λέγεται. χαλκὸν δὲ περιβαλεῖν ἀθεῖρα τινὲς τὸ ἄγριον βλέμμα.

Ατημέλητος, ἐκ τοῦ τῶ, τὸ λαμβάνω, καὶ τὸ μέλλω τὸ φροντίζω, καὶ ἐπιμελούμενος, γίνεται τημελῶ, καὶ 20 μετὰ τοῦ στερητικοῦ α ἀτημελῶ. καὶ ἀτημέλητος ὁ ἠμελημένος.

Ατημελείτης, ἀπρονοητὴς, ἀνεπιμελής.

Ατεμβεῖν, τὸ στερίσκειν καὶ βλάπτειν, παρὰ τὸ ἄτην βάλλειν. οὐ γὰρ ἀτεμβεῖν οὐδὲ δίκαιον ξείνους Τηλεμάχου.

Ἀτενίζω, τὸ πάνυ βλέπω καὶ ἐκτείνω. τείνω ὁ μέλλων τενῶ καὶ κατὰ παραγωγὴν τενίζω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀτενίζω, τὸ λίαν ἐπιτεταμένως ὁρῶ.

Ἄτερ κατὰ διάλεκτον ἀντὶ τοῦ χωρίς. 30

Ἄτερπνος, οὕτως ὁ ἄγρυπνος παρὰ Ῥηγινοῖς, ὡς καὶ παρ' Ἰβυκῷ καὶ Στησιχόρῳ. οὐκ ἔστι δὲ ἡ φωνὴ κατὰ στέρησιν τοῦ τερπνοῦ. ὡς ὁ ἄκακος, καὶ ὁ ἄφιλος καὶ ὁ ἄσθενος. δεῖ οὖν ἀποδεῖξαι τὸ ὀφειλόμενον υ, ἔστι γὰρ κατ' ἐντέλειαν ἀτέρυπνος, ὁ χωρὶς ὢν ὕπνου.

Ἀτέραμνος, παρὰ τὸ τείρω τέραμος, ὡς πλέκω πλόκαμος καὶ πλεονασμῷ τοῦ ν τέραμνος καὶ ἀτέραμνος. ἢ παρὰ τὸ τέρεν μὴ εἶναι ἐν αὐτῷ. τοῦτο τὸ ν ἐπλεόνασεν, ὡς τὸ νώνυμος.

Ἀτέραμνον, ἀπαράτητον, σκληρὸν, δεινὸν, ἀκόρεστον, 40 πολὺ, τὸ μὴ τέρεν ἀλλὰ σκληρόν· ἀτέραμνον οὖν τὸ μὴ εἶναι τέρεν, κατὰ στέρησιν, τουτέστι, τρυφερὸν καὶ ἁπαλον, τὸ εὐχέρως τειρόμενον τουτέστι βλαπτόμενον. λέγεται δὲ τέρεμνα τὰ μὴ ἑψημένα ὄσπρια, ἀλλὰ σκληρὰ καὶ κεραοβολά. καὶ ἀτεράμων ὁ σκληρὸς καὶ ἀπηνὴς ἄνθρωπος.

Ἅτερος, εἰς τὸ θάτερος.

Ἀτέχνως καὶ ἀτεχνῶς διαφέρει. ἀτέχνως ἀδόλως ἀπλάστως. τεχνὴ γὰρ ὁ δόλος. καὶ Ὅμηρος· ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχοιντο [1]) πολύφρονος Ἡφαίστοιο. 50 ἀτεχνῶς, ἀπλάστως καὶ σημαίνει καὶ τὸ ἁπλῶς καθάπαξ. οἱ δὲ ἐν ἴσῳ τῷ ὄντι καὶ τῇ ἀληθείᾳ. οἱ δὲ τὸ παράπαν καὶ τὸ καθόλον.

Ἄτη, ἡ βλάβη τὸ α μακρὸν· οἱ μὲν ὅτι ἐστὶν ἀπάτη, καὶ κατὰ κρᾶσιν γίνεται ἄτη. οὐκ ἔστι δὲ· πλεονασμὸς γάρ ἐστι τοῦ α. ἔστι δὲ ἄλλως εἰπεῖν, ὅτι ἄετος ὁ μάταιος καὶ ψευδὴς, καὶ γέγονε ἐκ τοῦ ἐτεὸς καὶ τὸ θηλυκὸν ἀετὴ, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε εἰς α μακρὸν ἄτη. ἔστι καὶ ἄλλως τὸ [illegible] κύκλωψ τῇ πίε οἶνον, καὶ μετὰ τοῦ στερ[illegible] νεται ἄτη. οὐδεὶς γὰρ αὐτὸ λαμβάνει [illegible] ἐκφεύγουσι. καὶ εἰς τὸ αἴτιος, καὶ ἀταρτη[illegible] σθαλος καὶ ἄτρυτα.

Ἄτευκτα, ἀκάματα, σκληρὰ καὶ ἰσχ[illegible] δὲ καὶ ἀβλαβῆ.

Ἄτιμος, παρὰ τὸ τιμὴ, καὶ τὸ στερητικὸν α.

Ἀτίω, τὸ ἀτιμάζω. ἐκ τοῦ τίω τὸ [illegible] τοῦ στερητικοῦ α ἀτίω.

Ἀτιτάλλω, σημαίνει δὲ τὸ γνησίως τρέφ[illegible] τάλλος λέγεται ὁ νήπιος.

Ἀτίζεσθαι, ταράσσεσθαι παρὰ τὴν [illegible] ἐναντιοῦντες ταράσσονται. ἔστι δὲ [illegible] ἤγουν τὴν βλάβην.

Ἀτίζει, ἀτιμάζει, ἐξ οὗ καὶ τὸ [illegible] τὸ ἀτιμῶ, ὡς τὸ βῶ βάζω. [illegible] τοῦτο παρὰ τὸ τιμὴ, τοῦτο παρὰ τὸ [illegible] κρόν. ἔστι δὲ τὸ ἀτιμῶ δευτέρας [illegible] τῶν περισπωμένων. τὸ δὲ τίω [illegible] θεὸς δ' ὡς τίετο δήμῳ [2]), τὸ τιμ[illegible] τὸ ἀτιμῶ σημαίνει τρία, τὸ ἀτ[illegible] τὸ καταδικάζω. τί διαφέρει τὸ [illegible] τοῦ ἀτιμάζω; ἀτιμῶ μὲν λέγετα[illegible] σχερῶς καταδιακρίνω, ἐξ οὗ [illegible] μένος, τουτέστι κατακεκριμέν[illegible] καὶ κατὰ τὸν νόμον ὑμῶν [illegible] ὑβρίζω· πάλιν διαφέρει κα[illegible] τῶν περισπωμένων τῆς δευτερ[illegible] ζυγία παρασύνθετόν ἐστι. [illegible] τέρα σύνθετος, ἐκ τοῦ τιμ[illegible]

Ἀτιμοῦμαι καὶ ἀτιμάζετα[illegible] τοῦ νόμου ὁλοσχερῆ ἀτιμία[illegible] ζόμενος ἔν τινι πράγματι.

Ἀτλαντικὸν πέλαγος, [illegible] τος ὄρος τῆς Λιβύης. καὶ [illegible]

Ἄτλας, ὄνομα θεοῦ, καὶ [illegible] καὶ εἰς τὸ τλήσομαι.

Ἀτθὶς, ἡ Ἀττικὴ χώρα [illegible]

Ἀτονία, ἐκ τοῦ μὴ ἔχειν [illegible]

Ἀτμὶς, ἀναθυμίασις, [illegible] εἰς τ ἀτμὶς, ὡς ἐφ[illegible]

Ἀτμὸς, ἡ ἀναπνοὴ τοῦ [illegible] ἄσω ἀσμὶς καὶ ἀτμὶς [illegible]

Ἄτομον, παρὰ τὸ [illegible] τὸ α.

Ἄττον, εἰς τὸ [illegible]

Ἄτρακτος, [illegible]

Ἀτραπὸν, τὸ [illegible] ἡ τῆς ὁδοῦ.

Ἄτρακτον, τὸ [illegible] περιέχεται. κατ' εὐφη[illegible] ται. ἢ ὅτι [illegible] τὸ ταράσσω, [illegible] τὴν ἄτρα[illegible] ὁμοιότητος [illegible] καὶ ἡ [illegible]

---

[1] ἔχοιντο (Sic.) Verum erasa erat media vocis litera et liturae superinductum τὸ οι. Vera lectio est ἔχοντο. Od. VIII. 297. quae sine dubio hic locus habuit, altera manus ἔχοιντο substituit, manifesto indicio vocabula minus nota frequentioribus aliquando lo-cum ce[illegible] 205.

[2]) [illegible]

Ἀττικὸς, τὸ ἐθνικὸν, ὁ Ἀθηναῖος εἴρηται, Ἀκτικός τις ὤν. Ἀκτὴ ἄρ ἐκαλεῖτο ἡ Ἀττικὴ. ὅθεν καὶ Ἀκταῖοι οἱ Ἀθηναῖοι. ἐλλείψει καὶ διπλασιασμῷ τοῦ τ Ἀττικός.

Ἀττικὴ, παρὰ τὸ ἀκτὴν, καὶ γὰρ παραθαλάσσια. Καλλίμαχος [1]) Ἀρκταίη τις ἔναιεν. Ἀκτὴ οὖν καὶ Ἀττικὸς, ὡς Κρήτη Κρητικὸς, τροπῇ τοῦ κ εἰς τ. κατὰ Ἴωνας ἀκτικὸς καὶ ἀττικός.

Ἀτραπὸς ἡ ὁδὸς, ἥτις λέγεται καὶ ἀτράπιτος καὶ ἄταρπος. εἴρηται δὲ παρὰ τὸ πατῶ, καὶ κατ' ἐπέκτασιν τοῦ α ἡ ἄγαν πατουμένη, ἄπατος καὶ ἄταπος, καὶ πλεονασμῷ τοῦ ρ ἄτραπος, καὶ ἐν παραγωγῇ ἀτράπιτος. ἢ παρὰ τὸ τρέπω, ἡ πολλὰς ἐκτροπὰς ἔχουσα, τοῦ ε εἰς α τραπέντος, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἄτραπος. κυρίως δὲ ἄτραπος, ἡ στενὴ ἐν ὄρει ὁδός.

Ἀτρείδης, πατρωνυμικὸν ὄνομα. διαφέρει δὲ τὸ πατρωνυμικὸν τοῦ κτητικοῦ. ὅτι τοῖς μὲν πατρωνυμικοῖς ἐνδέχεται τὰ τῶν παίδων ὀνόματα συντάσσειν καὶ μή. εἰ δὲ ἀδελφῶν τινῶν ὄντων τούτων ἕνα σημᾶναι βουλοίμεθα τῷ πατρωνυμικῷ παρατίθεμεν τὸ τοῦ παιδὸς κύριον ὄνομα, οἷον, Ἀτρείδης Μενέλαος, ὁ Πριαμίδης Ἕκτωρ. εἰ δὲ μὴ ὦσιν ἀδελφοὶ, οὐ χρεία προσθήκης κυρίου ὀνόματος. ἀρκούμεθα γὰρ τῇ πατρωνυμίᾳ, ὁ Πηλίδης ἐφόνευσεν Ἕκτορα. τὰ γὰρ πατρωνυμικὰ αὐτόθεν ἔχει τὴν σημασίαν, κἂν μήτε τοὺς υἱοὺς ἐπάγοιτο, μήτε τὸ τοῦ παιδὸς κύριον ὄνομα. τὰ δὲ κτητικὰ οὐχ οὕτως, ἀλλ' ἀνάγκη προσυπακούεσθαί τι αὐτοῖς. εἰ δέ τις φαίη Πλατωνικὸς οὐ προσυπακουομένου τοῦ νόμος ἢ χιτὼν ἀτελές ἐστι. διὸ ἀναγκαίως δεῖ ἐπιφέρειν τοῖς κτητικοῖς προσηγορικὰ ἢ κύρια, οἷον, Ὁμηρικὸς λόγος, βασιλικὸς δόμος.

Ἀτρείδης, Αἰγείδης, Ἀλκείδης καὶ πάντα τὰ πατρωνυμικὰ ὅσα ἔχει τὸ πρῶτον εἰς ευς λῆγον, διὰ τῆς ει διφθόγγου γράφεται. ἀπὸ μέντοι τῶν εἰς ης ληγόντων, καὶ εἰς ους τῶν ἐπὶ γενικῇ δισσὴ ἡ χρῆσις. καὶ γὰρ ἐκπίπτει τὰ πατρωνυμικὰ διὰ τοῦ ιδης συνεσταλμένου τοῦ ι, καὶ διὰ τῆς ει διφθόγγου γράφεται. Κομιδίτης, Εὐτυχίτης.

Ἀτρεκέως, ἐπίρρημα μεσότητος, παρὰ τὸ δέρκω, ὃ σημαίνει τὸ βλέπω. ὄνομα δερκὲς καὶ κατ' ἐπέκτασιν τοῦ α γίνεται ἀδερκὲς, τὸ λίαν ὑπερβλέπον, καὶ τροπῇ τοῦ δ εἰς τ. ἀτρεκὲς τὸ λίαν ὑπερβλεπόμενον. ἢ παρὰ τὸ τρέχω, ὁ μὴ τρέχων.

Ἀτρυτώνη, ἡ Ἀθήνᾶ, παρὰ τὴν τρυτάνην, ἥτις ἐστὶ ζυγὴ, ἀντὶ τοῦ ἄζευκτος ἡ ἀνδρεία.

Ἀτρέκεια, ἐκ τοῦ ἀτρεκὴς, ἐκ τούτου τὸ ὑπερθετικὸν ἀτρεκέστατος.

Ἀτρέμας γίνεται ἐκ τοῦ ἀτρεμῶ, καὶ ἔστι παρασύνθετον ἐκ τοῦ ἀτρέμης. παρὰ τὸ τρέμω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρέμης, καὶ ῥῆμα εἰς ω ἀτρεμῶ, καὶ ἐξ αὐτοῦ ἐπίρρημα εἰς ας ἀτρέμας. ἔστι δὲ εἰς α ἀτρέμα, ὥσπερ ἐκ τοῦ ἠρεμῶ γίνεται ἠρέμας καὶ ἠρέμα, οὕτω καὶ τοῦτο.

Ἀτρύγητος, ὁ καρπὸς. τρυγὴ γὰρ ὁ δημητριακὸς καρπός.

Ἀτρεκὲς, τὸ ἀληθὲς, ὃ μηδεὶς παρατρέχει εὐφρονῶν. ὅθεν Δωριεῖς ἀτρεχὲς λέγουσι.

Ἀτρέμας πλεονασμῷ τοῦ σ ἐστιν. ὡς γὰρ σιγῶ σίγα, ἀντῶ ἄντα, οὕτω καὶ παρὰ τὸ ἀτρεμῶ ἄτρεμας [2]).

Ἄτρυτα, ἀκάματα, σκληρὰ καὶ ἰσχυρὰ, σημαίνει δὲ καὶ ἀβλαβῆ, οἷον ἄτρητα, παρὰ τὸ τρῶ τρήσω τρητὰ καὶ ἄτρητα μετὰ τοῦ στερητικοῦ α, τροπῇ του η εἰς υ, ὡς ἅλμη ἁλμυρός.

Ἄττειν, ἅλλεσθαι καὶ πηδᾶν. γίνεται παρὰ τὸ αἴσσω τὸ ὁρμῶ. ἄσσω καὶ τροπῇ τῶν δύο σσ εἰς ττ ἄττειν, καὶ εἰς τὸ διάττειν, καὶ στρατός.

Ἀττικὴ παρὰ τὸ Ἀκτὴ, οὕτως ἐλέγετο τὸ παλαιον, παραθαλασσία γάρ.

Ἄττω, εἰς τὸ κάττα.

Ἀκώλωνος, ὀτρυγηφάγου περιττεύοντος τοῦ ο, ὡς καὶ ὀκρυόεις παρὰ γὰρ τὸ κρύος ἐσχημάτισεν ἡ λέξις.

Ἀτρυγέτοιο, ἤτοι ἀπείρου παρὰ τὸ βάθος. ἢ ἀκαταπονήτου καὶ ἀκάρπου. σημαίνει δὲ τὴν θάλασσαν. ἀτρυγετὸς γὰρ ἡ θάλασσα.

Αὖα, ξηρὰ ξύλα, παρὰ τὸ εἰς αὖσιν καὶ καῦσιν ἐπιτήδεια.

Αὐγὴ, ἡ λαμπρότης, παρὰ τὸ ἄγω ῥῆμα, δι' ἣν ἀγόμεθα. εἴγε σκότος, διὰ τὸ μὴ ἐπισχεῖν ἡμᾶς.

Αὔγουστος, ἀπ' Αὐγούστου βασιλέως οὕτως ἐπικληθέντος. ἀπὸ γὰρ τῆς αὐτοῦ βασιλείας, καὶ μέχρι σήμερον αὔγουστοι οἱ βασιλεῖς κικλήσκονται. ὅθεν καὶ βῆλον ἐν τοῖς βασιλείοις μελέθροις ἐπικρέμαται. τυραννοῦντος γάρ τινος αὐτῷ ἐν τοῖς μέρεσι τῆς Ἰλλυρίας, καὶ χειρωθέντος ὑπ' αὐτοῦ, διὰ τὸ ἴταμον καὶ σκληρὸν τὸν ἀντίπαλον γέγονε, πρὸς μνήμην καὶ τιμὴν τῆς αὐτοῦ βασιλείας τὸ κολόβιον αὐτοῦ ἐκρέμασε· καὶ ἐκ τοτε οἱ βασιλεῖς, βῆλον ἐπιτιθέασιν ἔμπροσθεν αὐτῶν, κατὰ μίμησιν ἐκείνου, ὅθεν καὶ ἡ ἀπογραφὴ πρώτη γέγονε.

Ἄοθεν αὐγὴ, ἀπὸ τοῦ αὔω τοῦ σημαίνοντος τὸ φαίνω, ἀὴ καὶ πλεονασμῷ τοῦ υ αὐγή.

Αὐδὴ, ἡ φωνὴ εἴρηται, παρὰ αὐγὴ, τροπῇ τοῦ γ, εἰς δ, δι' ἧς αὐγάζεται καὶ φωτίζεται τὰ τοῦ νοῦ. καὶ φωνὴ τὸ αὐτὸ, φωτονή τις οὖσα. Ἀπολλώνιος δὲ παρὰ τὸ αὔω αὐγὴ [3]), ὅθεν καὶ ἐν διαιρέσει ἀΰτὴ καὶ αὐδή.

Αὐδῶ, παρὰ τὸ αὔω τὸ φωνῶ, καὶ αὖος ὁ ἄφωνος καὶ εἰς τὸ ηὔδα.

Αὖθις καὶ αὖθι χωρὶς τοῦ σ διαφέρει. τὸ μὲν γὰρ αὖθις ἐστὶ τὸ πάλιν, ἢ μετὰ ταῦτα. τὸ δὲ αὖθι τὸ αὐτόθι σημαίνει. κακῶς οὖν Καλλίμαχος φησὶ, αὖθι τόδε ἐκδύοιμι, ἀντὶ τοῦ μετὰ ταῦτα.

Αὐθαίρετος, παρὰ τὸ αἱρῶ τὸ προαιροῦμαι, αἱρετὸς, καὶ μετὰ τῆς αὐτὸ αὐτοαιρετὸς καὶ συγκοπῇ αὐταίρετος, καὶ τροπῇ τοῦ τ εἰς θ αὐθαίρετος. σημαίνει δὲ τὸν αὐτοπροαίρετον.

Αὐθάδης καὶ σημαινόμενον δηλοῖ. καὶ πολλὴ ἡ χρῆσις παρὰ τῇ κωμῳδίᾳ. εἴρηται ὁ ἑαυτῷ [4]) ἅδων, καὶ μὴ συμβούλῳ χρώμενος, αὐτοάδης καὶ αὐθάδης, τοῦ ἁδεῖν σημαίνοντος τὸ ἀρέσκω.

Αὐθέντης, κυρίως ὁ φονεὺς, ὁ ἑαυτὸν κτιννύων. εἴρηται δὲ παρὰ τὸ, αὐτεντής τις ὢν, ὁ ἑαυτὸν βάλλων τοῖς ἔντεσιν, ὅ ἐστι τοῖς βέλεσιν, τὸ δὲ ἐν τῇ συνηθείᾳ ἔοικε παρὰ τὸ αὐτὸ καὶ τὸ ἔντης, ὁ ἑαυτὸν ἐπαφιεὶς εἰς πάντα, καὶ ὢν αὐτεξούσιος, καὶ μὴ ἄλλου, ἀλλ' ἑαυτοῦ ὤν.

Αὖθι, ἐπίρρημα τοπικὸν καὶ ἐστὶ τῶν ἐν τῷ τόπῳ, καὶ γίνεται ἐκ τοῦ αὐτόθι· τοῦτο ἐκ τοῦ αὐτοῦ. Ὅμηρος· αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο [5]). τὴν εἰς τοπὸν σχέσιν, ἀντὶ

---

1) Callim. Frag. 348. ibique interpr.
2) (Sic) Deficiunt quaedam, vid. Etymol. M.
3) L. αὐτή.
4) vel ἑαυτοῦ.
5) Il. VIII, 207.

τοῦ ἐκεῖσε. καὶ ὥσπερ παρὰ τὸ ἀγχοῦ γίνεται ἀγχόθι, οὕτω καὶ ἀπὸ τοῦ αὐτοῦ αὐτόθι καὶ συγκοπῇ αὖθι. διαφέρει δὲ αὖθις καὶ αὖθι. τὸ μὲν αὖθι χωρὶς τοῦ σ τοπικὸν ἐπίῤῥημα ἀπὸ τοῦ αὐτόθι, τὸ δὲ αὖθις σημαίνει τὸ πάλιν, καὶ μετὰ ταῦτα. τὸ θι ἰῶτα. τὰ εἰς ις ἐπιῤῥήματα πεφυκότα λέγεσθαι χωρὶς τοῦ σ διὰ τοῦ ι γράφεται. αὖτις καὶ αὖτι, μέχρις καὶ μέχρι, αὖθις· καὶ αὖθι.

Αὐθώρηκα, εἰς τὸ δεύτερον αὐ θώρηκα.

Αὐλὸς, πᾶν τὸ στενὸν καὶ ἐπίμηκες. κυρίως δὲ ἡ σύριγξ παρὰ τὸ αὖσαι τὸ βοᾷν.

Αὖλον. ἐκ τοῦ αὐλίζω γέγονε κατὰ συγκοπὴν αὖλιν.

Αὐλισθήσονται, ἐκ τοῦ αὐλίζω τὸ κατασκηνῶ.

Αὖλαξ, σχῆμα γῆς, ἐπιμὶξ [1]) παράτασις· εἰς τὸ αὐτ.

Αὐλή. παρὰ τὸ αὔω τὸ λάμπω αὐὴ, καὶ πλεονασμῷ τοῦ λ αὐλὴ, ἢ παρὰ τὸ ἄω τὸ πνέω.

Αὐλισμὸς, ἡ κιθαρῳδία, γίνεται δὲ ἐκ τοῦ αὐλῶ τὸ τραγῳδῶ αὐλισμὸς καὶ ἡ διανυκτέρευσις, ἐκ τοῦ αὐλῶ. τὸ αὐλῶ σημαίνει β.

Αὐλίδα, πόλις Βοιωτίας ἐκ τοῦ αὐλὶς· τὸ δὲ αὐλὶς ἐκ τοῦ αὐλίζω, αὐλίσω, αὐλίς. καί τι μετέχει; ἐπειδὴ ἐκεῖ συνηθροίσθη ὁ ἑλληνισμὸς ἅπας [2]).

Αὐλητρὶς, αὐλητὴς καὶ αὐλητός. ὡς ἡγήσω, ἡγητὴρ, καὶ ἄλλη παραγωγὴ ἡγήτωρ. ἡγήτορες ἠδὲ μέδοντες, καὶ αὐλήσω αὐλητὸς αὐλήτηρ, αὐλητῆρος αὐλητήριος, αὐλητηρὶς καὶ συγκοπῇ αὐλητρίς· ὡς καὶ ληϊστὴς ληϊστὴρ, ληϊστῆρος. ὡς καὶ ἡ συνήθεια πολλάκις λέγει ληϊστρὶς γυνή· τοῦτο δὲ καὶ ἀλίτης, ἀλίτηρ, ἀλιτῆρος, ἀλιτήριος.

Ἄϋλος, ὁ μὴ ἔχων ὕλην. παρὰ τὸ ὕλη ὑελὸς καὶ ἄϋλος μετὰ τοῦ στερητικοῦ α. τὸ δὲ ὕλη παρὰ τὸ ὕω τὸ βρέχω, ἡ διὰ ὑγρὰ αὐξανομένη. τὰ δὲ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν ἀναπέμπουσι τοὺς τόνους.

Αὐλῶπις, αὐλίσκον ἔχουσα, καθ' οὗ πήγνυται ὁ λόφος, ἵν' ᾖ εἶδος περικεφαλαίας, λόφος εἰς ὀξὺ ἀνατεταμένος.

Αὖρα, πνοὴ ἀνέμου λεπτὴ ἢ γαλήνη, παρὰ τὸ ἀὴρ κατ' ἀναστροφὴν παρωνύμως.

Αὐρῶ, τὸ ἀπολαύω, οὗ ὁ μέλλων αὐρήσω. ἐξ οὗ καὶ τὸ ἐπαυρήσασθαι οἴω.

Αὖρα. παρώνυμον κατ' ἀναστροφὴν ἀπ' ἀρσενικοῦ εἰς θηλυκὸν, ὡς ξυστὴρ, ξύστρα, γαστὴρ, γαστέρα, ἀὴρ ἄρα. καὶ πλεονασμῷ τοῦ υ αὖρα, ὡς αἱ γράες αἱ γραῦς, αἱ νάες αἱ ναῦς.

Αὐλὸς, τὸ στάδιον καὶ ἐν συνθέσει δίαυλος. εἴρηται δὲ διὰ τὴν στενότητα, καθ' ἣν καὶ αὐλῶνας μεταξὺ τῶν φαράγγων στενὰ ἐπὶ μῆκος φερόμενα ὀνομάζομεν. καὶ ἐπαύλεις τὰς μετὰ τὰς κελεύθους ἀναπαύσεις, ἀπὸ τῶν μουσικῶν ὀργάνων. καὶ γὰρ διὸ στενοπόρου ἐπιτεχνήματος τὸ πνεῦμα τῶν αὐλούντων διαθέει. ἢ παρὰ τὸ αὔω, αὐλὸς, ὡς δαίω δαυλός.

Αὔριον, τὸ χρονικὸν ἐπίῤῥημα. εἴρηται παρὰ τὸ αὖθι ὅπερ παμφασιν αὖρι. τρέπει τὸ θ εἰς ρ, ἀφ' οὗ καὶ τὸ αἴριον τὸ εἰς αὖθις. ἢ παρὰ τὴν αὔραν. ἢ παρὰ τὸ ἐναύεσθαι ὑπὸ τοῦ ἡλίου. ἢ παρὰ τὸ ἀὴρ αὐὴρ. Αἰολικῶς αὔερα καὶ αὖρα, παρὰ τὸ αὖρα αὔριον καὶ μᾶλλον βούλεται τὸ ἕωθεν σημαίνει, διὰ τὸ, αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό [3]).

Αὐστηρὸς, παρὰ τὸ αὔω τὸ ξηραίνω, ὁ μέλλων αὔσω· ἐξ αὐτοῦ αὐστηρὸς, ὅπερ παρὰ τὸ ὕω τὸ βρέχω. αὐστηρὸς δὲ εἴρηται παρὰ τὸ αὖον καὶ τὸ ξηρόν· καὶ τραχύ.

Αὐτὰρ τοῦ δὲ διαφέρει, ὅτι ὁ μὲν αὐτὰρ προτάσσεται, ὁ δὲ δὲ ὑποτάσσεται. ὀξύνεται δὲ τὸ αὐτὰρ ἢ βαρύνεται. οἱ μὲν οὖν ὀξυτόνως ἀνέγνωσαν, ὡς Καλλίμαχος. οἱ δὲ βαρυτόνως λόγῳ τοιῷδε. πᾶσα λέξις εἰς αρ λήγουσα βαρύνεται, οἷον δάμαρ, εἶθαρ, οὖθαρ, στέαρ, φρέαρ. ῥητέον ὅτι οὐδεὶς συμπλεκτικὸς σύνδεσμος ἢ περισπᾶται ἢ βαρύνεται. πάντες δὲ σχεδὸν ὀξύνονται.

Αὐτάρκης, τὸ ὄνομα καὶ αὔταρκες οὐδέτερον. τὸ ἐπίῤῥημα Ἀττικῶς μὲν αὐτάρκως, κατὰ δὲ τὴν ἀναλογίαν αὐταρκῶς. κανονίζεται δὲ ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν. ἠκολούθησε γὰρ τῷ τόνῳ τοῦ ὀνόματος, αὐταρκῶν γὰρ ἡ γενικὴ, αὐταρκῶς δὲ ἐπίῤῥημα, ὥσπερ ὑγιῶς ἐπειδὴ ὑγιὴς, καὶ σαφῶς ἐπειδὴ σαφής.

Αὖλαξ, παρώνυμον παρὰ τὸ αὐλόν· αὐλὸς δὲ ἐπιμήκης παράτασις· καὶ ὡς βῶλος βῶλαξ τὸ παρώνυμον καὶ ἐριβῶλαξ, λίθος λίθαξ, αὐλὸς αὖλαξ. ἐπὶ τοῦ ἀρότρου ἡ ἐπιμήκης τομή· ἀπὸ τῶν μουσικῶν ὀργάνων, καὶ γὰρ διὰ στενοπόρου ἐπιτεχνήματος τὸ πνεῦμα τῶν αὐλούντων διαθέει. ἢ παρὰ τὸ αὔω αὐλὸς, ὡς δαίω δαυλός.

Αὐτῆμαρ, αὐτῇ τῇ ἡμέρᾳ. ἐπίῤῥημα καιροῦ παραστατικόν.

Αὐτίκα, ἐπίῤῥημα μεσότητος καὶ χρόνου δηλωτικόν. τὸ τι ἰῶτα διάτι; τὰ εἰς κα ἐπιῤῥήματα τῷ ἰῶτα παραλήγουσιν, οἷον αὐτίκα, ἡνίκα, πηνίκα. πλὴν τοῦ ἦκα ὃ σημαίνει τὸ ταχέως.

Αὐτὸς, ἀντωνυμία τρίτου προσώπου, πτώσεως εὐθείας τῶν ἑνικῶν. ἐστὶ δὲ ἀσύναρθρον. τὸ τος μικρὸν διάτι; πρὸς ἀντιδιαστολὴν τοῦ αὔτως ἐπιῤῥήματος. σημαίνει δὲ τὸ αὐτὸς πέντε. ζήτει ἐν ἐπιμερισμοῖς.

Αὕτη καὶ αὐτὴ διαφέρει. αὕτη ἡ δεικτικὴ ἀντωνυμία παροξυτόνως, αὐτὴ ἡ ἀναφορικὴ ὀξυτόνως.

Αὐτοβοεὶ, τὸ παραχρῆμα συντελεσθῆναι, ἐπὶ πολεμικοῖς ἔργοις, οἷον ταχέως, ἅμα βοῇ. παρὰ δὲ Θεοπόμπῳ ἐπὶ τοῦ κατὰ κράτος.

Αὐτόμολος, ὁ ἐφ' ἑαυτῷ μολῶν ἢ φεύγων. ὁμοίως καὶ ἀπαυτομολῶ τὸ φεύγω.

Αὐτόματος, αὐτοκάλεστος, αὐτόκλητος, αὐτοβούλητός τις ὢν, ἀπὸ τοῦ μάω, ὃ σημαίνει τὸ ζητῶ, γίνεται μαστὸς, ὃν ἐπιζητοῦσι τὰ βρέφη, αὐτόμαστος, καὶ ἀποβολῇ τοῦ σ αὐτόματος, ὁ μὴ ἐπιζητηθεὶς, ἀλλ' αὐτὸς ἑαυτὸν ἐπαγαγών· ἀπὸ τούτου καὶ τὸ ἀπροτίμαστος γυνὴ, ἡ μὴ ἐπιζητηθεῖσα εἰς μίξιν· ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ μεγάροισιν ἐμοῖσι [4]).

Αὔτως, ἀπράκτως, ματαίως, ἐπίῤῥημα μεσότητος δ' ἐστι καὶ ψιλοῦται πρὸς ἀντιδιαστολὴν ἑτέρου τοῦ σημαίνοντος τὸ οὕτως· καὶ τοῦτο διάτι ψιλοῦται; τὸ στερητικὸν α ψιλοῦται. πόθεν παράγονται τὰ ἐπιῤῥήματα τῆς μεσότητος; ἐκ τῶν γενικῶν πληθυντικῶν ὀνομάτων. καὶ πῶς ἐστιν ἡ γενικὴ τοῦ ὀνόματος; ἔτειν ἐτὸς ὁ ἀληθής. ὁ γὰρ ἀληθὴς ὑπάρχον ψεῦδος οὐκ ἔστι, καὶ μετὰ τοῦ στερητικοῦ α ἄετος· καὶ ἀνεβίβασε τὸν τόνον, τὰ γὰρ εἰς ος δισύλλαβα ἀναβιβάζει τὸν τόνον ἐν τῇ συνθέσει, καὶ κλίνεται ἄετος· ἡ γενικὴ [5]) τῶν πληθυντικῶν ἀέτων. καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα μεσότητος ἀέτως, καὶ τροπῇ τοῦ ε εἰς υ, καὶ κράτει αὔτως.

---

1) (Sic.) Etym. M. *ἐπιμήκης*. 2) (Sic). Vid. Schol. ad Il. II, 303. et Etym. M. 3) Od. V, 469. 4) Il. XIX, 263. et Barn. 5) Omissa quaedam Vid. Etym. M. v. *αὔτως*.

Αὐχὴν, ἀπὸ τῆς ἄνω τοῦ κεφαλαίου νεύσεως ἐπὶ τῶν αὐθάδων. ἢ ἐπί τισιν αὐχούντων.

Αὔω, σημαίνει τὸ λάμπω. διάτι δασύνεται; διότι ἀπὸ τοῦ Φῶ τὸ λάμπω γίνεται Φαύω, καὶ αὔω κατ᾽ ἀποβολὴν τοῦ Φ. καὶ εἰς τὸ κύλη καὶ αὐτῆς, καὶ εἰς τὸ αἶνος καὶ ἄνεως καὶ τηλαυτὴς καὶ ὠρύω.

Αὔω, τὸ Φωνῶ, ἐξ οὗ καὶ τὸ τῆς Φωνῆς δεκτικὸν αὔας, καὶ τροπῇ τοῦ α εἰς ο οὔας ὦς, ὡς κῶ κῶς, ἀποβολῇ τοῦ υ ὄας. καὶ ἑτέρως· τροπῇ τοῦ α εἰς ο. κώεσσιν ἐν μαλακοῖσιν· οὖδος, οὖδος, οὐδεῖ, πλὴν τοῦ οὔτας, ὄας ὄος καὶ ἐν συναλοιφῇ οὖς, καὶ κατὰ Δωριέους ὦς· τρέπουσι γὰρ πολλάκις τὴν ου δίφθογγον εἰς ω. τὸ αὔω σημαίνει ἕξ. αὔω τὸ λάμπω, ἐξ οὗ καὶ αὔριον. αὔω τὸ ξηραίνω, ἐξ οὗ καὶ αὖος ὁ ξηρὸς, καὶ Ὅμηρος ἕστηκεν αὖον τὸ ξύλον [1]. αὔω τὸ Φωνῶ, ἐξ οὗ καὶ, αὖε δ᾽ Ἄρης ἑτέρωθεν [2]), ἀντὶ τοῦ ἐφώνει. αὔω τὸ καίω, ἐξ οὗ καὶ βάναυσος, ὁ περὶ τῷ πυρὶ ἐργαζόμενος. αὔω τὸ πνέω, ἐξ οὗ καὶ αὐλός. αὔω [3]) τὸ κοιμῶμαι, οὗ ὁ μέλλων ἀέσω, ἐξ οὗ ἀεσίφρων μὴ ἔχων διεγηγερμένας τὰς φρένας. αὔω τὸ καθεύδω. εἴρηται δὲ παρὰ τὴν αὔαρ Αἰολικῶς, τὴν γὰρ ἠῶ οἱ Αἰολεῖς αὔαν φασί. κυρίως αὔω λέγουσι τὸ ἕως, τῆς ἕω καθεύδειν αὖος ὡς. ἢ ἠὼς, τουτέστιν ἡ ἡμέρα οὕτω λέγεται παρ᾽ Αἰολεῦσιν. εἴρηται παρὰ τὸ αὔειν ὃ σημαίνει τὸ βοᾷν. ὡς Ὅμηρος· αὖε δ᾽ Ἄρης ἑτέρωθεν [4]), ἐπειδὴ φαινομένης τὰ ζῶα φθέγγεται, καὶ ἀλλήλους ἐπὶ τὰ ἔργα καλοῦσιν, οἷον ἄνθρωποι. ὡς αὖος ἡ ἠὼς τουτέστιν ἡ ἡμέρα, οὕτω λέγεται παρ᾽ Αἰολεῦσι.

Αὐχμὸς, ἡ ξηρότης, ἡ ἀβροχή. ἐπομβρία δὲ ἡ πολλὴ βροχή.

Ἄφαρ, ἐπίῤῥημα μεσότητος ἀντὶ τοῦ εὐθέως, παρὰ τὸ ἅπτω τὸ εὐθέως καὶ ἅμα τοῦ ἅψασθαι γενόμενον, ἐξ οὗ καὶ οἱ Ἴωνες καὶ οἱ Ἐφέσιοι ἀφαρεὶ λέγουσι τὸ εὐθέως καὶ ἀσκόπως ποιεῖν τι ἢ φθέγγεσθαι.

Ἀφάρτεροι, ἀπὸ τοῦ ἄφαρ ἀφάρτεροι, τουτέστι ταχύτεροι. ἢ παρὰ τὸ ἀφαρεὶ, ὅ ἐστιν ἐσπουδασμένον.

Ἄφθαρτος, ἀνκροτρίατος [5]), φάρος γὰρ ἡ ἄροσις, οἱονεὶ ἀάροτος, κατὰ περίττευσιν. καὶ αὐτὴ ἡ ἄροσις ἀπὸ τοῦ αἱρεῖν καὶ διαιρεῖν. ἢ φάρος παρὰ τὸ φάρσαι ὅ ἐστι σχίσαι· καὶ γὰρ διαφάρσους φαμὲν χιτῶνας τοὺς εἰς δύο μέρη κεχωρισμένους. καὶ φάρος τὸ ἀπόσχισμα τῆς ἐσθῆτος. ἐν ὑπομνήσει ἰάμβων Καλλιμάχου.

Ἀφαυρὰ, ἀσθενέστερα, ἀμαυρότερα ἢ κουφότερα, ἀπὸ τοῦ ἀφαυρὸς, ἤτοι ἄγαν παῦρος καὶ ὀλίγος κατὰ δύναμιν. ἢ παρὰ τὸ Φῶ τὸ λέγω φάρος, πλεονασμῷ τοῦ υ καὶ μετὰ τοῦ στερητικοῦ α ἀφαυρὸς, ὁ μηδένος λόγου ἄξιος.

Ἀφεγγὴς, ἀλαμπὴς, σκοτεινός· ἐκ τοῦ φέγγος καὶ φεγγὴς καὶ ἀφεγγής· τοῦτο παρὰ τὸ φῶς ἄγειν.

Ἀφελὴς, παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ τὸ ἑλὸν ὃ σημαίνει τὸ ἄκακον. κατὰ τὸ φερόμενον ἐν τῇ κοινότητι.

Ἄφενος, ὁ ποιητὴς οὐδετέρως χρᾶται τῇ λέξει. τινὲς δὲ ἀρσενικῶς. γίνεται δὲ ἐκ τοῦ ἔνος ὃ σημαίνει τὸν ἐνιαυτόν. ἄφενος προπαροξύνεται. ἀφενὸς δὲ ἄνθρωπος ὁ πλήρης τοῦ ἀφένου. ἔνος δὲ ὁ ἐνιαυτὸς παρὰ τὸ ἕω τὸ πληρῶ, ὁ ἐξ ἑνὸς ἐνιαυτοῦ ἀρτιμαῖος συναγόμενος. πλοῦτος δὲ ὁ ἐκ πολλῶν.

Ἀφεδρὼν, παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ τὸ ἕδρα, γίνεται ἀποέδρα καὶ ἀφέδρα. ἀφεδρὼν, καὶ σημαίνει τὸν κόλον καὶ τὴν ἀκαθαρσίαν τῆς γυναικὸς, ὅτε τὰ ἔμμηνα ἐκρεῖ αὐτῆς. καὶ λέγεται ἄφεδρος.

Ἄφεσις, ἐκ τοῦ ἀφήσω, ἐξ οὗ καὶ ἀφετὸν τὸ μὴ κρατούμενον. γέγονε δὲ παρὰ τὸ ἄφενος ὃ σημαίνει τὴν κράτησιν, ἄφεσαι δὲ τὸ μὴ κρατεῖσθαι. ἄφεσις ἡ ἐκδρομὴ τοῦ ὕδατος τῆς πηγῆς.

Ἀφέθησαν, ἐκ τοῦ ἕημι τὸ συγχωρῶ, ὁ μέλλων ἑήσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧμαι, ὁ ἀόριστος ἕθην καὶ ἀφέθην.

Ἀφέωνται, ἀφίημι, ὁ παρακείμενος ἀφῆκα καὶ Ἀττικῶς ἀφέωκα. οἱ γὰρ Ἀττικοὶ ἡνίκα πλεονασμὸν τοῦ ε κατὰ τὸν παρακείμενον ποιοῦσι τότε καὶ τὸ ἐπαγόμενον φωνῆεν εἰς ω μέγα τρέπουσι. ὁ παθητικὸς ἀφέωμαι, τὸ τρίτον τῶν πληθυντικῶν ἀφέωνται· αὐθυπότακτον.

Ἀφὴ, σημαίνει δύο, τὸ προσψαῦσαι τῷ σώματι, καὶ τὸ πλῆξαι καὶ τραυματίσαι, καὶ συντρίψαι, ἐξ οὗ καὶ ἀφανισμὸς, ἡ ἐκ τοῦ πολέμου βάσανος, καὶ ἀφὴ ἡ πληγὴ, καὶ ἀφανίζω τὸ λεπτύνω, καὶ πορθῶ, καὶ ἀφανῆ ποιῶ. ἀφανισμος δῄωσις πολεμική.

Ἀφῆκα, παρὰ τὸ ἀφίημι, ἀφήσω, ἀφῆκα· καὶ εἰς τὸ ἀτηωρημνός.

Ἀφηνιάζω, εἴρηται ἡ λέξις ἀπὸ μεταφορᾶς τῶν ἵππων τῶν σκλυρυνομένων, καὶ ἄποθεν τῶν ἡνίων καθεστώτων· ἀφηνιάζειν οὖν τὸ σκληρύνεσθαι, καὶ ἀπὸ τῆς εὐθείας ὁδοῦ εἶναι. γίνεται δὲ ἐκ τοῦ ἥνιον, ὃ σημαίνει τὸν λῶρον, ἡνιάζω καὶ ἀφηνιάζω.

Ἄφθιτον, ἔστι φθίω τὸ φθείρω, καὶ πλεονασμῷ τοῦ ν φθίνω, καὶ ἐξ αὐτοῦ φθινύω, καὶ πλεονασμῷ τοῦ θ φθινύθω. καὶ Ὅμηρος φθινύθεσκε φίλον ἦτορ. ἐκ δὲ τοῦ φθίω γίνεται φθιτὸς καὶ ἄφθιτος. ἐκ τούτου καὶ ἡ ἀφθονία, ἡ δαψίλεια τοῦ ὑγροῦ. σημαίνει δὲ τὸ πλῆθος, γέγονε δὲ ἐκ τοῦ φθίνω φθινία. καὶ ἀφθονία παρὰ τὸ ἀφθόνως· τὸ δὲ φθίνω διφορεῖται, γράφεται γὰρ καὶ διὰ τοῦ ἰῶτα, καὶ διὰ τῆς ει διφθόγγου.

Ἄφθονον, τὸ πολὺ μετὰ τοῦ ἐπιτατικοῦ α κυρίως λέγεται ἡ λέξις καὶ ἐπὶ πλῆθος τῶν ῥεόντων ὑδάτων, ἐξ οὗ καὶ ἀφθονία. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἄφατον. καὶ ἔστιν ἐπίῤῥημα μεσότητος ἀφθόνως.

Ἀφίγμεθα, ἀπὸ τοῦ ἥκω, ἥξω, ἧκα, ἧγμαι [6]), ὥσπερ λέλεχα, λέλεγμαι. καὶ λαμβάνει τὴν πρόθεσιν, καὶ γίνεται ἀφίγμεθα, τὸ πληθυντικὸν εὐλογίου.

Ἀφίει, ἔστι ῥῆμα ἰῶ περισπώμενον καὶ δασύνεται· τούτου ὁ παρατατικὸς ἴουν, τὸ δεύτερον ἴεις τὸ γ ἴει καὶ ἀφίει ἐξ οὗ τὸ προΐει. ἰστέον δὲ ὅτι τοῦ τίθημι καὶ τοῦ δίδωμι, καὶ τοῦ ἵημι οἱ παρωχημένοι μᾶλλον ἀπὸ τῶν εἰς ω εἰσιν ἐν χρήσει, ἤπερ ἀπὸ τῶν εἰς μι· ὡς εἴπων ἐν χερσὶ τίθει. καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα.

Ἄφιξις, παρὰ τὸ ἥκω. τοῦτο ἐν μὲν τοῖς ἐνεργητικοῖς παρὰ τοῖς ποιηταῖς διὰ τοῦ ι γράφεται, παρὰ δὲ τοῖς πεζολόγοις καὶ ἰαμβολόγοις διὰ τοῦ η. ἐν δὲ τοῖς παθητικοῖς καὶ ἐν τοῖς ἐνεργετικοῖς διὰ τοῦ ι. ἀφῖγμαι, ἀφίξω, ἀφίην. ἐν δὲ τοῖς ὀνόμασι διὰ τοῦ ι, οἷον προΐκτης, σημαίνει δὲ τὸν προσαιτοῦντα, παρὰ τὸ ἵκεσθαι. καὶ πάλιν ἱκανὸς εἰς πάντα δύναται παραγίνεσθαι [7]).

---

1) Il. XXIII, 327. 2) Il. XX, 51. 3) (Sic) L. ἄω. cf. Etym. M. v. αὔω et ἀεσίφρων. 4) Il. XX, 51. 5) Lege ἀφάροτος. vid. Etym. M. 6) (Sic) L. ἵκω etc. 7) Corrupta quaedam.

Ἄφραστον, ἀκατάληπτον, ἄῤῥητον, ἀνεκδιήγητον, ὃ μὴ δύναται φράζεσθαι.

Ἀφαστιασμένον, τὸ ἀποκεκληρωμένον καὶ τετιμημένον.

Ἀφρογένεια [1]· ἢ παρὰ τὸ ἀφρενὸς· καὶ Εὐριπίδης, τὰ μόρια γὰρ πάντεσσι γίνονται ἀφροσύνη βροτοῖσι [2].

Ἀφρήτωρ, καὶ ἀφράτωρ, ὁ φρατρίαν καὶ συγγένειαν μὴ ἔχων. Ὅμηρος· φρατρία δὲ κυρίως τὸ τρίτον μέρος τῆς φυλῆς.

Ἀφνειὸς, ὁ πλούσιος, ἔστιν ἔνος ὁ ἐνιαυτὸς· ἐκ τούτου γίνεται ἄφενος. τουτέστιν ὁ τῶν καρπῶν τοῦ ἐνιαυτοῦ συναγόμενος πλοῦτος· ἐκ τοῦ ἄφενος οὖν γίνεται ἀφενειὸς καὶ κατὰ συγκοπὴν ἀφνειός· καὶ εἰς τὸ ὀλβιόδαιμον καὶ πλούσιος.

Ἀφνειὸς, ὁ πλούσιος, οἷον ἀπενέος ὁ μὴ πενόμενος.

Ἄφνω, τὸ ἐξ ἀφανοῦς. ἄφαν. ἀφανῶς ἐπίῤῥημα συγκοπῇ καὶ ἀποβολῇ τοῦ σ ἄφνω, βαρυτονῶς ὡς πόῤῥω, ἔξω.

Ἄφνω, σημαίνει τὸ ἀπροσδοκήτως. γέγονε παρὰ τὸ ἀφανὴς ἀφανῶς, ὡς εὐσεβὴς εὐσεβῶς, εὐγενὴς εὐγενῶς· καὶ συγκοπῇ καὶ ἀποβολῇ τοῦ σ, καὶ ἀναδρομῇ τοῦ τόνου διὰ τὸν χαρακτῆρα ἄφνω. οὕτως περὶ παθῶν. ἔστι δὲ ἐπίῤῥημα χρονοῦ δηλωτικόν [3]). τὰ γὰρ εἰς ω λήγοντα δισύλλαβα ἐπιῤῥήματα, μὴ ὄντα Δωριαῖα βαρύνονται, οἷον, πόῤῥω. κάτω, ἔξω.

Ἀφορίζω, τὸ διαχωρίζω καὶ ἐκλέγω, ἐκ τῆς ἀπὸ προθέσεως καὶ τοῦ ὅρος, ὃ σημαίνει τὸν ὁρισμόν.

Ἀφοσιῶ, τὸ πληρῶ καὶ ἀποδιδῶ· τοῦτο παρὰ τὸ ὅσιος, ἐκ τοῦ ὁσιῶ γὰρ γέγονε ὁσιῶ καὶ ἀφοσιῶ, τὸ τὰ νενομισμένα ἐπὶ τῇ ταφῇ πληρῶ.

Ἀφροδίτη, ἡ τοῦ ἀνδρὸς πρὸς γυναῖκα συνουσία. καὶ ὄνομα κύριον. Εὐριπίδης παρὰ τὴν ἀφροσύνην· τὰ μωρὰ [4]) γὰρ πάντεσσι γίνονται βροτοῖς. ἐναντία γὰρ ἔστιν αὕτη τῇ φρονήσει· καὶ Ἐπαφροδίτης, παρὰ τὸ ἀφραδὲς μὴ νομιζομένην φρόνησιν, διὰ τὸ ἀφραδὲς καὶ ἄγνωστον τῆς μίξεως· ἢ παρὰ τὸ ἀφρὸν τῆς συνουσίας· ἢ διὰ τὸ ἐκ θαλάττης αὐτῆς τὴν γένεσιν εἶναι. ὁ δὲ Δίδυμος, παρὰ τὸ ἁβρὸν τῆς διαίτης, τὸ γὰρ β τοῦ φ συγγενές ἐστιν, δῆλον ἐκ τοῦ τοὺς Μακεδόνας τὸν Φίλιππον Βίλιππον καλεῖν καὶ τὸν φαλακρὸν βαλακρὸν, καὶ τὸν Κεφαληνὸν Κεβαληνὸν, καὶ τοὺς Φρύγας Βρύγας, καὶ τοὺς ἀνέμους διὰ τὸ φυσᾶν φυσήτας ὄντας, βύκτας καὶ Ὅμηρος βυκτάων ἀνέμων κατέδησε κέλευθα [5]). διχῶς δὲ ἡ ἁβροδίαιτος, ὅτι δεῖ αὐτῇ διὰ τὸ κάλλος χλιδῆς· ἢ ὅτι οἱ κατεχόμενοι τῇδε τῇ θεᾷ ἁβροὶ καὶ πολυτελεῖς. οὕτω Δίδυμος. καὶ τοὔνομα ἀφροσύνης ἔχει θεά· καὶ ἐντεῦθεν αὐτὴν τὴν Ἀθηνᾶν παρεισάγουσαν.

Ἀφροδίτη, ὥσπερ ἀπὸ τοῦ φυτὸν γέγονε φυτρὸς καὶ φιτρὸς κατὰ τροπὴν τοῦ υ εἰς ι, ὅ ἐστι κορμὸς, καὶ ἀπὸ τοῦ δύο φέρειν γίνεται δυόφορος, καὶ τροπῇ τοῦ υ εἰς ι δίφρος ὅ ἐστιν ἅρμα, παρὰ τὸ δύο φέρειν τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἐνεδύτα καὶ τοῦ ἀφροῦ γίνεται ἀφροδύτη, καὶ τροπῇ τοῦ υ εἰς ι ἀφροδίτη. γέγονε δὲ παρὰ τὸ ἀφρὸς ἀφροδίτη. Ἀφροδίτη δὲ λέγεται παρὰ τὴν ἀφροσύνην· καὶ τοὔνομα ὀρθῶς ἀφροσύνη ἔχει θεά· καὶ εἰς τὸ ἀνεπαφρόδιτον.

Ἀφρὸς, φρῶ ἔστι ῥῆμα, ἀπὸ τοῦ προϊῶ· ἀφ' οὗ τὸ εἰς φρῶ, ὅπερ ἐγένετο ἀπὸ τοῦ προϊῶ συγκοπῇ· παρὰ δὲ τὸ φρῶ, τὸ μονοσυλλαβὸν ὄνομα φρὸς, καὶ ἀφρὸς κατ' ἐπίτασιν τοῦ α. παρὰ τὸ προϊέσθαι μετὰ φορᾶς.

Ἄφρων, ἀνοήτου διαφέρει. ἄφρων ἔστιν ὁ ἐστερημένος φρονήσεως, καὶ ὁ πρὸς τὰ κοινὰ καὶ ἀνθρώπινα διοριατικῶς μὴ ἔχων. καὶ ὁ ἄθεος, καὶ ὁ ἐθνικῶς ζῶν. ἀνόητος δὲ ὁ ἄνους, ὁ μὴ ἔχων τὰ τοῦ ἀνθρώπου ἐξαίρετα, ἀλλὰ καὶ περὶ τὴν ζωὴν βλαβερὸν, καὶ Ἰουδαϊκῶς κατὰ τὴν τοῦ νόμου τήρησιν πολιτευόμενος.

Ἄφρων, ὁ ἄνους, παρὰ τὸ φρῶ τὸ προϊῶ γίνεται φρῶν καὶ μετὰ τοῦ στερητικοῦ α ἄφρων.

Ἀφύης, ἐκ τοῦ φυὴ, ὃ σημαίνει τὸν τρόπον καὶ τὴν θέσιν. ἀμφοτέρων δὲ φυὴν ἐδάην [6])· καὶ μετὰ τοῦ στερητικοῦ α ἀφύης, οἱονεὶ ὁ κακότροπος. εὐφυὴς καὶ εὐμαθὴς διαφέρει. εὐμαθὴς μὲν ὁ καλῶς μανθάνων. εὐφυὴς δὲ ὁ πανοῦργος καὶ σκώπτης.

Ἀφύξειν, παρὰ τὸ ἀφύσσω τὸ ἀπαντλῶ. Δωρικὴ δὲ ἡ λέξις ἐν πλεονασμῷ τοῦ λ λαφύσσω. γίνεται οὖν ἀφύξειν τὸ ἀπαρέμφατον τετάρτης συζυγίας τῶν βαρυτονῶν. τὸ ἀφύσσω ἀπὸ τοῦ φύσσω, μετὰ τοῦ ἐπιτατικοῦ α ἀφύσσω, ἀπὸ μεταφορᾶς τῶν φυσσουμένων ἀσκῶν.

Ἀφύσγετος, ἡ ἀκαθαρσία καὶ ὁ ῥύπος, ἀπὸ τοῦ ἀφύσσεσθαι ὑπὸ τοῦ ῥεύματος. καὶ εἰς τὸ ἐξαίρετον.

Ἀφυσσόμενοι, ἀρυόμενοι, ἀπαντλοῦντες ἢ κενώσαντες· μετοχὴ ῥήματος ἐνεργητικοῦ· τὸ θέμα ἀφύσσω ὁ μέλλων ἀφύξω καὶ τὸ ἀπαρέμφατον ἀφύξειν. γίνεται δὲ ἐκ τοῦ φύω τὸ κρατῶ· ἐν τ' ἄρα οἱ φῦ χειρὶ [7])· μετὰ τοῦ ἐπιτατικοῦ α ἀφύω, ὁ μέλλων ἀφύσω καὶ πλεονασμῷ τοῦ σ ἀφύσσω μεταγομένου τοῦ χρόνου εἰς ἐνεστῶτα. ἀνατρέπεται δε· ἐπειδὴ τὰ ἀπὸ μελλόντων εἰς ἐνεστῶτα παραγόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται. γίνεται γοῦν ἐκ τοῦ αρύω τὸ ἀπαντλῶ, κατὰ τροπὴν τοῦ ἀμεταβόλου εἰς δασὺ ἀφύσσω· εἰς τὸ α φιλὴν διατι; τὸ α πρὸ δασέος ψιλοῦται, πλὴν τοῦ ἀφή.

Ἀχαΐδες, γυναῖκες Πελοποννησίαι, καὶ περὶ τοῦ ἐρίθους τὸ εὔτεχνον ἔχουσαι δὲ ἐκ τοῦ Ἀχαὶς, τοῦτο δὲ ἐκ τοῦ Ἀχαιά. καὶ σημαίνει τρία, τὴν θεὸν, καὶ τὴν ἐρίθουσαν, καὶ τὴν γυναῖκα.

Ἀχαιὸς [8]), ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; ἐθνικοῦ· ποσαχῶς λαμβάνεται τὰ ἐθνικά; τετραχῶς. ἐκ πόλεως, ἐκ χώρας, ἐξ ἔθνους, ἐκ βασιλείας. τὸ δὲ Ἀχαιὸς ἀπὸ Ἀχαιοῦ βασιλεύσαντος τῆς Ἑλλάδος, ἐξ οὗ καλεῖται Ἀχαΐα. διατι ὀξύνεται; τὰ διὰ τοῦ αιος εἰ ἔχουσι πρὸ τῆς αι διφθόγγου τὸ χ προπερισπῶνται, οἷον ἀρχαῖος, τραχαῖος· σεσημείωται τὸ Ἀχαιός.

Ἀχαιὸς, τὸ ἐθνικὸν ἀπὸ Ἀχαΐας, ὅ ἐστι Πελοποννήσου. καὶ Ἀχαιὸς ποιητής· καὶ Ἀχαιὸς κόλαξ.

Ἀχαιά, ἡ Δημήτηρ παρὰ Ἀττικοῖς. εἴρηται παρὰ τὸ ἄχος τῆς λύπης [9])· οὕτω Δίδυμος. καὶ ὅτι μετὰ κυμβάλων ἠχοῦσα τὴν κόρην ἐζήτει. ἢ ὡς φιλητὰς τὰς ἐρίθους Ἀχαιὰς ἐκαλοῦν. ἔνιοι δὲ ἐκτείναντες τὸ ἀπὸ τοῦ συμβάντος γεφυραίοις. καὶ πάλιν Ἀχαιὰ ἡ Δημήτηρ. μέμνηται τοῦ ὀνόματος Ἀριστοφάνης. εἴρηται ἀπὸ τοῦ ἄχους, τοῦ ἐπὶ Περσεφόνῃ ὥς φησιν ἀπὸ ἱστορίας τοιαύτης. τοῖς Ταναγραίοις μεταστᾶσιν ἐκ Τανάγρας ἡ Δημήτηρ ὄναρ φανεῖσα, ἐκέλευσεν αὐτοὺς

---

1) Omissa quaedam. 2) Troad. 989. 3) Verba οὕτως ad δηλωτικὸν parenthesin efficiunt. 4) cf. supra in ἀφρογένειαν Troad. 989. 5) Od. X, 20. 6) Il. III, 208. 7) Il. VI, 253. 8) cfr. Etymolog. M. v. ἀχαΐδες. item cod. noster p. 100. v. ἄχος. 9) Etym. M. κόρης.

ἀκολουθῆσαι τῷ γινομένῳ ἤχῳ· καὶ ὅπου ἂν παύσηται, ἐκεῖ πόλιν κτίσαι. καὶ διώδευον ἀκούοντες ψόφου καὶ κυμβάλων καὶ τυμπάνων, καὶ παυσαμένου περὶ Ἀττικοὺς ἔκτισαν πόλιν, καὶ ἱδρύσαντο ἱερὸν Ἀχαιᾶς Δημήτερος.

Ἄχνη, τὸ λεπτότατον μέρος τῶν ἀχύρων, ὧν οὐκ ἄν τις ἔχεσθαι δύναται διὰ σμικρότητος· καὶ ἐπὶ τοῦ ὕδατος ὁμοίως.

Ἄχνη, πᾶσα λεπτότης ὑγροῦ τε καὶ ξηροῦ· ἐπὶ μὲν ὑγροῦ, ἀποπτύει δ' ἁλὸς ἄχνην [1])· ἐπὶ δὲ ξηροῦ, κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας [2]). εἴρηται δὲ παρὰ τὸ ἔχω καὶ τὴν α στέρησιν, ἀεχινή τις οὖσα, ἡ μὴ δυναμένη ἔχεσθαι καὶ κρατεῖσθαι. διὰ τὸ λεπτομερὲς καὶ τομόν. Ἀλέξανδρος δὲ ὁ τοῦ Ἀσκληπιάδου παρὰ τὸν ἕξω μέλλοντα, ὡς τεύξω τέχνη ἀποβολῇ τοῦ ι, ἄχνη κατὰ τροπὴν τοῦ ε εἰς α [3]).

Ἀχνὺς, ἡ λύπη, εἴρηται παρὰ τὸ ἄχος, παρωνύμως ἀχὺς, καὶ πλεονασμῷ τοῦ ν ἀχνύς.

Ἀχαλίνων, τὸ λι ἰῶτα διάτι; τὰ διὰ τοῦ ινω ῥήματα διὰ τοῦ ι γράφεται. τὸ νω μέγα διάτι [4]); ἡ δὲ τρίτη συζυγία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος. χαλινῶ, χαλινώσω.

Ἀχανὲς, ἀφεγγὲς στερητικὸν τὸ α καὶ σημαίνει τὸ μέγα καὶ βαθὺ, ἢ τὸ ἡπλωμένον. εἰ δὲ ἐπιτατικὸν, τὸ λίαν ἀνεωγμένον, παρὰ τὸ ἄγαν κεχηνέναι.

Ἀχανὴς, ἄλαλος καὶ ἄφωνος· ὁ μὴ κεχηνὼς εὐρύς.

Ἄχερδος, βαρυτονῶς, παρὰ τὸ μὴ δύνασθαι αὐτὴν λαβεῖν τῇ χειρὶ, διὰ τὸ ἀκανθῶδες, πλεονασμῷ τοῦ δ. ὡς ἔστι τὸ ὕωρ, ὕδωρ.

Ἀχερωΐς, ἡ λεπτή.

Ἄχθομαι, παρὰ τὸ ἄχω ἄχομαι καὶ ἄχθομαι.

Ἄχθος, εἰς τὸ ἄχος, καὶ εἰς τὸ ἀπηχθημένος.

Ἀχιλεὺς, παρὰ τὸ ἄχος καὶ λύπη γένεσθαι τῇ μητρί· ἢ ὁ τὰ ἄχη τῶν παθῶν λύων, ἰατρὸς γὰρ ἦν ἔμπειρος. ἢ ὁ λαοὺς ἄγων ὡς στρατηγός. ἢ διὰ τὸ μὴ χιλῷ ἀνατραφῆναι· ἢ παρὰ τὸ χιλὸς, ὃ δηλοῖ τὴν τροφὴν, χιλεὺς καὶ μετὰ τοῦ στερητικοῦ α, Ἀχιλεὺς, ὁ ἐστερημένος τροφῆς. λέγουσι γὰρ αὐτὸν ἐκ μυελῶν ἐλάφων τραφῆναι. ἢ ὅτι ἄχος τοῖς Ἰλιεῦσι παρέσχεν. ἡ γενικὴ Ἀχιλῆος Ἰωνικῶς. αἱ ἀπὸ τῶν εἰς ευς γενικαὶ ἐξαχῶς προφέρονται· οἷον Ἀχιλέως, Ἰωνικῶς Ἀχιλῆος· Ἀχιλεος [5]) κατὰ τοὺς Βοιώτους· Ἀχιλεὸς κοινῶς κατὰ τοὺς Αἰχαίους καὶ Ἴωνας, Αἰολεῖς καὶ Δωριεῖς· Ἀχιλεῖος κατὰ τοὺς νεοὺς Ἴωνας, Αἰολεῖς καὶ Δωριεῖς· καὶ Ἀχιλεῦς περισπωμένως κατὰ τοὺς Δωριεῖς.

Ἀχρὰς, ἡ ἄπιος ἢ ἀγρία. εἴρηται παρὰ τὴν ὄχλησιν, τὴν ἐν τῷ ἐσθίεσθαι γινομένην ὑπ' αὐτῶν. ἔστιν οὖν ἀχὰς καὶ ἀχρὰς· ἡ αὐτὴ δὲ καλεῖται καὶ ὄχνη.

Ἀχλὺς, σκότος, παρὰ τὸ τὰς ὄψεις ἡμῶν λυπεῖν καὶ ὀχλεῖν. ἄχος γὰρ ἡ λύπη. οὕτως Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἐτυμολογιῶν.

Ἀχλὺς, ἔστι χέω καὶ ἐξ αὐτοῦ γίνεται χύσω, ὥσπερ ῥέω ῥύσω. ἐκ τοῦ χύσω ἀποβολῇ τοῦ ω χὺς καὶ πλεονασμῷ τοῦ λ καὶ κατ' ἐπίτασιν ἀχλὺς, ἡ πάνυ κεχυμένη, ζόφος γάρ ἐστι. ἢ ἀπὸ τοῦ ἀχὸς ἀχὺς, καὶ πλεονασμῷ τοῦ λ ἀχλύς. ἢ παρὰ τὸ ἄγαν εἰλύειν καὶ ἀποκρύπτειν.

Ἀχνύμενοι, λυπούμενοι, ἐκ τοῦ ἄχω, τοῦτο ἐκ τοῦ χῶ, ὃ δηλοῖ τὸ διαχεῖσθαι τὴν ψυχὴν ὑπὸ τῆς ἡδονῆς καὶ χαρᾶς, ἐξ οὗ γίνεται χαίρω. λοιπὸν ἐκ τοῦ χῶ γίνεται ἄχω, τὸ μὴ διαχεῖσθαι, ἀλλὰ συνέχεσθαι ὑπ' αὐτῆς τὴν ψυχήν· ἢ χῶ τὸ χωρῶ χὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄχος, ὁ μὴ χωρούμενος διὰ τὴν λύπην. γίνεται ἄχω ἀχύω, καὶ πλεονασμῷ τοῦ ν ἀχύνω, καὶ ἐν ὑπερβιβασμῷ ἀχνύω, καὶ ἀχνύμενος καὶ τὰ ἑξῆς.

Ἄχος ἡ λύπη ὄνομα, παρὰ τὸ χέω μετὰ τοῦ στερητικοῦ α. ἡ μὴ διαχέουσα τὴν ψυχὴν ἀλλὰ συγχέουσα ὥσπερ τοὐναντίον ἐπὶ τοῦ χαίρω, παρὰ τὸ διαχύ[-]θαι. ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; [ε]ἰδικοῦ. διόρισον. εἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέν· καὶ ἐκ ποίου γένους παρήχθη; ἐκ τῆς λύπης. καὶ πόσα εἴδη λύπης; τέσσαρα, ἄχος, ἄχθος, φθόνος καὶ ἔλεος. τί ἐστιν ἄχος; λύπη ἀφωνίαν ἐμποιοῦσα καὶ ἐνοχλοῦσα ἐπὶ ἀβουλίᾳ τῶν συμβαινόντων ἤτοι ἀφορήτοις συμβάσεσι. τί ἐστι φθόνος; λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς. τί ἐστιν ἄχθος;

[6]) τί ἐστιν ἔλεος; λύπη ἐπ' ἀλλοτρίοις κακοῖς. πάσχει γάρ τις καὶ οὐ ἐλεεῖς.

Ἄχος, ἡ λύπη, παρὰ τὸ μὴ ἐᾶν τὴν ψυχὴν διαχεῖσθαι καὶ χαίρειν. ἄχω σημαίνει τὸ ἀδημονῶ, τὸ παθητικὸν ἄχομαι, ἐξ οὗ καὶ ἀχάλλω καὶ ἀχαλῶ, καὶ ἀσχάλλω ἐξ οὗ καὶ ἀσχαλαᾷ παρὰ νηυσίν [7]).

Ἄχραντος, ἐκ τοῦ χραίνω τὸ μολύνω, χρανῶ κέχραμαι, καὶ ἄχραντος παρὰ τὸ μὴ χραίνεσθαι, ἤγουν μολύνεσθαι.

Ἀχρεῖος, γίνεται ἐκ τοῦ χρεῖα, καὶ ὤφειλεν εἶναι ἄχρειος. κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν συντεθέντα προπαροξύνεται, οἷον, πύλη εὐρύπυλος, κεφαλὴ ἀκέφαλος, οὕτω καὶ χρεῖα ἄχρειος. ἀλλ' ἕτερος κανὼν ἐστιν ὁ λέγων, ὅτι τὰ τοῦ ειος ὀνόματα ἔχοντα ἐν πρώτῃ συλλαβῇ τὸ α, μεθ' ὅ ἐστι β σύμφωνον ἢ κ πρὸ μιᾶς ἔχει τὸν τόνον. οἷον ἀστεῖος, Βακχεῖος, Καδμεῖος [8]). τούτοις συνηκολούθησε καὶ τὸ ἀχρεῖος. ὡς οὖν εἴπομεν ἐκ τοῦ χρεῖα, μετὰ τοῦ στερητικοῦ α ἀχρεῖος, οὗ μὴ ἔχει τὶς χρείαν· καὶ ἐξ αὐτοῦ ἀχρεῖον τὸ οὐδέτερον. ἀπὸ δὲ ὀνόματος μετήχθη εἰς ῥηματικὴν σύνταξιν.

Ἀχρεῖον, ἔστι ῥῆμα χρῶ, δηλοῦν τὸ ἅπτομαι καὶ πλησιάζω, οὗ παράγωγον χραύω. Ὅμηρος, χραύσῃ μέν τ' αὐλῆς [9]). ἀφ' οὗ τὸ ἔχραε τὸ ἐπιβαρύνειν· καὶ μετὰ [10]). τοῦ στερητικοῦ α ἄχρης. καὶ ἀχρεῖον τὸ ἀσθενὲς καὶ βάρους ἀμέτοχον. Ὅμηρος· ἀλγήσας δ' ἀχρεῖον ἰδὼν ἀπεμόρξατο δάκρυ [11]), ἀντὶ τοῦ ἀσθενῶς καὶ ταπεινῶς. ἐπὶ δὲ Πηνελόπης, ἀχρεῖον δ' ἐγέλασεν [12]), ἐπίπλαστον καὶ ἐπικεκρυμένον, καὶ ἐπιπόλαιον, μέχρι μόνου διανοίγειν.

Ἄχρι, ἀντὶ τοῦ μέχρι, ἀποβολῇ τοῦ μ, καὶ μεταθέσει τοῦ ε εἰς α. οὕτως Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ.

Ἄχρις, καὶ ἄχρι κατ' ἀποβολὴν τοῦ σ. παρὰ δὲ τὸ μέχρι εἴρηται κατ' ἀποβολὴν τοῦ μ, καὶ τροπῇ τοῦ ε εἰς α. ὡς τὸ δεινὸς εἰνὸς ἀποβολῇ τοῦ δ. ἄχρι καὶ ἄχρις διαφέρει· τὸ μὲν γὰρ ἄχρι χωρὶς τοῦ σ, χρονικόν ἐστιν ἐπίῤῥημα. ἄχρις δὲ μετὰ τοῦ σ ἀντὶ τοῦ σ ἀντὶ τοῦ ἀκριβῶς· Ὅμηρος, ἄχρις ἀπηλοίησεν [13]) ἀντὶ τοῦ ἀκριβῶς ἀπέκοψεν.

Ἄχρι, ἀντὶ τοῦ μέχρι, ἀμοιβῇ τῶν στοιχείων.

---

1) Il. IV, 426. 2) Il. V, 501. 3) Emendetur Etym. M. Eustath. p. 217. e. f. 4) corrupta. 5) vid. Etym. M. v. βασιλεύς. 6) (Sic.) omissa definitione τοῦ ἄχθους. 7) Il. II, 293. ubi. 8) cf. 9) Il. V, 138. v. Schol. ad Od. V, 396. 10) Vid. Etym. M. 11) Il. II, 269. 12) Od. XVIII, 162. 13) Il. IV, 522.

Ἄχρονον, παρὰ τὸ μὴ ἀπὸ χρόνου ἄρξασθαι.

Ἄχυρον, ἡ καλάμη ἡ ἀλωνισθεῖσα ἀέχυρόν τι ὄν. οὐδὲν ἔχον ὀχυρόν.

Ἀψ. ἐκ τοῦ α τοῦ σημαίνοντος τὸ εἰς τὰ ὀπίσω. οὐ μόνον γὰρ τὸ α σημαίνει τὸ ὁμοῦ, ἀλλὰ καὶ τὸ εἰς τὰ ὀπίσω. γίνεται ἄψ. καὶ ἐρύω ἀερύω τὸ εἰς τὸ ὀπίσω· ο· καὶ πλεονασμῷ τοῦ υ, αὖ ἐρυσάμην [1]). οἱ δὲ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ, ὁ μέλλων ἕψω, [1]· καὶ ἄψ. σημαίνει τρία, ἄψ δὲ ἦλθε. σημαίνει δὲ το ἔσω, ἄψ δ' ἐπὶ δόμον ἰὼν κατ' ἄρ' ἕζετο [2]). καὶ εἰς τὸ ὀψιτέλεστον. 10

Ἀψ, εἰς τὸ ὀπίσω, ἄοψ τὰ ἄοπτον. τὰ γὰρ ὀπίσω οὐκ ὀπτά.

Ἄψεα, τὰ μέλη παρὰ τὸ συνῆφθαι αὐτὰ εἰς σύστασιν ὅλου τοῦ σώματος.

Ἀψόκορον, παρὰ τὸ ἄψ ὃ σημαίνει τὸ εὐθέως καὶ τὸ κόρος· τὸ εὐθέως κόρον λαμβάνον καὶ ταχέως πληρούμενον.

Ἀψοῤῥον, ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ ὀπιστορμητον. καὶ γίνεται ἀπὸ τοῦ ἄψ τὸ ὀπίσω καὶ τοῦ ὄρω τὸ διεγείρω. πλεονασμῷ τοῦ ρ ποιητικῶς. 20

Ἀψοῤῥοι, ὀπισθόρμητοι. σημαίνει δὲ δύο, τὸ εἰς τοὐπίσω· καὶ ἄψοῤῥοι ποτὶ ἄστυ λέλεχθεν.

Ἀψοφητί, ἐκ τοῦ ψόφος, ὃ σημαίνει τὸν κτύπον, γίνεται ψοφῶ, ὁ μέλλων ψοφήσω, καὶ ἐξ αὐτοῦ ἀψοφητί. τὸ τι ἰῶτα διάτι; τὰ εἰς τι ἐπιῤῥήματα διὰ τοῦ ι γράφεται, οἷον ἀναιμωτί, ἀγελαστί, ἀψοφητί, ἀμογητί. καὶ Ὅμηρος· Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν [3])· πλὴν τοῦ ἀκηρυκτεί, ἀφιετεὶ ἀνουτεί.

Ἄψεα, κυρίως αἱ συναφαὶ τῶν μελῶν, καταχρηστικῶς δὲ τὰ μέλη, παρὰ τὸ ἅπτω, ἅψω, ἅψος καὶ ἅψεα πληθυντικῶς. ἅψεα οὖν τὰ ἐξ ἀλλήλων συναπτόμενα καὶ συνηρμοσμένα. 30

Ἄψεα, τὰ μέλη ἀπὸ τοῦ ἐφάπτεσθαι ἄλληλα, ἀπὸ τοῦ ἅπτω ῥήματος. καὶ ἅψεα πληθυντικῶς, ἃ καὶ παραλύεται καὶ χαυνοῦται ἐν τῷ καθεύδειν. ὅθεν λυσιμελὴς ὁ ὕπνος. δύναται γὰρ καὶ λυσιτελὴς νοεῖσθαι, ὁ λύων τὰς φροντίδας· εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ [4]).

Ἀψίντιον, εἶδος βοτάνης πικρᾶς, ὡς καὶ τὸ ἀβρότινον. ἔνιοι δὲ τῶν κωμικῶν ἀπίντιον καλοῦσιν, ὃ οὐκ ἄν τις πίνῃ διὰ πικρότητα.

10 **Ἀωρία**, ἔστιν ὥρα καὶ σημαίνει τὸ φῶς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄωρος, καὶ τὸ θηλυκὸν ἀωρία, ἤγουν σκότος. τοῦτο δὲ παρὰ τὸ ὁρῶ τὸ βλέπω.

Ἄωρος, ὁ ἀπαιωρημένος, ἢ καὶ ἐκκρεμής. οἱ δὲ τὴν κωλῆν μὴ ἔχοντα, Ἴωνες γὰρ τὴν κωλῆν ὥραν καλοῦσιν. οἱ δὲ τὸ ἀφύλακτον, ὥρα γὰρ ἡ φυλακή, ἔνθεν καὶ παρὰ τοῖς Ἀττικοῖς οἱ ὦροι. Καλλίμαχος [5] δὲ κατὰ μετάληψιν τοὺς ἀγρίους. ἄωρον γὰρ τὸ ὠμόν, τὸ δὲ ὠμὸν ἄγριον, ὅθεν καὶ τοὺς ὠμοὺς τῶν καρπῶν ἀώρους φαμέν.

20 **Ἄωρτο**, ὁ μὲν Ἡρωδιανὸς λέγει, ὅτι σημαίνει τὸ ἥρμοστο [6]), τουτέστι παρὰ τοῦ ξίφους, ἐκ τοῦ ἀρῶ τὸ ἁρμόζω. ὁ μέλλων Αἰολικῶς ἄρσω, ὁ παρακείμενος ἦρκα, ὁ παθητικὸς ἦρμαι ὁ ὑπερσυντελικὸς ἤρμην, ἦρσο, ἦρτο, καὶ Ἰωνικῶς ἄρτο, καὶ πλεονασμῷ τοῦ ω, ὥσπερ εἶθα, εἴωθα, ἄρτο, ἄωρτο γίνεται. τινὲς δὲ λέγουσι τὸ ἐκρέματο. καὶ γίνεται ἐκ τοῦ αἴρω, τὸ κουφίζω καὶ κρεμῶ, ὁ μέλλων ἀρῶ καὶ Αἰολικῶς ἄρσω, ὁ παρακείμενος ἦρκα, ὁ παθητικὸς ἦρμαι, ὁ ὑπερσυντελικὸς ἤρμην, ἦρσο, ἦρτο, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν ἄρτο, καὶ πλεονασμῷ τοῦ α ποιητικῶς ἄωρτο.

Ἄωτον, εἰς τὸ ἄεσαι, καὶ ἄκρον ἄωτον.

Τέλος τοῦ Ἄλφα.

ΑΡΧΗ ΤΟΥ Β ΣΤΟΙΧΕΙΟΥ.

Βαάλ, εἰς τὸ βεελφεγώρ.

Βάβαξ, καὶ βαβίαξ ὁ λάλος, παρὰ τὸ βάζω, βάξω, βάβαξ ἐξ οὗ καὶ τὸ βαβαὶ ἐπίῤῥημα θαυμαστικόν.

Βαβυλὼν, Ἑβραϊκὴ ἡ λέξις, σύγχυσις ἢ τάραχος. ἔστι δὲ πόλις Συρίας, ἣν Σεμίραμις ἔκτισε τῷ περιβοήτῳ τείχει. εἴρηται ἀπὸ Βήλου ὃς αὐτὸς κτίσας ἀπ' αὐτοῦ προσηγόρευσε. βὰλ γὰρ καλεῖται τῇ Σύρων φωνῇ, ὁ τῇ Ἑλληνίδι βῆλος. δοκεῖ δέ μοι βηλὼν [7]), καὶ ἐν διπλασιασμῷ βαβηλὼν καὶ τροπῇ τοῦ η εἰς υ βαβυλών, 40 ὡς ἁλμηρός, ἁλυρὸς καὶ τήρω τυρός, τὸ εἰς φυλακὴν καὶ τήρησιν γάλα.

Βαθμός, βάσις καὶ στάσις, ἢ καμπτός· καὶ εἰς τὸ νύσσα.

Βάζω, παρὰ τὸ βοὴ βοάζω καὶ βάζω. ἢ ἀπὸ τοῦ φῶ φάζω καὶ φάζω. ὁ μέλλων φάξω. καὶ εἰς τὸ ἀσπασίως καὶ βάκχος.

Βάβαξ, ὁ λάλος, ἢ ὁ ἐκβακχευόμενος. γέγονε δὲ ἀπὸ τοῦ βαβάκτου ὑποκοριστικοῦ. βέλτιον δὲ οὕτως· ἔστι ῥῆμα φῶ, τοῦτο γίνεται βῶ, ὡς τὸ κύφων, παράγωγον βάζω βάξω, ἀφαιρέσει τοῦ ω βάξ, ὡς τὸ ἄλκω, 50 ἄλξω, ἀλξ καὶ ἐν διπλασιασμῷ βάβαξ· πολλὰ δὲ περὶ τοὺς μέλλοντας ἐκπίπτει ὀνόματα. ἑλίξω ἕλιξ, δώσω, δώς, θήσω θής.

Βαλβίς, ἔστι μὲν καὶ ἡ βάθμη. λέγεται δὲ ἡ πρώτη ἔξοδος τῶν δρομέων.

Βαλβίς, ἡ ἀφετηρία, καὶ ἡ καμπτός, ἤγουν ἡ ἄφεσις τῶν δρομέων. ἦσαν δὲ ξύλα δύο ἀφ' ὧν σχοινία διετείνετο, ἀφ' ἧς καὶ βαλβίδος ἐξέτρεχον οἱ ἀγωνιζόμενοι. παρὰ τὸ βῶ τὸ βαίνω γίνεται βηλὸς ὁ βαθμός. βηλῷ ἐπὶ λιθέῳ [8]), καὶ ὡς παρὰ τὸ ψῆφος γίνεται ψηφίς, οὕτω καὶ παρὰ τὸ βηλός, βηλὶς καὶ τροπῇ τοῦ ε εἰς α, καὶ πλεονασμῷ τοῦ β βαλβίς.

Βάκχος, παρὰ τὸ βοὴ βοακχὸς καὶ βάκχος.

Βάθρον, ἐφ' ᾧ ἐστὶ βαίνειν. ἢ βῆμα ἢ θεμέλιον. λέγεται δὲ καὶ βάθρη θηλυκῶς ἐπὶ βάθρας ἐπὶ βάσεως.

Βαίτυλος, ὁ ἐσπαργανωμένος λίθος.

Βαλανεῖον, διὰ τῆς ει διφθόγγου, ἀπὸ τοῦ βαλανεύς. λέγουσι δέ τινες ὅτι τὸ βαλανεῖον παρὰ τὸ ἀποβάλλειν τὴν ἀνίαν εἴρηται. κακῶς φησιν. εἰ γὰρ ἦν οὕτως, ἔδει διὰ τοῦ ι γράφεσθαι, ὡς καὶ τὸ ἀνία. ἔστι δὲ

---

1) οὐ μόνον — ἐρυσάμην confusa et corrupta v. Etymol. M. v. ἀέρυσεν. 2) Corrupta vid. Etym. M. v. ἄψ. 3) Il. XI, 636. 4) Il. XXIII, 62. 5) Callim. Frag. 315. ibiq. Erni 6) addidi ex Etym. M. omissa n. erant. 7) (Sic.) Cl. Bielius minus recte legit βῆλος et βαβηλος. Vid. Act. Erud. Suppl. T. VI. p. 254. 8) Il. XXIII, 202.

εἰπεῖν ὅτι ἀπὸ τοῦ βαλάνου λέγεται. καὶ γὰρ βαλάνους εἶχον ἔθος ἐν αὐτῷ ὑποκαίειν.

Βαβαὶ, θαυμαστικὴ φωνή.

Βάθρον, ἐφ' ᾧ ἐστὶ βαίνειν, ἢ βῆμα, ἢ θεμέλιον ἢ κλίνη· καὶ βάθρα θηλυκῶς λέγεται, ἐπὶ βάθρας, ἐπὶ βάσεως.

Βαΐον, παρὰ τὸ βίᾳ τίλλεσθαι. σημαίνει δὲ τὸν κλάδον τοῦ φοίνικος.

Βάδος, ἐλαίου μέτρον. καλεῖται δὲ αὐτὸ ἀπὸ τῆς Ἑβραϊκῆς διαλέκτου, συνωνύμως τῷ ἐλαιοτριβείῳ [1]) καλούμενον. βηθβάδα γὰρ ἑρμηνεύεται τὸ ἐλαιοτριβεῖον. ἔστι δὲ ξέστων ν [2]). τὸ δὲ μέτρον ἐστὶ τῆς τοῦ ἐλαιτρίπτου ἐργασίας, ὃ παρ' Ἑβραίοις καλεῖται βεθ.

Βακχεύω, τὸ μαίνομαι, καὶ μεθύσκομαι καὶ ὀρχοῦμαι καὶ γελῶ.

Βακτηρία, παρὰ τὸ τὴν βάσιν τηρεῖν, ἢ διὰ τὸν βαίνοντα τηρεῖν.

Βακχεύω, βάκχος ὁ μέθυσος λέγεται καὶ ὁ Διόνυσος. ἐτυμολογεῖται δὲ παρὰ τὸ βοᾷν μετ' ἤχου.

Βαλακρὸν εἰς τὸ ἀφροδίτη.

Βάλιος [3]), ἵππος Ἀχιλλέως, σημαίνει δὲ τὸ ποικίλως. Εὐριπίδης βαλιὰν ἔλαφον φησὶ, παρὰ τὸ βάλλεσθαι διὰ τὸ τάχος. ἢ φαλιός τις ὢν, ὁ λευκομέτωπος.

Βαλλέρης, ὁ βάλλων ἔριν ἤγουν μάχην ἢ ὁ βάλλων ἔραν, ἥτις ἐστὶ γῆ.

Βαλεῖαι, αἱ ταχεῖαι, βαλείαις ἀσκερων [4]) ἀρπυίαις, ἀπὸ τοῦ βάλλειν καὶ ταχέως φαίνεσθαι τὸ βαλλόμενον.

Βάαλ, Περσιστὶ λέγεται θεὸς ὅς ἐστιν ὁ πολεμικὸς Ἄρης.

Βαλάντιον, παρὰ τὸ βάλλειν· ἐστὶ δὲ σταθμὸς ὁ καὶ φόλλις δηναρίων ρν [5]) καὶ εἰς τὸ φόλλις τὸ βαλάντιον γίνεται τια [6]). ἢ διὰ τὸ βάλλειν ἐν αὐτῷ τὰ φυλαττόμενα. ἢ διὰ τὸ βάλλειν τοὺς ἐναντίους, καὶ σημαίνει τὸ βέλος.

Βάλλω, σημαίνει τὸ τοξεύω. βολὴ γὰρ κυρίως ἡ ἀπὸ τοῦ τόξου πεμπομένη. ἐκ τοῦ βάλλω ἔβαλλον γίνεται βλῶ βλῆμι, ὁ β ἀόριστος ἔβλην, καὶ τὸ εὐκτικὸν βλείην, τὸ δεύτερον βλείης καὶ μετὰ τῆς θα συλλαβῆς βλείησθα, ἡ μετοχὴ βλεὶς, ὡς θεὶς ἀπὸ τοῦ βλῆμι τὸ δεύτερον βλῆς. τὸ δὲ βεβολήατο ὡς ἀπὸ τοῦ θέματος τοῦ βολῶ. ὅπερ ἐγένετο παρὰ τὸ βολή. καὶ τὸ μὲν ἀκόλουθον βεβολέατο καὶ κατ' ἔκτασιν βεβολήατο.

Βαλὼν, αἱ εἰς ων μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται, δραμὼν, ἐλθὼν, ποιῶν, οὕτως οὖν καὶ βαλών. ἀντίκειται τὸ πέφνων· αἱ γὰρ εἰς ων λήγουσαι μετοχαὶ, ποτὲ ἐν ἐπιπλοκῇ ἔχουσαι σύμφωνον, ἐὰν τὸ δεύτερον ἔστιν ἀμετάβολον πάντως βαρύνεται, κάμνων, τέμνων, τοιοῦτον καὶ τὸ πέφνων.

Βαμβαίνω, παρὰ τὸ μέγα βαίνειν. οἱ γὰρ ἐν φόβῳ οὐ δύνανται στῆναι. μεταφορικῶς δὲ καὶ ἐπὶ τῆς γλώττης.

Βάναυσος, παρὰ τὸ τὰς βαύνους ὅ ἐστι τὰς καμίνους μετέρχεσθαι. κυρίως δὲ ὁ τὸ πῦρ ἐν τοῖς καμίνοις ἅπτων καὶ εἰς τὸ κλίβανος καὶ τεχνίτης.

Βάναυσοι τέχναι λέγονται, καταχρηστικῶς μὲν πᾶσαι αἱ ἄλογοι τέχναι. κυρίως δὲ αἱ διὰ πυρὸς ἐργαζόμεναι. λέγονται δὲ βάναυσοι, παρὰ τὸ βαίνειν καὶ τὸ ναύσω. αὖσος δὲ ἔστιν ἡ κάμινος. παρὰ τὸ ἀκόντινον ἀφιέναι· ἢ ὁ τὰς καμίνους αὔων, τουτέστιν καίων.

Βάναυσος, ὁ διὰ πυρὸς ἐργαζόμενος, παρὰ τὸ βαῦνον, παρὰ τὸ τὰς αὔνους καίειν ἤγουν αὔειν. Τρύφων ὁ τοῦ Ἄμμωνος ἀπὸ τοῦ βαύνος βάναυσος λέγει κατὰ πάθος, ὤφειλε γὰρ ὡς παρὰ τὸ ἵππος ἱππάσιος, κριὸς, κρίασος, οὕτω βαῦνος βαύνασος. γέγονε δὲ ἐν ὑπερθέσει. Χρύσιππος δὲ ἀπὸ τοῦ τεχνίτας τὴν πρὸς τὸν βίον ἐγγίνεσθαι καὶ πορίζεσθαι.

Βαῦνος, τὸ πῦρ, ἢ ὁ χυτρόπους, ἢ ἡ κάμινος. ἔνθεν καὶ βάναυσος, καὶ κρίβανος ὁ ἔχων κρίθας· γέγονε δὲ τὸ βαῦνος πλεονασμῷ τοῦ β κατὰ Λάκωνας· οὗτοι γὰρ τὸ ἰδεῖν βιδεῖν λέγουσιν· οὕτω καὶ τὸ αὔσω, αὖνος καὶ βαῦνος, οὕτως Ἡρωδιανός.

Βάρβαρος, εἴρηται ἀπὸ τοῦ περὶ τὴν φωνὴν βάρους, βάρος, καὶ ἐν διπλασιασμῷ βάρβαρος.

Βάρβαρος, βαρυβαρός τις ὤν· βάρβαρος κατὰ συγκοπήν· καὶ παρήχθη ἀπὸ τοῦ βαρβαρισμοῦ.

Βάπτισμα, διὰ τὸ τὰ τοῦ βίου πταίσματα ἢ βάπταισμα, ἤγουν βάπτει τὸ πταῖσμα τουτέστι πλύνει. ἢ βάπταισμα [7]) ἐκβολῇ τοῦ α, ἐν ᾧ βάλλεται ἤγουν πίπτει τὸ πταῖσμα.

Βάπτω, παρὰ τὸ βῶ τὸ βαίνω, παράγωγον βάπτω, οἱονεὶ ἐμβαίνειν ποιῶ.

Βάπτισμα, παρὰ τὸ βῶ τὸ βαίνω· τοῦτο παρὰ τὸ βάπτω, βάπταισμα τουτέστιν ἔκπλυνον. καὶ τὸ θηλυκὸν βάπτισις.

Βαφῶ, ὑποτακτικὸν ἐκ τοῦ βάπτω, βάψω, ὁ β ἀόριστος ἔβαφον, ὁ παθητικὸς ἐβάφην, ἡ μετοχὴ ὁ βαφεὶς τοῦ βαφέντος, καὶ τὸ ὑποτακτικὸν ἐὰν βαφῶ.

Βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου ἢ κιθαρά· εἴρηται δὲ οἱονεὶ βαρύμιτός τις ὤν, ὁ βαρεῖαν τὴν φωνὴν καὶ τὸν φθόγγον ἀφιείς· μίτους γὰρ τὰ νεῦρα ἔλεγον, ἐπειδὴ πρὸ τῆς χρήσεως τῶν νευρῶν, λινοῖς τοῖς στήμοσιν ἐκέχρηντο. ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον λέγουσι διὰ τοῦ μ.

Βάρεις, εἰσὶ δὲ πλοῖα, τείχη, στοαὶ, αὐλαὶ, πύργοι, σφῦραι· τινὲς δὲ λέγουσιν αἱ μεγάλαι καὶ πολύβαθοι πέτραι. ἐτυμολογεῖται δὲ παρὰ τὸ μετὰ βίας πολλῶν ᾐρηκέναι. ἡ εὐθεῖα ἡ βάρις, καὶ κλίνεται τῆς βάρεως. ὁ κανὼν· ὅσα τὸ ρ ἔχει, τηρεῖ αὐτὸ καὶ ἐπὶ γενικῇ.

Βάρις, τὸ πλοῖον, ἡ πηγὴ Αἰσχύλος, βαίνειν κελεύω βάριν εἰς τὸ ἀμφίστροφον. εἴρηται παρὰ τὸ βαίνω βαρὶς.

Βάρις, ὑπερθέσει τοῦ ρ καὶ πλεονασμῷ τοῦ δ βράδις· παρὰ τὸ βάρος.

Βάραγγος [8]), βαρὺς ἀεὶ ἐκ μήκους τὸ καύχημα, ἐγγὺς δὲ οὐδ' ὅλως εὐαρμοστὸς, εὔσαμος τῷ εἴδει. δειλανδρος ἐγγύθεν. ἐκ μακρόθεν συν ταγκῶ πλησιάζειν εἰσσυμμαχίαν . . . δειλία [9]). μεθοδεύων τὸ ψεῦδος.

Βασὰν, εἰς τὸ ἐκβασάν.

Βάσανος, λέγεται ἡ κόλασις, παρὰ τὸ βιάζω, βιάσω, βιάσανος καὶ κατὰ συγκοπὴν βάσανος· ἢ ἀπὸ τοῦ βίβημι, βήσω, καὶ τὸ ἀνία, ὃ σημαίνει τὴν λύπην. ἢ ἀπὸ τῆς βασάνου τῆς λίθου τῆς χρυσοϊκῆς, ἐν ᾗ δοκιμάζεται ὁ χρυσὸς, κἄντε εὔρυζος ἐστι κἄντε κίβδηλος.

---

1) συνωνύμως τῷ ἐλαιοτρ. cf. interpr. Hesych. v. βάδος et du Fresne Lex. Graec. v. βαδδης. 2) ν. i. e. 50. 3) Il. XVI, 149. 4) Cf. Etym. M. v. βαλίαι. 5) ρν. i. e. 150. 6) τια. i. e. 311. 7) (Sic.) Deest verbum. 8) Vid. Du Fresne Lex. Graec. v. βαραγγοι. 9) (Sic.) m. hiatus in codice adest.

Βασία, εἰς τὸ ὑπερβασία.

Βασιλεύς, εἰς τὸ τύραννος.

Βασιλευς, παρὰ τὸ σίνω τὸ βλάπτω γίνεται σινεὺς ὁ βλαπτικὸς καὶ σκωπτικὸς, καὶ σιλεὺς ὁ μὴ βασιλευόμενος καὶ μὴ σκωπτόμενος κατὰ πλεονασμὸν τοῦ στερητικοῦ α καὶ τοῦ β βασιλεὺς [1]· ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; προσηγορικοῦ ἢ ἐπιθέτου. διόρισον· ἐπίθετον δέ ἐστι τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν ὁμωνύμως τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον. λαμβάνεται δὲ καὶ τριχῶς ταῦτα. πρὸς μὲν τὰ προσηγορικὰ τασσόμενα τάξιν ἐπιθετικὴν ἔχει· ὁ βασιλεὺς Κωνσταντῖνος, ὁ προφήτης Σαμουήλ. ἐπιθέτοις δὲ συμπλεκόμενον προσηγορικὸν γίνεται, ὁ καλὸς βασιλεὺς ὁ εὐκλεὴς πολίτης. ἔστι γὰρ ὅτε τὰ ἐπίθετα τὰ αὐτὰ καὶ προσηγορικὰ γίνεσθαι καὶ ἐπιθετικὰ, πῇ μὲν ὑποκείμενα, πῇ δὲ ἐπιτιθέμενα, δίκαιος, σοφὸς, μέγας, πρόμαχος. ταῦτα γὰρ ἐπίθετα ὄντα, πολλάκις προσηγορικῶν καὶ ἐπιθετικῶν σύνταξιν ἐπέχουσιν, ἀλλήλοις ὑποκείμενά τε καὶ ἐπιτιθέμενα. οἷον, δίκαιος σοφὸς, μέγας πρόμαχος. τί ἐστι βασιλεὺς, νόμου φύλαξ, εἰρήνης πρύτανις, δικαιοσύνης κανὼν, τῶν ἀρίστων ἔργων παράδειγμα, ἔννομος ἐπίτασις.

Βασιλεὺς, καὶ κοίρανος καὶ ἡγεμὼν διαφέρει [2]. βασιλεὺς μὲν γὰρ ὁ πατρόθεν ἢ ἐκ γένους τὴν ἀρχὴν ἔχων καὶ παραλάβων· κοίρανος δὲ ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ἐπιτελῶν. ἡγεμὼν δὲ, ὁ τάξεως στρατιωτικῆς ἡγούμενος.

Βάσις, παρὰ τὸ βαίνω.

Βάσκανος, τροπῇ τοῦ β εἰς φ, παρὰ τὸ βάσκανός τις ὤν. ὁ τοῖς φαέσι καίνων, οἷον φονεύων τουτέστιν ἀποκτείνων· ἢ ὁ τοῖς φαέσι σαίνων ἤγουν βλάπτων.

Βάσκανος, ὁ φθονερὸς· καὶ ἐπὶ τοῦ λυπεῖσθαι λυπηρός.

Βασκέμεν, καὶ ἔστι βασκέμεναι ῥῆμα ἀπαρέμφατον ἐνεστῶτος· καὶ οἱ Δωριεῖς τὰ εἰς ειν ἀπαρέμφατα, διὰ τοῦ εμεν προφέρουσι. λέγεται δὲ ἐκ τοῦ βῶ βάσκω· καὶ ἐπειδὴ τὰ ῥήματα τῆς δευτέρας συζυγίας, διὰ τοῦ ασκω γίνεται, οἷον γενειῶ γενειάσκω, ἀλῶ ἀλάσκω. καὶ κατὰ παραγωγὴν ἀλασκάζω καὶ τροπῇ ἠλασκάζω.

Βάσκ' ἴθι φησὶ καὶ ἄπιθι τινὲς, καὶ οὐχὶ ἐν παραθέσει· ἀλλὰ κανών ἐστιν ὁ λέγων, τὰ εἰς μι λήγοντα μετὰ προθέσεων φιλεῖ συντίθεσθαι, οἷον μέτειμι καὶ σύνειμι καὶ ἔξειμι· μεθ' ἄλλων δὲ λέξεων οὐδαμῶς. τὸ οὖν ἴθι ἀπὸ τοῦ εἶμι. καὶ πάλιν ἕτερος κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς θι παραχθέντα προστακτικὰ κατ' ἀρχὴν οὐ συντίθενται, πλὴν τῶν προθέσεων· ὥστε δῆλον ἐν παραθέσει δεῖ αὐτὸ ἀναγινώσκειν. τὸ δὲ βάσκε ἀπὸ τοῦ βάσκω, τὸ δὲ παρὰ τὸ βῶ βῆμι, βήσω, βήσκω πλεονασμῷ τοῦ κ. ἐπειδὴ οὐδέποτε βαρυτονὸς μέλλων διὰ τοῦ η ἐκφερόμενος μετάγεται εἰς ἐνεστῶτα [3], βαρυτονὸς μέλλων εἶπε διὰ τὸ πλάκω· τὸ γὰρ κ ἔχει, ἀλλ' ἔστι περισπώμενον, καὶ τροπῇ τοῦ η εἰς α βάσκω.

Βασσαρίδαι, αἱ βάκχαι παρὰ τὸ ἐν βύσσαις διάγειν, ὅ ἐστιν, ὀρεινοῖς τόποις· ἢ παρὰ τὸ ὑπόδημα τὸ λεγόμενον βασσαρίς· τοῦτο παρὰ τὸ βάσει ἀρηρέναι. ἀρῶ γὰρ τὸ ἁρμόζω.

Βαστέρνιον, μωλάριον.

Βάτος, κατὰ περίφρασιν, ἄβατός τις οὖσα ἐφ' ἧς οὐκ ἔστι τις ἐπιβῆναι, διὰ τὸ ἀκανθῶδες.

Βάτος, τὸ μὲν βα σημαίνει τὴν βάτον, τὸ δὲ τος σημαίνει τὸ τείνεσθαι αὐτήν· τοιαύτη γὰρ ἡ βάτος ἐν τοῖς φραγμοῖς. βατὸς δὲ τόπος εἰς ὃν τις ἐπιβῆναι δύναται.

Βάτος, ἡ ἄκανθα, εἴρηται δὲ κατ' ἀντίφρασιν, ἡ μὴ οὖσα βατή· καὶ ἔστιν ἐν τονῷ παρώνυμος. γίνεται γὰρ τὰ τοιαῦτα πολλάκις ὥσπερ τὸ κυρτὸς κύρτος, ξανθὸς ξάνθος τὸ κύριον. λευκὸς, λεύκος· λεύκου Ὀδυσσέος ἐσθλὸν ἑταῖρον [4]. πυῤῥὸς, Πύῤῥος, ὁ τοῦ Ἀχιλλέως, οὕτω βατὸς βάτος.

Βάτος, διάτι βαρύνεται; τὰ εἰς τος λήγοντα ὀνόματα βραχεῖ, παραληγόμενα μονογενῆ πρὸ μιᾶς ἔχει τὸν τόνον· οἷον σκότος, κρότος, κότος, πάτος, πλάτος, βάτος. σεσημείωται τὸ βροτὸς καὶ στρατὸς ὀξυνόμενον.

Βραγχὸς, παρὰ τὴν μίμησιν τῆς γινομένης αὐτῷ τραχύτητος ἐν τῇ φωνῇ [5]. οὕτως Ἡρακλείδης ἐν ταῖς ἐτυμολογίαις αὐτοῦ. ἀφ' οὗ καὶ βρόγχος λέγεται ὁ φάραγξ δι' οὗ ἀναφαίρεται ἡ φωνή.

Βάθρον, παρὰ τὸ βῶ τὸ βῆμι καὶ βίβημι· ἔνθεν τὸ, ἠὲ μακρὰ βιβάσθων [6], βάτρον γίνεται ῥηματικὸν ὄνομα, καὶ τροπῇ τοῦ τ εἰς θ δι' εὐφωνίαν, βάθρον.

Βάκχος, καὶ βάκχη ἀπὸ τῆς βοῆς τῶν κατὰ τὴν χορείαν καὶ τὸν ἐνθουσιασμὸν, καὶ τοῦ ψόφου τῶν τυμπάνων καὶ τῶν κυμβάλων τῶν ἐν ταῖς θυσίαις.

Βάτραχος, παρὰ τὸ βοὴν τραχεῖαν ἔχειν, βοάτραχος καὶ βάτραχος, βοάτραχύς τις ὤν· βάτραχος τὸ ζῶον, βάτραχός τις ὤν [7].

Βαῦνος, κυρίως ἐπὶ τῶν ἐγκοι πόνων, αἱ κάμινοι, παρὰ τὸ αὔω αὖοι, καὶ πλεονασμῷ τοῦ β βαῦνοι. καὶ εἰς τὸ βάναυσος, καὶ κλίβανος καὶ κρίβανος.

Βαφεὺς, παρὰ τὸ βάπτω, ὁ αὐραιοποιῶν τῷ φαιῷ, ἤγουν τὴν χροίαν βάπτων.

Βείω, ὅ ἐστι βῶ κατὰ διαίρεσιν βέω καὶ κατὰ πλεονασμὸν τοῦ ι βείω, ὅ ἐστι πορευθῶ· ὄφρ' ἂν ἐγὼ βείω [8].

Βδέλλα, παρὰ τὸ βδέλλω τὸ ἀμέλγω, οἱ γὰρ Ἀττικοὶ τὸ ἀμέλγειν βδέλλειν λέγουσι. ἀμέλγειν γὰρ ἔοικεν ἡ βδέλλα ἐν τῷ σπᾶν.

Βδελλύσσω, τοῦτο παρὰ τὸ βδέλλα.

Βεβάασι, βέβαα περὶ τῶν εἰς μι. οἱ Ἴωνες ἡνίκα ἐν τοῖς ῥήμασιν ὕφεσιν ποιήσονται τῶν συμφώνων, τότε καὶ συστολὴ παρακολουθεῖ, οἷον ἕστηκα ἕσταα, βέβηκα βέβαα, βεβαὼς, βεβῶτα [9]) καὶ πλεονασμῷ βεβαῶτα.

Βέβηλος ὁ μὴ ἱερὸς τόπος καὶ ὁ ἀμύητος. εἴτε ἀπὸ τοῦ βῶ βήσω βηλὸς καὶ ἐν διπλασιασμῷ βέβηλος, ὁ βάσιμος παντὶ, πρὸς ἀντιδιαστολὴν τοῦ ἀδύτου. καὶ καὶ ὁ ἄνθρωπος. ἀπὸ τοῦ τόπου ἀνίερος, καὶ ἐν ἀνιεροῖς τόποις ἄξιος διατρίβειν.

Βέβαιος, ἐκ τοῦ βιβῶ βίβαιος καὶ τροπῇ βέβαιος, ἢ παρὰ τὸ βαίνω κατ' ἀναδιπλασιασμὸν βέβαιος· κατ' ἀντίφρασιν ὁ ἑδραῖος, καὶ ἀμετακίνητος.

Βεβαιῶ, παρὰ τὸ βέβαιος, τοῦτο ἐκ τοῦ βαιὸν ὃ σημαίνει τὸ μικρὸν καὶ τὸ ἀληθές· τοῦτο ἐκ τοῦ βίβημι ὁ β ἀόριστος ἔβην, καὶ ἡ μετοχὴ ὁ βὰς, τοῦ βάντος,

---

1) καὶ σιλεὺς — βασιλεύς. (Sic.) vid. Etym. M. 2) cf. Xenoph. Mem. Socr. IV. c. 6 §. 12. 3) ἐπειδὴ ἐνεστῶτα (Sic) corrupta. 4) Il. IV, 291. 5) Vid. Etym. M. v. Βάραγχος. 6) Il. XVI, 534. cf. Etym. M. v. βιβάω. 7) male. 8) Il. VI, 113. et Schol. 9) Desunt quaedam. Vid. Etym. M.

καὶ ἐξ αὐτοῦ βαὸς καὶ βαιὸς, καὶ κατ' ἀναδιπλασιασμὸν βέβαιος ὁ ἀλήθης καὶ μὴ ψευδής.

Βεβηλώσωσι, τὸ ὑποτακτικὸν ἐκ τοῦ βεβηλῶ, τοῦτο παρὰ τὸ βέβηλος.

Βεβήκει ἥδραστο, πεπάγρωστο· ἀναβεβήκει ἐπορεύετο, ἡ μετοχὴ, βεβηκὼς βεβῶς. βεβηκὼς ἐξελθών.

Βεβολήατο, ἐλυπεῖτο, ἀπὸ τοῦ βάλλω γίνεται ῥηματικὸν ὄνομα βολή. ἐκ τοῦ βολῶ ῥήματος ὁ μέλλων βολήσω, ὁ παρακείμενος βεβόληκα, βεβόλημαι, ἐβεβολήμην, ἐβεβόλησο, ἐβεβόλητο καὶ Ἰωνικῶς βεβολέατο. λέγει γὰρ ὁ τεχνικός· εἰ μὲν ἀπὸ περισπωμένων φύσει μακρῷ παραληγόμενα, ταῦτα καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων ἐγένετο ἔκτασις [1]).

Βεβήκει, ὑπερσυντελικὸς τῶν εἰς μι.

Βεβυσμένα, πεφραγμένα, παρὰ τὸ βύω, τοῦτο παρὰ τὸ δύω, τὸ ὑπεισέρχομαι, ἀντὶ βεβυθισμένα κατὰ συγκοπήν.

Βεελφεγὼρ, ἔστι δὲ ὄνομα τοῦ εἰδώλου τοῦ λεγομένου βάαλ. καὶ λέγεται παρ' Ἑβραίοις βὴλ, καὶ τὸ ὄνομα τοῦ τόπου Φεγὼρ, καὶ διαλύσει τοῦ η εἰς δύο εε, καὶ τροπῇ τοῦ α εἰς ε γίνεται σύνθετον βεελφεγώρ.

Βεελφεγὼρ βὴλ ἐν τόπῳ τοῦ Φεγὼρ, τουτέστιν ὄνομα εἰδώλου, ὁ παρ' Ἕλλησι λεγόμενος κριός.

Βέθρος, εἰς τὸ βόθρος.

Βελλεροφοντης, Βελλεροφόντου. ὁ κανών. τὰ εἰς ης ἀρσενικὰ μὴ ὄντα σύνθετα, ἢ κύρια παρὰ τὸ κρατῶ ἢ κράτης, μηδὲ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν. οἷον δεσπότης δεσπότου; πολίτης πολίτου, Βελλεροφόντης, Βελλεροφόντου· πρόσκειται ἀρσενικὰ, διὰ τὸ κακότης, κακότου, φιλότης. πρόσκειται μὴ ὄντα κύρια σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτος, διὰ τὸ Ἱπποκράτης Ἱπποκράτου, Σωκράτης Σωκράτου. πρόσκειται μὴ ἔχοντα οὐδέτερον εἰς ες, διὰ τὸ ἐνναέτης ἐνναετοῦς. τοῦτο δὲ εἰ μὲν σημαίνει τὴν ἡλικίαν βαρύνεται ἐνναέτης. εἰ δὲ χρόνος ἐνναετὴς ὀξυτόνως.

Βέλεσι, παρὰ τὸ βάλλω τὸ τιτρώσκω, ἢ παρὰ τὸ βάλλω τὸ σημαῖνον τὸ πέμπω βέλος κατ' ἀφαίρεσιν τοῦ ἑνὸς λ.

Βελίαρ, ὁ πολέμιος, ἐκ τοῦ ἄρεως καὶ τοῦ βολή.

Βελία, ἤγουν σαΐττα πολέμου ἢ σιδήρου.

Βελόνιον, σιδήρου ὀξύτης.

Βελόνη, παρὰ τὸ βέλος, καὶ τὴν τοῦ τόξου ὀξύτητα· ἢ παρὰ τὸ βάλλω, τοῦ α τραπέντος εἰς ε, ὡς καὶ ἐν τῷ βέλος. ὡς οὖν παρὰ τὸ πέρω περόνη, ἥδω ἡδονὴ, οὕτω βάλλω βελόνη. Δίδυμος φησὶ αὐτὸ παρ' ὀνόματος εἶναι.

Βέλλος, εἰς τὸ βέλεσι.

Βεσσάδιον, ἔστι τόπον βῆναι καὶ πορεύεσθαι. οὔρεος ἐν βήσσῃσι [2]).

Βελόνη, παρὰ τὸ ὅλη βάλλεσθαι.

Βελὼν, ὁ τὰ βέλη ὠνούμενος.

Βέλος, ὡς τὸ οἰστός.

Βέλτερος, εἰς τὸ ἀβελτηρία.

Βενιαμὴν ἔστι μαῖον τὸ μικρόν. καὶ ἐκ τούτου καὶ τοῦ μένος γίνεται μενιαμὴν καὶ τροπῇ βενιαμήν. ὁ μόνος τῶν ἄλλων ἀδελφῶν, ὡς ἔσχατος καὶ μικρότατος.

Βέραδον, ξύλον.

Βερέδοις, κεντούροις ἵπποις.

Βενέτικος αἶγας γένος, ἀφυκτοτραγόπους τρυχηνόθριξ, κονδόστολος, ὀλιγάληθος. ἀπλησίαστος χριστιανοῖς, οὐκ ἔχων βάσιν ἐν γῇ διάγειν, ἀλλ' οἰκῶν ἐν βορβόρῳ θαλάσσης. ἐκεῖσε κακῶς τὸν βίον ἔχει.

Βενέτικος, βένιτ τέκουμ [3]), Λατινικῇ φωνῇ. ἤγουν ἔρχεται μετὰ σοῦ.

Βητάρμονες, ὀρχησταὶ, οἱ διὰ τῶν ποδῶν ὀρχούμενοι, ἀπὸ τοῦ ἡρμοσμένως βαίνειν, ἢ παρὰ τὸ μετὰ ἁρμονίας, βαίνειν, ἢ ἀπὸ τοῦ ἁρμοδίως βαίνειν, κατὰ πλεονασμὸν τοῦ τ.

Βηλὸς, ὁ οὐρανὸς, ἀπὸ τοῦ βαίνεσθαι, ὡς καὶ ὁδὸς ἀπὸ τοῦ διοδεύεσθαι· καὶ εἰς τὸ βαλβίς· ἐτυμολογεῖται δὲ παρὰ τὸν βήσω μέλλοντα, εἰς ὃν ἐπιβαίνομεν. Βῆλος δὲ κύριον ὄνομα.

Βηλὸς ἡ φλιὰ ἣ ἐπιβαίνουσιν οἱ εἰσιόντες καὶ ἐξιόντες.

Βήσσης θηλυκον, δοτικὴ πληθυντικῶν, ὡς Ἀθήναις Ἀθήνῃς, ἡ εὐθεῖα ἡ βῆσσα, καὶ συστέλλει τὸ α ὡς τὸ κνίσσα. ὁμοίως παρὰ τὸν βήσω μέλλοντα πλεονασμῷ τοῦ σ, ὧν ἐστι βῆναι καὶ πορεύεσθαι· οὔρεος ἐν βήσσῃσι [4]).

Βῆσσος, ἐν ᾧ τις εἰσέρχεται καὶ ἐξέρχεται.

Βῆμα, βάδισμα ἢ τόπος ὑψηλὸς δικαστοῦ· ἢ τόπος ἐν ᾧ βαίνουσιν οἱ ἱερεῖς, παρὰ τὸ βῶ τὸ βαίνω.

Βῆτα ὅτι ἐπιβέβηκε δευτέραν ἔχων τάξιν, ὥσπερ δοκεῖ ἐπιβαίνειν.

Βία, ἡ δύναμις, παρὰ τὸ ἶς, ὃ σημαίνει τὴν δύναμιν, ἶα καὶ βία, καὶ κλίνεται ἶνος, ἡ εὐθεῖα τῶν πληθυντικῶν ἶνες. ἰνῶν ἤγουν τῶν νευρῶν. τοῦτο παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἡ ὑπάρχουσα ἔν τινι.

Βία, ἡ δύναμις, καὶ ἡ ἐκ δυναστείας ἀδικία. ἡ δύναμις σὴ καὶ [5]) βίη λέλυται, χαλεπὸν δὲ σὲ γῆρας ὀπάζει. καὶ ἡ ἀδικία βία κέκληται. βία ἐκ τοῦ ἶα, κατὰ πλεονασμὸν τοῦ β.

Βιαῖα, παρὰ τὸ βία γίνεται βίαιος, καὶ ἐξ αὐτοῦ βιαῖα καὶ προπαροξύνεται βίαιος· τὰ γὰρ ἔχοντα τὸ ι ἐν τῇ ἀρχούσῃ θηλυκῇ προπαροξύνεται, οἷον δικὴ δίκαιος, τιμὴ τίμαιος, βία βίαιος· καὶ τὸ θηλυκον βιαία· σημαίνει δὲ τὴν δύναμιν.

Βίβημι ὁ παρατατικὸς ἔβην· καὶ Ὅμηρος ἂν δ' ἀνέβη Πρίαμος. βαίνειν γὰρ λέγεται τὸ ἁπλῶς διὰ τῶν σκελῶν βαδίζειν. ἀναβαίνειν δὲ ἐκ τῶν κάτω πρὸς τὴν ἄνω ἀνάδοσιν. λοιπὸν ἐκ τοῦ βίβημι βήσω καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα. παρακείμενον οὐκ ἔχει. τὰ ποιητικῶς ἀπὸ μελλόντων εἰς ἐνεστῶτα μεταγόμενα, μέχρι τοῦ παρακειμένου κλίνεται. καὶ εἰς τὸ ὑπερβασία.

Βηβίξαντες, ἐμβιβάσαντες. σιβάσαντες.

Βινεῖν, Ἀλεξίων φησὶ, ὅτι οἱ νομίζοντες ἤδη τὴν ἡλικίαν τοῦ συνουσιάζειν ἀρχὰς ἔχουσι τοῦ βίου, τὸ δὲ βίος διὰ τοῦ ι γράφεται, ἢ ἐπειδὴ καὶ βύνειν λέγουσι διὰ τοῦ υ.

Βίος, διὰ τὴν βίαν. διὰ τοῦτο καὶ βέλος, διὰ τὸ βίᾳ βάλλεσθαι.

Βίοιο, ἐκ τοῦ βία βίος.

Βιὸν εἰς τὸ ἀντιβιόν.

Βίβλος, παρὰ τὸ βύω τὸ ἀσφαλίζω βύλος καὶ βίβλος. ἢ παρὰ τοὺς βίους βάλλεσθαι ἐν αὐτῷ· ἢ διὰ τὸ βαβαὶ ἢ διὰ τὸ βέβαιον.

---

1) εἰ μὲν ἀπὸ — ἔκτασις. Corrupta. cf. Etymol. M. v. βέβουλα. 2) Il. XI, 87. 3) venit tecum. 4) Il. XI, 87. 5) L. δὲ ex Il. VIII, 103.

Βίλιπτος. εἰς τὸ ἀφροδίτη.

Βύβλος, ἡ πόλις

Βίος. παρὰ τὸ βίᾳ καὶ ἀνάγκῃ ζεῖν· ἢ παρὰ τὸ ἐν τῇ βάσει εἰρηκέναι.

Βιῶ, εἰς τὸ τιμῶ.

Βιὸς, τὸ τόξον, διότι δι' αὐτοῦ τὰ πρὸς τὸν βίον ἔχοντα [1]) ἀρχαῖοι ἐν ταῖς θήραις αὐτῷ χρώμενοι. ἢ παρὰ τὸ βίᾳ τείνεσθαι· ἢ παρὰ τὸ βίας αὐτοδεῖσθαι εἰς τὴν ἔντασιν. ἢ παρὰ τὸ βίᾳ βάλλεσθαι τὸ βέλος. καὶ εἰς τὸ οἰστός.

Βιραγὸς, τὸ καὶ κηρύκειον.

Βῖτος [2]), ὄνομα.

Βιῴην, εὐκτικὸν, ὡς καὶ παρὰ Ἀριστοφάνει, βιῶν βιοῦντος, καὶ τὸ εὐκτικὸν βιοῖμι, βιοῖς, βιοῖ, καὶ πλεονασμῷ τοῦ η βιοίη· ὡς περιπατοῖμι περιπατοίη καὶ περιπατῶ· κα. δοίη, δώην.

Βιοῦν, τὸ ἁπλῶς ζῆν.

Βιοτεύειν, τὸ καλῶς ἀναστρέφεσθαι.

Βίος, ὅτι βιαίως ἐξάγεται.

Βίος, καὶ ζωὴ διαφέρει. βίος μὲν γὰρ ἐπὶ λογικῶν τάσσεται ζώων τουτέστιν ἀνθρώπων. ζωὴ δὲ ἐπὶ ἀλόγων. ὅθεν καὶ Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτω· βίος τὰ λογικοῖς.

Βίος, ἡ ζωὴ καὶ βιοτὴ προσαγορεύεται. παρὰ τὸ βέω τὸ πορεύομαι. τί γὰρ ἐστὶ βίος ἢ ὁδὸς καὶ ἡ πορεία. καὶ Ὅμηρος· ὄφρ' ἂν ἐγὼ βίω ποτ' Ἴλιον, καὶ τὸ ζῆν βέω. Ἕκτωρ ἐγὼ, τὸ γὰρ βέω τὸ ζῶ [3]).

Βίσεξτον, βισέξτου, Λατινικὸν· τουτέστι δὶς ἕξ. ἡ κατὰ τεσσάρους γινομένη χρόνους.

Βλάβη, παρὰ τὸ βλάπτω, τοῦτο παρὰ τὸ βάλλω, βάλλη καὶ ἐν ὑπερβιβασμῷ βλάπτω καὶ βλάβη.

Βλὰξ παρὰ τὸ μαλακὸς, μάλαξ καὶ βλὰξ ὑποκοριστικῶς. βλὰξ συγκοπῇ καὶ μεταθέσει τοῦ β εἰς μ. μάλαξ καὶ μαλακὸς. καὶ παρώνυμον μάλαξ καὶ βλάξ· οὐκ ἐδύνατο γὰρ τὸ μ πρὸ τοῦ β προτρέπεσθαι ὅτι ἀσύντακτον.

Βλάπτω, παρὰ τὸ βράπτω τὸ ἐσθίω, καὶ μεταθέσει τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον βλάπτω κατὰ παραγωγὴν ἀντὶ τοῦ φθείρω, ἀπὸ μεταφορᾶς, τῶν ἐσθιομένων, καὶ μηκέτι γινομένων, ὁ μηκέτι ὑγιῶν ὄντων.

Βλαστὸς, ἐκ τοῦ βαίνειν τὴν αὔξησιν. παρὰ τὸ βλώσκειν ἐν τῷ αὔξεσθαι, ὅ ἐστι μολύσκειν.

Βλάσκω, τὸ πορεύομαι, ὅπερ γέγονε ἀπὸ τοῦ μολύσκω, ἐκτάσει τοῦ ο εἰς ω, καὶ μεταθέσει τοῦ μ εἰς β, καὶ κατὰ συγκοπὴν βλάσκω.

Βλάσφημος, παρὰ τὸ βάλλω καὶ τὸ φήμη γίνεται βλάσφημος, ὁ βλάβην λέγων, ἢ ὁ τὰς κακὰς φήμας κατά τινος βάλλων, ἤγουν ὁ λοίδορος.

Βλαχέρναι, οἱ μὲν λέγουσι, ὅτι ἀπὸ τοῦ βαλαχνον βλαχέρναι· ἐπειδὴ βλάχνα ἦσαν εἰς τὸν τόπον ἐκεῖνον, καὶ ἔκοψαν αὐτὴν καὶ οὕτως ἐκτίσθη. ὁ δὲ Θεοφύλακτος ὁ ἀντιγραφεὺς λέγει αὐτὴν λακέρναι, ἐπειδὴ λέγει ὅτι λακέρναι λέγονται Ῥωμαϊστὶ αἱ θύνναι· καὶ λέγει ὅτι ἐν τῷ μέρει ἐκείνῳ ἐπράθησαν πολλαὶ θύνναι.

Βλέφαρα, παρὰ τὸ αἴρεσθαι αὐτὰ ἐν τῷ βλέπειν, οἱονεὶ βλέπτρα ὄντα, κατὰ ἀντίστοιχον· ἢ παρὰ τὸ βλέμματος φάρος εἶναι, ἤγουν ἱμάτιον.

Βλέφαρον, τρέψας τὸ φ εἰς π, καὶ διαστείλας τὴν λέξιν. εὗρον ὅτι διὰ τοῦτο λέγεται βλέφαρον, διότι αἰρομένου αὐτοῦ ἐπὶ τὰ ἄνω βλέπομεν, οἱονεὶ βλέπε καὶ ἆρον, ἆρον καὶ βλέπε εἰ μὴ διαστρέψας τὸ, διαστείλας δὲ μόνον τὴν λέξιν εὗρον ὅτι ὡσανεὶ φάρος, ὅπερ περιβόλαιόν ἐστιν ἡμῶν τοῦ βλέμματος.

Βλεμεαίνων, ἐπιῤῥωνύμενος, παρὰ τὸ βρέμω, βρεμεαίνω καὶ βλεμεαίνω. ἢ τῷ βλέμματι φοβῶ. βρεμεαίνω καὶ μεταθέσει τοῦ ρ εἰς λ βλεμεαίνω.

Βλέπω, παρὰ τὸ λεύσσω τὸ βλέπω· καὶ πλεονασμῷ τοῦ β καὶ ἐκβολῇ τοῦ υ βλέσσω. καὶ τροπῇ Αἰολικῇ τῶν δύο σσ εἰς π βλέπω· οἱ γὰρ Αἰολεῖς τὸ νίπτω νίσσω λέγουσι, καὶ τὸ βλέπω βλέσσω. σημαίνει δὲ τρία. τὸ βλέπω τὸ λέγω καὶ τὸ προφητεύω, ἐξ οὗ καὶ βλέπων ὁ προφήτης· καὶ βλέπω τὸ θεορῶ καὶ φυλάσσω.

Βλέπω, εἰς τὸ βλέπειν καὶ λεύσεται.

Βλήδην, καὶ ὑποβλήδην ὥσπερ ἐκ τοῦ καλῶ κλῶ ἐπίῤῥημα κλήδην οὕτως ἐκ τοῦ βάλλω, βλῶ βλῆμι.

Βλημάζειν, τὸ ἀποστάζειν τοῦ μέλιτος καὶ στηθολαβεῖν. ἤγουν τὸ ψηλαφᾶν τὰ στήθη καὶ τοὺς μαστοὺς καταμανθάνειν τῇ ἀφῇ. ἢ τὸ ψηλαφᾶν τὰς ὄρνις διὰ τὰ ὠά.

Βλιμαίνω, τὸ ὀργίζομαι.

Βλίξαι, τὸ βαστάξαι.

Βλίσαι, τὸ κηρίον θλίψαι. βλίττειν καὶ βλιτρῷ, τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων· τουτέστιν ἐκπιέζειν καὶ θλίβειν παρὰ τὸ μέλι μελίζω· καὶ κατὰ συγκοπὴν καὶ τοῦ μ εἰς β. καὶ Ἀττικῶς βλήττω ἢ τὸ μαστροπεύειν.

Βλοσυρὸς, μανιώδης, ἀπὸ τοῦ βλέπω καὶ τοῦ σύρω βλεσυρὸς καὶ βλοσυρὸς. ἢ παρὰ τὸ σοβαρῶς καὶ ἐπηρμένως λεύσσειν. ἢ παρα βλέπειν καὶ βλοσυροπὶς θηλυκὸν, ἡ φοβερὰ καὶ καταπληκτικὴ τὴν προσοψιν, ἀπὸ τοῦ βάλλειν καὶ σύρειν τὰ ὄμματα· ἐκ τοῦ βλέπειν δεινῶς.

Βλύω, καὶ βρύω διαφέρει. ὅτι τὸ μὲν βρύειν ἐπὶ τῆς ἀναδόσεως τῶν ἀνθέων λέγεται· τὸ δὲ βλύειν, ἐπὶ τῆς τῶν ὑδάτων ἀναδόσεως. οὕτω βλαστάνω βλυστάνω· καὶ εἰς τὸ ὀμβρολύττειν.

Βλῶ, παρὰ τὸ μολῶ, βλώθω καὶ βλώθης, καὶ βλωθρὴ ἡ μεγάλη καὶ ὑψηλὴ, παρὰ τὸ μολεῖν εἰς ὕψος, οἷον μολώθρη. οὕτω καὶ βλαστάνω βλυστάνω.

Βλωμὸς, ὁ ψωμὸς, εἴρηται ἐκ τοῦ ψωμὸς, τοῦ λ πλεονασαντος, καὶ τοῦ ψ εἰς β μετατεθέντος. ἢ παρὰ τὸ φλῶ φλωμὸς τὸ σκάμμα τοῦ ἄρτου καὶ τροπῇ βλωμὸς· ἢ ἀπὸ τοῦ βλῶμι βλῶ καὶ βλῶμα [4] ὡς ὕδρηρος ὕδρηλος· ἢ παρὰ τὸ βῶ βωμὸς, οὕτω βρῶ βρωμὸς καὶ βλωμός

Βλιμάξω, τὸ ψηλαφῶ.

Βλώθρη, παρὰ τὸ λαμ, λαμ.
(πι πτρ)

Βλώσκω, τὸ αὐξάνω, παρὰ τὸ μολῶ μολύσκω καὶ βλώσκω· καὶ εἰς τὸ βλάστος.

Βοεικὸς, ἐκ τοῦ βὸς βοὸς γέγονε βόειος καὶ ἐκεῖθεν βοεικὸς.

Βοὴ, ὄνομα προσηγορικὸν, καὶ γίνεται παρὰ τὸ βέω βοὴ, ὥσπερ παρὰ τὸ χέω χοὴ, τὸ σημαῖνον τὸ βαίνω· ἢ τρέφω. ἤτοι διὰ τῆς ἀρτηρίας βαίνουσα, ἢ ἀναπεμπομένη ἐκ τῶν τρεφομένων πνοῶν. ὀξύνεται διάτι; τὰ εἰς η λήγοντα καθαρὰ δισύλλαβα τῷ ο

---

1) (Sic.) F. εἶχον. 2) F. Vitus. 3) ἡ ὁδὸς — τὸ ζῶ male. 4) βλῶ καὶ βλῶμα confusa.

παραληγόμενα, ὧνπερ κατ' ἀρχὴν ῥημάτων ἐστὶ τὸ ε, ὀξύνεται· οἷον πνέω πνοὴ, χέω χοὴ, βέω βοή.

Βοηθὸς, παρὰ τὸ βοὴ καὶ τὸ θέω τὸ τρέχω. βοήθεια γὰρ εἴρηται, παρὰ τὸ ἐν τῇ βοῇ θέειν.

Βοηθὸς, ἐκ τοῦ βοηθῶ. ἔστι δὲ τὸ βοηθῶ σύνθετον, ἀπὸ τοῦ βοὴ καὶ τοῦ θοός. οἱονεὶ ὁ κατὰ βοὴν ταχυς· τὸ γὰρ βοη τοῖς βοῶσι ταχὺς θέλει γνωριζεσθαι. καὶ ἐκ τούτου βοη· καὶ εἰς τὸ ἐπίκουροι.

Βόθρος, παρὰ τὸ βῶ βέω. ἐξ οὗ καὶ πλεονασμῷ τοῦ ι βείω, βέθρος καὶ βόθρος κατ' ἀντίφρασιν ἐφ' ὃν οὐδεὶς βαίνει· ἢ παρὰ τὸ βάθος βάθρος καὶ βόθρος.

Βόθυνος, βάθυνός τις ὢν, παρὰ τὸ βαθύς.

Βοΐδιον, ὅτι βοὴν δίδοι. διάτι τὸ βοΐδιον γράφεται διὰ τοῦ ι; κατὰ διάλεκτον. ἐν συλλήψει βοίδιον εὕρηται, καὶ ἐκ τούτου κατὰ διάστασιν βοΐδιον διὰ τοῦ ἰῶτα.

Βοῦς, παρὰ τὸ βῶ δηλοῦν τὸ τρέφω, οὗ ὁ μέλλων βήσω. καὶ βόσις ἡ τροφὴ, ὡς ἀρόσω ἄροσις. ἀφ' οὗ καὶ βοτῆρος ἀροτήρ.

Βοὸς, καὶ βόειος διαφέρει. βοὸς μὲν γὰρ ποῦς ἐστὶν ἐπὶ ζώντων, βόειος δὲ ὁ τοῦ νεκροῦ.

Βοιωτὸς, ὄνομα, καὶ ἀπ' αὐτοῦ ἡ χώρα Βοιωτία εἴρηται, ὅτι Ἄρνη ἡ μητὴρ αὐτοῦ τεκοῦσα λαθεῖν βουλομένη τὸν πατέρα, ἔῤῥιψεν εἰς βουκολίαν· παρὰ τὸ οὖν μετὰ τῶν βοῶν τραφῆναι βοτὸς καὶ βοιωτὸς ἐκλήθη. Εὐφορίων. τὸν ῥα Ποσειδάωνι δαμασσαμένη τέκε μητὴρ, βοιωτὸν δ' ὀνόμηνε· τὸ γὰρ καλέουσι βοτῆρες, ὅττι ῥα πατρῴῃσι βοῶν ἀπεθήκατο κόπροις.

Βόλος, τὸ δίκτυον καὶ ἡ δρόσος, ἀμφίβληστρον καὶ ἡ σαγήνη καὶ λῖνος καὶ πολυωπόν· βῶλος δὲ ὁ τῆς γῆς προπερισπᾶται, ὅτι βαλλόμενος λύεται.

Βολωσία, βολὶς ἡ εἰλήθουσα. βολὰς γὰρ τὰς ὀδύνας ὠνόμαζον· Εἰλήθυια δέ ἐστι θεὰ ἡ ἐπέχουσα τὰς ὀδύνας τῶν τικτουσῶν γυναικῶν. εἴρηται δὲ ἀπὸ τοῦ ἐλθεῖν εἰς φῶς τὰ δι' αὐτῆς τικτόμενα· καὶ εἰς τὸ εἰλήθυια.

Βοώνης, ὁ τὰς βοῦς ὠνούμενος.

Βοόωντας, βοῶντας πλεονασμῷ τοῦ ο ποιητικῶς γίνεται βοόωντας, τὸ δεύτερον βοῶ, ἐκ τούτου βοή· τὸ βο μικρὸν διάτι; τὰ ἔχοντα τὸ ε ἐγκείμενον. καὶ ἔστιν ἐκ τοῦ βέω καὶ κατὰ πλεονασμὸν βείω, οἱονεὶ ἡ διὰ τῆς τραχείας ἀρτηρίας ἐκπεμπομένη φωνή.

Βολὶς, παρὰ τὸ βάλλω βαλὶς καὶ βολίς.

Βολμὸς, ἐπὶ τοῦ ἐσθιομένου, παρὰ τὸ βίᾳ ἀναβάλλειν. οὕτως Ἡρωδιανὸς ἐν συμποσίῳ.

Βορὰ, ἡ βρῶσις παρὰ τὸ βῶ τὸ τρέφω ὁ μέλλων βώσω. βόρος καὶ βορά· καὶ βώτης καὶ συβώτης, ἐπεκτάσει τοῦ ο εἰς ω ἀπὸ δὲ τοῦ αὐοῦ καὶ βουτης, πλεονασμῷ τοῦ υ. καὶ εἰς τὸ βόρβορος. καὶ εἰς τὸ λαῦρος καὶ νεβρός.

Βόρβορος, παρὰ τὸ βορὰ ὃ σημαίνει τὴν τροφήν· βόρβορος γὰρ λέγεται τὸ περίττωμα τῆς γαστρὸς, καὶ κατ' ἀναδιπλασιασμὸν βόρβορος. καὶ ἐξ αὐτοῦ βεβορβορωμένος, ὄνομα μετοχικὸν ὁ βδελλυκτός.

Βόρδων, διὰ τὸ βάρη δονεῖν ἤγουν βαστάζειν.

Βοῤῥᾶς, ὁ ἄνεμος, ἴσως διὰ τὸ βίᾳ αὔρειν, ἢ ὀρέσσεσθαι· ἢ παρὰ τὸ ἐμβοῤῥώτατα τὰ σώματα ἡμῶν ποιεῖν καὶ ἰσχυρότατα.

Βοῤῥᾶς, ὅτι βαρὺς καὶ βίαιος καὶ κρυμώδης. ἄλλοι δὲ τὸ βοῤῥᾶς δι' ἑνὸς ρ γράφουσι.

Βορεας ὁ ἄνεμος, παρὰ τὸ ἦχον τὸν γινόμενον κατὰ τὴν βοὴν τὸ ὄνομα γέγονε. τάχα δὲ διὰ τὸ ἐμβοῤῥώτατα ἡμῶν κατασκευάζειν τὰ σώματα, διὰ τὴν πύκνωσιν τοῦ σώματος.

Βοσὼρ, Ἑβραϊκὴ ἡ λέξις, σημαίνει δὲ ἱμάτιον ἐκ κοκκίνου βεβαμμένον. λέγεται δὲ βοσὼρ καὶ τὸ σῶμα· ὥστε, οὗ τὸ ἐρύθημα ἐξ ἀμπέλου βοσώρ· ἀντὶ τοῦ οὗ τινος τὸ σῶμα ἐξ ἀμπέλου ἦν βεβαμμένον.

Βόστρυχοι, οἷον βότρυχοι, αἱ μετὰ σχήματος βοτρυειδοῦς ἀποκρεμάμεναι τρίχες. ἢ βόστρυχος ὁ πλόκαμος παρὰ τὸ βότρυν.

Βοτάνη, παρὰ τὸ βίᾳ τείνεσθαι ἤγουν αὔξειν· ἢ παρὰ τὸ βαδίζειν ἄνω, ὥσπερ καὶ ἄνθος παρὰ τὸ ἄνω θέειν ἤγουν τρέχειν. ἢ διὰ τὸ βιοῖν τὴν ἄνω.

Βοτὴρ καὶ διὰ τοῦ ο μικρὸν καὶ διὰ τοῦ ω. παρ' Ὁμήρῳ, ὅθεν τὸ κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας [1])· καὶ εἰς τὸ πολυβότειρα.

Βότρυες, ἀφ' ὧν ἔστι πίειν, οἷον πότρυες, αἱ τοῖς ποσὶν τριβόμενοι, ἤγουν πατούμενοι.

Βόσω, τρέφω, ἐξ οὗ καὶ συβώτης, ὁ τοὺς σύας τρέφων, ἤγουν βόσκων, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω.

Βουβῶνος, παρὰ τὸ βῶ τὸ βαίνω γίνεται βῶνα, καὶ μετὰ τοῦ ἐπιτατικοῦ μορίου γίνεται βουβὼν τὸ εἰς ὕψος βαῖνον. σημαίνει δὲ τὸ πάθος.

Βουβὼν, ἐπὶ τοῦ σημαίνοντος οἰδήματος, παρὰ τὸ ἄγαν βαίνειν εἰς ὕψος, καὶ μετὰ τοῦ ἐπιτατικοῦ μορίου βουβών· ὡς βούπαις, βούγαις.

Βουκόλοι, ἤτοι βουκόνοι, παρὰ τὸ κονεῖν περὶ τὰς βοῦς, τροπῇ τοῦ ν εἰς λ ὡς νίτρον, λύτρον. ἢ βουκόλοι, βουσὶ κεκλημένοι ἤτοι ἐγκελευόμενοι. παρὰ τὸ κέλλω κέλλομαι. ὦ Ἀχιλεῦ κέλεαι δέ με τὴν δ' ἀποδοῦναι [2]). ἢ βουσὶ κεκολλημένος· οὕτως εὗρον ἐν ὑπομνήματι τῆς Η. Ὅμηρος. Ἀθηναῖοι δὲ τὸν βουκόλον εἰρῆσθαι παρὰ τὸ κόλον, ὅ ἐστι τροφὴ, ἵν' ᾖ ὁ τοῖς βουσὶ τὴν τροφὴν προφέρων. ἢ παρὰ τὸ κέλλω ὃ σημαίνει τὸ πορεύομαι, ὁ ἅμα τοῖς βουσὶ κέλλων. Δίδυμος δὲ παρὰ τὸ κομεῖν εἰρῆσθαι, ἵν' ᾖ βουκόμος ὡς ἱπποκόμος.

Βουκόλος, βουκόνος τις ὢν, παρὰ τὸ κονεῖν εἰς ἔριν τὰς βοῦς ὅ ἐστιν ἐνεργεῖν καὶ διατρίβειν· ἢ βουσὶ κεκλομένος, ὅ ἐστιν ἐγκελευόμενος.

Βουλὴ, παρὰ τὸ βάλλω· ἢ παρὰ τὸ βέλω βολὴ καὶ πλεονασμῷ τοῦ υ βουλὴ, ἢ τοῦ νοὸς ἐμβολὴ, βουλὴ γνώμη, πρόθεσις.

Βουλὴ, παρὰ τὸ βέλλω ἐξ οὗ καὶ βέλος καὶ βολὶς καὶ βουλὴ, ἐπιβουλὴ γάρ ἐστι.

Βούκινον, ἐκ τοῦ βοὴ, καὶ τοῦ κίνησις, βοὴ κενὴ ἢ βοὴ κοινή.

Βίαιος, παράνομος.

Βουληφόρος, ὁ σύμβουλος· τὰ ἐκ δύο τελειῶν συντεθειμένα ὀνόματα ἐκ πόσων πτώσεων συντέθεινται; ἢ ἀπὸ εὐθείας, ὡς τὸ ζωὴ ζωηφόρος, καὶ ἕως ἑωσφόρος· ἢ ἀπὸ γενικῆς ὡς τὸ οὐδενὸς οὐδενόσωρα· ἢ ἀπὸ δοτικῆς, ὡς τὸ ἄρηϊ ἀρηΐφιλος· ἢ ἀπὸ αἰτιατικῆς, ὡς τὸ πόδα ποδαλείριος. μόνον δὲ ἀπὸ κλητικῆς οὐ γίνεται σύνθετον, ἐπειδὴ πᾶσα πτῶσις τρίτου προσώπου ἐστι πλὴν τῆς κλητικῆς [3]). ἡ δὲ κλητικὴ αὐτοτελής ἐστι,

---

1) Il. XVIII, 529. 2) Il. I, 134. 3) Emendetur Etym. M.

καὶ πολλάκις τέλειον λόγον ἀποτελεῖ, ὡς τὸ· ὦ μάκαρ Ἀτρείδη, μοιρηγενὲς ὀλβιόδαιμον· καὶ πάλιν· Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ· τὸ δὲ τέλειον μετὰ τοῦ ἀτελοῦς οὐ συντίθεται. καὶ ἀποροῦσί τινες ὅτι ἐπεὶ ἀπὸ κλητικῆς οὐ συντίθεται, πῶς τὸ γυναικομανὲς ἀπὸ κλητικῆς τοῦ ὦ γύναι καὶ τοῦ μαίνομαι ῥήματος συνετέθη. ἔστι δὲ εἰπεῖν, οὐκ ἀπὸ κλητικῆς συνετέθη τοῦ ὦ γύναι, ἀλλ' ἐξ ἀποκοπῆς τῆς γυναικὸς γενικῆς. βουληφόρος. ἔστι δὲ ῥῆμα φέρω καὶ φορέω· ὡς δ' ἄνεμος ἄχνας φορέει, ἀφ' οὗ φορητὸς, ἀπὸ δὲ τοῦ φέρω φερτὸς, ἔνθεν τὸ, συμφερτὴ δ' ἀρετή. τὸ συγκριτικὸν, προφερέστερος. τὸ φέρω κατὰ τέλος συντίθεται, σπανίως δὲ κατ' ἀρχὴν, ὥσπερ τὸ φερέοικος, φερέσταχυς, βουληφόρος. τελεσφόρος· ἔστι βούλω ὅθεν τὸ βουλεύω παράγωγον· καὶ ἄρχω ἀρχεύω· ἀπὸ τούτου· τὰ εἰς η λήγοντα θηλυκὰ, τὸ η ἢ τρέπει, οἷον, γῆ, γηγενής, ὀδύνη ὀδυνήφατος [1]). πάντα δὲ τὰ παρὰ τὸ φέρω παροξύνεται, οἷον, ἑωσφόρος, βουληφόρος, εἰ μὴ ἄρα τύπος κωλύει διὰ τὸ ευ μόριον, καὶ τὰς προθέσεις, καὶ τὴν τοῦ α στέρησιν, πρόσφορος, ἄφορος, εὔφορος.

Βούλιμος, ὁ μέγας λιμὸς, παρὰ τὸ βου ἐπιτατικὸν, καὶ τὸ λιμὸς, καὶ ῥῆμα ἐξ αὐτοῦ βουλιμῶ.

Βούβρωστις ἡ μεγάλως ἐσθίουσα ἀνία. ἢ λιμὸς τὸ σῶμα [2]).

Βούλω, βαρυτόνως, ἐπειδὴ τὰ εἰς ω λήγοντα καθαρὰ δισύλλαβα παραληγόμενα τῇ ου διφθόγγῳ, τὰ μὲν δύο βαρύτονα τὰ δὲ δύο περισπώμενα. καὶ τὰ μὲν βαρύτονα βούλω καὶ οὔλω, ἐξ οὗ καὶ ὁ ποιητὴς οὖλέ τε καὶ μέγα χαῖρε [3]). ταῦτα δὲ περισπῶνται, οὐλῶ παρὰ τὸ οὐλὴ ὃ σημαίνει τὸ τραῦμα, ἔνθεν καὶ τὸ κατούλωσε· καὶ τὸ δουλῶ παρὰ τὸ δοῦλος· καὶ εἰς τὸ οὐλόμην.

Βουτρωτὸς, ἡ Βουθρωτὸς πόλις τῆς Ἠπείρου, ὥς φησι Τεῦκρος ὁ Κυπριανὸς, ὅτι Ἑλένου ἐκ τῆς πατρίδος εἰς τὴν Ἤπειρον παραγενομένου, θύοντος τῇ ἐπιβατηρίᾳ ἡ βοῦς οὐ καιρίαν λαβοῦσα τομὴν φεύγει, καὶ κόλπον τινὰ διανοιξαμένη εἰς γῆν ἐξέρχεται, καὶ καταπεσοῦσα ἀπέθανεν. ὁ δὲ Ἕλενος συμβουλῇ θείᾳ χρησάμενος κτίζει πόλιν, καὶ ἀπὸ τοῦ συμβάντος Βουτρωτὸν αὐτὴν ὀνομάζει.

Βουκέφαλος, ὁ ἵππος ὃν Ἀλέξανδρος ἐκέκτητο. εἴρηται δὲ οὐχ ὥς τινες οἴονται, ὅτι βοὸς κέρατα εἶχε, τοῦτο δὲ ψευδές. ἐκοσμεῖτο μὲν ὑπὸ Ἀλεξάνδρου χρυσοῖς κέρασι, καὶ ἄλλῳ βασιλικῷ κόσμῳ. καὶ οὐ διὰ τοῦ κέρατος Βουκέφαλος ὠνομάζετο, ἀλλ' ὅτι οὕτως ἐν Θεσσαλίᾳ ἐκαλοῦντο οἱ ἵπποι, ἔχοντες ἐγκεκαυμένον βουκράνιον· ὅτι δὲ τῶν Θετταλικῶν ἵππων τινὲς ἐκαλοῦντο βουκέφαλοι δηλοῖ Ἀριστοφάνης ἐν Ἀνυγύρῳ· μὴ κλαῖε ἐγώ σοι βουκέφαλον ὠνήσομαι· καὶ πάλιν· ψύχει ἠρέμα τὸν βουκέφαλον καὶ κοππατίαν.

Βουνὸς, παρὰ τὸ βαίνειν ἄνωθεν βαινὸς, καὶ τροπῇ τῆς διφθόγγου εἰς δίφθογγον βουνός· ὡς ὄνειρος ὄνειρος. ἔστι δὲ καὶ ὕψωμα ἐκ γῆς, οὐκ ἐκ πετρῶν πεπυκνωμένος.

Βουπλὴξ, διφορεῖται κατὰ τὴν τάσιν, πρὸς διάφορον σημαινόμενον. ὀξυτόνως μὲν γὰρ τὸ ἐνεργοῦν ὄργανον. βαρυτόνως δὲ τὸν ὑπ' αὐτοῦ πλησσόμενον [4]).

Βοῦς μόσχου διαφέρει. βοῦς μὲν γάρ ἐστιν ὁ τέλειος· μόσχος δὲ ὁ νεόγονος, ἀφ' οὗ καὶ μοσχία ἡ νέα φυτάς.

Βοῦστα, Λατῖνοι τὰ ἐκ τῆς πυρᾶς καλοῦσι λείψανα, παρὰ τὸ φῶ ὃ σημαίνει τὸ λάμπω γίνεται φῶτα. τροπῇ τοῦ ω εἰς ου δίφθογγον, καὶ τοῦ φ εἰς β γίνεται βοῦτα, καὶ κατὰ πλεονασμὸν τοῦ σ βοῦστα.

Βοῶπις, ἡ μεγαλόφθαλμος. ποίου εἴδους; προσηγορικοῦ.

Βραβεῖον, παρὰ τὸ ῥάβδος ῥαβδεῖον, καὶ τροπῇ τοῦ δ εἰς β καὶ ἐν ὑπερβιβασμῷ τοῦ ἑτέρου β βραβεῖον. λέγεται γὰρ τὸ βασιλικὸν σκῆπτρον, ἐξ οὗ καὶ βραβευταὶ οἱ τὰς βασιλικὰς ῥάβδους βαστάζοντες, καὶ τοῖς νικῶσι τοὺς στεφάνους διδόντες. τὸ βει διφθόγγῳ διατί; τὰ διὰ τοῦ ειον κτητικά. στέφανος βραβείου διαφέρει. στέφανος κόσμος γυναικεῖος, ἐπὶ τῆς κοίτης, βραβεῖον δὲ ἡ ἐπινίκιος ἀμοιβή.

Βραβευταὶ, κυρίως οἱ τὴν ῥάβδον ἀπὸ φοίνικος ἤ τινος ἄλλου διδόντες σύμβολον τῆς νίκης, ῥαβδευταί τινες ὄντες. πλεονασμῷ τοῦ β, ὡς παρ' Αἰολεῦσι τὸ Ῥόδον Κρόδον λέγουσι.

Βραβεύω, ἐπιψηφίζομαι διακρίνω, ὅθεν καὶ βραβευτὴς κριτὴς, διοικητὴς, ὁριστής.

Βράσσων, ὁ βραδὺς, ὡς θάσσων, ὁ ταχὺς, δύναται δὲ καὶ ὁ μὴ καθεστὼς ἀπὸ τοῦ βρασμοῦ.

Βραγχίων τὸ τῶν ἤχων.

Βραγχιάζω εἰς τὸ ἐβραχίασε.

Βραδὺς, ἀπὸ τοῦ βάρος βαρὺς, ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ δ βραδύς.

Βραχίων, ὁ ὀλίγος πρὸς τὰ πλείονα. οὕτω καὶ τὸ μέρος τῆς χειρός.

Βραχίονες βραχικίονες. βραχύτεροι γὰρ τοῦ λοιποῦ μέρους τῶν χειρῶν τοῦ πήχεως.

Βραχεῖς, παρὰ τὸ θραχεῖς κίονας εἶναι τῆς χειρός.

Βραχίων, ἐκ τοῦ βραχὺ καὶ τοῦ κίω τὸ πορεύομαι βραχυκίων, καὶ συγκοπῇ βραχίων, βραχίονος· ὁ κανών· τὰ εἰς ων συγκριτικὰ τρέπει τὸ ω εἰς ο ἐπὶ γενικῆς· οἷον· μείζων μείζονος, βελτίων βελτίονος, οὕτως οὖν καὶ βραχίων βραχίονος.

Βάλβιτα [5]), τὰ καλούμενα δαμάσκηνα, βολάβιλα τι ὄντα. τὴν βορὰν ἐκβάλλοντα. ἔστι γὰρ μαλακτικὰ γαστρός. εἴρηται δὲ καὶ μάδρυα, οἱονεὶ μαλίδρυα ὄντα. εἴρηνται δὲ δαμάσκηνα κατ' ἐξοχὴν, διὰ τὸ ἐν Δαμασκῷ καλῶς γεωργούμενα εἶναι εὐθαλέστερα καὶ καλλίονα.

Βραχίων, παρὰ τὸ εἶναι βραχὺ ὑπό τε τῆς τοῦ πήχεως ὀστῶν.

Βραδὺς, βαρύς τις ὤν.

Βρόχθος, τὸ ὀλίγον πόα· καὶ ὁ φάρυγξ δι' οὗ καταπίνομεν. εἴρηται δὲ παρὰ τὸ βρέχω, βέβροχα, βρόχος καὶ ἐν πλεονασμῷ βρόχθος· τὸ γὰρ πινόμενον βρέχει, καὶ πίνον ὄργανον βρέχεται.

Βραχὸς, διὰ τὸ βάρεως κεῖσθαι ἤγουν κολάζεσθαι.

Βραχὸς, εἰς τὸ βροχὸς καὶ ἐβραχίασε.

Βραχὺς, σημαίνει τὸ μικρὸν, ἢ παρὰ τὸ ῥᾷον κεῖσθαι.

Βρέμεται, τὸ βρε ψιλὸν διατί; τὰ διὰ τοῦ εμω ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται πλὴν τοῦ μαιμῶ, σημαίνει δὲ τὸ ὁρμῶ. ἢ οὕτως μαιμῶσα τοῦ αἵματος γευστικῶς ἔχουσα, ὁρμῶσα.

Βρέμω, εἰς τὸ ἔδραμον.

Βρενθυόμενοι, δυσχεραίνοντες, ὀργιζόμενοι, θυμούμενοι, ἐπαιρόμενοι· καὶ βρενθύεσθαι τὸ θυμὸν μετεωρί-

1) omnia turbata. 2) μεγάλως — σῶμα. Mile. 3) Od. XXIV, 401. 4) cf. Schol. Lycoph. 187. Schol. Il. VI, 135. 5) L. Βόλβιτα.

ζεσθαι, ἢ προσποιεῖσθαι, παρὰ τὸ μετὰ βάρους θύειν ὅ ἐστιν ὁρμᾷν.

Βρενδήσιον, χώρα τῆς Ἰταλίας· εἴρηται δὲ οὕτως ὅτι λιμένα ἔχει κέρασιν ἐλάφου παραπλήσιον. βρένδον δὲ τὸν ἔλαφον λέγουσι οἱ Μεσσάπιοι.

Βρέτας, τὸ εἴδωλον, ἢ ξόανον σημαίνει, καὶ γέγονε οὕτως. ἔστι βρετῶ τὸ σημαῖνον τὸ φθείρω, ἐξ οὗ καὶ βροτὸς καὶ ἐκ τοῦ βρετῶ βρέτας. ἔστι δὲ ἄκλιτον. καὶ εἰς τὸ ξόανον.

Βρέτας, παρὰ τὸ βροτῷ ἐοικέναι, ἢ παρὰ τὸ βροτοῖς ἀπεικονίζεσθαι. κυρίως δὲ τὸ ἀπὸ ξύλου πεποιημένον ἀνθρώπου ἄγαλμα.

Βρέφος, παρὰ τὸ εἰς φῶς βεβηκέναι· ἢ παρὰ τὸ φέρβω, τὸ τρέφω, φερβὸς, καὶ ἐν ὑπερβιβασμῷ, τὸ ἐν κοιλίᾳ τῆς μητρὸς αὐτοῦ βεβρεγμένον ὄν· ἢ παρὰ τὸ τρέφω τρέφος, καὶ τροπῇ τοῦ τ εἰς β βρέφος. τὸ βρε ψιλὸν διάτι; τὰ διὰ τοῦ εφος οὐδέτερα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον νέφος στέφος. σεσημείωται τὸ λαῖφος. σημαίνει δὲ τὸ ἱμάτιον. καὶ εἰς τὸ γερών.

Βρέφος, τὸ δεόμενον τροφῆς ἢ φορβῆς. ἢ παρὰ τὸ φέρβω φέρβος, καὶ μεταθέσει τῶν δύο στοιχείων βρέφος.

Βρέχει, πᾶν νόημα καὶ πᾶς λόγος τέλειος ἐξ ὀνόματος συνίσταται καὶ ῥήματος· οἷον λέγει Θεόδωρος, ἀναγινώσκει Πλάτων· χωρὶς τούτων οὐδέν ἐστι τέλειον. ἐὰν γὰρ εἴπω ἀναγινώσκει, ὀφείλει εἰπεῖν καὶ ἐπαγόμενον ἢ Θεόδωρος, ἢ ἄλλός τις, διότι πολλοί εἰσιν οἱ ἀναγινώσκοντες. ὅταν δὲ ἐρωτηματικῶς εἴπωμεν βρέχει, ἢ βροντᾷ, ἢ ἀστράπτει; διὰ τοῦτο οὐ προστίθεμεν καὶ τὸν ἐπαγόμενον, διότι εἷς ἐστὶν ὁ ταῦτα ποιῶν, τουτ' ἔστιν ὁ θεός· ὥσπερ καὶ ἐπὶ τοῦ βασιλέως, οἷον, ἔδωκεν ἀξίας, ἐποίησε σπαθαρίους· καὶ οὐ λέγομεν ὁ δεῖνα, ἐπειδὴ εἷς ἐστὶν ὁ ταῦτα πράττων.

Βρίηπυος, μέγα καὶ βαρυβοῶν. παρὰ τὸ ἤπειν ὅ ἐστι φωνεῖν [1]).

Βρίζω, τὸ κοιμῶμαι· εἴρηται δὲ βρίξαι τὸ μετὰ βάρους τροφῆς νυστάζειν. ἐξ οὗ ἠρεμεῖν καὶ ἀμελεῖν.

Βριμαίνειν, εἰς τὸ ἔμβριμι.

Βρίμος, εἰς τὸ ὄμβριμος.

Βριθοσύνη, ἡ βαρυτὴς, παρὰ τὸ βρίθω τὸ βαρῶ.

Βρίζειν, τὸ μετὰ τὴν τροφὴν κοιμᾶσθαι, οἱονεὶ βορίζειν. βορὰ γὰρ ἡ τροφή.

Βριθομένη ἀντὶ τοῦ βρίθεται, ὅ ἐστι βαρεῖται· καὶ οὐχ ὥς τινες εἶπον βαρουμένη. κέχρηται γὰρ τῇ μετοχῇ ἀντὶ ῥήματος. καὶ ἔστι τὸ σχῆμα ἴδιον Αἰολέων.

Βυσσοδομεύων, ἐκ βυθοῦ τῆς διανοίας κρυπτῶς συντεθεὶς σκέψιν, οἷον ἐν βυθῷ τινὶ οἰκοδομῶν. ὡς τὸ μὴ πρότερον γνωσθῆναι πρὶν ὑπερέχειν ἄνω.

Βυσσοδομεύειν, τὸ φροντίζειν, παρὰ τὸ δομεύειν, καὶ κατασκευάζειν τὰ ἐν βάθει.

Βροτόεντα, ἡμαγμένα· βρότος τὸ ἀπὸ φόνου αἷμα τοῦ θεολόγου. τίνας ἀτμοὺς ἀπὸ γῆς αἰτιάσει νέφους δημιουργούς· ἢ ἀέρος πύκνωσιν τινὰ ἢ νεφῶν μανοτάτων θλίψιν ἢ σύῤῥηξιν, ἵν' ἡ μὲν θλίψις τὴν ἀστραπὴν, ἡ δὲ ῥῆξις τὴν βροντὴν ἀπεργάσηται, πνεῖ δὲ πνεῦμα στενοχωρούμενον. εἶτα οὐκ ἔχον διέξοδον ἵνα ἀστράψῃ θλιβόμενον, καὶ βροντᾷ ῥηγνύμενον [2]).

Βρόχος, ὁ ἐπὶ τοῦ σχοινίου καὶ τοῦ λαιμοῦ. κυρίως δὲ βρόχος ὁ εἰς τὰς ἀγκύρας ἐνημμένος. καὶ τὰ ἀπόγεια σχοινία διὰ τοῦ βρέχεσθαι. τινὲς δὲ παρὰ τὸ βρόχον, τὴν ἀγχόνην ἐτυμολόγουν σκλῆρον τοῦτο.

Βρόχος, ὁ περιτιθέμενος τῷ αὐχένι.

Βρόγχος, ὁ φάρυγξ, πᾶν γὰρ φθέγμα ἐκ βρόχου καὶ φάρυγγος φθέγγεται ἤγουν φέρεται. ἐκ τούτου γίνεται καὶ βρόχος τὸ σχοινίον τῆς πνιγμονῆς, ἤτοι τὸ δίκτυον τὸ πνῖγον.

Βρογμὸν, τὸ τῆς κεφαλῆς ἄκρον, τὸ ἁπαλὸν, παρὰ τὸ βρέχεσθαι.

Βρόμιος, παρὰ τὸ βρομὸν ὅ ἐστιν ἦχον τοῦ πυρὸς, ὁ ἀπὸ τῆς σεμέλης τῆς κεραυνωθείσης. ἢ ἡ ἁρπαγὴ ἡ ἀπὸ τοῦ πυρός.

Βρόμιον, ὑψούμενον, ἤτοι ἐξογκούμενον. ἐκ τοῦ βρομᾶσθαι.

Βροντὴ, παρὰ τὸ βρόμον, ὃ σημαίνει τὸν τοῦ πυρὸς ἦχον, ἔμπυρος γὰρ ἡ βροντὴ, εἰκότως ὠνόμασται· ἢ παρὰ τὸ βρέμω βρόμος, κατὰ μίμησιν τοῦ γινομένου ἤχου. κυρίως δὲ ἐπὶ τοῦ πυρός.

Βρόμος, ὁ Διόνυσος, ὁ γενεσιουργὸς τῶν καρπῶν, παρὰ τὸ βορὰ βόριμος καὶ βρόμιος, ὅ ἐστιν ἠχὴ τοῦ πυρός.

Βρόμος, ἰδίωμα ἤχου.

Βροντὴ. ὡς βαρύνουσα τὴν φωνήν· ἢ παρὰ τὸ βρόμος ὃ σημαίνει τὸν τοῦ πυρὸς ἦχον γίνεται βρομὴ καὶ βρονμὴ καὶ βροντὴ, κατὰ τροπὴν τοῦ μ. εἰς τ. βροντή· ἢ παρὰ τὸ ῥᾷον ἠχεῖσθαι.

Βροντησία, ἐκ τοῦ βροτὸς βροτόσιος καὶ τροπῇ τοῦ ο εἰς η βροτήσιος, ὡς τὸ θεοτόκος, θεηθόκος. τὸ σι ἰῶτα διάτι; τὰ διὰ τοῦ ισιος ἅπαντα διὰ τοῦ ι γράφεται, οἷον ἀχαρίσιος, ἀφροδίσιος. βροτήσιος δὲ η καὶ ι. ἀρκείσιος δὲ καὶ σιμοεῖσιος δίφθογγον καὶ ἰῶτα.

Βροτὸς, ἐκ τοῦ μείρω μέμορα μορτὸς, καὶ ἐν ὑπερβιβασμῷ μροτὸς, καὶ τροπῇ τοῦ μ εἰς β βροτός. καὶ διάτι ἐτράπη τὸ μ εἰς β.; ἐπειδὴ οὐδέποτε τὸ μ πρὸ τοῦ ρ εὑρίσκεται, ἢ κατὰ σύλληψιν ἢ κατὰ διάστασιν. ποίου εἴδους τῶν κατὰ σημασίαν; συνωνύμου. διόρισον. συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, οἷον, ἄνθρωπος, βροτὸς μέροψ, ἐξ οὗ μερόπων γένος, Ὅμηρος.

Βροτόεντα, ἡμαγμένα. τὸ μετουσιαστικὸν βρότειος διὰ διφθόγγου· τὰ διὰ τοῦ ειος μετουσιαστικὰ ἢ κτητικὰ, ἢ μέρος σώματος δηλοῦντα, διὰ τοῦ ει διφθόγγου γράφεται, οἷον βρότειος, δρακόντειος, Ἑκτόρειος.

Βροτοσσώων, τῶν βροτοσσώγων, παρὰ τὸ βροτὸς καὶ τοῦ σῶος ὁ ὑγιὴς, βροτοσσῶος καὶ βροτοσσώων.

Βροχὴ, διὰ τὸ βαρέως χέεσθαι.

Βρυγμὸς, ἡ σύντομος ἐδωδή· Εὔπολις ὅσος ὁ βρυγμὸς καὶ κοπετὸς ἐν τῇ στέγῃ, παρὰ τὸ βρύχω ὃ σημαίνει τὸ ἐσθίω, ὡς νύσσω οὖν νυγμὸς, βρύκω βρυγμός.

Βρῦα, εἰς τὸ ὀμβροβλυτοίη.

Βρύω, εἰς τὸ βλύω.

Βρύξει, τὸ θέμα βρύχω· ἔστι δὲ καὶ βρυχῶ δευτέρας συζυγίας τῶν περισπωμένων.

Βρύει, ἀνθεῖ. φύει. ὡς τὸ ἔμβρυον.

Βρύχω, τρύζω, βρύχεται μαίνεται.

Βρύχω, ἐπὶ ἀνθρώπου βαρύνεται. βρυχῶ δὲ ἐπὶ θηρίου καὶ ἄλλων ζώων.

Βρῶσις, παρὰ τὸ βρῶ τὸ ἐσθίω ὁ μέλλων βρώσω.

Βρώω, σημαίνει τὸ τρώγω, παρὰ τὸ βρώθω τὸ βρώσω.

---

1) παρὰ τὸ etc. Male. Vid. Etym. M.

2) τίνας ἀτμοὺς — ῥηγνύμενον. Confusa et corrupta pleraque.

Βυζάντιον, ὄνομα πόλεως, διὰ τὸν τῆς Θράκης βασιλέα Βύζαντα.

Βυθὸς. παρὰ τὸ βάθος· ἢ παρὰ τὸ βύζω βυτὸς καὶ βυθὸς, ἐξ οὗ καὶ βύθιον καὶ ὑποβρύχιον.

Βυθὸς, παρὰ τὸ δύειν τὸν δύνοντα λίθον ἐν αὐτῷ· ἢ καὶ σίδηρον καὶ μόλυβδον καὶ μὴ ὁρᾶσθαι.

Βύνη, εἰς τὸ γυνή.

Βύνη, ἡ θάλασσα καὶ ὄνομα θεᾶς.

Βύνη, ἡ Ἰνὼ, ἢ ὅτι βυθὸν ἥλλατο· ἢ ὅτι μετὰ τῶν ἱματίων εἰς βυθὸν ἑλκύσθη. ἢ ὅτι ὕδατος ἐπληρώθη, βλῦσαι γὰρ τὸ πληρῶσαι· ἢ παρὰ τὸ δῦναι εἰς τὸ ὕδωρ· ἐστὶ δὲ Βοιωτικὴ ἡ λέξις.

Βυούσης, ἡ εὐθεῖα βυοῦσα, παρὰ τὸ μύω τὸ καμμύω, καὶ περισπᾶται ὁ μέλλων μυῶ, καὶ τροπῇ τοῦ μ εἰς β βυῶ καὶ μετάγεται εἰς ἐνεστῶτα καὶ γίνεται βύω βύεις· καὶ ἡ μετοχὴ βύων τὸ θηλυκὸν βυοῦσα βυούσης.

Βύσσος, ἔστι δὲ εἶδος βοτάνης, ἐξ ἧς καὶ τὰ ἀπ' αὐτῆς βαπτόμενα ἱμάτια βύσσινα λέγονται.

τρ

Βύρσα, τὸ δέρμα τοῦ βοὸς· τὸ λεγόμενον βυρσ· καὶ κάσσημα [1]).

Βύω, εἰς τὸ ἄβυσσος, καὶ ἀκροβυστία. καὶ βεβυσμένη.

Βῶλος, παρὰ τὸ βῶ τὸ τρέφω, οἱ γὰρ βῶλοι τοὺς καρποὺς ἀνάγουσι· ἢ ὅτι βαλλόμενος λύεται. καὶ εἰς τὸ βόλος.

Βωβὸς, κατ' ἀντίφρασιν, ὁ μὴ δυνάμενος βοᾶν· ἐκ τοῦ βῶ τὸ σημαῖνον τὸ φωνῶ.

Βώμαξ, ὁ βωμολόχος· τάσσεται δὲ ἐπὶ τῶν μαλακιζομένων, λέγεται δὲ βώμαξ καὶ ὁ μικρὸς βῶμος ὑποκοριστικῶς.

Βωμολοχίαις, οὐ συνηθες ἔμοιγε βωμολοχίαις καὶ γλίχεαις ἐλπίσιν ἐγκαλλωπίζεσθαι, γελωτοποιΐαις. βωμολόχοι δὲ κυρίως λέγονται οἱ ἐπὶ τῶν θυσίων ἐπὶ τοῖς βωμοῖς καθεζόμενοι καὶ μετὰ κολακείας καὶ δόλου προσαιτοῦντες· ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι τὰς θυσίας αὐληταὶ καὶ μάντεις. ἐκ μεταφορᾶς δὲ τούτων ἐλέγοντο βωμολόχοι καὶ τινες εὔκολοι καὶ ταπεινοὶ ἄνθρωποι, καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει, διὰ τὸ παίζειν τε καὶ σκώπτειν. ὥστε τρία σημαίνει.

Βωμολόχος, ὁ σκώπτης, ὁ πένης, ὁ εὐτελὴς καὶ ἱερόσυλος, παρὰ τὸ λοχεῖν εἰς τοὺς βωμοὺς ὅ ἐστιν ἐνεδρεύειν.

Βωμὸς, ἐκ τοῦ βῶ ῥήματος τὸ σημαῖνον τὸ περιπατῶ, ὁ μέλλων βήσω βημὸς καὶ βωμός.

Βωμὸς, σημαίνει καὶ τὸ ἵδρυμα, ἐφ' ᾧ τὰς θυσίας ἐποίουν· καὶ βάσιν τινὰ ἐφ' ἧς ἵδρυον τὰ σκεύη· ἑκατέρων μέμνηται Ὅμηρος· καὶ τοῦ μὲν προτέρου ἐφ' οὗ ἔθυον, τοῦ μὲν δήποτε φημίτε περικάλλεα βωμὸν [2])· τοῦ δὲ δευτέρου· ἅρματα δ' ἀμβωμοῖσι τίθει κατὰ λῖτα πετάσσας [3]). εἴρηται δὲ ἀμφότερα παρὰ τὸ βῶ. βάσεις γὰρ ὁ βωμὸς τινὰς ἔχει, ἀλλ' οὐ περιφερεῖς, ὥσπερ ἡ ἑστία· τὸ δὲ ὅτι βάσις ἔστι τινὸς ὑψηλοῦ· παρὰ τὸ βῶ καὶ βηλὸς, καὶ βαθμὸς, καὶ βῆμα, καὶ βάσις, καὶ βαλβὶς, ἧς πρότερον ἐπιβαίνομεν. σημαίνει δὲ ἡ λέξις καὶ τάφον, οἷον βωμὸς παρὰ τὸ πωμός τις ὤν, ὁ πῶμα ὂν καὶ σκέπασμα τοῦ νεκροῦ.

Βῶ, εἰς τὸ αἴνυτο, καὶ βάπτω, καὶ βορὰ, καὶ βοσβῦνα, καὶ βοῦς, καὶ ἐκβασὰν, καὶ ἐρισύβη, καὶ ἥβη, καὶ ἵλεως, καὶ στίλβω.

Βωτιανείρη, ἄνδρας τρεφούση διὰ τοῦ ἰῶτα, παρὰ τὸ βῶ τὸ τρέφω.

Βῶλος, παρὰ τὸ βῶ τὸ τρέφω· αἱ γὰρ βῶλοι τῶν καρπῶν τὰς ἀναδόσεις ποιοῦνται, ὅθεν καὶ Ὅμηρος ἐρίβωλον καὶ ἐριβώλακα τὸν καρπὸν λέγει. καὶ παρωνύμως βῶλος, βῶλαξ καὶ ἐριβώλαξ, ὡς λίθος, λίθαξ.

Βωνίτης, γῆ βωτιανείρη, παρὰ τὸ βῶ τὸ τρέφω γέγονε βωτιανείρη.

Τέλος τοῦ βῆτα.

ΑΡΧΗ ΤΟΥ ΓΑΜΜΑ ΣΤΟΙΧΕΙΟΥ.

Γαγγαλίζω, παρὰ τὸ γελῶ γελίζω, τροπῇ τοῦ ε εἰς α γαλίζω, καὶ κατ' ἀναδιπλασιασμὸν γαγγαλίζω, ἑτέρου γ πλεονάσαντος· τὸ εἰς γελᾶν ἄγω.

Γάδειρα, ἀπὸ τοῦ γῆ καὶ τοῦ δειρὰ τοῦ σημαίνοντος τὴν ἐξοχὴν γέγονε γάδειρα, οἱονεὶ γῆς δειρα, τουτέστι σπόνδυλος.

Γαίης, τῆς γῆς. ἔστι ῥῆμα γαίω, τὸ σημαῖνον τὸ τίκτω, ἐξ οὗ γίνεται γέα διὰ τοῦ ε ψιλοῦ, οἱονεὶ ἡ γεννητικὴ, ἐξ οὗ καὶ γεωμέτρης. ἐκ τούτου γίνεται γέα γῆ· καὶ ἐκ τούτου ἄλλη παραγωγὴ διὰ τῆς αι διφθόγγου.

Γάγγραινα, πάθος διαβρωτικὸν σαρκῶν, παρὰ τὸ γράω, ὃ σημαίνει τὸ ἐσθίω. Καλλίμαχος· αἰζήων ἔγραε κηδεμόνος, ἀντὶ τοῦ, ἤσθιε· παρὰ τὸ οὖν γράω γραίνα καὶ ἐν διπλασιασμῷ γάγγραινα.

Γαιήοχος, παρὰ τὸ περιέχειν τὴν γῆν διὰ τοῦ ὠκεανοῦ· παρὰ γὰρ τὸ γαι παράγωγον, ὁ τὴν γῆν κατέχων Ποσειδῶν.

Γαιηοχῷ, τῷ τὴν γῆν ὀχοῦντι, ὅ ἐστι βαστάζοντι· ἐπὶ θαλάσσης γὰρ βέβηκεν ἡ γῆ. ἢ παρὰ τὸ γαίειν καὶ τὸν ὄχον, ὁ γαυριῶν τῷ ὄχῳ, ἤγουν τῷ ὀχήματι.

Γαείδαρος, παρὰ τὸ τὴν γῆν δαίρειν, ἢ παρὰ τὸ ἀεὶ δαιρόμενος. λέγεται γαείδαρος καὶ ἀείδαρος.

Γαίω, εἰς τὸ ἀγαυρὸς καὶ γαῦρος καὶ ταῦρος.

Γάλα, παρὰ τὸ καλὸν εἰς ἀνατροφὴν, οἷον κάλα, κατὰ τροπὴν τοῦ κ εἰς γ.

Γάλα παρὰ τὸ γυῖα καὶ ἅλλομαι, τὸ ἐκ τῶν γυιῶν ἀλλόμενον.

Γάκινος, ὁ σεισμὸς κατὰ Ἀθηναίους, ὁ τὴν γῆν κινῶν.

Γαλαθηνος, ἐκ τοῦ γάλα καὶ τοῦ θῶ τὸ θηλάζω, ἐξ οὗ καὶ τιθήνη· ὡς τό· ἐπεὶ ἐτανὸν γάλα θεῖσθαι [4]).

Γαλήνη εἰρήνη, ἠρεμία. παρὰ τὸ γελῶ γελάνη, ἢ τὸ γελᾶν φέρουσα, ἢ τὸ ἐκ τῆς γῆς λίαν ἵεσθαι, ἡ ἀστασίαστος κατάστασις. ἢ παρὰ τὸ γελῶ γελάσω, γελάνη τις οὖσα, καὶ κατὰ τροπὴν τοῦ α εἰς η γαλήνη. γελῶντι γὰρ ἔοικε τότε ἡ θάλασσα.

Γαλήνη, παρὰ τὸ γάλα, ἡ καθισταμένη θάλασσα καὶ πραεῖα.

---

1) F. βυρσότονον καὶ κάσσυμα. Vid. Phavorin. 2) τοῦ μεν — βωμόν. Emend. ex Il. VII, 238. 3) ἅρματα — πετάσσας Il. VIII, 441. 4) ἐπεὶ ἐτανὸν etc. emend. ex Od. IV, 89.

Γαληνόμορφον, παρὰ τὸ γαλήνη καὶ τὸ μορφή. τὸ δὲ γαλήνη γέγονεν οὕτως· ἔστιν ἅλς ἁλὸς ἡ θάλασσα καὶ ἡ ταραχὴ, καὶ μετὰ τοῦ νη στερητικοῦ μορίου ἀλήνη, καὶ πλεονασμῷ τοῦ γ γαλήνη, ἡ ἐστερημένη τῆς ταραχῆς· τὰ στερητικὰ καὶ τὰ ἐπιτατικὰ πάντοτε ἐν τῇ ἀρχῇ λέγουσι τίθεσθαι, πλὴν τοῦ γαλήνη, χελώνη, σελήνη. χελώνη δὲ παρὰ τὸ τρέχω, καὶ τὸ νη στερητικὸν· ἡ ἐστερημένη τοῦ τρέχειν. σελήνη παρὰ τὸ σέλας ὃ σημαίνει τὸ φῶς, καὶ τὸ νη στερητικὸν μόριον, ἡ ἐστερημένη τοῦ σέλας.

Γαλήνη [1]), παρὰ τὸ γελῶ γελάσω, γελάνη γὰρ γαλήνη· τὸ δὲ μορφὴ παρὰ τὸ μείρω τὸ μερίζω, ἡ γὰρ μορφὴ πάντα μερίζει· καὶ εἰς τὸ μορφή.

Γαλόῳ, ἡ εὐθεῖα γάλως τὸ λως μέγα καὶ κλίνεται τῆς γάλω· ὁ κανὼν· τὰ δὲ βαρυτονα, κατ' ἀποβολὴν τοῦ σ. ἡ δοτικὴ γάλῳ, καὶ πλεονασμῷ τοῦ ο γαλόῳ. διάτι καταβιβάζει τὸν τόνον; ἐπειδὴ οὐδέποτε, τοῦ ω ἐπὶ τέλους κειμένου, τρίτη ἀπὸ τέλους τίθεται ἡ ὀξεῖα. χωρὶς τῶν Ἀττικῶν.

Γαλόη, ἡ τοῦ ἀνδρὸς ἀδελφή.

Γάλως, ὁ ἄλλος τις γενόμενος, καὶ μεταβάλλων τὴν φύσιν ἐξ ἀνδρῶν. ἀνδρὸς ἀδελφή [2]).

Γαμήλιον καὶ ἐπιθαλάμιον διαφέρει. γαμήλιον μὲν ὃ περιώρισται χρόνῳ· ἐπιθαλάμιον δέ ἐστι, τὸ ἐπὶ θαλάμου τῆς γαμουμένης γραφὲν ποίημα.

Γαμήλιον, παρὰ τὸ γαμῶ γαμήσω γαμήλιον, ὡς δεμῶ δεμήσω δεμέλιον καὶ θεμέλιον· καὶ παρὰ τὸ κατοικῶ κατοικήσω κατοίκησιν καὶ κατοικεσίαν.

Γαμησείω, παρὰ τὸν γαμήσω μέλλοντα.

Γάμος, οἷον δαμός τις, ὁ δαμαστικὸς καὶ ὑποτακτικὸς τῶν θηλείων, ὅθεν καὶ τὰς παρθένους ἀδαμάστους λέγουσι.

Γάμος, παρὰ τὸ δαμῶ δαμὸς καὶ γάμος. ἐτυμολογεῖται δὲ παρὰ τὸ δύο ἅμα εἶναι, κατὰ μετάθεσιν τοῦ δ εἰς γ. ἢ διὰ τὸ ἐγγαμίζεσθαι ἤτοι ἁρμόζεσθαι· ἢ διὰ τὸ ἄγεσθαι γαμετὰς, ἢ διὰ τὸ γεννᾷν.

Γναμπτῇσιν ἐπικεκαμμένοις.

Γαμφυλὴ, ἡ γνάθος, ἡ σιαγὼν, παρὰ τὸ κάμπτω κάμψω, γαμφὴ καὶ παράγωγον γαμφαλὴ καὶ γαμφυλή· ὡς παρὰ τὸ θάπτω ταφή.

Γάνος, παρὰ τὸ γανώσω, τὸ λαμπρύνω καὶ εἰς τὸ ὄργανον.

Γὰρ, σύνδεσμος ἰσοδύναμος τοῦ ὅτι. διαφέρει δὲ τοῦ ὅτι, ὅτι τὸ μὲν ὅτι προτακτικὸν, ὡς τὸ, ὅτι ἠπαιδεύτησας ἐτυφθήθης· ὁ δὲ γὰρ ὑποτάσσεται· ὡς τὸ· ἐτυπτήθης, ἠπαιδεύτησας γάρ· ἵνα πλεονάσῃ τὸ αἴτιον.

Γαστὴρ, παρὰ τὸ γῶ τὸ χωρῶ, ἢ παρὰ τὸ γῶ τὸ λαμβάνω καὶ δέχομαι. γῶ γάζω γαστήρ.

Γαστὴρ, ἡ πάντα τὸν βίον λαμβάνουσα καὶ μὴ πληρουμένη, οὕτω Φιλόξενος.

Γαμβρὸς, ὁ ἀνὴρ τῆς θυγατρὸς· γαμβρὸς δὲ λέγεται ὁ γήμας ἐπὶ τῶν οἰκείων τῆς γαμηθείσης.

Γαμφυλοῖσι, σιάγοσι, ἀπὸ τοῦ τὸ σχῆμα κεκάμφθαι δοκεῖν.

Γάμμα, ὅτι ἔστι δρεπανοειδὲς, καὶ ἀμᾷ τὴν γῆν ἤγουν θερίζει, ὥσπερ τὸ δρέπανον, οὗπερ καὶ ὁ τύπος τοῦ γράμματος εἴκελος τουτέστιν ὅμοιος.

Γαγγαμὼν, δικτύου ἔστιν εἶδος παρὰ τὸ γάζω, γαμὸς, γάγγαμα, ἀπὸ τοῦ λαμβάνειν τὰ ἀγρευόμενα· κεῖται δὲ τὸ ὄνομα ἐν τοῖς τοῦ Ὀππιανοῦ ἁλιευτικοῖς.

Περὶ γαστριμαργίας, τί ἐστι γαστριμαργία; καὶ πόθεν ὠνόμασται; καὶ κατὰ ἀναγωγεῖν πῶς θεωρεῖται; οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητορικῶν ἐμνημόνευσε ταύτης. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζώων λόγῳ, μέμνηται ζώου μάργου λεγομένου, καὶ ὅτι γεννᾶται ἀπὸ σήψεως, μεταξὺ τῆς γῆς καὶ τοῦ ὕδατος [5])· καὶ ἀφ' οὗ γεννηθῇ, οὐ παύεται γηϊφαγοῦν, ἕως οὗ ἐκτροπήσαν τὴν γῆν εἰς ἐπιφάνειαν ἐξέλθῃ. ὅταν δὲ ἐξέλθῃ θνήσκει καὶ κεῖται νεκρὸν τρεῖς ἡμέρας. καὶ μετὰ ταῦτα ἔρχεται νέφος βροχῆς, καὶ βρέχει ἐπάνω αὐτοῦ καὶ ἀναζῇ μηκέτι γηϊφαγοῦν· καὶ ἐκ τούτου οἱ μετὰ τοὺς ἀρχαιοὺς φιλοσόφους ὁρμηθέντες τοὺς πολυφάγους γαστριμάργους ἀπεκάλεσαν. δύναται δέ τις εὐσεβῶς τοῖς οὖσι κατὰ θεωρίαν ἐπικαλεῖν τὰ εἰρημένα. πᾶν γὰρ πάθος ἀπὸ σήψεως γεννᾶσθαι πέφυκε· καὶ ἐπειδὰν γεννήθῃ, οὐ παύεται ἐσθίων τὴν ὑποστήσασαν, ἕως ἂν διὰ τῆς γνωστικῆς ἕξεως εἰς φανέρωσιν ἔλθῃ. καὶ ἐλθὼν θνήσκει ταῖς τρισὶν δυνάμεσι τῆς ψυχῆς. καὶ οὕτως ἡ χάρις τοῦ ἁγίου πνεύματος, ὡς διὰ νέφους τῆς διδασκαλίας ἐπανεῖσα τοὺς σταλαγμοὺς δίδωσι τῆς γνώσεως καὶ ζωοποιεῖ. οὐ κατὰ τὴν προτέραν ἐμπαθῆ ζωὴν, ἀλλὰ κατὰ τὴν ἐνάρετον καὶ θεῷ οἰκείαν. μάργος δὲ μοὶ δοκεῖ ὅτι ὁ μύρμηξ ἐστί.

Γαστριμαργία, ἡ περὶ τὴν γαστέρα μανία. μαργαίνειν γὰρ λέγεται παρὰ τοῖς ἔξω τὸ μαίνεσθαι. καὶ μάργος καλεῖται ὁ μανιώδης, παρὰ τὸ μαργαίνειν ὅ ἐστι μαίνεσθαι περὶ τὴν γαστέρα. διαφέρει δὲ γαστριμαργία λαιμαργίας [4]). γαστριμαργία μὲν γάρ ἐστιν ἡ τῆς γαστρὸς χόρτασις. λαιμαργία δὲ ἡ τοῦ λαιμοῦ ἡδονὴ, ἤγουν τὰ γλυκάσματα.

Γαυριᾷ, εἰς τὸ κομᾷ.

Γαῦρος, παρὰ τὸ γαίω τὸ γαυριῶ, ἐξ αὐτοῦ γαῖρος καὶ τροπῇ τοῦ ι εἰς υ γαῦρος· καὶ προπερισπᾶται. τὰ γὰρ εἰς ρος δισύλλαβα τῇ αυ διφθόγγῳ παραληγόμενα ἢ προσηγορικὰ ἢ ἐπίθετα προπερισπῶνται· οἷον σαῦρος, μαῦρος, ταῦρος, γαῦρος.

Γαργάρεον, γάργαρον λέγεται τὸ ἄκρον, ὅθεν καὶ γαργάρεον τὸ ὑψηλότατον τοῦ ἀνθρώπου· ὁ ἐν τῷ στόματι οὐρανὸς ὁ καλούμενος ὑπερῷον.

Γάστρα, ἡ εἰς τὸ κύτος γεννηθεῖσα, καὶ εἰς τὸ λαμβάνειν τι.

Γαστρὸς. ἡ εὐθεῖα ἡ γαστὴρ τῆς γαστέρος, γαστέρι. ἐξ οὗ καὶ γαστρίμαργος.

Γαυλὸς, ὁ ἐξ ἀλλοτριῶν ζῶν. λέγεται δὲ τὸ σκάφος διὰ τὸ κοῖλον καὶ πλεῖστα δέχεσθαι. ὡς φησὶν Ἡρωδιανὸς ἐν τῷ ι τῶν ἱστοριῶν.

Γαῦρος, ὁ μεγαλόφρων παρὰ τὸ ἄγαν καὶ τὴν αὔραν. ὁ ἄγαν πεφυσιωμένος.

Γαυλὸς, ἀγγεῖον δεκτικὸν· σημαίνει δὲ καὶ πλοίου εἶδος. ἢ τὸ γαλακτοδόχον ἀγγεῖον λέγεται, γαυλὸς παρὰ τὸ γάλα γάλος καὶ πλεονασμῷ τοῦ υ γαυλός· ἢ παρὰ τὸ γῶ τὸ λαμβάνω, τὸ δεκτικόν τινος. γαυλὸς δὲ τὸ σκάφος γύαλός τις ὤν· τουτέστι κοῖλον. καὶ ἄλλως, παρὰ τὸ γω τὸ γάζω. γαυλὸς δὲ κατὰ πλεονασμὸν τοῦ υ, γυαλὸς γὰρ ἀγγεῖον δεκτικόν. σημαίνει δὲ καὶ πλοίου εἶδος.

---

1) (Sic.) Pertinent ad articulum antecedentem. 2) Erronea. Vid. Etymol. M. v. γάλλος. 4) cf. Clem. Alex. p. 271. 51. 5) Emend. hinc Etymolog. M.

Γε. σύνδεσμος εἰς τὸ ἔγε.

Γέα. εἰς τὸ ἀνώγειον καὶ βαθύγειον.

Γεγαυῖα. γεγῶσα γεγονυῖα μετοχή. τὸ ῥῆμα γῶ, ἐξ οὗ καὶ ῥῆμα γείνω· ὁ μέλλων γήσω, ὁ παρακείμενος γέγηκα· καὶ οἱ Ἴωνες ἐπὶ τοῦ παρακειμένου ἡνίκα ὕφεσιν ποιήσωσιν τοῦ συμφώνου τότε καὶ συστολὴ φωνήεντος ἀκολουθεῖ. βεβήκασι, βεβάασι, οὕτω καὶ γέγηκα γέγαα καὶ ἡ μετοχὴ γεγαὼς γεγαότος, τὸ θηλυκὸν γεγαυῖα. καὶ τὸ γεγῶσα παρ' αὐτό. κανὼν γάρ ἐστιν ὁ λέγων, αἱ εἰς ως μετοχαὶ, εἰ μὲν ὦσιν ἀπαθεῖς διὰ τοῦ ω μεγάλου κλίνονται, καὶ τὸ θηλυκὸν ἔχουσι διὰ τοῦ υῖα. εἰ δὲ παθητικαὶ κλίσιν μὲν ἔχουσι διὰ τοῦ ω μεγάλου, τὸ δὲ θηλυκὸν εἰς α μεταποιοῦσιν· ἑστὼς ἑστῶσα, γεγὼς γεγῶσα. ἡ γεγῶσα ἐκ τοῦ γῶ τὸ χωρῶ, ὁ μέλλων γήσω, ὁ παρακείμενος γέγηκα καὶ τὸ Ἰωνικὸν γέγαα. ἐπὶ γὰρ τοῦ παρακειμένου ἤνικα ἀφαίρεσιν ποιήσωνται συμφώνου τότε καὶ συστολὴ παρακολουθεῖ. λοιπὸν ἡ μετοχὴ γεγαὼς γεγαότος, τὸ θηλυκὸν τὸ μὲν ὑπερτρισύλλαβον γεγαυῖα, τὸ δὲ τρισύλλαβον γεγῶσα. ἐπὶ μὲν γὰρ τῶν ὑπερτρισυλλάβων γεγαυῖα ἡ μετοχὴ, ὥσπερ τὸ μεμαυῖα. τὸ δὲ τρισύλλαβον γεγῶσα ὡς μεμῶσα.

Γεγανωμένος, λελαμπρυσμένος ἢ χαίρων, ἢ διακεχυμένος ἢ κεκαλλωπισμένος, καὶ γανωθεὶς οἷον, καλλωπισθείς. καὶ γανῶσαι ἐπὶ τοῦ λαμπρῦναι· καὶ γανεῖν, λευκᾶναι· καὶ γανερὸν, λαμπρὸν, λευκὸν, καὶ γάνος ὕδωρ, χάρμα, φῶς, λῖπος, αὐγὴ, λευκότης, λαμπηδὼν· ὑπὸ δὲ Κυπρίων, παράδεισος.

Γέγειος, ὁ ἀρχαῖος, ἀπὸ τοῦ γέα γέγονε διὰ τοῦ ε, γαῖος καὶ κατὰ συναίρεσιν γεῖος καὶ κατὰ διπλασιασμὸν γέγειος· ἢ ἀπὸ τοῦ γέα γέειος, καὶ κατ' ἐπένθεσιν τοῦ γ γέγειος.

Γεγηθώς, τὸ θέμα γήθω. τὸ γη η διάτι; τὰ διὰ τοῦ ηθω ῥήματα δισύλλαβα μὴ ἐν κινήσεσι γεννῶντα τὸ ο διὰ τοῦ ῆθα γράφεται, οἷον πλήθω τὸ πληρῶ, γήθω τὸ χαίρω, πήθω τὸ πάσχω. χωρὶς εἰ μὴ ἐν κινήσεσι εὑρίσκεται διὰ τὸ πείθω τὸ κατεπείθω, καὶ πλὴν τοῦ βρίθω καὶ τρίθω καὶ θρίθω.

Γεγωνέμεν, ἀπὸ τοῦ φωνῶ τροπῇ τοῦ φ εἰς γ, γωνῶ, γωνήσω γεγώνηκα, ἀπὸ τοῦ γωνῶ γωνήσω, γωνεῖν καὶ γεγωνεῖν κατὰ διπλασιασμὸν καὶ ποιητικῶς γεγωνέμεν.

Γεγωνότερον, ἐξακουστότερον, λαμπρότερον. γέγονε δὲ παρὰ τὸ γωνῶ τούτου ὁ μέσος παρακείμενος γέγωνα, καὶ ἡ μετοχὴ ὁ γεγωνώς. καὶ ἐξ αὐτοῦ γεγωνότερον τὸ συγκριτικὸν· καὶ γεγωνότερον ἐπίῤῥημα.

Γεγῶσα, γεγωνυῖα, ἀπὸ τοῦ γενῶ τὸ γίνομαι, ὁ μέλλων γενήσω, ὁ μέσος παρακείμενος γέγηνα καὶ κατ' ἀποβολὴν γέγηα. ἡ μετοχὴ κατὰ τροπὴν τοῦ η εἰς α γεγαώς. καὶ ἔστι σεσημειωμένον τὸ γεγαὼς, βεβαὼς, μεμαὼς, ἑσταὼς, ἅπερ κατὰ κρᾶσιν γίνεται βεβὼς βεβῶτος, μεμὼς μεμῶτος, ἑστὼς ἑστῶτος, γεγὼς γεγῶτος, καὶ τὰ θηλυκὰ βεβῶσα, γεγῶσα, μεμῶσα, ἑστῶσα καὶ τὰ οὐδέτερα διὰ τοῦ ω, τὸ γεγὼς, τὸ βεβώς. τὸ μεμὼς καὶ τὸ ἑστώς.

Γεγωνῶ. ἀλλ' οὔπω σοι ἐμβώσαντι γεγωνεῖν, παρὰ τὸ γνώω ἐν ὑπερθέσει γωνῶ, καὶ ἐν διπλασιασμῷ γεγωνῶ· οἱ γὰρ ἐξακουόμενοι γνωστοί. Δίδυμος δέ φησι, γεγωνεῖν εἶναι τὸ εἰς πᾶσαν γωνίαν ἀφικνεῖσθαι τὴν φωνήν. Γεγωνοτέραν [1]) ἐκ τοῦ φωνῶ γίνεται ὠνῶ ἐκβολῇ τοῦ φ, καὶ πλεονασμῷ τοῦ γ γωνῶ, καὶ κατ' ἀναδιπλασιασμὸν γεγωνῶ.

Γεωλόφος, γειολόφος, γηλόφος δέ.

Γείνεται, εἰς τὸ γίγνεται.

Γείνω, τὸ γεννῶ· τὸ γει διφθόγγῳ διάτι; διότι ἔχει ἐν τῷ μέλλοντι τὸ ε. ὁ παθητικὸς γείνομαι, τὸ γ γείνεται· καὶ εἰς τὸ γίνομαι καὶ γυνή.

Γείτων, τὸ γει διφθόγγῳ διάτι; τὰ παρὰ τὸ γέα συγκείμενα, διὰ τῆς ει διφθόγγου γράφεται. ἐξ οὗ καὶ γειτνιῶ. ἀπὸ τοῦ γέα τοῦ γραφομένου διὰ τοῦ ε ψιλοῦ γίνεται γεΐτων καὶ γείτων, κατὰ συναίρεσιν. ὁ δὲ Δίδυμος λέγει, ὅτι ὥσπερ ἀπὸ τοῦ τεύχω γίνεται τέκτων, οὕτω καὶ ἀπὸ τοῦ γείνω τοῦ σημαίνοντος τὸ πλησιάζω, ὅπερ γράφεται διὰ τῆς ει διφθόγγου, γίνεται γείτων. ἡ λέξις δὲ ὅτι ἀπὸ τοῦ γέα τοῦ διὰ ε ψιλοῦ γίνεται γεΐτων, καὶ γείτων κατὰ συναίρεσιν.

Γειόμορος, ὁ γεωργὸς εἴρηται δὲ ἀπὸ τοῦ γῆν μορεῖν ὅ ἐστι ποιεῖν. καὶ γειόμορος ὁ γῆν μερίζων.

Γεῖσα, παρὰ τὸ γέα ὃ σημαίνει τὸ οἴκημα, γεῖσα παράγεται καὶ γεῖσα. κυρίως δὲ λέγεται τὰ κατὰ γῆς, τουτέστι τὰ καθ' ἑαυτῶν ἐξέχοντα οἰκοδομήματα.

Γεηρὸς, ὁ γηεινός.

Γειτνιῶ, ἀπὸ τοῦ γείτων γέγονε γειτονῶ, καὶ γειτνιῶ κατὰ συγκοπήν.

Γελίοιος, ἐκ τοῦ γελοῖος. τὰ διὰ τοῦ οιος ὀνόματα ὑπὲρ δύο συλλαβὰς ἅπαντα προπερισπῶνται, οἷον, ἀλλοῖος, παντοῖος. ἀλλοῖός μοι ζῆν ἐφάνη νέον, ἢ τὸ πάροιθεν ἑτεροῖο [2])· γράφεται δὲ διὰ τοῦ ἰῶτα. ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος κατὰ τοῦ αὐτοῦ σημαινομένου παρήγμενα, εἰ μὲν ὀξύνεται διὰ τῆς ει διφθόγγου γράφεται, οἷον θαμὸς θάμειος, ἀδελφὸς, ἀδέλφειος. εἰ δὲ βαρύνεται διὰ τοῦ ι γράφεται. κάπρος κάπριος, τάφος τάφιος καὶ ἐπιτάφιος, ὄρθος ὄρθιος, λοῖσθος λοίσθιος, Αἴτωλος Αἰτώλιος, ὅμοιος ὁμοῖος, γέλοιος γελίοιος. γέλοιος δὲ καὶ γελοῖος διαφέρει. προπαροξυτόνως μὲν λέγεται ὁ γελωτοποιός. προπερισπωμένον δὲ, ὁ γέλωτος ἄξιος. καὶ εἰς τὸ σκῶμμα.

Γελῶ, περισπᾶται τὰ εἰς ω λήγοντα καθαρὸν, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ε καταλήγουσαν μὴ ἀπὸ συμφώνου μέσου βαρύνεται. οἷον κελῶ, πελῶ. πρόσκειται μὴ ἀπὸ συμφώνου ἀρχομένα διὰ τοῦ ἐλῶ ἐλάσω, μέλλων δὲ διὰ τὸ γελῶ γελάσω.

Γενεὰ, παρὰ τὸ γένος, τοῦτο παρὰ τὸ γείνω τὸ γεννῶ. σημαίνει δεῖν τὴν ἡλικίαν, ὡς τὸ τῇ γενεῇ νεώτατος ἔσχεν ἁπάντων τὴν εὐγένειαν, ὡς τὸ τέκνον ἐμὸν, τὴν φυλήν· γενεὰ λέγεται τὰ κθ ἔτη [3]).

Γενειάζω εἰς τὸ δανείζω.

Γενειας, ἐκ τοῦ γένειον ἡ βαθεῖα ὑπήνη. ἐκ τοῦ γένους γένειον, διακρίνει γὰρ τὰ γένη. λέγεται γὰρ ἀπὸ ἱστορίας. ἔθνος κε χιλιάδας ἐπελθὸν παρεκάθητο τοῖς Ῥωμαίοις. ἐκεῖνοι δὲ ὀλίγοι ὄντες, ἔφερον τοὺς ἐκ σθλαβηνίας ἔτι δὲ οἱ σθλάβοι ὀλίγοι ὄντες, ἔφερον τὰς γυναῖκας αὐτῶν. καὶ περιθέντες αὐταῖς σχῆμα ἀνδρεῖον καὶ γενειάδας ἐξήρχοντο. ἰδόντες δὲ οἱ ἐθνικοὶ ἠρώτων τοὺς Ῥωμαίους, τίνες εἰσὶν οὗτοι, καὶ ἔλεγον, Λογγιβάρδοι, τουτέστιν ὑπήνην βαθεῖαν καὶ μακρὰν ἔχοντες.

Γένειον, ὁ ποιητὴς, ἐν τῷ περὶ τῆς Ὀδυσσείας τὸ γένειον ἐπὶ τοῦ τόπου φησὶ, τὰς δὲ γενειάδας ἐπὶ τῶν τριχῶν.

---

1) Sic.) τὸ Γ. colore rubro. 2) ἀλλοῖος — ἑτεροῖο. male. Vid. Etym. M. p. 228. l. 14. Emend. ex Od. XVI, 181. 3) Γενεὰ — τὰ κθ ἔτη (Sic.)

Γένειον, ἀπὸ τοῦ γένους γένειον, ὡς δάνος, δάνειον τὸ μὲν γένειον ὁ τόπος τῶν τριχῶν λέγεται. τὰ δὲ γένεια αὐταὶ αἱ τρίχες.

Γένος, παρὰ τὸ γεννᾷν ὀδόντας καὶ τρίχας.

Γένος, ἐκ τοῦ γείνω ὃ σημαίνει τὸ γεννῶ.

Γενερὸν εἰς τὸ γεγανωμένον.

Γένετο ἐκ τοῦ γείνω ὁ δεύτερος ἀόριστος ἔγενον, ὁ μέσος ἐγενόμην, ἐγένου ἐγένετο, καὶ γένετο κατ' ἀφαίρεσιν.

Γεννῆσαι τοῦ τεκεῖν διαφέρει. γεννῆσαι μὲν ἐπὶ πατρὸς τάσσεται, τεκεῖν δὲ ἐπὶ μητρός· ὅθεν κυρίως ὁ ποιητής· ξάνθου δινήεντος ὃν ἀθάνατος τέκετο Ζεύς [1]).

Γείνατο μήτηρ, ἔστι μέσου ἀορίστου· γέγονε δὲ ἐκ τοῦ γέω τοῦ σημαίνοντος τὸ τίκτω. ἐξ οὗ γέγονε γέω διὰ τοῦ ε ψιλοῦ· τοῦτο τὸ γέω γίνεται κατὰ ἀναδιπλασιασμον τοῦ ν γένω, ὁ μέλλων γενῶ, ὥσπερ μένω μενῶ, καὶ νέμω νεμῶ ἔνειμα. οὕτως ἔγεινα, καὶ ὁ μέσος ἀόριστος ἐγεινάμην, ἐγείνου ἐγείνατο καὶ ἀφαιρέσει τοῦ ε γείνατο.

Γενικὴ, παρὰ τὸ γένος γενῶ γενήσω, γενικὴ, ἡ τὰ γένη δηλοῦσα.

Γένυς, τὸ μέρος τοῦ προσώπου, ὅτι γένεσις τριχῶν καὶ ὀδόντων.

Γένειον, τὸ μέσον, καὶ ἐξέχον τῆς κάτω γένυος. ἀπὸ τοῦ δι' αὐτοῦ τὰ γένη διαστέλλεσθαι τῶν ἀρσένων καὶ τῶν θηλειῶν, καὶ ἀτελῶν καὶ τελείων.

Γεραίρω, παρὰ τὸ γέρας γεραίρω, ὁ μέλλων γεραρῶ, ἀλλαχοῦ ἐστι.

Γέρα, ἡ εὐθεῖα τῶν πληθυντικῶν. ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ γέρας. παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ ἔρας καὶ γέρας· πᾶς γάρ τις γέρατος ἐπιθυμεῖ. σημαίνει δὲ τὴν τίμην. ἡ εὐθεῖα τῶν πληθυντικῶν γέρηα Ἰωνικῶς καὶ κατὰ συγκοπὴν τὰ γέρα.

Γέρων, ἤτοι παρὰ τὸ γέρας, ἵν' ᾖ παρώνυμον τὸ ὄνομα. ἢ παρὰ τὸ ἔντιμον, ἤδη εἰς τιμὴν ἐρῶν· ἢ εἰς γῆν ἐρῶν. ἢ παρὰ τὸ τὴν γῆν ῥαίνειν. οὕτως Ἑρέννιος.

Γέῤῥα, εἴτε τὰ σκηνώματα, ἐν οἷς τὰ ὤνια ἐπιπράσκετο, εἴτε τὰ δερμάτινα αἰδοῖα. εἴτε τὰ ὑποδήματα. Φίλων ἐν τῷ περὶ χρηστομαθίας φησὶ δὲ τὴν δευτέραν δασύνειν.

Γέρανος, γηρένευτός τις ὢν, ὁ τὰ τῆς γῆς ἐρευνῶν σπέρματα, ὅστις καὶ σπερμολόγος καλεῖται. ὅτε γὰρ ὁ γεωργὸς σπείρει καὶ οὐ χωννύει αὐτὰ, ἐκεῖνος συλλέγων ἐσθίει, καὶ ἐκ τούτου ἐκλήθη σπερμολόγος. ἔχει δὲ καὶ βραχὺ τὸ α. ἔστι δὲ εισικὸν τὸ γέρανος.

Γέρανος, ὅτι τὴν γῆν ἐρᾷ, ἢ κατὰ τὴν γῆν ὁρᾷ.

Γεραρος, παρὰ τὸ γέρας, τοῦτο παρὰ τὸ ἐρῶ, ἔρας καὶ γέρας. πᾶς γὰρ γέρατος ἐπιθυμεῖ καὶ τιμῆς.

Γέρας ἡ τιμὴ, παρὰ τὸ γῆρας τὸ τίμιον. τροπῇ τοῦ η εἰς ε.

Γερδία, ἡ ὑφάντρια, παρὰ τὸ ἐπὶ τῆς γῆς ἔχειν ἔρδος, ἤγουν ἔργον ἢ ποίησιν. καὶ ἔργον τέχνης.

Γερουσία, εἰς τὸ οὐσία.

Γέῤῥον, Περσικὸν μέν ἐστιν ὅπλον κυρίως τὸ γέῤῥον. καταχρηστικῶς δὲ καὶ ἅπαν σκέπασμα, εἴτε δερμάτινον, εἴτε ἐξ ἄλλης τινὸς ὕλης. λέγεται δὲ οὕτω καὶ τὰ γυναικεῖα αἰδοῖα, παρὰ Σικελοῖς, οἷον δεράτινα ὄντα, τὸ δέρας, ὃ σημαίνει τὸ δέρμα.

Γέρον, οὐδετέρως τὸ παλαιὸν ἢ τὸ ὅπλον.

Γέρων καὶ πρεσβυτὴς καὶ προβεβηκὼς διαφέρει. Ἀλεξίων ἐν τῇ ἐπιτομῇ τοῦ Διδύμου συμμίκτων φησὶ οὕτως, ἐκ τῶν Ἀριστοφάνου περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄχρι γήρως. βρέφος μὲν γάρ ἐστιν τὸ γεννηθὲν εὐθέως. παιδίον δὲ τὸ τρεφόμενον ὑπὸ τῆς τιθῆς. παιδάριον δὲ τὸ ἤδη περιπατοῦν καὶ λέξεως ἀντεχόμενον· παιδισκὸς δὲ ὁ ἐν ἐχομένῃ ἡλικίᾳ. παῖς δὲ ὁ διὰ τῶν ἐγκυκλιῶν μαθημάτων δυνάμενον ἰέναι· τὴν δὲ ἐχομένην ταύτην ἡλικίαν οἱ μὲν πάλληκα οἱ δὲ βούπαιδα οἱ δὲ ἀντίπαιδα, οἱ δὲ μελλέφηβον καλοῦσιν. ὁ δὲ μετὰ ταῦτα ἔφηβος, ἐν δὲ Κυρήνῃ τοὺς ἐφήβους τριακαταίους καλοῦσιν. ἐν δὲ Κρήτῃ ἀποδρόμους, διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων. Ἀχαίοι δὲ κούρους κάδες δὲ ἀγούρους. ὡσαύτως καὶ Ἀττικοί. ὁ δὲ μετὰ ταῦτα μειράκιον ἢ μεῖραξ. εἶτα νεάνισκος, εἶτα νεανίας. εἶτα ἀνὴρ μέσος. εἶτα προβεβηκὼς, ὃν καὶ ὁμογέροντα καλοῦσιν. εἶτα γέρων. εἶτα πρεσβύτης. εἶτα ἐσχατόγερως.

Γέρων, τινὲς φασὶ ὁ εἰς γῆν ὁρῶν, ἢ ὁ μετὰ φθορᾶς πορευόμενος εἰς τὸν ᾅδην. ἢ ὁ καλῶς δημηγορῶν.

Γέρων, παρὰ τὸ ἔῤῥω τὸ φθείρω ἔῤῥων καὶ γέρων, ὁ μετὰ φθορᾶς εἰς τὸν ᾅδην πορευόμενος. ἢ παρὰ τὸ εἴρω τὸ λέγω, λεκτικοὶ γὰρ οἱ γέροντες. καὶ Ὅμηρος· ἀλλ' ἀγορηταὶ ἐσθλοί [2])· ἢ παρὰ τὸ εἰς γῆν ὁρᾷν. ἢ παρὰ τὸ γέρας ὃ σημαίνει τὴν τιμὴν, τοῦ γέροντος. ὁ κανών· τὰ εἰς ρων ὀνόματα δισύλλαβα βαρύτονα, μὴ ὄντα συγκριτικὰ φυλάσσει τὸ ω ἐπὶ τῆς γενικῆς. τὸ οὖν γέρων ὡς μετοχικὸν διὰ τοῦ ο μικροῦ κλίνεται. συνεξηκολούθησε τῷ φέρων φέροντος. ἐπειδὴ τὸ γέρων οὐκ ἔστι μετοχικὸν ἀλλ' ὄνομα. εἰ γὰρ ἦν μετοχικὸν φυλάττειν εἶχε καὶ ἐπὶ κλητικῆς τὸ ω μέγα. αἱ γὰρ περιττοσυλλάβως κλινόμεναι μετοχαὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς. τοῦ δὲ γέροντος ἡ κλητικὴ διὰ τοῦ ο μικροῦ.

Γεῦσις, κυρίως ἡ ἐπὶ τῶν ὑγρῶν προφορὰ, δεῦσις τις οὖσα. παρὰ τὸν δεύσω μέλλοντα, ὡς γνώσω γνῶσις, νεμέσω νέμεσις καὶ γεῦσις, εἴωθε γὰρ τὸ δ εἰς γ τρέπεσθαι· ὡς γάμος, δάμος γάρ ἐστιν, ἐν ᾧ ὑποτάττεται ἡ γυνὴ τῷ ἀνδρί. ἔνθεν καὶ δάμαρ καλεῖται.

Γέφυρα, ἡ κατὰ ποταμὸν ᾠκοδομημένη, οἱονεὶ γῆ. φυ γάρ τις οὖσα. γέφυρα ἡ ἐφ' ὑγρῷ κειμένη, δι' ἧς οἱ ὁδοιπόροι πορεύονται. εἴρηται ἡ ἐφ' ὑγροῦ κειμένη γῆ. ἐλλείπει δὲ τὸ γ, ὡς ἐν τῷ σιγωπὴ σιωπὴ, ἡ τῆς ὀπῆς σιγή.

Γέφυρα, παρὰ τὸ γῆ καὶ τὸ φύρω τὸ ἀναμιγνύω, ἡ ἐφ' ὑγρῷ τόπῳ κειμένη. ἢ ἡ τῇ γῇ φυρανθεῖσα. ἢ παρὰ τὸ γεώφυρα, ἡ ἐφ' ὑγρῷ κειμένη γῆ.

Γεωγραφία γεωμετρίας διαφέρει. γεωγραφία μὲν γάρ ἐστιν ἡ πάσης τῆς γῆς διαγραφὴ. γεωμετρία δὲ ἡ μέρους τινὸς τῆς γῆς καταγραφή. καὶ εἰς τὸ γαῖα.

Γεωπεῖναι, παρὰ τὸ τῆς γῆς πένεσθαι, ὀλίγον γὰρ εἶχον γῆν, ὡς φησὶν Ἡρόδοτος, οἱονεὶ πένητες τῆς γῆς.

Γήτειον, ἀπὸ τοῦ γῆ γίνεται γῆτος, καὶ ἐξ αὐτοῦ γήτειον διὰ τῆς ει διφθόγγου.

Γεωδαισία, παρὰ τὸν δασμὸν ἤτοι τὸν μερισμὸν τῆς γῆς.

Γηθόσυνος, ὁ περιχαρής· δηλοῦσιν οἱ Δωριεῖς τὴν τούτου γραφὴν, γαθόσυνος λέγοντες.

---

1) Il. XIV, 434.   2) Il. III, 150.

Γηλόφος, ἐκ τοῦ γῆ καὶ τοῦ λόφος. γοίη ἡ γῆ.

Γῆμαι τοῦ γήμασθαι διαφέρει· γήμει μὲν ὁ ἀνὴρ. γήμεται δὲ ἡ γυνή· καὶ Ὅμηρος δὲ διαστέλλει, γημαμένη ᾧ υἱῷ· ὁ δ' ὃν πατερ' ἐξεναρίξας [1]). καὶ ἀνὰ προ.ον δὲ διασύρων ἐπὶ θηλύτητι τινὰ λέγει. καὶ θάλλει κεῖνος μόνος οὐκ ἔγημεν ἀλλ' ἐγήμετο [2]). καὶ Αἰσχύλος ἐν Ἀμυμόνι ον ἔο μὲν γαμεῖσθαι μόρσιμον γαμεῖν δόμος.

Γεωργὸς παρὰ τὸ τὴν γῆν ὁρᾶν. ἢ παρὰ τὸ τὴν γῆν ἐργάζεσθαι. τὸ ω διάτι; τὰ παρὰ τὸ ἔργον συγκείμενα διὰ τοῦ ω γράφεται, οἷον γεώργιος, γεωργὸς καὶ εἴ τι ὅμοιον.

Γηγενής. ὁ ἐκ τῆς γῆς ἔχων τὴν γένεσιν. ἢ ὁ ἐκ τῆς γῆς γεννηθείς, παρὰ τὸ γῆ καὶ τὸ γεννῶ.

Γῆ, παρὰ τὸ γῶ τὸ χωρῶ ἢ τὸ δέχομαι, ὅθεν καὶ γωρυτὸς, ὁ χωρῶν τὸ ῥυτὸν, ἤγουν τὸ τόξον.

Γῆ, διὰ τὸ γένος ἀνθρώπων ἐκεῖθεν, καὶ εἰς τὸ ἄρουρα· ἢ γῆ παρὰ τὸ παγεωθῆναι, ἤγουν μὴ φέρεσθαι, ἀλλ' ἀκίνητον ἔχων τὴν στάσιν.

Γήμας, ὁ σύνοικος, τὸ γη ἦτα. ἐντεῦθεν καὶ γάμος.

Γήπαιδες, οἱ λεγόμενοι Λογγιβάρδοι, οἱονεὶ γετέπαιδες, οἱ γεῶν παῖδες.

Γηραιὸς καὶ γερειὸς παρὰ τὸ γέρας ὃ σημαίνει τὴν τιμήν.

Γῆρας, παρὰ τὸ γέρας, ὃ σημαίνει τὴν τιμήν· οἱ δὲ παρὰ τὸ εἰς γῆν ἔρρειν, τὸ ἐγγὺς εἶναι θανάτου, ἢ εἰς γῆν ὁρῶν καὶ βλέπων.

Γηροκομεῖον, διὰ τὸ τοὺς γέροντας μένειν.

Γηροκομῶ, τὸ ρω μέγα διάτι; ἐκ τοῦ γῆρας γήρως καὶ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι. τὰ δὲ παρὰ Ἀττικὴν γενικὴν σύνθετα διὰ τοῦ ω γράφεται.

Γίνεται καὶ γείνεται διαφέρει. γίνεται μὲν γὰρ ἀντὶ τοῦ κατασκευάζεται διὰ τοῦ ι. γείνεται δὲ τὸ γεννᾶται διὰ διφθόγγου.

Γίνομαι [3]), εἰ μὲν σημαίνει τὸ ἀποτελοῦμαι ἀπὸ τοῦ γένομαι γέγονε. τὸ γὰρ ε ἐν ταῖς τοιαύταις παραγωγαῖς ἐπιφερομένων δύο συμφώνων εἰς ι πέφυκε τρέπεσθαι. οἷον, μένω μίμνω, τέκω τίκτω, οὕτω καὶ ἀπὸ τοῦ γένομαι γίνομαι [4]) διὰ τοῦ ἰῶτα. τὸ γὰρ σημαῖνον τὸ γεννῶμαι, ἀπὸ τοῦ γένος γέγονε, γένω καὶ γένομαι, καὶ προσθήκῃ τοῦ ι γείνομαι, διὰ τῆς ει διφθόγγου.

Γινώσκω, ἔστι ῥῆμα νοῶ, νοήσω, καὶ ἐν συναλοιφῇ νώσω, ὡς ὀγδοήκοντα ὀγδώκοντα. τούτου ἐπενθέσει τοῦ κ νώσκω, ὡς θρώσκω, νώσκω καὶ θνήσκω. καὶ πλεονασμῷ τοῦ γ γινώσκω [5]). ὡς νέφος γνόφος καὶ νωμαι γνῶμαι καὶ γνώμη κατὰ διπλασιασμὸν γιγνώσκω, εἶτα κατ' ἀφαίρεσιν τοῦ γ γινώσκω. ὥσπερ καὶ ἀπὸ τοῦ πράσω μέλλοντος πλεονασμῷ τοῦ κ γίνεται ἐνεστὼς πρώσκω, καὶ κατ' ἀναδιπλασιασμὸν τιτρώσκω, οὕτω καὶ ἀπὸ τοῦ γνώσω γνώσκω, καὶ κατ' ἀναδιπλασιασμὸν γιγνώσκω. καὶ ἀποβολῇ τοῦ ἑνὸς γ γινώσκω. καὶ λοιπὸν ἡ θέσει μακρὰ ἐπῆλθεν εἰς φύσει [6]). ὥσπερ καὶ ἐπὶ τοῦ γίγνεσθαι γίνεσθαι ἀποβολῇ τοῦ ἑνὸς γ, ἐξέτεινε τὸ ι. κατὰ δὲ ἄλλον λόγον τὸ γινώσκω διὰ τοῦ ι γράφεται. ἐπειδὴ ὡς ἐμάθομεν ἀπὸ διπλασμοῦ ἔχει τὴν γι συλλαβήν. οὐ θέλουσι δὲ οἱ ἀναδιπλασιασμοὶ διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἀλλὰ διὰ τοῦ ι. οἷον δῶ διδῶ. θῶ τιθῶ, βῶ βιβῶ, οὕτως οὖν καὶ γνώσκω γινώσκω.

Γλάγονες, οἱ τὸ γάλα πήσσοντες, πρὸς τὸ γάλα, γάλακτος, γλάγος.

Γλαυκὸς, λευκὸς, κυανὸς, γάλακτι ἐοικὼς τὴν σάρκα καὶ τὰ ὄμματα.

Γλαυκῶπις, ἀπὸ τοῦ γλαυκωπίου ὄρους τῆς Ἀττικῆς ὅλοκα βήτατος [7]) καλεῖται. ἢ ἀπὸ τοῦ γλαυκοὺς ἔχειν τὰς ὦπας, ἢ ἀπὸ τοῦ δεινὸν γλαύσσειν τοὺς ὀφθαλμοὺς, ὅ ἐστιν ἀπαιθυσσειν. ἢ ἀπὸ τοῦ γλαῦκα ὠπίζεσθαι. ὁ κανὼν τὰ εἰς ις θηλυκὰ εἴτε ἁπλᾶ εἴτε σύνθετα διὰ τοῦ π ἐκφερόμενα, διὰ τοῦ δος κλίνεται. οὐκ ἔστι δὲ ὁ κανὼν ὡς τὸ δραπέτης οὕτω καὶ ὁ γλαυκώπης. καὶ πόθεν δῆλον; ἐκ τοῦ εἰπεῖν τὸν τεχνίτην, οὔτε κυνῶπα. ἐκ τούτου δῆλον ἀρσενικόν. ὁμοίως καὶ τὰ λοιπά.

Γλαυκῶπις, παρὰ τὸ γλαύσσω γλαύξω, ἐξ οὗ καὶ ἡ γλαῦξ τὸ ὄρνεον.

Γλαῦξ, εἰς τὸ αἴξ.

Γλαφυρῇσι κοίλαις. ἔστιν ὄνομα ἡ γλαφυρά. τὸ δὲ ἀρσενικὸν ὁ γλαφυρός. τοῦτο παρὰ τὸ γλάπτω τὸ διορύττω, ἐξ οὗ καὶ γλάφω πετρῆεν λυγρόν· ἔστιν οὖν γλάφω, γλάψω, ἔγλαψα, ἡ μετοχὴ ὁ γλάψας. καὶ Ὅμηρος· εὐνὰς ἐν ψαμάτοισι διαγλάψας' ἁλίῃσιν [8])· ἐπὶ δὲ τοῦ ἡδέος, παρὰ τὸ διορύττειν καὶ κινεῖν τὴν ἀκοὴν πρὸς ἡδονήν. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἄλλων.

Γλαυκόφθαλμος, ὁ τὸ γλαυκὸν ἔχων ἐν τῷ ὀφθαλμῷ· παρὰ τὸ γλαύσσειν ὅ ἐστι κάμπτειν.

Γλαύκω, λάμπω, ἐξ οὗ καὶ γλήνη ἡ τῶν ὀφθαλμῶν κόρη, παρὰ τὸ δι' αὐτὸν γαληνεύεσθαι τῇ ποικίλῃ τῶν ὁρατῶν. παρὰ τὴν αἴγλην· γλήνη δέ ἐστι φαός· γλήνη λέγεται καὶ κόρη παρθένος.

Γλοῦτοι, ἔνυγροι τῆς κοτύλης κύκλοι διὰ τὴν τρυφερότητα καὶ ὑγρότητα. κοτύλη δὲ ποτήριον κάσεως μέτρον.

Γλοῦτος, τὸ ὑπὸ τῶν πρώκτων. μέρος ὄπισθεν τῶν μερῶν, διὰ τὸ τρυφερὸν καὶ ἁπαλὸν, καὶ γλοιῶδες εἶναι τὸ μέρος. γλοιουτὸς καὶ γλοῦτος.

Γλαρίδες, οἱ κολαπτῆρες παρὰ τὸ γλάπτω τὸ κολάπτω.

Γλίχεσθαι, τὸ ἐπιθυμητικῶς σπεύδειν, παρὰ τὸ λίαν ἔχεσθαι, καὶ πλεονασμῷ τοῦ γ γλίχεσθαι. τὸ δὲ λίαν διὰ τοῦ ι γράφεται. ἐπειδὴ εὕρηται συνεσταλμένον.

Γλήνη, ἡ τῶν ὀφθαλμῶν κόρη, παρὰ τὸ δι' αὐτῆς τὸν νοῦν γαληνιοῦσθαι τῇ ποικιλίᾳ τῶν ὁρατῶν. ἢ ἀπὸ τοῦ γλαυειν ὅ ἐστι λάμπειν· εἰσὶ γὰρ αἱ κόραι ἔμπυροι. ὅθεν παρ' Ὁμήρῳ ὁ λεὼν γλαυκιόων [9]). ἢ παρὰ τὸ αἴγλην ἀποβολῇ τῆς αι συλλαβῆς, καὶ προσθέσει τοῦ η γλήνη.

Γλιχόμενος, καρτερῶν ἢ ἐπιθυμῶν, παρὰ τὸ λίαν ἔχεσθαι τινός. συντάσσεται μετὰ γενικῆς καὶ δοτικῆς.

Γλυκείδιον, ἀπὸ τῆς γλυκέος γενικῆς, γέγονε γλυκείδιον, ὡς πράξεως, πραξείδιον, καὶ λέξεως λεξείδιον.

Γλυκὺς γλυκίων καὶ ἡ κλητικὴ ὦ γλύκιον. ὁ κανών· τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἀναβιβάζουσι τοὺς τόνους ἐπὶ τῆς κλητικῆς, οἷον ὦ ἄρειον ὦ βέλτιον, ὦ γλύκιον. γίνεται παρὰ τὸ γλεῦκος, ὃ σημαίνει τὸν νεὸν οἶνον, ὁ νεωστὶ ἀποστάζων ἐκ τοῦ ληνοῦ οἶνος.

Γλυπτὸν, ἐκ τοῦ γλύφω, τοῦτο παρὰ τὸ γλάπτω τὸ κοιλαίνω.

---

1) Od. XI, 272. 2) καὶ ἀνὰ πρότον — ἐγήμετο. Corrupta. Vid. Ammonius. 3) L. γίγνομαι. 4) L. γίγνομαι. 5) L. γνώσκω? 6) scil. μακράν. 7) (Sic.) vid. Etym. M. 8) Od. IV, 438. 9) Il. XX, 172.

Γλυκύτερα, παρὰ τὸ γλυκὺς, τοῦτο παρὰ τὸ γλεῦκος, ὃ σημαίνει τὸν ἀποστάζοντα οἶνον ἀπὸ τοῦ λήνου, γλευκὺς καὶ γλυκύς.

Γλῶσσα, παρὰ τὸ εἶναι αὐτὴν γνωστὴν τῶν νοστίμων καὶ ἀνόστων, ἤγουν τῶν βροσίμων καὶ ποσίμων ἡδέων καὶ πικρῶν καὶ γλυκέων καὶ ἀγλυκων.

Γλῶσσα, παρὰ τὸ γνῶ γνώσω, γνῶσσα καὶ γλῶσσα, ὡς διαγνωστικὴ οὖσα τῶν χυμῶν.

Γλῶσσα, ἡ γνῶσιν ἔχουσα ἐν τοῖς τῶν χυμῶν ἰδιώμασιν. ὅτι κλωμένη τὴν ἔναρθρον φωνὴν ἀποδίδωσι.

Γλωσσαλγία, φλυαρία, ἀργολογία, παρὰ τὸ γλῶσσα καὶ τὸ ἄλγος, ὃ σημαίνει τὴν λύπην. τὸ δὲ γλῶσσα παρὰ τὸ γνῶ, γνώσω, γνῶσσα καὶ γλῶσσα, ἡ τὰ τοῦ νόος εἰς φῶς φέρουσα. ἢ ἐκ τοῦ νοῶ. τὸ δὲ ἄλγος παρὰ τὸ ἀλέγω τὸ φροντίζω, ἄλεγος καὶ ἐν συγκοπῇ ἄλγος, τὸ φροντίδος ἄξιον. βαρύνεται. τὰ εἰς γος δισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς συμφωνὴν καταλήγουσαν προσηγορικὰ ὄντα, βαρύνεται. οἷον πύργος, σπόγγος, οὕτω καὶ ἄλγος.

Γλωττήμασι, ἐκ τοῦ γλῶσσα· τὸ δὲ γλῶσσα παρὰ τὸ γνῶσα.

Γλωσσόκομον, βῆ γλῶσσα· ὃν μακρὸν σῶμα κομίζων. διὸ καὶ λέγεται γλωσσόκομον.

Γλωχὴν, ἡ γωνία, παρὰ τὸ γλάπτω τὸ κοιλαίνω, ἢ γλύφω, γίνεται γλυχὴν· καὶ εἰς τὸ τριγλώχην.

Γναθμὸς, προσηγορικὸν παρὰ τὸ κάμπτω, τροπῇ τοῦ κ εἰς γ, ὡς κονυ γόνυ, παρὰ τὸ κονῶ γὰρ γέγονε· ἐπενθέσει τοῦ ν γνάμπτω. ὁ παθητικὸς γέγναμμαι, γναμμὸς καὶ τροπῇ τοῦ μ εἰς θ γναθμός.

Γναθμοῖς, γνάθοις, ἀκοαῖς.

Γνάθοι, οἷον χάρινοί τινες ὄντες, χαίνον τι γὰρ ἡ ἔνθεσις γίνεται τῶν εἰς φερομένων.

Γνάπτω, ῥῆμα ἐκ τοῦ κάμπτω, μετὰ τῆς ἀνὰ προθέσεως ἀνακάμπτω, ἡ γὰρ ἀνὰ πρόθεσις σημαίνει τὴν ἐξ ὑστέρου ἐπάνοδον. βαρύνεται. τὰ εἰς πτω λήγοντα ῥήματα, εἰ μὴ προκατάρχὴν ὄνομα βαρύνεται· οἷον κάμπτω, βλάπτω, ὄπτω, λάπτω τὸ λείχω. λάψοντες γλώσσαισιν ἀραιῇσιν [1]). τὸ δὲ ὀπτῶ περισπώμενον, ἐκ τοῦ ὄπτω βαρύτονον γέγονε. ὡς διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὸν τόνον. εἶπε εἰ μὴ προκαταρχὴν ὄνομα διὰ τὸ ἀελπτῶ, ἔστι γὰρ ὄνομα ἄελπτος, καὶ ἀπεπτῶ, ἄπεπτος.

Γνάμψαι, εἰς τὸ ἀνέκαμψε.

Γνήσιον, μίαν ψυχὴν ἐν δυσὶ σώμασι ἐκ τοῦ γεννητος, γεννητόσιος, καὶ κατὰ συγκοπὴν γνήσιος. παρὰ τὸν γνήσω μέλλοντα.

Γνόφος, παρὰ τὸ δονῶ καὶ τὸ νέφος δόνοφος καὶ γνόφος. ἢ παρὰ τὸ ἔννω καὶ σημαίνει τὸ κινῶ.

Γνόφος, ἡ πυκνοτὴς νεφελῶν καλεῖται, παρὰ τὸ νείφω νέφος καὶ νόφος, καὶ πλεονασμῷ τοῦ γ γνόφος, καὶ μεταθέσει τοῦ γ εἰς δ, δνόφος, ἢ ὁ κενὸς φάους ἀὴρ, κατὰ μετάθεσιν τοῦ κ εἰς γ, κενόφαός τις ὢν καὶ γνόφος.

Γνόφος καὶ νεφέλη διαφέρει. γνόφος μὲν ἔστιν ὁ ἀχλυώδης καὶ ὁμιχλώδης σκοτασμός. νεφέλη δὲ τὸ ἐκ φωτοειδοῦς ἀέρος φεγγόβολον λεπτότατον ὕφασμα.

Γνόφος καὶ δνόφος μᾶλλον τὸ διὰ τοῦ δ ἀναλογώτερον. παρὰ τὸ δονεῖν τὰ νέφη. οὕτως ὁ Εἰρηναῖος ὁ Ἀττικός.

Γονοῤῥοίας, τὰ παρὰ τὸ νοῦς, καὶ ῥοῦς καὶ χροῦς, καὶ πλοῦς διὰ δίφθογγον, οἷον εὔχροια, εὔνοια, εὔροια. ὄνομα ἀρσενικὸν γονοροίης γονοῤῥής δε.

Γνὺξ, σημαίνει τὸ ἐπὶ γόνυ, γόνυξ καὶ γνὺξ κατὰ συγκοπήν. ἔνθεν ἰγνύα. ἡ τὸ γόνυ τυνέχουσα.

Γνωματεύοντες, διακρίνοντες, διαγινώσκοντες ἀκριβῶς. γέγονε παρὰ τὸ γνώμη καὶ τὸ ματεύω, ὃ σημαίνει τὸ ζητῶ· καὶ γνωματεύοντες ἐγίνωσκον, ὁποῖον ἐτύγχανον ἀφῃρημένοι.

Γνώμη, παρὰ τὸ νοῶ νοήσω, νοήμη καὶ κράσει νώμη, καὶ πλεονασμῷ τοῦ γ γνώμη. ἢ παρὰ τὸ γνώσω γνώμη, στήσω στήμη, φήσω φήμη. ἢ παρὰ τὸ νομῶ τὸ μερίζω νόμη καὶ γνώμη.

Γνώμονος τὸ μέτρον, ἡ στάθμη ἡ πήχη.

Γνώμων, ὁ ὀδοὺς τῶν ἀλόγων ζώων καὶ προβατογνώμων εἴρηται, ἀπὸ τοῦ τὸν χρόνον ἀπ' αὐτοῦ διαγινώσκεσθαι.

Γνώριμοι, μαθηταὶ ἢ φίλοι.

Γνώσεαι, ὁ κανών· οἱ Ἴωνες ἐπὶ τῶν τρίτων προσώπων τῶν παθητικῶν ἀποβολῇ τοῦ τ δεύτερα ποιοῦσιν· οἷον βούλεται βούλεαι, γνώσεται γνώσεαι.

Γνῶσις σοφίας διαφέρει· γνῶσις μέν ἐστι τὸ εἰδέναι τὰ ὄντα. σοφία δὲ καὶ τὸ τὰ ὄντα γινώσκειν, καὶ τὸ τὴν τῶν ἀντιπιπτόντων λῦσιν ἐπίστασθαι.

Γνωστὸς, παρὰ τὸ γνώσω γνωστὸς καὶ ἄγνωστος.

Γνωστὸς, ὁ ἀδελφὸς, ὁ ἅμα τινὶ γεννηθείς.

Γογγύζω, ἐκ τοῦ γρύζω τοῦ σημαίνοντος τῇ φωνῇ ὑποκλαίω καὶ παραλαλῶ, καὶ κατ' ἀναδιπλασιασμὸν γογρύζω. καὶ ἐκβολῇ τοῦ ρ καὶ πλεονασμῷ ἑτέρου γ γογγύζω.

Γοήτεια, εἰς τὸ φαρμακία.

Γόης, κόλαξ, πλάνος, περίεργος, ἀπατέων καὶ φάρμακος.

Γομὸρ, τὸ μέγα μετρὸν θεκὲλ λεγόμενον. ὡς ἐν τῷ προφήτῃ Ὠσηὲ [2]), ἐμισθωσάμην ἐμαυτῷ θεκὲλ κριθῶν, ἐν ἄλλοις δὲ ἀντιγράφοις λέγεται γομὸρ κριθῶν. τὸ οὖν αὐτὸ ιε μεδίμνους δηλοῖ. θεκὲλ δὲ Ἐβραϊστὶ εἴρηται, ὅ ἐστιν ἔσπαρμα [3]), ἀπὸ τοῦ δύνασθαι νεανίαν ἐπάραντα τὸν γομὸρ τῶν ιε μεδίμνων τοῦ σίτου ἢ κριθῆς τῷ ὄνῳ ἐπιτιθέναι, ἔστι δὲ καὶ μικρὸν γομὸρ ιβ. ξεστῶν δὲ ν.

Γόμφος κυρίως τὸ ξύλινον κάρφιον, παρὰ τὸ κόπτω, κόψω, κέκομμαι, κόμφος καὶ γόμφος.

Γόνατα, παρὰ τὸ κονῶ τὸ ἐνεργῶ.

Γόνυ, τὸ εἰς τὴν γῆν νεῦον: ἔστι νεύω τὸ πράττω καὶ ἐκ τούτου πόνος· καὶ ἐκ τοῦ πόνος ῥῆμα πονῶ, καὶ κατὰ τροπὴν τοῦ π εἰς κ κονῶ, καὶ ἐκ τοῦ κονῶ κόνυ, καὶ τροπῇ τοῦ κ εἰς γ γόνυ, τὸ μετὰ κόπου καμπτόμενον.

Γουνάσομαι, ἔστι μέσου μέλλοντος δευτέρας συζυγίας τῶν περισπωμένων.

Γουνοῦμαι, γονυπετῶ, ἱκετεύω.

Γοῦτος, ληκύθου εἶδος. εἴρηται παρὰ τὸ γίτον, ὅ ἐστι ῥύπον.

Γραικὸς ὁ Ἕλλην τῷ ἔθνει. Καλλίμαχος· Γραικοὶ καὶ γῆς ἡμετέρης ἀδαεῖς. παρὰ τὸ ῥαίσω ῥαικὸς καὶ γραικός. διὰ γὰρ τὴν κατὰ πόλεμον ἀνδρεῖαν, οὕτως οἱ Ἕλληνες ἐκαλοῦντο· ἢ ἀπὸ τινος Ἕλληνος γραικοῦ. ὡς ἀπὸ Ἕλληνος Ἕλληνες.

Γραύδην, εἰς τὸ παραβλήδην.

---

1) Il. XVI, 161. et Schol. 2) Hos. III, 2. 3) F. ἔπαρμα.

Γράμμα στοιχείου διαφέρει. στοιχεῖον μέν ἐστι αὕτη ἡ ἐκφώνησις καὶ ἡ φθόγγος, οἷον, α, β, γ, δ, καὶ τὰ ἑξῆς στοιχεῖα. γράμμα δὲ τὸ σύγγραμμα, ὡς ἐν τῇ συνηθείᾳ φαμὲν, πολλὰ οἶδε γράμματα. οὐ γὰρ τὰ κδ ἀπὸ πολλῶν γραμματῶν ἔμπειρός ἐστι.

Γραμματικὸς, γράμμα τήκει ἤγουν χωνεύει. ἢ ὡς κατὰ πολὺ τῶν ἄλλων ἐνωκειωμένη τὴν πολυμάθειαν. ἔνθεν γὰρ αὕτη καὶ τὰ τῆς ἐπικλήσεως κατῆρξε.

Γραμματεὺς, καὶ οὐ γραμματαῖος.

Γραμματείας, ἔστι γράμμα, ὅπερ ἀπὸ τοῦ γλάπτω τὸ κοιλαίνω γίνεται, καὶ ἐξ αὐτοῦ γραμματεὺς, γραμματεύω γραμματεια [1]) καὶ γραμματείας.

Γραμματειδιον ἀμφίβολόν ἐστιν, εἴτε διὰ τῆς ει διφθόγγου, εἴτε διὰ τοῦ ι. εἰ μὲν οὖν ἀπὸ τοῦ γραμμάτιον τοῦ σημαίνοντος τὸ μικρὸν γραφεῖον διὰ τοῦ ι μακροῦ γράφεται. ὥσπερ ὀψάριον, ὀψαρίδιον, λάχανον, λαχανίδιον. εἰ δὲ ἀπὸ τοῦ γραμματεῖον γέγονε τοῦ σημαίνοντος τὴν μικρὸν δέλτον, διὰ τῆς ει διφθόγγου. ὥσπερ γραφεῖον γραφείδιον. ἰστέον δὲ ὅτι κατά τινας γραμματεῖον τὸ μικρὸν βιβλίον. ὁ δὲ ὅρος τὴν μικρὰν δέλτον.

Γράτις ἡ χλωρὰ κριθή.

Γράμματα, οἱ χαρακτῆρες τῶν στοιχείων, παρὰ τὸ γράφεσθαι, ὅ ἐστι καταξέεσθαι. ἔνθεν καὶ ἡ κατεξυσμένη λαμπάς· καὶ γραῦς ἡ κατεξυσμένη τὸ σῶμα διὰ τὸ γῆρας. ὡς τρέφω σὺν θρέμμα, θρύπτω θρύμμα, οὕτω γράφω γράμμα. ἢ παρὰ τὸ γλάπτω γλάμμα, καὶ συγγράφω σύγγραμμα. καὶ Ὅμηρος· εὐνὰς δ' ἐν ψαμάθοισι διαγλάψασ' ἀλίησιν [2]).

Γραῦς Ἀττικῶς ἀναλογώτερόν ἐστιν γραύς· γίνεται δὲ παρὰ τὸ ῥέω τὸ φθείρω, ὁ μέλλων ῥεύσω καὶ πλεονασμῷ τοῦ γ γρεύσω καὶ ἐξ αὐτοῦ γρεὺς καὶ γραῦς τὸ ἐῤῥυηκὸς γύναιον, τροπῇ τοῦ ε εἰς α. τῆς γραὸς· ὁ κανών· δύο μόνα εἰσὶν εἰς αυς θηλυκὰ μονοσύλλαβα περισπώμενα ναῦς καὶ γραῦς. κλίνεται δὲ ἀμφότερα διὰ καθαροῦ τοῦ ος, ναῦς ναὸς, γραῦς γραός.

Γραφεῖον, ἀπὸ τοῦ ἐπὶ γραφῇ ὄν· ἢ ἀπὸ τοῦ γράφω, γραφεῖον καὶ γραφείδιον, ὥσπερ παρὰ τὸ ἄγω ἀγεῖον ἀγγεῖον καὶ ἀγγείδιον.

Γράφω, μετὰ ποίας πτώσεως συντίθεται; πρὸς διάφορον σημασίαν. ἐὰν, γράφω σοι, γὰρ εἴπω, μετὰ δοτικῆς, σημαίνει τὸ ἐπιστέλλω σοι, εἰ δὲ μετὰ αἰτιατικῆς γράφω σε, σημαίνει τὸ ἐκτύπωμα σοι ποιῶ. εἰ δὲ εἴπῃς γράφω σου μετὰ γενικῆς, σημαίνει τὸ ἐγγράφως κατὰ σου εἰς δικαστήριον ἀποτίθημι.

Γρηγορῶ, παρὰ τὸ ἐγείρω, ὁ μέλλων ἐγερῶ καὶ τροπῇ τοῦ ε εἰς ο ἐγορῶ, καὶ πλεονασμῷ τοῦ γ καὶ ρ γρεγορῶ καὶ τροπῇ τοῦ ε εἰς η γρηγορῶ.

Γρήνικος, ποταμός. γίνεται ἀπὸ τοῦ κρήνη Κρήνικος, καὶ Γρήνικος, ὁ ἐκ τῆς κρήνης. ἢ ἀπὸ τοῦ γῆ καὶ τοῦ νικῶ, γήνικος καὶ Γρήνικος, ὁ τὴν γῆν νικῶν. ἢ ἀπὸ τοῦ νικῶ καὶ τὸ Γραικὸς, ἐκεῖ γὰρ οἱ Γραικοὶ ἐνίκησαν τοὺς βαρβάρους.

Γρίπος, παρὰ τὸ ἀγρεῖν, ὅ ἐστι παρακολουθεῖν τῇ ἄγρᾳ. οὕτως Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ. Θεόκριτος. τοῖς δὲ μετὰ γριπεῦντι [3]), γριπεὺς γὰρ ὁ ἁλιεὺς, παρὰ τὸ γρίπον, τὸ δίκτυον. παρώνυμον γριπεύς· γρίπος δὲ παρὰ τὸ ἄγρειν ἐνδείᾳ τοῦ α. τὸ δ' αὐτὸ καὶ γρῖφος καλεῖται, παρὰ τὸ γράφειν, ὅ ἐστι ξύειν γράφος καὶ γρῖφος, ὁ τὴν γῆν ξύων.

Γρῖφον, τὸ δύσλυτον αἴνιγμα καὶ δύσκολον. παρὰ τὸ ἀγρεύειν ὅ ἐστι ζητεῖν.

Γριφῶδες, τὸ δύσκολον καὶ συμπεπληγμένον λόγιον.

Γρυμεῖα, ἣν οἱ πολλοὶ γραμείαν καλοῦσι. τὰ εἰκῇ συμπεφορημένα. καὶ ἔστι πολιτικώτερον ἄνευ τοῦ ι, γρυμέα καὶ ἐκεῖθεν τὸ λεγόμενον ἐν τῇ συνηθείᾳ ἐγρυπίσαμεν, τοῦ φ τραπέντος εἰς π.

Γρὺξ, παρὰ τὸ γρύζειν, ἰσχυρὸς ἐν τῷ ἁρπάζειν καὶ ἀνασπᾶν τὴν θήραν.

Γρύζω, εἰς τὸ γογγύζω.

Γρώνη ἡ βεβρωμένη ἤτοι τετρωμένη πέτρα. Λυκόφρων [4]), οἱ δ' οὖσα γρώνης εὐγάληνα χερμάδος. παρὰ τὸ γῶ, ὃ σημαίνει τὸ δέχομαι, γώνη καὶ πλεονασμῷ τοῦ ρ γρώνη, ἡ ἐν τῇ τρήσει δεχομένη τὰ σχοινία πέτρα.

Γυῖα, ὄνομα οὐδέτερον, εὐθεῖα τῶν πληθυντικῶν. ἔστι γὰρ γυῖον. γίνεται παρὰ τὸ γυῖα ὃ σημαίνει τὰς χεῖρας, διὰ γὰρ τῶν χειρῶν τὰ ἔργα ἐκτελοῦνται. ἢ παρὰ τὸ γυὴ ὃ σημαίνει τὴν γῆν. τὸ δὲ ι πλεονάζει καὶ γίνεται γυῖον καὶ γυῖα. εἰς τὸ ἐγγυαλίζω καὶ ὑπόγαιον.

Γυῖα, κυρίως ἐπὶ τῶν ποδῶν τῶν ἐπὶ τῆς γύης, ὅ ἐστι τῆς γῆς ἰέναι. γυῖα δὲ καὶ αἱ χεῖρες.

Γυῖα, εἰς τὸ αἱματόεσσα, καὶ γυῖα καὶ ὑπόγαιον.

Γύαλον, τὸ κοίλωμα τῆς χειρὸς, κυρίως ἀπὸ τοῦ λαμβάνειν.

Γύαλον, τὸ κύτος, τὸ κοίλωμα τοῦ θώρακος. χύαλον τὸ περικεχυμένον τῷ φοροῦντι. καὶ ἁπλῶς πᾶν κοίλωμα. τινὲς δὲ καὶ ἐπὶ τοῦ γυαλοῖσιν ἀρήροτα [5]), τοῦ ἔξωθεν κόσμου χάριν ἐπικεκολπωμένοις. διὸ καὶ ἀρήροτα εἶπεν. οἱ δὲ πάλιν ἡρμοσμένα τὰ κοῖλα τῷ φοροῦντι.

Γύης, τὸ κατώτατον ἄκρον τοῦ ἀρότρου, τὸ πρὸς τὸ ξύλον τὸ λεγόμενον γονάτιον. εἴρηται δὲ παρὰ τὸ γῶ τὸ λαμβάνω. ἢ ὅτι ἀεὶ περὶ τὴν γῆν. λέγεται δὲ καὶ γύης μετρὸν παρ' Ὁμήρῳ.

Γυαλίζω, εἰς τὸ ἐγγυαλίζω.

Γυμνάσια, οἱ τόποι, ὅπου ἐγυμνάζοντο· γυμνοὶ γὰρ ἠγωνίζοντο.

Γυμνὸς, ὁ ἄνευ ἱματιῶν. ὥσπερ παρὰ τὸ σκύζω σκυμνὸς καὶ σέβω σεμνὸς, οὕτω παρὰ τὸ κύπτω κυμνὸς καὶ γυμνὸς, ὁ γὰρ τοιοῦτος κύπτει κρύπτων τὰ αἰδοῖα ὑπὸ αἰδοῦς. ἢ παρὰ τὸ γυῖα μόνα ἔχειν.

Γυναιμανὲς, ὄνομα ἀρσενικὸν, γυναιμανής· ὥσπερ παρὰ τὸ κελαίνειν καὶ τὸ νέφος κελαινονεφὴς καὶ κελαινεφὴς, οὕτω καὶ παρὰ τὸ γυνὴ γυναικὸς καὶ τὸ μαίνω μανῶ, γυναικομανὴς καὶ κατὰ συγκοπὴν γυναιμανής. ἡ κλητικὴ γυναιμανές.

Γυνὴ, γυνή τις οὖσα, ἡ δεκτικὴ τοῦ σπέρματος. παρὰ τὸ γῶ τὸ χωρῶ [6]). ἢ παρὰ τὸ γίνω τὸ τίκτω, γίνεται γονὴ καὶ τροπῇ τοῦ ο εἰς υ Αἰολικῶς, ὡς ὅμοιον, ὕμοιον. γυνὴ διότι μὴ ἐκλήθη γυνὴ γυνῆς ἀλλὰ γυναικός; ἐπειδὴ τὰ εἰς νη δισύλλαβα θηλυκὰ τῷ υ παραληγόμενα ἐκτείνει αὐτό. οἷον μύνη ἡ πρόφασις, Βύνη ἡ θεὸς ἥτις καὶ Ἰνὼ λέγεται, Φρυνὴ ὄνομα κύριον. τὸ δὲ γυνὴ γυναικὸς ἑτερόκλιτόν ἐστι. τῆς μὲν γυναικὸς ἡ εὐθεῖα ἀπέλειψε, ὤφειλε γὰρ γύναιξ εἶναι·

---

[1]) γραμματ (Sic.) [2]) Od. IV, 438. [3]) V. Ursini Virg. Illustr. p. 2 [4]) vers. 20. [5]) Il. XV, 530. et Schol. [6]) L. λαμβάνω.

ἀλλ' ἐπειδὴ τὰ εἰς ξ λήγοντα ἀρσενικά εἰσιν, οἷον Θρᾷξ. ἐὰν δὲ ὦσιν ἀρσενικὰ πάντως καὶ θηλυκὰ, οἷον ὁ αἶξ καὶ ἡ αἶξ. ὅτι δὲ λέγεται ἀρσενικῶς, ἐδήλωσεν ὁ ποιητὴς εἰπών· τόξον ἰξάλου αἰγὸς [1]· ἐπειδὴ οὖν τὸ γύναιξ οὐ λέγεται ἀρσενικῶς, ἡ γὰρ σημασία κωλύει, τούτου χάριν ἀπέλειψεν ἡ εὐθεῖα. τοῦ δὲ γυνὴ ἡ γενικὴ, ὅτι τὰ εἰς νη δισύλλαβα θηλυκὰ, τῷ υ παραληγόμενα ἐκτείνει αὐτό. τὸ μέν τοι γυνὴ τὸ υ συστέλλει, καὶ εἰκότως ὡς μονῆρες ὂν ἄκλιτον ἔμεινεν. ἡ αἰτιατικὴ τὴν γυναῖκα. ὁ κανών· πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α λήγουσα διφθόγγῳ παραληγομένη προπερισπᾶται. οἷον γυναῖκα, παῖδα. ἡ κλητικὴ ὦ γύναι παρὰ τὴν γύναιξ εὐθεῖαν. καὶ δῆλον ἀπὸ τῆς δοτικῆς τῶν πληθυντικῶν. αἱ γὰρ εἰς ξ δοτικαὶ τῶν πληθυντικῶν ἀποβάλλουσαι τὸ ι, ποιοῦσι τὰς ἑνικὰς εὐθείας. Φοίνιξι, Φοῖνιξ, κόλαξι, κόλαξ.

Γυνὴ, κοινὴ γῆ.

Γυνὴ, δυνή τις οὖσα. παρὰ τὸ δύνειν ἐν αὐτῇ τὰ σπέρματα τὰ ἀνθρώπεια τροπῇ τοῦ δ εἰς γ. ἢ παρὰ τὸ ἐκ μελῶν τοῦ ἀνδρὸς γεννᾶσθαι, ἢ ὡς Θεόκριτος, γυνή τις οὖσα, ἡ γονῆς δεκτική. ἢ ἀπὸ τῆς γῆς καὶ τοῦ γεννᾶν, κλίνεται δὲ ἡ γυνὴ κατὰ τὰς ἄλλας πτώσεις, ὡς τὰ εἰς η λήγοντα θηλυκά. Φερεκράτης ὡς ἄτοπόν ἐστι μητέρ' εἶναι καὶ γυνὴν. οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς. καὶ εἰς τὸ καλλιγύναικα.

Γυνὴ παρθένου διαφέρει. γυνὴ μὲν γὰρ καλεῖται ἡ ἤδη ἀνδρὸς πεῖραν εἰληφυῖα. παρθένος δὲ ἡ μηδέπω μυηθεῖσα ἀνδρός.

Γυρῖνοι, οἱ βάτραχοι παρὰ τὸ γῦρον τὸ περιφερές.

Γυρῖν, καὶ γύρινος ὁ μικρὸς βάτραχος, παρὰ τὸ γύρον, τὸ περιφερές.

Γὺψ, διὰ τὸ γυρεύειν τὰ ὕψη. τὸ μὲν γὰρ γυ σημαίνει τὸ γυρεύειν. τὸ δὲ ψ τὰ ὕψη.

Γωρυτὸς, ἡ τῶν βέλων θήκη, παρὰ τὸ γῶ τὸ χωρῶ καὶ λαμβάνω ῥυτόν. ῥυτὸν γὰρ τὸ τόξον. σημαίνει δὲ καὶ τὴν ξιφοθήκην. ἢ χωρυτὸς, ἡ τοῦ τόξου θήκη. μετείληπται δὲ ἐκ τοῦ χ, τὸ γ καὶ οἱονεὶ χωρυτὸς, παρὰ τὸ χωρεῖν τὸ τόξον.

Γῶ, εἰς τὸ γαστὴρ καὶ γεγῶσα, καὶ γῆ, γυνὴ καὶ γωρυτός. καὶ διακήρυκτος καὶ ἐγγυαλίζω καὶ ἐγγύη καὶ χθών.

Γωνία, παρὰ τὸ τὰ γινόμενα ἵεσθαι ἤγουν φέρειν. ἢ παρὰ τὸ γόνυ γίνεται τὸ κτητικὸν γωνία, κατ' ἔκτασιν τοῦ ο εἰς ω, ὅπερ ἐπικαμπεῖ τε καὶ κεκλασμένῳ σχήματι φύσει πεποίηται.

Γωνῶ, εἰς τὸ γεγώνεμεν καὶ γεγωνότρον.

Τέλος τοῦ Γάμμα.

ΑΡΧΗ ΤΟΥ Δ ΣΤΟΙΧΕΙΟΥ.

Δαρδάπτουσιν, ἐσθίουσι, καίουσι.

Δαύω, τὸ κοιμῶμαι. ἐκ τοῦ εὕδω.

Δαδάπτουσι, παρὰ τὸ δάπτω, ἐπιτατικὸν δὲ τὸ α.

Δάδυξ, εἰς τὸ δοίδυξ.

Δάει, εἰς τὸ ἥλιος.

Δαὴρ, ἀνδρὸς ἀδελφὸς, παρὰ τὸ δαίω, ὃ σημαίνει τὸ γινώσκω, ἀφ' οὗ τὸ ἐδάην, ὁ ἐν γνώσει τοῖς κατ' ἐπιγαμίαν οἰκείοις. τινὲς δὲ παρὰ τὸ δαίω ὃ σημαίνει τὸ καίω, εἴγε τούτοις ἐν τοῖς γάμοις ἔθος ἐστὶ λαμπαδηφορεῖν· οὕτω καὶ παρὰ τὸ πατῶ τὸ συνουσιάζω.

Δαιαλεὺς, εἰς τὸ δαιταλεῦσι.

Δαίδαλα, ἐκ τοῦ δαιδάλλω τοῦ σημαίνοντος τὸ ποικίλλω, τοῦτο δὲ ἐκ τοῦ δαίω τοῦ μέλλοντος.

Δαίδαλος, ὄνομα παρὰ τὸ δαίω τὸ γινώσκω, οἱονεὶ ὁ πολυΐστωρ.

Δαιμόνιος, ὁ μακάριος, ἐπιστημονικός. τὸ νι ἰῶτα ὡς ἐπίθετον, τὸ μο μικρὸν ὡς κοινὸν, ἐκ τοῦ δαίμων, δαίμονος.

Δαιμονέστατοι, τῆς τῶν ἀστέρων πορείας τεχνικώτατοι, ἐμπειρότατοι, ἐπιστημονικώτατοι, παρὰ τὸ δαίω, ὃ σημαίνει τὸ μανθάνω.

Δαίνυτο, εὐωχεῖτο, τὰ εἰς ω λήγοντα ῥήματα βαρύτονα, ποιοῦντα τὴν παραγωγὴν διὰ τοῦ νυω, εἰ μὲν δίφθογγος παραλήγεται, δι' ἑνὸς ἀμεταβόλου ἐκφέρεται, οἷον δαίνω, δαινύω. εἰ δὲ ἑνὶ φωνηεντὶ διπλασιάζει εἰς τὸ σύμφωνον, οἷον ἕω, ἐννύω, σβέω σβεννύω.

Δαὶς, ἡ μεριστὴ εὐωχία. τρία εἰσὶν εἰς αις ὀνόματα. ἀρσενικὸν τὸ παῖς, θηλυκὸν τὸ δαὶς, οὐδέτερον τὸ σταῖς. σημαίνει δὲ τὴν ζύγην. καὶ εἰς τὸ παῖς.

Δαίμων, παρὰ τὸ δαίω τὸ γινώσκω, ὁ εἰδήμων πάντων.

Δαισάνη, πτισσάνη, ἀπὸ σίτου ἐψημένη ἑψηθεῖσα. εἴρηται παρὰ τὸ δαίσασθαι ὅ ἐστιν εὐωχεῖσθαι, τὴν γὰρ πρώτην τροφὴν πρὸ τῆς εὑρέσεως τῶν ἄρτων οὕτως ἐχρῶντο.

Δαιταλεῦσι, θιασώταις ἢ συμπόταις. παρὰ τὴν δαῖτα ὃ σημαίνει τὴν εὐωχίαν. ἢ παρὰ τὸ δαίω τὸ εὐωχοῦμαι δαιαλεὺς, καὶ δαιταλεὺς πλεονασμῷ τοῦ τ.

Δαίμων ὄνομα, σημαίνει δὲ τὸν δαίμονα καὶ τὸν ἐπιστήμονα καὶ τὸν δαΐζοντα, καὶ τὸν διακόπτοντα.

Δαίμων, σημαίνει ἕξ. τὸν πάντα εἰδότα θεὸν τὸν ἀκάθαρτον, τὸν τεχνίτην, τὸν μακάριον, τὸν πλούσιον, τὸν εὐτυχῆ καὶ τὸν ἀστέρα.

Δαιτρὸς, ὁ μάγειρος, παρὰ τὸ δαίω τὸ μερίζω καὶ κόπτω, ἤγουν ὁ διαιρῶν καὶ κόπτων τὰ κρέα.

Δαίνυτο, παρατατικὸς τρίτου προσώπου τῶν εἰς μι ἀπὸ τοῦ δαινύω, ἕκτης συζυγίας τῶν βαρυτόνων. τὸ παράγωγον δαίνυμι.

Δαιτυμόνος, ὁ τὸ ἄριστον ποιῶν, παρὰ τὸ δαῖτα, ὃ σημαίνει τὴν εὐωχίαν, δαιτυμόνες δὲ οἱ φίλοι.

Δαίμονες, παρὰ τὸ δαῆναι τὰ πάντα, ἢ μερίζειν τὰ ἀγαθὰ καὶ τὰ κακὰ τοῖς ἀνθρώποις.

Δαιομένων, καιομένων, διαιρουμένον ἢ διανεμομένων.

Δαὶ, σύνδεσμος ἐρωτηματικὸς ἐκτεταμενος [2], οἷον, τίς δαὶ ὅμιλος [3]· πῶς δαὶ τῶν ἄλλων Τρώων. ὁ δὲ συμπλεκτικὸς δὲ συνεσταλμένος.

Δαιτὸς, θηλυκοῦ γένους μόνου. γενικὴ τῶν ἑνικῶν, ἡ δαῖς τῆς δαιτός. γέγονε δὲ ἀπὸ τοῦ δαίω ῥήματος, τοῦ σημαίνοντος τὸ κόπτω καὶ μερίζω, τουτέστιν ἡ μεριστὴ εὐωχία, ἢ ἴσως διδομένη πᾶσι. ὁ μέλλων δαίσω, καὶ κατ' ἀποβολὴν τοῦ ω δαὶς, καὶ ὀξύνεται, τὸ δὲ παῖς καὶ σταῖς περισπᾶται.

---

1) Il. IV. 105. 2) cf. Ammonius. 3) Il. X, 408. ibiq. Barn.

Δαῒς, ἡ λαμπὰς ὀξύνεται, ἐκ τοῦ δαίω· δαῒς δὲ ἡ μάχη βαρυτόνως.

Δαίω, τὸ κοιμῶμαι ἐκ τοῦ εὕδω.

Δακτύλιος, ἐπὶ τῆς ἕδρας, ἤγουν ὁ ἀφεδρών. ἤτοι διὰ τὸ δακτύλῳ ἐφικτὸν εἶναι. ἢ ἀπὸ τοῦ στρογγυλότητα τοῦ σημαντῆρος, τουτέστι τῆς σφραγῖδος. ὁ δὲ φερούμενος ἀπὸ τοῦ περὶ τὸν δάκτυλον ἰέναι.

Δαΐφρων, ὁ πολεμικὸν φρόνημα ἔχων, παρὰ τὸ δαῒ δοτικῇ καὶ τὸ φρήν. τὸ δὲ δαῒς παρὰ τὸ δαίω τὸ κόπτω, κατὰ διάλυσιν δαΐω, καὶ πλεονασμῷ τοῦ ζ δαΐζω, ὁ μέλλων δαΐσω, καὶ ἐξ αὐτοῦ δαῒς καὶ ἐξ αὐτοῦ δαΐδος. ὁ κανών. τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ δος κλίνεται, ἐλπὶς, ἐλπίδος, δαῒς δαΐδος. ἡ δοτικὴ δαΐδι, κατ' ἀφαίρεσιν τῆς δι συλλαβῆς δαΐ. ἐν δαῒ λυγρῇ καὶ ἐξ αὐτοῦ δαΐφρων. τὰ δὲ ἐκ δύο συγκείμενα τελείων ὀνομάτων, ἢ ἀπὸ εὐθείας συντίθενται, ὡς τὸ ἑωσφόρος, βουληφόρος, ἢ ἀπὸ τῶν λοιπῶν πτώσεων πάρεξ τῆς κλητικῆς. ἀπὸ γὰρ ταύτης οὐ συντίθεται. ἐπὶ δὲ τοῦ κουριδίης ἀλόχοιο δαΐφρονος Πηνελοπείης [1]), οὐ σημαίνει τὴν πολεμικὴν, ἀλλὰ τὴν σώφρονα καὶ συνετήν. γέγονε δὲ παρὰ τὸ δάω τὸ μανθάνω, ὁ μέλλων δαήσω, καὶ ἐξ αὐτοῦ δαΐφρων. τὰ γὰρ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα, ἢ τῷ ο παραλήγεται, ὡς τὸ ἁμαρτῶ ἁμαρτοεπής, μισῶ μισογύνης. ἢ τῷ ι ὡς εἰλῶ εἰλίπους, οἰδῶ Οἰδίπους, ἁμαρτῶ ἁμαρτίνους. οὕτω καὶ δαῶ δαΐσω δαΐφρων. ἢ παρὰ τὴν δια πρόθεσιν καὶ τὸ φρὴν, δαΐφρων. σημαίνει δὲ ἡ δια ἐπίτασιν.

Δαίδαλος, τὸ δαι δίφθογγος, παρὰ γὰρ τὸ δαίω τὸ ποικίλλω γίνεται, οἱονεὶ ὁ πολυΐστωρ.

Δάκνω, παρὰ τὸ καίνω, μεταθέσει τοῦ ν, καὶ πλεονασμῷ τοῦ δ.

Δάκρυον, δακνυόν τι ἐστι ἀπὸ τοῦ δάκνεσθαι δι' αὐτοῦ τὰ ὄμματα. ἢ ὁ τὰ πολλὰ ἀπὸ τῆς δηκτικῆς λύπης γίνεται.

Δάκτυλος, παρὰ τὸ δράσω δάκτυλος, ἀδελφοποιὸς ὤν. καὶ ἀδελφὰ τὰ τικτόμενα.

Δαλὸς, παρὰ τὸ δαίω, τὸ καίω, δαίσω, δαλός. καὶ εἰς τὸ ἀρίδηλος.

Δαμᾶ, ἐνεστῶτος. γέγονε δὲ παρὰ τὸ δεμῶ, τὸ δαμάζω καὶ καταπονῶ, ὁ β ἀόριστος ἔδαμον, καὶ ὁ μέλλων δεύτερος δαμῶ. δαμᾷς, δαμᾷ. τινὲς δὲ οὕτω, δαμῶ, δαμάσω, τὸ γ δαμάσει, καὶ ἀποβολῇ τῆς σει συλλαβῆς δαμᾷ.

Δάμαρτα, ἡ γαμετὴ, παρὰ τὸ δαμάζεσθαι καὶ ὑποτάσσεσθαι τῷ ἀνδρί.

Δαμασκὸς, πόλις Συρίας, παρὰ τὸ ἀντιλαμβάνεσθαι. εἴρηται δὲ ὅτι δαμάσων στρατεύματα [2]) μετὰ Διονύσου ἐκεῖσε σκήνην ποιησάμενος ἢ πηξάμενος, ἱδρύσατο ἐκεῖσε θεοῦ ξόανα. ἢ οὖν δαμᾶ σκήνη, Δαμασκός. ἢ ὅτι Ἀσκὸς εἷς τῶν γιγάντων, ὃς μετὰ Λυκούργου τὸν Διόνυσον ἔδησε, καὶ εἰς ποταμὸν ἐνέβαλεν, ἐφονεύθη ὑπὸ Ἑρμοῦ. καὶ Ἀσκὸς ἐξεδάρη καὶ ἐκεῖ ἐτάφη, καὶ ἐκ τοῦ ταφέντος ἡ πόλις ἐκλήθη. καὶ τὰ οἰνοδόχα δὲ δέρματα καλοῦσιν ἀσκούς.

Δαμάσκηνον, παρὰ τὸ θαυμαστῶς κινεῖν. θαυμασκηνόν τι ὄν.

Δάμαλις, θηλυκὸν καὶ δαμάλιον τὸ θηλυκὸν καὶ μικρὸν βοΐδιον. τὸ δὲ ἀρσενικὸν ταῦρος. ἐτυμολογεῖται δὲ δάμαλις παρὰ τὸ δαμάζεσθαι ἅλις καὶ οὕτως ἡμεροῦσθαι.

Δάμαλις καὶ δαμάλις [3]) διαφέρει.

Δανὰ, ξηρὰ ξύλα, παρὰ τὸ δήν. τὰ διὰ τὸν χρόνον ξηρά. ἢ παρὰ τὸ δαίω τὸ καίω.

Δαμεῖεν, δαμᾶν· ὁ κανὼν, τὰ εἰς μεν εὐκτικὰ διφθόγγῳ παραλήγεται. ἔστι δὲ δαμείημεν, ἐπειδὴ ἀπὸ τοῦ δαμείην γίνεται. καὶ κατὰ συγκοπὴν δαμεῖμεν. τὸ ῥῆμα δαμῶ, σημαίνει τὸ ὑποτάσσομαι, ὁ μέλλων δαμήσω. ὁ δεύτερος ἀόριστος ἔδαμον, ἐδάμην, ἐδάμημεν, τὸ γὰρ μ τοῦτο οὐκ ἔστι κλιτικὸν, ἀλλὰ θεματικόν. πᾶν γὰρ πρῶτον πρόσωπον εἰς ν λῆγον, μὴ ἔχον τὸ μ κλιτικὸν τροπῇ τοῦ ν εἰς σ τὴν μετοχὴν ποιεῖ. ὁ δαμεὶς καὶ τὸ εὐκτικὸν δαμείην.

Δανείζω, ἐκ τοῦ δάνος, τοῦτο παρὰ τὸ δίδεσθαι μετὰ ἀνίας.

Δασεῖα, τὸ πνεῦμα παρὰ τὸ σφοδρὸν καὶ μέγα εἶναι πρὸς σύγκρισιν τῆς ψιλῆς, παρὰ τὸ δα ἐπιτατικὸν, καὶ τὸ σεύεσθαι τὸ ὁρμᾶν τὸ σφοδρῶς ἐκπεμπόμενον πνεῦμα.

Δαρθεῖν καὶ καταδαρθεῖν τὸ κοιμηθῆναι καὶ δράθειν, παρὰ τὸ δρῶ τὸ ἐνεργῶ καὶ δρήθω τὸ κοιμῶμαι. οἱ γὰρ κοιμώμενοι οὐκ ἐνεργοῦσι.

Δαρδάπτουσι, διασπαράσσοντες ἐσθίουσι· ἐπέκτασις δέ ἐστι τοῦ δασέος, ἐμφάσεως χάριν.

Δάνειον, παρὰ τὸ δάνος, ὃ σημαίνει τὸ δῶρον, ὡς οὖν τέλος τέλειον, οὕτως δάνος, δάνειον, κατ' ἀντίφρασιν τὸ μὴ δῶρον Τρύφων δὲ ὁ τοῦ Ἁρποκρατίου [4]) φησὶ, τὸ παλαιὸν ἐπὶ τοῦ ἀναφαιρέτου δώρου τάττεσθαι τὴν λέξιν. Δίδευσι [5]) δὲ τὸ χρονίζον χρέος, παρὰ τὸ δήν.

Δαπάνη, παρὰ τὸ δάπτω, τὸ ἐσθίω καὶ πλεονασμῷ τοῦ α ν δαπτάνη, καὶ ἀποβολῇ τοῦ τ δαπάνη. ἡ δαπάνη δέοντος σπάνις, ἤγουν ἐλάττωσις.

Δάπηδες, τάπητες, παρὰ τὸ ἐν δαπέδῳ στρώννυσθαι· ἔγκειται τὸ δα, δηλοῦν τὸ ἄγαν, ὡς τὸ ζα. ἀφ' οὗ τὸ μέγα. τὸ μέγα οὖν πεδίον ζάπεδον, μεταθέσει τοῦ δ εἰς ζ.

Δάπτω, εἰς τὸ δαρδάπτω καὶ δαπάνη.

Δαρεικὸς, ἀπὸ τοῦ Δαρεῖος γέγονε δαρειακὸς καὶ κατὰ συγκοπὴν δαρεικός.

Δαύω, τὸ κοιμῶμαι, παρὰ τὸ εὕδω δεύω, καθ' ὑπερβιβασμὸν τοῦ δ, καὶ τροπῇ τοῦ ε εἰς α δαύω.

Δαφοινὸς, ἐκ τοῦ φοινὸς ὁ πυῤῥὸς, καὶ τοῦτο ἐκ τοῦ φόνος, καὶ τὸ θηλυκὸν φονὴ, καὶ πλεονασμῷ τοῦ ι φοινὴ καὶ τὸ ἀρσενικὸν φοινὸς, καὶ μετὰ τῆς δα δαφοινός. διάτι οὐκ ἀνεβίβασε τὸν τόνον; κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ εἰς ος ὀξύτονα ἐν συνθέσει ἀναβιβάζουσι τὸν τόνον, οἷον τέλος ὀψιτέλεστος, χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ κωλυθῇ, διὰ τὸ λοιγὸς καὶ βροτολοιγὸς, καὶ χωρὶς τῶν ἐθνικῶν, διὰ τὸ Ἀχαιὸς Παναχαιὸς, καὶ χωρὶς τοῦ ἰατρὸς ἀρχιατρὸς, τοῦτο γὰρ φυλάττει τὸν τόνον ἐν τῇ συνθέσει. ἀρχιητρὸς γάρ. τοῦτο δὲ διὰ τὸ σημαινόμενον, ὡς εἶπον, ἐκωλύθη βαρύνεσθαι.

Δαψιλὴς, ἀρκετὸς, κεχορτασμένος, παρὰ τὸ δάπτω τὸ ἐσθίω, ὁ μέλλων δάψω. καὶ ἐξ αὐτοῦ κατὰ παραγωγὴν δαψιλής

Δαψιλὸς, ψιλὸν λέγεται τὸ μόνον καὶ ταπεινὸν, ὡς καὶ ψιλὸς στρατιώτης, ὁ μεμονωμένος καὶ ὅπλα μὴ

---

1) Porf. ex Od. XV, 356. 2) Vid. Etym. M. 3) Reliqua omissa, hinc vid. Ammon. 4) Etym. M. Ἀπαρτίσμος. 5) Etym. M. Δίδυμος.

ἔχων· καὶ μετὰ τοῦ δα ἐπιτατικοῦ μορίου δαψιλὸς ὁ ἀρκετὸς καὶ ἱκανός.

Δέδασται, μεμέρισται, ἐκ τοῦ δῶ δάζω, γέγονε τὸ δέδασται παθητικὸς παρακείμενος τρίτου προσώπου.

Δεδμήατο, ὁ κανὼν, ταῦτα δὲ τὰ τρίτα οἱ Ἴωνες. ἔστι δὲ δεδμέατο, καὶ ἐκτάσει τοῦ ε δεδμήατο, χρόνου ὑπερσυντελικοῦ. τὸ ῥῆμα β συζυγίας τῶν περισπωμένων, ὅπερ γίνεται δαμῶ· ἐξ οὗ καὶ τὸ, δὴ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.

Δέδοικα, μέσου παρακειμένου. τὸ δέδοικα ἀπὸ τοῦ δείω ἐστι τὸ φοβοῦμαι καὶ ὁ παρατατικὸς ἔδειον, ὁ παρακείμενος δέδεικα καὶ ὁ μέσος δέδοιδα, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν τριῶν δδδ, ἐτράπη τὸ ἓν εἰς κ, καὶ ἐγένετο δέδοικα.

Δεδύναμαι, εἰς τὸ δυνάστης.

Δεῖ, εἰς τὸ δεῖπνον καὶ χρή.

Δειδία, ἡ ἀσέληνος νὺξ, ἡ σκοτεινὴ, διὰ τῆς ει διφθόγγου γράφεται κατὰ τὴν ἄρχουσαν. παρὰ γὰρ τὸ δεός ἐστιν, οἱονεὶ ἡ φόβου ἐμποιητική. δειδία τὸ δι ἰῶτα· ἐξ αὐτοῦ δειδίσσω δειδίσσομαι. δειδισσόμενος διαθέσεως ἐνεργητικῆς, οὐκ ἔστι παθητικὸν, ἀντὶ τοῦ ἐκφοβῶν, καὶ οὐκ ἐκφοβούμενος.

Δαύω, τὸ κοιμῶμαι, ἐκ τοῦ εὕδω ἐστίν. ἵνα μὴ τὸ δεύω ἐπὶ τοῦ χρήζω συμπέσῃ.

Δάφνη, τὸ φυτὸν, δαοφώνη τις οὖσα, ἡ ἐν τῷ δαίεσθαι φωνοῦσα. ἠχεῖ γὰρ καιομένη· μαρτυρεῖ Θεόκριτος. χ' ὡς αὐτὰ λακκον[1]) μέγα καππυρίσασα.

Δεινός, ὁ πονηρὸς παρὰ τὸ δέος δεεινὸς καὶ δεινὸς, ὁ φόβον δυνάμενος τοῖς ὑπεναντίοις ποιεῖν.

Δεῖσα, ὑγρότης, ἡ δυσωδία, εἴρηται παρὰ τὸ διῶ, τὸ διὰ τοῦ ι γραφόμενον, καὶ σημαίνει τὸ φοβοῦμαι, ἵν' ᾖ δῖσα. ἡ δύσοσμος, ἣν φεύγομεν. εἴτε οὖν διὰ τοῦ ι, εἴτε διὰ τῆς ει διφθόγγου γράφοιτο. τὸ διῶ καὶ δείω διαφόρως. ὅθεν δέος δεῖος διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ι. ὅθεν καὶ δείδιε θύνων· καὶ τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον[2]).

Δεξαμένη, ἡ δεχομένη, ὡς δεξάμενος ἡ μετοχή.

Δειδίσσεσθαι, ῥῆμα, καὶ δειδίσσω διὰ τοῦ ι. οὐδέποτε πρὸ τῶν δύο συμφώνων δίφθογγος εὑρίσκεται, οἷον ἑλίσσω, αἰνίσσω.

Δειόω, σημαίνει τὸ φοβοῦμαι. ἀπὸ τοῦ δέος δέω γέγονε, καὶ κατὰ πλεονασμὸν τοῦ ι δείω, καὶ ἐπενθέσει τοῦ δ δείδω, καὶ εἰς τὸ δεισιδαίμων.

Δείκηλον, τὸ εἴδωλον. ὥσπερ ἀπὸ τοῦ πέμπω γίνεται πέμπελος, σημαίνει δὲ τῶν πολλῶν ἐνιαυτὸν ὄντα, καὶ ὥσπερ ἀπὸ τοῦ ἄγω γίνεται ἄγελος καὶ ἄγγελος, οὕτω καὶ ἀπὸ τοῦ δείκω τοῦ σημαίνοντος τὸ δεικνύω γίνεται δείκελος καὶ κατ' ἔκτασιν τοῦ ε εἰς η δείκηλος. σημαίνει δὲ τὸ ὁμοίωμα, φάσμα.

Δείκω, εἰς τὸ δείξω, καὶ δοξούμενοι καὶ ἔδειξεν.

Δειλία, ἐκ τοῦ δέω τὸ φοβοῦμαι. ἢ ἐκ τοῦ δέοντος λίαν.

Δείλη, διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ τὸ ἐνδεῖν καὶ ἐλλείπειν τὴν ἕλην, ἤτοι τὴν θερμασίαν, δεέλη οὖν φησὶ, ἔστι δὲ κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον δείλη. ἡ δείλη τῆς δείλης, ἐπιῤῥηματικῶς, οἱονεὶ, δείλης ἦλθον.

Δειλὸς, κακὸς, ἄνανδρος, παρὰ τὸ φοβεῖσθαι τὰς ἴλας τῶν πολεμίων. ἢ παρὰ τὸ δέω τὸ φοβοῦμαι, πλεονασμῷ τοῦ ι δείω, ὁ μέλλων δείσω καὶ ἐξ αὐτοῦ δειλία. ἢ παρὰ τὸ δέω δεηρὸς, καὶ κατὰ τροπὴν τοῦ ρ εἰς λ, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ η εἰς τὴν ει δίφθογγον δειλός.

Δειλὸς, διὰ τῆς ει διφθόγγου γράφεται. ὥσπερ γὰρ παρὰ τὸν χήσω μέλλοντα, τὸν δηλοῦντα τὸ χορήσω γίνεται χηλὸς ἡ κιβωτὸς, καὶ παρὰ τὸ χύσω χυλὸς, καὶ παρὰ τὸ βήσω βηλὸς ὁ βαθμός· οὕτω καὶ παρὰ τὸ δείσω δειλὸς διὰ διφθόγγου. σημαίνει δὲ τὸ δειλὸς δύο, τὸν κακὸν καὶ τὸν ἄνανδρον. δειλὸς δὲ κυρίως ὁ δεδιὼς τὰς ἴλας τῶν πολεμιῶν. ἤτοι τὰ στίφη.

Δειλακρείων, ὁ δειλός· Ἀριστοφάνης, ὦ δειλακρείων πῶς ἦλθες; σύνθετος ἡ λέξις, παρὰ τὸ δειλὸς καὶ τὸ ἀκρός· ὁ ἄκρως δειλός· εἴρηται καὶ δείλακρος καὶ δείλακρα καὶ δειλακρινός.

Δειλὴ, παρὰ τὸ ἐνδεῖν τηνικαῦτα τὴν ἕλην. ἀπὸ γὰρ τῆς μεσημβρίας ἀμυδροτέρα γίνεται ἡ τοῦ ἡλίου θερμότης. λέγεται δὲ καὶ δείλη, καὶ διέλη, καὶ δεείλη.

Δείκω, σημαίνει τρία, δείκω, τὸ δεικνύω, ἐξ οὗ καὶ ἀπόδειξις. δίκω τὸ βάλλω καὶ ῥίπτω, ἐξ οὗ καὶ δίκτυον· δήκω τὸ δάκνω ἐξ οὗ καὶ δηγμός[3]).

Δεῖμος, Ὅμηρος, δεῖμος τ' ἠδὲ φόβος[4]), παρὰ τὸ δέος δείμος, ὡς ἄνθος, ἄνθιμος, κύδος, κύδιμος, ὁ δέος ἐμποιῶν, ὄνομα πρέπον Ἄρεως παιδίου.

Δεῖν, συναλοιφῇ τοῦ δέον δεῖν, καὶ πλέον πλεῖν.

Δεῖμα, ὁ φόβος, ὡς ἀπὸ τοῦ ποιήσω μέλλοντος γέγονε ποίημα, οὕτω καὶ ἀπὸ τοῦ δείσω γίνεται δεῖμα.

Δειμάλεος, ὥσπερ παρὰ τὸ τάρβος γίνεται ταρβάλεος, οὕτω καὶ ἀπὸ τοῦ δεῖμα, ὃ σημαίνει τὸν φόβον δειμάλεος διὰ τῆς ει διφθόγγου.

Δεῖν, τὸ πρέπον, ἀπὸ τοῦ δέον γέγονε δεῖν κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον, οἷον, δεῖν γίνεσθαι ἀντὶ τοῦ δέον. ὥσπερ παρὰ τὸ πλέον γίνεται τὸ πλεῖν. καὶ εἰς τὸ ζηρά. καὶ εἰς τὸ ζητρεῖον.

Δεῖνα, εἰς τὸ ὁ δεῖνα.

Δεῖπνος, παρὰ τὸ δεῖ καὶ τὸ πονεῖν. δεῖπνον γὰρ λέγεται μεθ' ὃ δεῖ πονεῖν. ἔστι δὲ τὸ λεγόμενον ἄριστον. ἄριστον δὲ τὸ παρ' ἡμῖν πρωϊνὸν βρῶμα.

Δεῖπνος πόθεν; ἐκ τοῦ δεῖ τοῦ σημαίνοντος τὸ πρέπον καὶ τοῦ πόνος. δειπόνος τις ὢν, καὶ δεῖπνος μεθ' ὃν δεῖ πονεῖν, ἄριστον γὰρ ἔστι παρὰ τοῖς Ἕλλησι. δεῖπνος ὁ καιρὸς τῆς τροφῆς. καὶ ἡ ἐν τῷ καιρῷ διδομένη τροφή· δεῖπνον ἐρίθοισιν λεύκ' ἄλφιτα πολλὰ πάλυνον[5]). οἱ δὲ κωμικοὶ καὶ οἱ νεώτεροι συγχέουσι τὸν καιρὸν, τὴν ἑσπερινὴν τροφὴν δεῖπνον ὀνομάζοντες. ὡς καὶ νῦν μεθ' ὃν δεῖ πονεῖν. ἕωθεν γὰρ ἐσθίοντες ἐπὶ πόλεμον ἢ ἐπ' ἐργασίαν ἐξήρχοντο. Ἐπαφρόδιτος δὲ παρὰ τὸ δάπτω δάπτον καὶ δάπνον, δέπνον καὶ δεῖπνον, κατὰ τροπὴν καὶ πλεονασμόν.

Δεῖ, τέσσαρα ἔχει σημαινόμενα, δεῖ ἀντὶ τοῦ πρέπον, καὶ δεῖ ἀντὶ τοῦ χρεία ἐστὶ, οἷον, δεῖ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γένεσθαι. καὶ δεῖ ἀντὶ τοῦ δεσμεῖ. καὶ δεῖ ἐν διαλύσει ἀντὶ τοῦ ἅπερ.

Δειρὰ, εἰς τὸ γάδειρα.

Δειρὴ, ὁ τράχηλος τῶν ζώων. ἐκ τοῦ δέρω δερὴ καὶ πλεονασμῷ τοῦ ι δειρή. κυρίως ἀπὸ μεταφορᾶς. κατὰ τοῦτο γὰρ τὸ μέρος πρῶτον ἄρχονται τὰ ζῶα ἐκδέρεσθαι. ἀπὸ δὲ τούτου μετῆλθεν ἐπὶ τῶν λοιπῶν ἀνθρώπων. οἱ μέντοι Αἰολεῖς δέῤῥη λέγουσι καὶ κατὰ παρασχηματισμὸν δέρις. σημαίνει δὲ τὴν παρατετα-

---

1) Idyll. II, 24. 2) Il. XXII, 251. 3) Δείκω — δηγμός. cf. Etym. M. 4) Il. IV, 440. 5) Il. XVIII, 560.

μένην βύρσαν. Εὔπολις δὲ ἱμάτιον παχύ. Πλάτων δὲ περιπέτασμα.

Δειρὴ καὶ αὐχὴν διαφέρει. δειρὴ τὸ ἔμπροσθεν τοῦ τραχήλου, καθ' ὅ ἐστιν ὁ φάρυγξ. Αὐχὴν δὲ τὸ ὄπισθεν. καὶ εἰς τὸ δολιχός.

Δεισιδαιμονία, εἴρηται παρὰ τὸ δεδιέναι τοὺς δαίμονας. καὶ παρὰ μὲν τοῖς Ἕλλησιν ἐπὶ καλοῦ λαμβάνεται. ὡς δέον δεδιέναι τοὺς θεοὺς αὐτῶν. παρ' ἡμῖν δὲ τοῖς Χριστιανοῖς ἐπὶ τῆς ἀσεβείας λέγεται τὸ τῆς δεισιδαιμονίας ὄνομα. οὐ τοὺς δαίμονας γὰρ δεδιέναι χρὴ, ἀλλὰ τὸν ὄντως ὄντα θεόν. κἀκείνους μὲν μισεῖν ὡς ἐχθροὺς καὶ πολεμίους καὶ ἀσπόνδους ἀεί· τὸν δὲ θεὸν τὸν τοῦ κόσμου παντὸς ποιητήν τε καὶ κυβερνήτην ἀγαπᾷν τε καὶ σέβεσθαι.

Δεισιδαίμων, ὁ δεδιὼς τοὺς δαίμονας, παρὰ τὸ δέω δέσω.

Δεῖσα, παρὰ τὸν δεύσω μέλλοντα, ὁ βοτανώδης τόπος.

Δέησις, παρὰ τὸ δέω τὸ παρακαλῶ. διαφέρει δέησις ἱκεσίας οὐδέν.

Δέησις καὶ προσευχὴ καὶ εὐχαριστία καὶ ἔντευξις διαφέρει. δέησις μὲν γάρ ἐστιν, ὅταν τὶς ἀξιοῖ τὸν θεὸν εἰς πρᾶγμα, ἢ ὑπὲρ ἀπαλλαγῆς τινῶν λυπηρῶν ἱκεσίαν προσφέρει. προσευχὴ δὲ αἴτησις ἀγαθῶν. εὐχαριστία δὲ ὅταν τὶς ὑπὲρ ὧν ἔπαθεν εὐχαριστεῖ τῷ θεῷ. ἔντευξις δὲ κατηγορία τῶν ἀδοκούντων, ὡς δοκεῖ Παύλῳ.

Δεκὰς, παρὰ τὸ δεκτὴν αὐτὴν εἶναι τῶν ἀριθμῶν, οἱονεὶ δεχάς τις οὖσα, ἢ τοὺς λοιποὺς ἀριθμοὺς ἐν αὐτῇ δεχομένη. λέγεται δὲ καὶ πᾶς, παρὰ τὸ πάσας δέχεσθαι τὰς μονάδας. ἢ παρὰ τὸ δέχεσθαι πάντα τὰ γένη τῶν ἀριθμῶν. ὁ γὰρ δέκατος ἀριθμὸς δέχεται, ἤγουν περιέχει ἐν ἑαυτῷ πάντας τοὺς πρὸ αὐτοῦ ἀριθμούς· ὡς δεκτικὸς οὖν πάντων λέγεται δέκατος. καὶ ὅτι μέχρις αὐτοῦ προϊόντες οἱ ἀριθμοὶ, ἐπανακάμπτουσι ἐπὶ τὴν μονάδα. διὸ καὶ δευτερευμένην μονάδα καλοῦσι τὴν δεκάδα οἱ Πυθαγόριοι.

Δέκατος, παρὰ τὸ δέχω, τὸ λαμβάνω δέχατος καὶ δέκατος· δεκτικὸς γάρ ἐστιν τῶν ἀριθμῶν πάντων ἡ δεκάς.

Δεκατευτήριον τελώνιον, ἀπὸ τοῦ δεκατεύτης. τοῦτο παρὰ τὸ δεκατεύειν. δεκατεύειν δὲ ἀπὸ τοῦ δεκάτας εἰσπράττεσθαι καὶ λαφυραγωγεῖν. τὰ γὰρ ἀπὸ τῶν πολεμίων ληφθέντα, ἐδεκατεύοντο θεοῖς. διὸ κυρίως δεκατεῦσαι τὸ καθιερῶσαι, μεταφορικῶς δὲ καὶ τὸ δεκάτων ὁπωσοῦν λέγειν ἢ ἀπαιτῆσαι.

Δεκαχόρδῳ, παρὰ τὸ δέκα καὶ τὸ χορδόν, σημαίνει δὲ ἔντερον. ἐτυμολογεῖται δὲ παρὰ τὸ χέειν ᾠδὴν· ἢ παρὰ τὸ χέειν κάτωθεν τὴν χορηγουμένην ἐδωδήν· τὸ δὲ χορδὴ παρὰ τὸ χέω, τὸ σημαῖνον τὸ κενοῦν, χεορδὴ καὶ χορδὴ, τὸ χεὸν ᾠδήν· ἢ παρὰ τὸ χορεῖν τὴν ἐδωδὴν, ὃ σημαίνει τὴν τροφήν.

Δέκτο, ἐκ τοῦ δέχω, δέξω, καὶ πλεονασμῷ τοῦ ι δεξιῶ. καὶ ἐδεξιοῦτο τὸ λυτρὸν, ἀντὶ τοῦ φιλοφρόνως ὑπεδέχετο. λοιπὸν ἐκ τοῦ δέξω ὁ παρακείμενος δέδεχα, δέδεγμαι. ἐδεδέγμην, ἐδέδεξο, καὶ συναρχόμενον δέδεκτο, καὶ συγκοπῇ δέκτο. καὶ δέχεσθαι ἄποινα.

Δέλεαρ, παρὰ τὸ δόλος, δόλεαρ, καὶ δέλεαρ. ἤτοι παρὰ τὸ δόλον. ἢ παρὰ τὸ ἑλεῖν καὶ πλεονασμῷ τοῦ δ δέλεαρ, τὸ βέλος γὰρ δολερόν ἐστι.

Δέλφακες, οἱ χοιροι ἀπ' αὐτῶν καὶ δελφοὶ διὰ πονηρίαν. ἐπεὶ καὶ Ὅμηρος ὀλόφρονας [1]) αὐτοὺς καλεῖ. οἱ γὰρ πονηροὶ δελφοὶ προσηγορεύοντο. καὶ οἱ Τυρρηνοὶ διὰ τὴν πονηρίαν.

Δέλτος, βίβλος, παρὰ τὸ δηλοῦν.

Δέλλιστος, ζωΰφιον ὅμοιον μελίσσης. καὶ εἰς τὸ ὄρνιθος.

Δελφικὰ τὰ τρίποδα Ῥωμαῖοι· ἐπεὶ πρῶτον ἐν Δελφοῖς γέγονε·

Δέμας διὰ τὸν δεσμόν· γίνεται δὲ ἀπὸ τοῦ διδῶ διδεῖς διδεῖ, δίδημι. ὁ παθητικὸς παρακείμενος δέδεμαι καὶ ἐξ αὐτοῦ δέμας. τὸ γὰρ σῶμα δεσμός ἐστι τῆς ψυχῆς. δεσμὸς δὲ ἀπὸ τοῦ δέω βαρυτονὸν, ἢ ἀπὸ τοῦ δεῶ περισπώμενον. δεῖ δὲ γινώσκειν, ὅτι ὁ ποιητὴς δέμας εἴωθεν λέγειν τὸ ἔμψυχον, παρὰ τὸ δέδεσθαι τὴν ψυχὴν ἐν αὐτῷ. σῶμα δὲ τὸ ἄψυχον, ἐπειδὴ σῆμα ἐστὶ τοῦ ποτὲ ζῶντος, οἷον τάφος, σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι [2]).

Δέμας λέγεται οἱονεὶ δεσμὸς τῆς ψυχῆς. ἢ παρὰ τὸ δέδεσθαι ἐν αὐτῷ τὰ μέλη.

Δέμνια, ἐγκοίτια στρώματα, ἀπὸ τοῦ μένειν ἐν αὐτοῖς τὸ δέμας. ἢ παρὰ τὸ δέμνω δέμνιον, ὡς τὸ παίζω παίγνιον. τὸ εἰς σώματος ἀναπεσεῖν [3]) ᾠκοδομημένον ἢ συντεθέν· ἢ παρὰ τὸ δεδεῖ μνεῖσθαι ἡμᾶς κοιμώμενοι μηδὲν πράττοντας.

Δενδίλλων, διανευόμενος, παρὰ τὸ δίνειν τοὺς ἴλλους, ἤτοι τοὺς ὀφθαλμοὺς κινεῖν καὶ μεταφέρειν. ἴλλοι γὰρ οἱ ὀφθαλμοὶ ῥᾳδίως εἱλούμενοι, καὶ συστρεφόμενοι πρὸς ἑκατέρω.

Δένδρον, παρὰ τὸ δάον δρᾶσθαι. ἢ παρὰ τὸ ἀδρυνασθαι.

Δεξιτερῇ, τῇ δεξιᾷ, ἡ εὐθεῖα ἡ δεξιτερὴ, ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὸν ἄνθρωπον τὰ διδόμενα, ἢ ἀπὸ τοῦ δι' αὐτῆς διεξιέναι τὰς πλείονας πράξεις, ἥπερ διὰ τῆς ἀριστερᾶς.

Δέλφαξ, ὁ γαλαθηνὸς χοῖρος, παρὰ τὴν δελφὺν τὴν μήτραν. κυρίως γὰρ ἐπὶ τῆς θηλείας λέγεται δέλφαξ ἡ δελφὺν ἔχουσα.

Δέλτα, τὸ στοιχεῖον οἱονεὶ δελτά τι ὄν; τὸ ἐλλεῖπον τῇ ἐπάρσει. ἰσόπλευρον γὰρ τοῦτο ἐνδεές ἐστιν ἐπάρσεως τινὸς καὶ ἀφαιρέσεως. οὐ γὰρ ἀφαιρούμεθα τὶ τῶν ἴσων, ἵνα ἴσα γένηται, ἐπεὶ οὕτως ἔτυχεν ἔχει ἐκ τῆς κατ' ἀρχὴν ἐκτυπώσεως. ἄλλοι δὲ ἀπὸ τοῦ δελτῶ τοῦ σημαίνοντος τὸ εἰρῆσθαι [4]), καὶ τὸν τύπον ἔχειν τοῦ δ. προεβάλλοντο ἐξ ἀστέρων συγκειμένου, οὗ καὶ Ἄρατος [5]) μνημονεύει λέγων. δέλτῳ τὸ πλευροῖσιν ἰσωμένῃσιν ἐοικός.

Δέρκω τὸ βλέπω, ἐξ οὗ καὶ δράκων καὶ δορκάς.

Δέχω, σημαίνει τὸ δέχομαι, ἐξ οὗ καὶ δεξία καὶ δέπας τὸ ποτήριον.

Δέος, παρὰ τὸ δείω τὸ φοβοῦμαι, ὡς νείφω νέφος.

Δέπας, εἴρηται οἱονεὶ δέχας, ἀπὸ τοῦ δέχεσθαι τὸν οἶνον, τροπῇ τοῦ χ εἰς π. καὶ μεταθέσει τοῦ τόνου. οἷον, πλησάμενος οἴνοιο δέπας.

Δεξία, παρὰ τὸ δεῖξιν αὐτὴν εἶναι, δι' αὐτῆς γὰρ δεικνύομεν τὰ ζητούμενα. ἢ παρὰ τὸ δέχω, δεχιὰ καὶ δεξιὰ, ἢ παρὰ τὸ δέχεσθαι ἐπιτήδειος οὖσα. ἔστι δὲ τριγενὲς ὁ δεξιὸς, ἡ δεξιὰ, τὸ δεξιόν.

---

1) L. ὀλοόφρονας ex Il. XVII, 21. 2) Il. XXII, 342. Literae Δ figuram prae se ferebat. corrupta. Agathias L. II. 5; cf. Etym. M. 4) δελτῶ — εἰρῆσθαι. Δελτω τῳ γαρ εικει; p. 44. B. 5) Phaenom. 234.

Δέρος, κώδιον, παρὰ τὸ δείρω δόρος, ὡς μείρω μορος καὶ φθείρω φθόρος.

Δεξιάδην, τὸν υἱὸν τοῦ δεξιοῦ, ἢ ἀντὶ τοῦ ἐκ δεξιῶν. εἴ τε οὖν ὄνομα πατρωνυμικὸν τὸ δεξιάδην, εἴ τε ποιότητος, ἢ τόπου ἐπίῤῥημα δύναται εἶναι, καὶ τοῖς ἄνοις [1]) καὶ τοῖς ἑπομένοις συντάττεσθαι. ἢ γὰρ Ἰφινόον δεξιάδην βάλεν [2]). ἢ βάλεν δεξιάδην ὦμον· ἢ δεξιάδην ἐπιάλμενον, ἀπὸ τῶν δεξιῶν ὤμων.

Δέρμα βύρσης διαφέρει. δέρμα κτηνῶν, βύρσα βοῶν.

Δέρμα, ἡ εὐθεῖα δεῤῥίς. σημαίνει δὲ τὴν δερὰν τοῦ κτήνους, παρὰ τὸ δέρω τὸ ἐκδέρω. ἢ δεῤῥὶς ἱμάτιον παχὺ, ἤτοι παραπέτασμα ἐπὶ ταῖς θύραις ταῖς αὐλίαις βαλλόμενον. Εὔπολις, γυνὴ μέλαιναν δέριν ἠμφιεσμένη, ἐπὶ τοῦ ἱματίου. ἐπὶ δὲ τοῦ περιπετάσματος Πλάτων. παρὰ τὸ δέρω δέρις καὶ πλεονασμῷ τοῦ ρ δεῤῥίς. καὶ εἰς τὸ δειρή.

Δεσπότης, παρὰ τὸ δεσμὸν, ἀφ' οὗ τὸ δέος, ἐπειδὴ τῶν ὅλων δεσμός ἐστι συνέχων τὰ ἄλυτα καὶ σφίγγων αὐτά· ἢ παρὰ τὸ δεσπόζω, δεσπόσω, δεδέσποκα, δεδέσπομαι, δεδέσποσαι, δεδέσποται. καὶ ἐξ αὐτοῦ δεσπότης. καὶ τῇ ἐλλείψει τοῦ σ, ἀνεβιβάσθη ὁ τόνος· ἢ δεσμώτης τὶς ὢν, διὰ τὸ τὰ πάντα περιέχειν καὶ συγκρατεῖν. καὶ εἰς τὸ κύριος· ἢ δεσπότης παρὰ τὸ δέος ποιεῖν, ὁ τοῖς δούλοις φοβερός.

Δέρτρον, τὸ δέρμα, παρὰ τὸ δέρω, δέρτρον ὡς φέρω φέρτρον.

Δευοίατο, ἔχρηζε, ῥῆμα εὐκτικὸν μέσου ἀορίστου β. τρίτον πρόσωπον τῶν πληθυντικῶν. καὶ οἱ Ἴωνες ἐπὶ τῶν εὐκτικῶν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν μετατιθέασι τὸ ν εἰς α. τὸ γὰρ πειθέοιντο τὸ πειθοίατα λέγουσι. οὕτω καὶ τοῦτο.

Δεῦρο καὶ δεῦτε, τὸ μὲν δεῦτε γίνεται ἀπὸ τοῦ θεύσω, θεῦτε τροπῇ τοῦ θ εἰς δ· διὰ τοῦτο καὶ κλίνεσθαι αὐτὸ ὁμοίως τοῖς ῥήμασι εἰς ἀριθμοὺς καὶ πρόσωπα. ἢ ἀπὸ τοῦ θεύω, θεύσω θεῦτε. οἱ γὰρ προκαλούμενοι θέουσι πρὸς τοὺς καλοῦντας. τὸ δὲ δεῦρο ἀπὸ τοῦ δεύσω τροπῇ τοῦ σ εἰς ρ καὶ τοῦ ω εἰς ο. δύο δὲ σημαίνει τὸ δεῦρο, τὸ ἐνταῦθα, ὡς ἐν τῷ· δεῦρο μαχησόμεθα· καὶ τὸ ἔξω, ὡς ἐν τῷ· Λάζαρε δεῦρο ἔξω.

Δεῦρο, ἐπίῤῥημα παρακελευστικόν· οὐδὲν δὲ ἐπίῤῥημα εἰς ο λῆγον, πλὴν τοῦ δεῦρο καὶ ἀπό· τὸ γὰρ ψο ποιμενικὸν ἐπίφθεγμα. ἢ δεῦρο ἐπίῤῥημα χρόνου δηλωτικὸν, καὶ γράφεται ὥσπερ καὶ τὸ δύο μικρὸν, καὶ μέγα Ἀττικῶς. ἔστι δὲ καὶ ῥῆμα προστακτικὸν, καὶ σημαίνει δύο, τὸ μὲν ἐξέλθε καὶ τὸ ἐνταῦθα. τὸ πληθυντικὸν αὐτοῦ δεῦτε. εἰ γὰρ ὁ κανὼν λάβοι αὐτὸ ἐπίῤῥημα ἀνοικεῖον ἐστιν, ἐπειδὴ τὰ ἐπιῤῥήματα ἀριθμοὺς οὐκ ἐπιδέχονται.

Δεύνυσος, ὁ Διόνυσος. ἀπὸ τοῦ Διόνυσος τοῦ ι τραπέντος εἰς ε. καὶ τοῦ ο εἰς υ, οὕτω γὰρ Σάμιοι προφέρονται· συναιρέσει δὲ Ἰωνικῶς Δεύνυσος, ὡς Θεόδοτος Θεύδοτος. ἔνιοι δὲ αὐτὸν Δεύνυσον ὀνομάζεσθαι φασὶν, ἐπειδὴ ἐβασίλευσε Νύσης. κατὰ γὰρ τὴν τῶν Ἰνδῶν φωνὴν δεῦνος ὁ βασιλεύς.

Δευσοποιὸν, εἰς τὸ τοξήτυλοι.

Δεύσω, εἰς τὸ δεῖτα.

Δεύτατος, ὁ ἔσχατος, παρὰ τὸ δέεσθαι καὶ ἐνδεῖν.

Δεύτερος, παρὰ τὸ δέω τὸ ἐλλείπω, ὁ λειπόμενος τοῦ πρώτου.

Δεῦτε, ἐπίῤῥημα παρακελεύσεως. παρὰ τὸ θέω τὸ τρέχω, θεῦτε καὶ δεῦτε.

Δεύω, εἰς τὸ δέω, σημαίνει δὲ τὸ βρέχω, ἀπὸ τοῦ Ζεὺς Διὸς, δεύω. ὑέτιος γάρ ἐστιν ὁ θεός.

Δέω καὶ δεύω, ἐξ οὗ καὶ τὸ, ἧδ' ἐστὶ καὶ χρυσοῦ ἐπιδεύεαι [3]). ὁ ἐνεστὼς δεύω τὸ χρήζω κατὰ πλεονασμὸν τοῦ υ. καὶ ποιητικῶς περισπώμενον δεῶ δεήσω, ἐδέησα καὶ πλεονασμῷ τοῦ υ ἔδευσα. ἐκ τοῦ δεύω τὸ τρίτον δεύεται, καὶ οἱ Ἴωνες ἀποβολῇ τοῦ τ τοῦ τρίτου προσώπου ποιοῦσι τὸ δεύτερον. ἐκ τοῦ δέω γίνεται καὶ δεύτερος· καὶ εἰς τὸ δειλὸς καὶ δειματουμένη, καὶ δημιουργὸς καὶ δεῖμα καὶ δῆμος καὶ διδάσκω, καὶ ἔνδεια, καὶ ὑπόδημα, καὶ φλήναφος.

Δηθὰ ἐπίῤῥημα χρόνου δηλωτικόν· ἐκ τοῦ δηνὰ γίνεται δηνθὰ, καὶ ἀποβολῇ τοῦ ν δηθά.

Δηθύνονται ἐκ τοῦ δὴν γίνεται δηθὰ καὶ δηθύω ῥῆμα. καὶ ἐξ αὐτοῦ δηθύνω, τὸ παθητικὸν δηθύνομαι. καὶ ἔστι τρίτου προσώπου τῶν πληθυντικῶν. σημαίνει δὲ τὸ ἐνχρονίζω.

Δὴ καὶ χρὴ ἐπίῤῥημα ἐκ τοῦ δηθάκις.

Δεύω, τὸ χρήζω, ἐξ οὗ καὶ ἔδευσα.

Δεύω, τὸ βρέχω, ἐξ οὗ καὶ ἔδευσε τὸ ἔβρεξε.

Δεύειν, τὸ βρέχειν. κυρίως δὲ τὸ ὑπὸ Διὸς βρέχεσθαι. ἔνθεν καὶ διερὸς ὁ ὑγρός.

Δέω, σημαίνει ἔννεα. πέντε διὰ τῆς αι διφθόγγου, καὶ τέσσαρα διὰ τοῦ ε. καὶ τὰ μὲν διὰ τῆς αι διφθόγγου εἰσὶ ταῦτα· δαίω τὸ μανθάνω, ἐξ οὗ καὶ δαίμων, οἱονεὶ δαιμὼν τις ὢν, καὶ ἐδάην τὸ ἔμαθον. ὁ β ἀόριστος ἐδάην καὶ δαίμων ὁ ἔμπειρος. δαίω τὸ μερίζω, ἐξ οὗ καὶ δαιτρὸς ὁ μάγειρος, ἢ ὁ ἐν τῇ τραπέζῃ κόπτων τὰ κρέα. δαίω τὸ εὐωχοῦμαι, ἐξ οὗ καὶ δαὶς δαιτὸς ἡ εὐωχία καὶ δαιτυμόνες οἱ φίλοι. δαίω τὸ καίω ἐξ οὗ καὶ δᾳδες αἱ καιομέναι. ἡ εὐθεῖα ἡ δᾳς, τῆς δᾳδος. δαίω τὸ χορεύω ἐξ οὗ καὶ δαῖσαι τὸ χορεῦσαι. τὰ δὲ διὰ τοῦ ε ψιλοῦ εἰσὶ ταῦτα. δέω τὸ δεσμεύω, ἐξ οὗ καὶ δεσμὸς καὶ δῆμος, ὁ συνδεδεμένος ὄχλος. δέω τὸ φοβοῦμαι, ἐξ οὗ καὶ δέος ὁ φόβος. δέω τὸ ἱκετεύω καὶ χρήζω, ἐξ οὗ καὶ δέησις. δέω τὸ πρέπον, ἐξ οὗ καὶ τὸ ἔδεον, ἔδεες ἔδεις, ἔδεε ἔδει, γενεσθαι, ἀντὶ τοῦ ἔπρεπε, κατὰ κρᾶσιν τῶν δύο εε. καὶ ἐπὶ τοῦ παρατατικοῦ. δέω τὸ δοκῶ, ἐξ οὗ καὶ ἀπροσδεὴς καὶ ἐπιδεὴς καὶ μικροῦ δέω.

Δέργματα, τὰ ὄμματα. δέρξεις γὰρ αἱ βλέψεις, ὥστε ἀπὸ τῶν βλεπομένων καὶ τῆς ἐνεργείας ὠνόμασται, δέρκεσθαι δηλοῦν τὸ βλεπόμενον.

Δηλητήριον, φάρμακον ὀλέτριον, καὶ βοτάνη θανάσιμος. εἴρηται δὲ παρὰ τὸ δηλήσασθαι καὶ βλάψαι.

Δημήτηρ, ἡ θεὸς, γημήτηρ τὶς ἐστι. καὶ αὐτὸ δὲ τὸ γη δωρεικῶς διὰ τοῦ δ λέγεται δα. ἢ δήμου μήτηρ, καὶ Δημήτηρ κατὰ συγκοπήν.

Δηθυνω, τὸ ἐγχρονίζω. ἐκ τοῦ δηθὰ ὃ σημαίνει τὸ ἐπὶ πολύ.

Δήϊος, ἐκ τοῦ δαίω τὸ καίω, γίνεται τὸ δηΐω, καὶ περισπᾶται δηϊῶ τρίτης συζυγίας. καὶ δηωθέντων Ἀχαιῶν [4]). καὶ διαλύσει τοῦ δαίω δαΐω, καὶ πλεονασμῷ τοῦ ζ δαΐζω, ἐκ τοῦ δαίω γίνεται ὄνομα δηΐος, καὶ τροπῇ δήϊος, ἐξ οὗ, καὶ ἀσπίδα δηΐφοβον.

Δηΐπυλος κύριον.

Δήκω, εἰς τὸ ἔδειξε καὶ ἤνυγε.

---

1) i. e. ἀνθρώποις. sed cf. Etym. M. 2) Il. VII, 15. 3) Il. II, 229. 4) Il. IV, 417.

Δηώσας, διακόψας.

Δηλαδὴ, ἀπὸ τοῦ δῆλον, ὃ σημαίνει τὸ φανερὸν, καὶ τοῦ δὴ συνδέσμου. φανερὸν δή.

Δηλονότι, φανερὸν ἐξάπαντα.

Δηλήσηται, ἔστι δηλῶ τὸ βλάπτω, παρὰ τὸ κῆλα τὰ βέλη οἱονεὶ φθαρτικὸν καὶ βλαττικὸν κατὰ τροπὴν τοῦ κ εἰς δ, ὡς τὸ καίω δαίω γίνεται δηλοῦν. σημαίνει δὲ δύο, τὸ φανερῶ καὶ τὸ βλάπτω.

Δηλονότι, παρὰ τὸ δῆλον ὃ σημαίνει τὸ φανερὸν, καὶ τὸ ὅτι ὃ σημαίνει τὸ πάνυ. δηλονότι γάρ ἐστι τὸ πάνυ φανερόν. τὸ δὲ ὅτι ἔστιν ἐπίῤῥημα ἐπιτάσεως.

Δῆλον, παρὰ δὸ δαίω δαίσω, δῆλον. τοῦτο ἐκ τοῦ δάλος τροπῇ τοῦ α εἰς η, καὶ ἀναδόσει τοῦ τόνου δῆλος καὶ δῆλον. σημαίνει δὲ τὸ ἀνευρεῖν, εἰς τόν γε σύεσσι [1]).

Δήγηρες, στροῦθοι.

Δῆλος, εἰς τὸ ἀΐδηλος καὶ ἀρίδηλος καὶ ἀρίζηλος, καὶ ἐξίτηλος καὶ ἠέλιος καὶ ἥλιος.

Δημάγωγος, ἄρχων, ἐκ τοῦ δῆμον ἄρχειν, καὶ δικάζειν καὶ διοικεῖν.

Δημήτηρ, ἡ γῆ, τουτέστι τοῦ δήμου μήτηρ, ὡς πάντων τροφός· ἡ Δημήτηρ ὄνομα θεᾶς, λέγεται δὲ καὶ ἡ γῆ, παρὰ τὸ δηοῦν τὴν γῆν, ὅ ἐστι τέμνειν. ἢ παρὰ τὸ δήλειν τὴν γῆν ἐν τῇ ἀρόσει. ἢ παρὰ τὸ δαίειν ὅ ἐστι καίειν. λαμπαδοῦχος γὰρ ἡ θεός. ἢ ὅτι ζητούσης αὐτῆς τὴν Περσεφόνην ἔλεγε δήεις ἤγουν εὑρήσεις.

Δημήτερ καὶ δαμάτερ διαφέρει. παρὰ μὲν γὰρ τοῖς ἀττικοῖς Δημήτερ ἔστιν ἐπὶ τῆς θεοῦ, δαμάτερ δὲ ἐπὶ θαυμασμοῦ.

Δημιουργὸς, ὁ τεχνίτης, ὁ δειμάμενος τὰ ἔργα ἤγουν ποιεῖν. γίνεται δὲ παρὰ τὸ δήμιος καὶ τὸ ἔργον δημιοεργὸς καὶ κατὰ συναίρεσιν δημιουργὸς, ἐξ οὗ καὶ τὸ δημιουργῶ ῥῆμα. τὸ δὲ δήμιος παρὰ τὸ δῆμος, τὸ δὲ δῆμος παρὰ τὸ δέω τὸ δεσμεύω, ἐξ αὐτοῦ δέμος, καὶ τροπῇ τοῦ ε εἰς η δῆμος. ἤγουν ὁ συνεσφιγμένος λαός. ἢ παρὰ τὸ δέω, ὁ μέλλων δήσω, δεδέηκα, δεδέημαι, δέημος καὶ δῆμος, ὁ ἐνδεόμενος τοῖς χρήζουσι.

Δημιουργὸς, πολλὰ σημαίνει. σημαίνει γὰρ τοὺς τὰ κοινὰ ἐργαζομένους τεχνίτας, ἀφ' ὧν καὶ ὁ πάντων ποιητὴς θεὸς δημιουργὸς εἴρηται. καὶ δημιουργοὶ ἐκαλοῦντο παρά τε Ἀργείοις καὶ Θεσσαλοῖς, οἱ περὶ τὰ τέλεια, ἵνα σημαίνει τοὺς τὰ δημόσια ἐργαζομένους καὶ φροντίδας ἔχοντας. σημαίνει δὲ καὶ τὰ παρὰ τοῖς Ἀττικοῖς τοὺς πλακοῦντας ἐργαζομένους γυναῖκας.

Δῆμος, τὰ περιληπτικὰ δύο συντάξεις ἐπιδέχονται, τῷ λόγῳ τῆς φωνῆς, καὶ τῷ λόγῳ τοῦ σημαινομένου. ἡ μὲν φωνὴ ἑνικὴ, τὸ δὲ σημαινόμενον πληθυντικόν.

Δῆμος, τὸ πλῆθος, παρὰ τὸ δέω τὸ δεσμεύω, τὸ συνδεδεμένον πλῆθος, δέω, δέμος καὶ δῆμος· ἢ παρὰ τὸ δέμας, οἷον ἓν σῶμα ὑπάρχον. ἢ παρὰ τὸν δασμὸν τὸν μερισμόν. ἔνθεν Δημήτηρ. ἡ τῶν δασμῶν μήτηρ. καὶ δαὶς ἡ τροφή.

Δημὸς, ὀξυνόμενον τὸ λῖπος, παρὰ τὸ δήω τὸ καίω, τὸ καιόμενον ἐν ταῖς θυσίαις, ὡς παρὰ τὸ θύω θυμὸς, χύω χυμὸς, δήω δημός. καὶ ἄλλως, δημὸς τὸ λῖπος, παρὰ τὸ διακέεσθαι εὐχερῶς.

Δήϊος, ὁ πολεμικὸς, παρὰ τὸ δαίω, ὃς οὐκ ἂν φείσαιτο τοῦ δαίειν καὶ κόπτειν.

Δηϊότητι, μάχῃ, παρὰ τὸ δηοῦσθαι ἐν αὐτῷ τοὺς τιτρωσκομένους, ὅ ἐστι διακόπτεσθαι.

Δηδηωμένους ἐκ τοῦ δαίω τὸ κόπτω, καὶ ἐξ αὐτοῦ παραγωγὸν, δηῶ δηώσω.

Δηώσας, πορθήσας, χειρωσάμενος.

Δηῶ, κόπτω, καίω, πραιδεύω.

Δήωσιν, πολέμησιν.

Δηὼ, ἡ Δημήτηρ, ὅτι πολλὰν ἐδήωσε γῆν, τουτέστι διέκοψε, ζητοῦσα τὴν θυγατρά. ἢ γηώ τίς ἐστι, κατὰ τροπὴν τοῦ γ εἰς δ.

Δημιουργὸς, ὁ δημάμενος τὸ ἔργον ἤγουν ποιεῖν.

Δημοσθένης, ὄνομα, τοῦ Δημοσθένους, ἤγουν δύναμις.

Δὴν, εἰς τὸ ἄδδην.

Δήνεα, τὰ βουλεύματα, παρὰ τὸ δαίω τὸ μανθάνω, οὗ ὁ μέλλων δαίσω καὶ δαίμων ὁ πάντα εἰδὼς, ὅθεν ἀποβολῇ τοῦ δ. παρ' Ὁμήρῳ αἵμονα θήρης [2]). δαίω οὖν καὶ δαίνεα δήνεα. ἀλλὰ τὸ δαίω ἔχει σημασίας διαφόρους, τὸ μερίζω τὸ καίω, καὶ γινώσκω.

Δήνεα, τὰ βουλεύματα, ἀλλὰ καὶ δίκαια καὶ ἤπια, δήνεα. οἶδε παρὰ τὸ μήδεα, τροπῇ τοῦ μ εἰς ν καὶ ὑπερθέσει δήνεα. ἢ παρὰ τὸ δὴν ἐπίῤῥημα, σημαίνει τὸ ἐπὶ πολὺν χρόνον. χρόνου γὰρ δεῖται ἡ βουλὴ, ἔνθεν καὶ παροιμία δηρὸν βουλεύειν ἵνα ἔχῃ καὶ πολλῶν ἄμεινον. ἢ παρὰ τὸ δήω, ὃ σημαίνει τὸ εὑρήσω. δήεις τόν γε σύεσσι παρήμενον [3]), δῆνος, ὡς κτήσω, κτῆνος.

Δῆρις, ἡ μάχη καὶ ἡ ἔρις παρὰ τὸ δαίω τὸ κόπτω καὶ σφάζω. πλεονασμῷ τοῦ ρ. καὶ εἰς τὸ δηλητήρ.

Δηρὸν, τὸ πολυχρόνιον, ὀνοματικὸν ἐπίῤῥημα, πολλὰ γάρ εἰσι τοιαῦτα, ὡς ἡ πέρα, τῆς πέρας, τῇ πέρᾳ. πέραν τοῦ χειμάῤῥου τῶν κέδρων. καὶ πρωΐος καὶ πρωΐα, καὶ ἡ αἰτιατικὴ πρωΐαν. καὶ τροπῇ Βοιωτικῇ πρωΐην, ἐξ οὗ καὶ τὸ ἐπίῤῥημα πρώην. οὕτως ἔστιν ἐκ τοῦ δηναιὸς ἀρσενικοῦ τὸ οὐδέτερον τὸ δηναιὸν, καὶ συγκοπῇ τῆς αι δηνὸν, καὶ τροπῇ τοῦ ν εἰς ρ, δηρὸν, καὶ μετάγεται εἰς ἐπιῤῥηματικὴν σύνταξιν.

Τί ἐστι δηνάριον; τὸ τὰ δεινὰ αἴρειν παρεχόμενον.

Δήπουθεν, δηλονότι, λέξις ἔστι συναπτική.

Δήσω, δίδημι, ὁ μέλλων δήσω. ἔστι δέω τὸ δεσμεύω, ὁ μέλλων δέω, δῶ, δήσω, ὃ σημαίνει τὸ εὑρήσω. δήεις τόν γε σύεσσι παρήμενον [4]), δῆνος, ὡς τὸ κτήσω κτῆνος.

Διαβόητος καὶ ἐπιβόητος διαφέρει. διαβόητος μὲν γὰρ, ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος. ἐπιβόητος δὲ ὁ μοχθηρὰν ἔχων φήμην· Ἀνακρέων, καὶ μ' ἐπιβόητον κατὰ γείτονα ποιήσεις. τοῦτον δὲ ἔνιοι τῶν ποιητικῶν ἐπίσφατον καλοῦσι.

Διαβούλιον, οὐδέτερον ὑποκοριστικόν· γίνεται παρὰ τὸ βουλὴ βούλιον καὶ διαβούλιον προπαροξυτόνως. πᾶν [5]) εἰς ον οὐδέτερον καθαρὸν μονογενῆ τῷ ι μόνῳ παραληγόμενα, ὑπερτρισύλλαβα προπαροξύνονται, εἴτε κύρια εἴτε προσηγορικὰ, εἴτε ὑποκοριστικά.

Διαγγελήσονται, ἐκ τοῦ διαγγέλλω, ὁ μέλλων διαγγελῶ, ὁ β ἀόριστος διήγγελλον ὁ παθητικὸς διηγγελλόμην, κα ὁ β μέλλων διαγγελλήσομαι, καὶ τὸ τρίτον τῶν πληθυντικῶν διαγγελλήσονται.

Δοιάζειν, παρὰ τὸ ἐν δύο στάσεσιν εἶναι τὴν ψυχήν.

Διάθεσις, πολλὰ σημαίνει, τὴν ἀγάπην καὶ τὴν

---

1) εἰς τὸν γ. Leg. δήεις τ. γ. σ. ex. Od. XIII, 407. 2) Il. V, 49. 3) Od. XIII, 407. 4) Od. XIII, 407. 5) (Sic.) L. πάντα.

προαίρεσιν, καὶ τὸ σχῆμα, καὶ τὴν ἐπιθυμίαν, καὶ τὴν τιμωρίαν καὶ τὴν κόλασιν.

Διαθήκη, διττῶς ἐκφωνεῖται. ἡ μὲν ἐπὶ θνησκόντων διατάξεως, καὶ ἐντάλματος χαρακτῆρα φέρουσα. θάτερα συνθηκῶν ἐπὶ ἐπὶ διαλλαγῇ πολεμίων συνωμοσίαν ἔχουσα [1]). συντίθεται δὲ ἐκ τῆς διὰ προθέσεως, καὶ τοῦ θήκη, διαθήκη.

Διαίνω, εἰς τὸ διερός.

Δίαιτα, παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ἰέναι. οὕτω καὶ τὸ διαιτήτης. σημαίνει δὲ τὴν διαγωγὴν καὶ τὴν κρίσιν.

Δίαιτα, τὸ φαγεῖν καὶ ποιεῖν· δαὶς, δαιτὸς δαῖτα, καὶ δίαιτα.

Διαιτητης, εἰς τὸ δικαστής.

Διαίρεσις, παρὰ τὸ διαιρεῖν καὶ διαχωρίζειν τόδε ἐκ τοῦδε.

Δίασμα, ἡ πρώτη τοῦ ἱματίου ἐργασία, ἀπὸ τῆς δέσεως τοῦ μερισμοῦ ἐπὶ τοὺς στήμονας. διμερίζουσι [2]). δέδασμαι οὖν δάσμα, καὶ πλεονασμῷ τοῦ ι δίασμα. ἢ παρὰ τὸ ἄσω ἄττα καὶ ἆσμα καὶ δίασμα. τοῦτο τὸ ἄσσω γίνεται Αἰολικῶς ἄζω, καὶ διάζομαι. οἱ γὰρ Αἰολεῖς τὰ δύο σσ εἰς ζ τρέπουσι. τὸ γὰρ μεσον ἀπὸ τοῦ μέγας μέζων φασὶ καὶ μείζων. καὶ ὀλίσσων ἐκ τοῦ ὀλίγος ὀλίζων.

Διακηρυκεύεται, διὰ κηρύκων συνθήκας ἢ πρεσβείας ποιεῖται. γέγονε δὲ παρὰ τὸ κῆρυξ κήρυκος, καὶ κηρυκεύω καὶ διακηρυκεύεται. τὸ δὲ κῆρυξ ἀπὸ τοῦ κηρύσσω, τοῦτο παρὰ τὸ γῆρος ὃ σημαίνει τὴν φωνήν· τοῦτο παρὰ τὸ γῶ ὃ σημαΐνει τὸ χωρῶ. ἢ διὰ τῆς τραχείας ἀρτηρίας χωροῦσα.

Διαπεφώνηκεν, ἐκ τοῦ φόνος γίνεται κατὰ παράδοσιν διὰ τοῦ ω.

Διάλεκτος, καθ' ἣν ἕκαστοι ἄνδρες διαλέγονται πρὸς ἀλλήλους κατὰ τὴν ἰδίαν συνήθειαν. ἢ ἀπὸ τοῦ διαλελέχθαι καὶ διακεκρίσθαι ἀπὸ τῶν ἄλλων. ἑκάστη γὰρ αὐτὴ διακέκριται τῆς ἑτέρας ἀπὸ τοῦ διηλέχθαι καὶ ἐξήλεχθαι ὡς κρατιστεύουσαν.

Διαίνω, τὸ ὑγραίνω, ἀπὸ μεταφορᾶς τοῦ ὑετοῦ.

Διάκτορος, ἤτοι διάγορος, διὰ τὸ λόγιον εἶναι. ἢ παρὰ τὸ ἄγω, ἄξω, ἄκτωρ, ἄγγελος γὰρ τῶν θεῶν ὁ Ἑρμῆς. διάκτορος πλεονασμῷ τοῦ κ. διάτορος γάρ.

Διάκονος, παρὰ τὸ κονεῖν καὶ ἐγκονεῖν τὸ δουλεύειν καὶ ὑπηρετεῖν. ἐξ οὗ καὶ ἐγκονεύεται.

Διακοσμηθεῖμεν, ῥῆμα εὐκτικὸν παθητικὸν ἀορίστου πρώτου. κοσμηθείημεν καὶ κατὰ συγκοπὴν κοσμηθεῖμεν.

Διακρίνειν, εἰς τὸ κρίνειν.

Διακρινθῆτε, τὸ θέμα διακρίνω, διακέκρικα, διεκρίθην, καὶ πλεονασμῷ τοῦ ν ποιητικῶς διεκρίνθην. τὸ εὐκτικὸν διακρινθείην, διακρινθείητε, καὶ ἐν συγκοπῇ διακρινθεῖτε.

Διακριδὸν, ἐκ τοῦ διακρίνω.

Διάλεξις καὶ διάλεκτος διαφέρει. διάλεξις μέν ἐστιν ὁμιλία τις ἐντεχνος. διάλεκτος δὲ γλώττης ἰδίωμα.

Διαμετρῶ, παρὰ τὸ μέτρον. τοῦτο παρὰ τὸ μείρω τὸ μερίζω.

Διαμέτρητον, σχῆμα παρασύνθετον. καὶ πόθεν διαχωρίζονται τὰ παρασύνθετα ἐκ τῶν συνθετῶν; τῆς διαφορᾶς τοῦ τόνου. τὰ μὲν γὰρ παρασύνθετα προπαροξύνονται, τὰ δὲ σύνθετα ὀξύνονται. ταῦτα δὲ ὀξύνονται, ἐπειδὴ ἀπὸ ῥήματος ἔχει τὴν σύνθεσιν. οἷον ἐκλέγω ἐκλεκτός· ἐπίλεκτος δὲ προπαροξύνεται, ἐπειδὴ ἀπὸ ὀνόματος ἔχει τὴν σύνθεσιν, ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ λέκτος. οὕτως οὖν καὶ διαμετρῶ διαμέτρητος.

Διάμετρον, τὸ ἀπὸ πέρατος εἰς πέρας κατὰ πλάτος διάστημα.

Διάμησεν ἐθέρισε παρὰ τὸ ἀμῶ τὸ θερίζω, καὶ τῆς διὰ προθέσεως, σχήματος συνθέτου. γίνεται οὖν τὸ ἀμῶ ἐκ τοῦ ἄμη, ἣ λέγεται ἡ δρεπάνη.

Διαμπὰξ, διόλου, διηνεκῶς διαπαντος, ἐξεναντίας. ἀπὸ τοῦ διαρπάζω, διαρπάξω, διαρπὰξ ἀποβολῇ τοῦ ω, καὶ τροπῇ τοῦ ρ εἰς μ, διαμπάξ. συντάσσεται μετὰ αἰτιατικῆς. ἢ ἐκ τοῦ πᾶς, κατὰ τροπὴν τοῦ σ εἰς ξ Δωρικῶς πὰξ καὶ διαμπὰξ, ὁ διόλου ὤν· ἔστι δὲ ἐπίῤῥημα καιροῦ παραστατικοῦ.

Διαμπερὲς, παρὰ τὸ πέρας ἀντὶ τοῦ διόλου, οἷον ἀπ' ἀρχῆς ἕως τοῦ πέρατος, τουτ' ἔστι τοῦ τέλους.

Διάνδιχα διχῶς, εἰς τὸ τριχθά.

Διάνοια, ἡ ἐνθύμησις, παρὰ τὸ ὁδόν τινα διανύειν, ἢ παρὰ τὸ διανοῶ ἢ διανοουμένη.

Διάνοια γνώμης διαφέρει. διάνοια μέν ἐστι διχοστατοῦσα καθ' ἑαυτὴν, καὶ μὴ τὸ βέβαιον ἔχουσα καταβουλεύεσθαι. ἀφ' οὗ καὶ διάνοια ἐκλήθη, διὰ τὸ δισσά τινα βουλεύεσθαι. γνώμη δὲ ἡ τὸ βέβαιον ἐν ἑαυτῷ καὶ ἀσφαλὲς ἔχουσα καὶ οἱονεὶ μετὰ τοῦ διαγινώσκειν τί ποιοῦσα, διὸ καὶ γνώμη ἐκλήθη, καθότι γινώσκειν τι ποιεῖ.

Διαπορεῖσθαι τοῦ ἀγανακτεῖν διαφέρει. διαπορεῖσθαι μὲν τὸ περί τι γίνεσθαι καὶ ἐνεργεῖν. ἀγανακτεῖν δὲ τὸ ὀργίζεσθαι.

Διερὸς, ὁ ὑγρὸς, παρὰ τὸ διαίνω τὸ πλύνω ἢ θερμαίνω, ἀποβολῇ τοῦ ι διανὸς καὶ τροπῇ τοῦ ν εἰς ρ διαρὸς, καὶ κατὰ μετάθεσιν Ἰωνικὴν τοῦ α εἰς ε διερός.

Διαῤῥαίω, ῥαίω τὸ φθείρω. καὶ γίνεται ἐκ τοῦ φθείρω Δωρικῶς φθαίρω, οἱ γὰρ Δωριεῖς τὴν ει δίφθογγον εἰς αι τρέπουσι. τὸ κύπειρον κύπαιρον λέγουσι, καὶ τὸ εἶκεν αἶκεν, οὕτω καὶ τὸ φθείρω φθαίρω, καὶ ἀφαιρέσει τῶν δύο συμφώνων αἴρω, καὶ ἐν ὑπερβιβασμῷ ῥαίω καὶ σημαίνει τὸ φθείρω. τὸ ραι δίφθογγῳ ἢ ὅτι ἐκ τῆς παραγωγῆς αὐτὸ ἔχει, ἢ ὅτι κανών ἐστιν ὁ λέγων, ὅτι τὰ διὰ τοῦ εω ῥήματα ἀσυναίρετα ὄντα κατὰ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τῆς αι διφθόγγου γράφεται, οἷον παλαίω καὶ τὸ αἴω.

Διαῤῥήδην, μεγαλοφωνῶς, σαφῶς, φανερῶς, παρὰ τὸ ῥῶ ὃ σημαίνει τὸ λέγω, ὁ μέλλων ῥήσω καὶ ἐξ αὐτοῦ ῥῆσις καὶ ἐξ αὐτοῦ ῥήδην καὶ διαῤῥήδην ἐπίῤῥημα. συντάσσεται δὲ μετὰ δοτικῆς.

Διαπρύσιον ἐξάκουστον καὶ μέγα. παρὰ τὸ πεύθομαι ἐπειθόμην πύσιον καὶ πλεονασμῷ τοῦ ρ πρύσιον. ἢ ἀπὸ τοῦ περῶ περάσω περάσιος, καὶ κατὰ συγκοπὴν πράσιος, καὶ τροπῇ πρύσιος, ὡς μάθω μύθιον καὶ διαπρύσιον. βοῶν Δαναοῖσι κέλευε.

Δίας, ὁ ἥρως, εἷς τῶν Πελοπιδῶν. καὶ γέγονε παρὰ τὸ δέος δεέτας καὶ ἐν συναλοιφῇ δειας διὰ τῆς ει διφθόγγου ὁ δέος ἐμποιῶν. ἢ παρὰ τὴν Διός γενικήν.

Δίας, ὁ Ζεὺς, δι' οὗ ζῶμεν, παρὰ τὸ διαίνειν, τουτ' ἔστι πλύνειν τὴν γην. ἢ παρὰ τὸ δεῖν ὅ ἐστι συνέχειν καὶ δεσμεύειν τὸ σύμπαν αἰσθητον· ἢ παρὰ τὸ ζῆν.

---

1) Bielius male legit συνωμόσια. χοῦσα. 2) (Sic.)

Διαπλεῖν περιπλεῖν καὶ παραπλεῖν διαφέρει. τὸ μὲν διαπλεῖν τὸ ἐπὶ τοῦ μέσου πλεῖν. τὸ δὲ περιπλεῖν τὸ κύκλῳ πλεῖν. τὸ δὲ παραπλεῖν τὸ παρὰ τὴν γῆν πλεῖν. οὕτω καὶ διαῤῥεῖν τὸ διὰ μέσου ῥεῖν, τὸ δὲ παραῤῥεῖν καὶ παραμείβεσθαι, τὸ κατὰ μίαν τοῦ τόπου πλησίον ῥέειν. τὸ δὲ περιῤῥεῖν πανταχόθεν καὶ κύκλῳ περιῤῥέειν.

Διάπυρος, ἐκ τῆς διὰ προθέσεως καὶ τοῦ πυρὸς γίνεται διάπυρος, ὁ ἐκκαυστικὸς, ὁ ἐκκαιόμενος τὴν ψυχήν. διάπυρος δὲ καὶ θερμὸς διαφέρει.

Διάφορος διαφορὰ, καὶ διαφέρεσθαι διαφέρει. διάφορος ὁ ἐχθρὸς, διαφορὰ ἡ ἔχθρα καὶ ἡ διαχώρησις, διαφέρεσθαι τὸ ἐχθρωδῶς διακεῖσθαι.

Δίκη ἡ περὶ τῶν ἰδίων, γραφὴ δὲ περὶ τῶν κοινῶν εὐθύνη ὑπὸ τῶν ἀρξάντων.

Διασεσοβημένος, τεταραγμένος, ἄτακτος, τεθορυβημένος. σοβεῖν γὰρ τὸ διώκειν καὶ τρέχειν, παρὰ τὸ σέβω τὸ ὁρμῶ.

Διαστήτην διαχωρήσαντες, ἀορίστου δευτέρου τῶν εἰς μι τρίτου προσώπου τῶν δυϊκῶν. τὸ θέμα ἵστημι. κατάχρησις τοῖς Ἀττικοῖς μάλιστα ἁρμόζει, ὁ μέλλων στήσω, ὁ β ἀόριστος ἔστην. τὸ γ τῶν δυϊκῶν ἐστήτην καὶ διαστήτην.

Διάττειν ὁρμᾷν διατρέχειν ἢ δάκνειν, οἷον διαθεῖν ἀπὸ τοῦ θέω τὸ τρέχω. τροπῇ τοῦ θ εἰς τ. καὶ πλεονασμῷ ἑτέρου τ.

Διάψαλμα τὸ διὰ παντὸς ψαλλόμενον, μέρη δὲ λόγου δύο, διὰ πρόθεσις, ψαλμὸς ὄνομα. ψαλλόμενον μετοχή.

Δίδραχμον ἡ συντέλεσις καὶ ἡ εἰσφορά. ἔχει δὲ τὸ δίδραχμον γράμματα ς.

Διδάσκαλος ὁ διδοὺς καλόν. ἢ ὁ διδάσκων καλῶς.

Διδάσκω παρὰ τὸ δαίω τὸ μανθάνω, ὁ μέλλων δαίσω, καὶ πλεονασμῷ τοῦ κ δαίσκω, ὡς ὀλῶ ὀλέσω ὀλέσκω· καὶ ἐπεὶ τὰ εἰς κω λήγοντα ῥήματα, οὐ θέλουσι παραλήγειν τι ἀνεκφώνητον γίνεται δάσκω, καὶ κατ' ἀναδιπλασιασμὸν διδάσκω. καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα. καὶ διάτι ἀναδιπλασιάζεται; ἐπειδὴ ὁ διδάσκων διπλοῦς θέλει εἶναι.

Δίδωμι πόθεν γίνεται; ἐκ τοῦ διδῶ.

Δίδυμος παρὰ τὸ δύο, καὶ σημαίνει τὸ ἄστρον.

Δίδυμος ὁ ὄρχης. εἴρηται παρὰ τὸ δύο, τὸ τοῦ ἀριθμοῦ σημαντικὸν, δύμος καὶ ἐν διπλασιασμῷ δίδυμος. ἢ παρὰ τὸ δὶς ἐπίῤῥημα γίνεται δίσσος καὶ δίσσυμος καὶ κατ' ἀντίθεσιν δίδυμος. καὶ δίδυμος ὁ μεθ' ἑτέρου τεχθείς.

Δίε παρὰ τὸ δίω, ὁ β. ἀόριστος ἔδιον ἔδιες ἔδιε, καὶ τὸ προστακτικὸν δίε.

Διεὶς τὰς πτέρυγας, ἤγουν ἐξαπλώσας, τὸ θέμα δίημι, ὁ παρατατικὸς δίην ἡ μετοχὴ ὁ διείς. σημαίνει δὲ τὸ ἐκτείνας ἢ διανοίξας.

Διεπέτασα ἐκ τοῦ πετάζω, πετῶ γὰρ οὐκ εἴρηται ἀλλὰ πέτω.

Δίεπε ἀκολούθει. τὸ θέμα ἔπω τὸ ἀκολουθέω καὶ διέπω, ὁ μέσος παρακείμενος δίειπα. τὸ ει δίφθογγος.

Διεξοδικῶς πλατέως. διεξοδικὸς ὁ διογκούμενος.

Διέφθαρται καὶ διέφθορε διαφέρει. διέφθαρται γὰρ ὑφ' ἑτέρου, διέφθορε δὲ ἕτερον.

Διηγήσομαι ἐκ τοῦ διηγῶ. τοῦτο παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ἄγω.

Διήγημα διηγήσεως διαφέρει. διήγησις μὲν γάρ ἐστιν, οἷον ἡ πᾶσα διήγησις Ὁμήρου. διήγημα δὲ μέρος τὶ ποιήσεως οἷον, Αἴαντος μονομαχία πρὸς Ἕκτορα.

Διήρης ναῦς, ἡ ὑπὲρ δύο ἐρετῶν καὶ διήρης, οὕτως καὶ τριήρης.

Διηνεκὴς, ἐκ τοῦ ἐνέκω ἀνεκὴς καὶ μετὰ τῆς διὰ προθέσεως διανεκὴς, καὶ μεταθέσει τοῦ α εἰς η διηνεκής. ἢ παρὰ τὸ διήκω τὸ ἐκτείνω διήκης, καὶ πλεονασμῷ τῆς νε συλλαβῆς διηνεκής.

Δίκαιος εὐσεβοῦς διαφέρει. δίκαιος μὲν γάρ ἐστιν, ὁ τὸ πρὸς τοὺς ἀνθρώπους ἴσον φυλάττων. εὐσεβὴς δὲ ὁ τὸ θεῖον εὐσεβῶς σέβων καὶ ὀρθῶς.

Δικαιοσύνη, παρὰ τὸ διχάζειν καὶ διαχωρίζειν τὸ δίκαιον τοῦ ἀδίκου.

Δικαστὴς καὶ διαιτητὴς διαφέρει. δικαστὴς μὲν γάρ ἐστιν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής. διαιτητὴς δὲ ὁ κατὰ σύμφωνον αἱρεθεὶς συμβιβάσεως χάριν. Μένανδρος· εἴ τις δικαστὴς ἢ διαιτητὴς θεῶν.

Δίκτυον παρὰ τὸ δίκειν ὅ ἐστι ῥίπτειν καὶ βάλλειν, ἐξ οὗ καὶ δίκος τὸ δίκτυον.

Δῖναι ποταμῶν εἰσὶ τὰ μεσότατα. ἔνθα τὸ ῥοῖζος τοῦ ποταμοῦ, ἐκ τῶν μερῶν εἰς μέσον. συναγόμενον σταχυοδῶς, ὡς ἀπὸ τῆς περιδινήσεως· δίνα ἡ δίνη κέκληται.

Δινάριον ὁ σταθμίζει λα ὀγκίαν. ὀγκίας τρεῖς.

Διθύραμβος, ὁ Διόνυσος, ὁ δὶς βεβηκὼς τὴν θύραν, τουτ' ἔστι τὰ τῆς μητρὸς, καὶ δὶς τὸν τοῦ Διὸς μηρὸν· καὶ ὕμνος εἰς Διόνυσον.

Διμίτριος ὁ πολεμικὸς Ἄρης. παρὰ τὸ δύο μίτρας, ὅ ἐστι πολεμικὰ ὅπλα ἔχων. καὶ Διμήτριος ὁ Διόνυσος. καὶ Δημήτριος ὄνομα κύριον.

Δικασπόλοι οἱ περὶ τὰς δίκας ἀναστρεφόμενοι, ἢ παρὰ τὸ δικάζειν, ὅθεν καὶ δίκτυον καὶ δίσκος εἴρηται. Ὅμηρος.

Δικασπόλοι οἱ περὶ τὰς δίκας ἀναστρεφόμενοι βασιλεῖς.

Δινῶ ἐκ τοῦ δίνη. τὸ δι ἰῶτα διάτι; τὰ διὰ τοῦ ινη δισύλλαβα θηλυκὰ μονογενῆ μὴ ὄντα ἀπὸ ἐπιθέτων γινόμενα διὰ τοῦ ι γράφεται, οἷον ἀρητίνη, θριδακίνη. μονογενὴ διὰ τοῦ ἐκεῖνος ἐκείνη. μὴ ἀπὸ ἐπιθέτων γινόμενα διὰ τοῦ φωτεινὸς καὶ τὸ κύριον ὄνομα Φωτεινή, μετάγεται γὰρ ἀπὸ ἐπιθέτου. τὸ δι μακρὸν διάτι; διότι ἐκ τοῦ εἰλῶ τὸ συστρέφω εἰλὴ καὶ ἔστι παρὰ τῷ ποιητῇ μακρὸν τὸ ἰλαδόν.

Διθύραμβος λέγεται καὶ ὁ Διόνυσος, καὶ ὁμωνύμως τῷ θεῷ ὁ εἰς αὐτὸν ὕμνος. εἴρηται δὲ ὁ Διόνυσος, ἀπὸ τοῦ δεύτερον τέτεχθαι, ἀπό τε τῆς μητρὸς καὶ ἀπὸ τοῦ μηροῦ τοῦ Διὸς, ἵν' ᾖ ὁ δὶς θύραν βεβηκώς. Πίνδαρος δὲ ὅτι τίκτων αὐτὸν ἐπεβόα ὁ Ζεύς.

Διόνυσος ὅτι ἐκ τοῦ Διὸς ἐτέχθη, καὶ ἄντρῳ τῆς Νύσης ἐτράφη, καὶ Διόνυσος παρὰ τὰς δύο νήσους τῶν κέντρων ὁρίζειν.

Διόβολον πληκτικὸν πυρὸς κεραυνοῦ. καὶ διόβολον τὸ ὑπὸ Διὸς βαλλόμενον. τὸ βο μικρόν. διώβολον δὲ οἱονεὶ δύο ὀβολοὺς μέγα.

Δῖνος σημαίνει πέντε· δῖνος ποταμοῦ ἡ συστροφὴ τοῦ ποταμοῦ, καὶ εἶδος ὀρχήσεως καὶ ποτηρίου, καὶ ὁ τόρνος καὶ τὸ ἔντερον.

Δίοπος ὁ βασιλεὺς, ἢ ὁ ἐπόπτης. ἀπὸ τοῦ διέπειν ἢ διοπτεύειν παρὰ τοὺς ὦπας. ἔνθεν καὶ ὁ βασιλεὺς ὁ ἐπίσκοπος καὶ ὁ ὀφθαλμός.

Δινωτοῖσι πεποικιλμένοις, τετορνευμένοις, ἡ εὐθεῖα τῶν ἑνικῶν δινωτὸν, δινωτὸς τὸ ἀρσενικὸν, ἐκ τοῦ δινῶ. τοῦτο δὲ ἐκ τοῦ δῖνος. σημαίνει τὸν τόρνον. τὸ δι ἰῶτα διάτι; τὰ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς μονογενῆ ἅπαντα διὰ τοῦ ι γράφεται, οἷον Φαυστῖνος,

Ἰουστῖνος· καὶ προπερισπᾶται. πλὴν τοῦ καρκίνος καὶ ἐγχίνος.

Δινωτὴ ἡ περιφερὴς, διὰ τὸ ἐοικέναι δίνῳ ὅ ἐστι τόρνῳ.

Διομήδης ὄνομα κύριον σύνθετον. τὰ παρὰ τὴν Διὸς γενικὴν συντιθέμενα ἀποβολῇ τοῦ σ.

Δῖνος δὲ ὁ τόρνος, παρὰ τὸ δονεῖσθαι καὶ κυκλοῦσθαι [1]).

Διογένης, διοπείθης. τὰ εἰς ης κύρια παρασύνθετα εἰς ους ἔχει τὴν γενικήν· παντερπὴς, εὐπειθὴς. οὕτω καὶ Διομήδης. σεσημείωται δὲ τὸ θεοκρίνης. τὰ γὰρ διὰ τοῦ ινης εἰς ου ἔχει τὴν γενικὴν, Λεπτίνης Αἰσχίνης. οὕτως οὖν καὶ τὸ ἀΐδης ἀΐδου, παρὰ τὸ ἰδεῖν, ὅτι οὐδὲν αὐτίκα ἴδοις.

Διονύσιος θεὸς, παρὰ τὸ τὰς δύο νύσους τῶν κέντρων ὁρίζειν. ἢ παρὰ τὸ Νύσσαν ὄρος ἐπικαλούμενον, ἐν ᾧ λέγεται εἶναι τυχών.

Διόξενος εἰς τὸ πρόξενος.

Δῖος, ὁ ἔνδοξος, τὸ δι ἰῶτα. τέσσαρα γὰρ εἰσὶ δισύλλαβα κτητικὰ, θεῖος καὶ Κεῖος, ἐκ τῆς Κέω νήσου Κέϊος καὶ Κεῖος, καὶ δῖος καὶ Χῖος διὰ τοῦ ι. καὶ εἰς τὸ Ζεύς.

Δῖος ἀπὸ τοῦ Ζεὺς Διὸς, δίϊος τὸ κτητικὸν καὶ δῖος, ὡς Χίϊος καὶ κατὰ κρᾶσιν Χῖος. ὅθεν καὶ μακρὸν τὸ ἰῶτα.

Διόσκουροι, οἱ τοῦ Διὸς ἐπιμελούμενοι. τὸ γὰρ ἐπιμελεῖν κορεῖν λέγεται, ὡς δῆλον ἐκ τοῦ νεοκόρορ καὶ σηκοκόρος.

Διορία ἡ προθεσμία. εἰ δὲ διὰ τοῦ ω καιρὸν σημαίνει.

Διότι εἰς τὸ ὅτι.

Διόρισον, χώρισον.

Δίοπτρα τὸ ἔσοπτρον, κάτοπτρον, κατόπτριον, ἔνοπτρον. ἔστι δὲ καὶ ὄργανον γεωμετρικόν. καὶ ἰατρικὸν ἔργον.

Δίπλακα, διπλῆν, ἡ εὐθεῖα ἡ δίπλαξ, σημαίνει δὲ τὴν χλαῖναν.

Διϊππεύω καὶ ἱππεύω καὶ περιππεύω, τὸ διέρχομαι.

Δίπτυχα δίθυρα ἢ διπλά· ἐκ τοῦ διπλοῦς δίπλαξ, ὡς λίθος, λιθαξ, τὸ δὲ διπλοῦς ἐκ τοῦ διπλοός.

Διπλόη σημαίνει τὴν πανουργίαν, γίνεται, ἐκ τοῦ διπλοὸς τοῦτο δὲ ἐκ τοῦ δύο καὶ τὸ πέλω δυόπελος καὶ δυπλόος καὶ τροπῇ τοῦ υ εἰς ι διπλόος διπλόου ἀρσενικῶς.

Διπλοῦν διπλάσιον διαφέρει. διπλοῦν μὲν γὰρ τῶν κατὰ τὸ μέγεθος. διπλάσιον δὲ τῶν κατὰ ἀριθμὸν, οἷον διπλάσια χρήματα. διπλοῦν δὲ τὸ ἱμάτιον, οὐ διπλάσιον.

Διΐφιλος διὰ τοῦ ι, ὥσπερ γὰρ παρὰ τὸ Ἄρηϊ δοτικῇ γίνεται ἐν συνθέσει ἀρηΐφιλος, οὕτω καὶ παρὰ τὸ Διῒ διΐφιλος. ὡς θέτιϊ-θέτιν.

Δίσκος παρὰ τὸ δίκειν καὶ ῥίπτειν. λέγεται δὲ πᾶν τὸ τριχοειδές.

Δὶς ἀπὸ τοῦ δύο γέγονε διάκις, καὶ κατὰ συγκοπὴν δίς· ἢ ἀπὸ τοῦ δύο δὺς καὶ τροπῇ δίς. καὶ ἀπὸ τοῦ τρία τριάκις, καὶ κατὰ συγκοπὴν τρίς. καὶ γὰρ διὰ τοῦ ι, πρὸς ἀντιδιαστολὴν τοῦ τρεῖς ἀριθμοῦ.

Διοπομπὴ ἡ πέμψις, ἐκ τοῦ πέμπω. ἀπὸ διοπομπὴ ἡ πέμψις.

Δισταγμὸς ἐκ τοῦ διστάζω. τοῦτο παρὰ τὸ δύο καὶ τὸ στῶ, ὃ σημαίνει τὸ ἵστημι.

Διφᾶν παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ἀφὴ γίνεται διαφῶ καὶ τὸ ἀπαρέμφατον διαφᾶν.

Διφῶσαν, ἐρευνῶσαν, ἐκ τοῦ δίζω· τὸ ζητῶ. σημαίνει δὲ καὶ τὸ ψηλαφῶ.

Δίχα τὸ αὐτὸ καὶ διχῇ, παρὰ τὸ δὶς ἐπίῤῥημα διχῇ καὶ δίχα, ὡς τρὶς τριχῇ καὶ τρίχα. δίχα φρεσὶν ἥνδανε βουλή [2]).

Διφένσωρ ὁ ἔκδικος.

Διςπενσάτωρ, ὁ οἰκονόμος.

Διστοιχία, ἐπὶ τῶν ὀδόντων δυστυχία.

Διόνυσος παρὰ τὸ δάος, δαόνυσος καὶ Διόνυσος τουτέστιν εἰς ι τραπέντος. παρὰ γὰρ Δηλίοις ὁ αὐτὸς τῷ ἡλίῳ νομίζεται, ἵν' ᾖ ὁ δαίων, ὁ τοῦ δάους, ὅ ἐστι πυρὸς, ἢ φωτὸς αἰτία. ἢ Διόνυσος, παρὰ τὸ πολλὰ διαλύσαι, διάλυσος, καὶ τροπῇ τοῦ α εἰς ο καὶ τοῦ λ εἰς ν Διόνυσος. ἢ παρὰ τὸν νοῦν Διόνυσον φησιν, ὁ περὶ πάντα νοῦς. ἢ ὅτι ἐκ Διὸς ἐγένετο, καὶ ἐν Νύσσῃ ἀνετράφη. ἢ ὅτι Διὸς ὕοντος ἐτέχθη.

Διϊπετεὸς τοῦ ἐκ τῶν Διὸς ὄμβρων πληρουμένου ποταμοῦ.

Δίφρον τὸν ἁρμάτιον, ὃν ἡμεῖς λέγομεν ταπεινὸν, καὶ οὐχὶ θρονὸν.

Δίφρος, παρὰ τὸ ἅρμα δίφρος εἴρηται, ὅτι διφυρός ἐστι. δύο γὰρ φέρει. τὸν ὁπλίτην καὶ τὸν ἡνίοχον.

Δίψης παρὰ τὸ δίψα, τοῦτο παρὰ τὸ ἴπτω τὸ βλάπτω, ἴψα καὶ δίψα, ἡ βλάπτουσα τὸ σῶμα· ἢ παρὰ τὸ ἐπιθυμία. δίψα γὰρ τὸ ἐπιποθεῖν.

Διωρία ἡ ἄδεια, ἐκ τοῦ ὥρα ὃ σημαίνει τὴν ἔνδειαν ἢ προθεσμίαν.

Διφθέρα καὶ μηλωτὴ διαφέρει, διφθέρα μὲν αἰγῶν, μηλωτὴ δὲ προβάτων.

Διφθέρα σημαίνει καὶ τὸ βιβλίον, ἢ τὴν βύρσαν, ἢ δέλτον, οἷον διοφέραν, τὴν ἐν τοῖς δύο μέρεσι φέρουσαν τὰ γράμματα.

Δίφιλος, ὡς παρὰ τὴν Ἄρηϊ δοτικὴν γίνεται ἀρηΐφιλος, οὕτω καὶ παρὰ τὸ Διῒ γίνεται δίφιλος. κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν δηλονότι μακρόν.

Διφρηλατὴς παρὰ τὸ δύο ἄγειν.

Διχόνοια διχοστασία, ὅτι εἰς δύο μερίζει τὸν νοῦν.

Διχότομος καὶ διχοτόμος διαφέρει. ἂν μὲν προπαροξύνωμεν δηλοῖ τὰ εἰς δύο διῃρημένα, ἂν δὲ παροξύνωμεν δηλοῖ τὰ εἰς δύο διαιροῦντα.

Διώνυμον, παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ὄνομα διαόνυμον καὶ διώνυμον. ἔστι δὲ ὄνομα ἔχον δύο ὀνόματα κύρια.

Διώνη ἡ Ἀφροδίτη, παρὰ τὸ διὰ παντῶν ἰέναι.

Δίωξις εἰς τὸ παλίωξις.

Δίχω τὸ διχάζω.

Διώνη ἡ παντῶν φορά.

Διονύσιος δὲ ὅμως· Ἡσίοδος [3]).

Διώρης ὄνομα κύριον. γέγονε δὲ ἡ ἀπὸ τῆς διὰ προθέσεως, καὶ τοῦ ὁρῶ ῥήματος, διαορὴς. καὶ κατ' ἔκτασιν τοῦ ο εἰς ω, καὶ κατὰ κρᾶσιν τοῦ ι καὶ α εἰς ι μακρὸν διώρης νῖκος, πόλεμος.

Διωλύγιον σημαίνει τὸ μεγάλως φωνῶ. καὶ ὀλωλυγὴ ἐκ τοῦ διωλύγιον· καὶ τροπῇ τοῦ α ο εἰς ω διωλύγιον [4]).

---

1) Pertinent ad δινωτὴ, a quo artic. interpositione τοῦ διομήδης divulsa sunt. 2) (Sic.) Forf. ex Il. XVIII, 510. 3) Alieno loco. Pertinent fine dubio ad v. διόνυσος. 4) καὶ ὀλωλυγὴ — διωλύγ. L. γίνεται ἐκ τοῦ διὰ προθέσεως καὶ ὀλολυγὴ, διαολύγιον, καὶ τροπῇ εἰς.

Διώρυξ, παρὰ τὸ ὀρύσσω, ὀρύξω, ὄρυξ· ἐπεκτάσει τοῦ ο εἰς ω διώρυξ. διωρυγὴ δὲ καὶ ἐπωρυγὴ καὶ ὠρυγή· πλὴν τοῦ ορυγὴ ὃ σημαίνει τὴν φωνήν.

Δμωὴ γυνὴ μεγάλα, δμωὶς θεράπαινα δούλη.

Δμῶος, καὶ δμώς.

Δμὼς παρὰ τὸ δαμῶ δμώς, ἀπὸ τοῦ δμῶ ὁ μέλλων δμήσω.

Δμῶες, παρὰ τὸ δεδμῆσθαι, ὅ ἐστιν ὑποτετάχθαι.

Δνοπαλίζω, κινῶ, τουτέστιν ἡ διὰ χειρὸς κίνησις καὶ ἐκτίναξις. ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν [1]· τουτέστι διὰ χειρὸς εἶχεν, ἢ ἀνήρη. ἐχρήσατο δὲ ἐν τῇ Ὀδυσσείᾳ τὴν λέξιν, τὰ σὰ ῥάκεα δνοπαλίξεις [2]), ἀντὶ τοῦ διὰ χειρὸς ἕξεις. εἴρηται δὲ παρὰ τὸ δονεῖν τὰς παλάμας δονοπαλίξαι, καὶ ἐν συγκοπῇ δνοπαλίξαι.

Δνοφερὸν παρὰ τὸ κενὸν φάους εἶναι.

Δνόφος εἰς τὸ γνόφος.

Διωλύγιον, τὸ διόλου ἰόν, ἐκτάσει τοῦ ο εἰς ω. καὶ ἀναχωρήσει τοῦ ἑτέρου ο καὶ πλεονασμῷ τοῦ γ, καὶ μεταβάσει τοῦ τόνου διωλύγιον. καὶ σημαίνει τὸ ἐξάκουστον.

Δοάσσατο τοῦ διάσσατο διαφέρει. ὅτι τὸ μὲν δοάσσατο σημαίνει τὸ ἔδειξε. τὸ δὲ διάσσατο σὺν τῷ ι [3]). ἐδίστασε.

Δογμῶ, πλαγίω, δόγμα ψήφισμα. τὸ δοκοῦν ἅμα ἤγουν ὁμοῦ.

Δοιάζειν, τὸ διστάζειν, παρὰ τὸ ἐν δύο στάσεσιν. ἢ παρὰ τὸ δεδέσθαι τὴν ψυχήν. δοιάζειν εἰς τὸ ἀνενδοιάστως.

Δοιδυκοποιός, ὁ τὰ κοχλιάρια ποιῶν.

Δοίδυξ, παρὰ τὸ δαίω τὸ μερίζω, δαδύσκω τὸ ταράσσω. ἢ παρὰ τὸ δαίω τὸ κόπτω καὶ ταράσσω γίνεται δαδύσκω δάδυξ. σημαίνει δὲ τὸ ἀλεκτριών. ἔστι δὲ καὶ τὸ κοχλιάριον.

Δοῖεν δωρήσαιντο. ἀόριστος δεύτερος εὐκτικοῦ, ἐκ τοῦ δίδωμι ἐδίδων, ὁ δεύτερος ἀόριστος ἔδων, ἡ μετοχὴ ὁ δοὺς τοῦ δόντος, δοίην, δοίημεν, καὶ ἐν συγκοπῇ δοῖμεν.

Δοιὼ ὄνομα, ἡ εὐθεῖα τῶν ἑνικῶν ὁ δοιός. οἱ γὰρ Δωριεῖς τὴν ἀναλογίαν τὴν ἐν τοῖς ῥήμασι φυλάττοντες καὶ ἐν τοῖς ὀνόμασι πλεονάζουσι τὸ ι. γίνεται δὲ ἐκ τοῦ δέω τὸ δεσμεύω δοὸς καὶ πλεονασμῷ τοῦ ι δοιὸς καὶ ἡ γενικὴ δοιοῦ, ἡ εὐθεῖα τῶν δυϊκῶν δοιώ. αὐτὰρ ὁ δοιὼ δοῦρε.

Δοκῶ τὸ νομίζω καὶ ἐπιτηρῶ.

Δοκῶ καὶ προσδοκῶ, ἁπλοῦν μὲν α συζυγίας τῶν περισπωμένων.

Δολιχὸν εἰς τὸ δούλιχον.

Δολομῆτις παρὰ τὸ δολῶ δόλου γέγονε.

Δόλος παρὰ τὸ δέλω τὸ δελεάζω ἤγουν πλανῶ. ἰστέον ὅτι τὰ τῆς τρίτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων διὰ τοῦ ι γράφεται ἐν τῇ ληγούσῃ.

Δομβεῖν εἰς τὸ βομβομεῖν.

Δομήνικος δοσμὸς καὶ νικᾶς.

Δομῶ εἰς τὸ δῶμα καὶ θεμέλιον.

Δολοφροσύνη, δόλος ἐστὶ πᾶν τὸ δελεάζον.

Δόνακες κάλαμοι ἁλιευτικοί. ἢ αὐλοί. πρότερον γὰρ ταῖς λύραις ἀντὶ κέρατος ἐτίθεσαν καλάμους. γέγονε δὲ παρὰ τὸ δονῶ τὸ συστρέφω.

Δόναξ ὁ κάλαμος, παρὰ τὸ δονεῖσθαι εὐχερῶς πεφυτευμένος.

Δόντος εἰς τὸ δώησι.

Δόρπον τὸ καθ' ἡμᾶς δεῖπνον. τρισὶ δὲ τροφαῖς ἐχρῶντο. καὶ τὴν μὲν πρώτην ἐκάλουν ἄριστον, ἣν ἐλάμβανον πρωΐας, σχεδὸν ἐπὶ σκοτίας οὔσης. καὶ ὠνομάσθη ἄριστον ἢ παρὰ τὸ τοὺς λαμβάνοντας αὐτὴν εἰς ἀριστείαν ἀπέρχεσθαι· ἢ ἀπὸ τοῦ προσφέρεσθαι ταύτην πρώτην τροφὴν, παρὰ τὸ ἄειρε ὀνομασμένης τῆς λέξεως. μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μήτηρ [4]). τὴν δευτέραν δεῖπνον, τὸν καθ' ἡμᾶς λεγόμενον ἄριστον. καὶ ἔστι κατὰ τὸ ἔτοιμον [5]) δεῖπνον, μεθ' ὃ δεῖ πονεῖν, ὅπερ ἐστὶν ἐνεργεῖν. λαμβάνοντες γὰρ τὴν τροφὴν, πάλιν ἐπὶ τὰ πολεμικὰ ἔργα ἐποίουν. τὴν δὲ τρίτην δόρπον, τὸ καθ' ἡμᾶς λεγόμενον δεῖπνον. καὶ ὅ ἐστι κατὰ τὸ ἔτοιμον [6]) ἰάνειν ἕρπον, ὅταν εἰς τὸ ἰάνειν πορευώμεθα, ὅπερ ἐστὶ κοιμᾶσθαι. Αἰσχύλος δὲ καὶ τῆς τάξεως καὶ τῶν ὀνομάτων μάρτυς ἐστὶ, λέγων· ἄριστα, δεῖπνα, δόρπα αἱρεῖσθαι.

Δώτειρα ἐκ τοῦ δίδωμι, δώσω, δέδωκα, δέδομαι, δότειρα.

Δοτικὴ παρὰ τὸ δῶ, δώσω, δοτική· ἡ τὰς δόσεις παρέχουσα. καὶ τὰ ἀποστελλόμενα.

Δορὰ παρότι ἐκ τοῦ δέους τοῦ θηρὸς ἐκδάρη. παντὸς γὰρ θηρίου τὸ ἔκδαρμα δορὰ λέγεται. παρὰ τὸ εἶναι αὐτὸ φοβερόν. δέος γὰρ ὁ φόβος ἐστί.

Δοχὴ ἡ δεξίωσις, ἐξ οὗ καὶ ἐδεξιοῦτο τὸ ἐδέχετο.

Δόξα, τιμὴ, ἔπαινος, ὑπόληψις, φήμη καὶ γνῶσις.

Δόξα, παρὰ τὸ δοκῶ, δόξω, δόκσα. καὶ τροπῇ τοῦ κσ εἰς ξ, δόξα.

Δοξούμενοι ἀντὶ τοῦ δοξαζόμενοι, ἐκ τοῦ δοξέω δοξῶ, καὶ οὐχὶ δοξόω. ἡ γὰρ σύνθεσις ἐδήλωσε τὴν ἀκρίβειαν. κενοδοξῶ γὰρ κενοδοξήσω καὶ οὐ κενοδοξώσω. γίνεται δὲ ἐκ τοῦ δόξα, τοῦτο ἐκ τοῦ δοκῶ, τοῦτο ἐκ τοῦ δέχω τὸ λαμβάνω.

Δότης, δότου.

Δὼς ἀγαθὴ, ἀπὸ τοῦ δώσω. διὸ δότε, μετάδος ἐνδεεῖ τὸν ἄρτον. μὴ δότε τὸν ἅγιον.

Δορκὰς ὅτι δέρκει μακρόθεν. ἢ ἐκ τοῦ ὀξέως δέρκειν ἤγουν ὁρᾶν.

Δόρυ ἀπὸ τοῦ δρῦς δρυὸς δόρυ, ἐπὶ παντὸς λεγόμενον ὑπὸ τῶν ἀρχαίων, ὡς μαρτυρεῖται δρυμὸς καὶ δρύφακτα. ἢ παρὰ τὸ δέρω ὃ σημαίνει τὸ βλεπίζω. τοῦ γὰρ φλοιοῦ λεπίζεται τὰ ξύλα. ἢ ἐκ τοῦ θορῶ ὃ σημαίνει τὸ πηδῶ. θόρυ τι ὂν καὶ δόρυ, τὸ ἐκ τῆς γῆς ἀνατρέχον, καὶ ὁ ποιητής· ἐπεὶ οὔπω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης. ἢ ἐκ τοῦ δρῦς, οἱ γὰρ ἀρχαῖοι ἐκ δρυΐνων κατεσκεύαζον ξύλων.

Δορύαλος τὸ γυναικεῖον αἰδοῖον, Ἀριστοφάνης, αἱ γυναῖκες τὸν δορύαλον φράγονται, παρὰ τὸ δέρειν τὸ τυπτόμενον, ἢ τὸ τιλλόμενον τὰς τρίχας, οἱονεὶ ἐκδερόμενον κατὰ σημασίαν ἔψιλουν, ὡς δῆλον ἐκ τοῦ παρὰ Ἀριστοφάνους. ἠβυλλιῶσαι κἄρτι παρατετιλμέναι [7]).

Δορύξενος εἰς τὸ πρόξενος.

Δόσαν τὸ ῥῆμα δίδωμι, ὁ β ἀόριστος ἔδων, ἔδομεν, τὸ τρίτον κατὰ συστολὴν ἔδοσαν. ὁ κανών· οἱ γὰρ Βοιωτεῖς ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύ-

---

1) Il. IV, 472 et Schol. 2) Od. XIV, 512. 3) διάσσατο σὺν τῷ ι cf. Etymolog. M. 4) Il. VI, 264. 5) L. ἔτυμον. 6) L. ἔτυμον. 7) Bat. 519. et Schol.

τονον, ποιοῦσιν ἰσοσύλλαβον τὸ τρίτον τῶν πληθυντικῶν τῷ πρώτῳ· οἷον ἐμάθομεν, ἐμάθοσαν, εἴδομεν εἴδοσαν, καὶ συναρχόμενον δόσαν.

Δουλεία ποίου εἴδους τῶν ὑποπεπτοκότων τῷ ὀνόματι, πρόστι· καὶ πόσοι τρόποι τῆς δουλείας; τρεῖς. τὸ κατὰ δημιουργίαν, ὡς τὸ, ὅτι τὰ σύμπαντα δοῦλα σά. καὶ τὸ κατὰ δικαιοσύνην, ὡς τὸ, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθημεν τῇ δικαιοσύνῃ. λέγεται δὲ καὶ δουλεία καὶ ἐπὶ τῶν ἀργυρωνήτων. ὡς τὸ, ἀγόρασα δοῦλον.

Δοῦλος παρὰ τὸ δέω τὸ δεσμεύω. ἢ παρὰ τὸ δύη ἣ σημαίνει τὴν κακοπάθειαν. ὁ ἐν κακοπαθείᾳ ὤν.

Δούλη ποίου εἴδους τῶν ὑποπεπτοκότων τῷ ὀνόματι, τῶν πρόστι· καὶ πρὸς τινὰ ἔχει; πρὸς τὴν δέσποιναν.

Δοῦλος πόθεν παρήχθη; ἀπὸ τῆς κακοπαθείας δυλός τις ὤν, καὶ κατὰ πλεονασμὸν τοῦ ο δοῦλος, ὁ κακοπαθῶν ἐν τῷ δουλεύειν.

Δολιχόδειρος παρὰ τὸ δολιχὸν τὸ μακρὸν καὶ τὸ δειρὴ ὃ σημαίνει τὸν τράχηλον, τὸ λι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιχος διὰ τοῦ ι γράφεται. οἷον, σωτήριχος, δόλιχος, τάριχος. σημαίνει δὲ τὸν πεπασμένον ἰχθὺν, πλὴν τῶν παρὰ τὸ τεῖχος, οἷον, εὔτειχος καλλίτειχος. διαφέρει δὲ δόλιχος καὶ δολιχός. προπαροξυτόνως μὲν ἐπὶ τοῦ ὀσπρίου, ὀξυτόνως δὲ τὸ μακρόν. λοιπὸν ἐκ τοῦ δολιχὸν τὸ μακρὸν καὶ τοῦ δειρὴ γίνεται δολιχόδειρος ὁ μακροτράχηλος. ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν γινόμενα.

Δοῦλοι καὶ οἰκεταὶ καὶ θεράποντες διαφέρουσι παρὰ τοῖς ἀρχαίοις. δοῦλοι μὲν γὰρ καὶ τῶν ἡδονῶν λέγονται καὶ πάντες οἱ τεταγμένοι ὑπὸ βασιλέως, οἰκεταὶ δὲ δεσποτῶν. θεράποντες δὲ οἱ ὑποτεταγμένοι φίλοι, ὑφ' ὧν θεραπεύονται οἱ προσήκοντες.

Δοῦλος πάντοτε δελεάζων.

Δοῦναι καὶ ἀποδοῦναι διαφέρει. δοῦναι γάρ ἐστι τὸ χαρίσασθαι, ἀποδοῦναι δὲ τὸ χρεωστούμενον παρασχεῖν.

Δοῦπος ὁ ἦχος, ὁ δέος ἐμποιῶν ἤγουν φόβον, ὁ ὁδέα ἔχων ὄπα, ἤγουν φωνήν. καὶ εἰς τὸ ἐρίγδουπος.

Δοῦπος παρὰ τὸ δέους ὄπας ἔχειν. σημαίνει δὲ τὸν κτύπον.

Δουρὶ, ξίφει. ἐκ τοῦ δρῦς δρυὸς, καὶ ὑπερβιβασμῷ βαρυτόνως δουρὸς καὶ δουρί.

Δρὰξ ἀλεύρου, δρὰξ χειρὸς ἡ κράτησις καὶ εἰς τὸ ποστιμόριον.

Δράγματα, παρὰ τὸ δράσσω δράξω, δέδραχα, δέδραγμαι, δράγμα.

Δραίνω εἰς τὸ ἀδράνεια.

Δράκων, διὰ τὸ δρᾶσθαι κακῶς ἢ λυμαίνεσθαι. ἢ παρὰ τὸ δέρκω τὸ βλέπω ἐξ οὗ καὶ δορκὰς καὶ ὁ β ἀόριστος ἔδρακον. οὕτως ἔχει καὶ τὸ ἔπαθον ἐκ τοῦ πένθω καὶ ἔτραπον ἐκ τοῦ τρέπω. ἔδαρκον ὤφειλεν εἶναι. ἀλλὰ διὰ τὸν κανονα τὸν λέγοντα, ὅτι ἔτι δὲ καὶ ἀπὸ μὲν βαρυτονῶν θεμάτων καὶ τὰ ἑξῆς, γίνεται ἔδρακον. καὶ Ὅμηρος, ἔδρακον ἄν γε. καὶ ἐξ αὐτοῦ δράκων.

Δράκων παρὰ τὸ δέρκω τὸ βλέπω, ἐξ οὗ καὶ δέργματα τὰ βλέμματα.

Δράμα εἰς τὸ ὑπόδρα.

Δράγμα πληθυντικῶς δὲ λέγεται τὰ δράγματα, σημαίνει τοὺς στάχυας ὅσους δύναται ὁ θεριστὴς τῇ ἀριστερᾷ περιλαβεῖν θερίζων. εἴρηται παρὰ τὸ δράξασθαι τὸ σημαῖνον τὸ λαμβάνειν. οὕτω γὰρ δραγμὴ καλεῖται τὸ πλῆθος τῶν κερμάτων, ἢ τῶν ὀβολῶν.

Δραπέτης παρὰ τὸ δρῶ σημαῖνον τὸ ὑπηρετῶ καὶ τὸ πετῶ ῥῆμα, δραπέτης. ὅτι οἱ φεύγοντες τὴν δεσποτικὴν ὑπερησίαν ὑπὲρ τοῦ μὴ ληφθῆναι ὡς οἷοιτε εἰσι τάχος χρῶνται. Φιλόξενος ἐν β, τῶν περὶ μονοσυλλαβῶν ῥημάτων.

Δύναμις καὶ ἰσχὺς διαφέρει. ἡ μὲν γὰρ δύναμις καὶ ἀπὸ ἐπιστήμης γίνεται καὶ μανίας καὶ θυμοῦ. ἡ δὲ ἰσχὺς ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων.

Δραγμὴ σταθμὸς ὡρισμένος ἢ τὸ συνάθροισμα τῶν ἑξοβολῶν. παρὰ τὸ δέδραγμαι δραγμή. τὸ παλαιὸν γὰρ τῶν ἀνθρώπων ὀβολοῖς κεχρημένων ἀντὶ νομίσματος, ὅσον τῇ χειρὶ δραξαμένους δυνατὸν ἦν περιλαβεῖν, τοῦτο δράγμα ἐκάλουν, παρὰ τὸ δράξασθαι.

Δυὰς, παρὰ τὸ διϊέναι καὶ διαπορεύεσθαι. πρώτη γὰρ ἡ δυὰς διχώρισεν ἑαυτὴν ἀπὸ τῆς μονάδος. τῆς γὰρ μονάδος ἕνωσιν δηλούσης, ἡ δυὰς διχωρισμὸν δηλοῖ. διὸ καὶ τόλμαν αὐτὴν οἱ Πυθαγόριοι καλοῦσιν, ὡς τολμήσασαν ἐκστῆναι τῆς μονάδος καὶ ἀποφράδος, ὡς ἐπὶ κακῷ λαμβανόμενον. διὸ καὶ οἱ Ῥωμαῖοι τὸν δύο ἀποστρεφόμενον, κατ' ἀντίφρασιν αὐτὸν ὀνομάζουσι σεκοῦνδον, ὃ σημαίνει τὸν αἴσιον, ὡς ἀπαίσιον αὐτὸν ὄντα.

Δρέπανον ἐκ τοῦ δρέπω.

Δρόσος, κατὰ παράληψιν τοῦ ι, ἡ ὑπὸ διὸς ὑμένη δύοσις οὖσα [1]), καὶ πλεονασμῷ τοῦ ρ καὶ συγκοπῇ τοῦ ι δρόσος.

Δρωπακίζω, συνάγω, τρυγῶ, δρῶπα γὰρ τὰ δρέπανα.

Δραγμαῖα ἡ δραγμή· ἡ δὲ δραγμὴ σταθμός ἐστιν ὀβολῶν ἕξ· ἢ εἶδος μέτρου. αἱ δὲ χίλιαι δραγμαὶ ποιοῦσιν μνᾶν μίαν. δραγμὴ δέ ἐστιν ἡ ἔχουσα γράμματα τρία.

Δραπέτης ὁ τὸ δρᾶν, ἤγουν τὸ πράττειν πιστεύων.

Δρομαίως, τὰ εἰς ως ἐπιρρήματα καὶ διὰ τοῦ ο μικροῦ καὶ διὰ τοῦ ω μεγάλου. δρομαῖος ἐπὶ ἑνικοῦ μικρὸν, ὡς τὸ, δρομαῖος ἔθεε ὁ θύαμες. δρομαίως δὲ ἐπὶ τῶν πληθυντικῶν μέγα. ὡς τὸ, οἵδε πολέμιοι πρὸς τὸ τεῖχος ἴεσαν.

Δρόσος παρὰ τὸ ὕω τὸ βρέχω ὕος, καὶ τροπῇ τοῦ υ εἰς ο καὶ πλεονασμῷ τῶν συμφώνων. ἢ παρὰ τὸ ῥέω ῥόσος καὶ δρόσος πλεονασμῷ τοῦ δ. ἢ παρὰ τὸ Ζεὺς Διὸς καὶ τὸ σεύω τὸ ὁρμῶ, δύοσος καὶ ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ ρ δρόσος. ἢ παρὰ τὸ δρῶ τὸ πράττω καὶ τὸ σῶον, ἡ σώους δρῶσα τοὺς καρπούς. βαρύνεται τὰ εἰς ος δισύλλαβα διὰ βραχέος θηλυκοῦ βαρύνεται.

Δρύφαντα, θρύφαντα, τὸ ἀπὸ σχιδῶν σύμπηγμα.

Δροσούμενοι, δροσιζόμενοι, ἐστὶ δρόσος καὶ ἐξ αὐτου γίνεται δροσίζω καὶ δρόσω, δροσήσει, καὶ ὁ παθητικὸς δροσούμενοι.

Δρύφακτοι ξύλινοι θώρακες, πύργοι, τὰ διαφράγματα, ἢ τὰ περιτειχίσματα, ἢ αἱ τῶν δικαστηρίων θύραι, ἤγουν τὰ κάγκελλα, ἢ αἱ λεγόμεναι παρ' ἡμῖν ἄρκλαι.

Δρυφὰς, ἀμυχὴ λέξις, παρὰ τὸ δρυφῶ ὃ σημαίνει τὸ ξέω.

Δρυμὸς παρὰ τὸ δρῦς δρυὸς, καὶ τὸ δέρω τὸ ἐκδέρω· οἱ γὰρ παλαιοὶ πᾶν δένδρον δρῦν ἐκάλουν.

---

[1]) ὑπὸ διὸς ὑμένη etc. (Sic.) Erasis prioribus litteris haec lectio superscripta est. cf. Etym. M.

Δυηπαθείας ἄνευ πόνου καὶ κακοπαθείας, δυστυχίας. δύη γὰρ ἡ κακοπάθεια λύη τις οὖσα, ἡ λύουσα τὰ μέλη, ὅθεν καὶ δοῦλος, ὁ δυστυχῶς καὶ κακῶς πάσχων, δυηλός τις ὤν.

Δύμεναι κατέρχεσθαι, ἀορίστου δευτέρου καὶ μέλλοντος. τὸ ῥῆμα δῦμι, τεταρτὴ συζυγία τῶν εἰς μι. ἡ δὲ τεταρτὴ ἀπὸ τῆς ἑκτῆς τῶν βαρυτόνων, οἷον δύω, δῦμι.

Δυνάστης παρὰ τὸ δυνάζω, ὁ μέλλων δυνάσω ὁ παρακείμενος δεδύνακα, δεδύναμαι, δεδύνασαι, δεδύναται, καὶ ἐξ αὐτοῦ δυνάστης, καὶ κλίνεται, δυνάστου.

Δυναστείαις, ἡ εὐθεῖα δυναστεία, παρὰ τὸ δυναστεύω, τοῦτο παρὰ τὸ δυνάστης, τοῦτο παρὰ τὸ δύνημι.

Δύναμις, παρὰ τὸ δύω τὸ ὑπεισέρχομαι δυάμις καὶ δύναμις.

Δύνανται [1]) ἰσχύουσιν, ὑποτακτικὸν ἐκ τοῦ δύνημι, οὗ τὸ παθητικὸν δύναμαι καὶ τὸ ὑποτακτικὸν ἐὰν δύνωμαι. καὶ ὤφειλεν εἶναι προπερισπώμενον ἐὰν δυνῶμαι. ἀλλὰ κανών ἐστιν ὁ λέγων. ὅτι ἡνίκα εὑρεθῇ ὁ ἐνεστὼς τῶν εἰς μι ἐν χρήσει, τότε προπερισπᾶται τὸ ὑποτακτικὸν, οἷον τίθημι, ἐὰν τιθῶμαι, ἵστημι, ἐὰν ἱστῶμαι. ἡνίκα ὁ ἐνεστὼς, οὐχ εὑρίσκεται ἐν χρήσει, τότε προπαροξύνεται. οἷον δύνημι, ἐὰν δύνωμαι. τὸ γὰρ δύνημι οὐχ εὑρίσκεται ἐν χρήσει· λοιπὸν τὸ παθητικὸν δυνώμεθα, τὸ γ δύνωνται.

Δύο ἐπίῤῥημα ἀριθμητικὸν, γίνεται παρὰ τὸ συνδεδέσθαι ἑτέρῳ ἀριθμῷ.

Δυσαλθὲς τὸ δυσίατον, ἔστιν ὄνομα οὐδέτερον. τὸ ἀρσενικὸν ὁ δυσαλθής. γίνεται δὲ ἐκ τοῦ δὺς καὶ τὸ ἀλθῶ τὸ θεραπεύω. τοῦτο δὲ ἐκ τοῦ ἄλδω τὸ αὔξω, τὸ γὰρ ὑγιὲς αὔξεται.

Δυσκάθεκτον, ἔστιν ἔχω τὸ κρατῶ, ὁ μέλλων ἕξω, ὁ παθητικὸς παρακείμενος ἧγμαι, τὸ τρίτον ἧκται, καὶ ἐξ αὐτοῦ ἕκτος καὶ μετὰ τοῦ δὺς μορίου δυσκάθεκτος, ὁ ἀκράτητος. ἐκ δὲ τοῦ δὺς καὶ τοῦ θεὸς γίνεται δύσθεος. ἢ παρὰ τὸ κατέχω καθέξω, κάθεκτος καὶ δυσκάθεκτος, ὁ μὴ κρατούμενος.

Δύσκολος παρὰ τὸ δὺς καὶ τὸ κολλῶ, ὁ δυσκόλως τινὶ κολλώμενος.

Δυσμενὴς ὁ ἐχθρός· καὶ δυσμένεια ἡ ἔχθρα.

Δῦσις τὴν ἑσπέραν σημαίνει, παρὰ τὸ δύο τὸ ἀριθμητικὸν καὶ τὸ φῶς, παρὰ τὸ ἐν τῷ σκότῳ συνδυάζεσθαι, ἡ δῦσις, ἡ ἑσπεριὸς γῆ, παρὰ τὸ δύνειν τὸν ἥλιον ἐν αὐτῇ, ὅ ἐστι κρύπτεσθαι.

Δυῤῥάχιον πόλις νέας Ἠπείρου, ἡ πρότερον κληθεῖσα Ἐπίδαμνις, νῦν δὲ καλουμένη Δυῤῥάχιον, ὅτι κατὰ τόπον προεχούσης ἄκρας γεωλόφου τὸ κῦμα προσπίπτον καὶ σχιζόμενον, ῥαχίαν ποιεῖ μεγάλην, ὅθεν διὰ τὸ ῥαχίαν καὶ δύσορμον ἤγουν ῥῆξιν καὶ σχίσμα Δυῤῥάχιον ὠνόμασαν τὸν τόπον.

Δύσκολος οἱονεὶ δύσκολλος, ὁ δυσχερῶς τινὶ κολλώμενος καὶ συναπτόμενος, ἀπὸ τῆς συνδεούσης κόλλης. ὥσπερ ἐκ τοῦ ἐναντίου κόλαξ, κόλλαξ τὶς ὢν καὶ συνάπτεσθαι σπουδάζων.

Δύο καὶ δύω Ἀττικῶς τὸ ω μέγα. εἴρηται παρὰ τὸ διϊέναι, μόνη γὰρ πρῶτον διίσταται ἀπὸ τῆς μονάδος, ὅθεν οἱ Πυθαγορικοὶ τόλμαν αὐτὴν εἶπον δύο.

Δύω, σημαίνει τὸν ἀριθμὸν καὶ τὸ ἐνδύσασθαι ἱματίον. Ὅμηρος· ὄφρ' ἂν ἐγὼ δύω κατὰ τεύχεα Πηλείωνος. ἀπὸ τοῦ δέω τὸ δεσμῶ, ὡς χέω χύω, καὶ ἐν συνθέσει ἐνδύω, ἔνδυσις. δοκεῖ γὰρ δεδέσθαι τῇ ἐσθῆτι.

Δύω παρὰ τὸ συνδεδέσθαι ἑτέρῳ ἀριθμῷ καὶ γράφεται διὰ τοῦ υ ψιλοῦ καὶ διφορεῖται. ὅτι γὰρ βαρύνεται, γράφεται διὰ τοῦ υ ψιλοῦ καὶ τοῦ ο μικροῦ κοινῶς ὅτε δὲ γράφεται διὰ διφθόγγου ὀξύνεται. καὶ διὰ τοῦ ω μεγάλου Ἀττικῶς. γίνεται δὲ τὸ δοιὼ τὸ διὰ διφθόγγου, ὡς τὸ δοιαὶ μὲν Μενελάῳ, καὶ ἔστι κατὰ διάλεκτον. ἐν δοιῇ δὲ σαωσέμεν ἢ ἀπόλεσθαι, ἐκ τοῦ δύω τὸ διὰ τοῦ υ ψιλοῦ, πλεονασμῷ τοῦ ο καὶ τροπῇ τοῦ υ εἰς ι. καὶ εἰς τὸ ἄδυτα.

Δυσμενὴς πολέμιος, ἐχθρὸς, παρὰ τὸ δὺς μόριον καὶ τὸ μένος ὃ σημαίνει τὴν δύναμιν. καὶ εἰς τὸ ἐχθρός.

Δυσπειθὴς ὁ ἄπιστος, ἀπειθοῦς διαφέρει. δυσπειθὴς μὲν γάρ ἐστιν, ὃς δυσχερῶς δέχεται τὸν πιστὸν λόγον. ἀπειθὴς δὲ ὃς ἀποκρούεται, καὶ οὐδ' ὅλως πείθεται.

Δύστηνος ὁ δυστυχής, παρὰ τὸ στένω καὶ τὸ δὺς ἐπίῤῥημα καὶ ἐν ἐκτάσει δύστηνος, καὶ ἀποβολῇ τοῦ σ. ὁ ἀεὶ κακῶς σθένων. τὸ δ' αὐτὸ καὶ ἄστηνος. τοῦ α ἐπίτασιν σημαίνοντος.

Δυσφορώτατον παρὰ τὸ δὺς καὶ τὸ φορὰ, ὃ σημαίνει τὸ βάρος.

Δυσφόρος εἰς τὸ ἀσύφηλος καὶ ἀφροδιτή.

Δυσωπῶ παρὰ τὸ δὺς ἐπίῤῥημα, ὃ σημαίνει τὸ πολὺ, καὶ τὸ ὄπτω τὸ βλέπω, ὁ τὸ πρόσωπον βλέπων καὶ παρακαλῶν. γράφεται διὰ τοῦ ω μεγάλου, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω. ὦπα γὰρ ὁ ὀφθαλμὸς διὰ τοῦ ω μεγάλου.

Δώδεκα, παρὰ τὸ δύο δέκα, τὸ υ καὶ ο εἰς ω κραθέντων γέγονε δώδεκα.

Δωδέκατος παρὰ τὸ δύο καὶ τὸ δέκα, γίνεται δυοδέκατος καὶ κατὰ κρᾶσιν δωδέκατος.

Δῴησοι, ἔστι δίδωμι, ἡ μετοχὴ δοὺς δόντος, καὶ τὸ εὐκτικὸν δοιὴν, καὶ ἐπαυξήσει τοῦ ο εἰς ω δῴην, μετὰ τοῦ ι προσγεγραμμένου.

Δῶμα ὁ οἶκος, παρὰ τὸ δομῶ τὸ οἰκοδομῶ, τὸ δὲ δομῶ παρὰ τὸ δέμω, τὰ γὰρ εἰς ω λήγοντα ῥήματα βαρύτονα τῷ ε παραληγόμενα, ἡνίκα περισπασθῶσι τρέπει τὸ ε εἰς ο.

Δώματι ἡ εὐθεῖα δῶμα, παρὰ τὸ δομῶ δομήσω, δόμημα, καὶ ἐν ὑπερβιβασμῷ δόημα καὶ δῶμα, τοῦ μακροῦ εἰς μακρὸν τραπέντος.

Δὼς ὄνομα θηλυκόν· ἔστι δὲ ἄκλιτον. ἐπειδὴ τὰ εἰς ως θηλυκὰ πρωτοσύλλαβα κύρια εἰσὶ καὶ περισπώμενα. ἐπειδὴ δὲ τὸ δὼς θηλυκὸν ὂν, οὐκ ἔστι κύριον οὐδὲ περισπώμενον, ἀλλὰ μᾶλλον ὀξύνεται, τούτου χάριν ἔμεινεν ἄκλιτον.

Δὼς παρὰ τὸν δώσω μέλλοντα, καὶ ἀποβολῇ τοῦ ω. δεῖ γινώσκειν ὅτι ἐν τοῖς θηλυκοῖς ἀκλιτόν ἐστι τὸ δὼς ὃ σημαίνει τὴν δόσιν. οἷον, δὼς ἀγαθὴ, ἅρπαξ δὲ κακὴ θανάτοιο δότειρα. ἄκλιτον δέ ἐστιν, ἐπειδὴ τὰ εἰς ως θηλυκὰ πρωτοσύλλαβα περισπῶνται καὶ κύρια εἰσίν, οἷον ἡ Κῶς, τῆς Κῶ. ἐπειδὴ τὸ δὼς θηλυκὸν ὂν ἐγράφη οὐκ ἔστι κύριον ἀλλ' ὀξύτονον, τούτου χάριν ἐστιν ἄκλιτον [2]).

Δῶρον παρὰ τὸ δῶ, δῶόν τι ὄν. καὶ ἐν πλεονασμῷ τοῦ ρ δῶρον, τὸ διδόμενον. Ὅμηρος.

---

1) L. δύνωνται. 2) corrupta.

Δ ῷ σ ι, παρέχουσι. δίδωμι ὁ μέλλων δώσω, ὁ β ἀόριστος ἔδων καὶ τὸ ὑποτακτικὸν ἐὰν δῶ, τὸ δεύτερον δῷς, τὸ τρίτον δῷ, καὶ πλεονασμῷ τῆς σι συλλαβῆς, ἐὰν δῷσι, ὡς παρ' ἔχῃ ἔχῃσι, ἐὰν εἴπῃ εἴπῃσι, τρίτα πρόσωπα εἰσί.

Δ ῷ ς ἐκ τοῦ δίδωμι ὑποτακτικοῦ, χρόνου ἀορίστου β καὶ μέλλοντος. ὁ β ἀόριστος ἔδων καὶ τὸ ὑποτακτικὸν ἐὰν δῶ, δῷς, δῷ, καὶ κατ' ἐπέκτασιν τῆς σι συλλαβῆς δῷσι. τὸ πληθυντικὸν ἐὰν δῶμεν, ἐὰν δῶτε ἐὰν δῶσι.

Δ ω τ ὴ ρ, ὁ δώτης, ἀπὸ τοῦ δοτὴρ, τοῦ ο ἐκταθέντος εἰς ω, δωτήρ.

Δ ω τ ί ν η ἡ δωρεὰ, ἀπὸ τοῦ δώσω μέλλοντος γέγονε δωσίνη, καὶ κατὰ τροπὴν τοῦ σ. εἰς τ δωτίνη. ἢ ἀπὸ τοῦ δέδοται γέγονε δοτὶς, καὶ ἐκεῖθεν δοτίνη διὰ τοῦ ο. καὶ τροπῇ τοῦ ο εἰς ω δωτίνη. καὶ σημαίνει τὴν δωρέαν.

Δ ω τ ί ν η εἴτε ξείνων, δόσις ἔστι παρὰ τὸν δώσω μέλλοντα δωσίνη καὶ κατὰ τροπὴν τοῦ σ εἰς τ δωτίνη. Ἀλέξανδρος δὲ σύνθετον εἶναι τὴν λέξιν, παρὰ τὴν δόσιν τίνειν, ἵν' ᾖ ἡ ἀποτινομένη δόσις.

Δ ω τ ί ν η ἡ δωρέα, καὶ Ὅμηρος δώη.

Τέλος τοῦ Δ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ε ΣΤΟΙΧΕΙΟΥ.

Τὸ Ε θαυμάσαιμι τῆς ὀνομασίας· τήν τε γὰρ ἐπέκτασιν καὶ τὸ κυκλοτερὲς τοῦ αἰῶνος ἐν τῷ ἰδίῳ τύπῳ δηλοῖ. ἐπέκτασιν μακρὰν ἔχον· κυκλοτερὲς δὲ τὸ περὶ τὴν μακρὰν πέριξ, ὅτι τοῦ ὄντος αἰῶνος μιμεῖται πέριξ.

Ἕ δασυνόμενον καὶ ἐγκλινόμενον δηλοῖ ἀντωνυμίαν τρίτου προσώπου, πτώσεως αἰτιατικῆς τῶν ἑνικῶν, αὐτόν· ἢ ἓ μέγαν περ ἐόντα. ὀρθοτονούμενον δὲ πάλιν τρία δηλοῖ ἑαυτόν· καλέον δὲ μὶν εἰς ἓ ἕκαστος.

Ἐ α εἰς τὸ ἑορτη.

Ἔ α ρ, ἔω τὸ πέμπω, ἐν ᾧ οἱ καρποὶ πέμπονται. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἔα ὀρούειν.

Ε α ἐνεστῶτος παρατατικοῦ, προστακτικοῦ ἐνεργητικοῦ, ἀπὸ τοῦ ἐῶ δευτέρας συζυγίας τῶν περισπωμένων.

Ἔ α, τὰ ἀγαθὰ, τὰ εἰς ἄνεσιν καὶ διάχυσιν ἡμᾶς φέροντα.

Ἐ α ν ὸ ς σημαίνει δύο, τὸ ἱμάτιον, παρὰ τὸ ἕννυσθαι, ὅταν δὲ εἴπῃ, ἑανοῦ κασσιτέροιο, τοῦ εὐχύτου καὶ ἁπαλοῦ λέγει.

Ἑ ά λ ω ἐλήφθη, αἰχμαλωτίσθη. ἔστι ῥῆμα ἀλῶ ὃ σημαίνει τὸ πορθῶ. ἐξ αὐτοῦ παράγωγον εἰς μι ἄλωμι, ὁ μέλλων ἀλώσω, ὁ β ἀόριστος ἥλων, τὸ τρίτον ἥλω, καὶ διαλύσει τοῦ η εἰς ε καὶ α ἑάλω.

Ἑ ά λ ω, ἐπλανήθη, παρὰ τὸ στέρησιν ἔχειν τοῦ ἄλω· οἱ γὰρ πλανώμενοι, οὐχ ὡς θέλουσι, τυγχάνουσιν.

Ἑ α ν ὸ ν, τὸ ἐνδυτήριον πέπλον. παρὰ τὸ ἕσσεσθαι, τὸ ἐνδύσασθαι.

Ε α ν ο ῦ λεπτοῦ ἱματίου, παρὰ τὸ ἕννυσθαι, ὅ ἐστιν ἐνδύεσθαι. ἔστιν ἔω τὸ ἐνδύομαι. ἑανὸς τὸ α μακρὸν καὶ βραχὺ, κατὰ ποιητικὴν ἄδειαν γένους ἀρσενικοῦ.

Ε α δ ό τ α, παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι, ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα, ὁ μέσος ἧδα, καὶ διαλύσει ἕαδα, ἡ μετοχὴ ἑαδότα.

Ἔ α ρ, ἀπὸ τοῦ τὰ συνερχόμενα τῷ χειμῶνι καὶ μεμυκότα τότε προϊέναι καὶ αὔξεσθαι. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἔα ἀρούειν. καὶ εἰς τὸ ἔαρ. τὸ ε ψιλὸν, καὶ πάντα τὰ τοιαῦτα, στέαρ, φρέαρ, κέαρ, ἔαρ.

Ἕ α τ α ι, ἐκ τοῦ ἦν τοῦ ὑπῆρχον· ῥῆμα τῶν εἰς μι, παθητικὸν ἐνεστὼς· εἰώθασιν οἱ ποιηταὶ ἐπὶ τοῦ κεῖνται καὶ ἧνται ποιεῖν, ὡς ἀπὸ περισπωμένων τὸ Ἰωνικὸν ἕαται γὰρ ἐστι καὶ κράσει ἧμαι, ἧται καὶ ἧνται, καὶ Ἰωνικῶς ἕαται. ὁ κανὼν. οἱ μέν τοι ἀπὸ περισπωμένων φύσει μακροῦ παραληγόμενοι ταύτην συστέλλουσι πρὸ τοῦ α τ α ι. οὕτω κεῖνται κέαται, καὶ πλεονασμῷ τοῦ ι κείαται.

δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει [1]· καὶ εἰς τὸ εἴαται.

Ἑ α υ τ ὴ, ἐμὲ, σὲ, ἑ καὶ τὸ αὐτὴ γίνεται ἑαυτή· ἐπειδὴ ἀνέλαβον τοῦ προαρνετικοῦ φωνηεντὸς πνεῦμα.

Ἑ α υ τ ο ὺ ς καὶ ἀλλήλους, διαφέρει. τὸ μὲν γὰρ ἑαυτοὺς ἐπὶ τῶν καθ' ἑαυτοὺς λεγομένων τάσσεται. οἷον, Αἴας, ὁ Τελαμώνιος καὶ Μενικὲς ὁ Κρέων ἑαυτοὺς ἀπέκτειναν, τουτ' ἔστιν ἑκάτερος ἑαυτόν· τὸ δὲ ἀλλήλους ἐπὶ τῶν συμπεπλεγμένων, οἷον, Ἐτεοκλῆς, καὶ Πολυνείκης ἀλλήλους ἀπέκτειναν, τουτ' ἔστιν ἕτερος τὸν ἕτερον.

Ἑ β δ ο μ ή κ ο ν τ α ἐκ τοῦ ἕβδομος γέγονε. ὤφειλε γὰρ εἶναι ἑβδομόκοντα διὰ τοῦ ο μικροῦ. ἀλλ' ἐπειδὴ τὰ εἰς ο ν λήγοντα ἀριθμηθικὰ οὐ θέλουσι παραλήγεσθαι τῷ ι ἢ τῷ ο, ἐξ ἀνάγκης ἔστρεψε τὸ ο εἰς η. καὶ γέγονε ἑβδομήκοντα. ὡσαύτως καὶ ἀπὸ τοῦ ὀγδόος ὀγδοήκοντα τὸν αὐτὸν τρόπον., τὸ ἑξήκοντα ἀπὸ τοῦ ἑξὰς γέγονε ἑξήκοντα, τροπῇ Δωρικῇ τοῦ α εἰς η. τὸ δὲ ἐνενήκοντα ἀπὸ τοῦ ἐννέα ἐννεάκοντα ὤφειλεν εἶναι. ἀλλ' ἐπειδὴ ὁ πεντήκοντα καὶ οἱ λοιποὶ τῷ η παραλήγονται, τούτου χάριν κατὰ συνεκδρομὴν γέγονεν ἐκείνων, καὶ ἔστρεψε τὸ α εἰς η, ὡς ὀγδοήκοντα καὶ ἑβδομήκοντα, καὶ ἐνενήκοντα.

Ἕ β δ ο μ ο ς ἐκ τοῦ ἕπτα ἕπταμος καὶ ἕπτομος, καὶ κατὰ τροπὴν τοῦ π εἰς β καὶ τοῦ τ εἰς δ ἕβδομος.

Ἐ β ρ α γ χ ί α σ ε ν ἐκοπίασεν. ἀπὸ τοῦ βρέχω γίνεται βρόχος καὶ βρόχιον τὸ συνεχῶς βρεχόμενον, ἐξ οὗ καὶ βράχος τὸ τῆς θαλάσσης. καὶ λοιπὸν ἐκ τοῦ βρόχος γίνεται πλεονασμῷ τοῦ γ βρογχιάζω, καὶ τροπῇ τοῦ ο εἰς α βραγχιάζω καὶ ἐβραγχίασα.

Ἔ β α λ ο ν, ἀορίστου β ἐκ τοῦ βάλλω.

Ἔ β α ψ ε μὲν ὁ βαφεὺς, ἐβάψατο μὲν ὁ ἐκδούς.

Ἐ β λ ή θ η ν ἐκ τοῦ βάλλω βαλῶ, ὁ μέλλων βλήσω, ὁ ἀόριστος παθητικὸς ἐβλήθην.

Ἔ β α ν, ἀορίστου δευτέρου τῶν εἰς μι, ἀπὸ τοῦ βίβημι καὶ κατὰ συγκοπὴν καὶ συστολὴν, κατὰ Δωριεῖς καὶ Αἰολεῖς.

Ἐ ά ω ν ὁ Ἡρώδοτος, ἔων ὁ ἀγαθὸς, θεοὶ δοτῆρες ἐάων.

Ἐ γ κ έ φ α λ ο ς παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ καὶ τὸ κάρα οἷον ἐγκράνιον διὰ τὸ ἐγκεῖσθαι ἰδιώτερον τῷ κρανίῳ.

Ἐ γ κ έ φ α λ ο ς παρὰ τὸ εἶναι αὐτὸν ἔσωθεν τῆς κεφαλῆς, καὶ ἅμα τῇ κεφαλῇ.

---

1) Il. XXIV, 527.

Ἔγγονα διὰ τῶν δύο γγ σημαίνει τὰ τέκνα τῶν τέκνων. ὅτε δὲ διὰ τοῦ κ γράφεται ἔκγονα τὰ ἴδια τέκνα.

Ἔγγυος ἀνάδοχος.

Ἐγγαστρίμυθος, ἡ ἐκ τῆς γαστρὸς μαντευομένη.

Ἐγόγγυσα, ἐκ τοῦ γγύζω τὸ γογγύζω.

Ἐγγύη εἴρηται τὸ εἰς ἑαυτὸν περιάγειν καὶ λαμβάνειν ἢ σῶμα ἢ πρᾶγμα τὸ ἀπιστούμενον.

Ἐγγίζω. ἐγγὺς, τοῦτο παρὰ τὴν ἐν πρόθεσιν καὶ τὸ γῆ. κυρίως ὁ πλησίον.

Ἔγγραπτον, παρὰ τὸ γράπτω ἔγγραπτον. τοῦτο παρὰ τὸ γράφω.

Ἐγγυαλὶξ, τὸ εἰς τὸ κοῖλον τῆς χειρὸς δοῦναι. τρία γὰρ λέγεται, αἱ χεῖρες καὶ οἱ πόδες.

Ἐγγυαλίζω, ἔστι γῶ τὸ χωρῶ καὶ δέχομαι. τοῦτο κατὰ παράγωγον γύω. καὶ ἐξ αὐτοῦ γυῖα τὰ μέλη, ἔστι γοῦν γυῖον, καὶ ἄλλο παράγωγον γυίζω καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, καὶ μετὰ τῆς ἐν προθέσεως, ὡς εἴκω, εἴκιον καὶ ἐνείκιον καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἐναλίγκιον, οὕτω καὶ τοῦτο. κυρίως γὰρ λέγεται γυαλίζω τὸ εἰς χεῖρας δοῦναι τὶ καὶ παρασχεῖν, καὶ εἰς τὸ ἐγγυῶμι.

Ἐγγύη ἀναδοχὴ, ἐνίοτε ἔκδοσις γάμου. παρὰ τὸ γῶ τὸ λαμβάνω γύω, καὶ ἐγγυᾶσθαι ἐγγύη, ἐξ οὗ καὶ ἐχέγγυον.

Ἐγγυᾷ καὶ ἐγγυᾶται διαφέρει· ἐγγυᾷ μὲν γὰρ ὁ διδοὺς, ἐγγυᾶται δὲ ὁ λαμβάνων.

Ἐγγὺς ἐπίῤῥημα τοπικόν· γίνεται παρὰ τὸ γῆ καὶ τὴν ἐν πρόθεσιν, ὃ σημαίνει τὸ πλησίον. ὁ πλησιέστερος τῆς ποίας σχέσεως τῶν τοπικῶν; τῆς ἐν τόπῳ. ἢ ἐκ τοῦ ἐγγίζω, ἐγγίσω, ἐγγὺς, κατὰ τροπὴν τοῦ ι εἰς υ. ὡς ἐν τῷ Ἀφροδίτη Ἀφροδύτη, εἰώθασι γὰρ τοῦτο ποιεῖν.

Ἔγγιον, τὸ ἐγγὺς, διὰ τοῦ ι. ἐκ τοῦ ἐγγίζω. ἔγγειον δὲ τὸ ἔχον γῆν διφθόγγῳ, οἷον εὔγειον, μεσόγειον καὶ ἔγγειον· καὶ ἐχέγγυον τὸ ἀσφαλές.

Ἐγγὺς τὸ ἐπίῤῥημα, παρὰ τὴν ἐν πρόθεσιν καὶ τὴν γύην, ἣν γῆν καλοῦμεν, ἐγγὺς, ὡς ἂν εἴπῃ τὶς ἐν γῇ, ἧς οὐδὲν τῶν ἄλλων στοιχείων πλησιέστερον, ἀνθρώπῳ χερσαίῳ ὄντι.

Ἔγειρον, οἷον ἔγειρε τὴν λίθον. ἔγειραι δὲ ἀντὶ τοῦ ἐγέρθητι.

Ἐγγιῶ, τὸ παραγγέλλω, τὸ ἀντιφωνῶ καὶ οἰκειῶ· καὶ ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων.

Ἐγγυῶμι, οἷον, ἐν χέρσι φυλάττω, ὅθεν ἐγγυαλίξαι, ἐγχειρίσαι, δοῦναι.

Ἐγείρω παρὰ τὸν ἐγερῶ μέλλοντα γέγονε. οἱ Αἰολεῖς δὲ ἐγέῤῥω λέγουσι.

Ἐγκάθηται ἐπιτηρεῖ, ἐνεδρεύει, ἔστιν ἕω τὸ καθέζομαι. ἐξ αὐτοῦ παράγωγον εἰς μι ἧμι, τὸ παθητικὸν ἕεμαι ἧμαι, ἕεσαι ἧσαι, ἕεται ἧται, καὶ μετὰ τῆς ἐν καὶ τῆς κατὰ προθέσεως ἐγκάθηται. καὶ ὤφειλε μετὰ τοῦ ν γράφεσθαι, ἀλλὰ πᾶσα συλλαβὴ πρὸ τοῦ γ, ἢ κ, ἢ χ, ἢ ξ, οὐ δέχεται ν· ἀλλὰ γ, οἷον ἄγγελος, ἄγκυρα, ἔγχος, σφίγξ. διάτι ἐπὶ μὲν τοῦ η, τὰ δύο εε εἰς η μακρὸν κιρνῶνται, ἐπὶ δὲ τοῦ καίται εἰς τὴν ει δίφθογγον; ἐπειδὴ ἡ ἄρχουσα αὐτῶν ἐστιν ἡ αἰτία. τὸ μὲν γὰρ ἀπὸ συμφώνου ἄρχεται. τὸ δὲ ἀπὸ φωνήεντος. προπαροξύνονται. πᾶν παθητικὸν εἰς μαι λῆγον ἀπὸ τῶν εἰς μι κεκλημένον, ἐν τῇ συνθέσει, τρίτην ἀπὸ τέλους ποιεῖται τὴν ὀξεῖαν· οἷον κεῖμαι ἀπόκειμαι, ἧμαι κάθημαι κάθηται, καὶ μετὰ τῆς ἐν προθέσεως ἐγκάθηται.

Ἐγκαλῶ, ἔγκλησιν εἰσάγω, καὶ κατὰ δίκην.

Ἔγκατα, παρὰ τὸ ἔσω κεῖσθαι, ἢ ἀπὸ τοῦ ἐγκατέχειν τὴν τροφήν. λέγω δὲ τὸ ἧπαρ καὶ τὸν σπλῆνα, καὶ τὰ περὶ τὸν πνεύμονα. ἔντερον δὲ οὐκ ἔγκατον. τὸ δὲ ἔντερον οἷον ἕτερον ::ἢ οὐχ ὅμοιον.

Ἐγκάρσιον, πλάγιον, παρὰ τὸ κείρω ῥῆμα ὃ σημαίνει τὸ κόπτω, ὁ μέλλων κέρω Αἰολικῶς καὶ ἐξ αὐτοῦ κέρσιος καὶ ἐγκάρσιος, κατὰ τροπὴν τοῦ ε εἰς α.

Ἐγκέλαδος, πρόχειρος, ἤτοι ἦχον ἐν τῇ κινήσει τῇ πολεμικῇ ἀποτελοῦσα, ἡ ἐγκελευομένη· ἢ ἀπὸ τοῦ Ἐγκελάδου τοῦ γίγαντος· ἢ ἀπὸ τοῦ κελαδῶ τοῦ σημαίνοντος τὸ μελδῶ.

Ἐγκέφαλος παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ. τί δέ ἐστιν ἐγκέφαλος; λευκὸς καὶ μαλακὸς, ὥσπερ ἐξ ἀφροῦ τινὸς πεπηγὼς θερμὸς καὶ ὑγρός· διαφέρει δὲ μυελοῦ.

Ἐγκώμιον τὸ ἐν κώμαις ᾀδόμενον· κῶμαι δὲ τὰ τοῦ δήμου συστήματα.

Ἐγκώμιον παρὰ τὸ ἐν κώμαις ᾄδεσθαι. κώμας δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς στενοὺς τόπους καὶ τὰ ἄμφοδα. τὴν γὰρ νύκτα ἤρχοντο τινὲς καὶ ἔλεγον ὅστις ἐποίει κακὰ πράγματα· καὶ ἐκακολόγουν αὐτούς· καὶ εἰς τὸ ἔπαινος καὶ ὕμνος.

Ἐγκώμιον ὁ λόγος μεμπτικὸς, ἐνίοτε καὶ ἐπαινετικός.

Ἐγκονεῖν σπεύδειν, οἱ γὰρ σπεύδοντες κονιορτοῦνται τὰ γυμνὰ τοῦ σώματος.

Ἐγκόταφος, ἐγκρόταφος, ὁ ἀντικέφαλος.

Ἐγρεκυδοιμὸς ἡ ἐγείρουσα κυδοιμὸν τοῖς ἐναντίοις.

Ἔγρετο βαρυτόνως ἐκ τοῦ ἐγείρω. συγκοπῇ ἔγρω, ἔγρομαι, ἐγρόμην.

Ἐγρήγορθα πόθεν γίνεται, ἀπὸ τοῦ ἐγρηγορέω, ἐγρηγορήσω καὶ ἐγρηγόρηκα, καὶ ὁ μέσος παρακείμενος ἐγρήγορα. ἐνδεῖ γὰρ μίαν συλλαβὴν ἀπὸ περισπωμένων· καὶ προσθέσει τῆς θα συλλαβῆς ἐγρήγορθα.

Ἔγκτηνες οἱ Βοιωτοὶ οὕτως ὠνομάζοντο, ὥσπερ Ὕαντος, διὰ τὸ κτηνώδεις.

Ἐγρήγορος ἐκ τοῦ ἐγρηγορῶ. τοῦτο δὲ ἐκ τοῦ ἐγείρω, ὁ μέλλων ἐγερῶ. καὶ τροπῇ τοῦ ε εἰς ο ἐγορῶ. καὶ κατ᾽ ἀναδιπλασιασμὸν γρεγορῶ καὶ πλεονασμῷ τοῦ ε ἐγρεγορῶ, καὶ τροπῇ τοῦ ε εἰς η ἐγρηγορῶ.

Ἔγχελυς ὄνομα ἰχθύος, παρὰ τὴν ὕλην, ἐν ταύτῃ γὰρ λέγει τὸν ἰχθὺν ἔχεσθαι καὶ κρατεῖσθαι τοῦτον Ἀριστοφάνης ἱππεῦσιν [1]· ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πεπόνθασ᾽· ὅταν μὲν ἡ λίμνη καταστῇ λαμβάνουσιν οὐδέν. ἐὰν δ᾽ ἄνω τε καὶ κάτω τὸν βόρβορον κινοῦσιν, αἴρουσι. καὶ σὺ λαμβάνεις ἢν πόλιν ταράττῃς.

Ἐγχείησιν, ἡ εὐθεῖα ἐγχεῖα. καὶ ὤφειλε προπαροξύνεσθαι, τὰ γὰρ διὰ τοῦ εια ἐπὶ πραγμάτων τεττόμενα προπαροξύνονται, οἷον ἀμάλθεια, ἔστι δὲ ἡ αἶξ ἡ θεασαμένη [2]) τὸν Δία, καὶ ὑπέρεια. τὸ δὲ ἐγχεῖα ποιητικῶς ἐξετάθη. γίνεται ἐκ τοῦ ἔγχος ἔγχεα, ὡς ἰτέα συκέα, καὶ πλεονασμῷ τοῦ ι ἔγχεια· τὸ ει δίφθογγος, διότι ἀνεφάνη τὸ ε ἐν τῷ ἔγχεα. σημαίνει

1) v. 860. sequ. 2) (Sic.) L. θρεψαμένη.

δὲ ὄνειδος. Πολυδάμας μοι ἔπειτα ἐλεγχείην ἀναθήσει [1]). οἱ Ἀττικοὶ ἐκτείνοντες τὸ α ὡς ἐν τῷ ἱερεῖα ἐναλλαγὴν μὲν τοῦ τόνου ποιοῦσι, φυλάττουσι δὲ τὴν γραφὴν, οἷον ἐγχεῖα ἐλεγχεῖα.

Ἔγνωκα ἐκ τοῦ γνῶμι, ὁ μέλλων γνώσω, ὁ παρακείμενος ἔγνωκα.

Ἐγκύκλιον, τὸ ἁπανταχοῦ καθολικόν.

Ἐγκόμβωμα, ὁ δεσμὸς τῶν χοιριδίων, ὁ λεγόμενος ὑπὸ Ἀθηναίων, ὄχθοσβος, ὑπὸ δὲ ἄλλων κοσύμβη. εἴρηται δὲ παρὰ τὸ κόμβον. κόμβος γὰρ ὁ ὑψηλὸς τόπος, ἀφ᾽ οὗ καὶ κρυπάζειν τινὲς λέγουσι.

Ἐγχεσιμόρων, παρὰ τὰ ἔγχη μεμορηκότων πολεμικῶν.

Ἐγχειρίδιον τὸ ἐν χειρὶ μαχαίριον, ἢ παρὰ τὸ ἐν χειρὶ εἶναι, τὸ διὰ χειρὸς ἐχόμενον, πρὸς ἀντιδιαστολὴν τῶν ἐκπεμπομένων βελῶν.

Ἐγχειρίδιον σημαίνει καὶ βίβλιον μικρὸν καὶ ξίφος, παρὰ τὴν χειρὶ δοτικήν. ἢ παρὰ τὸ ἔγχει καὶ τὸ ἴδιον, οἱονεὶ τὸ ἴδιον τοῦ ἔγχους κατὰ πλεονασμὸν τοῦ ρ. ἰστέον, ὅτι αἱ ἀπὸ δοτικῆς οὐδετέρων, ἐὰν φέρηται φωνῆεν, ἢ ἓν ἁπλοῦν σύμφωνον, φυλάττεται ἡ ει δίφθογγος, οἷον, ὀρείαλος, ὁ ἐν τοῖς ὄρεσι διατρίβων, ὀρειγενὴς ὁ ἐν τῷ ὄρει γεννηθεὶς, ἠρείθυια κατ᾽ ἐπέκτασιν τοῦ ο εἰς ω. σεσημείωται τὸ ὀρίγανον. ἐὰν δὲ σύμφωνα δύο, ἰῶτα, ὀρίβριμος.

Ἔγρω καὶ ὁ παθητικὸν ἔγρομαι καὶ ὁ παθητικὸς παρατατικὸς ἐγρόμην, ἔγρου, ἔγρετο δ᾽ ἐξ ὕπνου.

Ἐγχέσπαλος ὄνομα, ἐκ τοῦ ἔγχος, καὶ τοῦ πάλλω τὸ κινῶ, διαθέσεως ἐνεργητικῆς. σημαίνει δὲ τὸν πολεμικὸν καὶ τὸν γενναῖον, παρὰ τὸ πάλλειν τὸ ἔγχος. καὶ τὰ εἰς ος σύνθετα εἰς ἐνεργείας καὶ εἰς πάθος ἀναλυόμενα δύο τόνους ἐπιδέχονται.

Ἐγχέασα εἰς τὸ κέρας, πρὸ γὰρ τοῦ εὑρηθῆναι τῶν ποτηρίων χρῆσιν εἰς κέρας ἔπινον οἱ παλαιοί.

Ἔγχος δόρυ, παρὰ τὸ ἔχω, ἔχος καὶ ἔγχος, τὸ διὰ χειρὸς φερόμενον ὅπλον.

Ἐγχρύπτουσα, προτρίβουσα, προσεγγίζουσα, προσπελάζουσα, οἱονεὶ τοῦ χρωτὸς προσαπτόμενοι, παρὰ τὸ χρὼς καὶ τὸ ἅπτω ὃ σημαίνει τὸ ἐφάπτεσθαι. ἐγχρῶ οὖν ἐγχραίω, ἐγχράμπτω καὶ ἐγχρίμπτω. ἐκβολῇ τοῦ μ, καὶ τροπῇ τοῦ ι εἰς υ.

Ἔγχει, καὶ ἔγχει ῥηξάσθω, τῷ δόρατι πληγείτω.

Ἐγὼ ἀντωνυμία πρωτότυπος, πρώτου προσώπου τῶν ἑνικῶν, πτώσεως εὐθείας.

Ἐγὼ ἀσύναρθρος, διάτι; ἐπειδὴ αἱ μὲν ἀντωνυμίαι πρῶται δεῖξιν σημαίνουσι, τὰ δὲ ἄρθρα ἀναφορὰν δηλοῦσι. ἀναφορὰ δέ ἐστιν ἐγνωσμένου καὶ ἀπόντος τινὸς ἀναπόλησις. ἡ δὲ ἀντωνυμία πρώτη δεῖξιν δηλοῖ. ἐναντία γὰρ ἡ δεῖξις ἐστι τῇ ἀναφορᾷ.

Ἐγὼν ἡ Δωριέων διάλεκτός ἐστιν, ἡ προσλαμβάνουσα τὸ ν, καὶ τὴν σὺ ἀντωνυμίαν σὺν λέγει μετὰ τοῦ ν ὅπερ προσθέσει τοῦ η γίνεται συνή. ἢ καὶ ὁ ποιητὴς ἐκκλίνων τὴν χασμωδίαν τῶν φωνηέντων εἶπε τὸ ἐγὼν μετὰ τοῦ ν.

Ἐδάην εἰς τὸ δαήρ.

Ἑδανῷ ἡδεῖ, ὅ ἐστιν εὐώδει, εὐόσμῳ, διὰ τὸ ἑδανὸς παρὰ τὸ ἥδω ἡδανὸς ἦν, καὶ κατὰ μεταβολὴν ἑδανός. τὰ γὰρ διὰ τοῦ ανος ῥηματικὰ βραχὺ θέλουσιν ἔχειν τὴν ἄρχουσαν, οἷον πραγανὸς, πιθανός, πιθανός.

Ἔδαρ εἰς τὸ ἧπαρ.

Ἔδδεισεν, ἐφόβησεν. δείω τὸ φοβοῦμαι, ἐξ δέος, ὡς κλείω τὸ δοξάζω κλέος. δείω ὁ μέλλων ὁ ἀόριστος ἔδεισα, καὶ πλεονασμῷ τοῦ δ ἔδδεισα. ἀπὸ περισπωμένου δειδῶ, δειδήσω, ἐδείδησα, ὑ… βασμῷ τοῦ δ καὶ ἀποβολῇ τοῦ η.

Ἔδει εἰς τὸ δεῖπνος καὶ χρή.

Ἐδεδέατο εἰς τὸ ξυνεδεδέατο.

Ἔδαφος ἡ γῆ ἡ καλὴ, ἢ παρὰ τὸ ἔδω, τὸ ἔδομαι, ἔδη, ἔδεται, ἐσθομένη καὶ θρυπτομένη, …ρὰ τὸ ἡδὺ, πάντα γὰρ τὰ ἐξ αὐτοῦ ἥδιστα.

Ἔδειξεν, ἀόριστος πρῶτος. σημαίνει τρία. τὴν δεῖξιν διὰ τῆς ει διφθόγγου· καὶ τὸ δάκνω διὰ καὶ τὸ βάλλω διὰ τοῦ ι. εὕρηνται ἐν δὲ τοῖς …ρισμοῖς.

Ἐδελέατρον εἰς τὸ ἀλέατρον.

Ἐδεξιοῦτο εἰς τὸ δέκτο καὶ δεξιῶ.

Ἔδεσα ἡ πόλις, πόθεν ἐκλήθη; παρὰ τὸ ἔδα… πολλάκις ὑπὸ Σκίντου τοῦ ποταμοῦ ἐδαφισθεῖσα.

Ἐδειλίασε, παρὰ τὸ δειλιῶ, τοῦτο παρὰ τὸ δει…

Ἔδεσμα ἐκ τοῦ ἔδω τὸ ἐσθίω, ὅθεν καὶ ὀδοὺς …τος. ὁ παθητικὸς ἔδομαι, τὸ γ ἔδεται καὶ κατ… καὶ ἐξ αὐτοῦ περισπώμενον ἐδῶ, ὁ μέλλων ἐδή… παρακείμενος ἤδεκα, ὁ παθητικὸς ἤδεσμαι, καὶ … τοῦ ἔδεσμα, τὸ εἰς βρῶσιν ἐπιτήδειον. καὶ εἰς τ… δάζω.

Ἔδω, τὸ ἐσθίω, μέδω, ταῦτα γὰρ διφορεῖται, … γὰρ βαρύτονα καὶ περισπώμενα, ὡς παρὰ τῷ … Δωδώνης μεδέων. ἔστι βαρύτονον ἔδω καὶ περισπ… ἐδῶ, ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα ἔδεμα, τὸ παθ… ἔδομαι, τὸ τρίτον ἔδεται, ἔδεσθαι καὶ ἀνέδεσ… μὴ ἐσθιόμενον. σεσημείωται τὸ αἰδοῦμαι γραφ… διὰ τῆς αι διφθόγγου. περισπώμενα μεδῶ, … σκεδῶ. καὶ εἰς τὸ διασκέδασον.

Ἐδήδοκα ἤσθιον παρὰ τὸ ἔδω τὸ ἐσθίω, ὁ μέσ… ρακείμενος ἦδα, καὶ ὁ Ἀττικὸς ἔδηδα, ἐξ οὗ … λέων ταῦρον ἐδηδώς. τούτου ὁ ἐνεργητικὸς παρα… νος ἦκα, ὁ Ἀττικὸς ἔδηκα. καὶ ἐπειδὴ οὐκ ἔχει … δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, … όνασεν ἡ δη συλλαβὴ, καὶ ἐγένετο ἐδήδοκα.

Ἐδητὺς ἡ εὐωχία.

Ἔδος τὸ ἔδαφος.

Ἔδνον δῶρον γάμου, παρὰ τὸ ἥδω, ἥδανον, … ἥδονται γὰρ ἐν αὐτῷ κοῦραι.

Ἔδομεν, εἰς τὸ δόσαν.

Ἐδοκίμασεν, ἐκ τοῦ δοκιμάζω, τοῦτο παρὰ τὸ δ… ὡς φρονῶ, φρονήσω, φρόνιμος. τὸ κι ἰῶτα διάτ… διὰ τοῦ ιμος παράγωγα διὰ τοῦ ι γράφεται.

Ἐδωδὴν, ἐδεδηκότες καὶ ἑστιακότες, ἤσθιον. τ… ἐνεστώτων καὶ μελλόντων κατὰ πρόσληψιν συλ… γινόμενα, διὰ τοῦ ω γράφεται, οἷον ζῶ ζωὴ, … φωνὴ, ἔδω [2]) ἐδωδὴ ἐκ τοῦ ἔδω τὸ ἐσθίω, ὁ μ… ἔδησω ὁ παρακείμενος ἦδηκα καὶ τὸ ἀττικὸν ἐδή…

Ἔδοσαν εἰς τὸ δόσαν.

Ἔδοσο εἰς τὸ ἀπέδου.

Ἕδρα εἰς τὸ ἐνέδρα, καὶ συνεδριάζω.

Ἔδραμον, ἰστέον, ὅτι τὸ ἔδραμον ἀπὸ τοῦ δρέμω … ἐπεὶ τὸ ῥηματικὸν ὄνομα πιστοῦται δρόμος. ὡς … βρόμος, οὕτως οὖν καὶ δρέμω δρόμος. ὁ δὲ Ἡρα…

1) Il. XXII, 100.

2) ἔδω et reliqua ſemper cum ſpiritu denſo.

φητίν, ὅτι δύναται εἶναι ἀπὸ τοῦ δραμῶ περισπωμένου· ἐξ οὗ καὶ Μένανδρος. δεδράμηκά σοι δρόμον, οἷον οὐδεὶς πώποτε. καὶ ὄνομα ῥηματικὸν δράμημα.

Ἕδνα. τὰ οἱονεὶ ἕδρα, τὰ εἰς τὴν ἕδραν τῆς νύμφης διδόμενα ὑπὸ τοῦ μνηστῆρος.

Ἕδρα ἡ καθέδρα εἴρηται παρὰ τὸ ἕζω. σημαίνει δὲ δύο, τὴν ξύλινον καθέδραν, εἴτε τις τύχῃ· καὶ τὸν ἀφεδρῶνα τοῦ ἀνθρώπου. καὶ εἰς τὸ ἀφεδρῶνα.

Ἐζήλωσα ἐκ τοῦ ζηλῶ, τοῦτο ἐκ τοῦ ζῆλος, τοῦτο παρὰ τὸ ζέειν ὅλως.

Ἐδωδή, ἔδω, ἔδη, διπλασιασμὸν ἐδηδὴ καὶ ἐδωδή, κατὰ τροπὴν τοῦ η εἰς ω.

Ἑδώλια ἐπὶ τῶν ναυτικῶν καθέδρων· παρὰ γὰρ τοῦ ἕζω ζυγὰ κυρίως, εἶτα τῆς νηὸς ζυγά.

Ἔθος παρὰ τὸ ἔθω, τὸ ἐξ ἔθους τι διαπράττομαι, ἐξ οὗ καὶ ἔθος [1]. ἑκάστῳ γὰρ ἔθνει ἴδιον ἔθος ἔπεται.

Ἐδρύφθη τὸ ἐξύσθη, παρὰ τὸ λεπτίζεσθαι τὴν δρῦν· ἡ μεταφορὰ ἐξ ἔρον ὄντο.

Ἔδω, εἰς τὸ ἔδεσμα, καὶ εἰς τὸ ἐδήδοκα, καὶ εἶδαρ, καὶ εὖδον, καὶ κεδάζω, καὶ κήδω, καὶ περιπέζια.

Ἐδώμ ὄνομα, καὶ σημαίνει τὴν θερμασίαν.

Ἐδων εἰς τὸ δώησοι.

Ἐείκοσι εἰς τὸ εἴκοσι.

Εἶπε, τὸ εἶπε ψιλοῦται· τὸ ε πλεονάζον πρὸ φωνήεντος, ψιλουμένου μὲν αὐτοῦ, συνψιλοῦται. οἶκα ἔοικα. δασύνεται δὲ ὥρω, ἑώρων. ὁ δὲ Ἡρωδιανὸς τὰ πλεονάσαντα φωνήεντα, ἐν λέξεσι ταῖς ἀπὸ φωνήεντος δασυνομένου ἀρχομέναις, μεταληπτικὰ γίνεται τοῦ δασέος πνεύματος· οἷον ἥνδανε, ἑήνδανε.

Ἐεισαμένη, ὁμοιωθεῖσα, εἴδω, εἴσω, ἔεισα· ψιλοῦται τὸ ε πρὸ φωνήεντος πλεονάζον καὶ τὰ ἑξῆς.

Ἐέλδωρ τὸ ἐπιθύμημα. ἔστιν ἔλδω ῥῆμα τὸ ἐπιθυμῶ, ὅπερ γέγονε ἀπὸ τοῦ ἕλκω, κατὰ μετάθεσιν τοῦ κ εἰς δ. εἰς ὃ γάρ τις ἐπιθυμεῖ, ἐκεῖ ἕλκεται. ἐκ τοῦ ἔλδω ἐέλδωρ πλεονασμῷ τοῦ ρ. ἢ παρὰ τὸ ἕλω τὸ ἑλκύω, ἐέλωρ καὶ ἔλδωρ καὶ πλεονασμῷ τοῦ ε ἐέλδωρ, παρὰ τὸ πρὸς αὐτὸν ἕλκειν τὸ ἐπιθυμούμενον.

Ἑζόμενος, καθήμενος, μετοχὴ ἐκ τοῦ ἕζω· τοῦτο δὲ ἐκ τοῦ ἕω τὸ καθέζομαι.

Ἔηκεν ἔπεμψεν, ὁ σεσημειωμένος πρῶτος ἀόριστος ὁ ἧκα· καὶ ἔστι παρὰ τὸ ἰῶ τὸ πέμπω ἵημι, ἥσω, ἧκα ὁ ἀόριστος, καὶ πλεονασμῷ τοῦ ε ἔηκα, ἔηκεν.

Ἔην, ῥῆμα ἀορίστου δευτέρου, ἦν, ὑπῆρχε. ἔστιν ἔω, ὁ μέλλων ἔσω, ὁ παρατατικὸς ἦον, τὸ δεύτερον ἦες, τὸ τρίτον ἦε, καὶ τὸ ν ἐφελκυστικὸν, καὶ κράσει ἦν· καὶ πλεονασμῷ τοῦ ε ποιητικῶς ἔην. ἔστι καὶ εἰς τὸ ἦν.

Ἑήνδανεν, ἤρεσκεν, ἔστι ῥῆμα ἀνδάνω, ὁ παρατατικὸς ἥνδανον, τὸ τρίτον ἥνδανε, καὶ κατὰ πλεονασμὸν τοῦ ε ἑήνδανε.

Ἐθαίρω ἐθαίρω τὸ ἀλοῶ, καὶ ἑταίρω τὸ φιλῶ, παρὰ τὸ ἐθαρῶ καὶ ἑταρῶ· μέλλοντα οὐκ ἔχουσι.

Ἔθειρα σημαίνει τὴν τρίχα, ἀπὸ τοῦ ἐθείρω γέγονε, οἱονεὶ ἡ ἐξ ἔθους φοιτῶσα τινί.

Ἐθελοκάκησας, ἑκουσίως τὸ κακὸν ἐκλεξάμενος.

Ἔθεν εἴδους πρωτοτύπου· οἱ μὲν νέοι κατὰ διάλυσιν ποιοῦσιν ἐκ τοῦ σοῦ, σέο, σεόθεν, καὶ κατὰ συγκοπὴν καὶ ἀποβολῇ τοῦ ο ἔθεν. ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἐμὲ, σὲ, ἕ, τρίτου προσώπου, κατ' ἔκτασιν τῆς θεν.

Ἐθρόησεν, ἐφόβησεν, τὸ θέμα θρόω θροήσω. ὁ ἀόριστος ἐθρόησα, τὸ γ ἐθρόησε. τοῦτο δὲ παρὰ τὸ θρόος. ἐξ αὐτοῦ γίνεται θροΐζω, ἤγουν τὸ ἐκπλήττω, οὗ ὁ μέλλων θροήσω, ὁ παρακείμενος τεθρόηκα, ὁ παθητικὸς τεθρόϊσμαι καὶ τεθροϊσμένος. ἐκ δὲ τοῦ θρόος μετὰ τοῦ στερητικοῦ α ἄθροος, ἐκ τοῦ θορῶ τὸ πηδῶ, τοῦτο παρὰ τὸ θέρω τὸ θερμαίνω.

Εἶ ὑπάρχει τὸ σὺ εἶ ἐκ τοῦ ἔσομαι, τοῦ παθητικοῦ ἐστι τὸ δεύτερον ἔσῃ· καὶ τὰ παρ' ἡμῖν γραφόμενα δεύτερα πρόσωπα παθητικὰ διὰ τοῦ η, παρὰ τοῖς Ἀττικοῖς διὰ τῆς ει διφθόγγου· εἰς τὸ ἐκείνην αὐτὴν καὶ γίνεται εἶ.

Εἰ ὁ συναπτικὸς σύνδεσμος διὰ τῆς ει διφθόγγου. αἰ λέγουσιν οἱ Δωριεῖς, καὶ ἔθος ἔχουσι, τὸ ε εἰς α τρέπειν. τρέχω, τράχω, Ἄρτεμις Ἄρταμις, οὕτως εἰ αἰ.

Εἰαμένη, ἀπὸ τοῦ ῥέω ῥειαμένη, καὶ κατ' ἀποβολὴν τοῦ ρ, εἰαμένη. σημαίνει δὲ τὸν κάθυγρον τόπον.

Εἶαρ διὰ τῆς ει διφθόγγου. ἀπὸ τοῦ ἕω τοῦ σημαίνοντος τὸ ἐκπέμπω γίνεται ἔαρ. τότε γὰρ ἐκπέμπονται οἱ καρποί. καὶ κατὰ πλεονασμὸν τοῦ ι εἶαρ.

Εἰαρινὸς, ἐαρινὸς, τὸ ει διφθόγγῳ διότι; ἐκ τοῦ ἔαρ ἔαρος, καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ ι εἰαρινός.

Εἴασκεν συγχώρει, ἀπὸ τοῦ ἐῶ, ἐᾷς, ἐᾷ, ὁ παρατατικὸς εἴων, εἴας καὶ Ἰωνικῶς εἴασκε.

Εἰαμένη ὁ ἔνυλος καὶ βοτανώδης τόπος. εἴρηται δὲ εἰαμένη οἱονεὶ ῥειαμένη τὶς οὖσα, ὁ καταρρεόμενος τόπος, κατ' ἀφαίρεσιν τοῦ ρ. ἢ γέγονε ἀπὸ τοῦ ἡμενὴ ἡ ὁμαλή. δεξάμενος δεξαμένη, ἀρκεσσάμενος ἀρκεσσαμένη. εἶτα κατὰ διάλυσιν τοῦ η εἰς ε καὶ α ἐαμένη, ὡς ἧλως, ἀλωὴ [2] ἤνασσεν ἐάνασσεν. καὶ πλείστοις ἐάνασσε λαοῖς, Ἀλκαῖος, κατὰ πλεονασμὸν τοῦ ι εἰαμένη, ἡ τῶν βοτάνων αὐτόματος· ἢ ἐξ ἧς ἴονται αἱ νομαί.

Εἴβει, διὰ τῆς ει διφθόγγου, ἐκ τοῦ λείβω, λείβεις. πλεονάζει τὸ λ, καὶ ἀποβολῇ τοῦ λ εἴβει. τὸ δ' λείβω διὰ τῆς ει διφθόγγου ἐν τῷ λ στοιχείῳ μαθησόμεθα.

Εἰδυῖα, κυρίως ἡ μετοχὴ εἰδυῖα.

Εἰ δὲ καὶ εἰ μὲν οἱ σύνδεσμοι ἴδε.

Εἴγε τὸ εἰ ἄρθρον συντακτικὸν, καὶ τὸ γε σύνδεσμος παρασυναπτικός.

Εἴδω τὸ βλέπω, εἴδω τὸ γινώσκω, εἴδω τὸ ὁμοιῶ. εἰδομένη γαλόῳ. εἴδω τὸ φαίνω καὶ δοκῶ, τὸ δέ τοι κὴρ εἴδεται εἶναι. εἴδω τὸ ὁρμῶ καὶ πηδῶ, εἴσατο γὰρ νήων, εἴσατο λιμνῶν· εἴδω τὸ σκοτίζω, ἐκ τοῦ ἔδος, ἔστι καὶ ῥῆμα περισπώμενον εἰδῶ, οὗ ὁ μέλλων εἰδήσω, καὶ ἐν παραγωγῇ εἰδήμων. εἴδω δὲ βαρύτονον ἐξ οὗ καὶ εἴσω καὶ εἴδμων. ἔστι δὲ ὁ ἔμπειρος.

Εἴασκεν, ἤφιεν, ἔστι γὰρ ἐῶ, ἐᾷς, ἐᾷ, ὁ παρατατικὸς εἴων, εἴας, εἴα, τοῦτο γὰρ ἔασκε ἀποβληθέντος τοῦ ι. τὸ δὲ ι ἀπεβλήθη, ἐπειδὴ τὰ τοιαῦτα ἀποβάλλουσι τὴν ἐν ἀρχαῖς κλιτικὴν, οἷον ἔτυπτον, ἔτυπτες, τύπτεσκε, ἦγον, ἦγες, ἄγεσκε. καὶ ἀπὸ τούτου οὖν ἔασκε. ἔασκε εἴασκε κατὰ πρόσθεσιν τοῦ ι Ἰωνικῶς.

Εἴαται, ἕαται ἡ ὑπῆρχε, ῥῆμα παθητικὸν τῶν εἰς μι Ἰωνικῶς. οἱ μέντοι ἀπὸ περισπωμένων φύσει μακρὰ παραληγόμενοι, ταύτην συστέλλουσι πρὸ τοῦ αται εἰς

1) (Sic) F. ἔθνος. 2) F. ἦλων, ἐάλων, vel ηλώ, ἐάλω. v. Etym. M. p. 307. 12.

δὲ ὄνειδος. Πολυδάμας μοὶ ἔπειτα ἐλεγχείην ἀναθήσει [1]). οἱ Ἀττικοὶ ἐκτείνοντες τὸ α ὡς ἐν τῷ ἱερεῖα ἐναλλαγὴν μὲν τοῦ τόνου ποιοῦσι, φυλάττουσι δὲ τὴν γραφὴν, οἷον ἐγχεῖα ἐλεγχεῖα.

Ἔγνωκα ἐκ τοῦ γνῶμι, ὁ μέλλων γνώσω, ὁ παρακείμενος ἔγνωκα.

Ἐγκύκλιον, τὸ ἁπανταχοῦ καθολικόν.

Ἐγκόμβωμα, ὁ δεσμὸς τῶν χοιριδίων, ὁ λεγόμενος ὑπὸ Ἀθηναιων, ὄχθοσβος, ὑπὸ δὲ ἄλλων κοσύμβη. εἴρηται δὲ παρὰ τὸ κόμβον. κόμβος γὰρ ὁ ὑψηλὸς τόπος, ἀφ᾽ οὗ καὶ κρυπάζειν τινὲς λέγουσι.

Ἐγχεσιμόρων, παρὰ τὰ ἔγχη μεμορηκότων πολεμικῶν.

Ἐγχειρίδιον τὸ ἐν χειρὶ μαχαίριον, ἢ παρὰ τὸ ἐν χειρὶ εἶναι, τὸ διὰ χειρὸς ἐχόμενον, πρὸς ἀντιδιαστολὴν τῶν ἐκπεμπομένων βελῶν.

Ἐγχειρίδιον σημαίνει καὶ βίβλιον μικρὸν καὶ ξίφος, παρὰ τὴν χειρὶ δοτικήν. ἢ παρὰ τὸ ἔγχει καὶ τὸ ἴδιον, οἱονεὶ τὸ ἴδιον τοῦ ἔγχους κατὰ πλεονασμὸν τοῦ ρ. ἰστέον, ὅτι αἱ ἀπὸ δοτικῆς οὐδετέρων, ἐὰν φέρηται φωνῆεν, ἢ ἓν ἁπλοῦν σύμφωνον, φυλάττεται ἡ ει δίφθογγος, οἷον, ὀρείαλος, ὁ ἐν τοῖς ὄρεσι διατρίβων, ὀρειγενὴς ὁ ἐν τῷ ὄρει γεννηθεὶς, ἠρείθυια κατ᾽ ἐπέκτασιν τοῦ ο εἰς ω. σεσημείωται τὸ ὀρίγανον. ἐὰν δὲ σύμφωνα δύο, ἰῶτα, ὀρίβριμος.

Ἔγρω καὶ ὁ παθητικὸν ἔγρομαι καὶ ὁ παθητικὸς παρατατικὸς ἐγρόμην, ἔγρου, ἔγρετο δ᾽ ἐξ ὕπνου.

Ἐγχέσπαλος ὄνομα, ἐκ τοῦ ἔγχος, καὶ τοῦ πάλλω τὸ κινῶ, διαθέσεως ἐνεργητικῆς. σημαίνει δὲ τὸν πολεμικὸν καὶ τὸν γενναῖον, παρὰ τὸ πάλλειν τὸ ἔγχος. καὶ τὰ εἰς ος σύνθετα εἰς ἐνεργείας καὶ εἰς πάθος ἀναλυόμενα δύο τόνους ἐπιδέχονται.

Ἐγχέασα εἰς τὸ κέρας, πρὸ γὰρ τοῦ εὑρηθῆναι τῶν ποτηρίων χρῆσιν εἰς κέρας ἔπινον οἱ παλαιοί.

Ἔγχος δόρυ, παρὰ τὸ ἔχω, ἔχος καὶ ἔγχος, τὸ διὰ χειρὸς φερόμενον ὅπλον.

Ἐγχρύπτουσα, προτρίβουσα, προσεγγίζουσα, προσπελάζουσα, οἱονεὶ τοῦ χρωτὸς προσαπτόμενοι, παρὰ τὸ χρὼς καὶ τὸ ἅπτω ὃ σημαίνει τὸ ἐφάπτεσθαι. ἐγχρῶ οὖν ἐγχραίω, ἐγχράμπτω καὶ ἐγχρίμπτω. ἐκβολῇ τοῦ μ, καὶ τροπῇ τοῦ ι εἰς υ.

Ἔγχει, καὶ ἔγχει ῥηξάσθω, τῷ δόρατι πληγείτω.

Ἐγὼ ἀντωνυμία πρωτότυπος, πρώτου προσώπου τῶν ἑνικῶν, πτώσεως εὐθείας.

Ἐγὼ ἀσύναρθρος, διάτι; ἐπειδὴ αἱ μὲν ἀντωνυμίαι πρῶται δεῖξιν σημαίνουσι, τὰ δὲ ἄρθρα ἀναφορὰν δηλοῦσι. ἀναφορὰ δέ ἐστιν ἐγνωσμένου καὶ ἀπόντος τινὸς ἀναπόλησις. ἡ δὲ ἀντωνυμία πρώτη δεῖξιν δηλοῖ. ἐναντία γὰρ ἡ δεῖξις ἔστι τῇ ἀναφορᾷ.

Ἐγὼν ἡ Δωριέων διάλεκτός ἐστιν, ἡ προσλαμβάνουσα τὸ ν, καὶ τὴν σὺ ἀντωνυμίαν σὺν λέγει μετὰ τοῦ ν ὅπερ προσθέσει τοῦ η γίνεται συνή. ἢ καὶ ὁ ποιητὴς ἐκκλίνων τὴν χασμωδίαν τῶν φωνηέντων εἶπε τὸ ἐγὼν μετὰ τοῦ ν.

Ἐδάην εἰς τὸ δαήρ.

Ἑδανῷ ἡδεῖ, ὅ ἐστιν εὐώδει, εὐόσμῳ, διὰ τὸ ἑδανὸς παρὰ τὸ ἥδω ἡδανὸς ἦν, καὶ κατὰ μεταβολὴν ἑδανός. τὰ γὰρ διὰ τοῦ ανος ῥηματικὰ βραχὺ θέλουσιν ἔχειν τὴν ἄρχουσαν, οἷον πραγανὸς, παγανὸς, πιθανός.

Ἔδαρ εἰς τὸ ἧπαρ.

Ἔδδεισεν, ἐφόβησεν. δείω τὸ φοβοῦμαι, ἐξ οὗ καὶ δέος, ὡς κλείω τὸ δοξάζω κλέος. δείω ὁ μέλλων δείσω, ὁ ἀόριστος ἔδεισα, καὶ πλεονασμῷ τοῦ δ ἔδδεισα. ἢ ὡς ἀπὸ περισπωμένου δειδῶ, δειδήσω, ἐδείδησα, ὑπερβιβασμῷ τοῦ δ καὶ ἀποβολῇ τοῦ η.

Ἔδει εἰς τὸ δεῖπνος καὶ χρή.

Ἐδεδέατο εἰς τὸ ξυνεδεδέατο.

Ἔδαφος ἡ γῆ ἡ καλὴ, ἢ παρὰ τὸ ἔδω, τὸ ἐσθίω, ἔδομαι, ἔδη, ἔδεται, ἐσθομένη καὶ θρυπτομένη, ἢ παρὰ τὸ ἡδὺ, πάντα γὰρ τὰ ἐξ αὐτοῦ ἥδιστα.

Ἔδειξεν, ἀόριστος πρῶτος. σημαίνει τρία. τὴν ἀπόδειξιν διὰ τῆς ει διφθόγγου· καὶ τὸ δάκνω διὰ τοῦ η, καὶ τὸ βάλλω διὰ τοῦ ι. εὕρηνται ἐν δὲ τοῖς ἐπιμερισμοῖς.

Ἐδελέατρον εἰς τὸ ἀλέατρον.

Ἐδεξιοῦτο εἰς τὸ δέκτο καὶ δεξιῶ.

Ἔδεσα ἡ πόλις, πόθεν ἐκλήθη; παρὰ τὸ ἔδαφος ἡ πολλάκις ὑπὸ Σκίντου τοῦ ποταμοῦ ἐδαφισθεῖσα.

Ἐδειλίασε, παρὰ τὸ δειλιῶ, τοῦτο παρὰ τὸ δειλός.

Ἔδεσμα ἐκ τοῦ ἔδω τὸ ἐσθίω, ὅθεν καὶ ὀδοὺς ὀδόντος. ὁ παθητικὸς ἔδομαι, τὸ γ ἔδεται καὶ κατέδεται, καὶ ἐξ αὐτοῦ περισπώμενον ἐδῶ, ὁ μέλλων ἐδήσω, ὁ παρακείμενος ἤδεκα, ὁ παθητικὸς ἤδεσμαι, καὶ ἐξ αὐτοῦ ἔδεσμα, τὸ εἰς βρῶσιν ἐπιτήδειον. καὶ εἰς τὸ σκεδάζω.

Ἔδω, τὸ ἐσθίω, μέδω, ταῦτα γὰρ διφορεῖται, εἰσὶ γὰρ βαρύτονα καὶ περισπώμενα, ὡς παρὰ τῷ ποιητῇ, Δωδώνης μεδέων. ἔστι βαρύτονον ἔδω καὶ περισπώμενον ἐδῶ, ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα ἔδεμα, τὸ παθητικὸν ἔδομαι, τὸ τρίτον ἔδεται, ἔδεσθαι καὶ ἀνέδεσθαι τὸ μὴ ἐσθιόμενον. σεσημείωται τὸ αἰδοῦμαι γραφόμενον διὰ τῆς αι διφθόγγου. περισπώμενα μεδῶ, πεδῶ, σκεδῶ. και εἰς τὸ διασκέδασον.

Ἐδήδοκα ἤσθιον παρὰ τὸ ἔδω τὸ ἐσθίω, ὁ μέσος παρακείμενος ἦδα, καὶ ὁ Ἀττικὸς ἔδηδα, ἐξ οὗ καὶ τὸ λέων ταῦρον ἐδηδώς. τούτου ὁ ἐνεργητικὸς παρακείμενος ἦκα, ὁ Ἀττικὸς ἔδηκα. καὶ ἐπειδὴ οὐκ ἔχει ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, ἐπλεόνασεν ἡ δη συλλαβὴ, καὶ ἐγένετο ἐδήδοκα.

Ἐδητὺς ἡ εὐωχία.

Ἔδος τὸ ἔδαφος.

Ἕδνον δῶρον γάμου, παρὰ τὸ ἥδω, ἥδανον, ἕδανον. ἥδονται γὰρ ἐν αὐτῷ κοῦραι.

Ἔδομεν, εἰς τὸ δόσαν.

Ἐδοκίμασεν, ἐκ τοῦ δοκιμάζω, τοῦτο παρὰ τὸ δόκιμος, ὡς φρονῶ, φρονήσω, φρόνιμος. τὸ κι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιμος παράγωγα διὰ τοῦ ι γράφεται.

Ἐδωδὴν, ἐδοδηκότες καὶ ἑστιακότες, ἤσθιον. τὰ ἀπὸ ἐνεστώτων καὶ μελλόντων κατὰ πρόσληψιν συλλαβῆς γινόμενα, διὰ τοῦ ω γράφεται, οἷον ζῶ ζωὴ, φῶ φωνὴ, ἔδω [2]) ἐδωδὴ ἐκ τοῦ ἔδω τὸ ἐσθίω, ὁ μέλλων ἐδήσω ὁ παρακείμενος ἤδηκα καὶ τὸ ἀττικὸν ἐδήδοκα.

Ἔδοσαν εἰς τὸ δόσαν.

Ἔδοσο εἰς τὸ ἀπέδου.

Ἕδρα εἰς τὸ ἐνέδρα, καὶ συνεδριάζω.

Ἔδραμον, ἰστέον, ὅτι τὸ ἔδραμον ἀπὸ τοῦ δρέμω ἐστιν, ἐπεὶ τὸ ῥηματικὸν ὄνομα πιστοῦται δρόμος. ὡς βρέμω βρόμος, οὕτως οὖν καὶ δρέμω δρόμος. ὁ δὲ Ἡρωδιανὸς

1) Il. XXII, 100. 2) ἕδω et reliqua semper cum spiritu denso.

θαντὶν, ὅτι δύναται εἶναι ἀπὸ τοῦ δραμῶ περισπωμένου· ἐξ οὗ καὶ Μένανδρος. δεδράμηκά σοι δρόμον, οἷον οὐδεὶς πώποτε. καὶ ὄνομα ῥηματικὸν δράμημα.

Ἕδνα. τὰ οἱονεὶ ἕδρα, τὰ εἰς τὴν ἕδραν τῆς νύμφης διδόμενα ὑπὸ τοῦ μνηστῆρος.

Ἕδρα ἡ καθέδρα εἴρηται παρὰ τὸ ἕζω. σημαίνει δὲ δύο. τὴν ξύλινον καθέδραν, εἴτε τις τύχῃ· καὶ τὸν ἀφεδρῶνα τοῦ ἀνθρώπου. καὶ εἰς τὸ ἀφεδρῶνα.

Ἐζήλωσα ἐκ τοῦ ζηλῶ, τοῦτο ἐκ τοῦ ζῆλος, τοῦτο παρὰ τὸ ζέειν ὅλως.

Ἐδωδή, ἔδω, ἔδη, διπλασιασμὸν ἐδηδὴ καὶ ἐδωδὴ, κατὰ τροπὴν τοῦ η εἰς ω.

Ἐδώλια ἐπὶ τῶν ναυτικῶν καθέδρων· παρὰ γὰρ τοῦ ἕζω ζυγὰ κυρίως, εἶτα τῆς νηὸς ζυγά.

Ἔθος παρὰ τὸ ἔθω, τὸ ἐξ ἔθους τι διαπράττομαι, ἐξ οὗ καὶ ἔθος [1]). ἑκάστῳ γὰρ ἔθνει ἴδιον ἔθος ἕπεται.

Ἐδρύφθη τὸ ἐξύσθη, παρὰ τὸ λεπτίζεσθαι τὴν δρῦν· ἢ μεταφορὰ ἐξ ἔρου ἔντο.

Ἔδω, εἰς τὸ ἔδεσμα, καὶ εἰς τὸ ἐδήδοκα, καὶ εἶδαρ, καὶ εὗδον, καὶ κεδάζω, καὶ κήδω. καὶ περιπέζια.

Ἐδὼμ ὄνομα, καὶ σημαίνει τὴν θερμασίαν.

Ἔδων εἰς τὸ δώησει.

Ἐείκοσι εἰς τὸ εἴκοσι.

Εἶπε, τὸ εἶπε ψιλοῦται· τὸ ε πλεόναζον πρὸ φωνήεντος, ψιλουμένου μὲν αὐτοῦ, συνψιλοῦται. οἶκα ἔοικα. δασύνεται δὲ ὥρω, ἑώρων. ὁ δὲ Ἡρωδιανὸς τὰ πλεονάσαντα φωνήεντα, ἐν λέξεσι ταῖς ἀπὸ φωνήεντος δασυνομένου ἀρχομέναις, μεταληπτικὰ γίνεται τοῦ δασέος πνεύματος· οἷον ἥνδανε, ἑήνδανε.

Ἐεισαμένη, ὁμοιωθεῖσα, εἴδω, εἴσω, ἔεισα· ψιλοῦται τὸ ε πρὸ φωνήεντος πλεόναζον καὶ τὰ ἑξῆς.

Ἐέλδωρ τὸ ἐπιθύμημα. ἔστιν ἔλδω ῥῆμα τὸ ἐπιθυμῶ, ὅπερ γέγονε ἀπὸ τοῦ ἕλκω, κατὰ μετάθεσιν τοῦ κ εἰς δ. εἰς ὃ γάρ τις ἐπιθυμεῖ, ἐκεῖ ἕλκεται. ἐκ τοῦ ἔλδω ἐέλδωρ πλεονασμῷ τοῦ ρ. ἢ παρὰ τὸ ἕλω τὸ ἑλκύω, ἐέλωρ καὶ ἔλδωρ καὶ πλεονασμῷ τοῦ ε ἐέλδωρ, παρὰ τὸ πρὸς αὐτὸν ἕλκειν τὸ ἐπιθυμούμενον.

Ἑζόμενος, καθήμενος, μετοχὴ ἐκ τοῦ ἕζω· τοῦτο δὲ ἐκ τοῦ ἕω τὸ καθέζομαι.

Ἔηκεν ἔπεμψεν, ὁ σεσημειωμένος πρῶτος ἀόριστος ὁ ἧκα· καὶ ἔστι παρὰ τὸ ἰῶ τὸ πέμπω ἵημι, ἥσω, ἧκα ὁ ἀόριστος, καὶ πλεονασμῷ τοῦ ε ἔηκα, ἔηκεν.

Ἔην, ῥῆμα ἀορίστου δευτέρου, ἦν, ὑπῆρχε. ἔστιν ἕω, ὁ μέλλων ἔσω, ὁ παρατατικὸς ἦον, τὸ δεύτερον ἦες, τὸ τρίτον ἦε, καὶ τὸ ν ἐφελκυστικὸν, καὶ κράσει ἦν· καὶ πλεονασμῷ τοῦ ε ποιητικῶς ἔην. ἔστι καὶ εἰς τὸ ἦν.

Ἑήνδανεν, ἤρεσκεν, ἔστι ῥῆμα ἁνδάνω, ὁ παρατατικὸς ἥνδανον, τὸ τρίτον ἥνδανε, καὶ κατὰ πλεονασμὸν τοῦ ε ἑήνδανε.

Ἐθαίρω ἐθείρω τὸ ἀλοῶ, καὶ ἑταίρω τὸ φιλῶ, παρὰ τὸ ἐθαρῶ καὶ ἑταρῶ· μέλλοντα οὐκ ἔχουσι.

Ἔθειρα σημαίνει τὴν τρίχα, ἀπὸ τοῦ ἐθείρω γέγονε, οἱονεὶ ἡ ἐξ ἔθους φοιτῶσα τινί.

Ἐθελοκάκησας, ἑκουσίως τὸ κακὸν ἐκλεξάμενος.

Ἕνθεν εἴδους πρωτοτύπου· οἱ μὲν νέοι κατὰ διάλυσιν ποιοῦσιν ἐκ τοῦ σοῦ, σέο, σεόθεν, καὶ κατὰ συγκοπὴν καὶ ἀποβολῇ τοῦ ο ἕθεν. ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἐμὲ, σὲ, ἕ, τρίτου προσώπου, κατ' ἔκτασιν τῆς θεν.

Ἐθρόησεν, ἐφόβησεν, τὸ θέμα θρόω θροήσω. ὁ ἀόριστος ἐθρόησα, τὸ γ ἐθρόησε. τοῦτο δὲ παρὰ τὸ θρόος. ἐξ αὐτοῦ γίνεται θροΐζω, ἤγουν τὸ ἐκπλήττω, οὗ ὁ μέλλων θροήσω, ὁ παρακείμενος τεθρόηκα, ὁ παθητικὸς τεθρόϊσμαι καὶ τεθροϊσμένος. ἐκ δὲ τοῦ θρόος μετὰ τοῦ στερητικοῦ α ἄθροος, ἐκ τοῦ θορῶ τὸ πηδῶ, τοῦτο παρὰ τὸ θέρω τὸ θερμαίνω.

Εἶ ὑπάρχει τὸ σὺ εἶ ἐκ τοῦ ἔσομαι. τοῦ παθητικοῦ ἐστὶ τὸ δεύτερον ἔῃ· καὶ τὰ παρ' ἡμῖν γραφόμενα δεύτερα πρόσωπα παθητικὰ διὰ τοῦ η, παρὰ τοῖς Ἀττικοῖς διὰ τῆς ει διφθόγγου· εἰς τὸ ἐκείνην αὐτὴν καὶ γίνεται εἶ.

Εἰ ὁ συναπτικὸς σύνδεσμος διὰ τῆς ει διφθόγγου. αἰ λέγουσιν οἱ Δωριεῖς, καὶ ἔθος ἔχουσι, τὸ ε εἰς α τρέπειν. τρέχω, τράχω, Ἄρτεμις Ἄρταμις, οὕτως εἰ αἰ.

Εἰαμένη, ἀπὸ τοῦ ῥέω ῥειαμένη, καὶ κατ' ἀποβολὴν τοῦ ρ, εἰαμένη. σημαίνει δὲ τὸν κάθυγρον τόπον.

Εἶαρ διὰ τῆς ει διφθόγγου. ἀπὸ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ἐκπέμπω γίνεται ἔαρ. τότε γὰρ ἐκπέμπονται οἱ καρποί. καὶ κατὰ πλεονασμὸν τοῦ ι εἶαρ.

Εἰαρινὸς, ἐαρινὸς, τὸ ει διφθόγγῳ διότι; ἐκ τοῦ ἔαρ ἔαρος, καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ ι εἰαρινός.

Εἴασκεν συγχώρει, ἀπὸ τοῦ ἐῶ, ἐᾷς, ἐᾷ, ὁ παρατατικὸς εἴων, εἴας καὶ Ἰωνικῶς εἴασκε.

Εἰαμένη ὁ ἔνυλος καὶ βοτανώδης τόπος. εἴρηται δὲ εἰαμένη οἱονεὶ ῥειαμένη τις οὖσα, ὁ καταῤῥεόμενος τόπος, κατ' ἀφαίρεσιν τοῦ ρ. ἢ γέγονε ἀπὸ τοῦ ἡμένη ἡ ὁμαλή. δεξάμενος δεξαμένη, ἀρκεσσάμενος ἀρκεσσαμένη. εἶτα κατὰ διάλυσιν τοῦ η εἰς ε καὶ α ἐαμένη, ὡς ἦλως, ἀλωή [2]) ἤνασσεν ἐάνασσεν. καὶ πλείστοις ἐάνασσε λαοῖς, Ἀλκαῖος, κατὰ πλεονασμὸν τοῦ ι εἰαμένη. ἡ τῶν βοτάνων αὐτόματος· ἢ ἐξ ἧς ἴονται αἱ νομαί.

Εἴβει, διὰ τῆς ει διφθόγγου, ἐκ τοῦ λείβω, λείβεις. πλεονάζει τὸ λ, καὶ ἀποβολῇ τοῦ λ εἴβει. τὸ δ' λείβω διὰ τῆς ει διφθόγγου ἐν τῷ λ στοιχείῳ μαθησόμεθα.

Εἴδυια, κυρίως ἡ μετοχὴ εἰδυῖα.

Εἰ δὲ καὶ εἰ μὲν οἱ σύνδεσμοι ἴδε.

Εἴγε τὸ εἰ ἄρθρον συντακτικὸν, καὶ τὸ γε σύνδεσμος παρασυναπτικός.

Εἴδω τὸ βλέπω, εἴδω τὸ γινώσκω, εἴδω τὸ ὁμοιῶ. εἰδομένη γαλόῳ. εἴδω τὸ φαίνω καὶ δοκῶ, τὸ δέ τοι κῆρ εἴδεται εἶναι. εἴδω τὸ ὁρμῶ καὶ πηδῶ, εἴσατο γὰρ νηῶν, εἴσατο λιμνῶν· εἴδω τὸ σκοτίζω, ἐκ τοῦ ἴδος, ἔστι καὶ ῥῆμα περισπώμενον εἰδῶ, οὗ ὁ μέλλων εἰδήσω, καὶ ἐν παραγωγῇ εἰδήμων. εἴδω δὲ βαρύτονον ἐξ οὗ καὶ εἴσω καὶ εἴδμων. ἔστι δὲ ὁ ἔμπειρος.

Εἴασκεν, ἤφιεν, ἔστι γὰρ ἐῶ, ἐᾷς, ἐᾷ, ὁ παρατατικὸς εἴων, εἴας, εἴα, τοῦτο γὰρ ἔασκε ἀποβληθέντος τοῦ ι. τὸ δὲ ι ἀπεβλήθη, ἐπειδὴ τὰ τοιαῦτα ἀποβάλλουσι τὴν ἐν ἀρχαῖς κλιτικήν. οἷον ἔτυπτον, ἔτυπτες, τύπτεσκε, ἦγον, ἦγες, ἄγεσκε. καὶ ἀπὸ τούτου οὖν ἔασκε· ἔασκε εἴασκε κατὰ πρόσθεσιν τοῦ ι Ἰωνικῶς.

Εἴαται, ἕαται ἢ ὑπῆρχε, ῥῆμα παθητικὸν τῶν εἰς μι Ἰωνικῶς. οἱ μέντοι ἀπὸ περισπωμένων φύσει μακρὰ παραληγόμενοι, ταύτην συστέλλουσι πρὸ τοῦ αται εἰς

---

1) (Sic.) P. ἔθνος. 2) P. ἦλων, ἐάλω, vel ηλω, ἑάλω. v. Etym. M. p. 307. 22.

τὴν ὀφειλομένην συλλαβήν· ἕημι, τὸ παθητικὸν ἕεμαι, ἧμαι, ἥμην, ἥμεθα, ἧνται. καὶ τὸ Ἰωνικὸν, ἕαται συγκοπῇ καὶ πλεονασμῷ εἵαται.

Εἶδαρ, ἡ βρῶσις διὰ τῆς ει διφθόγγου, ἀπὸ τοῦ ἔδω τοῦ σημαίνοντος τὸ ἐσθίω γέγονε ἔδαρ καὶ κατὰ πλεονασμὸν τοῦ ι εἶδαρ, καὶ κλίνεται εἴδατος.

Εἰδῇς, γνώσῃς, ὑποτακτικοῦ μέσου παρακειμένου. εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω, ὁ μέσος παρακείμενος οἶδα, ἡ μετοχὴ εἰδὼς εἰδότος, καὶ τὸ εὐκτικὸν εἰδοίμι, καὶ τροπῇ τῆς μι εἰς ην εἰδοίην. καὶ τὰ ἔχοντα τὸ εὐκτικὸν εἰς ην, περισπῶσι τὸ ὑποτακτικὸν, καὶ γίνεται εἰδῶ, εἰδῇς, εἰδῇ.

Εἶδον, ἑώρακα, ἐκ τοῦ εἴδω. τὸ εἴδω σημαίνει ς. εἴδω τὸ ὁμοιῶ· ὡς τὸ εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι [1]· εἴδω τὸ φαίνω, τὸ δέ τοι κῆρ εἴδεται εἶναι. εἴδω τὸ βλέπω, ὡς τὸ, ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα. εἴδω τὸ γινώσκω, ἔπειτα κ' αὐτὸς εἴσεται. ἔστι δὲ καὶ ἕτερον περισπώμενον, καὶ σημαίνει τὸ μανθάνω. Ἥρη μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους εἰδήσειν· καὶ ἕτερον διὰ τοῦ η, καὶ σημαίνει τὸ εὐφραίνομαι. ἐξ οὗ καὶ ἡδύς.

Εἰδυλίς, ἐπιστήμων, εἰδυῖα, Καλλίμαχος. καὶ κόσσου ὀφθαλμὸς γὰρ ἀπ' εὐθεὰς ὅσσον ἀκούει, ἢ δύλις παρὰ τὸ εἴδω τὸ γινώσκω· εἴδω εἰδυλλίς, ἠδῦλις. εἶτα παρώνυμον εἰδῦλις [2].

Εἶδος, σημαίνει τρία, τὴν μορφὴν, ὡς δή τοι εἶδος μεν ἔην κακὸς ἀλλὰ ποδώκης. σημαίνει δὲ καὶ τὸ σχῆμα, πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος. καὶ τὸ ἀπὸ γένους διαιρούμενον ὡς γενικὸν, εἰδικόν.

Εἶδος, σχῆμα, ἐκ τοῦ εἴδω, οἶδα, καὶ ἐκ τοῦ εἴδω εἶδος γέγονε, σημαίνει δὲ τὴν μορφὴν καὶ τὸ σχῆμα καὶ τὸ ἀπὸ γένους διαιρούμενον, ἵππον, ἐλαίαν καὶ τὰ ὅμοια.

Εἴδωλον, φάσμα, εἰκών. παρὰ γὰρ τὸ εἶδος, καὶ τὸν εἴδω ἐνεστῶτα ἔστιν, ἢ κατὰ τὸν ἰδεῖν ὅλον, ἢ παρὰ τὸ εἴδω τὸ ὁμοιῶ.

Εἴδωλα, αἱ εἰς τὸ ἰδεῖν μόναι εἰκόνες, οὐ μέντοι καὶ εἰς ἄλλην αἴσθησιν.

Εἰδῶ, εἰ μὲν ἀπὸ τοῦ εἰδέναι, διὰ μόνου τοῦ ι γραπτέον. εἰ δὲ ἀπὸ τοῦ εἴδους προσλήψεται τὸ ε.

Εἶεν, ἐπίῤῥημα, ἄγε δὴ, ἢ ὕπαρχη. συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. ὥσπερ ἀπὸ τοῦ ῥέω γέγονε ῥέα. καὶ ῥεῖα ῥεία, κατὰ πλεονασμὸν τοῦ ι, οὕτω καὶ ἀπὸ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ἐκπέμπω, γέγονε ἔα, καὶ πλεονασμῷ τοῦ ι εἶα καὶ ἐκ τούτου εἶεν.

Εἶθαρ, ὃ σημαίνει τὸ εὐθέως, ἀπὸ γὰρ τοῦ εὐθὺς γέγονε εὖθαρ καὶ τροπῇ τοῦ υ εἰς ι εἶθαρ.

Εἴθε, ἀπὸ τοῦ εἰ γέγονεν εἴθε, αἴθε κατὰ Δωριεῖς, ἐπειδὴ τὸ ε εἰς α τρέπουσι.

Εἰθισμένος, ἀπὸ τοῦ ἐθίζω εἰθισμένος, κατὰ πρόσθεσιν τοῦ ι.

Εἰκάδιος, ὄνομα κύριον, ἀπὸ τοῦ εἰκὰς, εἰκάδος· τὸ δὲ εἰκὰς παρὰ τὸ εἴκοσι.

Εἰκάζω, ὁμοιῶ, ὡς παρὰ τὸ μίμω μιμάζω, οὕτω καὶ παρὰ τὸ εἴκω τὸ ὁμοιῶ εἰκάζω, εἴκασμαι, εἴκασται, εἰκαστὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἀείκαστος, καὶ πλεονασμῷ τοῦ ν ἀνείκαστος.

Τί διαφέρει εἴδωλον καὶ δείκηλον; οὐ παρὰ τὴν ἔνδειξιν, ἀλλὰ κατὰ τὴν φωνήν· γίνεται δὲ καὶ τὸ δείκηλον ὁμοίως παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. εἴκηλον καὶ δείκηλον τὸ ἄγαλμα.

τρ

Εἰδωλολα, παρὰ τὸ εἴδω τὸ ὁμοιῶ καὶ τὸ ὅλον. ὅλον μὲν ὁμοιούμενον ἀνθρώπῳ χωρὶς τῆς ψυχῆς.

Εἴδωλον καὶ ὁμοίωμα διαφέρει. τὸ μὲν γὰρ εἴδωλον οὐδεμίαν ὑπόστασιν ἔχει, τὸ δὲ ὁμοίωμα τινός ἐστιν ἴνδαλμα καὶ ἀπείκασμα. ἐπειδὴ Ἕλληνες ἀναπλάττουσι τὰς οὐχ ὑφεστώσας μορφὰς, σφίγγας, τρίτωνας, κενταύρους εἴδωλα λέγουσι, τὰ τῶν οὐχ ὑφεστώτων μιμήματα. ὁμοιώματα δὲ τὰ τῶν ὑφεστώτων εἰκάσματα, οἷον, ἡλίου, σελήνης, ἄστρων, ἀνθρώπων, θηρίων, ἑρπετῶν.

Εἰκὸς, εἰκότος, σημαίνει ἡ λέξις καὶ τὸ εὔλογον καὶ τὸ ἀκόλουθον, καὶ τὸ δίκαιον καὶ τὸ πρέπον, καὶ τὸ ἀληθὲς καὶ τὸ ἀρκοῦν.

Εἰκότως, τὸ ἀλήθως, τὸ πρεπόντως.

Εἰκὸς δὲ οὐδέτερον καὶ εἰκὼς τὸ ὁμοίωμα. καὶ ἐοικὸς καὶ ἐοικώς.

Εἰκὸς, τὸ ἀκόλουθον καὶ τὸ πρέπον. εἰκὸς τὸ ἐνίοτε καὶ συμβαῖνον, ἢ τὸ μὴ πάντως ὄν [3].

Εἰκάδιος, ὄνομα κύριον. ἔστι δὲ παρὰ τὸ εἰκάς. εἰ δὲ διὰ τῆς ει διφθόγγου γράφεται παρὰ τὸ εἰκός. Εἰκάδιος δὲ ἐκλήθη, ἐπειδὴ ἐν τῇ εἰκάδι τοῦ μηνὸς ἐγεννήθη.

Εἴκαθεν, ἀντὶ τοῦ ὑπεχώρησεν· ἀπὸ τοῦ εἴκω τὸ ὑποχωρῶ γίνεται ῥηματικὸν εἰκάθω. καὶ οὐχ, ὥς τινες ἀπὸ τοῦ ἑκὰς τοῦ σημαίνοντος τὸ πόῤῥω εἴκαθεν πλεονασμῷ τοῦ ι.

Εἴκειν, εἰς τὸ ἐπιεικής.

Εἴκελος, ὁ ὅμοιος, διὰ τῆς ει διφθόγγου. ὥσπερ παρὰ τὸ ἄγω ἄγελος καὶ ἄγγελος οὕτω καὶ ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ εἴκελος. ἐν μὲν τῇ ἁπλότητι διὰ τῆς ει διφθόγγου γράφεται, οἷον, εἴκελον ἀστεροπῇ [4]. διὰ τοῦ ι δὲ, οἷον, ἡ δ' ἀνδρὶ ἰκέλη Τρώων κατεδύσαθ' ὅμιλον [5]. ἐν δὲ τῇ συνθέσει μόνον διὰ τῆς ει διφθόγγου· οἷον θεοείκελος, ὑπνείκελος ἀνδρείκελος.

Εἰκῇ, σημαίνει τὸ ὡς ἔτυχε. διὰ τῆς ει διφθόγγου. ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ γὰρ γέγονε.

Εἴκοσιν, ἀπὸ τοῦ εἴκειν ταῖς δυσὶ δεκάσιν. ἢ ὥσπερ ἀπὸ τοῦ ἕεις γίνεται εἷς κατὰ στέρησιν τοῦ ε καὶ φυλάσσει τὴν ει δίφθογγον, οὕτω καὶ ἀπὸ τοῦ ἐείκοσι εἴκοσι. καὶ ἄλλως. πᾶς ἀριθμὸς ἐντὸς τῶν χιλίων θέλει στοιχεῖον ἔχειν ἢ φωνῆεν ἢ σύμφωνον ἐκ τῶν ἐντὸς τῆς δεκάδος. οἷον τὸ εἷς καὶ τὸ ἓν ἔχουσι τὸ ε, ὅπερ ἐκ τοῦ ἐντὸς τῆς δεκάδος ἐστι. καὶ τὸ δύο ἔχει τὸ δ· καὶ τὸ πεντήκοντα τὸ ν διὰ τοῦτον οὖν τὸν κανόνα, τὸ τρεῖς διὰ τῆς ει διφθόγγου, ἵνα ἔχει τὸ ε ἐκ τῶν ἐντὸς τῆς δεκάδος. καὶ ὁ τέσσαρα ἔχει τὸ ε καὶ τὸ α. ὁμοίως καὶ πάντες οἱ ἀριθμοί. τὸ δὲ ὀκτὼ δοκεῖ ἀντικεῖσθαι, ἐπειδὴ οὐκ ἔχει στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος σχῆ ...ει [6]· ἐπειδὴ εἰ ἦν διὰ τοῦ ι μόνου οὐκ ἔμελλεν ἔχειν τὸ στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος, ἐν δὲ τῇ συνθέσει ἀποβολῇ τοῦ ε, ὡς ἐν τῷ τρισκαίδεκα. ὅτι ἔχει στοιχεῖα τῶν ἐντὸς τῆς δεκάδος τὸ α καὶ τὸ δ καὶ τὸ ε. οἱ γὰρ Δωριεῖς τρέπουσι τὸ ε εἰς α. ἐκ τῶν ἐντὸς τῆς δεκάδος.

Εἰκοστὸς, παρὰ τὸ εἴκειν ταῖς δύο δεκάσιν, ὀξύνεται διὰ τοῦτο.

---

1) Il. III, 122. 2) Εἰδυλὶς — εἰδῦλις. Corrupta. 3) Γιxὸς, εἰκότος, σημαίνει — — καὶ τὸ μὴ πάντως ὄν. Pleraque in his corrupta. 4) Il. XIV, 386. 5) Il. IV, 86. 6) Omissa et corrupta.

Εἰκότα, εἰς τὸ ἐοικότα.

Εἴκτην, μέσου ὑπερσυντελικοῦ τρίτου προσώπου τῶν δυϊκῶν, κατὰ διάλυσιν τῆς ει διφθόγγου. τὸ θέμα ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ ἐξ οὗ καὶ εἰκών. ὁ μέσος παρακείμενος εἶκα. ὁ παρατατικὸς εἶκον. καὶ τὸ γ τῶν δυϊκῶν εἴκετον εἰκέτην, καὶ ἐν συγκοπῇ εἴκτην, καὶ διαλύσει εἴκτην. ὁ δὲ Εὐλόγιος φησί. ὁ παρατατικὸς εἶκον, ὁ παρακείμενος εἶκα, καὶ ὁ ὑπερσυντελικὸς εἴκειν, εἴκεις, εἴκει· δυϊκὸς, εἴκετον, εἰκέτην· καὶ ἐν διαλύσει τῆς ει διφθόγγου εἰκέτην, καὶ ἐν συγκοπῇ τοῦ ἐπαγομένου τούτου κ, γίνεται εἴκτην.

Εἰκυῖα. ἔστι καὶ ἀπὸ τοῦ εἴδω τὸ ὁμοιῶ καὶ ἀπὸ τοῦ εἴκω.

Εἰκῇ, ἐπίρρημα τοπικόν.

Εἴκω, εἰς τὸ ἀείκελος καὶ ἀεικὴς, καὶ ἀέκοντας καὶ αἰκίζω, καὶ εἴκτην, καὶ θεοείκελος, καὶ εἴκελος, καὶ ἕκουσα, καὶ ἱκετὴς, καὶ μοιχὸς καὶ νῖκος καὶ νικας.

Εἰκὼν, ἀπὸ τοῦ εἴκω, οὗ ἀντιπαρακείμενον τὸ ἔοικα. ὅσα γὰρ εἰς τὸ ο ἀντιπαράκεινται, τὸ ε ἔχουσιν ἐγκείμενον· τὰ δὲ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχουσι τὸ ε ἐγκείμενον [1]), οἷον λείβω λοιβὴ, ἀγείρω ἀγορὰ, εἴκω ἔοικα. οὕτω καὶ εἴκω οἶκος.

Εἰκὼν, λέγεται παρὰ τὸ ἐοικέναι τῷ ἀρχετύπῳ· ἀπὸ τοῦ εἴκω εἴρηται τοῦ σημαίνοντος τὸ ὁμοιῶ παραχθεῖσα, εἴτε ὁσίου ὁσία, εἴτε ἁγίου ἁγία. καὶ τοσοῦτον λέγουσι τὸ ἐοικὸς, ὡς καὶ τῇ τοῦ παραδείγματος ταυτίζεσθαι προσηγορία.

Εἰκὼς, παρὰ τὸ εἴκω γέγονε τὸ σημαίνοντος τὸ ὁμοιῶ, καὶ ἐοικώς.

Εἶλαρ, σημαίνει τὸ φύλαγμα καὶ φράγμα, παρὰ τὸ εἰλῶ τὸ συγκλείω. τὸ δὲ εἰλῶ παρὰ τὸ ἕλος. ἕλος δέ ἐστι τόπος διϋγρὸς ὁ συγκλειόμενος ἀπὸ δένδρων. καὶ πλεονασμῷ τοῦ ι εἴλω. ἐξ οὗ καὶ εἶλαρ, τὸ συγκεκλεισμένον. ἢ παρὰ τὸ ἐλλείπειν καὶ συνέχειν.

Εἰλήθυια, ὄνομα θεᾶς, τῶν τικτουσῶν γυναικῶν ἔφορος· ἐστὶ καὶ ἑορτή. ἀπὸ τοῦ ἐλεύθω τοῦ σημαίνοντος τὸ παραγίνομαι γέγονε ἐλεύθυια καὶ πλεονασμῷ τοῦ ι εἰλεύθυια, καὶ τροπῇ τοῦ υ εἰς ι εἰλείθυια. παρὰ τὸ ἐλεύθειν εἰς φῶς δι' αὐτῆς τὰ τικτόμενα. καὶ εἰς τὸ βηλασία.

Εἶλαρ, ἐκ τοῦ εἰλῶ, σημαίνει δὲ τὸ κατακλείω· τοῦτο παρὰ τὸ ἕλος, πλεονασμῷ τοῦ ἰῶτα.

Εἶλαρ, τὸ ὀχύρωμα· καὶ τοῦ ἕρκος ἀπὸ τοῦ ἐλεῖν.

Εἰλαπίνη, σημαίνει δὲ τὴν εὐωχίαν· διὰ τῆς ει διφθόγγου. ἐλλαπίνη γὰρ οἱ Αἰολεῖς.

Εἰλαπίνη, ἡ εὐωχία, ἀπὸ τοῦ δαψιλῶς δαπανᾶν· λάπτειν γὰρ τὸ ἐκκενοῦν, ἀφ' οὗ καὶ λαγόνες, ἐκκενώμεναι γάρ εἰσιν· ὡς πλευραὶ ἀπὸ τοῦ πληροῦσθαι.

Εἵλως, εἵλωτος, ὁ μισθωτὸς, ὁ δοῦλος. παρὰ τὸ ἑλῶ τὸ λαμβάνω ἕλως καὶ εἵλως.

Εἰλίπους, διὰ τῆς ει διφθόγγου ἡ ἄρχουσα. παρὰ γὰρ τὸ εἰλῶ εἰλήσω. ἡ δὲ δευτέρα συλλαβὴ διὰ τοῦ ι. τὰ εἰς ω λήγοντα τρισύλλαβα [2]).

Εἵλωτες. οἱ Λακεδαίμονες καὶ οἱ δοῦλοι παρὰ Ἀθηναίοις. ἀπὸ τοῦ ἕλως ἕλωτος, πλεονασμῷ τοῦ ι. ἰστέον δὲ ὅτι εἵλωτες λέγονται, οἱ μισθῷ δουλεύοντες ἐλεύθεροι, οἱ αὐτοὶ δὲ παρὰ Ἀθηναίοις θῆτες λέγονται, παρὰ Ἀργείοις γυμνῆτες, παρὰ Θεσσαλοῖς πένεται, παρὰ Κρησὶ πέλαται, παρὰ Σικυωνίοις κορυφαῖοι, παρὰ δὲ Συρακοσίοις καλλικύροι.

Εἰλίπους, παρὰ τὸ εἰλῶ εἰλήσω.

Εἴλεον, σημαίνει τὴν μαγειρικὴν τράπεζαν ἢ τὴν βασιλικήν. παρὰ γὰρ τὸ ἕλλος γέγονε ἕλεον. καὶ πλεονασμῷ τοῦ ι εἴλεον.

Εἰληθυίας, τὰς ὀδύνας μετωνυμικῶς, ὡς ἄρην τὸν σίδηρον.

Εἴλη, σημαίνει τὴν θερμασίαν, παρὰ τὸ ἕλη γέγονε κατὰ πρόσθεσιν τοῦ ι. καὶ εἰς τὸ εὔειλος, καὶ ἰλιγγιῶ [3]).

Εἰλήλουθας καὶ **εἰλήλυθας**, παρεγένου. μέσου παρακειμένου δευτέρου προσώπου. ἔστι τὸ θέμα αὐτοῦ ἐλεύθω, ἐλεύσω καὶ ὁ μέσος παρακείμενος ἤλευθα καὶ ὁ Ἀττικὸς ἐλήλυθα, πλεονασμῷ τοῦ ο Βοιωτικῶς ἐλήλουθα, καὶ παρενθέτει τῆς ει διφθόγγου εἰλήλουθα, καὶ τὸ δεύτερον εἰλήλουθας.

Εἰλημμένος, κεκρατημένος. τὸ ει διφθόγγῳ διάτι; λήβω τὸ λαμβάνω, ὁ μέλλων λήψω, ὁ παρακείμενος λέληφα, καὶ ἐκβολῇ τοῦ πρώτου λ ἔληφα, καὶ πλεονασμῷ τοῦ ι εἴληφα. ὁ παθητικὸς παρακείμενος εἴλημμαι καὶ ἡ μετοχὴ ὁ εἰλημμένος.

Εἴληχα, ἔλαχον, τὸ ει διφθόγγῳ διάτι; λήχω τὸ λαγχάνω, ὁ μέλλων λήξω, ὁ παρακείμενος λέληχα, καὶ ἐκβολῇ τοῦ πρώτου λ ἔληχα, καὶ πλεονασμῷ τοῦ ι εἴληχα, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπείληχα· ὁ παθητικὸς παρακείμενος ἐπείληγμαι, καὶ ἡ μετοχὴ ὁ ἐπειληγμένος.

Εἰληχὼς, εἰς τὸ μετειληχότα.

Εἰλιγγιᾶν, τὸ σκοτοδινιᾶν, ἀπὸ τοῦ δοκεῖν εἰλεῖσθαι πάντα. ἔστι δὲ καὶ ἔλλειψις ψυχῆς.

Εἰλιγγιῶ, ἀτονῶ, σκοτοῦμαι, ἀπὸ τοῦ εἶλιγξ εἴλιγγος, τοῦτο δὲ παρὰ τὸ ἑλίσσω ἑλίξω γίνεται ἕλιξ, καὶ πλεονασμῷ τοῦ γ ἕλιγξ· ἢ παρὰ τὸ εἰλῶ τὸ συστρέφω. δεῖ δὲ εἰδέναι, ὅτι καὶ διὰ τοῦ ἰῶτα, καὶ διὰ τῆς ει διφθόγγου γράφεται ὁ μὲν ἴλιγγος τὸ ὄνομα διὰ τοῦ ι. τὸ δὲ ῥῆμα διὰ διφθόγγου.

Εἰλιπόδεσσι, εἰλίποδας ἐπιθετικῶς τὰς βοῦς, ὅτι εἰλίσσουσι τὰς πόδας κατὰ τὴν πορείαν.

Εἰλικρινὴς, ὁ καθαρὸς καὶ ἀληθὴς, παρὰ τὸ ἕλη καὶ τὸ κρίνω. δοκεῖ παράλογος ἡ σύνθεσις, ὤφειλε γὰρ τὸ η παραλήγειν· οὐκ ἔστι δέ· ἐπειδὴ τὰ εἰς η λήγοντα θηλυκὰ συντιθέμενα μεθ' ἑτέρας λέξεως, ἢ τρέπουσι τὸ η εἰς ι ἢ φυλάττουσιν αὐτὸ, ὡς βοη βοηθος. τρέπουσι δὲ εἰς τὸ εἰλικρινής. καὶ τροπῇ τοῦ ο εἰς ι. εἰλικρινής [4]). εἰλικρινὴς γὰρ ὁ ἔχων λαμπρὰν καὶ καθαρὰν τὴν ψυχήν.

Εἰλικρινή, παρὰ τὸ κρίνω καὶ τὸ ἕλη. καὶ ὤφειλε τρέψαι τὸ η εἰς ο, ἢ φυλάξαι αὐτό. τὰ γὰρ εἰς η θηλυκὰ τρέπουσι τὸ η εἰς ο· τιμὴ Τιμόθεος, νύμφη νυμφοστόλος, ἢ φυλάξαι, οἷον, γῆ γηπόνος, βουλὴ, βουληφόρος, βοὴ βοηθός. ἔστιν οὖν εἰπεῖν, ὅτι εἰλοκρινὴς καὶ τροπῇ τοῦ ο εἰς ι εἰλικρινής.

Εἰλικρινὴς, παρὰ τὸ κρίνω καὶ τὸ ἕλη, τὸ σημαῖνον τὴν θερμασίαν, γέγονεν εἰλικρινὴς, οἱονεὶ ὁ ἐν τῇ ἕλη κεκριμένον. καὶ κατὰ πλεονασμὸν τοῦ ι εἰλικρινής. τὸ δὲ λι ἰῶτα ἀπὸ τοῦ εἰλοκρινὴς τροπῇ τοῦ ο εἰς ι. τὸ δὲ κρίω ἐκ τοῦ κρίνω.

Εἰλικρινῶς, καθαρῶς διὰ τὴν ἕλην καὶ τοῦ κρίνειν ἤγουν τὴν ἡλιακὴν ἀκτῖνα καὶ τὴν πηγήν.

Εἶλκον, διὰ τῆς ει διφθόγγου, ἕλκω γὰρ ἐνεστώς.

---

1) ὅσα γὰρ — τὸ ἐγκείμενον (Sic.)

2) τὰ εἰς ω — τρισύλλαβα (Sic). Reliqua canonis desunt.

3) (Sic.) v. εἰλιγγιᾶν in medio hujus paginae. Vid. Etym. M.

4) τρέπουσι — εἰλικρινής. Corrupta.

Εἶλον εἰς τὸ ἑλοίμεθα.

Εἰλόπεδον, εἰς τὸ θειλόπεδον.

Εἰλυφάζω τὴν φλόγα, τὸ συστρέφω ἢ σείω τοὺς ὀφθαλμοὺς, καὶ τινάσσω. παρὰ τὸ εἰλῶ καὶ τὸ φῶς. εἰλυφῶ καὶ εἰλυφάζω· τουτέστι τὸ φῶς παρέχειν.

Εἰλᾶ διὰ τῆς ει διφθόγγου, ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐλίσσω· καὶ ἐν τῷ ἐλεδανὸς, ὁ σημαίνει τὸν δεσμόν.

Εἴλω εἰς τὸ ὁμιλεῖν καὶ ἑλοίμεθα.

Εἶμα παρὰ τὸ ἕω, τὸ ἐνδύομαι, εἶμα τὸ ἱμάτιον.

Εἵμασεν ἐκ τοῦ εἶμα· τοῦτο ἐκ τοῦ ἕω τὸ ἐνδύομαι. εἶμα τὸ ἱμάτιον. τὸ ει διφθόγγῳ κατὰ διάλεκτον. οἱ γὰρ Αἰολεῖς ἔμμα λέγουσι, καὶ τὸ σπείρω σπέῤῥω, καὶ λευχείμων τὸ δὲ ἱματίζω, ἱματισμὸς καὶ ὅσα παρὰ τὸ ἱμάτιον διὰ τοῦ ι γράφεται.

Εἱμένος διὰ τῆς ει διφθόγγου, σημαίνει δὲ τὸ ἐνδεδυμένος. ἐκ γὰρ τοῦ ἔμμαι γέγονε καὶ ἀμφιέμενοι φασὶν οἱ Αἰολεῖς.

Εἵματα, ἱμάτια, ἐνδύματα. ἐκ τοῦ ἕω τὸ ἐνδύομαι, εἶκα, εἶμαι, καὶ εἵματα τὰ ἱμάτια, καὶ δασύνεται τὸ ει δίφθογγος, πρὸς ἀντιδιαστολὴν τοῦ σημαίνοντος τῆς ἡμέρας· ἤματα πάντα. καὶ εἰς τὸ ἀνειμένος καὶ λευχείμων.

Εἶμα παρὰ τὸ ἕω ῥῆμα τὸ ἐνδύω, οὗ ὁ μέλλων ἕσω, καὶ ἐσὴς καὶ πλεονασμῷ τοῦ θ ἐσθὴς τὸ ἱμάτιον.

Εἱμαρμένην τυχὴν, εἱρομένην τινὰ, εἴτ' ἐκ θεοῦ βουλήσεως εἴτ' οἵας δήποτε αἰτίας. ἢ διὰ τοῦ εἴκειν τὲ καὶ χωρεῖν ἀκωλύτως.

Εἴλυμα τὸ σκέπασμα διὰ τῆς ει διφθόγγου, παρὰ τὸ εἴλω εἰλύω, εἰλύσω καὶ ἐξ αὐτοῦ εἴλυμα.

Εἵλως εἵλωτος, ὡς μακρᾷ παραληγόμενα διὰ τοῦ τος κλίνεται· ἕλως γὰρ ἕλωτος ἦν· καὶ ὡς βραχὺ παραληγόμενον διὰ τοῦ τος ἐκλίθη. Εἵλωτες δὲ εἰσὶν οἱ κατοικοῦντες τὴν Μεσσηνιακήν.

Εἵμαρται, μείρω μερῶ μέμαρκα, μέμαρμαι, καὶ ἀποβολῇ τοῦ μ, καὶ ἐν πλεονασμῷ τοῦ ι εἵμαρται.

Εἱμαρμένη, ἡ μὲν ἄρχουσα διὰ τῆς ει διφθόγγου. ὥσπερ ἀπὸ τοῦ λήβω τὸ λαμβάνω γίνεται λέληφα καὶ εἴληφα, κατ' ἀποβολὴν τοῦ λ, καὶ πλεονασμῷ τοῦ ι. οὕτω καὶ ἀπὸ τοῦ μείρω ὅ ἐστι μερίζω, γέγονε κατ' ἀποβολὴν τοῦ μ, καὶ προσθήκῃ τοῦ ι. καὶ τὸ παθητικὸν εἵμαρμαι, καὶ ἐκεῖθεν εἱμάρμενος εἱμαρμένη.

Εἰμὶ τὸ ὑπάρχω, πρώτης συζυγίας τῶν εἰς μι, τὸ δεύτερον εἶς, τὸ τρίτον ἐστι. ὑποτακτικὸν ὦ, ᾖς, ᾖ, πληθυντικῶς ὦμεν ἦτε, ὦσι. ἦμεν ἦτε, ἦσαν· ἤμην, ἦσθα, ἦν, ὁ δεύτερος ἀόριστος.

Εἶμι, ῥῆμα ὁριστικὸν ἐνεργητικὸν, χρόνου ἐνεστῶτος τῶν εἰς μι, καὶ σημαίνει τὸ πορεύομαι. τούτου τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἴμεν, καὶ τὸ προστακτικὸν ἴθι τὸ πορεύου. καὶ τὰ λοιπὰ δῆλα.

Εἵμαρτο πόθεν γίνεται; φαμὲν ἀπὸ τοῦ μείρω τοῦ δηλοῦντος τὸ μερίζω, ὁ μέλλων μερῶ, ὁ παρακείμενος μέμαρκα, ὁ παθητικὸς μέμαρμαι, καὶ κατὰ τοὺς Ἀττικοὺς ἀποβολῇ τοῦ αὐτοῦ συμφώνου, καὶ προσελεύσει τοῦ ι, ὁ παθητικὸς παρακείμενος εἵμαρμαι, ὡς λέληφα εἴληφα καὶ λοιπόν. εἵμαρσαι τὸ δεύτερον, καὶ τὸ τρίτον εἵμαρται· ὡς κέκαρσαι κέκαρται· εἶτα ὁ ὑπερσυντελικὸς εἱμάρμην, εἵμαρσο, εἵμαρτο. ἐφθάρμην, ἔφθαρσο, ἔφθαρτο.

Εἶμεν εἰς τὸ εἰμὶ καὶ ἰσμός.

Εἶμι βαρύτονον· καὶ τὰ μὲν πληθυντικὰ διὰ τοῦ ι γράφεται, ὡς ἀπὸ τοῦ ἰῶ διὰ τοῦ ι γραφομένου. καὶ ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν ἴμεν διὰ τοῦ ι. ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ ἡ παραλήγουσα πεφύλακται. τὸ τρίτον ἴσαν. ἔστι τῶν εἰς μι τὸ τρίτον πρόσωπον ἴσι, τὸ Ἰωνικὸν ἴασι· καὶ Ὅμηρος· καί τ' ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου [1]).

Εἶμι τὸ σημαῖνον τὸ πορεύομαι ἀπὸ τοῦ εἴω γέγονε, τροπῇ τοῦ ω εἰς μι. τὸ δὲ ἵμι ἀπὸ τοῦ ἵημι γέγονε, κατ' ἀποβολὴν τοῦ η. καὶ εἰς τὸ ἴμεν, καὶ ἴθμα, καὶ ἴσαν, καὶ κάτεισι, καὶ εἶσι, καὶ ἔπεισι, καὶ εἶναι.

Εἰμὶ μέρος λόγου ῥήματος, καταλήξεως τῶν εἰς μι, ἐγκλίσεως ὁριστικῆς, διαθέσεως ἐνεργητικῆς, εἴδους παραγώγου, σχήματος ἁπλοῦ, ἀριθμοῦ ἑνικοῦ, πρώτου προσώπου τῶν ἑνικῶν, χρόνου ἐνεστῶτος, συζυγίας πρώτης τῶν εἰς μι. παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς καὶ τὸ εὐκτικὸν εἴην, τὸ πληθυντικὸν εἴημεν καὶ συγκοπῇ εἶμεν καὶ τὸ γ εἶεν. ὁ κανὼν, ὡς δὲ γίνεται κατὰ συγκοπὴν, τρεῖς δ' ἦμεν Ἀτρειδάο θυγατρὲς, εἰ μὲν ἀπὸ τοῦ εἴημεν γίνεται εἶμεν [2]), εἰ δὲ εἶμεν κατὰ συγκοπὴν τοῦ η, ὡς τὸ κοσμηθείημεν κοσμηθεῖμεν καὶ τὰ ὅμοια.

Εἶμεν ἱκέταο, ἱκετήριος ἠμί.

Εἶναι ὑπάρχειν. χρόνου ἐνεστῶτος, καὶ παρατατικοῦ ἀπαρεμφάτου τῶν εἰς μι, ἐκ τοῦ εἰμὶ, εἷς ἕντος, ἕναι καὶ πλεονασμῷ τοῦ ι εἶναι. εὑρέθη δὲ πλεονασμὸς καὶ ἐν τῷ πρώτῳ τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ, τοῖδι εἶμεν. ἔστι καὶ ἕτερον εἶναι, ἐκ τοῦ εἶμι τὸ πορεύομαι, οὗ τὸ πληθυντικὸν ἴμεν διὰ τοῦ ι. καὶ ὤφειλε τὸ ἀπαρέμφατον εἶναι, ἵνα φυλάξῃ τὴν παραλήγουσαν τοῦ πληθυντικοῦ· ἀλλὰ συνέδραμε τῷ ὁμοίῳ αὐτοῦ εἶναι, ὅπερ ἐν συνθέσει ἐξεῖναι καὶ παρεῖναι. ἔστι καὶ ἕτερον εἶναι δευτέρου ἀορίστου ἐκ τοῦ ἵημι· ὁ β ἀόριστος ἦν, καὶ ὤφειλε τὸ ἀπαρέμφατον ἕναι, διὰ τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ. καὶ ἦναι διὰ τὸ ἐκεῖθεν κανονίζεσθαι. τουτέστι τοῦ γ προσώπου τὸ η. τῶν οὖν δύο κανόνων μαχομένων, τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὸ ε, τοῦ δὲ ἑτέρου τὸ η, ἐγένετο φύλαττον τὸν μακρὸν χρόνον τοῦ η, τὴν δὲ παραλήγουσαν τοῦ ἕμεν. τοῦτο δὲ δύναται καὶ ἐν συνθέσει ἀφεῖναι καὶ καθεῖναι.

Εἶναι ὑπάρχειν, ἀπαρέμφατον διὰ τῆς ει. ἔμεναι γὰρ λέγουσιν οἱ Δωριεῖς, καὶ κατ' ἀποβολὴν τῆς με, καὶ πλεονασμῷ τοῦ ι εἶναι. ἰστέον δὲ, ὅτι ἐπὶ τῶν εἶναι ἀπαρεμφάτων τοῦ ἀορίστου, εἰώθασιν οἱ Δωριεῖς ἐπεντιθέναι τὴν ναι συλλαβήν. καὶ ἂν μὲν ὦσι δύο φωνήεντα τὸ ἓν ἀποβάλλουσιν, οἷον, δοῦναι δόμεναι, θεῖναι θέμεναι, βῆναι βήμεναι.

Εἵνατος ἐκ τοῦ ἕνατος κατὰ μεταβολὴν τοῦ ν εἰς ι. ἦν γὰρ τῶν Ἀργείων διάλεκτος μεταβάλλειν τὸ ν εἰς ι. τὸ γὰρ σπένδω σπείδω λέγουσι, καὶ τὸ ἔνδον εἶδον.

Εἰνάτηρ παρὰ τὸ εὐνὴ εὐνάτηρ, τροπῇ τοῦ υ εἰς ι.

Εἰνάτηρ ἡ σύννυμφος, καὶ Αἰολικῶς τροπῇ τῆς ει διφθόγγου εἰς η εἰνάτηρ. ἄμεινον δὲ παρὰ τὸ ἕνα ἀριθμὸν εἰνάτηρ καὶ ἐνάτηρ, ἡ ἑνομένη διὰ τῆς ἐπιγαμίας, καὶ εἰς συγγένειαν ἀχθεῖσα.

Εἵνεκα, χάριν, τὸ ι κατὰ πλεονασμόν. παρέμπτωσις, παρένθεσις, προσθήκη φωνηέντων, κατὰ τὸ μέσον οὐ

1) Il. XVI, 160. 2) F. ἦμεν. vitiola videntur.

τοιοῦντος συλλαβήν· οἷον πλέοντος πλείοντος, ἐμέο ἐμεῖο. τὸ δὲ πάθος Ἰωνικόν.

Εἵνεκα τοῦ οὕνεκα διαφέρει· τὸ μὲν οὕνεκα σημαίνει τὸ διότι, οὕνεκα καλὸν εἶδος. τὸ δὲ εἵνεκα τούτου χάριν σημαίνει.

Εἰνοσίφυλλον, παρὰ τὴν ἔνοσιν ἣ σημαίνει τὴν κίνησιν, καὶ τὸ φύλλον γίνεται ἐνοσίφυλλον, οἱονεὶ τὸ κινοῦν τὰ φύλλα, καὶ προσθέσει τοῦ ι εἰνοσίφυλλον.

Εἴξας, ὑποχωρήσας, ἢ ἐνδούς· ἀπὸ γὰρ τοῦ εἴκω εἴξω γέγονε εἶξα ὁ πρῶτος ἀόριστος ἡ μετοχὴ εἴξας.

Εἴξασιν ἀντὶ τοῦ εἴκασιν, ἐοίκασι παρὰ Ἀττικοῖς. ὥσπερ ἴσως τῶν Βοιωτῶν διαλέκτῳ ἐσχημάτισται, οὗτοι γὰρ τὸ κ εἰς ξ μετατρέπουσιν, οὕτως ἔχει καὶ τὸ, οἱ δ' ἶξον κοιλὴν Λακεδαίμονα κητόεσσαν, ὁ ἀόριστος δεύτερος. τὸ κ ἀπ' αὐτῶν [1]).

Εἷο, ἑαυτοῦ. ἔστι γὰρ ἐμοῦ, σοῦ, οὗ. καὶ αὗται αἱ γενικαὶ γίνονται κατὰ διάλυσιν, ἐμέο, σέο, ἕο. καὶ ἐπειδὴ αἱ διαλυόμεναι γενικαὶ οὐδέποτε δύο φωνήεντα ἔχουσι μακρὰ ἢ βραχέα, ἀλλὰ τὸ ἓν μακρὸν καὶ τὸ ἓν βραχὺ, Πριαμίδεω, Πηλειδέω, ὠκεανοῖο, ποταμοῖο, τούτου χάριν ἐπλεόνασε τὸ ι, ποιητικῶς καὶ ἐγένετο ἐμεῖο, σεῖο, εἷο, διὰ τῆς ει διφθόγγου.

Εἴπερ, ἐάνπερ.

Εἰπάτω, τὸ θέμα ἔπω τὸ λέγω, ὁ ἀόριστος εἶπα, εἶπας, εἶπε, καὶ τὸ προστακτικὸν εἶπον, τὸ γ εἰπάτω, καὶ ὤφειλεν εἶναι εἰπέτω. ἀλλ' ἐπεὶ πανταχοῦ ὁ ἀόριστος φιλεῖ διχρόνῳ παραλήγεσθαι [2]).

Εἴπαισαν, εἰπαίησαν. ἐκ τοῦ ἔπω τὸ λέγω, ὁ μέλλων ἔψω, ὁ ἀόριστος εἶπα, καὶ ἡ μετοχὴ εἴπας. καὶ τὸ εὐκτικὸν εἴπαιμι, τὸ β εἴπαις, τὸ γ εἴπαι, καὶ Ἀττικῇ ἐπεκτάσει εἰπαίη. καὶ ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν τρίτον πρόσωπον εἰς η λῆγον, προσθέσει τοῦ σ ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ σ εἰς ν τὸ πρῶτον πρόσωπον. γίνεται οὖν ἐξ αὐτοῦ εἰπαίην, καὶ τὸ πληθυντικὸν εἰπαίημεν, τὸ γ εἰπαίησαν, καὶ συγκοπῇ εἴπαισαν.

Εἶπον τὸ προστακτικὸν, ὡς εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ. τὸ γὰρ εἶπα διὰ τοῦ α. εἰ δὲ μετοχὴ ὁ εἰπών· οἷον ὁ θεὸς ὁ εἰπών. τί εἴπομεν, τὸ ο μικρὸν, τὸ δὲ συμβουλευτικὸν μέγα.

Εἰραφιώτης ὄνομα ἐπίθετον. ἀπὸ τοῦ ἔρραπται γέγονε εἰραφιώτης προσελθόντος τοῦ ι καὶ ἀποβληθέντος τοῦ ἑνὸς ρ. εἰραφιώτης δὲ λέγεται ὁ Διόνυσος ἀπὸ τοῦ ἔρραπται ἐν τῷ μηρῷ τοῦ Διός. ἢ ἐρέφεσθαι τοῦ σημαίνοντος τὸ στεφανοῦσθαι γέγονε εἰραφιώτης πλεονασμῷ τοῦ ι. ἢ παρὰ τὸ ἔριφος, καὶ γὰρ ὑπὸ ἐρίφων φησὶν ἀνατραφῆναι τὸν Διόνυσον, ἢ παρὰ τὸ ἐρίῳ αὐτὸν πλέκεσθαι.

Εἰραφιώτης ὁ Διόνυσος, ἀπὸ τοῦ ἐρράφθαι γέγονεν ἐρραφιώτης, καὶ τροπῇ τοῦ ἑνὸς συμφώνου ἤτοι τοῦ ρ εἰς ι εἰραφιώτης. ὡς κέρρω κείρω, φθέρρω φθείρω καὶ ἔμμι εἰμί.

Εἴρετο, ἔστι παρατατικοῦ παθητικοῦ, τρίτου προσώπου τῶν ἑνικῶν. τὸ θέμα εἴρω τὸ σημαῖνον τὸ λέγω, ἐντεῦθεν γέγονε καὶ τὸ Εἴρων τὸ κύριον ὄνομα. καὶ μειράκιον τὸ ἐπιτήδειον τοῦ λαλεῖν τρανῶς.

Εἴργω, κωλύω ἀπὸ τοῦ ἀργεῖν. ἢ ἀπὸ τοῦ ἐέργω γέγονε κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον. ἐπειδὴ ἀντιπαράκειται τῇ ὀργῇ. ἡ γὰρ ὀργὴ εἴργει τινὰ τοῦ καλῶς βουλεύεσθαι. καὶ εἰς τὸ ἄρκυς καὶ ἄρκιον, καὶ ἑκάεργος, καὶ ὅρκος, καὶ ἕλκω.

Εἴρερος ἡ δούλη, παρὰ τὸ τὴν ἔραν, ὃ σημαίνει τὴν γῆν, ἡ περὶ τὴν γῆν δούλη. ἢ παρὰ τὸ ἔριον ἔρος, καὶ ἐν διπλασιασμῷ τοῦ ρ καὶ πλεονασμῷ τοῦ ε ἔρερος. ἢ παρὰ τὸ τείρω τείρερος, καὶ ἀποβολῇ τοῦ τ εἴρερος. ἢ παρὰ τὸ εἴρω τὸ λέγω εἴρερος, κατ' αναδιπλασιασμὸν, καὶ κατ' ἀντίφρασιν. ὁ παραιτούμενος τὸ λέγειν μετὰ παῤῥησίας. δεδιπλασίασται δὲ ὡς τρόμος τέτρομος, κραγμὸς κέκραγμος. ἢ παρὰ τὸ εἴργειν καὶ τὸ εἴρειν, εἴργερος ὁ εἴργων τοῦ εἴρειν. δούλων γὰρ οὐκ ἔστι τὸ παῤῥησιάζεσθαι. ἢ παρὰ τὸ ἔῤῥειν ἔρερος καὶ εἴρερος.

Εἰρεσιώνη ἡ κωπηλασία· παρὰ τὸ ἐρέτης ἐρεσία. καὶ πλεονασμῷ τοῦ ι εἰρεσία.

Εἰρεσιώνη, δαφνὴ, ἀπὸ τοῦ αἱρέσθαι· ἢ κλάδος εὐμεγέθης, ἔχων ἐξ ἐρίων λευκῶν στεμμάτων κολλύρας καὶ ἰσχάδας, καὶ τῶν καθαρῶν ἀκροδρύων ὁρμάθους. καλεῖται δὲ οὕτως ἀπὸ τοῦ τοῖς κλάδοις ἐνῆρχθαι τὰ ἐξ αὐτῆς κρεμόμενα. ἢ ἀπὸ τῶν στεμμάτων. στέμματα γὰρ τὰ ἔρια λέγουσιν Ἀττικοί· Λυκοῦργος δὲ φησὶ ἀφορίας γενομένης, Ἀθηναίοις τοῦτο ἐπιτελεσθῆναι κατὰ χρησμόν. οἱονεὶ ἱκετηρία Ἀπόλλωνος.

Εἰρεσιωνη, πλέγμα ἀπὸ ἐρίων, συναναπεπλεγμένον κλάδῳ ἐλαίας, ἅπερ ἐτίθεσαν τῷ Ἀπόλλωνι. γίνεται δὲ παρὰ τὸ ἐρίον πλεονασμῷ τοῦ ι. ἢ ἐκ τοῦ ἐρέφεσθαι τὸ σκέπεσθαι.

Εἰρόκομος, ἡ ἐρίων ἐπιμελουμένη· ἐριοῦργος. εἶρια γὰρ τὰ ἔρια.

Εἰροκόμος, ἐκ τοῦ εἶρος ὃ σημαίνει τὸ ἔριον. ἰοδνεφὲς εἶρος ἔχουσα [3]). γίνεται ἐκ τοῦ ἔῤῥω τὸ κάμνω ἔῤῥος καὶ τροπῇ τοῦ ἀμεταβόλου ρ εἰς ι εἶρος, ὁ μετὰ ταλαιπωρίας ἐργαζόμενος. τὰ δὲ ἀπὸ ῥήματος παρηγμένα σύνθετα πρὸ μίας ἔχουσι τὸν τόνον. εἰ δὲ ἀπὸ ὀνόματος προπαροξυτόνως· οἷον ἱππόκομος.

Εἰροκομος γίνεται ἐκ τοῦ εἶρος καὶ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι. ἡ τοῖς ἐρίοις ἐπιμελουμένη.

Εἶρια, ποκάρια μαλλίων· ἀπὸ τοῦ ἔριον γέγονε εἴριον, κατὰ πλεονασμὸν τοῦ ἰῶτα.

Εἰρόποκος, ἐρίων πόκους ἔχουσα. πόκοι δὲ εἴρηνται παρὰ τὸ πείκειν, ὅ ἐστι ξέειν. ἢ ἡ τὰ ἔρια ξαίνουσα, παρὰ τὸ ἔριον καὶ τὸ πέκω τὸ ξαίνω γέγονεν ἐριόποκος, καὶ πλεονασμῷ τοῦ ι καὶ συγκοπῇ εἰρόποκος.

Ἔρεψα, ἐρέφω τὸ στεφανῶ, Ἰωνικῶς ἤρεψα καὶ ἔρεψα.

Εἰρήνη παρὰ τὸ ἠρεμεῖν τὸν νοῦν. ἢ παρὰ τὸ εἴρω τὸ λέγω, ἡ πανταχοῦ λαλουμένη. ἢ παρὰ τὸ εἴρω τὸ συμπλέκω.

Εἰρήνη παρὰ τὸ εἴρειν τὸ λέγειν ἐν αὐτῇ. εἴπερ ἄρης ὁ πόλεμος κατὰ στέρησιν τῆς ῥήσεως λέγεται. ἢ παρὰ τὸ ἐρῶ ὅ ἐστι τὸ διαλέγομαι, καὶ τὸν ῥήσω μέλλοντα.

Εἰρηνόδοτος, ὁ τὴν εἰρήνην διδούς.

Εἰρηνῶ τὸ εἰρηνοποιῶ. μεσίτης ὁ εἰρηνόποιος.

Εἴρην ὄνομα ἡλικίας. παρὰ τὸ εἴρειν τὸ λέγειν, ὁ ἤδη λέγων καὶ δημηγορῶν. καὶ γὰρ τὰς ἐκκλησίας Ὅμηρος εἴρας προσηγόρευσε. εἰράων προπάροιθε καλουμένοι. ἵν' ἢ εἴρην ὁ αὐτὸς τῷ μειρακίῳ.

Εἰρῆσθαι τὸ λελέχθαι, ἐκ τοῦ ἐρῶ τὸ λέγω.

Εἱρκτὴ ἡ φυλακὴ ἐκ τοῦ εἴργω τὸ κωλύω, οὗ ὁ μέλλων εἴρξω καὶ εἱρκτή.

---

1) οἱ — αὐτῶν. Corrupta. 2) Reliqua desunt. 3) Od. IV, 135.

Εἴρωνα, εἰς τὸ εἰρωνεύεσθαι.

Εἶρσο, εἰς τὸ ἔνερσε.

Εἰρύσασθαι, ἑλκύσειν, τὸ θέμα ἐρύω, κοινῶς ἐρύσασθαι, καὶ κατὰ πλεονασμὸν Ἰωνικὴν εἰρύσασθαι. δεῖ γινώσκειν, ὅτι ὥσπερ γέγονεν ἀρτύω ἐκ τοῦ ἀρτῶ κατὰ πλεονασμὸν τοῦ υ, καὶ ἀπὸ τοῦ μυῶ μυύω, καὶ μηνύω κατὰ πλεονασμὸν τοῦ η, οὕτω καὶ τὸ ἐρύω παρὰ τὸ ῥῶ ὃ σημαίνει τὸ ἰσχύω· ἐπενθέσει τοῦ υ ῥύω καὶ πλεονασμῷ τοῦ ε ἐρύω, οἷον, δυνάμει ἑλκύω. ἢ παρὰ τὸ ἐρῶ τὸ λέγω, ἐρύω ἐρύσω ἐρύσασθαι καὶ εἰρυσασθαι πλεονασμῷ τοῦ ἰῶτα.

Εἰρυκέναι τὸ ξίφος, ἐκ τοῦ ἐρύω τὸ ἑλκύω.

Εἰρυαται, ἑλκυσμέναι εἰσί.

Εἰρύω, το βιαιως ἐνεργῶ, ἀπὸ τούτου ἔργαθε γὰρ λχὸς, τὸ παράγωγον.

Εἶρψεν, εἰς τὸ ἐξεῖρψεν.

Εἴρω, ὃ σημαίνει τὸ λέγω, ἀπὸ τοῦ ἐρῶ μέλλοντος γέγονε. καὶ εἰς τὸ ἐνείρω καὶ, ἔνερσε, καὶ ἔριθος, καὶ ἔρις, καὶ θερμὰ, καὶ κήριον, καὶ μειράκιον, καὶ ὅρμος, καὶ σειών, καὶ σειρὰ, καὶ σείρειν, καὶ σείριος, καὶ τείρεα, καὶ τέρας.

Εἴρω, ὅτε μὲν σημαίνει τὸ λέγω ψιλοῦται. ὅτε δὲ τὸ συνάπτω καὶ συμπλέκω δασύνεται, ἀφ' οὗ καὶ εἱρμὸς καὶ ὅρμος. τὸ δὲ ὅρμος ἐκ τοῦ εἱρμός. καὶ ὅρμος σημαίνει δὲ τὸν περιτραχηλὸν κοσμὸν, ὅθεν καὶ δασύνεται.

Εἰρωνεύεσθαι, ψευδολογεῖν, χλευάζειν, ὑποκρίνεσθαι, παρὰ τὸ εἴρων, εἴρωνος εἰρωνεύω. τὸ δὲ εἴρων παρὰ τὸ εἴρω ὃ σημαίνει τὸ λέγω. ἐξ οὗ καὶ εἶρος. εἴρωνα δὲ ἐκίκλησκον· ἅπαντες τὸν ἀπατεῶνα. συντάσσεται μετὰ αἰτιατικῆς. σημαίνει δὲ εἶρον καὶ τὸν πτωχόν.

Εἴρω, σημαίνει τέσσαρα· εἴρω τὸ τύπτω ἐξ οὗ καὶ εἴρειν, ὅ ἐστι τό τύπτειν· εἴρω τὸ λέγω ἐξ οὗ καὶ εἰρήνη, καὶ εἰρωνεία, καὶ εἴρων ὁ ἀπατέων· εἴρω τὸ συμπλέκω ἐξ οὗ καὶ εἱρμός· εἴρω τὸ κουφίζω ἐξ οὗ καὶ ἀειρούμενος ὁ κουφιζόμενος.

Εἰς αὖραν, εἰς πρόθεσις, αὖρα ὄνομα. γίνεται παρὰ τὸ αὔω τὸ πνέω νῦν δὲ σημαίνει τὴν γαλήνην.

Εἰς, πρόθεσις, εἰς τὸ πρὸς ῥα.

Εἷς, παρὰ τὴν ἕσιν καὶ ἄφεσιν τοῦ μεμονωμένου ἀριθμοῦ, ἢ παρὰ τὸ ἀπολελυμένον καὶ μεμονωμένον.

Εἷς, περισπᾶται, διότι μονοσύλλαβόν ἐστι, τὰ δὲ μονοσύλλαβα ἢ ὀξύνονται ἢ περισπῶνται. διάτι τὸ εἷς περισπᾶται καὶ οὐκ ὀξύνεται; ἵνα μὴ ἀναδέξηται παρασχηματισμὸν οὐδετέρου· καὶ διάτι οὐ βαρύνεται; ἐπειδὴ οὐδὲν μονοσύλλαβον κατ' ἰδίαν βαρύνεται. διφορεῖται δὲ τὸ εἷς διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ η παρὰ Δωριεῦσιν. ὡς τὸ χαρίεις χαρίης.

Εἷς, περισπᾶται· τὰ εἰς εις ὀνόματα κοινολεκτούμενα ἔχοντα οὐδετέρου ἀνασχηματισμὸν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν. ὀνόματα εἶπε, διὰ τὰς μετοχὰς, οἷον τυφθεὶς· κοινολεκτούμενα εἶπε, διὰ τὸ εὐγενὴς καὶ εὐσεβής· οἱ γὰρ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου γράφουσιν· οὐδετέρου παρασχηματισμὸν ἔχοντα, διὰ τὸ χαρίεις χαρίεντος, τιμήεις τιμήεντος. ὀξύνεσθαι οὐκ ὤφειλε διὰ τὸν κανονα τοῦτον. βαρύνεσθαι οὐκ ὤφειλε διότι τὰ μονοσύλλαβα ἢ ὀξύνονται ἢ περισπῶνται, οὐδέποτε δὲ βαρύνονται, ἐξ ἀνάγκης περισπᾶσθαι. εἷς ἑνὸς, ὁ κανών· τὰ εἰς εις ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ντ κλίνεται. χαρίεις, χαρίεντος. τὸ δὲ εἷς ὡς μονοσύλλαβον οὐκ ἐκλίθη διὰ τοῦ ντ ἀλλὰ διὰ τοῦ ν μόνου, εἷς ἑνός. καὶ ἄλλως. τὰ εἰς εις μονοσύλλαβα ὀνόματα, ἔχοντα οὐδετέρου παρασχηματισμὸν· διὰ τοῦ ν κλίνεται. ἢ τὰ εἰς εις μονοσύλλαβα ὀνόματα ἀρσενικὰ διὰ τοῦ νος κλίνεται. οἷον, κτεὶς κτενὸς, δεὶς δενὸς, εἷς ἑνὸς, ὅπερ ἰσοδυναμεῖ τὸ τὶς, ὅπερ μετὰ τῆς ου οὐδείς, καὶ μετὰ τῆς μη μηδείς. πρόσκειται μονοσύλλαβα, διὰ τὰ ὑπὲρ δύο συλλαβὰς· οἷον χαρίεις χαρίεντος. πρόσκειται ὀνόματα, διὰ τὰς μετοχὰς τὰς μονοσυλλάβους, αὗται γὰρ διὰ τοῦ ντ κλίνονται· οἷον θεὶς θέντος, εἷς ἕντος, ἐξ οὗ καὶ τὸ ἀφεὶς ἀφέντος ὁ ἀπολύσας. πρόσκειται ἀρσενικὰ, διὰ τοῦ κλεὶς κλειδὸς θηλυκοῦ. ὁ εἷς καὶ τὸ θηλυκὸν ἀπέλειψε. δύο κανόνες εἰσὶν οἱ μαχούμενοι ἀλλήλοις. ὁ μὲν εἷς λέγει, ὅτι οἱ ἀριθμοὶ κοινοὶ θέλουσιν εἶναι. οἷον, οἱ δύο καὶ αἱ δύο, οἱ τρεῖς καὶ αἱ τρεῖς. ἢ οὕτω. τὰ ἀριθμητικὰ ὀνόματα κοινά εἰσι τῷ γένει, καὶ ὁμοφωνοῦσι τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς, οἷον οἱ πέντε καὶ αἱ πέντε, οἱ ἑπτα καὶ αἱ ἑπτα. οὕτως ὤφειλε καὶ τὸ θηλυκὸν ὁμοφωνῆσαι τῷ ἀρσενικῷ. ὁ δὲ ἕτερος λέγει, ὅτι πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη τὸ τέλος τῆς γενικῆς τρέπουσα εἰς α, τὸ θηλυκὸν ποιεῖ, καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα ἐπ' ὀνομάτων· οἷον χαρίεντος χαρίεσσα, εἷς ἕντος, καὶ ὤφειλεν εἶναι τὸ θηλυκὸν ἕσσα. τῶν οὖν δύο κανόνων μαχομένων, τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος ὁμοφωνῆσαι τῷ ἀρσενικῷ, τοῦ δὲ ἑτέρου κατὰ παρασχηματισμὸν ἀπέλειψε καὶ ἐγένετο ὡς ἀπὸ τοῦ ἴος ἀρσενικοῦ, ὁ σημαίνει τὸν μόνον, καὶ ὁ ποιητὴς, οἱ μὲν πάντες ἰῷ κίον ἤματι ἄϊδος εἴσω [1]), τὸ θηλυκὸν ἴα, καὶ πλεονασμῷ τοῦ μ μία. κλίνεται δὲ ἡ μία τῆς μίας. καὶ λέγει ὁ κανὼν περὶ τοῦ τόνου· τὸ γὰρ μίας καὶ ἴας Ἰωνικὴν ἔχει τὴν τάσιν· ἐπειδὴ κανών ἐστι ὁ λέγων περὶ τῶν εἰς α βραχυκαταλήκτων, εἰώθασιν οἱ Ἴωνες βαρύνειν τὰς λέξεις, ὡς καὶ ἡμεῖς, οἷον ἄγυια, ὄργυια, Πλάτυια, Θέσπεια· ὅταν δὲ γένηται ἡ τελευταία συλλαβὴ μακρὰ, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος. οἷον ἀγυιὰ, ὀργυιὰ, Θεσπειά. τοῦτο οὖν ἐστι τὸ εἰρημένον τῷ τεχνίτῃ· τὸ γὰρ μιᾶς καὶ ἰᾶς· ἐπειδὴ οὖν τὸ μία καὶ ἴα ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτεῖ, τούτου χάριν τῷ Ἰωνικῷ ἔθει κατεβίβασε τὸν τόνον, καὶ περισπάσθη. οἷον ἰᾶς, ἰᾷ, μιᾶς, μιᾷ, ὅθεν καὶ ἡ αἰτιατικὴ, ἐπειδὴ οὐκ ἐγένετο μακροκατάληκτος, οὐ κατεβίβασε τὸν τόνον, ἀλλὰ παροξύνεται, ὁμοιὼς τῇ εὐθείᾳ, οἷον, ἴαν καὶ μίαν. κατὰ πόσους τρόπους διαφέρει τὸ εἷς τοῦ οὐδείς; κατὰ τέσσαρα. πρῶτον ὅτι τὸ μὲν εἷς δασύνεται καὶ περισπᾶται, τὸ δὲ οὐδεὶς οὔτε δασύνεται οὔτε περισπᾶται. δεύτερον, ὅτι τὸ μὲν εἷς ἀριθμητικόν ἐστι, τὸ δὲ οὐδεὶς ἀόριστον. τρίτον, ὅτι τὸ μὲν εἷς οὔτε δυϊκὸν ἔχει οὔτε πληθυντικὸν, τὸ δὲ οὐδεὶς ἔχει καὶ δυϊκον καὶ πληθυντικόν. οἷον οὐδένες τῶν οὐδένων. τέταρτον, ὅτι τὸ μὲν εἷς ἀρσενικὸν καὶ θηλυκὸν μία· τὸ δὲ οὐδεὶς ὁμοφώνως, ἡ οὐδεὶς γάρ.

Εἷς, διὰ τῆς ει διφθόγγου, τὸ ὄνομα. τὰ γὰρ εἰς εις ἔχοντα οὐδέτερα εἰς εν διὰ τῆς ει διφθόγγου. ὁ χαρίεις χαρίεν, ἀστερόεις ἀστερόεν, οὕτως καὶ εἷς ἕν.

Εἱς ἡ μετοχὴ διὰ τῆς ει διφθόγγου, ἐξ ἧς τὸ ἀφεὶς ἀφέντος. τὰ γὰρ εἰς εις ἔχοντα τὴν γενικὴν διὰ τοῦ

1) Il. VI, 422.

εντος ἐκφερομένην, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον τυφθεὶς τυφθέντος, νυγεὶς νυγέντος, τυπεὶς τυπέντος. οὕτω καὶ εἷς ἕντος. καὶ ἀφεὶς ἀφέντος.

Εἰσάμενος, ὁμοιωθείς. δηλοῖ δὲ καὶ τὸ μανθάνειν καὶ βλέπειν. ἀπὸ τοῦ εἴδω τοῦ σημαίνοντος τὸ ὁμοιῶ, γίνεται εἴσω, εἰσάμην καὶ εἰσάμενος ἡ μετοχή.

Εἴσατο, ἔδειξεν, ἐφάνη, ἐκ τοῦ εἴδω τὸ φαίνομαι. τὸ δέ τοι κῆρ εἴδεται εἶναι. ὁ μέλλων εἴσω, ὁ ἀόριστος εἶσα, καὶ ὁ μέσος εἰσάμην καὶ τὸ εὐκτικὸν εἰσαίμην, εἴσαιο, εἴσαιτο.

Εἶσε, σημαίνει τὸ ἐκάθισε, καὶ μετὰ τῆς κατὰ προθέσεως καὶ τοῦ δὲ, κατὰ δὲ εἶσε, καδδεῖσε.

Εἰσηγήτης διδάσκαλος, πρόξενος. παρὰ τὸ εἰσάγειν.

Εἰσέφρησεν, εἰσεπήδησεν, εἰσῆλθεν.

Εἰς νέωτα ἔγραψα ἔμπροσθεν.

Εἴσῃ, γνώσῃ, μαθήσῃ, παρὰ τὸ εἴδω τὸ σημαῖνον τὸ γινώσκω. σημαίνει τὸ εἴδω ζ. εἴδω τὸ γινώσκω, μάλα δ' εἴσεται αὐτὸς, συντάσσεται μετὰ πτώσεως αἰτιατικῆς. εἴδω τὸ ὁμοιῶ συντάσσεται μετὰ δοτικῆς. εἴδω τὸ θεωρῶ συντάσσεται μετὰ πτώσεως αἰτιατικῆς. εἴδω τὸ διέρχομαι, διὰ πρὸ δὲ εἴσατο, συντάσσεται μετὰ γενικῆς. εἴδω τὸ δοκῶ, εἴσατο μὲν εἰς Λῆμνον, μετὰ αἰτιατικῆς. εἴδω τὸ φαίνω αἰτιατικῆς. εἴδω τὸ ὁρμῶ γενικῆς, ὡς τὸ, εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά.

Ἐσῄῤῥησεν εἰσεφθάρη, εἰσεπήδησεν, εἰσῆλθεν.

Εἶσι, πορεύεται, ἐκ τοῦ εἶμι. τοῦτο παρὰ τὸ ἔω τὸ πορεύομαι, καὶ πλεονασμῷ τοῦ ι εἴω, καὶ ἐξ αὐτοῦ εἴημι καὶ συγκοπῇ εἶμι. σημαίνει δὲ τὸ πορεύομαι, καὶ τὰ μὲν ἑνικὰ διὰ τῆς ει διφθόγγου γράφεται, τὰ δὲ πληθυντικὰ διὰ τοῦ ι. τὸ ἀπαρέμφατον ἴμεναι· ὁ κανών· ἄλλως τε καὶ πᾶν πληθυντικὸν ἐνεστῶτος χρόνου τροπῇ τοῦ μεν εἰς ναι τὸ ἀπαρέμφατον ποιεῖ. καὶ κατὰ συγκοπὴν ἴμεν. αἶψα δ' ἴμεν σὺν νηυσὶ κορώνισι. καὶ εἰς τὸ εἷς.

Εἰσίθμη, εἴσοδος, ἀπὸ τοῦ εἰσιέναι.

Εἴσκω, εἰκάζω, ὁμοιῶ, ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ, ὁ μέλλων εἴσω, καὶ πλεονασμῷ τοῦ κ εἴσκω. καὶ μετάγεται εἰς ἐνεστῶτα, ἐπειδὴ τὸ κ οὐκ ἔστι χαρακτηριστικὸν βαρυτόνου μέλλοντος. βαρυτόνου μέλλοντος εἶπε διὰ τὸ πλακῶ. καὶ ἐν διαλύσει ἐΐσκω. τὸ ἰῶτα διάτι; τὰ εἰς κω λήγοντα ῥήματα κοινολεκτούμενα, οὐ θέλουσιν ἔχειν ἐν τῇ παραληγούσῃ τὴν ει δίφθογγον ἐκφωνούμενον μετὰ τοῦ ι. μέλλοντα οὐκ ἔχει.

Ἐκώκυσε καὶ ἐκόκυσε διαφέρει. ἐκώκυσε μὲν τὸ ἐθρήνησεν ἐπὶ ἀνθρώπου. ἐκόκυσε δὲ ἐπὶ ὀρνέου. ἐξ οὗ καὶ κόκκυξ.

Ἑστιακότες ἐκ τοῦ ἑστία, ὃ σημαίνει τὴν οἰκίαν.

Ειστήκειν, διὰ τῆς ει διφθόγγου, παρὰ δὲ τῆς ἀρχούσης ὁ λόγος. κατὰ δὲ τὴν λήγουσαν, ὥσπερ ὁ ὑπερσυντελικὸς ἐνεργητικὸς καὶ ὁ μέσος. οἷον, ἐτετύφειν, ἐπεποιήκειν, ἐγεγράφειν, ἐνενοήκειν, ἐλελοίπειν, καὶ εἴ τι ὅμοιον. κατὰ δὲ τὴν ἄρχουσαν διὰ τῆς ει διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ ἕστηκα γέγονεν ἑστήκειν ὥσπερ καὶ ἀπὸ τοῦ ἔσταλκα ἐστάλκειν, καὶ πλεονασμῷ τοῦ ι εἱστήκειν. ἐπλεόνασε δὲ τὸ ι δι' αἰτίαν τοιαύτην. ἔστιν ὁ ἐνεστὼς ἑστήκα, ἑστήκεις, ἑστήκει, ἐξ οὗ καὶ ἑστήξω ὁ μέλλων, καὶ ὁ ποιητὴς, ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμαλίοις [1]. ἐγένετο οὖν ὁ ὑπερσυντελικὸς ἑστήκειν καὶ ἐπεὶ ἔμελλε συνεμπίπτειν κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τῷ ἐνεστῶτι· τούτου χάριν προσλαμβάνει τὸ ι, ἵνα μὴ συνεμπέσῃ αὐτῷ.

Εἰσόκεν, ἕως ἂν, ἐκ τῆς εἰς προθέσεως, καὶ τοῦ ὁ ἄρθρου ἀναφορικοῦ, καὶ τοῦ κεν συνδέσμου. ἔστι δὲ ἐπίῤῥημα χρόνου δηλωτικόν. καὶ ἀπορεῦσί τινες ὅτι ἐν παραθέσει. κανὼν γάρ ἐστιν ὁ λέγων τὰ εἰς ε λήγοντα ἐπιῤῥήματα χρονικὰ θέλουσιν ἔχειν πρὸ τοῦ ε τὸ τ· ἐνίοτε, ἑκάστοτε, ἄλλοτε, καὶ ὅτι οὐδέποτε ὁ κεν σύνδεσμος κατ' ἀρχὰς συντίθεται. ἔνιοι δὲ λέγουσι, ὅτι ἐν συνθέσει εἰσί. οὐδέποτε γὰρ τοῦτο τὸ ἐπίῤῥημα χωρὶς τοῦ κεν συνδέσμου παραλαμβάνεται· εἰσόκεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλοιτε [2]) καὶ εἰσόκεν ἢ ἄλοχον ποίησεται. ἔστι δὲ εἰπεῖν ὅτι αἱ προθέσεις παρατιθέμεναι τοῖς ὀνόμασιν ἔννοιαν ἔχουσιν τοπικὴν ποιοῦσαι τὰς σχέσεις, οἷον, οἶκοι ἔξοικοι, οἶκον εἰς οἶκον. τὸν αὐτὸν τρόπον τὰ ἄρθρα τὰ σημαίνοντα τὴν ἀναφοράν. ἡ δὲ ἀναφορὰ ἐν τῷ χρόνῳ οὖσα, καὶ λαβοῦσα τὴν παράθεσιν τῆς προθέσεως ποιεῖ σχέσιν χρονικήν· οὗ ἐξ οὗ, ᾧ ἐν ᾧ. ὃν οὖν τρόπον τὸ ἐξ οἴκου, ὅτε ἀποστῇ τῆς προθέσεως, οὐκέτι σχέσιν τοπικὴν σημαίνει, ὁμοίως καὶ τὸ εἰς οἶκον. τὸν αὐτὸν τρόπον καὶ τὸ εἰσόκεν ἐὰν ἀποστῇ τὸ ἕτερον τοῦ ἑτέρου ἐκστήσεται καὶ τὸ σημαινόμενον. εἰσόκεν καὶ τρία μέρη λόγου εἰσίν· εἰς πρόθεσις, ὁ ἄρθρον ἀναφορικὸν καὶ ὁ κεν σύνδεσμος.

Εἴσω, ἔσω, ἐκ τῆς εἰς προθέσεως, ὥσπερ παρὰ τὸ ἐξ ἔξω, καὶ ἐς Ἀττικῶς, ἐξ οὗ καὶ τὸ ἔσω. ἢ ὡς ἀπὸ τῆς ἐξ προθέσεως γέγονεν ἔξω, καὶ ἀπὸ τῆς πρὸς πρόσω, οὕτω καὶ ἀπὸ τῆς εἰς εἴσω. καὶ εἰς τὸ ἤδη.

Εἶτα, ἐπίῤῥημα τάξεως, ἐκ τοῦ ει διαζευκτικοῦ συνδέσμου, κατ' ἐπέκτασιν τῆς τα συλλαβῆς, ὥσπερ παρὰ τοῦ δη παραπληρωματικοῦ γίνεται δῆτα.

Εἴτω, ἔστω προστακτικὸν, ἐκ τοῦ εἰμὶ τὸ ὑπάρχω, ὁ β ἀόριστος ἦν, ἡ μετοχὴ εἷς ἕντος, καὶ τὸ προστακτικὸν ἔσθι, τὸ τρίτον ἔτω καὶ πλεονασμῷ τοῦ σ ἔστω, καὶ πλεονασμῷ τοῦ ι εἴτω. εἷς κοίρανος ἔστω, εἷς βασιλεύς.

Εἴομεν, γράφεται καὶ διὰ διφθόγγου, καὶ διὰ τοῦ ι. τὸ μὲν γὰρ διὰ τοῦ ι, ἐκ τοῦ ἴον δευτέρου ἀορίστου τὸ ι ἰῶτα, ἔτι δὲ μὲν καὶ ἀπὸ βαρυτόνων τὸ ὑποτακτικὸν ἐὰν ἴω. τὸ πληθυντικὸν ἐὰν ἴωμεν, καὶ ποιητικῶς ἴομεν, τὸ ο μικρόν. καὶ λέγω, ὅτι σχῆμα ἐστι Κορίνθιον. καὶ εἰς τὸ ἀμφιέσοιτο, καὶ ἀπρόσιτον, καὶ ἤϊε, καὶ ἰών.

Εἴωθα ἐκ τοῦ ἔθω, ὁ μέσος παρακείμενος εἶθα, καὶ πλεονασμῷ τοῦ ω εἴωθα· γράφεται δὲ διὰ τῆς ει διφθόγγου ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἔθος, καὶ ἐν τῷ ἔωθα. οἱ γὰρ Αἰολεῖς τὸ εἴωθα ἔωθα λέγουσι γίνεται δὲ παρὰ τὸ ἔθω, τὸ ἐξ ἔθους τι διαπράττομαι, ἐξ οὗ καὶ τὸ, ἔθων Οἰνῆος ἀλωήν [3]) ὁ μέλλων ἔσω, ὁ παρακείμενος ἦκα, ὁ μέσος εἶθα, καὶ πλεονασμῷ τοῦ ω εἴωθα, καὶ συναιρεῖται ἔωθα, καὶ ἡ μετοχὴ ὁ εἰωθώς.

Ἑκάλη, ἡ πρὸς ἑαυτὴν καλοῦσα· ἔχει γὰρ στέγος ἀκλήιστον.

Ἑκατομβαῖος, οἱ μὲν πολύτιμος, μεγαλότιμος. οἱ δὲ περὶ ἀλγῆς τῇ μίᾳ ἀπὸ τοῦ βοός. πρὸς γὰρ τὰς βοῦς τὰ ὤνια ἦν, ὡς ἐπὶ λέβητος· τὸν δὲ δύο δ' ἐκάβη· τινὲς

---

1) L. θεμείλοις. 2) Il. III, 409. 3) Il. IX, 536.

δὲ, ὅτι ἐν ἑκατομβοίῳ μηνὶ πολλὰς θυσίας ἐποίουν Ἀθηναῖοι.

Ἑκατομβαίων ἔστι δὲ μὴν παρὰ τοῖς Ἀθηναίοις κρονίων πρότερον καλουμένη, ἀπὸ τῆς γινομένης τῷ Κρόνῳ θυσίας. ἑκατομβαίων δὲ ὠνομάσθη, διὰ τὰς τοῦ Ἀπόλλωνος θυσίας. θύουσι γὰρ αὐτῷ ἑκατομβοίῳ, τουτέστι πολυτιμήτῳ, μᾶλλον δὲ ἕκατον βόας ἐχομένῳ.

Ἐκεῖνος ἡ ἀντωνυμία, παρὰ τὸ ἑκὰς ἐπίῤῥημα, ὃ σημαίνει τὸ πόῤῥω, τὴν γὰρ πόῤῥω δεῖξιν σημαίνει· καὶ οἱ Δωριεῖς κεῖνος αὐτὴν φασί· καὶ τῆνος ἀντὶ τοῦ διαστέλλοντος αὐτὴν ἐπὶ τῆς πλήσιον δείξεως, παραλαμβάνουσιν αὐτήν. εὑρίσκεται μέντοι φησὶν Ἀπολλώνιος καὶ τὴν τῆνος, ἐπὶ τῆς πόῤῥω δείξεως.

Ἐκεῖθεν, παρὰ τὸ ἐκείνοθεν συγκοπῇ ἐκεῖθεν. οὐδὲν τῶν εἰς θεν τῇ ει διφθόγγῳ παραλήγεται· τὸ δὲ ἐκεῖθι, ἐκ τοῦ ἐκείνοθι, καὶ τὸ ἐκεῖ ἐκ τοῦ ἐκείνοσε.

Ἕκαστος, παρὰ τὸ ἑκὰς ἕκαστος, ὁ μὴ πέλας, οἷον κεχωρισμένος, καὶ μὴ συλλήβδην ὢν πρὸς ἕτερον. ἐπιμερίζοντες γὰρ τὸ πλῆθος φασὶν ἑκάτερον ἕκαστος.

Ἑκάτερος καὶ ἕκαστος, τὰ ἐπιμεριζόμενα. παρὰ τὸ ἑκὰς συγκριτικῷ τύπῳ ἑκάτερος καὶ ἐν ὑπερθέσει ἕκαστος, ὡς ἡδύτερος, ἥδιστος.

Ἑκάστοτε ἐπίῤῥημα. παρὰ τὴν ἑκάστου γενικὴν παράγωγον ἑκάστοτε. ὡς ἄλλος ἄλλοτε.

Ἑκατηβελέτης ὁ τοξότης, παρὰ τὸ ἑκὰς καὶ τὸ βέλος, ἑκηβελέτης καὶ τοῦ τη πλεονάσαντος ἑκητηβελέτης, ὡς ἔτυμον, ἐτήτυμον. ἀναπλάττουσι γάρ τινὲς ὡς ἑκατὸν βέλεσι, τὴν δελφὶν ὁ Ἀπόλλων ἀπέκτεινε. οὐκ ἔστιν οὖν παρὰ τὸ ἑκατὸν, ἀλλὰ παρὰ τὸ ἑκὰς, ὅθεν καὶ ἑκάεργος καὶ ἑκηβόλος, ὁ δὴ καὶ ἑκατηβόλος λέγεται. ἢ ἀκατόβελος παρὰ τὸ ἄκατον.

Ἑκηβόλος καὶ ἑκηβελέτης καὶ ἕκατι οὕτως ὁ Ἀπόλλων, ὅτι αὐτὸς ἐπὶ τῷ ἡλίῳ τὰς ἀκτίνας ἕκαθεν βάλλει. ἢ ὅτι ἑκατὸν βέλη ἐπαφῆκε τῷ δελφίνῳ.

Ἐκάπυσεν, ἐξέπνευσεν, ἔστι ῥῆμα κάπω, δηλοῦν τὸ πνέω, ἔνθεν καὶ κάπος ὁ κάθυγρος τόπος, καὶ κῆπος.

Ἑκάβη ὄνομα κύριον θεᾶς, ἡ ἕκαθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα. ὁ γὰρ πατὴρ Δύμας ὁ Φρὺξ εἰς Ἴλιον Πριάμῳ ἐξέδοτο. ὅθεν καὶ Πρίαμος Φρυγίας συμμαχεῖ. ἤδη καὶ Φρυγίην [1]).

Ἑκάεργος ὁ Ἀπόλλων, ὁ τοξότης, ὁ ἑκατέρωθεν εἴργων τοὺς πολεμίους. ἢ ἑκάεργος, ὁ πόῤῥωθεν ἐργαζόμενος.

Ἑκαεργὴ ἡ Ἄρτεμις, παρὰ τὸ ἑκὰς εἴργειν. τοξότης γὰρ ἦν.

Ἐκάθησε, παρὰ τὸ καθῶ καθήσω ἐκάθησα. ἢ ἐκάθισε ἐκ τοῦ καθίζω ἰῶτα. ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ ἵζω ῥήματος.

Ἐκαλινδοῦτο ἐκυλίετο. ἀπὸ τοῦ καλινδῶ, τοῦτο παρὰ τὸ κυλίω, καὶ Αἰολικαῖς τροπῇ του υ εἰς η κηλινδῶ καὶ καλινδῶ.

Ἑκαμήδη ἡ τοῦ Νέστορος παλλακὶς, ἀπὸ τοῦ ἕκαθεν βουλεύεσθαι τὰ κατὰ τοῦ Νέστορος, ὁ μηδὲν εἰκέων μηδομένη.

Ἑκάτερος καὶ ἕκαστος διαφέρει. ἑκάτερος ἐπὶ δυοῖν, τὸ δὲ ἕκαστος ἐπὶ πολλῶν.

Ἕκητι ἕνεκεν.

Ἑκατὸν ἀριθμὸς, παρὰ τὸ ἔχω ἑχατὸν καὶ τροπῇ ἑκατόν. ὡς γὰρ οἱ ἐπὶ περὶ ὁδοῦ ἐρχόμενοι, οὕτω καὶ οἱ ἐπὶ πέρας ἀριθμοῦ ἐρχόμενοι ἐπέχονται.

Ἑκατηβελέταο, τοῦ ἑκατηβελέτου, ἤγουν τοῦ τοξότου. Αἰολικὴ γενική. παρὰ τὸ ἵημι τὸ πέμπω, ὁ παθητικὸς παρακείμενος ἕμαι ἕσαι ἕται, ἔτης, καὶ μετὰ τοῦ βέλους βελέτης, καὶ μετὰ τοῦ ἐκεῖ [2]) ἑκηβελέτης, καὶ πλεονασμῷ τοῦ ατη ἑκατηβελέτης, ὁ τὰ βέλη μήκοθεν βάλλων Ἀπόλλων.

Ἑκάτην, τὴν Ἄρτεμιν, ἵν' ᾖ ἕκαθεν τῶν ἀποθνησκόντων. ἡ αὐτὴ καὶ Εἰλείθυια, ἐπεὶ γενέσεως ἔστιν αἴτιος Ἄρτεμις, ἐπεὶ σύνεστιν ἡμῖν ἀρτεμεῖς καὶ ὑγιεῖς ποιοῦσα.

Ἐκβασὰν ὄνομα τόπου· καὶ γίνεται παρὰ τὸ βαίνω ἤγουν πορεύομαι. ἐκ τοῦ βάσσω βάσω ὁ μέλλων· καὶ τὸ βασὰν ὄνομα βάρβαρον· ἐξ οὗ τόπου μετῆλθον.

Ἐκ βαθέων ἡ εὐθεῖα τὸ βαθὺ πόθεν γίνεται, παρὰ τὸ βίᾳ θέειν, ἢ παρὰ τὸ θύω τὸ ὁρμῶ, θύσω, ἀποβολῇ τοῦ ω θὺς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀθὺς, ἐν ᾧ τις τρέχειν οὐ δύναται, καὶ πλεονασμῷ τοῦ β βαθύς.

Ἔκγονος ἐγγόνου καὶ ἀπόγονος διαφέρει. ἔκγονος μὲν γάρ ἐστιν, υἱός· ἔγγονος δὲ υἱὸς υἱοῦ. ἀπόγονος δὲ ὁ τῶν ἐγγόνων πάλιν υἱός.

Ἔκδικος σημαίνει δύο, τὸν ἐκδικήτην. καὶ τὸν ἔξω τοῦ δικαίου ὑπάρχοντα.

Ἔκδικος παρὰ τὸ ἔξω τοῦ δικαίου μὴ εἶναι.

Ἐκεῖνος, παρὰ τὸ ἑκὰς ἐπίῤῥημα κατὰ συγκοπήν· τὸ κει διφθόγγῳ διάτι; κατὰ διάλεκτον, ἐπεὶ οἱ Δωριεῖς ἐκῆνος λέγουσι διὰ τοῦ η, ὡς πλεῖον, πλῆον, μεῖον μῆον, καὶ ἐκείνοθεν κατὰ συγκοπὴν ἐκεῖθεν. διάτι περισπᾶται; αἱ συγκοπτομέναι ἡνίκα φυλάττουσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον δῶμεν δῶ· καὶ εἰς τὸ ἐκεῖνος.

Ἐκδεξίων ἐπίῤῥημα τοπικόν.

Ἐκ τῶν οὐρανῶν, ἡ ἐξ πρόθεσις μετὰ γενικῆς συντάσσεται.

Ἐκεῖνος, ἀντωνυμία παράγωγος τρίτου προσώπου τῶν ἑνικῶν, πτώσεως εὐθείας τῶν ἑνικῶν, παρὰ τὸ ἑκὰς ἐπίῤῥημα.

Ἐκεχειρία ἡ ἀνάπαυσις, ἀνοχὴ κυρίως ἐπὶ πολέμου. παρὰ τὸ ἔχω ῥῆμα, καὶ τὸ χεὶρ γίνεται ἐχεχειρία κατὰ τροπὴν τοῦ χ εἰς κ. συντάσσεται δὲ τὸ ἔχω μετὰ αἰτιατικῆς καὶ δοτικῆς.

Ἑκηβόλος ὁ μακροβόλος, καὶ πόῤῥωθεν βάλλων. τοῦτο ἐκ τοῦ ἑκὰς καὶ τοῦ βάλλω ἑκάβολος καὶ τροπῇ τοῦ α εἰς η ἑκηβόλος. ἑκὰς δὲ σημαίνει τὸ πόῤῥω, καὶ τὸ ἥκω τὸ παραγίνομαι· πόῤῥωθεν γάρ τις παραγίνεται ἐξ οὗ καὶ δασύνεται τὸ ἑκὰς καὶ τὸ ἥκω.

Ἑκατόμβη ἡ θυσία. τὸ μὲν ἑκατὸν σημαίνει τὸ μέγα καὶ πολὺ, τὸ δὲ βοὴ τὸ τίμιον, ὡς καὶ ἐπὶ τῶν παρθένων τὸ ἀλφεσίβοιαι. λέγεται δὲ ἑκατόμβη οὐχ ἡ ἕκατον βοων [3]), ἀλλα καὶ τὴν ἐξ ἄλλων ἱερείων. ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.

Ἐκρεμάσαμεν, ἐκ τοῦ κρεμῶ, πρώτης συζυγίας τῶν περισπωμένων. ἔστι δὲ καὶ κρέμημι, ἐξ οὗ καὶ τὸ ἐκρεμάσαμεν ὑψόθι. γίνεται δὲ ἐκ τοῦ ἐκρεμάμην ἐκρέμασο, ἀποβολῇ τοῦ σ ἐκρέμαο, καὶ κράσει ἐκρέμω.

Ἐκίσσησεν, ἔστι κίω τὸ σημαῖνον τὸ πορεύομαι, καὶ ἐξ αὐτοῦ κίσσα ὄρνις, ἡ εἰς πᾶν βρῶμα ἐπιπορευομένη,

1) Il. III, 184. 2) ἐκεῖ L. sine dubio ἑκη- 3) (Sic). Adde θυσίαν

καὶ ἐξ αὐτοῦ ῥῆμα κισσῶ κισσεῖς. σημαίνει δὲ τὸ μεθ' ἡδονῆς συλλαμβάνειν. τὸν αὐτὸν τρόπον αἱ συλλαμβάνουσαι γυναῖκες πάντα ἐσθίουσιν.

Ἐκίσσησε, τὸ θέμα κισσῶ, συζυγίας πρώτης τῶν περισπωμένων. σημαίνει δὲ τὸ μεθ' ἡδονῆς συλλαμβάνω. γίνεται δὲ παρὰ τὸ κίσσα. ἐπειδὴ τὸ ὄρνεον λίχνον ἐστὶ πρὸς τὰς συνουσίας καὶ πρὸς ἡδονὰς καταφερές. ἐτυμολογεῖται δὲ παρὰ τὸ κίειν καὶ μετὰ σφοδρότητος σίβεσθαι ἤγουν διώκειν πρὸς συνουσιάζειν. ἐκ τοῦ κίσσα λέγεται, ὅταν ἐν γαστρὶ ἔχουσα γυνὴ περὶ τὸν δεύτερον ἢ τρίτον μῆνα ὀρέγηται ἄτοπον δεῖπνον, οἷον, ὄμφακα ἢ λίθον, ἢ ὄστρακα· γίνεται ἀπὸ τῶν μοχθηρῶν τῆς μήτρας ἀτμῶν φερομένων ἐπὶ τὸν στόμαχον.

Ἐκκλησία, παρὰ τὸ ἐκκλησιάζεσθαι ἤγουν συνάγεσθαι. ἐκκλησία γὰρ ἡ συναγωγὴ καὶ ἡ βουλὴ τῶν ἀνδρῶν, ἢ διὰ τὸ ἐκλελεγμένον εἰς ἕν. ἡ ἐκκλησία, ἐκ τοῦ καλῶ καλέσω, καλεσία καὶ ἐκκλησία. διαφέρει δὲ ἐκκλησία συνόδου. ἐκκλησία μὲν γάρ ἐστιν ἐν ᾗ ἄνδρες μόνον εἰσέρχονται διὰ βουλὴν, σύνοδος δὲ ἐν ᾗ ἄνδρες καὶ γυναῖκες εἰσέρχονται διάτι.

Ἐκκλησιάσας, συναθροίσας, συναγωγὴν ποιήσας καὶ παρὰ Ἀθηναίοις ἐκκλησία τὸ ἄθροισμα, παρὰ τὸ πεπυκνῶσθαι τοὺς συνερχομένους ἐν αὐτῇ.

Ἔκριζον, ἀπὸ ῥιζῶν τὴν ἁμαρτίαν καταβάλλων. ἐπιῤῥηματικῶς δέ.

Ἐκκενοῦται, ἐκ τοῦ κένω. τοῦτο παρὰ τὸ χέω, χένος καὶ κένος.

Ἐκκριθὲν, εἰς τὸ κρῖμα.

Ἔκλαγξαν, ἐκ τοῦ κλάζω κλάξω, πλεονασμῷ τοῦ γ κλάγξω, ὥσπερ πλάζω πλάξω καὶ πλάγξω, λίζω λίξω, λίγξω. εἴωθεν ὁ ποιητὴς ἐπὶ τῶν τοιούτων προςλαμβάνειν τὸ γ ἐπὶ τοῦ μέλλοντος. καὶ εἰς τὸ κλαγγῆσι.

Ἐκλογεῖον, ἡ ἐκλογάς.

Ἐκμαγεῖον, τὸ ἀντίτυπον, ἢ ἡ φαντασία, ὡς φησὶ Πλάτων διὰ τὸ ἐκμάττεσθαι καὶ ἀποσυλᾷν τὰ εἴδη ἀπὸ τῆς ὕλης.

Ἔκηα, καίω, καύσω, ἔκαυσα κοινῶς, ἔκαα Ἀττικῶς, ἔκηα Ἰωνικῶς, ὥσπερ χέω χεύσω κοινῶς, χεύω Ἰωνικῶς χέω ἀττικῶς καὶ ὁ ἀόριστος ἔχευσα καὶ ἔχευα, ἔχεα.

Ἔκνη εἰς τὸ κονίη.

Ἐκολλήθη, παρὰ τὸ κολλῶ, τοῦτο δὲ παρὰ τὸ κόλλα. τοῦτο δὲ παρὰ τὸ κεκομμένην οὖσαν, εἰς οὐλότητα μεταλθεῖν.

Ἐκ μέσου, ἔξω τοῦ μέσου. ἡ γὰρ ἐξ πρόθεσις τὸ ἔξω δηλοῖ.

Ἐκολῴα, ἐθορύβει, ἐκερτόμει, παρὰ τὸ κολῶ, τοῦτο ἐκ τοῦ κολοιός. τὸ δὲ κολοιὸς, παρὰ τὸ κλῶ τὸ κλάζω, θορυβῶδες γὰρ τὸ ζῶον, κατὰ παραγωγὴν κλωὸς, καὶ πλεονασμῷ τοῦ ο κολωός.

Ἑκουσίως, παρὰ τὸ εἴκω τὸ θέλω. ἡ μετοχὴ ἑκὼν ἑκόντος, τὸ θηλυκὸν ἑκοῦσα, καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα ἑκουσίως.

Ἔκπλαγα, ἐκπληκτικῶς· κανών ἐστιν ὁ λέγων, ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικὰ οὐδετέρων ὀνομάτων εἰς ἐπιῤῥηματικὴν μετάγεται σύνταξιν. γίνεται δὲ τὸ ἔκπλαγον παρὰ τὸ ἐκπλήσσω.

Ἐκπλαγώτατε, ἐκπληκτικώτατε, ἐκ τοῦ πλήσσω, ὁ μέλλων πλήξω, ὁ β ἀόριστος ἔκπλαγον. καὶ ὄνομα ἐξ αὐτοῦ ἔκπλαγος, καὶ τὸ ὑπερθετικὸν ἐκπλαγώτατε.

Ἐκπλαγῶς, ἐκπληκτικῶς, ἐκ τοῦ ἐκπλήσσω ῥήματος, ὄνομα ἔκπλαγον ῥηματικὸν, καὶ ὑπερβιβασμῷ ἐκπάγλον. καὶ ἐκπλάγως ἐπίῤῥημα.

Ἐκπλάγος, ὁ καταπληκτικὸς, παρὰ τὸ πέλαγος φοβερὸν γάρ. ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; εἰδικοῦ. διαφέρει τὸ κατεπλάγην τοῦ κατεπλήγην, ὅτι τὸ μὲν κατεπλάγην ἐπὶ ψυχικῆς διαθέσεως λέγεται, τὸ δὲ κατεπλήγην ἐπὶ σώματος. ὁ μέντοι ποιητὴς διὰ τὸ μέτρον εἶπε κατεπλήγην φίλον κῆρ.

Ἔκπωμα, τὸ ποτήριον. παρὰ τὸ ἐκποιεῖν. ἢ παρὰ τὴν κοιλότητα.

Ἐκπέρσαι, ἐκπορθῆσαι, ἐκ τοῦ πέρθω τὸ καταστρέφω.

Ἔκπληξις, εἰς τὸ ἐκπλάγως καὶ φόβος.

Ἐκποίητα, εἰς τὸ ἀποκήρυκτα.

Ἔκπυστα, ἔκπυστα, ἐποίησα τὰ πραττόμενα ἀνεκλάλητα, ἀνεξάκουστα καὶ ἄῤῥητα. ἐκ τοῦ πεύθω, ὃ σημαίνει τὸ ἀκούω, γίνεται πυστὰ καὶ ἔκπυστα. σημαίνει δὲ καὶ τὸ ἐξάγγελμα ἔκδηλα καὶ ἐξάκουστα. συντάσσεται μετὰ γενικῆς.

Ἐκ σοῦ, πόθεν γίνεται; ἐκ τῆς ἐκ προθέσεως καὶ τοῦ σοῦ ἀντωνυμίας. σημαίνει δὲ ἀπὸ τῆς σῆς σαρκός. ἐξ οὗ δὲ σημαίνει τὸ ἀφ' οὗ χρόνου.

Ἐκσπάσας, ἑλκύσας, ἐκ τοῦ σπῶ τὸ κατασπῶ, τὸ ῥῆμα σπάω σπῶ, ὁ μέλλων σπάσω, ὁ ἀόριστος ἔσπασα, ἡ μετοχὴ ὁ σπάσας, καὶ μετὰ τῆς ἐκ προθέσεως ἐκσπάσας.

Ἐκστῶσαν, πηδῶσαν, ἀπὸ τοῦ στῶ στᾶς, ἡ μετοχὴ στῶν, καὶ τὸ θηλυκὸν στῶσα καὶ μετὰ τῆς ἐκ προθέσεως ἐκστῶσα. ἤγουν ἔξω τῶν ὅρων στῶσα. ἢ καταπλήττουσαν.

Ἐκτίλαι, ἐκκόψαι· ἔστι τείνω, καὶ ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ ν εἰς λ γίνεται τίλλω ῥῆμα, καὶ σημαίνει τὸ ξαίνω, καὶ μετὰ τῆς ἐκ προθέσεως ἐκτίλλω, ὁ μέλλων ἐκτιλῶ, ὁ ἀόριστος ἐξέτιλα μακρὸν ἔχων τὸ ι, καὶ τὸ ἀπαρέμφατον ἐκτῖλαι ὁ γὰρ ξαίνων τίλει. ἢ ὅτι κτῖλος λέγεται ὁ κριὸς, καὶ ἐξ αὐτοῦ ῥῆμα κτίλλω· ἤγουν ἐκ μεταφορᾶς τῶν μαλλῶν τοῦ κριοῦ. ἢ ἐκ τοῦ τείνω τὸ τανύω. ὁ γὰρ ξαίνων τείνει.

Ἔκστασις γίνεται παρὰ τὸ στάσις· τοῦτο παρὰ τὸ ἵστημι, τοῦτο παρὰ τὸ στῶ.

Ἐκόπασεν ἀντὶ τοῦ ἔπαυσεν. γίνεται ἐκ τοῦ κοπάζω, τοῦτο παρὰ τὸ κόπος.

Ἐκκαθαριεῖ, καθαρίζω, καθαρίσω, καθαριῶ. τοῦτο ἐκ τοῦ καθαρός. τοῦτο ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ θαῤῥῶ. ὁ γὰρ καθαρὸς καταθαῤῥεῖ.

Ἐκσκουβίτωρες, τῶν παρεξόδων τοῦ παλατίου ὑπάρχοντες φύλακες.

Ἐκ τοῦ κλήτους σου. πόσα σημαίνει κλῆτος; δύο. τὴν συνέλευσιν, καὶ τὴν συνάθροισιν, καὶ γίνεται παρὰ τὸ κλῶ τὸ καλῶ, ὡς τὸ, σήμερον τὸ κλῆτος τῶν θείων πατέρων. καὶ διὰ τοῦ ι, τὸ μέρος τῆς οἰκίας, καὶ τὸ καλούμενον προκλιτόν. ὡς ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. καὶ τὸν εὐώνυμον τόπον, ὡς τὸ πεσεῖται ἐκ τοῦ κλίτους σου χιλίας. ἔστι δὲ καὶ ἀρσενικὸν διὰ δίφθογγον, ὅπερ καὶ ὀξύνεται.

Ἔκτισις τὰ δύο ιι παρὰ τὴν ἐκ πρόθεσιν.

Ἐκφάντορες κυρίως λέγονται οἱ τῶν μυστηρίων τὰ ἄῤῥητα σαφηνίζοντες συμβολικῶς.

Ἐλείφθη καὶ ἐλήφθη. τὸ πρῶτον, τὸ ἐπὶ τῆς ἐλλείψεως διὰ διφθόγγου τὸ λει, τὸ δεύτερον ἐπὶ τῆς καταλήψεως διὰ τοῦ η.

Ἐκεῖσε καὶ ἐκεῖ διαφέρει. τὸ μὲν ἐκεῖσε τὸ εἰς τόπον. οὕτως ἐροῦμεν, ἐκεῖ κατέλαβον, ἐκεῖσε πορεύομαι. τὸ δὲ ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ.

Ἐκτινάξας, ἀποῤῥίψας. παρὰ τὸ ἲς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν, ἰνάσσω καὶ ἐκτινάσσω πλεονασμῷ τοῦ τ. ὁ μέλλων τινάξω, ὁ ἀόριστος ἐτίναξα, καὶ ἡ μετοχὴ ὁ τινάξας. καί ἐστιν ἀντὶ βραχείας κατὰ τοὺς Δωριεῖς· ἐκεῖνοι γὰρ τὰς εἰς ας μετοχὰς ἀντὶ βραχέων παραλαμβάνουσι.

Ἕκτωρ, ὄνομα κύριον, παρὰ τὸ ἔχω τὸ κρατῶ, ὁ μέλλων ἕξω, καὶ ἐξ αὐτοῦ Ἕκτωρ, ὁ τοὺς Τρῶας ἐπικρατῶν.

Ἕκτοτε, εἰς τὸ τότε.

Ἑκυρὸς, ἐτυμολογεῖται δὲ παρὰ τὸ πρὸς ἑαυτὸν τὴν νύμφην ἄγειν. γίνεται ἐκ τοῦ δέχω, δέχοιο, δεχυρὸς, ὡς ἴσχω, ἰσχύω, ἰσχυρὸς, καὶ ἀποβολῇ τοῦ δ, καὶ τροπῇ τοῦ χ εἰς κ, ἑκυρὸς. ἢ παρὰ τὸ κύρω τὸ ἐπιτυγχάνω, κυρὸς καὶ ἑκυρός. σημαίνει δὲ τὸν πενθερόν. καὶ τίς λέγεται πενθερός; ὁ τοῦ ἀνδρὸς τῆς νύμφης πατήρ.

Ἔκτρωμα, τὸ ἐκ τῆς μήτρας ἔξιον ἀτελὲς κύημα, ἤγουν ἀμβλωθρίδιον.

Ἐκτύπωμα, ἐκσφράγισμα, ἐκμαγεῖον, ἐκ τοῦ ἐκμάσσω ῥήματος.

Ἐκφαντορία, εἰς τὸ ἐκφαίνειν.

Ἐκφοροῦντα, ἔστιν ἐκφέρω, καὶ ἐξ αὐτοῦ ἐκφορὰ, καὶ ἐκ τούτου ῥῆμα ἐκφορῶ, ὁ παθητικὸς ἐκφοροῦμαι, ἡ μετοχὴ τοῦ ἐνεργητικοῦ ἐκφορῶν ἐκφοροῦντα.

Ἑκὼν, εἰς τὸ ἀέκοντος.

Ἐκχεῶ, ἐκχύσω, τὸ θέμα ἐκχέω, ὁ μέλλων ἐκχέσω, ὁ δεύτερος ἀόριστος ἐξέχεον, ὁ μέλλων δεύτερος, ἐκχεῶ, ἐκχεεῖς ἐκχεεῖ.

Ἐλλάμψας, εἰς τὸ λάμπω.

Ἐλατὴ, παρὰ τὸ ἐλῶ, ἐλάσω, ἤλακα, ἤλασμαι, ἤλασται, ἐλατή.

Ἐλαῖα ἐλαιάδος διαφέρει· ἐλαία μὲν γάρ ἐστιν αὐτὸ τὸ φυτόν· ἐλαιὰς δὲ ὁ τοῦ φυτοῦ καρπός.

Ἔλαιον, παρὰ τὸ λεῖον λεαῖνον, τὸ λειαῖνον τὸ σῶμα, καὶ ἐν ὑπερθέσει ἔλαιον. ἢ παρὰ τὸ ἀλέαν ὃ σημαίνει τὴν θερμασίαν, ἐν γὰρ θερμοῖς τόποις τὸ φυτὸν χαίρει.

Ἔλασσον, εἰς τὸ ἀμείνων.

Ἐλαύνω, διώκω, παρὰ τὸ ἐλῶ, ἐλάνω καὶ ἐλαύνω.

Ἔλαφος, παρὰ τὸ ἐλεῖν τοὺς ὄφεις. φησὶ γὰρ ὅτι ἀφανεῖς εἰσὶν ἀπερχόμενος καὶ τὸ κεράτιον αὐτοῦ προστρίψας τῷ φωλεῷ λαμβάνοντες ἐκεῖνοι, ἐκ τῆς ἀναθυμιάσεως τοῦ κέρατος ἐξέρχονται.

Ἔλαφος, ἐλοφός τις ὢν, παρὰ τὸ ἐλεῖν τοὺς ὄφεις. ἢ ὁ ἐν ἕλει τὰς διατριβὰς ἔχων. ἢ ἀπὸ τοῦ ἔλλος τὸ ἔλαφος παρήχθη παραγώγως, ὡς κορσίω κόρσαφος, καὶ ἐν ὑπερβιβασμῷ καὶ τροπῇ τοῦ σ εἰς τ κρόταφος, οὕτως οὖν ἔλαφος. ἢ ὅτι τὸ κέρας αὐτοῦ θυμιώμενον ἐλαύνει τοὺς ὄφεις. ἢ διὰ τὴν κουφότητα καὶ τὸ τάχος, ἐλαφρός τις ὤν. ἔλαφος παρὰ τὸ ἕλκειν τοὺς ὄφεις. τάχα δὲ ὅτι ἐλαφρὰ εἰσίν.

Ἐλαφρὸς, καὶ ἀήσυρος καὶ ἀνεκτός. παρὰ τὸ ἔλαφος ἐλαφυρὸς καὶ ἐν συγκοπῇ ἐλαφρὸς, ἀπὸ τοῦ ζώου, ὡς ἔχθος ἐχθηρὸς καὶ ἐν συγκοπῇ ἐχθρός.

Ἔλδωρ, εἰς τὸ ἐέλδωρ.

Ἐλεαίρει, ἐλαιεῖ, ὡς παρὰ τὸ ἔλπω ἐλπαίρω, καὶ πλεονασμῷ τοῦ ε ἐλπεαίρω, καὶ ἐν ὑπερβιβασμῷ ἐλεπαίρω, καὶ τροπῇ τοῦ ψιλοῦ ἐν δασὺ γίνεται ἐλεφαίρω τὸ ἀπατῶ, ὁ ἀόριστος ἐλέφηρα, ὁ μέσος ἐλεφηράμην καὶ ἐλεφηράμενος, οὕτω καὶ ἐλεῶ ἐλεαίρω.

Ἐλέατος καὶ δελέατος διαφέρει. ἐλέατος μὲν γάρ ἐστιν ὁ μάγειρος παρὰ τοῖς εἰλεοῖς, ἅπερ εἰσὶ τράπεζαι μαγειρικαί. δελέατος δὲ ὁ προστάτης ὁ περὶ τὰ ἐδέσματα.

Ἔλεγος, ὁ θρῆνος, διὰ τὸ δι' αὐτοῦ τοῦ θρήνου εὖ λέγειν τοὺς κατοιχομένους [1]). εὑρετεῖς δὲ τῆς ἐλεγείας·

κατηχουμένους

οἱ μὲν τὸν Ἀντίλοχον, οἱ δὲ Μίμνερμον, οἱ δὲ Καλλῖνον παλαιότερον. καὶ πεντάμετρον, τὸ συνῆπτον οὐχ ὁμοδρόμος τῇ τοῦ προτέρου δυνάμει. ἀλλ' οἷον συνεκπνέοντα συναπεσβυννύμενον ταῖς τοῦ τελευτήσαντος.

Ἔλεγος, καὶ ἐλεγεῖον, τὸ τοιόνδε μέτρον καὶ θρῆνος ὁ τοῖς τεθνεῶσιν. ὑποτάττεται δὲ τῷ ἡρῴῳ. εἴρηται δὲ παρὰ τὸ ἒ σχετλιαστικὸν ἐπίῤῥημα καὶ τὸ λέγειν [2]).

Ἔλεγος, ὁ θρῆνος, παρὰ τὸ εὖ λέγειν τοὺς θρήνους.

Ἐλεγεῖα, τὸ μέτρον, καὶ ἀρσενικὸν ἔλεγος, ἢ ὅτι ἐπιλέγεται τῷ ἑξαμέτρῳ τὸ πεντάμετρον· ἢ παρὰ τὸν ἔλεον καὶ τὸν γόον. οἱ δὲ παρὰ τὸ λέγεσθαι ἐπὶ τῶν θανέντων, εἰς ἐπικήδεια γὰρ ἐγράφοντο. Δημολέων δὲ ἐν τῷ περὶ μέτρων, παρὰ τὸ εὖ λέγειν τοὺς τεθνεῶτας. ἢ παρὰ τὸ ἔλεγον τὸν θρῆνον [3]). Δίδυμος ὅτι διὰ τοῦτο τῷ ἡρῴῳ αὐτῷ ἐπῆδον, ὡς πεντάμετρον λεγόμενον τῷ ἡρῴῳ μιμούμενοι τὴν τῶν ἀποθνησκόντων ἀνάπαυσιν. ἐπὶ γὰρ μόνοις νεκροῖς πάλαι ᾔδετο.

Ἔλεγχος, τὸ ὄνειδος. καὶ ἐλέγχιστος ὁ ἐπονείδιστος, παρὰ τὸ ἕλην ἔχειν ἤγουν φῶς, καὶ εἰς τὸ μάρτυς.

Ἐλεδώνη, εἶδος πολυπόδος. ἔστι δὲ τὸ λ περισσόν· καλεῖται δὲ ἐσεδώνη, ἀπὸ τοῦ ἑαυτὴν ἔδειν, τουτέστιν ἐσθίειν. Ἡσίοδος, ὅτ' ἀνόστεος ὃν πόδα τένδει [4]).

Ἐλεεινὸς, ταπεινὸς, ὥσπερ ἀπὸ τοῦ δέος γίνεται δεεινὸς καὶ κατὰ κρᾶσιν δεινὸς, διὰ τῆς ει διφθόγγου, οὕτω καὶ ἀπὸ τοῦ ἐλεὸς γίνεται ἐλεεινὸς, ὁ ἐλέους ἄξιος. καὶ εἰς τὸ δεινός.

Ἐλεηλάτει, ᾐχμαλώτευεν, ἐλῄστευεν, ἥρπαζεν, ἀπὸ τοῦ θέματος τοῦ λεηλατῶ. τοῦτο δὲ παρὰ τὸ λεὼς καὶ τὸ ἀτῶ τὸ βλάπτω. γίνεται δὲ λεωατῶ καὶ τροπῇ τοῦ ω εἰς η καὶ πλεονασμῷ τοῦ λ λεηλατῶ, καὶ τὸν λεὼν βλάπτω.

Ἐλαττῶ, ἐκ τοῦ ἔλαττον, τοῦτο δὲ παρὰ τὸ ἔλαχυ ἐλαχέντερος, ἐλαχίων, ἔλασσον καὶ ἔλαττον.

Ἐλέησον, ἀπὸ τοῦ ἐλεῶ, τοῦτο παρὰ τὸ ἔλεος, τοῦτο παρὰ τὸ ἕλω τὸ λαμβάνω.

Ἔλεον καὶ κρίσιν, ἡ εὐθεῖα ὁ ἔλεος, γίνεται δὲ παρὰ τὸ ἕλω τὸ λαμβάνω, ἕλος, ἔλεος, πέφυκε δὲ τὸ ε πλεονάζειν ἐν τοῖς ὀνόμασιν, οἷον, στερὸς, στέρεος.

Ἔλεον αὐτῶν [5]), ὁ ἔλεος ἀρσενικῶς. ἰστέον ὅτι τὸ ἔλεον καὶ κρίσιν καὶ τὸ ἔλεον αὐτῶν, ἔμπροσθεν δεῖ γράφειν μικρόν τι.

Ἐλεγμὸς, παρὰ τὸ ἐλέγχω, τοῦτο παρὰ τὸ ἔλεγχος.

Ἐλεοῖσι, μαγειρικοῖς τραπέζαις.

Ἐλελιξάμενος, ἐπιστραφεὶς, μετοχὴ ἐκ τοῦ ἐλελίσσω. τοῦτο ἐκ τοῦ εἰλῶ τὸ συστρέφω, γίνεται κατὰ παραγωγὴν εἰλίσσω. καὶ ἀφαιρέσει, ἢ καὶ συστολῇ τοῦ ι ἐλίσσω, καὶ δασύνεται. καὶ κατ' ἀναδιπλασιασμὸν ἐλελίσσω, ἐλέλιξα, ἐλελιξάμην, ἐλελιξάμενος.

Ἑλένη, κύριον, παρὰ τὸ ἕλω τὸ ἑλκύω, ἡ πρὸς τὸ ἴδιον κάλλος ἕλκουσα τοὺς νέους ἀνθρώπους. ἢ παρὰ τὸ Ἑλλὰς, ἢ παρὰ τὸ ἐν ἕλει γεγενῆσθαι. δασύνεται τὸ ε ἐπιφερομένου τοῦ λ. ᾧ ὑποτέτακται τὸ ε ἢ τὸ ω ἢ τὸ

---

1) vid. Ruhnken. ad Callim. Fragm. p. 439. utraque lectio in codice. 2) καὶ πεντάμετρον, τὸ συνῆπτ. — καὶ τὸ λέγειν. Corrupta hic pleraque. 3) cf. Etym. M. 4) Ἔργ. 524. 5) (Sic.)

υ δασύνεται. Ἔλαρ, ἐλαιόθρεπτον. τὸ λε ψιλὸν διάτι; τὰ διὰ τοῦ ενη θηλυκὰ ὑπὲρ δύο συλλαβὰς μονογενῆ, διὰ τοῦ ε ψιλοῦ γράφεται. ἐπί τε βαρυτόνων καὶ ὀξυτόνων· ἐπὶ βαρυτόνων οἷον ὠλένη ὁ βραχίων, κλειομένη, ὀξυτόνων δὲ δεξαμενὴ, εἱαμενή.

Ἔλεος, εἰς τὸ ἄχος.

Ἔλεος, εἰς τὸ κουλεός.

Ἐλευθερία, ἀπὸ τοῦ ἐλευθεσθαι ἐᾶν, ὅ ἐστιν ἔρχεσθαι τὸν ἄνθρωπον, ὅπου βούλεται.

Ἑλέπολις. σημαίνει τὸ μάγγανον καὶ τὴν κλίμακα, παρὰ τὸ ἑλεῖν τὰς πόλεις. ἑλῶ γὰρ τὸ πορθῶ.

Ἐλευθέρα, παρὰ τὸ ἐλεύθειν ὅπου ἐρᾷ.

Ἐλεύθερος, παρὰ τὸ ἔλευσις καὶ τὸ ἔρα ἡ γῆ. ἐπεὶ ὅπου βούλεται, ἄπεισι. ἢ παρὰ τὸ ἐλεύθειν ὅπου δ' ἄν τις ἐθέλει.

Ἐλευσις, πόλις τῆς Ἑλλάδος, διὰ τὴν ἀπὸ Δημήτρος ἔλευσιν. ἐκεῖ γὰρ εὗρε τὸν καρπὸν ἐκ Κρήτης ἐλθούσης. καὶ ἐν ἐλευσίνῃ ἔμεινε, ὅθεν ὁ τόπος Ἔλευσις, καὶ ἀγὼν τὰ Ἐλευσίνια. γράφεται δὲ διὰ τοῦ ι. τῷ λόγῳ τῶν δικαταλήκτων· ἡ Ἔλευσις γὰρ καὶ ἡ Ἐλευσίν.

Ἐλεφαίρω, βλάπτω, πλανῶ· παρὰ τὸ ἔλπω, ἐλπαίρω, εἶτα καὶ ἐλεφαίρω, κυρίως τὸ ἐλπίσιν ἀπατᾶσθαι καὶ ἐπαίρεσθαι. καὶ εἰς τὸ ἐλεαίρω.

Ἐλέφας ἐλέφαντος, ἐλέβας. ἐπιβαίνει γὰρ τῇ θηλείᾳ οὐκ ἐπὶ γῆς διὰ τὸν ὄγκον, ἀλλ' ἐπὶ ὕδατος ὑλώδους, ὅπου νέμονται, καὶ γίνεται εἰκότως κοῦφος. ἢ παρὰ τὸ λευκὸς γίνεται λεύκας καὶ λέφας, κατὰ τροπὴν τοῦ κ εἰς φ, καὶ πλεονασμῷ τοῦ ε ἐλέφας, ὁ ἐλιδμένην ἔχων ῥῖνα, πάνυ γὰρ λευκὸν τὸ ὀστοῦν αὐτοῦ. ἢ ἀπὸ τοῦ ἑλίσσω, ἑλίξω, γίνεται ἐλίφας καὶ ἐλέφας. ἢ παρὰ τὸ ἐλεφαίρω τὸ βλάπτω· βλαπτικὸν γὰρ τὸ ζῶον.

Ἔλεψεν, ἔγνυψεν, ἐκ τοῦ λέπω, ἐξ οὗ καὶ λεπὸς καὶ λεπτὸς καὶ λέπυρον, τὸ τῶν καρίων ἔλυτρον. ἢ παρὰ τὸ λεπῶ ῥῆμα πρώτης συζυγίας τῶν περισπωμένων, ἐλέπησα, ἐλέπησας, ἐλέπησε, καὶ κατὰ συγκοπὴν τοῦ η, καὶ κράσει τοῦ π καὶ σ εἰς ψ ἔλεψε.

Ἐλήλυθα, παρὰ τὸ ἐλεύθω ἤλυθα, καὶ κατὰ Ἀττικὴν προσθήκην τῶν δύο στοιχείων ἐλήλυθα.

Ἑλικάων, ὄνομα ὄρους. τὸ ε προ τῆς λι συλλαβῆς δασύνεται, ἑλίσσω, ἕλιξ. τὸ δὲ Ἑλικὼν [1]) ψιλοῦται· Ἑλικάονος. ὁ κανὼν, τὰ εἰς ων βαρύτονα διχρόνῳ ἐκτεταμένῳ παραληγόμενα, τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς, Μαχάονος, Ἱκετάονος.

Ἑλικτὸς, εἰλιγμένος, ἐκ τοῦ ἑλίσσω, ἑλίξω, ἑλικτὸς, ἐξ οὗ γράφεται διὰ τοῦ ἰῶτα.

Ἑλίκωπες, οἱ εὐόφθαλμοι, ἡ εὐθεῖα ὁ ἑλίκωψ· ἐκ τοῦ ἑλίκη ὃ σημαίνει τὴν μεγάλην ἄρκτον, ὡς καὶ Ἄρατος, ἑλίκην μὲν ἄνδρες εἰνάλιον τεκμαίροντες [2]). δύο δὲ εἰσὶν ἄρκτοι. καὶ ἡ μὲν μεγάλη καλεῖται ἑλίκη, πρὸς ἣν ἀποβλέποντες καὶ ἀπευθύνοντες τὴν πορείαν ἐποιοῦντο, ὡς ἐκ τούτου κληθῆναι αὐτοὺς ἑλίκωπας. ἡ δὲ μικρὰ κυνόσουρα. αἱ δὲ δύο ἄρκτοι ἀνὰ ἑπτὰ ἀστέρων ἔχουσι. ἥτε μεγάλη ἐπὶ τὸν βορρᾶν, καὶ ἡ μικρὰ ἐπὶ τὸν νότον.

Ἑλίκη, ἡ ἄρκτος. τινὲς ἀπὸ τοῦ ἐν αὐτῷ εἰλίσθαι. περιγραφεῖ γὰρ τὸν ἀρκτικὸν κύκλον.

Ἑλίκωψ, ὁ μεγαλόφθαλμος, ἢ μελανόφθαλμος, ἢ εὐόφθαλμος, καὶ μελανὰς τὰς κόρας τῶν ὀμμάτων ἔχων, ἀφ' οὗ καὶ εὐπρεπῆ, ἕλικον γὰρ κατὰ διάλεκτον τὸ μέλαν· ἢ ἑλικοειδῶς κινοῦντες τοὺς ὦτας. ἢ τοὺς ὀφθαλμοὺς εὐειδεῖς.

Ἐλινύειν, ἀργεῖν, σχολάζειν, ὁ δὲ Ταραντῖνος τὸ ἡσυχάζειν. ὁ δὲ Ἱπποκράτης ἐμφαίνει λέγων, ἐλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνασίη. δῆλον, ὡς ἀντιδιαστέλλων τῇ κινήσει τὴν ἀργίαν. καὶ εἰς τὸ ἐρινύς.

Ἕλιξ, τὸ κλῆμα, καὶ ἕλιξ ὁ τῆς ἀμπέλου κλάδος.

Ἕλιξ, τὸ ψελλίον, ἤτοι τὸ σκολαρίκιον, ἢ τὸ κλῆμα. ἢ ὁ τῆς ἀμπέλου κλάδος.

Ἐλπὶς, ἡ τὰ ἐλλείποντα προσαναπληροῦσα. ἢ εἰς ὑπόνοιαν ἡμᾶς ἀγαθὴν ἕλκουσα, ἑλκίς τις οὖσα.

Ἐλπὶς καὶ ἑλκίς τις οὖσα, ἀπὸ τοῦ παρέλκειν ἡμᾶς τῷ χρόνῳ, ἢ ἀπὸ τοῦ ἐλλείπειν τῷ ἐλπίζοντι, ἐλλεπίς τις οὖσα καὶ συγκοπῇ ἐλπίς.

Ἑλλήσποντος, ὁ διείργων τὴν Θρᾴκην καὶ τὴν Τρωάδα, πορθμὸς ἢ ποταμός.

Ἑλλήσποντος, εἴρηται, παρὰ τὸ ἐκεῖσε ποντισθῆναι Ἕλλην τὴν Φρίξου μὲν ἀδελφὴν· Ἀθάμαντος δὲ θυγάτηρ, ἢ ὡς ἕτεροι τὴν Ξούτου θυγατέρα.

Ἑλκέμεν ἕλκειν ῥῆμα. καὶ τὰ εἰς ειν ἀπαρέμφατα οἱ Ἴωνες διὰ τοῦ εμεν προσφέρουσι. καὶ δασύνεται. τὸ γὰρ ε πρὸ τοῦ λ ἐπιφερομένου τοῦ κ ἢ τοῦ μ δασύνεται. οἷον. ἕλκος, ἕλμις, ἕλμινθος, ἕλκω, ὁ μέλλων ἕλξω, ὁ β ἀόριστος εἷλκον, συνάρχεται μὲν τῷ πρώτῳ ἀορίστῳ, καὶ Ἰωνικῶς ἕλκε, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὕφελκε, καὶ ἀναβιβάζει τὸν τόνον. πᾶς παρῳχημένος χρόνου τὸν προσγινόμενον αὐτῷ χρόνον, κατὰ [illegible] ἀρχόμενον μέρος ἀποβαλὼν ἐν τῇ συνθέσει προπαροξύνεται. δασύνεται ἐκ τῆς συναλοιφῆς.

Ἕλκος, παρὰ τὸ συνέλκεσθαι τῷ δέρματι.

Ἕλκος, ἐκ τοῦ ἕλκω, ὠτειλὴ, τραῦμα, πληγὴ διαφέρει. ἕλκος μὲν γὰρ τὸ χρόνιον πάθος, μόνον ἐκ σιδήρου γενόμενον, ἔσθ' ὅτε καὶ ἐξ ταὐτομάτου. εἴρηται δὲ παρὰ τὸ διολκοῦσθαι τὴν σάρκα. ὠτειλὴ ἐκ τοῦ σύνεγγυς σιδήρου πληγή. τραῦμα δὲ τρῶσις σαρκὸς ὑπὸ σιδήρου γενόμενον ἐφ' ὑγείας σώματος, πληγὴ δὲ ἡ ἐκ χειρὸς πλῆξις.

Ἑλκύω. ἐκτείνω, ἐκ τοῦ ἕλκω, τὸ κυ ψιλὸν διάτι; τὰ διὰ τοῦ υω ῥήματα διὰ τοῦ υ ψιλοῦ γράφεται. πλὴν τοῦ ὕω καὶ τὰ ὅμοια.

Ἕλκω, τὸ σύρω, ἢ ἐκ τοῦ ὁλκὸς. τὸ ε ψιλόν. ἀδύνατον γὰρ, ἔνθα ἀμετάβολον ἀφώνου προηγεῖται, πρὸ τοῦ ἀμεταβόλου τὴν οἵαν δή ποτε δίφθογγον εὑρεθῆναι, οἷον, ἐλπὶς, ἕρκος, ἕρπος, σεσημείωται τὸ εἴργω, ὅπερ παλαιοὶ ἀναλόγως κεχρήμενοι κατὰ διάλυσιν εἶπον ἐέργω.

Ἑλλὰς, ἀπὸ τῆς Ἕλλης τῆς Ξάνθου θυγατρός.

Ἐλλέβωρον, ἡ ἐλοῦσα ἤγουν θανοῦσα βρῶσις. βορὰ γὰρ ἡ βρῶσις.

Ἐλλεδανοὶ, οἱ τῶν δραγμάτων δεσμοὶ, παρὰ τὸ συνειλεῖν τὰ δεσμούμενα.

Ἑλοίμεθα, λάβοιμεν, ῥῆμα εὐκτικὸν, μέσου ἀορίστου δευτέρου, ἐκ τοῦ ἕλω. καὶ δασύνεται ἐὰν σημαίνει τὸ λαμβάνω· εἰ δὲ σημαίνει τὸ φονεύω, ψιλοῦται παρὰ τῷ ποιητῇ. ἔστι δὲ ἕλω, ἑλῶ καὶ εἱλῶ. εἰ μέν τοι περισπᾶται ὁ μέλλων, ὁ β ἀόριστος εἷλον, ὁ μέσος εἱλόμην, καὶ τὸ εὐκτικὸν εἱλοίμην, τὸ πληθυντικὸν εἱλοίμεθα.

Ἕλος, τὸ ὀχύρωμα, καὶ τὸ ἕρκος, ἀπὸ τοῦ ἑλεῖν.

---

1) Falsum. cf. Etym. M. 2) ἑλίκην — τεκμ. Corrige ex Arati Phaenom. v. 37. 38.

Ἐλοῦσα, ἡ θανατοῦσα βρῶσις, βορὰ γὰρ ἡ βρῶσις [1]).

Ἐλώριον, ἐκ τοῦ ἕλωρ ἕλωρος τὸ ἐλώριον, ἐκ τοῦ ἕλω τὸ λαμβάνω.

Ἐλυμήνατο, διέφθειρε. ἀπὸ τοῦ λύμη λυμαίνω, καὶ ἐξ αὐτοῦ λυμαιών. διαφέρει δὲ λύμη, λήμη καὶ λοιμική. ὅτι ἡ μὲν λύμη φθορά τις ἐστι ἐπὶ ψυχῶν διαβαίνουσα, σημαίνει δὲ τὴν ἀκαθαρσίαν. καὶ γίνεται παρὰ τὸ λύω, λύσω, λύμη καὶ λύματα. καὶ Ὅμηρος, εἰς ἅλα λύματ' ἔβαλλον. ἡ δὲ λήμη λευκόν ἐστι, καὶ ὑγρὸν κατὰ τῶν ὀμματίων συνιστάμενον. γίνεται παρὰ τὸ λάω τὸ βλάπτω, καὶ τοῦ μὴ ἀπαγόρευσιν καὶ γὰρ κωλύει τοῦ βλέπειν. ἢ παρὰ τὸ λήθω τὸ λανθάνω, λήμη, τοὺς γὰρ λημῶντας καὶ μὴ βλέποντας παρεχόμεθα. ἡ δὲ λοιμικὴ νόσος τίς ἐστι φθαρτικὴ σωμάτων, παρὰ τὸ λοιμὸς γινομένη.

Ἐλλώβια, τὰ ἐνώτια, ἤτοι τὰ σκολαρικά. λωβὸς γὰρ τὸ ὠτίον.

Ἔλλωψ, ἔλλωπος ὁ ἰχθὺς, ὁ ἐλλειπόμενος τῇ ὀπίᾳ φωνῇ, ἤγουν τῇ ἀνθρωπίνῃ [2]).

Ἐλυτρώσω, ἐκ τοῦ λυτρῶ, τοῦτο παρὰ τὸ λύτρον, τοῦτο παρὰ τὸ λυτήριον εἶναι τινὸς πράγματος.

Ἔμβοι καὶ ἔμβροι, αἱ ῥοῖζαι, αἱ εἰς βάθος διϊκνούμεναι καὶ ἐμβεβηκυῖαι. παρὰ τὸ βῶ τὸ βαίνω.

Ἐμβριμώμενοι, μετὰ αὐστηρότητος ἐπιτιμῶντες· ἀπὸ τοῦ ἐμβριμῶ, ἐξ οὗ καὶ βριμαίνει τὸ θυμοῦται, καὶ βριμαίνουσα ἡ ὀργιζομένη. καὶ εἰς τὸ ὄβριμος.

Ἐμβρι[illegible]μενος, ἐπιτιμῶν. δεῖ γινώσκειν ἀπὸ μεταφορᾶς ἐστιν ἡ λέξις τῶν μαχομιων, χαλινῶν τοῦ ἵππου διὰ ἀγανάκτησιν τοῦ βάρους. κεῖται δὲ ἡ λέξις ἐν τῷ Εὐριπίδῃ.

Ἔμμορε, ἔστι μέσος παρακείμενος τρίτου προσώπου τῶν ἑνικῶν, ἀπὸ θέματος τοῦ μείρω, τοῦ σημαίνοντος τὸ μερίζω, ἀφ' οὗ καὶ μέρος· ὁ μέλλων μερῶ, ὁ μέσος παρακείμενος μέμορα, μέμορας, μέμορε, καὶ κατ' ὑπερβιβασμὸν ἔμμορε.

Ἔμβρυον, παιδίον τὸ ἐντὸς βροτῷ ὄν· τουτέστι, τὸ ἐν τῇ γαστρὶ τῆς γυναικὸς ἀτελὲς ἔτι διάπλασμα.

Ἐνδοιάζει, ἀπὸ τοῦ δύο ἀριθμοῦ εἴρηται, ὃ καὶ διὰ τῆς οι διφθόγγου γράφεται· οἱονεὶ παρὰ τὸ ἐν δύο γνώμαις ἀμφιβάλλειν ὁπότερον κρεῖσσον.

Ἐμβρόντητος, μαινόμενος, ἔκφρων καὶ ἀνόητος. ἐκ μεταφορᾶς τῶν ἀπὸ φόβου βροντῶν ἐξεστηκότων.

Ἔμβρυον, παρὰ τὸ ἔσω βρύειν, ἢ βρύχειν καὶ αὔξεσθαι, ἢ παρὰ τὸ ἔσω εἶναι βρότῳ βροτόν· ἢ παρὰ τὸ αἷμα καὶ τὸ βρῶ τὸ ἐσθίω, γίνεται αἱμόριον καὶ ἔμβρυον.

Ἔμεια, ἔμεσα, ἔστι τόπος πλησίον Μυκηνῶν, ἀπὸ τοῦ ἐμῶ Ἔμεια λέγεται, ἐπειδὴ ἐκεῖ ἔμεσεν ὁ κέρβερος ἀνελθὼν ἐκ τοῦ ᾅδου. ἢ ἐπειδὴ ὁ Θυέστης φαγὼν τὰ τέκνα αὐτοῦ ἐκεῖ ἔμεσεν. ὁ κανών· τὰ διὰ τοῦ ει α [3]).

Ἐμεῖο, ἐκ τοῦ ἐμοῦ· ποίου εἴδους; πρωτοτύπου· κατὰ πόσους τρόπους διαφέρει τὸ πρωτότυπον τοῦ παραγώγου; κατὰ τρεῖς· ὅτι τὸ μὲν ἐμοῦ πρωτότυπον γίνεται κατὰ διάλυσιν ἐμέο, ἐμεῖο, ἐμοῦ. τὸ δὲ παράγωγον οὐδαμῶς. καὶ ὅτι τὸ μὲν πρωτότυπον ἐγκλίνεται, καὶ τὸ κατ' ἀρχὴν σύμφωνον ἀποβάλλει, οἷον, ἤκουσέ μου, τὸ δὲ παράγωγον οὔτε ἐγκλίνεται, οὔτε τὸ κατ' ἀρχὴν σύμφωνον ἀποβάλλει· τὸ δὲ ἐμεῖο ἐκ τοῦ ἐμὸς ἐμοῦ. ἔστι δὲ ἀντωνυμία παράγωγος. ποίου εἴδους τῶν παραγώγων; κτητικοῦ· σημαίνει δὲ καὶ κτήτορα καὶ κτήματα. διαλύσει τῆς ου διφθόγγου Ἰωνικῶς ἐμέο, καὶ πλεονασμῷ τοῦ ι ἐμεῖο. ἐκ δὲ τοῦ ἐμέο συναιρεῖται τὸ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, ἐμεῦ, καὶ ἀποβολῇ τοῦ ε μεῦ. ὡς ἐν τῷ, κέκλυτέ μευ [4]). αἱ γὰρ πρωτότυποι ἀντωνυμίαι ἐγκλίνονται.

Ἐμεῖο καὶ ἐμοῖο διαφέρει. ἐμεῖο γάρ ἐστιν ἀσύντακτον. καὶ Ὅμηρος, ἐμεῖο δὲ σύνθεο μῦθον [5]), Ἑλληνικώτατόν φησι. τὸ δὲ ἐμοῖο σύναρθρον, οἷον, τοῦ ἐμοῦ, καὶ μνῆσαι πατρὸς ἐμοῖο θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ [6]).

Ἐμετὸς, ἐκ τοῦ ἕω τὸ πέμπω.

Ἐμίχθην, τινὲς δὲ διὰ τῆς ει διφθόγγου γράφουσιν, βιαζόμενοι τὴν παράδοσιν. διὰ τοῦ ι δὲ δεῖ γράφειν, ἐπειδὴ μέμικα ἔστιν ὁ μέσος παρακείμενος. εἰ δὲ ἐγράφομεν διὰ τῆς ει διφθόγγου, ὤφειλεν ὁ μέσος παρακείμενος διὰ τῆς οι διφθόγγου γράφεσθαι, οἷον, μέμοιγα. ἐὰν γὰρ εὑρεθῇ τὸ ε ἐν δισυλλάβῳ μέλλοντι ἢ μόνον ἢ μετὰ τοῦ ι, τότε γὰρ εἰς ο αὐτὸ τρέπει ὁ μέσος παρακείμενος, οἷον, λείψω λέλοιβα, πείθω πέποιθα. εἰ οὖν τὸ μίσγω μίξω διὰ τῆς οι [7]) διφθόγγου ἦν, μέμοιγα ἂν ἦν ὁ μέσος παρακείμενος. ἀλλὰ μὴν μέμιγα ἐστί· δῆλον γὰρ ὅτι μίσγω μίξω διὰ τοῦ ἰῶτα.

Ἐμμανουήλ, τὸ ἥμισυ Συριστὶ, καὶ τὸ ἥμισυ Ἑβραϊστί. τὸ γὰρ ἐμμα Συριστὶ ἑρμηνεύεται μεθ' ἡμῶν· τὸ δὲ νουὴλ Ἑβραϊστὶ δηλοῖ τὸ θεός.

Ἐμμαπεώς, σπουδαίως, ἐνεργῶς, ἑτοιμῶς, προθύμως. παρὰ τὸ ἅμα ἔπος, κατὰ μετάθεσιν τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ μ.

Ἔμμεναι, ὑπάρχειν, ῥῆμα, ἀπαρεμφάτου ἐνεστῶτος, τὸ γὰρ ὑπάρχειν σημαίνει. καὶ οἱ Δωριεῖς ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων — [8]) ὁ ἐνέστως εἰμί, ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν ἦμεν, ἡ μετοχὴ εἷς ἔντος, καὶ τὸ ἀπαρέμφατον εἶναι, καὶ Ἀττικῶς ἔμμεναι. καὶ εἰς τὸ ἴμεν.

Ἔμμορε, ἔτυχε, ἔλαχε παρὰ τὸ μορῶ τὸ ἐπιτυγχάνω, μορήσω, ὁ δεύτερος ἀόριστος ἔμμορον πλεονασμῷ τοῦ μ, τὸ δὲ [9]) ἔμμορες, ἐν γὰρ Κύπριδ' αἶσαν ἔμμορες. καὶ τὸ γ τῶν πληθυντικῶν ἔμμορον, οὐκ ἐμμόρασι.

Ἔμπεδα, ἑδραῖα, βέβαια καὶ ἀσφαλῆ, ἐν γῇ ἐρηρισμένα. πέδον γὰρ ἡ γῆ.

Ἐμπείραμος, πεῖρα ἡ γνῶσις, παρὰ τὸ πείθω τὸ πιστεύω, καὶ πεῖρα ὁ πειρασμός.

Ἐμπειρικὸς ἰατρὸς λογικοῦ διαφέρει. ἐμπειρικός ἐστιν ὁ ἐκ συνηθείας τινὸς ἰατρεύων, ἢ ἄλλοτι δίχα λόγου, λογικὸς δὲ ὁ μετὰ λόγου τὰς αἰτίας τῶν πραγμάτων ἀποδιδοὺς καὶ πληρῶν.

Ἐμόγησα, ἔκαμον· παρὰ τὸ μόγος βαρύτονον, γέγονε μογὸς ὀξύτονον. ἐκ τούτου ῥῆμα μογῶ, μογήσω, ἐμόγησα, συζυγίας πρώτης τῶν περισπωμένων.

Ἔμπαιγμα, ἐκ τοῦ παῖς παιδὸς, παίζω, καὶ κατὰ κρᾶσιν παίζω καὶ ἐμπαίζω. καὶ ἐξ αὐτοῦ ἔμπαιγμα.

Ἐμπαγῶ, ὑποτακτικὸν ἐκ τοῦ πήσσω πήξω, ὁ β ἀόριστος ἔπαγον, ἐπάγην, ἡ μετοχὴ ὁ παγεὶς τοῦ παγέντος, καὶ τὸ ὑποτακτικὸν ἐὰν παγῶ.

Ἐμπὶς, ἀσπὶς, σημαίνει δύο, τὸ ἑρπετὸν καὶ τὸ ὅπλον. καὶ τὸ μὲν ἑρπετὸν ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος τοῦ ὅπλου. οὕτω γὰρ συστρέψαν ἑαυτὸ, πολεμεῖ καὶ μά-

---

1) cf. v. ἐλλίβωρον praecedente pagina. v. 48. 2) τῇ ὀπίᾳ etc. Male. 3) Reliqua desunt. 4) Il. III, 86. 5) Od. XVII, 153. 6) Forf. Il. XXIV, 486. 7) μίξω διὰ τῆς οι (Sic.) L. μείξω διὰ τῆς ει etc. 8) Reliqua desunt. 9) δὲ lege β i. e. δεύτερον scil. πρόσωπον.

χεται. τὸ ὅπλον· γίνεται δὲ τὸ ὅπλον παρὰ τὸ σπίζω, ὃ σημαίνει τὸ ἐκτείνω, καὶ μηκύνω, ὁ μέλλων σπίσω, σπὶς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσπὶς, τὸ μὴ ἐκτάσει μεμηκυμένον, ἀλλ' εἰς περιφέρειαν κεκυκλωμένον. ἀσπὶς ἀσπίδος. ὁ κανών· τὰ εἰς ις θηλυκὰ διὰ τοῦ δος κλινόμενα ἁπλᾶ μὲν, οἷον κρηπὶς κρηπῖδος [1]). διὰτι ὀξύνεται; τὰ εἰς σπις θηλυκὰ δισύλλαβα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχονται, βαρύνονται, οἷον, τράπις, τράπιδος, ἔστι δὲ βαρβαρικὸν ὅπλον, θέσπις θέσπιδος, κάλπις κάλπιδος. εἰ δὲ ἀπὸ φωνήεντος, ὀξύνονται, οἷον, ἀσπὶς, ἐλπὶς, ἐμπὶς· σημαίνει δὲ καὶ τὸν κώνωπα· καὶ εἰς τὸ θεέπροπος.

Ἔμπλαστρον, διὰ τὸ ἐμπλάττειν καὶ τηρεῖν τὸν τόπον.

Ἔμπλην, πλησίον, ἐγγὺς, παρὰ τὸ πέλω ῥῆμα δηλοῦν τὸ πλησιάζω, καὶ κατὰ συγκοπὴν πλῶ, καὶ μετὰ τῆς ἐν προθέσεως ἔμπλην. Βοιώτων δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο [2]).

Ἐμπνοῦν, παρὰ τὸ ἄειν, ὅ ἐστι πνέειν. ἐμπνοῦν δὲ τὸν ζῶντα φαμέν· ἢ παρὰ τὸν αἰῶνα τῆς ζωῆς· οἱ γὰρ ζῶντες ἐν χρόνοις καὶ ἔτεσι διαμένουσι.

Ἔμπυον, τὸ ἕλκος. ἄμπυος ὁ δίχα ἕλκους πῦον καὶ χύμεθλον.

Ἐμπρησμὸς, παρὰ τὸ πρήθω τὸ καίω.

Ἐμπολήσομεν, ἐκεῖθεν ἡ ἐμπολὴ καὶ τὸ ἐμπόλησμα, ἡ συναγωγὴ τοῦ κέρματος. ἐμπολᾶν δὲ ῥῆμα συζυγίας δευτέρας τῶν περισπωμένων.

Ἔμπορος, ὁ πραγματευτὴς, καὶ ὁ τόπος αὐτὸς ἐμπόριον. τί λέγεται ἐμπόριον; ὁ κατάβολος· ἔνθα καταβάλλει τις τὴν ἰδίαν ἐμπορίαν.

Ἐμφοροῦν, πληροῦν, παρὰ τὸ ἐμφέρω γίνεται ἔμφορος, ὁ ἐν αὐτῷ φέρων τί. καὶ ἐξ αὐτοῦ ἐμφορῶ. ἡ μετοχὴ ὁ ἐμφορῶν καὶ τὸ οὐδέτερον τὸ ἐμφοροῦν. καὶ εἰς τὸ πνευματέμφορος.

Ἐμῶ, τὸ ξηρῶ, τὸ τὴν τροφὴν ἐκπέμπω. ἐκ τοῦ ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧμαι· καὶ ἐξ αὐτοῦ ῥῆμα ἐμῶ.

Ἐναμβρύνεσθαι, μεγαλοφρονεῖν, καυχᾶσθαι. ἀπὸ τοῦ ἐναμβρύνω. τοῦτο παρὰ τὸ ἅβρος ὅ ἐστι κοῦφος· τὸ τε ἅβρος παρὰ τὸ βάρος, καθ' ὑπερβιβασμόν. συντάσσεται πτώσει δοτικῇ.

Ἒν, κατὰ μίμησιν ὡς ἅπαξ.

Ἐναλλὰξ, παρὰ τὸ ἐναλλάξω ῥῆμα. ὡς παρὰ τὸ μίξω ἐπιμὶξ. καὶ εἰς τὸ ὑπόδρα.

Ἐνανθρωπῆσαι, παρὰ τὸ ἐνανθρωπῶ. τοῦτο δὲ παρὰ τὸ ἄνθρωπος. ὅτε μέν ἐστι σύνθετον, τότε γίνεται ἐνανθρωπῶ. ὅτε δὲ ἁπλοῦν, τότε ἄνθρωπος, ἀνθρωπίζω.

Ἐναντίος, ἐκ τοῦ ἐν προθέσεως, καὶ τοῦ ἀντίος γίνεται ἐναντίος, διὰ τοῦ ἰῶτα. τὰ διὰ τοῦ ιος ὀνόματα, πρὸ μίας τὸν τόνον ἔχοντα, καὶ ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' οὗ ἐπάγεται δύο σύμφωνα ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀστεῖος, Ἀργεῖος, Καδμεῖος. πλὴν τοῦ ἀντίος καὶ τοῦ ἐναντίος.

Ἔναρα, τὰ ἀπὸ πολέμων λάφυρα. ἐναρίζειν γάρ ἐστι τὸ φονεύειν. καὶ διὰ τοῦτο καὶ οἱ νεκροὶ ἔναροι. ἔναρος ὁ καταχθόνιος.

Ἐναρίζει, σημαίνει τρία ἡ λέξις. τὸ σκυλεύω, τὸ φονεύω, καὶ τὸ λαμβάνω τὰ βασταζόμενα.

Ἕνα νέον ἀριθμὸν φέρει, λήγοντα κατὰ ὕφεσιν μονάδος ἀπὸ τοῦ ἐννέα ἄχρι τῆς μονάδος.

Ἔνατος, πόθεν γίνεται; παρὰ τὸ ἐννεὸν αὐτὸν ἄγειν. ὁ γὰρ οὐχ εὕρηται ἐπὶ ἄλλου ἀριθμοῦ, ἐπὶ τοῦτο θεωρεῖται. εἰς μονάδα γὰρ λήγει. ἐννάκις γὰρ ἐννέα ὀγδοήκοντα μία.

Ἔναυλος, ἔμπνους. σημαίνει δὲ καὶ ῥοῦν, καὶ χαράδραν, καὶ χειμαῤῥοῦν, καὶ ἐναυλιζόμενον, ἐνοικοῦντα καὶ νεωστὶ γενόμενον τὸ οἴκημα, καὶ ἔνηχον αὐλόν. αὐλὸς γὰρ πᾶν τὸ στενὸν καὶ ἐπιμηκές. τοιοῦτος δὲ καὶ ὁ τῶν ὤτων τόπος.

Ἔναυλος, ποταμὸς διὰ στένου ῥέων. καὶ ἔναυλα μνημονεύματα.

Ἔν γε δή, τὸ ἔμπροσθεν γε δὴ σύνδεσμος.

Ἔνδεια, πενία, λιμός. ἔστιν ὄνομα δέα. καὶ γίνεται ἐκ τοῦ δέω τὸ χρήζω. καὶ πλεονασμῷ τοῦ ι δεῖα, καὶ μετὰ τῆς ἐν προθέσεως ἔνδεια, ἐξ οὗ ῥῆμα ἐνδεῶ, ἡ μετοχὴ ὁ ἐνδεῶν, καὶ τὸ οὐδέτερον ἐνδεόν. καὶ ἀπὸ μετοχῆς παρήχθη εἰς ὄνομα.

Ἐνδελέχεια, ἡ συνέχεια.

Ἐνδελεχέστατα, καὶ ἐνδελεχῶς τὸ συνεχῶς, παρὰ τὸ ἐνδέχομαι γίνεται ὄνομα ἐνδεχὴς, καὶ κατὰ πλεονασμὸν τῆς λε συλλαβῆς ἐνδελεχής· καὶ ἐνδελεχῶς ἐπίῤῥημα.

Ἔνδινα, τὰ ἔντερα, ἢ ἔνινα τινὰ ὄντα, τὰ ἐντὸς τῶν ἰνῶν.

Ἐνδίνων, ἐντέρων, παρὰ ἔνδον τῶν ἰνῶν πάσης τῆς σαρκὸς, ἢ ἐνδίνων τῶν παρὰ τῶν ἔνδον ὄντων.

Ἐναλίγκιος, ὁ ὅμοιος, παρὰ τὸ εἴκω τὸ ὁμοιῶ.

Ἐνδίνοισι, τοῖς ἐντοσθίοις μέλεσι, παρὰ τὴν ἔνδινος εὐθεῖαν.

Ἐνδέκατος, ἐκ τοῦ εἷς ἑνός. δέκατος καὶ ἐνδέκατος· καὶ μετὰ τοῦ ἓν ἀριθμοῦ γίνεται ἐνδέκατος [3]).

Ἐνδημῶ, παρὰ τὸ εἶναι ἐν τῷ δήμῳ ἐνδημῶ ἔστι.

Ἐναργέστατος, καὶ ἐναργῶς τὸ φανερῶς, παρὰ τὸ ἀργὸς τὸ σημαῖνον τὸ λευκὸν καὶ καθαρὸν καὶ φανερὸν, γίνεται ἐναργὴς, καὶ μετὰ τῆς ἐν προθέσεως καὶ ἐναργῶς ἐπίῤῥημα. καὶ ἐνάργεια ἡ φανερότης.

Ἔνδεος, ὁ μεσημβρινὸς παρὰ τὸ ἐνδεῖν καὶ ἐλαττοῦσθαι τὴν ἡμέραν· γράφεται διὰ τοῦ ι. παρὰ γὰρ τὸ ἰδίειν ἐστι, ὃ σημαίνει τὸ ἰδροῦν· ἐν γὰρ τῷ καιρῷ ἐκείνῳ ἔστιν ἰδροῦν.

Ἔνδον τοῦ ἔσω διαφέρει. ἔνδον μὲν γὰρ τὸ ἐν τόπῳ σημαίνει. ἔσω δὲ εἰς τόπον. ἔνδον μὲν γάρ ἐστιν ὁ παῖς, ἔσω δὲ εἰσέρχομαι. ἁμαρτάνει οὖν ὁ λέγων, ἔνδον εἰσέρχομαι, ἢ ἔσω ἐστιν ὁ παῖς. Σοφοκλῆς δὲ τὴν διαφορὰν συγχεῖ. φησὶ γὰρ ἐν Τραχινίαις, γυναῖκες αἵτ' ἔσω στέγης, αἵτ' ἐκτός· δεὸν εἰπεῖν αἵτ' ἔνδον γυναῖκες· καὶ Εὐριπίδης, καὶ τὸν γέροντα τήν τ' ἔσω δόμων, ἀντὶ τοῦ ἔνδον. Εὔβουλος ὁ τῆς κωμῳδίας ποιητὴς ἐν καλαθηφόροις, ὅπως δὲ σπεύσεσθαι ὅτι τίς γέρων ἔσω. δεὸν εἰπεῖν ἔνδον.

Ἐνάργεια, ἡ λόγων μὲν λευκότης καὶ φανότης· ἐνέργεια δὲ ἡ ἐν τοῖς λόγοις ταχύτης.

Ἕνεκα, σύνδεσμος αἰτιολογικός.

Ἐνεγκοῦσα μητέρα ἢ πατέρα.

Ἐνέργεια, κατὰ τὸ ἐνεργεῖν τι ἢ πράττειν. ἐνέργεια δὲ λέγεται τὸ ἐν ἔργοις ἰέναι, ἤγουν φαίνεσθαι.

---

1) διὰ τοῦ δος — κρηπῖδος. Corrig. ex Etym. M. v. ἀσπίς.

2) Il. II, 526.

3) (Sic.)

Ἔνδοξος καὶ ἐπίδοξος διαφέρει. ἔνδοξος μὲν γάρ ἐστι ὁ ἐπίσημος, ἐπίδοξος δὲ ὁ προσδοκώμενος καὶ ἐλπιζόμενος.

Ἔνεδρα, ἔγκρυμμα, δόλος, παρὰ τὸ ἕζω τὸ καθέζομαι ἕδρα καὶ ἔνεδρα, ἐν ᾗ καθέζονταί τινες μέχρις ἂν ἕλωσιν οἷς ἂν ἐπιβουλεύονται.

Ἐνήνοθε, τὸ θέμα ἐνέθω, ὁ μέλλων ἐνέσω, ὁ παρακείμενος ἤνεκα· ἤνεθα Ἀττικῶς. τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ε καὶ ν ἐνήνοθα. καὶ προσέλαβε τὴν ἐπὶ πρόθεσιν καὶ ἐγένετο ἐπενήνοθα. τὸ γ πρόσωπον ἐπενήνοθεν.

Ἐνεῖκα, σημαίνει τὸ ἤνεγκα, καί ἐστιν Ἰωνικὸν, ἔστιν ἐνέγκω ὁ ἐνέστως, ὁ μέλλων ἐνέγξω, ὁ μέσος παρακείμενος ἤνεγκα, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἤνεικα, καὶ ἐκεῖθεν ἐνεῖκαι τὸ ἀπαρέμφατον, διὰ τῆς ει διφθόγγου. καὶ ὥσπερ ἀπὸ τοῦ αἰεὶ γίνεται αἶεν, τροπῇ τοῦ ι εἰς ν, οὕτω καὶ ἀπὸ τοῦ ἔνεικα γίνεται ἔνεγκα. διὰ τοῦ γ δὲ γράφεται, ἐπειδὴ ἐπιφέρει τὸ κ. τὸ δὲ ν ἐπιφερομένου τοῦ γ, ἢ κ, ἢ χ, ἢ ξ, ἐν μίᾳ λέξει τρέπεται εἰς γ. οἷον, συγγένεια, συγξηρᾶναι, ἐγκέφαλος, ἔγχος. πρόσκειται ἐν μίᾳ λέξει, διὰ τὸ ἐν χειρί.

Ἐνείκασθαι, ἐνεγκεῖν.

Ἐνείρω, ἐμπερονήσω, συναρμόσω, συμπλέξω, συνάψω. εἴρω οὖν τὸ συμπλέκω, παρὰ τὸ ἀρῶ ὃ σημαίνει τὸ ἁρμόζω, τροπῇ τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ ι.

Ἕνεκα, σύνδεσμος αἰτιολογικὸς τοῦ οὕνεκα διαφέρει. τὸ μὲν οὕνεκα σημαίνει τὸ διότι. οὕνεκα καλὸν εἶδος ἐπ' ἄλλου. τὸ δὲ ἕνεκα τὸ χάριν. ἕνεκα ῥιγεδάνης Ἑλένης.

Ἐνεκαυχήσαντο, ἐκ τοῦ καυχῶ καυχήσω, τοῦτο παρὰ τὸ καῦχος, τοῦτο παρὰ τὸ αὔχην, τοῦτο παρὰ τὸ αὔω τὸ ξηραίνω, αὐὴν καὶ αὐχήν. τοῦτο παρὰ τὸ ὕω τὸ βρέχω, καὶ μετὰ τοῦ στερητικοῦ α ἄυω, τὸ οὐ βρέχω, καὶ κατὰ κρᾶσιν αὔω.

Ἕνεκα σφιν, ἀντὶ τοῦ χάριν.

Ἐνεκότουν μοι, ἐμηνίαζον, ἔχραινον, ἐμίσουν. ἔστι κεῖμαι, τὸ τρίτον κεῖται, καὶ ἐξ αὐτοῦ κότος ἡ ὀργὴ, ἐξ αὐτοῦ κοτῶ καὶ ἐγκοτῶ, ὁ παρακείμενος ἐνεκότουν, καὶ τὸ γ τῶν πληθυντικῶν ὁμοίως. ἔστι δὲ καὶ δευτέρας συζυγίας τῶν περισπωμένων, κοτῶ κοτᾷς.

Ἐνεὸς, ὁ ἄφωνος, ἀπὸ τοῦ τὴν ἰωὴν παρ' ἑαυτῷ ἔχειν.

Ἐνενήκοντα εἰς τὸ ἑβδομήκοντα.

Ἐνεῶ, εἰς τὸ κωφός.

Ἐνεόχμασαι, ἠλλοίωσαι, ἢ ἐκαινοποίησαι, ἀπὸ τοῦ νεὸς καὶ τοῦ ἔχω, νεοχῶ, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ μ νεοχμῶ. συντάσσεται μετὰ αἰτιατικῆς.

Ἔνερθεν, ὑποκάτωθεν, ὑπένερθεν. ὑπένερθεν δύο μέρη λόγου, ὑπὸ πρόθεσις· ἔνερθεν ἐπίρρημα τοπικόν. ἔνερον ὃ σημαίνει τὸν νεκρόν. Ὅμηρος, ἄναξ ἀνέρων. ἐξ αὐτοῦ ἀνέροθεν, καὶ συγκοπῇ ἄνερθεν [1]. ἢ παρὰ τὸ ἔρα, ὃ σημαίνει τὴν γῆν. ἔρα, ἔραθεν, καὶ ἔνερθεν. κατὰ τροπὴν τοῦ ρ εἰς ν· καὶ εἰς τὸ ἔνερθεν.

Ἔνεροι, οἱ νεκροί. παρὰ τὸ ἐν τῇ ἔρα κεῖσθαι, ἤγουν τῇ γῇ.

Ἐνερόχρωτες, νεκρόχρωτες, νεκρόχροι ἀνέχοντες. ἔνεροι γὰρ οἱ νεκροὶ, οἱ ἐν τῇ ἔρᾳ ὄντες, τουτέστι τῇ γῇ.

Ἐνέσω, ὁ μέλλων, οὗ τὸ θέμα ἐνέθω, ὁ παρακείμενος ἤνεκα, ἤνεθα Ἀττικῶς, τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ε καὶ ν, ἐνήνοθα.

Ἐνεστῆσι, περόναις, ἀπὸ τοῦ ἐνίεσθαι τοῖς ἱματίοις, ὅ ἐστιν ἐμπερονᾶσθαι.

Ἔνεστι, τὸ πλῆρες ἔνι ἐστί.

Ἐνέχυρον, τὸ εἰς ἀσφάλειαν ἀντάλλαγμα, ἀπὸ τοῦ ἔχω τὸ κρατῶ. ἔχυρον. καὶ ἐνέχυρον, ἢ παρὰ τὸ ὀχυρὸν ὅπερ δηλοῖ τὸ ἀσφαλές.

Ἐνηὴς, ὁ πρᾶος καὶ ἡδὺς, παρὰ τὸ ἥδω ἥσω. καὶ Ὅμηρος, ἐπεί με πρῶτον ἧσας, ἀντὶ τοῦ ἥδυνας. καὶ ἄλλως, ἥσατο δ' αἰνῶς. ἢ παρὰ τὸ ἥκω, καὶ τὸν νικήτω μέλλοντα.

Ἐνήκισεν, ἐμάστιξεν.

Ἐνέπω, λέγω, ἀπαγγέλλω.

Ἔνερσε, συνέπλεξεν.

Ἐνεφράγην, ἐκ τοῦ φράσσω, ὁ δεύτερος ἀόριστος ἔφραγον, καὶ ὁ παθητικὸς ἐφράγην.

Ἐνέρειν, ὅ ἐστι φονεύειν, παρὰ τὸ Ἄρην Διὸς εἶναι, παρέπεσθαι αὐτῷ τὸν Ἐνυάλιον, ὡς Ἀθηνᾷ τὴν Νίκην, καὶ Ἀρτέμιδι τὴν Ἑκάτην. Δημήτριος δὲ τρόφον Ἄρεως φησὶν Ἐνυάλιος συμβίας δὲ θυγατρὸς αὐτοῦ. οἱ δὲ Διὸς καὶ Ἐνυοῦς γενέσθαι τὸν Ἄρεα.

Ἐνισχυμένον, ἐγκεκρατημένον, ἐκ τοῦ ἰσχύω.

Ἐν ἡμίσει, ἐν πρόθεσις, ἥμισυ πτώσει δοτικῇ, ἡ εὐθεῖα τὸ ἥμισυ, τοῦ ἡμίσεος, τῷ ἡμίσεϊ καὶ ἡμίσει. τοῦτο παρὰ τὸ ἥμισυ. τοῦτο παρὰ τὸ ἅμα καὶ τὸ ἴσος, ἁμαίϊσυς, ἅμισυς καὶ ἥμισυς καὶ ἥμισυ.

Ἔνθους, κατὰ συναλοιφὴν, ὁ ἐνθιαζόμενος, ἔνθεος, ἔνθους.

Ἐνήνοθεν, ἀπὸ τοῦ ἐνέθω θέματος, οὗ ὁ μέλλων ἐνέσω, ὁ παρακείμενος ἤνεκα, ἤνεθα Ἀττικῶς. τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ε καὶ ν, ἐνήνοθα. καὶ προσέλαβε τὴν ἐπὶ πρόθεσιν, καὶ ἐγένετο ἐπενήνοθε. καὶ τὸ τρίτον πρόσωπον ἐνήνοθεν.

Ἔνθα, καὶ ὅπου.

Ἐνθάδε, γίνεται ἐκ τοῦ ἔνθα τοπικοῦ ἐπιῤῥήματος, ἐπεκτάσει τῆς δε. καὶ ὤφειλεν εἶναι ἔνθαδε. ἀλλὰ κανών ἐστιν ὁ λέγων. ὅτι τὰ κατὰ παρὰ Ἀττικοῖς φωνὴν παραχθέντα εἰς δε, μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα, πρὸ μίας ἔχουσι τὸν τόνον, τοῖος, τοιόσδε, τῆμος τημόσδε, τηνίκα τηνικάδε. τὸ ἔνθα ἐνθάδε. καὶ ἀποροῦσί τινες λέγοντες πόθεν γίνεται τὸ ἐνθάδε; καὶ λέγουσι ἐκ τοῦ ἔνθεν, πόθεν δῆλον ἐντεῦθεν· τὰ εἰς θα δισύλλαβα ἐπιῤῥήματα, οὐκ ἐκ μεταθέσεως ὄντα τοῦ θε ὀξύνεσθαι θέλουσιν. οἷον, δηθὰ, τριχθά· εἰ οὖν καὶ τὸ ἔνθα οὐκ ἐκ μεταθέσεως ὑπῆρχε τοῦ ἔνθεν, ὤφειλεν ὀξύνεσθαι. οὐκ ἄρα ἐστὶ τὸ ἔνθεν ἐκ τοῦ ἔνθα.

Ἐνθαδὶ, διὰ τοῦ ι, ὥσπερ ἀπὸ τοῦ δεῦρο γίνεται δευρὶ, κατὰ τροπὴν τοῦ ο εἰς ι, οὕτω καὶ ἀπὸ τοῦ δε γίνεται δι κατὰ τροπὴν τοῦ ε εἰς ι. ἄλλως δὲ διὰ τοῦ ι ἐπέκτασίς ἐστιν. αἱ δὲ ἐπεκτάσεις οὐ γίνονται διὰ διφθόγγου· οἷον, ἐκεῖνος, ἐκεινοσὶ, νῦν νυνὶ, οὗτος οὑτοσὶ, οὕτως ἐνθάδε ἐνθαδί. τὸ γὰρ οἱονεὶ καὶ ὡσπερεὶ διὰ τῆς ει διφθόγγου, οὐ γὰρ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ εἰσὶ κατ' ἐπέκτασιν, ἀλλὰ διάφορα μέρη λόγου εἰσί. τὸ μὲν γὰρ οἱονεὶ δύο μέρη λόγου εἰσίν. ἔστι γὰρ τὸ οἷον ὄνομα, καὶ τὸ ει συναπτικὸς σύνδεσμος. τὸ δὲ ὡσπερεὶ τρία μέρη λόγου εἰσίν· τὸ γὰρ ὡς ἐπίῤῥημα παραβολῆς, ὁ δὲ πὲρ σύνδεσμος παραπληρωματικὸς, ὁ δὲ ει σύνδεσμος συναπτικός. ἰστέον δὲ ὡς φησὶν ὁ τεχνικὸς, ἔθος ἔχουσιν αἱ εἰς σύμφωνον λήγουσαι δέχεσθαι ἐπέκτασιν, τὴν διὰ τοῦ ι. οἷον, νυνὶ, δευρί· αἱ δὲ εἰς φωνῆεν λήγουσαι λέξεις ἢ τὰ φωνήεντα τρέπουσιν εἰς ι, οἷον, ἐνθάδε ἐνθαδὶ, ἢ τὸ ι παραλαμ-

[1] Corrupta.

βαινουσι, κατὰ διάστασιν, οἷον, αὕτη, αὑταί, τοῦτο τουτοί.

Ἔνθους, ὁ ὑπὸ θεοῦ κινούμενος, καὶ κατὰ συναίρεσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον ἔνθους.

Ἐνθύμημα καὶ ἐνθύμιον διαφέρει. τὸ μὲν γάρ ἐστιν ἐνθύμημα, ποίου λόγου σχῆμα· τὸ δὲ ἐνθύμιον ἐπίθετο ἀντὶ τοῦ τροπαίου παρὰ Ἀττικοῖς, ὡς φησὶν Ἀντιφῶν ἐν τοῖς Φοινικοῖς, τεθνεὼς οὗτος, ὑμῖν ἐνθύμιος γενήσεται.

Ἔνι, ὑπάρχει, ποίου μέρους λόγου ἐστί; ῥήματος. πόθεν δῆλον; ἡνίκα ἐπὶ τῆς προθέσεως πλεονάζει τὸ ι, μετάγεται εἰς ῥηματικὴν σύνταξιν. σημαίνει δὲ τὸ ὑπάρχει. ὡς τὸ οὐκ ἔνι δοῦλος, οὐκ ἔνι ἐλεύθερος.

Ἐνίαυεν, εἰς τὸ ἐνιαυτός.

Ἐνιαυτὸς, ὁ χρόνος, παρὰ τὸ ἐν αὐτῷ εἰληφέναι τοὺς χρόνους, καὶ τοὺς μῆνας. τὸ νι ι διάτι; ὥσπερ ὁμοίως. οἱ δὲ παρὰ τὸ ἰαύω τὸ ἐνδιατρίβω, ὡς λέγει Φιλόξενος, καὶ ἐν συνθέσει ἐνιαύω, καὶ ἐξ αὐτοῦ ἐνιαυτὸς, οἱονεὶ ὁ ἐνδιάτριπτος χρόνος. καὶ Ὅμηρος· ἔνθα κύκλωψ ἐνίαυε πελώριος.

Ἐνιαυτὸς, παρὰ τὸ ἐν ἑαυτῷ διειληφέναι τὰ πάντα, τοὺς καρποὺς, καὶ τὰς τροφὰς, ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; ἐπιμεριζομένου. ἡ κλητικὴ οὐκ ἔχει. ἡ γὰρ κλητικὴ πρὸς παρόν ἐστιν.

Ἔνιγμα, εἰ μὲν σημαίνει τὸ ἐπίπληγμα διὰ τοῦ ε ψιλοῦ γράφεται· καὶ γίνεται ἐκ τοῦ ἐνίσσω τὸ ἐπιπλήσσω. εἰ δὲ καὶ τὴν παραβολὴν καὶ τὸν σκοτεινὸν λόγον διὰ διφθόγγου, καὶ γίνεται ἐκ τοῦ αἰνίσσω, τὸ αἰνιγματωδῶς λέγω. τὸ αι δίφθογγος διάτι; ἐκ τοῦ αἰνὸς, ὃ σημαίνει τὸν δεινὸν καὶ φοβερόν· τοῦτο ἐκ τοῦ δεινὸς, αἰνὸς, οἱ γὰρ Ἴωνες, ἡνίκα ὕφεσιν ποιήσωνται τοῦ συμφώνου, τότε καὶ τὸ παραλῆγον φωνῆεν τρέπουσιν εἰς α, οἷον δεινὸς αἰνὸς, μέχρις ἄχρις.

Ἐνὶ οἴκῳ, ἐν τῷ οἴκῳ, ὀρθοτονεῖται ἡ ἐν πρόθεσις. ἔστι δὲ κατὰ πλεονασμὸν τοῦ ι. ἰστέον δὲ ὅτι τότε ἀναστρέφονται αἱ προθέσεις, ὅτε λείπει ῥῆμα. γίνεται δὲ ἀντὶ ῥήματος. οἷον, παρ᾽ ἐμοίγε· πάρα γὰρ θεοί εἰσι. καὶ ἔνι τοι φρένες οὐδ᾽ ἠβαιαί· καὶ ὅτε μεταξὺ δύο ὀνομάτων τεθῇ, ἔστι δὲ ἡ σύνταξις αὕτη. ξυλόχου κάτα βοσκομενάων. πρότερον δὲ τὸ ὄνομα· ξάνθῳ ἔπι δινήεντι, νηῶν ἄπο καὶ κλισιάων. καὶ ὅτε ἐπιτέτακται τινὶ ἀμέσως, οἷον, ᾧ ἔπι, ἀντὶ τοῦ ἐφ᾽ ᾧ. καὶ ὅτε εὑρεθῇ ἐπὶ τέλους, οἷον, Ἀρτέμιδι ξύν. εἰ δὲ οὕτως ἔχει, ὀρθοτονεῖται, καὶ φυλάττει τὸν ἴδιον τόνον. τὸ δὲ ἔνι ὀρθοτονεῖται μετὰ ὀνόματος, ἵν᾽ ᾖ μὴ ἀναστρεφόμενον σημαίνει ῥῆμα.

Ἐνίοτε, ἔστιν ὅτε ἐπίρρημα χρόνου δηλωτικὸν, ἡ ἐν πρόθεσις λαμβάνει τὸ ι. καὶ καταβιβάζει τὸν τόνον.

Ἐνιπεὺς, ὄνομα ποταμοῦ διὰ τοῦ ι ἀπὸ γὰρ τοῦ ἐνιπὴ τοῦ σημαίνοντος τὴν ἀπειλὴν γέγονε. καὶ γὰρ οὗτος ὁ ποταμὸς ἄγριός ἐστι καὶ ἀπειλοῦντι ἔοικε. τὸ δὲ ἐνιπὴ γέγονε ἀπὸ τοῦ ἐνίπω, ὅ ἐστιν ἐπίπληξις καὶ λοιδορία.

Ἐνίπη, ἡ διὰ λόγων ἐπίπληξις, παρὰ τὸ ἔπω καὶ ἐνέπω.

Ἐνίπω, τὸ θέμα, ὃ σημαίνει τὸ ἐπιπλήσσω. τοῦτο δὲ ἐκ τοῦ ἐννέπω, ἐκ τούτου οὖν γίνεται τὸ ἐνίπω. τὸ γὰρ ε ἡνίκα πλεονάσῃ σύμφωνον τρέπεται εἰς ι. ὁ μέλλων ἐνίψω ὁ παρακείμενος ἤνιφα, ὁ μέσος ἤνιπα, καὶ ἐπεκτάσει τῆς πα συλλαβῆς ἠνίπαπα, καὶ ἔχει τὸ π.

Ἔνισπεν, εἶπε, ῥῆμα χρόνου ἀορίστου, ἢ ἐνεστῶτος, ἢ παρατατικοῦ. ἁπλῆ δὲ ἡ λέξις αὐτοῦ, ἀπὸ τοῦ ἴσπω ἐνίσπω, καὶ ἔνισπεν, ὡς ἤλαυνεν ἔλαυνεν, οὕτω καὶ σὺ δέ μοι νημερτὲς ἔνισπε, οὕτω καὶ ἴσχω ἴσχων, οὕτω σπῶ ἴσπων. καὶ ὥσπερ ἔσχω ἴσχες, οὕτω καὶ ἔσπω ἴσπες ἴσπε καὶ ἔνισπε.

Ἐννέα, ἀπὸ τοῦ ἐνδεῖν εἰς τὸν δέκατον ἀριθμόν.

Ἐννέα, διὰ δύο νν, καὶ ἔνατος δι᾽ ἑνὸς ν. ψιλὰ πρὸ τῶν δύο νν ψιλοῦται. ὁμοίως καὶ πρὸ τοῦ ἑνὸς χωρὶς τῶν συνδέσμων, καὶ εἰ μὴ ἐγκλίσεως εἴη, οἷον ἐνιῶ, ἔνδυοι. διὰ τοῦ η πάλιν, οἷον ἤνις ἠκέστης. τὸ ἠνία ἐπειδὴ παρὰ τὸν ἤσω μέλλοντα, ὁμοίως τῷ ποιήσαντι ἐδασύνθη. πρόσκειται τὸ χωρὶς τῶν συνδέσμων, διὰ τοῦ ἕνεκα, εἵνεκα [1]).

Ἐννὰς, λέγεται παρὰ τὸ ἓν νεὸν, αὕτη γὰρ πολυπλασιαζομένη ἐπὶ τοὺς ἑξῆς ἀπὸ μονάδος ἀριθμοὺς, ἕνα νεὸν ἀριθμὸν φέρει λήγοντα κατὰ ὕφεσιν μιᾶς μονάδος, ἀπὸ τοῦ ἐννέα ἄχρι τῆς μονάδος. ἅπαξ ἐννέα, ἐννέα· δὶς ἐννέα, δεκαοκτώ. τρὶς ἐννέα κζ. τετράκις ἐννέα λϛ. πεντάκις ἐννέα με. ἑξάκις ἐννέα νδ. ἑπτάκις ἐννέα ξγ. ὀκτάκις ἐννέα οβ. ἐννέα πα. ὅρα οὖν πῶς ὁ ἔνατος πολυπλασιαζόμενος κατὰ πρόσβασιν, ἀφαίρεσιν πάσχει μιᾶς μονάδος, ἐννέα δύο δεκαοκτὼ, ἐννέα τρεῖς κζ. ἐννέα τέσσαρες λϛ. ἐννέα πέντε με. ἐννέα ἓξ νδ. ἐννέα ἑπτὰ ξγ, ἐννέα ὀκτὼ οβ, ἐννέα ἐννέα πα.

Ἐννῆμαρ, ἐπὶ ἐννέα ἡμέρας. κἂν παρὰ τὸ ἦμαρ συντεθῇ οὐκ ἔστιν ὄνομα, ἀλλ᾽ εἰς ἐπιρρηματικὴν καὶ ἄκλιτον σύνταξιν μετέρχεται, καὶ σημαίνει χρόνον τινά. τοιοῦτον ἔστι καὶ τὸ ἐξῆμαρ καὶ αὐτῆμαρ. δεῖ γινώσκειν, ὅτι οὐδὲν τῶν εἰς αρ συντεθειμένων διὰ τοῦ ι γράφεται, ἀλλὰ διὰ τοῦ η, οἷον, ἐξῆμαρ, αὐτῆμαρ, τὸ δὲ ἦμαρ ἀεὶ μετὰ ἀκλίτων τάττεται. ἐχρῆν δὲ τὸ ἐννῆμαρ προπαροξύνεσθαι, ὡς παρ᾽ οὐδετέρου παρηλλάγη. διότι καὶ ξένη ἡ σύνθεσις. τὰ δὲ ἀπὸ τῶν ἦμαρ σύνθετα προπερισπᾶται, οἷον, ἐξῆμαρ, ἐννῆμαρ, οὐδὲν γὰρ τῶν εἰς αρ συνθέτων οὐδετέρων προπαροξύνεται.

Ἐνοπὴ, ἡ κραυγὴ, φωνή· εἴρηται δὲ παρὰ τὸ ἐννέπειν, ὅ ἐστι λέγειν καὶ λέγεσθαι. ἐνοπὴ δὲ ἡ μάχη· τὸ δὲ ἐνοπῇ καὶ κλαγγῇ ἐπιρρήματα εἰς πνεότατα [2]) ὡς τὸ σιγῇ. γίνεται παρὰ τὸ ὄψ ὃ σημαίνει τὴν φωνὴν, καὶ γράφεται διὰ τοῦ ο μικροῦ. λοιπὸν ἐκ τῆς ὀπὸς γενικῆς γίνεται μετὰ τῆς ἐν προθέσεως ἐνοπή. ὁ κανών· τὰ ἀπὸ διαφόρων πτώσεων.

Ἐνωπὴ, ἡ πρόσοψις. καὶ γίνεται παρὰ τὸν ὦπα τὸν ὀφθαλμόν.

Ἐνοχλῶ, ἐκ τοῦ ὄχλος, τοῦτο παρὰ τὸ ἀχλὺς, τοῦτο παρὰ τὸ ἄγαν καὶ τὸ εἰλῶ τουτέστιν ἡ ἄγαν ἀποκρύπτουσα καὶ συγκλείουσα.

Ἔντεα, ὅπλα, εἴρηται δὲ παρὰ τὸ ἐντὸς περιέχειν καὶ σκεπάζειν, ἢ καὶ περιλαμβάνειν τὸ σῶμα, οἷον, σκεπαστήρια τινὰ ὄντα. λέγεται δὲ καὶ τὰ πρὸς τὴν εὐωχίαν σκεύη. ὡς ἐκεῖ μνηστῆρες ἀπεκόσμεον ἔντεα δαιτα.

Ἐνοσίχθων, ὁ τὴν γῆν κινῶν ποσειδῶν, ἔνωσις γὰρ ἡ κίνησις λέγεται. δοκοῦσι γὰρ οἱ σεισμοὶ ἐξ αὐτοῦ εἶναι.

---

1) F. ἠνίκα 2) L. εἰσι ποιότητος, vid. Etym. M.

Ἐντεριώνη, τὸ ἐντός· καὶ εἶδος βοτάνης, καὶ ὁ φλοιὸς τοῦ δένδρου.

Ἔντερα, παρὰ τὸ δι' αὐτῶν ῥεῖν τὴν τροφήν· καὶ ἔντερον τὸ ἀπ' αὐτῶν περίττωμα. ἢ διὰ τὸ ἐντὸς ῥεῖν. ἢ παρὰ τὸ ἐντὸς ἀρηρέναι. ἢ παρὰ ἐντὸς εἰλεῖσθαι, ἔντελόν τι ὄν, τὸ ἐντὸς εἰλούμενον.

Ἐντόσθια καὶ ἐνδόσθια, παρὰ τὸ ἐντὸς ἐπίῤῥημα, ὃ σημαίνει τὸ ἔσω. ἐντόσθια τὰ ἔσω τοῦ σώματος κείμενα. οἱ δὲ λέγουσιν ἐνδόσθια παρὰ τὸ ἔνδον.

Ἐνυάλιος, ὁ Ἄρης, καὶ ὁ πολεμιστής, ἢ ὁ πολεμικός, ἢ ὁ πόλεμος, καὶ ἐνυάλιον πόλεμον, παρὰ τὸ τὴν Ἐνυῶ προστάτιν δαίμονα τοῦ πολέμου εἶναι, κτητικῷ τύπῳ Ἐνυῶ ἔνυος καὶ πλεονασμῷ τῆς αλι ἐνυάλιος, ὁ προσφιλὴς τοῖς τῆς θεᾶς Ἐνυοῦς ἔργοις· καὶ αὐτὸς ὁ πόλεμος. καὶ εἰς τὸ ἐναρίζοι.

Ἐνυῶ, πολεμικὴ θεός, ἀπὸ τοῦ ἐνύειν τοῖς πολέμοις τὴν μάχην. ὅθεν καὶ ὑσμίνη ἡ μάχη. καὶ εἰς τὸ ἄποινον, οὕτω Φιλόξενος.

Ἐνύπνιον, ὄναρ, ὅραμα. ἐπίῤῥημα, ἀπὸ γὰρ ὀνόματος μετήχθη εἰς ἐπίῤῥημα, ἀντὶ τοῦ ἐνυπνιώς, ἢ ἐν ὕπνῳ. εἴρηται δὲ παρὰ τὸ ἐν ὕπνῳ ὄν.

Ἐνύσταξαν τὸ θέμα νυστάζω, τοῦτο παρὰ τὸ νευστάζω, τοῦτο παρὰ τὸ νεύω. τί διαφέρει τὸ κινεῖν καὶ νευστάζειν; ἡ μὲν φωνὴ διαφέρει, τῷ δὲ σημαινομένῳ οὐδαμῶς, ἴσον γάρ ἐστι τὸ κινεῖν καὶ νευστάζειν. καὶ Ὅμηρος νευστάζων κόρυθι βριαρῇ. καὶ τὸ νευστάζον κάρα ἰούδας.

Ἐνχρῷ ἐγγὺς πρὸς αὐτῷ τῷ χρωτί, ἀποκοπῇ τῆς τι συλλαβῆς μετὰ τῆς ἐν προθέσεως ἐνχρῷ· καὶ μετὰ τοῦ ν καὶ τοῦ γ.

Ἐνχρῷ κόσμησις. ἰστέον ὅτι δύο μέρη λόγου εἰσὶ τὸ ἐνχρῷ, πρόθεσις δηλονότι καὶ ὄνομα, καὶ οὐχ ὥς τινες ἐνόμισαν ἐπίῤῥημα, καὶ προσγραφομένου μὲν τοῦ ι ἡ κλίσις τοῦ χρωτός. Ἀττικῶς. ὁ χρὼς γὰρ τοῦ χρῶ, τῷ χρῷ, τὸν χρῶν, ὥσπερ Ἀττικῶς ὁ γέλως, τοῦ γέλω, μὴ προσγραφομένου δὲ εὔδηλον ὡς ἀποκοπῆς γενομένης τῆς τελευταίας συλλαβῆς ἐν χρῷ εἴρηται, χρωτὶ γὰρ ἀπεκόπη. ἐνχρῷ δὲ κόσμησιν λέγομεν τὴν ἐν χρωτί. ἤγουν εἰς βάθος κουράν.

Ἐνδίνοισι, ἐν τοῖς ἐγκάτοις. ἔστι δίνη ἡ συστροφή. καὶ οὐδέτερον τὸ δῖνος, τοῦ δίνου, τῆς δίνης, ἢ τὸ δῖνον, τοῦ δίνου, τοῖς δίνοις καὶ τοῖς δίνοισι.

Ἔνω, τὸ φονεύω, ὅθεν καὶ Ἐνυῶ ἡ πολεμικὴ θεός· καὶ Ἐνυάλιος. τὸ δὲ ἔνω παρὰ τὸ ἕλω τὸ φονεύω, ἐξ οὗ καὶ εἷλε καὶ ἀνεῖλε.

Ἕξ, παρὰ τὸ ἐξισάζειν αὐτὸν τοῖς οἰκείοις μέρεσι, ἢ διὰ τὸ ἔξωθεν εἶναι τῶν πέντε.

Ἐξάδιος ὁ ἐξοχὴν ἐν τῷ διώκειν ἔχων.

Ἐξαιρετῶς, ἐπίῤῥημα μεσότητος. τὸ ἀρσενικὸν ὁ ἐξαίρετος καὶ τὸ θηλυκὸν ἡ ἐξαίρετος. γίνεται ἐκ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ. σεσημείωται τὸ αἴρω δασυνόμενον. αἴρω οὖν αἵρετος καὶ ἐξαίρετος. προπαροξύτονα δέ, ἐπειδὴ τὰ διὰ τοῦ ετος ὑπὲρ δύο συλλαβὰς προπαροξύνεσθαι θέλουσιν· οἷον, ἀριδείκετος, ἀκαμάκετος, παλινάγρετος, χωρὶς εἰ μὴ ἁπλᾶ ὄντα πρὸ τοῦ ε τὸ π ἔχει, ἢ ἀπὸ ῥήματος σύνθετα γέγονε. διὰ τὸ ἐπαινετὸς καὶ ἐπαινέσω. σεσημείωται τὸ ἀφυσγετός, ὃ σημαίνει τὴν ἀκαθαρσίαν· πρόσκειται εἰ μὴ ὄντα ἁπλᾶ πρὸ τοῦ ε τὸ π ἔχει, διὰ τοῦ Ἰαπετός.

Ἐξαίρετος, εὐειδής, καλός, πρόκριτος, λίαν ἐπίλεκτος.

Ἐξαιρέτως πλείω πάντων.

Ἐξαίσιον, παρὰ τὸ καθῆκον γενόμενον μέγα· ἢ οὐκ ἀγαθόν· καὶ πότε μὲν δηλοῖ τὸ ἀγαθόν, πότε δὲ τὸ ἄδικον. τὸ ἔξω τοῦ πρέποντος. ἢ ἐξαίσιον τὸ ἄδικον, τὸ ἔξω τῆς αἴσης, ἤγουν μοίρας.

Ἐξαλαπάξαι, πορθῆσαι, φθεῖραι· ἐκ τοῦ λάπαθος ἔστι βοτάνη κενωτική, καθαρτικὴ γαστρός, καὶ γίνεται παρὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὸ πάθος, παρὰ τὸ λίαν ἄποθεν ἡμῶν ποιεῖν τὰ πάθη. ἐκ τούτου γίνεται λαπάζω καὶ πλεονασμῷ τοῦ α ἀλαπάζω, καὶ ἐξαλαπάξαι. καὶ εἰς τὸ ἀλαπάζοντα.

Ἐξακευόμενον, ἐξιώμενον, παρὰ τὸ ἀκεύω ῥῆμα, κατὰ τὸν παρατατικὸν Ἰωνικὸν ἐκ τοῦ αὐτοῦ ἤρξατο στοιχείου.

Ἐξαιρουμένους, λελυτρωμένους, τὸ θέμα ἐξαιρῶ, ἐξαιροῦμαι, καὶ ἐξαιρούμενος. τοῦτο δὲ παρὰ τὴν ἐξ πρόθεσιν, καὶ τὸ αἱρῶ τὸ ἐπικαλῶ παραλαμβανόμενον, ἐξ οὗ καὶ διαιρῶ, καὶ συναιρῶ, καὶ καθαιρῶ, καὶ ἐξαιρῶ καὶ ἀφαιρῶ. ὅταν δὲ βαρύνεται καὶ ψιλοῦται, καὶ ἐπὶ κακῷ παραλαμβάνεται, οἷον, αἴρω, ὑπαίρω, καθαίρω, καὶ εἴ τι ὅμοιον.

Ἐξανέψιοι καὶ ἐξανεψιοὶ διαφέρει. βαρύνεται μὲν οἱ ἀμέριμνοι, ὀξύνεται δὲ οἱ πρὸς γένος.

Ἐξάνθης, ἐξεστηκὼς μαινόμενος, ἢ εὐλαβής.

Ἐξανυμφεύτου· ἔστι νύμφη, ἐκ τούτου παράγωγον νυμφεύω, καὶ ῥηματικὸν ὄνομα νυμφευτής· τὸ δὲ νύμφη ἀπὸ τοῦ νέαν φαίνεσθαι.

Ἐξανθήσουσιν, ἐκ τοῦ ἀνθῶ, τοῦτο παρὰ τὸ ἄνθος, τοῦτο δὲ παρὰ τὸ ἄνω θέειν.

Ἐξαμείβεαι, παράλλαξον, ἀποδιδούς.

Ἐξκούβιτος, ἐξ οὗ ἡ ζωή, βίτα γὰρ Λατινιστί, ἡ ζωή· καὶ εἰς τὸ ἐξκούβιτον.

Ἐξπλοράτορες, κατάσκοποι.

Ἐξκούσατος, παρῃτημένος. ἔστι δὲ ῥῆμα συλλογιστικόν.

Ἐξάποινα ἐκ τοῦ ἄφνω, ἄφινα καὶ ἄπινα, τὸ δὲ ἄφνω ἐκ τοῦ ἀφανής, ἀφανῶς, καὶ κατὰ συγκοπὴν ἄφνω. καὶ ἐξαίφνω. γράφεται δὲ διὰ τῆς αι διφθόγγου καὶ ἐξ αὐτοῦ ἄπινα.

Ἐξαίφνης, ἐκ τοῦ φαίνω ἀφάνης, καὶ ἐξ αὐτοῦ ἄφνης καὶ ἐξαίφνης.

Ἐξαπινεως ἐκ τοῦ ἐξάπινα, ὃ σημαίνει τὸ ἀθρώς.

Ἐξήλειψα, ἠφάνισα.

Ἑξάς, οἱονεὶ ἐξίσας, παρὰ τὸ ἐξισοῦσθαι τοῖς οἰκείοις μέρεσι. εἴρηται γὰρ ὅτι ὁ ἑκτὸς τέλειός ἐστι, διότι ἴσος ἐστὶ πᾶσι τοῖς ἑαυτοῦ μέρεσι. τὸ ἥμισυ τρεῖς, τὸ γ δύο, τὸ ἑκτὸν μία, ἃ συντεθέντα τὸν ἓξ ἀποτελοῦν.

Ἐξ ἐρημέων, ἐξ ἐρήμων, Ἰωνικῶς, ὥσπερ αὐτῶν αὐτέων. εἰ δὲ διὰ διφθόγγου γράφεται, ἔστι κτητικόν.

Ἐξαρτῶ, τὸ κρεμῶ, καὶ ἐξαρτήσαντες κρεμάσαντες, ἐξ οὗ καὶ ἐξάρτια σχοίνια, τὰ βαστάζοντα τὴν ὀθόνην τοῦ πλοίου. καὶ ἐξαρτῶ τὸ τελειῶ, ἐξ οὗ καὶ ἄρτιον τὸ τέλειον.

Ἐξ ἐρέβευς, ἐκ τοῦ ἐρέβους, ὅ ἐστι τοῦ σκότους. ἔστι δὲ ὁ πρὸ τοῦ ταρτάρου τόπος. καὶ εἰς τὸ ἔρεβος.

Ἐξείδιον, γέγονεν ἀπὸ τῆς ἕξεως γενικῆς, ὡς ἀπὸ τῆς λέξεως λεξείδιον.

Ἐξείληφα, λήβω τὸ λαμβάνω, λήψω λέληφα, ἀποβολῇ τοῦ πρὸ τοῦ ε λ ἔληφα. καὶ ἐφ' ὧν οἱ Ἀττικοὶ ἀποβάλλουσι τὸ σύμφωνον κατὰ τὸν παρακείμενον, πλεονάζει τὸ ι, οἷον μέμαρκα, εἵμαρμαι.

Ἐξεῖρψεν, ἐξήνεγκεν, ἐξέβαλεν. ἔστιν ἔρα ἡ γῆ, καὶ ἐξ αὐτοῦ γίνεται ἕρπω τὸ σύρομαι, ἐξ οὗ καὶ ἑρπετὸν τὸ συρόμενον ἐπὶ τὴν γῆν, ὁ μέλλων ἕρψω, ὁ ἀόριστος εἷρψα, τὸ τρίτον εἷρψε, καὶ ἐξεῖρψε.

Ἐξελεύθερος καὶ ἀπελεύθερος διαφέρει. ἐξελευθέρους μὲν γὰρ λέγουσι τοὺς διὰ χρέος προςθέντας τοῖς δανεισταῖς γενομένους. ἀπελευθέρους δὲ, τοὺς ἔπειτα ἀνεθέντας συνηθῶς.

Ἐξελοῦ με. παρὰ τὸ ἕλω τὸ λαμβάνω, ὁ μέλλων ἑλῶ, ὁ β ἀόριστος εἷλον, ὁ μέσος εἱλόμην, εἵλου, καὶ τὸ προστακτικὸν ἑλοῦ καὶ ἐξελοῦ.

Ἐξ ἐμέθεν, ἐξ ἐμοῦ κατ' ἐπέκτασιν.

Ἐξεστηκὼς, διχῶς λέγεται παρὰ Θουκιδίδῃ καὶ Πινδάρῳ· ὅτε μὲν τὸ μαίνεσθαι καὶ ἔμφρονα εἶναι· ὅτε δὲ τὸ ὑπαναχωρεῖν καὶ ὑπεξέρχεσθαι, ἢ ἀφίστασθαι.

Ἐξερευνησάτω, τὸ θέμα ἐξερευνῶ, ἢ παρὰ τὸ ἐρωτῶ καὶ τὸ εὐνὴ, ὃ σημαίνει τὴν διατριβήν· καὶ γὰρ ὁ ἐρωτῶν ἐπὶ πολὺ ἐρωτῶν ἐνδιατρίβει.

Ἐξήκοντα, ἐκ τοῦ ἓξ γέγονε Δωρικῶς τοῦ α εἰς η τραπέντος.

Ἐξετάζω, παρὰ τὸ ἐτεὸν, ὃ σημαίνει τὸ ἀληθὲς, ἐτεάζω καὶ ἐτετάζω, τὸ κατ' ἀλήθειαν ἐξετάζω· καὶ εἰς τὸ ἐτάζω.

Ἐξέτιλα, ἐξέκοψα. ἔστι τείνω, καὶ ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ ν εἰς λ γίνεται τίλλω ῥῆμα, καὶ σημαίνει τὸ ξαίνω, καὶ μετὰ τῆς ἐκ προθέσεως ἐκτίλλω· ὁ μέλλων ἐκτιλῶ, ὁ ἀόριστος ἐξέτιλα, μακρὸν τὸ ι.

Ἐξετρῶ, παρὰ τὸ τρῶ, τὸ δηλοῦν τὸ κόπτω. τρώσω, καὶ τρώω, τρώεις. καὶ Ὅμηρος. οἶνος ἐτρώει μελιηδύς. ἐκ τρῶ δὲ τρῶμαι, καὶ ἔτρων, ἔτρως, καὶ ἐξετρῶ.

Ἐξέφηνεν, ἐξεῖπε, τὸ θέμα φαίνω. ὁ μέλλων φανῶ, ὁ ἀόριστος ἔφανα, καὶ ἐξ αὐτοῦ, ἔφαναν αἱ ἀστραπταί σου, κατὰ Ἴωνας τροπῇ τοῦ α εἰς η ἔφηνεν.

Ἐξήνιοι, ἀλλότριοι, παρὰ τὸ ἔξω ἡνίων γενέσθαι. ἡνία δὲ τὰ ἀλρία, ἐκ μεταφορᾶς τῶν ἁρμάτων.

Ἐξίλασμα, παράκλησις, παρὰ τὸ ἱλάω ἱλῶ, ἱλάσω, ἵλακα, ἵλασμαι, ἵλασμα καὶ ἐξίλασμα.

Ἐξίτηλον, ἀμαυροῦν. ἀφανὲς, εὐτελὲς, χαῦνον· ἐκ μεταφορᾶς τῆς πορφύρας. ἥτις ὅταν μὴ ἔχῃ τὸ βάμμα δευσοποιὸν τὸ χρῶμα, ἐξίησι τὸ θάλλον. τίθεται κυρίως ἡ λέξις ἐπὶ τῶν βαπτομένων ἐρίων. δευσοποιὸν γὰρ λέγεται βαφὴ ἡ ἔμμονον καὶ δυσέκπλυτον ἔχουσα τὸ ἄνθος. καὶ Πλάτων, καὶ δόξαν δευσοποιὸν εἴρηκε τὴν ἔμμονον καὶ δευσοποιὸν πονηρίαν, ἀντὶ τοῦ ἔμμονον καὶ δυσέκπλυτον, καὶ τὸ ἔτυμον τῆς λέξεως ἐντεῦθεν. σημαίνει δὲ τὸ ἀφανὲς, παρὰ τὸ ἐξιέναι τοῦ δήλου, ὅ ἐστι τοῦ φανεροῦ.

Ἐξίτηλον, τὸ ἐκβεβηκὸς ἀλλοῖον, ὅθεν καὶ ὤκειλεν.

Ἐξίτηλον, σημαίνει τὸ σκότεινον καὶ ἀμαυρῶδες. τὸ ξι ἰῶτα καὶ τὸ τη ἦτα. πόθεν γίνεται; ἐκ τοῦ εἶμι τὸ πορεύομαι. τὸ δυϊκὸν ἴτον, καὶ ἐξ αὐτοῦ ἴτηλον καὶ ἐξίτηλον, παρὰ τὸ ἐξελθεῖν τὸ τεθηλός. ἢ ἐξίτηλα τὰ ἀπολλύμενα, παρὰ τὸ ἐξιέναι, ὅ ἐστιν ἐξελθεῖν.

Ἐξετινάχθην, ἐκ τοῦ τινάσσω, τοῦτο ἐκ τοῦ ἰνάσσω, τοῦτο παρὰ τὸ ἲς, ἰνός. οὐ γὰρ ἐστιν ἀπὸ τοῦ τείνω.

Ἐξόδιον, τὸ ἐξοδευόμενον, παρὰ τὸ ἔξω τῆς ὁδοῦ εἶναι, ὁδὸς γὰρ ὁ βίος.

Ἐξολοθρεύσει, ἐκ τῆς ἐξ προθέσεως, καὶ τοῦ ὀλοθρεύω, τοῦτο παρὰ τὸ ὄλεθρος, τοῦτο παρὰ τὸ ὅλους θραύειν.

Ἔξοχος, παρὰ τὸ ἐξέχω ἔξοχος, καὶ τὸ οὐδέτερον ἔξοχον, καὶ ἔξοχα, καὶ ἀποβολῇ τῆς ἐξ ὄχα. ἔνθεν τὸ ὀχάριστος [1]), ὡς καταιγὶς αἰγὶς, εὐηνορέα ἠνορέα, οὕτως Ἡρωδιανός.

Ἐξοιστρούμενοι, ἠρεθισμένοι ἐν κακοῖς· παρὰ τὸ οἰστρῶ ῥῆμα τὸ σημαῖνον τὸ ἐρεθίζω, ἔνθεν καὶ οἶστρος.

Ἐξιχνιάσας, ἐκ τοῦ ἐξιχνιάζω, τοῦτο παρὰ τὸ ἴχνος, τοῦτο παρὰ τὸ ἱκνοῦσθαι.

Ἐξοστρακισθείη, ἐξορισθείη· τὸ παλαιὸν γὰρ φησὶν ἐν ὀστράκῳ αἱ ἐξορίαι διαγραφόμεναι τοῖς ὑπερορίζομένοις ἐδίδοντο, ὅθεν καὶ ὀστρακίδης καὶ ἔξορος ἤκουεν.

Ἐξοιστρῶ, ἐκ τοῦ οἶστρος, τοῦτο παρὰ τὸ οἴσω μέλλοντα, τὸ σημαῖνον τὸ φέρω, ὁ ἐπὶ κακῷ φερόμενος, πρώτης συζυγίας τῶν περισπωμένων· τὸ δὲ οἶστρος σημαίνει ἐρεθισμὸν, πύρωσιν.

Ἐξ ἔρον ἕντο, ἔστι πτώσεως αἰτιατικῆς τῶν ἑνικῶν· κλίνεται καὶ οὕτως, ὁ ἔρως, τοῦ ἔρου. τὸ δὲ ἕντο σημαίνει τὸ ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα, ὅ ἐστιν ἐκορέσθησαν· τὸ δὲ ἕντο γέγονεν ἀπὸ τοῦ ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω, ὁ β ἀόριστος ἧν, ὁ μέσος ἕμην, ἕμου, ἕμεο, ἕμεθα, ἕσθε, ἕντο.

Ἐξώρουσεν, ἐξώρμησεν, παρὰ τὸ ὀρῶ, ὃ σημαίνει τὸ ὁρμῶ.

Ἐξουδένωται, ἐκ τοῦ οὐδεὶς οὐδενὸς γίνεται ῥῆμα περισπώμενον οὐδενῶ. οὐδενώσω, οὐδένωκα, οὐδένωμαι, οὐδένωται καὶ ἐξουδένωται.

Ἐξουθενῶ, ἐκ τῆς οὐ ἀρνήσεως καὶ τοῦ τε συνδέσμου, καὶ τοῦ εἷς ἑνὸς γίνεται οὐτενῶ, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ οὐθενῶ καὶ ἐξουθενῶ. οὐδὲν καὶ οὐθὲν διαφέρει· ὀξυτόνως οὐδὲν μὲν λέγεται ἐν τῷ καθόλῳ, ὅταν λέγωμεν, οὐδὲν ἐν κόσμῳ καινόν. τὸ δὲ διὰ τοῦ θ λεγόμενον ἀνείληπται ἐκ τοῦ οὔτε καὶ τοῦ ἕν. οἷον, οὔτε ἕν, οὔτε δύο.

Ἐξουδένωμα, ἔστι δεὶς, καὶ μετὰ τῆς οὐ ἀρνήσεως οὐδεὶς, καὶ ἐξ αὐτοῦ παράγεται οὐδενῶ, οὐδενώσω. οὐδένωκα, οὐδένωμαι, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν ἐξουδένωμα.

Ἐξουθένημα, ἔστιν εἷς, ὃ σημαίνει τὸν ἀριθμὸν, καὶ μετὰ τῆς οὐ ἀρνήσεως, καὶ τοῦ τε συνδέσμου γίνεται οὔτε εἷς, καὶ ἐν συγκοπῇ οὔτεις, καὶ κλίνεται οὔτεις οὐτενὸς, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ γίνεται οὐθενὸς, καὶ γίνεται ἐξ αὐτοῦ παραγωγὸν οὐθενῶ οὐθενώσω, ὁ παθητικὸς παρακείμενος οὐθένημαι, καὶ ἐξ αὐτοῦ οὐθένημα.

Ἐξορία, παρὰ τὴν ἐξ πρόθεσιν, καὶ τὸ ὅρος ὃ σημαίνει τὸν ὁρισμόν· καὶ τί ἐστιν ὅρος; λέγεται σύντομος τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος· ἔξορος τοίνυν ὁ ἔξωθεν τοῦ ὁρισμένου τόπου ὤν.

Ἐξουρίας πλεῖς, ἀντὶ τοῦ καλῶς πλέεις, ἔστιν ἐπίρρημα μεσότητος, παρὰ τὸν οὖρον, ὃ σημαίνει τὸν ἔφορον ἄνεμον. οὖρος γὰρ ὁ ἄνεμος.

Ἔξουσιν, ἔχουσι, διὰ τῶν παθητικῶν μετόχων μέλλων δασύνεται; διότι τὸ ε πρὸ τοῦ ξ, εἰ μὴ ἀπὸ προθέσεως εἴη δασύνεται. ἑξῆς ἕξω. τὸ δὲ ῥῆμα ἀπὸ τοῦ ἔχω.

Ἐξουσία, ἡ δυναστεία, παρὰ τὸ ἔχω, ἕξω, ἡ μετοχὴ ἕξων ἕξοντος, τὸ θηλυκὸν ἕξουσα, καὶ ἐξ αὐτοῦ πλεονασμῷ τοῦ ι ἐξουσία, ἡ ὑπό τινος κατεχομένη. οὐ δασύνεται δὲ ἐπειδὴ τὸ ῥῆμα μόνον δασύνεται, τοῦτο δὲ οὐχί.

---

1) ὀχάριστος i. e. ὄχ' ἄριστος.

Ἐξυπανέστη, ῥῆμα εἰς μι, τὸ αὐτό ἐστι τὸ ὑπαντέστη, καὶ ἐξ αὐτοῦ ὑπανέστη. αἱ ἐπισυντιθέμεναι διεγείρουσι τὴν ἔμφασιν περί τι πλέον, οἷον, ἔστι τὸ πρὸ, προπροκυλινδόμενος, καὶ τὸ παρὰ, παρακαταθήκη, καὶ τὸ ὑπανέστη.

Ἐξύπογυιοὺ, ἐξ ἑτοίμου, ἐκ τοῦ πρὸ ὀλίγου, ἐκ τοῦ συνέγγυς· παρὰ τὸ γυῖα ὃ σημαίνει τὰ μέλη. σημαίνει δὲ καὶ παρ' αὐτὸν, καὶ ἀπερισκέπτως.

Ἐξῴκειλα, ὀκέλλω, ὁ μέλλων ὀκελῶ, ὁ ἀόριστος ὤκειλα, καὶ μετὰ τῆς ἐξ προθέσεως ἐξώκειλα.

Ἐξωδηκῶς, γίνεται ἐκ τοῦ οἰδῶ οἰδήσω, ᾤδηκα, καὶ μετὰ τῆς ἐξ προθέσεως ἐξῴδηκα, καὶ ἡ μετοχὴ ἐξῳδηκῶς, ὡς ἐπὶ νοὸς εἰς γῆν ἐπιπιπτούσης.

Ἐξωμὶς, Ἀττικὸν τὸ λεξείδιον, σημαίνει δὲ χιτῶνα ἐλευθέριον, οὐκ ἐπισκεπάζοντα τοὺς βραχίονας.

Ἔξωρος, παλαιὸς, ἢ ἐξ ἀετῆς, παρὰ τὸ ὦρος ὃ σημαίνει τὸν ἐνιαυτόν. λέγονται δὲ ὧροι καὶ ἀπογραφαί.

Ἐξώστηλον ἔναιον, ἔξω στηλῶν, ἔξω τῆς οἰκουμένης· ἕως ὅπου γὰρ φασὶ πορεύεσθαι, στήλας ἔστησεν Ἡρακλῆς.

Ἐξώρουσεν, ἀπὸ τοῦ ὀρούω, ὀρούσω, ὁ ἀόριστος ὤρουσα, ὤρουσε καὶ ἐξώρουσεν.

Ἐξολοθρεύω, ἐκ τῆς ἐξ προθέσεως καὶ τοῦ ὄλεθρος. τοῦτο παρὰ τὸ ὅλος καὶ τὸ θραύω.

Ἔοικα, ἔστι ῥῆμα εἴκω, ὁ μέλλων εἴξω, ὁ παρακείμενος εἶχα, ὁ μέσος παρακείμενος εἶκα. εἶτα ἐν διαστάσει τοῦ ε καὶ ι ἔϊκα, καὶ ἐν πλεονασμῷ τοῦ ο ἔοικα.

Ἐοικὸς, πρεπὸν, εὔλογον ἢ ἀκόλουθον. λαμβάνεται δὲ ἀντὶ τοῦ τάχα. εἰς τὸ ῥῆμα. ἔστι δὲ ἡ μετοχὴ οὐδέτερον ἀπὸ τοῦ εἴκω, καὶ χωρεῖ εἰς ἐπιῤῥηματικὴν σύνταξιν, καὶ γίνεται ἐοικῶς.

Ἐοικότα εἰκότων διαφέρει. τὰ μὲν γὰρ πίστεως ἐχόμενα εἰκότα, τὰ δὲ ἐμφορίας ἐοικότα.

Ἐοικῶς, πρεπόντως, εὐλόγως, ἢ ἀκολούθως, γίνεται ἐκ τοῦ εἴκω, οὗ ὁ μέσος παρακείμενος οἶκα καὶ ἔοικα, καὶ ὁ μέσος ὑπερσυντελικὸς ἐώκειν. καὶ ὤφειλεν εἶναι ἠοίκειν. ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ εὑρίσκεται ἀπὸ τοῦ η ἀρχομένη, ἐπιφερομένου τοῦ ο, χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη, ἢ κατὰ διάλεκτον. πρόσκειται εἰ μὴ ἐν διφθόγγῳ διὰ τοῦ ἠοῦς, καὶ, πρωῒ δ' ὑπ' ἠοῖ. ἢ κατὰ διάλεκτον, διὰ τοῦ ἠῶ. διαλύουσι γὰρ οἱ Ἴωνες καὶ λέγουσιν ἠόα. κατὰ τοῦτον τὸν κανόνα ἐγένετο ὑπερβιβασμὸς τοῦ χρόνου, καὶ τὸ μὲν ε ἐφυλάχθη διὰ τοῦ ο. τὸ δὲ ο ἠμείφθη εἰς ω, καὶ γέγονεν ἐώκειν. ὁμοιὼς καὶ τὸ ἑώρταζον, καὶ ἔωλπα καὶ ἐώργειν.

Ἑοῖσι, τοῖς σοῖς, ἐμοῖς ἐμοῖσι, σοῖσιν, οἷσι, καὶ πλεονασμῷ τοῦ ε ἑοῖσι. τὸ ε πλεονάζον τὸ πνεῦμα ἀναδέχεται τοῦ πρὸ αὐτοῦ φωνήεντος.

Ἔομαι, ἐκ τοῦ ἔω τὸ ὑπάρχω τὸ παθητικὸν ἔομαι.

Ἐπαινὸς, ἐπὶ βραχὺ, ἐγκώμιον δὲ ἐπὶ πολύ.

Ἔοργα, πόθεν γίνεται; ἐκ τοῦ εἴργω, εἴρξω ὁ μέλλων, ὁ μέσος παρακείμενος εἶργα. εἶτα ἀναλύεται εἰς ἃ συνεκράθη ἡ ει δίφθογγος, εἰς τὰ δύο ε ε ἔεργα, καὶ τροπῇ τοῦ ε εἰς ο ἔοργα. τὸ δὲ ἔοργα ἀπὸ τοῦ ῥέζω, ἔῤῥογα ὁ μέσος παρακείμεσος καὶ ἐν ὑπερβιβασμῷ ἔοργα.

Ἑορτὴ, ἀπὸ τοῦ ἔον τοῦ σημαίνοννος, τὸ ἀγαθὸν, καὶ τοῦ ὄῤῥω τοῦ σημαίνοντος τὸ διεγείρομαι. ἑορτὴ γὰρ ἀπὸ τοῦ εἰς τὸ ἀγαθὸν ἡμᾶς ἐγείρειν.

Ἑορτὴ, παρὰ τὸ ἐρᾷν αὐτῆς. ἢ παρὰ τὸ ἔρωτι παρωνυμιὼς ἐρωτὴ καὶ ἑορτή· καὶ καθ' ὑπερβιβασμὸν τοῦ ο μικροῦ εἰς ω.

Ἑορτάζω, ἐκ τοῦ ἑορτὴ, τοῦτο παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ.

Ἔοργεν, εἰργάσατο, ῥῆμα μέσου παρακειμένου· καὶ ὤφειλεν εἶναι ὁ ὑπερσυντελικὸς ἠώργειν. ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ εὑρίσκεται, ἀπὸ τοῦ η ἀρχομένη, ἐπιφερομένου τοῦ ο, χωρὶς εἰ μὴ ἐν διαφθάσει εἴη, ἢ κατὰ διάλεκτον. πρόσκειται εἰ μὴ ἐν διαφθάσει εἴη διὰ τοῦ ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα [1]). κατὰ διάλεκτον εἶπε, διότι Αἰολικῶς τὴν ἠῶ λέγουσιν ἠόα. ὅμοιόν ἐστι τὸ τὸ ἐώλπειν καὶ τὸ ἐώργειν. ἔσωθεν γὰρ γίνεται ἡ ἐπέκτασις. ἤγουν γράφεται διὰ τοῦ ω μεγάλου.

Ἐπαγγελία ὑποσχέσεως διαφέρει. ὑπισχνεῖται μὲν γὰρ αὐτὸν τὶς διδόναι τι μέλλει· ἐπαγγέλλεται καὶ ὁ δίχα παρακλήσεως ἐπαγγέλλειν βουλόμενος.

Ἐπάγωγη, ζημία, ὀργὴ, ἀνταπόδοσις, συμφορὰ, ἐκμαλωσία, παρὰ τὸ ἐπάγεσθαι ἡμῖν τὰ ἄξια τῶν βεβιωμένων.

Ἔπαθλον ἄθλου διαφέρει. ἔπαθλον τὸ διδόμενον τῷ νικήσαντι· ἄθλον καλεῖται αὐτὸς ὁ ἄγων.

Ἔπαλξις, ὁ προμάχων, ἐφ' ᾗ βεβηκότες τῇ ἀλκῇ χρώμεθα, ἐπάλξησίς τις οὖσα· ἀπὸ τοῦ ἀλεξῶ ῥήματος περισπωμένου· τοῦτο παρὰ τὸ ἀλέγω ἀλέξω· καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, μετὰ περισπωμένου τόνου, καὶ γίνεται ἀλεξῶ, καὶ ἔπαλξις. καὶ συντάσσεται μετὰ αἰτιατικῆς.

Ἔπαινος, ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ αἶνος.

Ἔπαινος ἐγκωμίου διαφέρει. ἔπαινος γάρ ἐστι λόγος ὁ μίαν πρᾶξιν ἐγκωμιάζων, ἐγκώμιον δὲ πολλὰς πράξεις ἐν αὐτῷ παραλαμβάνει.

Ἐπανιτέον, ἐκ τοῦ εἶμι τὸ πορεύομαι, τὸ δεύτερον τῶν δυϊκῶν ἴτον, καὶ ἐξ αὐτοῦ ἰτέον, καὶ ἐπανιτέον.

Ἐπακτροκέλλης, εἰς τὸ κέλλω.

Ἐπακτρεῖς, οἱ κυνηγέται, ἀπὸ τοῦ ἐπάγειν τοὺς κυνάς· ἐντεῦθεν καὶ ἡ ναῦς ἡ γαλέα ἐπάκτρεις, καὶ ἐπακτοκαλλὴς ἐν συνθέσει.

Ἐπαμύναι, εἰς τὸ ἀμύναι.

Ἐπάνοδος καθόδου διαφέρει. ἐπάνοδος μὲν γάρ ἐστι τὸ ἐπανελθεῖν τινὰ εἰς τὴν ἰδίαν πατρίδα, ἑκουσίᾳ γνώμῃ ἐξελθόντος ἐξ ἀρχῆς, μηδενὸς βιασαμένου. κάθοδος δὲ ὁ τὸ ἐναντίον, ὅταν τὶς ἄκων ἀποδημήσῃ καὶ φυγαδευθῇ. ἢ συμφορᾶς τινὸς προηγησάμενος, καὶ διὰ φόβον ἐπανάγων.

Ἐπαῤῥησιάσατο, ἐκ τοῦ παῤῥησιάζω. τοῦτο παρὰ τὸ ῥῆσις, ῥησία, καὶ παῤῥησία, οἱονεὶ παντορησία καὶ παῤῥησία.

Ἐπάσσαντο, ἐγεύσαντο, μέσος ἀορίστου πρώτου, τὸ θέμα πατῶ, ὅπερ ἀποπασσῶμαι. τοῦτο παρὰ τὸ μάσσω τὸ μαλάσσω. πατῶ οὖν δηλοῖ τὸ ἐσθίω, ὁ μέλλων πατήσω, καὶ κατὰ συγκοπὴν πάσσω· ἐντεῦθεν γέγονε καὶ φάτνη, ὁ τόπος ἐν ᾧ ἐσθίουσι τὰ ἄλογα.

Ἔπαλξις, ὁ προμαχὼν, ἐφ' ἧς ἀλέγουσι τοὺς ἐπιόντας, ἤγουν ἀποσοβοῦσι.

---

[1]) Il. VII, 470.

Ἐπασσύτερος, συνεχὴς, ἐπάλληλος, ἢ πυκνὸς παρὰ τὸ ἄσσον ὃ σημαίνει τὸν σάλον, ἢ τὸ πλησίον, ἀσσύτερον καὶ ἐπασσύτερον.

Ἐπαυτοφώρος, ὁ πόρνος, ἢ ὁ φανερῶς ἐπὶ κλοπῇ καταληφθεὶς καὶ ὑπεύθυνος γενόμενος, ἢ καταφανής· σημαίνει δὲ τὸν κλέψαντα καὶ τὸν πορνεύσαντα, καὶ κρατηθέντα.

Ἐπτὰς, οἱονεὶ σεπτὰς, παρὰ τὸ σεβάσμιον καὶ τίμιον. ὁ γὰρ ἕπτα ἀριθμὸς τίμιός ἐστιν, ὅθεν καὶ ἕπτα ἡμέραι τῆς ἑβδομάδος, καὶ ἕπτα οὐρανοὶ, καὶ ἕπτα πλανῆται, καὶ ἕπτα φωτὸς χαρ᾽ ..... ἐν μίᾳ λέξει.

Ἐπεβάτευσεν, ἐπῆλθεν, ἐπεβεβήκει. κυρίως δὲ ἐπὶ νηός· ἐπιβάται δὲ λέγονται οἱ μὴ ἐρέσσοντες ἀλλὰ καθήμενοι. καὶ ἐπιβατρὰ, τὰ ἐν τοῖς πλοίοις, ἃς ἡμεῖς παρενθήκας λέγομεν.

Ἐπέραστος, ἐράσμιος, πολὺ, πάνυ ἀγαπώμενος. ἐρᾶν γὰρ τὸ ἐπιθυμεῖν.

Ἐπεί, ἐκ τῆς ἐπὶ προθέσεως, καὶ τοῦ εἰ συνδέσμου. τὸ ει δίφθογγος διότι οἱ Δωριεῖς λέγουσιν ἔθος τὸ ε εἰς α τρέπειν. τὸ Ἄρτεμις Ἄρταμις λέγουσι, καὶ τὸ τρέχω τράχω. οὕτω καὶ τὸ ει καὶ τὸ αι. καὶ τρέπουσι τὸ ε εἰς α, καὶ μένει τὸ ἰῶτα. καὶ τὸ αἴγειον αἴγεον λέγουσιν.

Ἐπείγω, τὸ σπουδάζω, ὁ παρακείμενος ἤπειγα, ὁ παθητικὸς ἤπειγμαι, ἡ μετοχὴ ὁ ἠπειγμένος· τὸ γὰρ ἐπείγω γίνεται οὕτως. οἴγω τὸ ἀνοίγω, καὶ τροπῇ τοῦ ο εἰς ε εἴγω καὶ ἐπείγω.

Ἐπειγωλὴ, ἡ ἔπειξις.

Ἐπεὶ, σύνδεσμος παρασυναπτικὸς. δηλοῦν τὸ ἐπειδή.

Ἐπεὶ, ἐπίρρημα τοπικὸν, ἀντὶ τοῦ ἀφ᾽ οὗ. ἐπεὶ διὰ τῆς ει διφθόγγου, ἀπὸ γὰρ τοῦ συνδέσμου γέγονε. καὶ τῆς ἐπὶ προθέσεως. ἰστέον δὲ, ὅτι ἡνίκα καὶ τὸ ἐπεὶ χρονικὸν μέν ἐστιν ἐπίρρημα, οἷον, πλάγχθη ἐπεὶ Τροίης, ἀντὶ τοῦ ἀφ᾽ οὗ, καὶ πάλιν, αὐτὰρ ἐπεὶ κόσμηθεν, ἀντὶ τοῦ ὅταν. ἡνίκα δὲ καὶ αἰτιολογικῶς παραλαμβάνεται σύνδεσμος ἐστιν, οἷον, ἐπεὶ ἡμέρα ἐστὶ, φῶς ἐστιν.

Ἐπείγω, ἀντιπαράκειται γὰρ αὐτὸ τὸ εἴγω.

Ἐπεῖραν, σημαίνει τὸ ἐπερόνησαν. ἔστι τὸ θέμα πείρω, ὁ μέλλων περῶ.

Ἔπεισιν, ἐπέρχεται, παρὰ τὸ εἶμι τὸ πορεύομαι, τὸ γ εἶσιν, ὡς τίθημι τίθησι, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἔπεισι, τὸ εἶμι παρὰ τὸ ἔω, τὸ περιπατῶ, εἴω, ὡς βῶ, βέω, βείω, καὶ κῶ, κέω, κείω, καὶ ἐξ αὐτοῦ εἶμι.

Ἔπειτα, ἐπίρρημα χρόνου δηλωτικὸν· τὸ πει διφθόγγῳ διάτι; ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ εἶτα, τοῦτο ἐκ τοῦ εἰ συνδέσμου, κατ᾽ ἐπέκτασιν τῆς τα συλλαβῆς, ὁ δὲ εἰ συναπτικὸς γράφεται διὰ διφθόγγου, ὅτι οἱ Δωριεῖς τὴν ει δίφθογγον εἰς αι τρέπουσι. τὸ γὰρ κύπειρον κύπαιρον λέγουσι.

Ἐπεκερτόμει, ἐχλεύαζεν, ἔκοπτεν, ἠρέθιζε. παρὰ τὸ κέαρ ὃ σημαίνει τὴν ψυχὴν, καὶ τὸ τέμνω. κερτομεῖν γὰρ τὸ κέαρ τέμνειν.

Ἐπενήνοθα, ἐπεπόρευσε· ῥῆμα μέσου παρακειμένου. ἔστι τὸ θέμα ἔθω, τὸ ἐξ ἔθους ἐπιμελοῦμαι. καὶ ἔθειρα ἡ θρὶξ, καὶ μετὰ τῆς ἐν ἐνέθω, ὁ μέλλων ἐνέσω, ὁ παρακείμενος ἤνεκα, ὁ μέσος ἤνεθα. καὶ οἱ Ἀττικοὶ τὸ ε τῶν παρακειμένων τρέπουσιν εἰς ο. ὥσπερ τὸ πέπεμφα πέπομφα, οὕτω καὶ τοῦτο, ὁ γὰρ παρακείμενος ἐστιν ἤνεκα, καὶ τροπῇ Ἀττικῇ ἤνοχα, ὁ μέσος ἤνοθα, καὶ ὁ Ἀττικὸς ἐνήνοθα. ἔστι δὲ καὶ ἄλλως. ὤθω τὸ κινῶ, ὁ μέλλων ὤσω, ὁ παρακείμενος ὦκα, ὁ μέσος ὦθα, καὶ μετὰ τῆς ἐν προθέσεως ἐκ τούτου ῥῆμα ἐνόθω, ἐνόσω. τὸ νο μικρὸν διάτι; ὁ παρακείμενος ἐνήνοκα, ὁ μέσος ἐνήνοθα.

Ἐπεσβόλος, ὁ φλύαρος καὶ λοίδορος. ὁ διὰ τῶν ἐπῶν λωβῶν, τουτ᾽ ἔστιν ὑβρίζων· ἐπεσβόλος καὶ κατ᾽ ἐναλλαγὴν ἐπεσβόλος, ὁ τοῖς ἔπεσι βάλλων.

Ἐπεσβόλος, ὁ φλύαρος καὶ λοίδορος, ἐκ τοῦ ἔπος καὶ τοῦ βάλλω, καὶ βαρύνεται, τὰ γὰρ παρὰ τὸ βάλλω, μὴ κατὰ πρόσθεσιν συντίθετα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον, ἐλαφηβόλος, ἑκηβόλος· εἴπε μὴ κατὰ πρόσθεσιν διὰ τὸ ἀμφίβολος, πρόμαχος, ὁ πρόμαχος ὁ προβεβλημένος.

Ἐπεσπῶντο, ἐπισπῶμαι τὸ δέχομαι, ἐκ τοῦ ἕπω τὸ ἀκολουθῶ.

Ἐπερρίφην, οἱ μὲν ἐκ τοῦ ῥίφω, ῥίψω, ἔρριφα. ἔρριμαι, ἐρρίφθην καὶ ἀποβολῇ τοῦ θ ἐρρίφην. οἱ δὲ ἀπὸ τοῦ ἔρριφον δευτέρου ἀορίστου· καὶ τὸ παθητικὸν ἐρρίφην.

Ἐπέσκηψεν, ἐνετείλατο, ἢ προεφασίσατο· καὶ σκῆψις ἡ πρόφασις. ἔστι δὲ δίκη τὶς, οἷον, ὑπομοσία καὶ παραγραφή. Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον· ἀλλ᾽ ἐπὶ ταύτης τῆς σκήψεως εἰσελθὼν, ἀμφοτέραις αὐτὸν ἐπιδείξω. ἔστι δὲ καὶ ὄρχησις τὶς ἡ σκῆψις. γέγονε παρὰ τὸ σκέπτομαι σκέψις, καὶ τροπῇ τοῦ ε εἰς η σκῆψις. ἔστι δὲ ἐπισκηψάμενον ἐπιβαρήσαντα, καὶ ἐπισκέψασθαι ἐπιβαρῆσαι, καὶ ἐπισημειώσασθαι. τὸ ἐπισκήπτω συντάσσεται αἰτιατικῇ.

Ἐπέσσυτο, ἐφόρμα, ἐπιδίωκε, προεπιθυμεῖτο, παθητικοῦ ὑπερσυντελικοῦ τῶν εἰς μι. ἔστι ῥῆμα σῶ τὸ ὁρμῶ, ἐκ τούτου παράγωγον σύω, καὶ ἐξ αὐτοῦ σῦμι, ὁ μέλλων σύσω, ὁ παρακείμενος σέσυκα, ὁ παθητικὸς σέσυμαι, ὁ ὑπερσυντελικὸς ἐσσύμην, ἔσσυο, ἔσσυτο. πάλιν ἐκ τοῦ σῶ γίνεται παράγωγον σεύω, καὶ ὁ ἐνέστως παθητικὸς, κατὰ τὸ τρίτον πρόσωπον σεύονται.

Ἐπετοξάζοντο, ἀντὶ τοῦ ἐδοξάζοντο.

Ἔπηλυς, παρὰ τὴν ἐπὶ πρόθεσιν, καὶ τὸ ἠλύθω ῥῆμα, ὃ σημαίνει τὸ ἔρχομαι ἀπὸ ξενίας.

Ἐπήτυς, ὁ λόγιος, ὁ συνετὸς, ὁ φρόνιμος, ὁ σώφρων, ὁ δίκαιος, παρὰ τὸ ἔπω ἔπης καὶ ἐπήτυς, ἐπήτυος· παρὰ τὸ ἔπος ἐπήτυς.

Ἐπηλυδῶντες ἢ ἐπήλυδες. ἔστι ῥῆμα ἐπηλυδῶ. ἐκ τοῦ ἐλεύθω γίνεται ἤλυσις καὶ ἐπήλυσις, ταχήλυσις, προσήλυσις. ἐπίλυσις δὲ ὀλὴν ἔχων ἰῶτα.

Ἐπὴν, ἐπὰν καὶ Ἰωνικῶς ἐπὴν, ἀπὸ τοῦ ἐὰν ἂν, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπὰν καὶ ἐπήν.

Ἐπήρεια, ἐκ τοῦ ἄρης ἄρευς ἄρεος. ἐπήρεια κυρίως ἡ ἐν τῷ πολέμῳ ἐπιδρομή· ἄρης γὰρ ὁ πόλεμος. καὶ ἡ ἐπήρεια, καὶ τὸ θηλυκὸν ἄρεια, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιάρεια, καὶ τροπῇ τοῦ α εἰς η ἐπιήρεια. καὶ ἀποβολῇ τοῦ ι. καταχρηστικῶς δὲ καὶ ἡ ζημία.

Ἐπηρμένος, μετοχὴ, ὁ ἀρθεὶς, ἐκ τοῦ ἐπαίρω.

Ἐπὶ, πρόθεσις ἐστι λαμβάνουσα ἢ σημαίνουσα ῥῆμα. ἔστι δὲ ἰδίωμα τοῦ ποιητοῦ τὸ λέγειν, ὅτι ὥσπερ τὰ ῥήματα πολλάκις ἐλλειπτικῶς εἰσὶ τῶν προθέσεων, ὡς τὸ, ἔρχομαι εἴ τι ἔγχος ἐνὶ κλισίῃσι, καὶ ἔρχομαι ὄφρ᾽ Ἀχιλῆϊ μῦθον ἐνίσπω, ἀντὶ τοῦ ἀπέρχομαι. οὕτω δὲ αἱ προθέσεις ἐλλειπτικῶς εἰσὶ τῶν ῥημάτων, σημαίνουσι ῥῆμα, οἷον, ἐπεὶ οὔτι ἔπι δέος· καὶ οὕνεκα καλὸν εἶδος ἔπι, ἀντὶ τοῦ ἔπεστι. καὶ ἐπεὶ οὔτοι πάμπαν ἔνι φρένες, ἀντὶ τοῦ ἔνεισι.

Ἐπίβασιν, βάδισον. ἐπιβάτης ἐπὶ ἅρματος, ἀναβάτης ἐπὶ ἵππου.

Ἐπιβάτης, ἐπὶ νῶτον βαίνειν ἐπιβάτης. ἐπιβάται δὲ λέγονται, οἱ μὴ ἐρέσσοντες, ἀλλὰ καθήμενοι.

Ἐπιβόητος καὶ διαβόητος διαφέρει. ἐπιβόητος ὁ μοχθηρὰν ἔχων φήμην. Ἀνακρέων, καὶ ἐπιβόητον κατὰ γείτονα ποιήσεις. τοῦτον δὲ ἔνιοι τῶν ποιητῶν ἐπιοφαττὸν καλοῦσι. διαβόητος δὲ, ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος.

Ἐπιγουνὶς, ἡ ἐπιγονατής· παρὰ τὸ ἐπάνω τοῦ γόνατος εἶναι, τὸν τοιοῦτον μῦν Ὅμηρος, οἵη νεκρὰ Κρέων γέρων ἐπιγουνίδι φαίνει.

Ἐπιδαίσιον οἶκον, τὸν ἐπίκοινον καὶ ἀμέριστον, ὅταν μνήσῃ κληρ . . . κυρίως δὲ ὁ ἐξίσου καταλειφθεὶς δύο τίσι.

Ἐπιδημία, εἰς τὸ ἀποδημία.

Ἐπιδέξια, ἄριστα, καλὰ, ἐπίρρημα μεσότητος. ἡ εὐθεῖα ἐπιδέξιος. καὶ διατί προπαροξύνεται; ἐπειδὴ τὰ εἰς ος ὀξύτονα ἐν τῇ συνθέσει προπαροξύνονται, εἰ μὴ παρασύνθετα εἴη. οἷον, θεόδμητος, δουρίκλειτος, ἄκρατος, τερπικέραυνος, καὶ χωρὶς τῶν ἐπὶ ἔθνους. ἐκεῖνα γὰρ τὸν αὐτὸν τόνον φυλάττει ἐν τῇ συνθέσει, οἷον, Ἀχαιὸς [1]) Βοιωτὸς, Φιλοβοιωτός· καὶ χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ φυλαχθῇ ἡ ὀξεῖα τάσις, ὡς τὸ λοιγὸς, βροτολοιγὸς γάρ ἐστιν ὁ φθείρων τοὺς ἀνθρώπους. τούτου χάριν καὶ ὁ τόνος ἐφυλαχθὴ, ὁμοίως καὶ τὸ ἀθηριλοιγός. συναπηνεχθὴ δὲ τούτοις κατὰ σχηματισμὸν τὸ τραπεζολοιγὸς, καὶ ὀξυνθὴ· κλίνεται δὲ ἐπιδέξιος τοῦ ἐπιδεξίου. καὶ τὸ ἐπιδέξιον καὶ τὰ ἐπιδέξια. καὶ ἐπιῤῥηματικῶς ἐπιδέξια ὡς ἐνδέξια. καὶ φυλάξει τὸν αὐτὸν τόνον. κανὼν γάρ ἐστιν ὁ λέγων· ὅτι τὰ ἀπ' ὀνομάτων εἰς ἐπιῤῥηματικὴν σύνταξιν μεταφόμενα, ὁμότονα τοῖς ὀνόμασι καθεστήκασιν, οἷον, ἐπιεικὲς, συνεχὲς, διαμπερὲς, ἀτρεκές· τὸ δὲ ἀληθὲς ἀντὶ τοῦ ἀληθῶς παρὰ Ἀττικοῖς, οὐχ ὁμοτόνως. ὁμοίως τῷ ἐπάναγκες, καὶ τῷ χάριτι, οἷον, χαρίεν διηλέχθη ὁ ἄνθρωπος, ἀντὶ τοῦ χαριεντ.

Ἐπηγκενίδες, αἱ πλατεῖ σανίδες, οἷον, ἐπιτενεῖς οὖσαι, κρόκης τάξιν ἐπέχουσαι. ἔστι δὲ παρὰ τὸ ἐνεγκῶ, καὶ ἐνήνεγκον. ἀλλά με ὑπήνεγκαν ταχέες πόδες. παρὰ τὸ ἐνέγκω πεδήνεγκες ἐστιν. ἐνέγκω οὖν ἐνεγκὶς καὶ ἐπενεγκὶς, καὶ τροπῇ τοῦ ε εἰς η, τὸ παρατεταγμένον καὶ διεληλυθὸς καὶ μακρὸν ξύλον. ὑπερθέσει καὶ μεταθέσει τοῦ ν ἐπηγκενὶς ἡ μακρὰ σανίς [2]).

Ἔνδοξον καὶ ἐπίδοξον διαφέρει. ἔνδοξον σημαίνει τὸ προσδόκιμον, ἄμφω γὰρ ἀπὸ δόξης εἴρηνται. τὸ μὲν ἀπὸ τοῦ ἐν δόξῃ καὶ περιφανείᾳ εἶναι, τὸ δὲ ἀπὸ τοῦ καραδοκεῖν καὶ προσδοκεῖν, καὶ διὰ δόξης ἔχειν. τὸ μέλλον ὡς ἥξει [2]).

Ἐπικύλλωμα, τὸ μετὰ τὴν τῶν ἄρτων διάρτυσιν περισσεύμενον. κώληξ γὰρ ὁ ἄρτος. ἔνθεν καὶ τὸ ἀτρικὸν κολλήριον ἀπὸ τοῦ κολαφὸς [3]). καλοῦσι δὲ κολλυστὴν τὴν αἶγα [2]).

Ἐπιλυγάζειν, ἐπικαλύπτειν, οἱ γὰρ Ἀττικοὶ ἠλύγην καλοῦσι τὴν σκοτίαν. τινὲς δὲ ἀπὸ τῶν λύγων διὰ γὰρ τούτων πλέκοντες σχοίνους πλέκουσιν.

Ἐπιεικὴς, πρᾶος, σπουδαῖος, παρὰ τὸ εἴκειν, καὶ μὴ ἀντιτείνειν.

Ἐπιεικῶς, πόθεν; ἐκ τοῦ εἴκω, τὸ πρέπω, εἰκὼς, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιεικῶς.

Ἐπιεικὴς, οἱ μὲν ἐπεοικὴς, οἱ δὲ ἐπιεικτικῶς.

Ἐπιείκεια, διὰ τῆς ει καταλήγουσαν καὶ τὴν παραλήγουσαν· παρὰ γὰρ τὸ εἴκω τὸ ὑποχωρῶ· καὶ γὰρ ὁ ἐπιεικὴς εὐχερῶς ἐπιχωρεῖ. τὸ δὲ εἴκω δέδεικται ὀξυτόνως. τί ἐστιν ἐπιείκεια; ὅταν αὐτοὶ κακῶς πάσχωμεν καὶ ἀδίκως καὶ ὑπομένωμεν. τί ἐστιν ἀνδρεία; ὅταν ἑτέροις ἀδικουμένοις μὴ ἀναμύνωμεν. τί ἐστιν ἐπίρρημα; ὅταν ὑπὲρ ἑτέρων ἀγωνιζόμεθα, πασχόντων ἀδικώς. καὶ τί ἐστι θρασύτης; ὅταν ὑπὲρ ἡμῶν αὐτῶν ἀμύνασθαι βουλώμεθα τοὺς ἀδικήσαντας.

Ἐπιείμενοι [4]), περιβεβλημένοι, μετοχὴ πτώσεως κλητικῆς. τὸ θέμα ἕω, ῥηματικὸν ὄνομα ἐτὴς, καὶ πλεονασμῷ τοῦ σ ἐστὴς καὶ τροπῇ ἐσθὴς, τούτου ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἶκα, ὁ παθητικὸς εἶμαι, ἡ μετοχὴ εἰμένος καὶ ἐπιείμενος.

Ἐπιθαλάμιον καὶ γαμήλιον διαφέρει. ἐπιθαλάμιον μὲν γάρ ἐστι τὸ ἐπὶ θαλάμης τῆς γαμουμένης γραφὲν ποίημα. γαμήλιον δὲ ὃ περιώριστον χρονον.

Ἐπιθειάσας, ἐπιθαυμάσας, τὸ θεῖον εἰσδεδεγμένος, θεοφορούμενος. παρὰ τὸ θεὸς ὄνομα, θεάω θεῶ ῥῆμα, ὁ ἀόριστος ἐθέασα. ἡ μετοχὴ ὁ θεάσας, καὶ πλεονασμῷ τοῦ ι θειάσας. ἢ παρὰ τὸ θειάζω. συντάσσεται μετὰ πτώσεως αἰτιατικῆς.

Ἐπιθιγγάνειν, ἐφάπτεσθαι, προσεγγίζειν, παρὰ τὸ θίγω, ὃ σημαίνει τὸ ἐφάπτομαι, γίνεται θιγγάνω, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιθιγγάνω.

Ἐπιθρυλλοῦντες, ἐνοχλοῦντες, θορυβοῦντες, ἐκ τοῦ θρυλλῶ. τοῦτο παρὰ τὸ θρούω· θροὸς, θροῶ καὶ πλεονασμῷ τοῦ λ καὶ τροπῇ τοῦ ο εἰς υ θρυλλῶ. συντάσσεται μετὰ πτώσεως αἰτιατικῆς.

Ἐπικήδειον καὶ θρῆνος διαφέρει. ἐπικήδειον μὲν γάρ ἐστιν ἔπαινος τοῦ τελευτήσαντος, μετά τινος μετρίου σχετλιασμοῦ. θρῆνος δὲ παρὰ τὸ ᾄδειν αὐτῇ τῇ συμφορᾷ πρὸ τῆς ταφῆς καὶ μετὰ τὴν ταφὴν, καὶ μετὰ τὸν ἐνιαύσιον χρόνον, ὑπὸ τῶν θεραπαινίδων καὶ τῶν σὺν αὐταῖς ἐπιτάφιον.

Ἐπίκλοπον, παραλογιστικὸν, καὶ γὰρ ὁ κλέπτης παραλογιζόμενος κλέπτει. σημαίνει δὲ καὶ τὸν ἐπιθυμητὴν, καὶ γὰρ ὁ κλέπτης ἐν ἐπιθυμίᾳ τῶν ἀλλοτρίων τοῦτο πράττει.

Ἐπιμύω, καμμύω, ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ μύω, ἐπιμύσας τοῖς ὀφθαλμοῖς.

Ἐπίκλημα, ἐπωνυμία, ἀπὸ τοῦ κλῶ, ὃ γέγονεν ἀπὸ τοῦ καλῶ, κατὰ συγκοπήν.

Ἐπίκουρος, βοηθὸς καὶ φίλος. ἡ ἐπὶ πρόθεσις σημαίνει τὸ πρέπον καὶ δέον, ἢ πρέπει καὶ προσήκει τοῖς νέοις πολεμεῖν καὶ συμμαχεῖν. διαφέρει ἐπίκουρος συμμάχου. ἐπίκουρος λέγεται ὁ τῶν πολεμουμένων βοηθὸς, ὡς Σαρπηδὼν Τρώων, οἱ γὰρ Τρῶες ἐπολεμοῦντο. σύμμαχος δὲ ὁ τῶν πολεμούντων, ὡς Ἀχιλλεὺς Ἑλλήνων.

Ἐπικουρεῖν, ἡ ἐπὶ πρόθεσις τὸ δέον σημαίνει, ἐπικουρεῖν τὸ ποιεῖν τὸ προσῆκον τοῖς κούροις. ὡς καὶ τὸ, αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, καὶ ὁ πρότερος ὅπλα βαστάζειν δυνάμενοι. ἡ γὰρ προβεβηκυῖα ἡλικία τούτου ἀπολέλυται, ὡς παρ' Ὁμήρῳ, γήραϊ δὴ πολέμοιο πεπαυμένος. οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ προθέσεων.

Ἐπίπλους, ἀπὸ τοῦ ἐπιπλεῖν, καὶ ἐξ ἐπιπολῆς εἶναι τῶν σαρκῶν. σημαίνει τὴν τζιμόπταν τῆς κοιλίας.

Ἐπιληψία, νόσος, διότι ἐπιλαμβάνεσθαι καὶ κρατεῖν αὐτὴν τὴν αἴσθησιν. ἐκάλεσαν δὲ αὐτὴν τὴν ἱερὰν

---

1) add. sine dubio καναχαιός. 2) Corrupta hic plurima. 3) vel κολαβός. 4) L. νε . . νε.

νόσον, διὰ τὸ ἱερὸν καὶ τίμιον εἶναι τὸν ἐγκέφαλον. ἄλλοι δὲ Ἡρακλείαν νόσον, διὰ τὸ ἰσχυρὸν καὶ δυσμετάθετον τοῦ πάθους.

Ἐπελῆσθαι, παρὰ τὸ λήθω τὸ λανθάνω.

Ἐπιμαχεῖν καὶ συμμαχεῖν διαφέρει. συμμαχεῖν μὲν γάρ ἐστι, τὸ σὺν αὐτοῖς εἶναι· ἐπιμαχεῖν δὲ εἴτε τῆς αὐτῆς. εἴτε αὐτοὶ ἑτέροις ἐπιστρατεύοιμεν.

Ἐπιμαχεία τοῦ συμμαχεία διαφέρει. ἐπιμαχεία μέν ἐστιν ἀντὶ τοῦ ἀμύνασθαι εἰς ὀργὴν, καὶ τὸ αἰδεῖσθαι καὶ ὀκνεῖν. συμμαχεία δὲ τὸ συνασπίζειν πολεμουμένοις.

Ἐπι νηὸν, ἐπὶ τὴν ναῦν, παρὰ τὸ ναίειν ὅ ἐστιν οἰκεῖν.

Ἐπίνοια, ἐπένοιά τις καὶ ἐπενθύμησις.

Ἐπίορκος, ὁ ὀμνύω, παρὰ τὸ ὑπερβαίνειν τοὺς ὅρκους. ἡ γὰρ ἐπὶ ἀντὶ τῆς ὑπὲρ ἔγκειται. καὶ δηλοῖ καὶ ὑπὲρ ἄνω τῶν ὅρκων γενέσθαι, καὶ ὑπερβαίνειν αὐτούς.

Ἐπίπαστρον, πρόστεγον, καταπέτασμα. παρὰ τὸ ἐπικεῖσθαι, καὶ τῇ γῇ ἐφορμᾶν.

Ἐπικύνειν, ἔστι τὸ τῷ στόματι φιλεῖν. λέγειν δὲ καὶ ἐπίκυκλον κάλλιον [1]). κυλοῖ γὰρ τὰ βλέφαρα, ὅθεν κυλοιδιᾶν λέγομεν τὸ ἐπῆρθαι τοὺς ὀφθαλμούς. καὶ Χρύσιππος· γράφεται Κυλλήνιος Ἑρμῆς, ἐπειδὴ ἡ ῥάβδος αὐτοῦ ἀνδρῶν ὄμματα θέλγει. ἀπὸ τοὺς ἐπιπολὺ καθεύδοντας ἰδεῖν τοὺς ὀφθαλμούς. Φαίακες δὲ θύουσιν αὐτῷ ἑσπέραν, οὐ διὰ τὸ καθεύδειν ὡς Ὅμηρος, ὅτε μνησαίατο κοίτου, οὐχ ὅτι ὀνειρόπομπος ἦν, ἀλλ' ὅτι ὕπνου ἡδέος αἴτιος, ὅθεν ἐπικύμιον τὸν περὶ τοῦ κύκλου νόμον καλοῦμεν.

Ἐπιμίξ, παρὰ τὸ μίγω ῥῆμα μίξω μίξ, δάκω δάξω δάξ, ἀλλάσσω ἀλλάξω ἀλλάξ. ταῦτα ὡς ἐπιῤῥήματα μεσότητος ὀξύνονται. εἰ γὰρ ἐβαρύνοντο ὡς ὀνόματα ἐκλίνομεν.

Ἐπινέμησις, ἡ τοῦ χρόνου μέρησις; καλεῖται Ἑλληνιστὶ, ἡ κατὰ τὸν σεπτέμβριον μῆνα ἀρχὴ τοῦ ἐνιαυτοῦ διὰ τὸ μερίζεσθαι τοῖς στρατιώταις τὸν φόρον κατὰ τοῦτον τὸν μῆνα. ἐκ τοῦ διανέμεσθαι γὰρ τοῖς ὑπηκόοις τοὺς φόρους τὴν ἐπωνυμίαν ἔσχεν· ἡ τοῦ ἐνιαυτοῦ περίοδος ἐπινέμησις.

Ἐπίῤῥοθος, ὁ ἐπιρωννύων καὶ ἐπικελεύων, ἀπὸ μεταφορᾶς τῶν ἐν θήρα κυνῶν. ἐπιρωννύων ὑπὸ τῶν θηρατῶν. ὅθεν ἐπίῤῥοθος καὶ ἐπιταῤῥοθος, πλεονασμῷ τῆς ταρ συλλαβῆς. παρὰ τὸ ῥόθος ῥοθῶ ῥῆμα, τὸ παρορμῶ, ἐπίῤῥοθος, ὁ ἐν τῷ βοηθεῖν πρόθυμος καὶ παρορμῶν.

Ἐπιπλώσας ἐπὶ τὴν Ἴλιον πλεύσας, μέσου ἀορίστου πρώτου. ἔστιν ὁ ἐνέστως ἐπιπλώω. γίνεται οὖν ἐκ τοῦ πλέω πλοὸς, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω, ποιητικῶς· καὶ βαρύνεται, ἐπειδὴ τὰ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω γινόμενα ῥήματα, εἰ μὲν καθαρεύουσι βαρύνονται, οἷον, ζώω, πλώω, γνώω· εἰ δὲ οὐ καθαρεύει περισπᾶται, οἷον, νομῶ, στροφῶ· λοιπὸν ἐκ τοῦ πλώω ὁ ἀόριστος ἔπλωσα, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπίπλωσα, καὶ ἡ μετοχὴ ἐπιπλώσας, καὶ τὰ λοιπά.

Ἐπὶ ῥηγμῖνι θαλάσσης, ἐπὶ τῷ αἰγιαλῷ, διὰ τὸ ῥήσσεσθαι ἐκεῖ τὰ κύματα τῆς θαλάσσης.

Ἐπιῤῥήδην, παρὰ τὸν ῥήσω μέλλοντα, ὡς τμὴς, τμήσω, τμήδην γὰρ τὸ πορεύομαι.

Ἐπισκέπτω, ἐφορῶ ἐκ τοῦ σκέπω, πλεονασμῷ τοῦ τ σκέπτω. τοῦτο παρὰ τὸ σχέθω τὸ κωλύω, σχέπω καὶ σκέπω, τροπῇ τοῦ χ εἰς κ.

Ἐπίῤῥησις, ὁ ψόγος καὶ ἡ κατηγορία.

Ἐπισκήπτω, ἐντέλλω ἢ προφασίζω, καὶ σκῆψις ἡ πρόφασις.

Ἐπίσπω, τὸ ἀκολουθῶ δοτικῇ, ἐπισπῶ δὲ καὶ ἐπισπῶμαι τὸ ἀπαγορεύομαι αἰτιατικῇ.

Ἐπίσκοπος, ὁ ἐπὶ τὸ σκοπεῖν ὤν.

Ἐπισκοπὴ, πρόνοια.

Ἐπισκύνειν [2]), σημαίνει τῷ στόματι φιλεῖν, λέγειν δὲ κύκλοι γὰρ τὰ βλέφαρα ἐπὶ κύκλον κάλλιον, ὅθεν καὶ κυκλοδιᾶν λέγεται, τὸ ἐπῆρθαι τοὺς ὀφθαλμούς, ὁ Χρύσιππος γράφεται ἐξ οὗ καὶ Κυλλήνιος Ἑρμῆς, ἐπειδὴ ἡ ῥάβδος αὐτοῦ ἀνδρῶν ὄμματα θέλγει ἀπὸ τοῦ ἐπιπολὺ καθεύδοντα ἰδεῖν τοὺς ὀφθαλμούς. Φαίακες δὲ θύουσιν αὐτῷ ἑσπέραν· οὐ διὰ τὸ καθεύδειν ὡς Ὅμηρος, ὅτε δὲ μνησαίατο κοίτου, οὐχ ὅτι ὀνειρόπομπος ἦν, ἀλλ' ὅτι ὕπνου ἡδέος αἰτίος, ὅθεν ἐπικύνιον τὸν περὶ τοῦ κύκλου τόπον καλοῦμεν.

Ἐπίσιον, τὰ δύο ιι, περὶ δὲ τοῦ τασία ὁ λόγος. σημαίνει δὲ τὸ ἐφηβαῖον. καὶ γὰρ ἀπὸ τοῦ πάσιον τασίας τοῦ σημαίνοντος τὰ ξηρὰ γέγονεν ἐπίσιον. καὶ γὰρ τὸ ἐφηβαῖον ξηρότερόν ἐστι· τινὲς δὲ διὰ τῆς ει διφθόγγου γράφουσι, λέγοντες, ὅτι ἀπὸ τοῦ εἰσιέναι.

Ἐπιστολὴ, διὰ τὸ ἐν τῷ πλάτει τηρεῖν τὸν τόπον.

Ἐπιστεῖλαι καὶ ἐπισκῆψαι διαφέρει. ἐπιστεῖλαι μὲν διὰ γραμμάτων, ἐπισκῆψαι δὲ διὰ λόγων.

Ἐπιτήδειον, ἔστι ῥῆμα δέω, ὃ σημαίνει τὸ φοβοῦμαι, ἐξ οὗ γέγονεν ὄνομα ῥηματικὸν δέος, ἐξ οὗ καὶ ἀδεὴς, ὁ μὴ φοβούμενος, καὶ ἐκ τοῦ ἀδεὴς γέγονεν ἄδεια καὶ ἄδειος, καὶ ἐν πλεονασμῷ τοῦ τ τάδειος καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιτάδειος καὶ ἐκτάσει τοῦ α εἰς η ἐπιτήδειος.

Ἐπισκύνιον, παρὰ τὸ σκύνος τὸ δέρμα τὸ ἐπάνω τῶν ὀφρύων, ἐπιφρίδιον.

Ἐπιστήμη, εἰς ἐπίτασιν ἄγουσα τὸν νοῦν, φησὶν ὁ Πορφύριος καὶ Κρατύλος.

Ἐπιστήμη τέχνης διαφέρει. καὶ ἡ μὲν ἐπιστήμη ἄπταιστος, κατάληψις ὑπὸ ὀρθοῦ λόγου κατασκευασμένος, ἡ δὲ τέχνη πταίστη.

Ἐπιστρεφὴς καὶ εὐστραφὴς διαφέρει. ἐπιστρεφὴς μὲν γάν ἐστιν ὁ ἐπιμελὴς, εὐστραφὴς δὲ ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς.

Ἐπιστρέψον, ἐκ τοῦ ἐπιστρέφω, ἐπέστρεφα, ἐπέστρεμμαι, ἐπεστράφην. ἰστέον ὅτι ὁ παθητικὸς ἀόριστος ἀεὶ φυλάσσει τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου, πλὴν τῶν παρὰ τὸ αἱρῶ περισπωμένων.

Ἐπίσσωτρα, τὰ ἐπάνω τῶν τροχῶν σίδηρα, ἃ κανθοὶ καλοῦνται, ἢ τὰ ἔξωθεν τῶν τροχῶν.

Ἐπίσσωτρα, τὰ κύκλῳ τῶν τροχῶν τοῦ ἅρματος σίδηρα. παρὰ τὸ σῶ, ὃ σημαίνει τὸ ὁρμῶ, ὁ μέλλων σώσω, καὶ ὄνομα ῥηματικὸν σῶτρον, καὶ μετὰ τῆς ἐπὶ προθέσεως, καὶ πλεονασμῷ τοῦ σ ἐπίσσωτρον, τὸ ἐκ τροχῶν σίδηρον, παρὰ τὸ σείεσθαι καὶ ἐν τῇ γῇ ἐφορμᾶν.

Ἐπιτετράφαται, ἐπιδέδεικται, τὸ θέμα τρέπω, τρέψω, τέτραφα, τέτραμμαι, τὸ τρίτον τῶν πληθυντικῶν οὐ ποιεῖ, καὶ τὸ Ἰωνικὸν τετράφαται.

---

1) λέγειν — κάλλιον. Conf. p. seq. v. ἐπισκύνειν.

2) cf. p. praeced. v. ἐπικύνειν.

Ἐπιτήδευσις τέχνης διαφέρει. τέχνη ἔστιν ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον, γραμματικὴ, ῥητορική. ἐπιτήδευσις δὲ τὸ τοῦ λόγου χορεῦον [1], οἷον, τεκτονικὴ, χαλκευτικὴ. τεχνιτεύω, τεχνίτης, τεχνίσσα, ἐπεὶ καὶ τεχνικόν. ἔργον ἐκ τοῦ τέχνη τεχθησόμενος, ἐκ τοῦ τεύξω τετεύχω.

Ἐπὶ τὸ αὐτὸ, ἐπίῤῥημα τοπικὸν ἢ ἀθροίσεως, καὶ συλλήψεως, τὸ ἄρθρον, αὐτὸ, ἀντωνυμία οὐδέτερον.

Ἐπιτάφιος λόγος, ὁ ἐπάνω τοῦ τάφου λεγόμενος· ἐγκωμιαστικὸς παρ' αὐτῇ τῇ ταφῇ.

Ἐπὶ ἀρχὴν τίμιον, τὸ ἕως τίμιον ὕπαρχον, ἢ τὸ καταργεῖν ἤγουν κρατεῖν καὶ δεσμεῖν.

Ἐπίτηδες, ἐκ τοῦ ἐπιτηδεῖς συστολῇ τοῦ ι. καί ἐστιν ὄνομα ἐπιῤῥηματικόν· οἱ δὲ ἐκ τοῦ ἐπιτηδεύω. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ἐπιτηδεῖς, ἡ αἰτιατικὴ τοὺς ἐπιτηδεῖς κατ' ἔλλειψιν.

Ἐπιτήδης, ὁ συνήθης. ἔστιν ἐτὴς ἀπὸ τοῦ ἔθος γεγενημένον, ἐτητὴς ἐν παραγωγῇ, καὶ ἐτήδης, καὶ ἐν συνθέσει ἐπιετήδης. καὶ ἀποβολῇ τοῦ ε ἐπιτήδης, καὶ ἐπιτήδειος ἐξ αὐτοῦ. ἢ παρὰ τὸ ἥδω, τὸ τέρπω καὶ εὐφραίνω ῥηματικὸν ἥδης, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιήδης καὶ, προσθέσει τοῦ τ ἐπιτήδης, καὶ ἐξ αὐτοῦ ἐπιτήδειος.

Ἐπίτιμος καὶ ἐπιτίμιος διαφέρει. ἐπίτιμος μὲν γάρ ἐστιν ὁ ἔντιμος, ἐπιτίμιος δὲ ὁ ἐπιζήμιος. καὶ ἐπίπληκτος, ἀφ' οὗ τὴν ἐπίπληξιν ἐπιτίμησιν φαμέν· καὶ ἐπιτίμησον ἀντὶ τοῦ ἐπίπληξον.

Ἐπιτίμιον καὶ ἐπίτιμον διαφέρει. ἐπιτίμιον γάρ ἐστιν ἡ ζημία [2]), ἐπίτιμον δὲ τὸ τῆς τιμῆς μετέχον. ὥστε οὐ δεῖ λέγειν, ἐξαίτησαι τὸ ἐπίτιμον, ἀλλὰ τὸ ἐπιτίμιον.

Ἐξεπίτηδες, ἐπιτηδευμένως ἢ ἑκουσίως, ἔστι δὲ τοῦτο τὸ ὄνομα τριγενὲς, ὁ ἐπιτήδειος, ἡ ἐπιτήδεια, τὸ ἐπιτήδειον [3]).

Ἐπιτροχάδην, τὸ σύντομον καὶ ταχύ. ἐκ τοῦ τρόχος τροχάδην. τὰ γὰρ ἀπὸ ὀνομάτων εἰς ος ληγόντων γινόμενα ἐπιῤῥήματα, διὰ τοῦ αδην ἐκφέρονται, οἷον, νόμος νομάδην, σπόρος σποράδην, τρόχος τροχάδην· τὸ δὲ παμπήδην ἐκ τοῦ πάμπαν.

Ἐπιφάνεια, τὸ ἔξω μέρος τοῦ σώματος, παρὰ τὸ φαίνεσθαι.

Ἐπιωγὴ, ἐκ τοῦ ὠγὴ ὁ ὑψηλὸς τόπος λέγεται.

Ἔπος, κυρίως μὲν τὸ ἑξάμετρον, ἀπὸ τοῦ ἔπειν ὃ ἔστι λέγειν.

Ἐπόπτης καὶ ἐποψειασμὸς ὁ φανερός.

Ἐπίχειρα, κυρίως τὰ τοῖς ἐργαζομένοις ἐπὶ ταῖς χέρσι διδόμενα οὐ πάντως λόγῳ μισθοῦ. οἷον, ἄλλα τινά.

Ἐπλήγην τοῦ κατεπλάγην διαφέρει. τὸ μὲν γὰρ σωματικὸν τὸ δὲ ψυχικόν. ἀπὸ τοῦ πλήσσω ἐπλήγην ἐπὶ σώματος. ἐπλάγην δὲ καὶ κατεπλάγην ἐπὶ τῆς ψυχῆς.

Ἐπράθομεν, ἐπορθήτημεν. ἔστι πέρθω τὸ πορθῶ, ὁ β ἀόριστος ἔπραθον. τὸ πληθυντικὸν ἐπράθομεν.

Ἐπλήσθην τοῦ ἐπληστηρίασε διαφέρει. τὸ μὲν γὰρ ἐπλήσθην ἀπὸ τοῦ πλήθω. τὸ δὲ πληστήριον ἐκ τοῦ πληστήριος. τοῦτο δὲ παρὰ τὸ πλῆστος.

Ἑπτά, ἀπὸ τοῦ ἐπιέναι πρὸς τὸν δέκατον ἀριθμὸν, ἢ ἀπὸ τοῦ ἑκὰς, ἢ παρὰ τὸ σεπτῶς εἶναι. τῶν γὰρ ἀριθμῶν οἱ μὲν τύπτουσιν.

Ἐπέξαι, τὸ κεῖραι ἢ κτενίσαι.

Ἐπώνυμον ἐπιθέτου διαφέρει, ὅτι τὸ μὲν ἐπώνυμον ἐπόγκωμα, τὸ δὲ ἐπίθετον ἐπὶ ψόγων κεῖται πολλάκις.

Ἕπω, καὶ ἐπίσπω τὸ ἀκολουθῶ, ὁ παρατατικὸς εἶπον. ἕπω σημαίνει δύο. τὸ λέγω καὶ τὸ ἀκολουθῶ. διαφέρει κατὰ τρόπους διαφέρει. τοῦ μὲν ἕπω τοῦ λέγω τὰ ἐνεργητικὰ εὕρηται ἐν χρήσει, τὰ δὲ παθητικὰ οὐχὶ, τοῦ δὲ ἀκολουθῶ τὰ παθητικὰ, οἷον, ἕπομαι, εἱπόμην ποιητικῶς ἑπόμην, τὸ ἐνεργητικὸν οὐκ ἔχει., τὸ δυϊκὸν ἑπόμεθον, ἑπέθην, καὶ πλεονασμῷ τοῦ σ ποιητικῶς ἐπέσθην· ἀμφιέπω δὲ καὶ περιέσπω· καὶ εἰς τὸ ἀμφιέσπετο, καὶ ὄψ, καὶ δίεπε, καὶ εἶπαισε, καὶ εἶπον, καὶ εὐεπίης, καὶ ἠέλιος, καὶ ὑπεροπευτὴς, καὶ ἠπιοτητα, καὶ νόσφιξ, καὶ πώγων, καὶ σάλπιγξ. καθ' ἕτερον δὲ, ὅτι τὸ μὲν ἔπω τὸ λέγω ψιλοῦται, τὸ δὲ ἕπω τὸ ἀκολουθῶ δασύνεται.

Ἐπώχετο, οἴχω τὸ πορεύομαι, τὸ παθητικὸν οἴχομαι, καὶ ὁ παρατατικὸς ᾠχόμην, ᾤχου, ᾤχετο καὶ ἐπώχετο.

Ἔρα, ἡ γῆ, ὅτι ἐνερίζωται, καὶ οὕτω καλοῦσι ἔρισαι τὸ περὶ ἴσης γῆς φιλονεικον καὶ Ὅμηρος, ᾧ τ' ολγῷ ἐνὶ χώρῳ ἐρίζετο περί.

Ἐρᾶν τοῦ ἐπιθυμεῖν διαφέρει. ἐρᾶν μὲν γάρ ἐστι τὸ ἐν ὄψει, ποθεῖν δὲ τοὺς ἀπόντας, καὶ Ὅμηρος, ὥς σέο νῦν ἔρᾳ [4]), καὶ, μὲ γλυκὺς ἵμερος ἐρεῖ [5]), πρὸς τὴν Ἥραν φησὶν ὁ Ζεὺς παροῦσαν. ἐπὶ δὲ ἀπόντος· ἀλλά με σὸς πόθος, σάτε μηδεα φαίδιμος Ὀδυσσεύς. Εσῆ τ' ἀγχνοφροσύνη μελιήδεα φέρει [6]).

Ἐράσθην, πόθεν ἔστιν; εἰ γὰρ ἀπὸ τοῦ ἐρῶ ἐρᾷς, ἐράθην ἔδει εἶναι, ὡς φυρῶ, φυρᾷς, ἐφυράθην, τοῦ πρώτου ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, μετὰ τοῦ ρ ὑπάρχοντος καὶ μετὰ φωνήεντος ἐκτεινομένου, περάσω, ἐάσω. εἰ δὲ μετὰ τοῦ λ, συστέλλεται, γελάσω, ὅταν δὲ ὁ παρακείμενος ἐπὶ τῶν περισπωμένων μακρᾷ παραλήγεται οὐ λαμβάνει τὸ σ ἐν τῷ παθητικῷ, νενόηκα, νενόημαι, κεχρύσωκα κεχρύσωμαι, πεφύρακα πεφύραμαι, κεκονίακα κεκονίαμαι. πῶς οὖν τὸ ἐράσθην ἔλαβε τὸ σ; εἴπομεν· ὡς τὸ πρῶτον τῆς δευτέρας συζυγίας τῶν περισπωμένων μετὰ τοῦ ρα μακροῦ ὑπάρχων, οὐ γέγονεν ἐκ τοῦ ἐρῶ ἐρᾷς, ἀλλ' ἀπὸ τοῦ ἐράζω, τῆς β συζυγίας τῶν βαρυτόνων, ὡς πειράζω ἐπειράσθην, καὶ πελάζω ἐπελάσθην, οὕτως οὖν καὶ ἐράζω ἐράσθην.

Ἔρανος, τὸ ἐκ συνεισφορᾶς δῶρον, ἢ ἡ ἐντολὴ, ἢ συλλογὴ, ἀπὸ τοῦ ερῶ ὃ σημαίνει τὸ ἐπιθυμῶ, ὅταν συντάσσεται μετὰ γενικῆς. ἐρῶ τὸ λέγω μετὰ δοτικῆς, ἐρῶ τὸ ἐρωτῶ, καὶ ἔῤῥω τὸ φθείρω μετὰ αἰτιατικῆς.

Ἐρασίνη καὶ ἐράσμιος [7]) ὁ ἐράσμιος, παρὰ τὸν ἐράσω μέλλοντα. γράφεται δὲ διὰ τοῦ ι, τῷ λόγῳ τοῦ ἐρυθῖνος.

Ἐρατεινὸς, διὰ τῆς ει διφθόγγου, πρῶτον μὲν ὅτι ἐρατινὸς λέγουσιν οἱ Δωριεῖς, ὥσπερ ποθενὸς ποθεινός. δευτέρῳ δὲ τῷ λόγῳ τῶν εἰς νος ὀξυτόνων, τῶν εἰρημένων ἐν τῷ ἐπεινός.

Ἐρατεινὴ, καλὴ, ἐπέραστος, ἐπιθυμήθη. ἐκ τοῦ ἐρατὸς, ὁ ἐπιθυμητὸς, γίνεται ἐρατεινός· τὸ δὲ ἐρατὸς ἐκ τοῦ ἐρῶ τὸ φιλῶ.

---

1) sive χειρεῦον. 2) Aesch. Theb. 1029. Pers. 825. τὸ E colore rubro: quasi alius esset articulus. 3) (Sic.) 4) Il. XIV, 328. 5) Od. XI, 202 6) Εσῆ εἶχος. 7) F. ἐρασῖνος.

Εργον, γεωργία, παρὰ τὸ ῥέζω τὸ πράττω ῥέγον καὶ ἔργον. σημαίνει δὲ τρία. τὴν παρασκευὴν τοῦ πολέμου· ὡς τὸ, ἔνθά κεν οὐκ ἔτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών· καὶ τὰ γεώργια, πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε. σημαίνει δὲ καὶ τὸ κοινῶς νοούμενον, ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε.

Ἐργῶδες, τὸ δυσχερέστατον, παρὰ τὸ ἐργώδης. τοῦτο παρὰ τὸ ἔργον. τὸ γω μέγα διατι; τὰ διὰ τοῦ ωδης ἀρσενικὰ, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ω μεγάλου γράφεται. χωρὶς τῶν παρὰ τὸ τοὺς ποδὸς συγκειμένων, ὡς ἔχει τὸ τρίποδον καὶ τετράποδον.

Ἐέρδω, τὸ πράττω ἢ θύω, παρὰ τὸ ῥέζω, καὶ εἰς τὸ ῥέξας.

Ἔρδω, σημαίνει δύο, τὸ ποτίζω, οὗ ὁ μέλλων ἔρσω, ἐξ οὗ καὶ ἔρσαι αἱ δρόσοι, αἱ ἐν τῷ ἔρσει τῆς γῆς, ἀντὶ τοῦ ἐν τῇ δρόσῳ καὶ ποιότητι. καὶ ἔρδω τὸ πράττω, ἀπὸ τοῦ ῥέζω, ὡς Ὅμηρος, ἔρξον ὅπως ἐθέλεις.

Ἐρεμβοὶ, οἱ Ἄραβες. ἐστὶ γὰρ Ἄραβος βασιλεὺς Βαβυλῶνος.

Ἔρεβος, σκότος, ζόφος, παρὰ τὸ εἰς τὴν ἔραν βαίνειν. ἢ παρὰ τὸ ἐρέφω τὸ στεγάζω, ἔρεφος καὶ ἔρεβος, τὸ ὑπὸ τῆς γῆς ἐστεγασμένον, καθὼς καὶ τῷ ποιητῇ δοκεῖ. ἐν ἀρχῇ ἦν ἔρεβος καὶ χαὸς τῆς γῆς. καὶ εἰς τὸ λιβρός.

Ἔρρεθα, ὡς ἀπὸ τοῦ ῥῶ τὸ λέγω, ῥήσω, ἔῤῥημαι, καὶ τροπῇ ἔῤῥεθα.

Ἔρεθος, σκότος, ὁ πρὸ τοῦ ταρτάρου τόπος.

Ἐρέμβους, τοὺς Τρωγλοδύτας, παρὰ τὸ εἰς τὴν ἔραν δύνειν. οἱ δὲ τοὺς Ἰνδοὺς παρὰ τὸ ἔρεβος, μέλανος γάρ.

Ἐρίπω, ἰῶτα, ἰστέον δὲ ὅτι ὁ Δίδυμος τὸ ἐρίπω καὶ ἐρίπια, ὃ σημαίνει τοὺς πεπτωκότας τόπους ἔλεγε γράφεσθαι διὰ τοῦ ι, ἐπειδὴ παρὰ ἐρίπη εἰσὶν, ὅπερ σημαίνει τὴν μεγάλως περιπνεομένην, τὸ δὲ ἐρίπη διὰ τοῦ ι. ἐπειδὴ παρὰ τὸ ἔρι ἐπιτατικὸν ἐπίῤῥημα. ὁ δὲ Φιλόξενος, ὅτι ὡς φησὶν ὁ τεχνικὸς, ὅτι ἐρίπω ἰῶτα ὤφειλεν, ὡς καὶ ὁ Δίδυμος φησίν· εἰπὼν δὲ ὤφειλεν, ἐδήλωσε οὐ διὰ τοῦ ι γράφεσθαι, ἀλλὰ διὰ τῆς ει διφθόγγου. ἔστι δὲ καὶ ἐρέπτω, καὶ πλεονασμῷ τοῦ ι ἐρείπτω, καὶ κατὰ ἀποβολὴν τοῦ τ ἐρείπω. ἰστέον δὲ τὸ ἐρείπω καὶ ἐνέργειαν σημαίνειν καὶ πάθος.

Ἐρεθίζω, παροξύνω, παρὰ τὸ ἐρέθω γίνεται τὸ παροξύνω, τοῦτο παρὰ τὸ ἐρῶ τὸ λέγω· ἐρέθω ὥσπερ παρὰ τὸ φλέγω φλεγέθω καὶ νέμω νεμέθω, καὶ εἴκω εἰκάθω.

Ἔρεθεν, ἐμυκτήρισεν, ἐκ τοῦ ἐρῶ τὸ λέγω.

Ἐρεθίζω, ἐκ τοῦ ἔρις ἐρίζω καὶ ἐρεθίζω, ὡς λέπω λεπίζω. ἐρεθισμὸν δὲ λέγομεν καὶ τὸν τῶν ἐχθρῶν ἔπαινον, ἢ παρὰ τὸ ἐρῶ τὸ λέγω ἐρέθω καὶ ἐρεθίζω.

Ἐρείδω καὶ ἐπερείδω τὸ στηρίζω· τὸ ρει διφθόγγῳ, ὅτι ἀνεφάνη τὸ ε ἐν τῷ ἐρειδέδαται. ὁ Ἀττικὸς παρακείμενος ἐρήρεικα, ἀλλ' οὐ συστέλλεται, διὰ τὸ μὴ συνεκπεσεῖν τὸ ἀπὸ τοῦ ἐρίζω.

Ἐρείδω, τὸ ἐπικουμβίζω, καὶ ὁ μέλλων ἐρείσω, ὁ παρακείμενος ἤρεικα καὶ ἐξήρεικα, ὁ παθητικὸς ἤρεισμαι καὶ ἐξήρεισμαι, ἡ μετοχὴ ὁ ἠρεισμένος καὶ ἐξηρεισμένος· καὶ εἰς τὸ ἔρις.

Ἐρείκω, τὸ σχίζω, διὰ τῆς ει διφθόγγου. ἐφάνη γὰρ ἐν τῷ ἐρέχθω.

Ἐρεβοδιφῶ, τὸ χαὸς ζητῶ.

Ἐρεείνω, τὸ λέγω, παρὰ τὸ ἐρῶ τὸ λέγω. μέλλοντα οὐκ ἔχει, ἀλλὰ ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

Ἐρείκη, ἔστιν εἶδος δένδρου, εὐχερῶς σχιζόμενον. γέγονε δὲ παρὰ τὸ ἐρείκω τοῦ σημαίνοντος τὸ σχίζω.

Ἐρείκειν, σχίζειν, παρὰ τὸ ἐρείκη τὸ δένδρον εὔσχιστον εἶναι.

Ἔρειξις, σημαίνει τὴν κατεσχισμένην γῆν, ἀπὸ γὰρ τοῦ ἐρείκω, ἐρείξω γέγονεν ἔρειξις.

Ἐρείομεν, ἐρωτῶμεν, ἐρείω τὸ θέμα, ἐκ τοῦ ῥῶ ῥείω καὶ ἐρείω.

Ἐρίπειν, τὸ ἐπὶ τῆς ἔρας πεσεῖν. ταῦτα δὲ καὶ ἐρίπια λέγεται καὶ ἤρια τὰ τῆς γῆς χώματα, καὶ ὁ ᾅδης, ἐνέρεσιν ἀνάσσων, τῶν ἐν τῇ ἔρᾳ νεκρῶν.

Ἐρεμνὴ, σκοτεινὴ, φοβερὰ, παρὰ τὸ ἐρεβεννὴ κατὰ συγκοπὴν ἀναλαμβάνεται.

Ἐρεπτόμενοι, ἐσθίοντες, παρὰ τὸ ἀπὸ τῆς ἔρας ὅ ἐστι τῆς γῆς τροφὴν λαβεῖν. κυρίως δὲ ἐπὶ τῶν κτηνῶν.

Ἐρέσσω, τὸ κωπηλατῶ.

Ἐρεσχελία, μάχη, φλυαρία. φιλονεικία, ψευδολογία, παρὰ τὸ ἔριν τοῖς χείλεσιν φέρει. ἢ ἐκ τοῦ ἔρις καὶ τοῦ χαλῶ, ἐξ οὗ καὶ τὸ ἐρεσχηλούντων. ἐρεσχηλῶ συντάσσεται μετὰ δοτικῆς.

Ἐρέτης, ὁ κωπηλατὴς, παρὰ τὸ ἐρέσσω, τοῦτο παρὰ τὸ ἕλω τὸ λαμβάνω, ἐλέσσω καὶ ἐρέσσω.

Ἐρεύθω, σημαίνει τὸ βάπτω.

Ἔρευνα, ἡ ζήτησις. ἐρεύω καὶ ἐξ αὐτοῦ ἐρευῶ, καὶ πλεονασμῷ τοῦ ν ἐρευνῶ καὶ ἐξ αὐτοῦ ἔρευνα.

Ἔριθος, σημαίνει τὸν ἐργάτην, καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ἔρια. καὶ ἡνίκα μὲν σημαίνει τὸν ἐργάτην, γίνεται ἀπὸ τοῦ ἔρα ὃ σημαίνει τὴν γῆν. γέγονεν ἔραθος, τροπῇ τοῦ α εἰς ι ἔριθος. ἡνίκα δὲ σημαίνει τὴν γυναῖκα τὴν ἐργαζομένην, γίνεται ἀπὸ τοῦ ἔριον ἔριθος. ἰστέον δὲ ὅτι φησὶν ὁ Ὧρος, ὅμοιον εἶναι κατὰ τὴν γραφὴν καὶ τὸ λέκιθος, σημαίνει δὲ τὸν κροκὸν τοῦ ὠοῦ. τὸ δὲ ἔριθος ὁ τεχνικὸς Ἀλεξίων διὰ τῆς ει διφθόγγου γράφει. ἡ δὲ παράδοσις διὰ τοῦ ι.

Ἐρινύες, παρὰ τὸ ἐρευνᾶν· οἱ δὲ παρὰ τὴν ἔριν, ὅτι δυσμενεῖς εἰσὶν ἕως τέλους. οἱ δὲ παρὰ τὴν ἔραν, γηγενεῖς γάρ εἰσιν, ὡς καὶ οἱ γίγαντες, παρὰ τὸ τῆς γῆς σταλαγμὸν γεγενῆσθαι, ὡς Ἡσίοδος [1] μαρτυρεῖ, ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι, πάσας δέξατο Γαῖα, περιπλωμένῳ δ' ἐνιαυτῷ, γείνετ' Ἐριννύς τε κρατερ   μεγάλους τε Γίγαντας.

Ἐρεύγεται, ἐκ τοῦ ἐρεύγω, τοῦτο παρὰ τὸ ἔρα, ὃ σημαίνει τὴν γῆν. ἢ παρὰ τὸ ἐρεύθω τὸ βλάπτω.

Ἐρευνῶ, ἔστιν ἐρῶ καὶ σημαίνει τὸ ἐπιθυμῶ, καὶ ἐξ αὐτοῦ γίνεται ἐρεύνω. καὶ γὰρ ἐπιθυμῶν τι ἐρευνᾷ περὶ αὐτοῦ.

Ἐρέφεσθαι, σημαίνει τὸ στεφανοῦσθαι.

Ἔρεφος, σκότος, ἔρεφος καὶ ἔρεβος, τὸ ἐπὶ τῆς γῆς ἐστεγασμένον.

Ἐρέφω καὶ ἔρεψα σημαίνει τὸ στεφανῶ καὶ ἐστεφάνωσα.

Ἐρέω, τὸ λέγω, τὸ ῥῆμα εἴρω, ὁ μέλλων ἐρῶ· καὶ

[1] Theog. v. 184.

ἀπὸ τοῦ ἔρω ἐρείω ὡς τέλω τελείω· καὶ εἰς τὸ ἐρευνῶ.

Ἐρέων, μετοχὴ ὁ λέγων. ἰστέον, ὅτι πάντοτε ὁ ποιητὴς τὸ ἐρέω προσφέρει. καὶ σημαίνει τέσσαρα· τὸ ἐρωτῶ, τὸ λέγω, τὸ ζητῶ, καὶ τὸ ἐπιθυμῶ.

Ἐρητύω, ἐκ τοῦ ἔρα, ὃ σημαίνει τὴν γῆν. ἐρωτύω καὶ ἐρητύω.

Ἐρημαῖος, ἐκ τοῦ ἔρημος, τοῦτο δὲ παρὰ τὸ ἔραν μόνην ἔχειν. τὸ ρη ἦθα, τροπῇ τοῦ α εἰς η.

Ἔρημος, ἐρήμονος, ἢ διὰ τὸ ἠρεμεῖν, ἤγουν ἡσυχάζειν· ἢ παρὰ τὸ ἔραν μόνην ἔχειν.

Ἐρητύειν, κωλύειν, κατέχειν. ἐκ τοῦ εἱρκτὴ γέγονεν εἱρκτύω, καὶ ἐξ αὐτοῦ ἐρητύω, ὁ μέλλων ἐρητύσω, ὁ παρακείμενος ἐρήτυκα, τὸ παθητικὸν ἠρήτυμαι. ἐρητύθην, ἐρητυθὲν οἱ Βοιωτοὶ ἐπὶ τῶν ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύνεται.

Ἐριβῶλαξ, ὄνομα θηλυκὸν, εἰς τὸ βω περισπωμένην. τὰ εἰς αξ λήγοντα ἀρσενικὰ, καὶ φύσει μακρᾷ παραληγόμενα ἐκτείνουσι τὸ α, οἷον, Φαίαξ, οἴαξ, θώραξ. τὰ δὲ θηλυκὰ συστέλλουσι. γίνεται δὲ ἐκ τοῦ ἔρι ἐπιτατικοῦ μορίου καὶ τὸ βῶλος, ὃ σημαίνει τὴν εὔγειον καὶ λιπαρὰν γῆν.

Ἐρίπναι, οἱ σηραγγώδεις καὶ περιτετάμενοι τόποι, δι' ὧν μεγάλαι πνοαὶ εἰσδύνουσιν.

Ἐρίνεον σῦκον ἀπὸ τοῦ Ἐρινεοῦ τῆς Θετταλίας, ὅπου πρότερον ὤφθη.

Ἐρεχθεὺς, ὁ Ἐριχθόνιος, ἀπὸ τοῦ ἐπάρθαι εἰς τὴν ἔραν ὅ ἐστι τὴν γῆν.

Ἐρίζειν, κυρίως τὸ ἐπὶ τῆς γῆς διαφθείρεσθαι, ἀπὸ τῆς ἔρας, ὅθεν καὶ ἔριθοι, οἱ θερισταί. οἱ δὲ ἔριθοι ἀπὸ τῶν ἐρίων. ἢ φιλόνεικοι ἀπὸ τῆς ἔριδος.

Ἐριούνιος, ὁ μεγαλοφελής. ὀνῆσαι γὰρ τὸ ὠφειλῆσαι.

Ἐρίγδουπος, ὁ μεγάλους ψόφους ποιῶν διὰ τῶν βροντῶν. ἢ ὁ μεγαλόηχος, διὰ τὸν ἦχον καὶ τὰς τῶν ὅπλων βροντάς. γίνεται δὲ παρὰ τὸ ἔρι ἐπιτατικὸν μόριον καὶ τὸ δούπω ῥῆμα, ὃ σημαίνει τὸ κτυπῶ, πλεονασμῷ τοῦ γ.

Ἐριδαίνω, φιλονείκω, ἐκ τοῦ ἔρις ἐρίδω καὶ ἐριδαίνω καὶ ἐριδανῶ.

Ἐρίζω τοῦ ζηλῶ διαφέρει. ἐρίζω τὸ κατὰ μάχης φιλονεικῶ ἐπί τινι πράγματι. ζηλῶ τὸ σὺν ἐπιθυμίᾳ ὁμιλῶ.

Ἐριήρους, ἤγουν εὐαρμόστους, καὶ μεγαλωφελεῖς, ὁμοτρόπους, ἑταίρους, ἢ ἐριουργοὺς, ἢ σπουδαίους, γνησίους, ὠφελίμους, ἢ ἅρπαγας· καὶ πλεονέκτας, καὶ μοιχούς. γίνεται παρὰ τὸ ἔρι καὶ τὸ ἀρῶ τὸ ἁρμόζω, οἱονεὶ εὐάρεστος καὶ φίλος. ἢ παρὰ τὸ ἦρα ὃ σημαίνει τὴν χάριν.

Ἐρίηρες, ἑταῖροι, παρὰ τὸ ἄγαν ἀρηρέναι.

Ἔριθος ἡ γερδία, παρὰ τὸ ἔρια ἐργάζεσθαι.

Ἐρίθυνος, ὁ ἔνδοξος. ἐρικυδέας, παρὰ τὸ θύνω τὸ ὁρμῶ.

Ἐρινεὸς, σημαίνει τὴν ἀγρίαν συκῆν. ἀπὸ τοῦ ἐρίζω γέγονε ἐρινὺς καὶ κατὰ πλεονασμὸν τοῦ ε ἐρινεός· ἐριστικὸν δὲ τὸ δένδρον. ἀνέρχεται γὰρ καὶ εἰς τοιχῶν. καὶ εἰς ἕκαστον τόπον ἔν τε πέτραις καὶ ὕδασιν.

Ἔρειον, τὸ ρει διφθόγγῳ. δηλοῖ τὸ παρὰ τοῖς ἀρχαίοις λεγόμενον εἴριον.

Ἐρίθεια, ἡ μισθοφορία, καὶ ἐριθία ὁ ζῆλος.

Ἐριννύες, καταχθόνιοι δαίμονες, τιμωροὶ τῶν πατρικῶν ἀσεβημάτων, ὧν τὰ ὀνόματα, Ἀλεκτὼ, Τισιφόνη, Μέγαιρα. εἴρηνται δὲ παρὰ τὸ ἐκ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς εἶναι.

Ἔριον, ὅτι τῷ ἔαρι κείρονται τὰ πρόβατα.

Ἐρίπω, ῥῆμα. σημαίνει δὲ δύο τὸ πίπτω, ὡς τὸ, ἤριπε δ' ὡς ὅτε τις δρῦς, ἢ ἀχερωΐς. σημαίνει δὲ καὶ τὸ καταβάλλω. ῥεῖ' ὄχθοι καπέτοιο βαθείης.

Ἔρειον, παρὰ τὸ εἶρος. καὶ Ὅμηρος, ἰοδνεφὲς εἶρος ἔχουσα. τοῦτο παρὰ τὸ εἴρω τὸ συμπλέκω, ἢ παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ.

Ἔριθος, ὁ ἐργάτης, ὁ τὴν γῆν μισθῷ ἐργαζόμενος. κυρίως δὲ ἐπὶ γυναικῶν ἂν λέγοιτο, τῶν τὰ ἔρια ἐργαζομένων.

Ἔρις, ἡ διὰ λόγων φιλονεικία, καὶ ἐπὶ τοῦ τρέχειν.

Ἐριστὴς, ἐκ τοῦ ἐρίζω.

Ἔριον, τὸ μαλλιὸν, ταλαιπωροῦσι γὰρ αἱ τοῦτο κάμνουσαι.

Ἐρηρεισμένον, ἐκ τοῦ ἐρείδω τὸ ἐπιστηρίζω.

Ἐρίσαντε, φιλονεικήσαντε. ἐκ τοῦ ἐρίζω.

Ἐρίτιμον, ἐκ τοῦ ἔρι καὶ τοῦ τιμή. σημαίνει δὲ τὸν μεγαλότιμον, ὡς ἐν τῷ τῆς ὑψώσεως κανόνι, ἐν ἀσφαλείᾳ τῆς ἐριτίμου δέ· τὸ δὲ ἔρι παρὰ τὴν περὶ πρόθεσιν, ἥτις σημαίνει τὸ περισσῶς, ὡς τὸ, περὶ μέν σε τίω, βαρυτόνως. ἀποβολῇ οὖν τοῦ π γίνεται ἔρι.

Ἔριφος, παρὰ τὸ ἐν ἔαρι φαίνεσθαι, δύο σημαίνει, τὸ ἐρίφιον τῶν αἰγῶν καὶ τὸν ἀστέρα.

Ἔριφος, ὁ μικρὸς αἶξ, παρὰ τὸ ἔαρ καὶ τὸ φῶ τὸ φαίνω, ὁ ἐν τῷ ἔαρι φαινόμενος. ὁ οὖν πρωΐμος χείμαῤῥος, ὁ ἐν τῷ χειμῶνι τεχθεὶς ἐάριφος καὶ ἔριφος κατὰ συγκοπὴν, ὡς ἄργυφος, τοῦ φῶ ἐγκειμένου.

Ἐριχθόνιος ὁ Ἑρμῆς, συντέθειται ἡ λέξις ὥσπερ λέγομεν φθινόπωρον καὶ μεθόπωρον, καὶ παφθινομεθόπωρον, καὶ ὡς συνομήλικες, οὕτως ἐριούνιος Ἑρμῆς, καὶ χθόνιος Ἑρμῆς καὶ ἐριχθόνιος.

Ἐριώλη, ἡ πνοὴ, παρὰ τὸ ἔρι καὶ τὸ ἄω τὸ πνέω, ἡ μεγάλως πνέουσα.

Ἑρκίον, τεῖχος, φραγμὸς, ἐκ τοῦ ἕρκος τὸ περίφραγμα, ὅπερ παρὰ τὸ ἐρύκω τὸ τρέφω καὶ κωλύω, ἔρικος καὶ ἕρκος· παροξύνεται, τὰ γὰρ ἀπὸ μακρᾶς ἀρχόμενα ἔχει παροξυτονούμενα τὰ ὑποκοριστικά· τύρος τυρίον, τεῖχος τειχίον. τὰ δὲ ἀπὸ βραχέος οὐκ ἔτι, ῥάκος ῥάκιον, φάκος, φάκιον. σεσημείωται τὸ ἴχνος ἴχνιον μὴ ποιῶν μακρὰν τὴν ἄρχουσαν, ὡς ὑγρὸν σύμφωνον ἔχον· γίνεται δὲ παρὰ τὸ ἵγμαι ἵγνιον καὶ ἴχνιον, ὡς παίζω παίγνιον.

Ἕρκος, τεῖχος, ἀσφάλεια, περιβολή· Διόνυσος ψιλῶς ἀναγινώσκει, ἀπὸ γὰρ τοῦ ἐρύκειν λέγεται.

Ἕρμαιον, εὕρεμα ἕρμαιον καὶ λόγῳ πολλῷ ἄξιον ἐφαίνετο, τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν· ἢ ἀπὸ τοῦ ἐν ἔθει λεγομένου, κοινῶς Ἑρμῆς, ἐπὶ τῶν εὑρισκόντων τι, οἷον, κοινὸν τὸ εὕρημα. παρὰ τὸ οὖν Ἑρμῆς ἕρμαιος, καὶ ἕρμαιον τὸ οὐδέτερον.

Ἑρμείας, ὁ θεὸς, καὶ ὁ τοῦ λόγου ἡγούμενος. ἀπὸ τοῦ ἑρμέας γέγονε κατὰ πλεονασμὸν τοῦ ι ἑρμείας.

Ἕρμαιον, τὸ κοινῶς λεγόμενον εὕρεμα, ἀπὸ τοῦ Ἑρμῆς ἕρμαιος καὶ τὸ οὐδέτερον ἕρμαιον.

Ἑρμῆς, ὅτι μέγιστόν ἐστι πρὸς τὴν βίον ἕρμα. περιποιεῖ γὰρ πλοῦτον.

Ἑρμαῖος, λόφος, τύπος, ὄνομα. εἰώθασι γὰρ οἱ παλαιοὶ σωροὺς ἐκ λίθων ποιεῖν, οὓς ἐκάλουν ἑρμαίας.

Ἑρμῆς, ὄνομα κύριον, παιδευτὴς λόγων. καὶ ἀπὸ τῆς τύχης ἀγαθὰ καὶ τὰ κέρδη ἑρμαῖα καλεῖται. ἢ παρὰ τὴν ἑρμηνείαν τὴν διὰ τῶν λόγων τῶν ψυχικῶν διανοιῶν, καὶ λόγων ὧν ἑορτ.

Ἑρμηνεὺς, παρὰ τὸ Ἑρμῆς, ὃν λέγουσιν εἶναι ἔφορον τῶν λόγων. καὶ ἐντεῦθεν ἐτυμολογία, παρὰ τὸ ἔφορον τὸν ἑρμηνεύοντα.

Ἑρμηνεία, παρὰ τὸ Ἑρμῆς εἴρηται.

Ἑρμῖς, ὁ ποὺς τῆς κλίνης, ἀπὸ τοῦ ἐναίρεσθαι τῷ ἐν πλάσμαι. ἢ παρὰ τὸ ἔρμα ἔχειν· οἱ δὲ γραφεῖς μὲν ἔγραφον τὸν Ἑρμῆν ἐν ταῖς κλίναις ὡς ἔφορον ὀνείρων, ἵνα ἀγαθοὺς ὀνείρους πέμπῃ.

Ἑρμῖνες, οἱ κλινόποδες, παρὰ τὸ στηρίζεσθαι δι᾽ αὐτῶν τὴν κλίνην.

Ἑρμὶς σημαίνει κραββατόποδα, καὶ γράφεται διὰ τοῦ ι. ἐπειδὴ τὰ δικατάληκτα διὰ τοῦ ι γράφεται, οἷον, Ἐλευσὶς, Ἐλευσὶν, ἑρμὶς ἑρμὶν διὰ τοῦ ἰῶτα.

Ἑρμῆς, ὃ σημαίνει τὸν τοῦ λόγου ἔφορον, τοῦτο παρὰ τὸ ἐρῶ τὸ λέγω.

Ερπετὸν, ἔστιν ἔρα γῆ, καὶ ἐξ αὐτοῦ ἕρπω τὸ σύρω, ἐξ οὗ καὶ ἑρπετὸν τὸ συρόμενον ἐπὶ τὴν γῆν.

Ἑρπετὸν, παρὰ τὸ ἕρπειν, τὸ καταπεσεῖν, τὸ μὴ ὀρθῶς περιπατοῦν. κυρίως δὲ λέγεται ἐπὶ τῶν συρογάστρων ζώων.

Ἑρμωνιείμ, μέγα ι, καὶ δίφθογγος. τὰ εἰς μ λήγοντα ὀνόματα βάρβαρά τε καὶ ἐθνικὰ ὀξύνεται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται, οἷον, ἑρμωνιείμ, ἐλιακείμ, ἰωακείμ, σαναχερείμ, πλὴν τοῦ σὴμ, σαλὴμ, ἱερουσαλήμ.

Ἐρυγμηλὸς, ὁ ἐπιφωνητικὸς καὶ ἐρίμυκος.

Ἑρπηστικὸς ὄφις, ἀπὸ τοῦ ἕρπω ὁ μέλλων ἑρπήσω καὶ ἐξ αὐτοῦ ἑρπηστικὸς, κατὰ πλεονασμὸν τοῦ σ. ὡς χειρώσω χειρωτὸς, καὶ χειρωστός.

Ἕρσις, ὁ ἐν ὕδατι πεπνιγμένος, ἀπὸ τοῦ εἴρειν καὶ ἐπέχειν τῶν ἀναπνοῶν, ὅθεν καὶ εἱρκτὴ ἀπὸ τοῦ ἕρκος εἶναι.

Ἐρυθῖνος, ὄνομα, διὰ τοῦ ι. ὁ κανὼν, τὰ διὰ τοῦ ινος πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι δι᾽ αὐτοῦ γράφεται καὶ προπερισπᾶται. οἷον, Σαβῖνος, Μαρτῖνος, ἐρυθῖνος, Ταραντῖνος, ἐχῖνος δὲ καὶ καμῖνος παροξύνεται.

Ἑρπετὸν, διὰ τὸ ἕρπειν ἤγουν σύρεσθαι. ἢ παρὰ τὸ σύρεσθαι πάνυ. γίνεται δὲ παρὰ τὸ ἕρπω, ἐξ οὗ τὸ ἑρπετῶ ἑρπετήσω, καὶ ἐξ αὐτοῦ ἑρπητὸν καὶ ἑρπετόν.

Ἕρπυλος, παρὰ τὸ ἕρπειν ἐν τῷ αὐξάνεσθαι.

Ἔρρω σημαίνει τὸ κάμνω. καὶ εἰς τὸ εἰροκόμος καὶ καὶ ἔρανος.

Ἐρρώγει, συνεῤῥαγὴ καὶ συνελύθη, ἀπὸ τοῦ ῥήσσω ὁ μέλλων ῥήξω, ὁ μέσος παρακείμενος ἔῤῥηγα, ὁ μέσος, ὑπερσυντελικὸς ἐῤῥήγειν, καὶ τροπῇ τοῦ η εἰς ω ἐῤῥώγειν καὶ συνεῤῥώγειν.

Ἕρσις, παρὰ τὸ εἴρω τὸ συμπλέκω ἐξ οὗ καὶ σειρὰ ἡ πλοκὴ, καὶ πλεονασμῷ τοῦ σ εἴρσω. ἕρσης οὖν καὶ ἀνέρσης.

Ἕρσαι, αἱ δρόσοι, παρὰ τὸ ἔρσαι ὅ ἐστι ποτίσαι.

Ἐρυθρὸς, παρὰ τὸ ἐρεύθω τὸ βάπτω, ἀποβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ ρ, ἐρυθρός. πόθεν ἐκλήθη Ἐρυθρὰ θάλασσα, καὶ Ἐρυθραῖον πέλαγος, ἀπὸ Ἐρυθροῦ βασιλέως. ἀποθανόντος γὰρ αὐτοῦ, ἔῤῥιψαν αὐτὸν ἐν τῇ θαλάσσῃ, ἐπιγράψαντες τῷ αὐτοῦ τάφῳ οὕτως· ἐνθάδε τύμβος ἁλὸς παμμεδέοντος [1]) Ἐρυθροῦ. ἢ ἀπὸ τῶν παρακειμένων ὀρέων, ἐρυθρῶν ὄντων.

Ἐρύκω, σημαίνει τὸ κωλύω, ἐξ οὗ καὶ ἔρυμα τὸ κώλυμα, καὶ ἀσφάλισμα; καὶ τειχίον· καὶ ἔρυμα ὑψηλὸν τεῖχος.

Ἐρύμανθος, ὄρος Ἀρκαδίας καὶ ποταμός. ἔνθα ἐρυμάνθιος κάπρος. ἐν τούτοις δὲ λέων οὐ γίνεται.

Ἔρυμα, ὑψηλὸν τεῖχος, πρὸς φυλακὴν πόλεων πεποιημένον. ἔρυμα χρωὸς, καὶ ἕρκος, καὶ τροπῇ τοῦ ε εἰς α, καὶ τοῦ ο εἰς ι, ἄρκυς. σημαίνει δὲ τὸ δίκτυον, ὅπερ τιθοῦσι πρὸς θήραν λέοντος, ἢ καὶ ἄλλων τινῶν ζώων.

Ἐρυμνώσας, ἰσχυροποιήσας, πυκνώσας, ἀσφαλισάμενος, ἀπὸ τοῦ ἐρυμνῶ. τὸ δὲ ἔρυμα παρὰ τὸ ἐρύω τὸ ἀσφαλίζω, ἢ ἐρύω ὃ σημαίνει τὸ φυλάσσω.

Ἐρυμνὴ, ὀχυρὰ, παρὰ τὸ ἐρύματος τάξιν ἔχειν, ἤγουν ἰσχυράν.

Ἔρυξαν, ἐκράτησαν. ἔστιν ἐρύκω τὸ κωλύω, καὶ γίνεται παρὰ τὸ ἕρκος ἑρκύω, καὶ ἐν ὑπερβιβασμῷ ἐρύκω, ὅθεν γίνεται ἔρυμα ὃ σημαίνει τὸ ἀσφάλισμα.

Ἐρυσίβη, σημαίνει τὴν γενομένην ἐν τῇ δυσκρασίᾳ πάχνην καὶ φθείρουσαν τοὺς καρπούς· γίνεται δὲ παρὰ τὸ ἐρύκω τὸ κωλύω, καὶ τὸ βῶ τὸ τρέφω, ἡ κωλύουσα τρέφεσθαι τοὺς καρπούς. τὸ σι ἰῶτα διατί; τὰ ἀπὸ μελλόντων δισυλλάβων συντιθέμενα ὀνόματα τῷ ι παραλήγεται. τρέψω τρεψίβροτος, στήσω στησίχορος, ἐρύσω ἐρυσίβη.

Ἐρυσίβη, Δημήτηρ παρὰ Γοργονίοις. ἔστι δὲ πρὸς τῷ Ἑρμῷ ποταμῷ. καλοῦσι δὲ οὕτω τὴν τοῖς στάχυσιν ἐπανθοῦσαν ὤχραν, καὶ συγκομίζουσαν τοὺς καρποὺς, ἣν τινες αὐθαλίδα καλοῦσι.

Ἐρυσίπολις, οὐ τὸ ξυλόκαστρον, ἀλλ᾽ ἡ σώζουσα καὶ ῥύουσα πόλις. ἤτοι ἡ ἐρύουσα καὶ ἀνθελίκουσα ἐν ταῖς μάχαις τὰς πόλεις, καὶ ἐρυσάρματας ἵππους, τοὺς ἕλκοντας τὰ ἅρματα. ἢ ἀπὸ τοῦ ἐρύεσθαι τὰς πόλεις. ἄμεινον δὲ οὕτως, ὅθεν καὶ πολιοῦχοι.

Ἐρυσσάμενος, ἑλκύσας ἢ φυλάξας, ποιητικῶς διὰ δύο σσ. τὸ θέμα ἐρύω. γίνεται ἐκ τοῦ ἕλω ἑλύω, καὶ τροπῇ ἐρύω, ὁ παρατατικὸς εἴρυον, ὁ παρακείμενος εἴρυκα, εἴρυμαι Ἰωνικῶς ὁ παθητικὸς εἴρυμαι, τὸ πληθυντικὸν εἰρύαται. ἢ παρὰ τὸ εἴρυμι εἴρυμαι καὶ Ἀττικῶς εἰρύαται. καὶ εἰς τὸ ῥυθμὸς καὶ ἔρυσε, καὶ ἔψ.

Ἐρῶ, τὸ ἐπιθυμῶ, εἰς τὸ εἰρύσαμεν, καὶ ἐξαίρετος, καὶ ἔρανος, καὶ ἐρατεινὴ, καὶ ἐρέθιεν.

Ἐρωδιὸς, ὄρνεον, παρὰ τὸ ἕλος ἑλωδιὸς καὶ ἐρωδιὸς, φιλεῖ τὸ ἑλώδεσι τόποις διατρίβειν. ἢ ἀπὸ τοῦ ἔρως ἔρωτος, γίνεται παρώνυμον ἐρωτίδιον, καὶ ἀποβολῇ τοῦ τ καὶ συγκοπῇ ἐρωδιός. σημαίνει δὲ τὸν πελαργόν.

Ἐρωδιὸς, εἶδος ὀρνέου ἐμφερὲς γεράνῳ. ἔχει δὲ ἐπὶ τῆς κεφαλῆς ἀκρόπτερον ὡς βασιλεῖον. ἐτυμολογεῖται δὲ διαφόρως. οἱ μὲν παρὰ τὸ εἶαρ τὸ σημαῖνον τὸ αἷμα, ὡς παρὰ τῷ Κριναίῳ· αἷμα γὰρ λύχνος τὸ ἔλαιόν τι ἔλεξεν. ἐκ τοῦ ἔαρ γίνεται ἔωρ, ὡς τέκμαρ τέκμωρ, ἀπὸ οὖν τὸ ἔωρ καὶ τοῦ ἰδίειν, τοῦ σημαίνοντος τὸ ἱδροῦν γέγονεν, ἐν γὰρ ταῖς μίξεσιν ὥς φασιν ὁ ἐρωδιὸς αἷμα ἱδροῖ. ἢ ἀπὸ τοῦ ἕλους καὶ τὸ ἴδιον γίνεται ἐρωδιὸς, κατ᾽ ἔκτασιν τοῦ ο εἰς ω. ἢ ἀπὸ τοῦ ἔρως ἔρωτος γίνεται ἐρωτίδιος καὶ ἀποβολῇ τοῦ τ, καὶ συγκοπῇ ἐρωδιὸς, σημαίνει δὲ τὸν πελαργόν. καὶ γὰρ ὥς φασιν ἀφροδίσιον ἔστι τὸ ὄρνεον. ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι ὥσπερ ἀπὸ τοῦ ἁρμόζω γίνεται ἁρμόδιος,

---

1) L. τοῦ παμμεδ.

οὕτω καὶ ἀπὸ τοῦ ῥαίζω γίνεται ῥοίδιος, καὶ πλεονασμῷ τοῦ ε ἐροίδιος, καὶ τροπῇ τοῦ ο εἰς ω ἐρωδιὸς, καὶ μένει τὸ ι προσγεγραμμένον. διάτι ὀξύνεται; τὰ εἰς ος καθαρὰ, τῷ ι παραλήγοντα, ὑπὲρ τρεῖς συλλαβὰς ὀξύνεσθαι θέλουσιν, οἷον, αἰγυπτιὸς, βομβυλιὸς, χαραδριὸς. οὕτως οὖν καὶ ἐρωδιός.

Ἐρωήσει, ὑποχωρήσει, ὁρμήσει, διώξει, καταπαύσει, παρὰ τὸ ῥῶ, ῥαίω τὸ φθείρω, ἐξ οὗ καὶ ῥᾷον, ὡς γνῶ γνύω, ὅθεν τὸ ἐπεῤῥώσαντο ἄνακτα, γίνεται δὲ ῥωὴ, ὡς ζῶ ζωὴ καὶ πλεονασμῷ τοῦ ε ἐρωὴ καὶ ἐξ αὐτοῦ ἐρωῶ, ἐρωήσω. ἢ παρὰ τὸ ἐρῶ ἐρωήσω, ἐρωήσει.

Ἐρώησας, ὑποχωρήσας, καὶ ἐρωησὴς σεμνὸς ὁ ποθῶν.

Ἐρωὴ, ἡ ὁρμή. ἔστι δὲ παρὰ τὸν ῥῶ ἐνεστῶτα, πλεονασμῷ τοῦ ε.

Ἐρωὴ, ἡ ὑποχώρησις. καὶ ἐρωὴ ἡ ἐπιθυμία.

Ἔρως, ὁ πόθος, ἀπὸ τοῦ ἑλεῖν τὸν ἔρωτα, ἕλως. οὕτως λέγεται παρὰ τὸ εἴρειν, ὃ σημαίνει τὸ δεσμεῖν, ὁ συνδέων ἡμᾶς.

Ἐρῶ, σημαίνει τὸ ἐρωτῶ, καὶ συντάσσεται μετὰ αἰτιατικῆς, ἐξ οὗ καὶ εἰράμην καὶ ἠρώτων. σημαίνει τὸ λαλήσω, καὶ συντάσσεται μετὰ δοτικῆς, καὶ τὸ ἐπιθυμῶ, καὶ συντάσσεται μετὰ γενικῆς, ἔῤῥω τὸ φθείρω μετὰ αἰτιατικῆς.

Ἔρως καὶ πόθος διαφέρει, ἔρως μὲν γάρ ἐστι τῶν παρόντων· πόθος δὲ ἐπὶ τῶν ἀπόντων.

Ἐρῶ, σημαίνει τρία, τὸ λέγω, ὡς τό· ἄλλο δέ τοι ἐρέω· τὸ ἐρωτῶ, πάντων γὰρ Ἀργείων ἐρέων· καὶ τὸ ζητῶ, ὡς τὸ· στὰς ἐρέων Ὀδυσῆϊ συνήντετο. καὶ τὸ ἐπιθυμῶ.

Ἐρωτᾷν τοῦ πυνθάνεσθαι διαφέρει· πυνθάνεσθαι μὲν γάρ ἐστι, τὸ κατὰ ἀκοὴν διεξοδικῶς ἀκούειν τὰ ἀπό τινος λεγόμενα, αὐτὸν οὐδὲν ἐρωτῶντα· ἐρωτᾷν δὲ, τὸ θέλειν κεφαλωδῶς τινὰ ζητεῖν, καὶ λαβεῖν ἀπόφασιν περὶ τοῦ ὑποκειμένου πράγματος.

Ἐρώτησις καὶ πίστις καὶ ἀνάκρισις διαφέρει. ἐρώτησις μὲν γάρ ἐστι σύντομος ἀπόκρισις. πίστις δὲ μικρᾶς πράξεως ἀπαγγελία. ἀνάκρισις δὲ ὑπὸ δεεστέρων ἐξέτασις.

Ἐρωτῶ, παρὰ τὴν ἔρωτος γενικήν. οἱ γὰρ ἐρωτῶντες οὗ ἐφίενται μαθεῖν, τοῖς ἐρῶσιν ἐοίκασιν. ἢ παρὰ τὸ ἔρως ἔρωτος ἐρῶ τὸ ἐρωθῶ· ὁ γὰρ ἐρωτῶν περὶ οὗ ἐπιθυμεῖ καὶ ἀκούει. τοῦτο δὲ παρὰ τὸ ῥῶ τὸ λέγω.

Ἔσαν, ἦσαν, ὑπῆρχον, τὸ θέμα εἰμὶ τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν ἦμεν, τὸ γ ἦσαν, καὶ συστολῇ τοῦ η ἔσαν.

Ἐσθὴς, ἱμάτιον, ἔνδυμα. ἔστιν ἕω τὸ σημαῖνον τὸ ἐνδύομαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἷκα, ὁ παθητικὸς εἷσμαι, τὸ τρίτον εἷσται καὶ ἐξ αὐτοῦ ἐστὴς, καὶ τροπῇ τοῦ τ εἰς θ ἐσθής.

Ἔσθησις ἐσθήσεως, τὸ ἱμάτιον. καὶ γίνεται ἐκ τοῦ ἕω ἕσω, καὶ πλεονασμῷ τοῦ θ γίνεται θέμα περισπώμενον ἐσθῶ, πρὸς ἀντιδιαστολὴν τοῦ ἔσθω, τοῦ σημαίνοντος τὸ ἐσθίω, ὁ μέλλων ἐσθήσω, καὶ ἐξ αὐτοῦ ἔσθησις ἐσθήσεως. ἐξ οὗ καὶ, ἦσαν ἄγγελοι ἐν ἐσθήσεσιν ἀστραπτούσαις. ἀπὸ δὲ τοῦ ἕω ἕσω γίνεται καὶ τὸ ἀμφιέσω.

Ἐσθλὸν, γενναῖον, ἀγαθὸν, ἐπαφελὲς, παρὰ τὸ ἐθελόν τι εἶναι, ὅπερ θέλει ἕκαστος. ἔθελον καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ σ καὶ καταβιβασμῷ τοῦ τόνου ἐσθλόν.

Εσκαλε, σημαίνει τὸ ἠρεύνα, ἐζήτει, γέγονε δὲ ἀπὸ τοῦ σκάλλω, σκαλῶ, ὁ β ἀόριστος ἔσκαλον, τὸ τρίτον ἔσκαλε. ἐξ αὐτοῦ δὲ τὸ σκαλεύω καὶ τὸ σκαλίζω. καὶ σκάλλω ἀπὸ τοῦ σκαλῶ, καὶ τοῦ χῶ τὸ θέλω, γίνεται κάλλω καὶ πλεονασμῷ τοῦ σ. σκάλλω· ὁ γὰρ ἐρευνῶν ὅπερ θέλει, ἐκεῖνο καὶ ζητεῖ· τὸ δὲ ἐπὶ τῆς λύπης, ἔστιν ἄχος ἡ λύπη, καὶ ἐξ αὐτοῦ γίνεται χάλλω, καὶ πλεονασμῷ τοῦ σ σχάλλω καὶ ἀσχάλλω.

Ἐσαπήσας, ἐκ τοῦ σήπω σήψω, ἔσαπον ἐσάπην· τὸ δὲ σήπω παρὰ τὸ σὴς ὁ σκώληξ, ὅπερ κλίνεται σητός. τοῦτο παρὰ τὸ σῶ τὸ κινῶ, ὁ μέλλων σήσω, ἀποβολῇ τοῦ ω σής.

Ἐσκόρπισεν, ἐκ τοῦ καρπὸς καρπίζω καὶ σκορπίζω. ἐκ μεταφορᾶς τοῦ σίτου εἴρηται, ἐπειδὴ ὁ γεωργὸς ἐκ τοῦ κόλπου σκορπίζει τὰ σπέρματα.

Ἕστακα καὶ ἕστηκα διαφέρει. ἕστηκα μὲν ἐγὼ, ἕστακα δὲ σέ.

Εἰς μισγάγκειαν, εἰς βάθος γῆς. παρὰ τὸ μίσγω καὶ τὸ ἄγκος ὃ σημαίνει τὸ κοῖλον καὶ τὸ βαθύ. τὸ δὲ ἄγκος ὃ σημαίνει τὸ κοῖλον, γίνεται ἐκ τοῦ κέω ὃ σημαίνει τὸ κεῖμαι, καὶ κατὰ συναλοιφὴν κῶ, καὶ ἐξ αὐτοῦ ὄνομα μονοσύλλαβον κώς. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α καὶ πλεονασμῷ τοῦ γ, ἄγκος, τὸ πάνυ κοῖλον καὶ τὸ βαθὺ, ἐκ τούτου ἄγκεια καὶ μισγάγκεια.

Ἐσμὸς, κυρίως ἐπὶ τοῦ σμήνους τῶν μελισσῶν. καὶ τὸ τὴν ἔσην ὁμοῦ ποιεῖν καὶ μὴ διεστάναι ἀπ' ἀλλήλων. διὸ καὶ Ὅμηρος, μελισσάων ἁδινάων, παρὰ τὸ ἄδδην καὶ τὸ ἀθρόως πετᾶσθαι ἀγεληστὶ, διὸ καὶ βοτρυδὸν δὲ πέτονται. καταχρηστικῶς δὲ τὸ πλῆθος. ἐσμὸς δὲ ὑπὸ Ταναγραίων καὶ ἡ γεννῶσα καλεῖται. καὶ εἰς τὸ ἔσση.

Ἐσμὸς, τὸ πλῆθος τῶν μυιῶν, παρὰ τὸ ἕπεσθαι ἀλλήλαις, ἢ παρὰ τὴν ἔσην, ὡς θίθημι θήσω θεσμὸς, δίδημι δήσω δησμὸς, οὕτως ἵημι ἥσω ἐσμός.

Ἐς νέωτα, τὸ ἐπιὸν ἔτος, ἢ τὸ μέλλον, παρὰ τὸ ἔνος ὃ σημαίνει τὸν ἐνιαυτὸν, ἔνοστα καὶ ἀποβολῇ τοῦ σ ἔνοτα καὶ ἐκτάσει τοῦ ο εἰς ω, καὶ ὑπερθέσει τοῦ ν νέωτα.

Ἔσοπτρον, ἐκ τῆς εἰς προθέσεως καὶ τοῦ ὄπτω τὸ βλέπω.

Ἑσπερα, ἀπὸ τοῦ πέρας εἶναι τῆς ἕω, ἤγουν τῆς ἡμέρας. ἢ ἀπὸ τοῦ ἔσω ἡμᾶς περᾷν.

Ἕσπερα, ἀπὸ τοῦ ἔσω περᾷν τὰ ζῶα, καὶ καθεύδειν καὶ ἀναπαύεσθαι, καὶ Σαπφώ· ἔσπερ' ἐς πάντα φέρων ὅσσα φαίνολες ἐσκέδασ' ἄβως. οἱ δὲ ὅτι εἰς πέρας ἐλήλυθεν ἡ ἡμέρα, ἢ ὅτι ἕσπεται τῇ τοῦ ἡλίου αὐγῇ.

Ἑσπέρα καὶ ὀψὲ διαφέρει. ἑσπέρα μὲν γάρ ἐστι δυομένου τοῦ ἡλίου. ὀψὲ δὲ βραδέως καὶ μεθ' ὅν τινα οὖν χρόνον καὶ προστιθέασιν ὀψὲ τῆς ἡμέρας.

Ἑσπερία θάλασσα καὶ Ἀτλαντικὸν πέλαγος. ἐβασίλευσε γὰρ αὐτῆς Ἄτλας καὶ Ἕσπερος. καὶ ἀπὸ μὲν Ἄτλαντος τὸ πέλαγος, ἀπὸ δὲ Ἑσπέρου ἡ θάλασσα.

Ἕσπετο, ἠκολούθη, ποίου εἴδους τῶν παραγώγων; παρεμπτώσεως. καὶ τί ἐστι παρέμπτωσις, πλεονασμὸς συμφώνου κατὰ τὸ μέσον, οὐ ποιοῦντος συλλαβήν. οἷον, πόλις πτόλις, ἕπετο ἕσπετο.

Ἔσσεται, ἔσται, γενήσεται. τριχῶς προσφέρεται, ἔσεται δι' ἑνὸς σ κοινῶς, ἔσσεται διὰ δύο σσ ποιητικῶς, ἐσεῖται Δωρικῶς, οἱ γὰρ Δωριεῖς ἐκβολὴν ποιοῦντες τοῦ σ πλεονάζουσι τὸ ι καὶ περισπῶσιν αὐτό. καὶ Ὅμηρος, οἷον, ἄρκιον ἐσεῖται φυγὴν καὶ κατὰ συγκοπὴν ἔσται· τοῦ ἐσεῖται ὁ καινών. ἐπὶ τῶν μελλόντων οἱ Δωριεῖς

παρεντιθέντες τὸ ι, προπερισπωμένως προφέρονται, οἷον, πλευσεῖται, ῥευσεῖται, ἐσεῖται.

Ἔσται τοῦ γενήσεται διαφέρει· ἔσται μὲν γὰρ τὰ οὐ νῦν ὄντα. γενήσεται δὲ τὰ οὐκ ὄντα, οἷον, ὁ νέος πρεσβύτης ἔσται, τῷ δ᾽ ἀτέκνῳ παῖδες γενήσονται.

Ἔσσην, ὁ βασιλεύς, ἀπὸ μεταφορᾶς τοῦ τῶν μελισσῶν βασιλέως ὡς εἴρηται ἔσσην ἀπὸ τοῦ ἔσωθεν ἕζεσθαι ἀεί, Ἰωνικὴ δὲ ἡ λέξις, καὶ σημαίνει τὸν πρόβουλον, παρὰ τὸ ἕζεσθαι ἐν ᾗ ἕξην καὶ ἔσσην, ὁ προκαθήμενος. ἢ ὄσσην ἐσσάμενον καὶ περισκοπῶν τὰ τῆς πόλεως. ἢ ὁ κτίστης παρὰ τὸ ἕσσαι καὶ ἱδρύσθαι, ὅθεν Ὅμηρος, εἷσσεν χερείῃ ἑκὰς ἀλλήλων ἀριστάων. ἢ ὁ ἥσσονας τοὺς ὑπ᾽ αὐτοῦ. καὶ συστολῇ τοῦ η εἰς ε, καὶ τροπῇ τοῦ ω εἰς η ἔσσην.

Ἐσπόμεθα, ἐκ τοῦ ἕπω τὸ ἀκολουθῶ, τὸ παθητικὸν ἕπομαι, τὸ πρῶτον τῶν πληθυντικῶν ἑπόμεθα, καὶ πλεονασμῷ τοῦ σ ἑσπόμεθα.

Ἔστε, δευτέρου προσώπου τῶν πληθυντικῶν. τὸ θέμα εἰμί. ἡ μετοχὴ εἷς ἔντος, τὸ προστακτικὸν ἔθι, τὸ γ ἔτω καὶ πλεονασμῷ τοῦ σ ἔστω, τὸ πληθυντικὸν ἔστε βαρυτόνως. τὰ εἰς τε λήγοντα προστακτικὰ ὁμοιοκατάληκτα ὄντα τοῖς ὁριστικοῖς, ὁμότονα καθεστήκασιν. οἷον, ἤγετε ἄγετε, ἐλέγετε λέγετε, τοῦ δὲ ἔστε τὸ ὁριστικὸν ὀξύτονον, ὡς τὸ φατέ· τὸ δὲ προστακτικὸν βαρύτονον.

Ἑστιάτωρ καὶ δαιτύμων διαφέρει. ἑστιάτωρ μὲν ὁ ὑποδοχεύς, δαιτύμονες δὲ οἱ ἐσθιόμενοι.

Ἑστία καὶ ἐσχάρα καὶ μέγαρον διαφέρει. ἑστία μὲν γὰρ σημαίνει τὸν οἶκον. ἐσχάρα δὲ ἡ προσβιωτικὴ χρῆσις ἐπιγενομένη, ἤγουν ἀντὶ βωμοῦ κεῖται, μέγαρον δὲ ἡ περιῳκοδομημένη.

Ἑστία, ἡ θεός, παρὰ τὸ ἕσασθαι ὅ ἐστιν ἱδρύσασθαι· αὕτη γὰρ πρώτη οἶκον συνέστησεν· ἢ ὅτι τὰ ἀγάλματα αὐτῆς ἱδρύοντο καθήμενα, παρὰ τὸ ἧσθαι· ἢ παρὰ τὸ ἑστάναι, ὅ ἐστιν ἐν ἑνὶ τόπῳ ἱδρῦσθαι. καὶ τοὺς οἴκους γὰρ πάλαι ἑστίας ἐκάλουν, καὶ Ὅμηρος· ἑστία τ᾽ Ὀδυσσῆος ἀμύμονος· καὶ ἡ εὐωχία ἑστία λέγεται, ἀπὸ τοῦ συνέχειν καὶ ἱδρύειν τὰ σώματα πάντα, ἀπὸ μὲν τοῦ ἵζω ἱστία, ἀπὸ δὲ τοῦ ἕζω ἑστία.

Ἑστία, πολλὰ σημαίνει. ὄνομα θεᾶς καὶ τὴν οἰκίαν ἑστία τὸ πῦρ, καὶ τὸν τόπον ὅπου τὸ πῦρ, καὶ τὴν πυρὰν, καὶ τὸν βωμὸν, καὶ τὸν χυτρόπουν, καὶ πυροστάτην, καὶ τὴν εὐωχίαν.

Ἐσχάρα, ὅπου ὀπτῶσιν.

Ἐστι, τρίτου προσώπου τῶν πληθυντικῶν· πόθεν γίνεται; ἔστι ῥῆμα εἰμί, οὗ ἀκόλουθον πρόσωπον εἰσί, καὶ τροπῇ Δωρικῇ τοῦ σ εἰς τ, κατὰ ἀποβολὴν τοῦ ι ἐστίν. ἴσως ἵνα καὶ τὴν πρὸς τὸ πληθυντικὸν ἔκτασιν ἀποφυγῇ. λέγω δὴ τοῦ ἂν ποιοῦσι μετὰ ἀποβολῆς καὶ τροπῇ προσέλαβε τὸ σ, ἵνα τὴν ὀφειλομένην μακρὰν ἀπολαβῇ. τὰ γὰρ εἰς ι τρίτα πρόσωπα πάντα μακρᾷ παραλήγεται. τύπτουσι, δίδουσι, τίθουσι. καὶ ἄλλως τὸ ἐστίν, ἀπὸ τοῦ εἰμὶ ἐστὶ τὸ δεύτερον πρόσωπον ἂς τὸ τρίτον ἐστί, ἀποβολῇ τοῦ σ καὶ προσθέσει τοῦ τ ἐγένετο ἔστι. καὶ ἄλλως τὸ ἐστὶν ἀπὸ τοῦ εἰμὶ ἐστί, τὸ δεύτερον γὰρ πρόσωπον τροπῇ τοῦ μ εἰς σ γίνεται εἶς, καὶ τὸ τρίτον προσθέσει τοῦ ι εἰσί, καὶ κατὰ διάλεκτον Δωρικὴν τροπῇ τοῦ σ εἰς τ γίνεται εἶτι, καὶ κατ᾽ ἀποβολὴν τοῦ ι ἔτι καὶ κατὰ πρόσθεσιν τοῦ σ ἔστι. ἐπειδὴ τὰ εἰς ι πάντα μακρᾷ θέλουσι παραλήγεσθαι.

Ἑστός, εἰς τὸ μεστός.

Ἔστον, ἔστι δυϊκὸν ἔστον, ἔστων.

Ἔστω, ἐκ τοῦ ἔω τὸ ὑπάρχω γίνεται παράγωγον εἰμί.

Ἔστω, ῥῆμα προστακτικόν. εἰμὶ τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἔντος καί. τὸ προστακτικὸν ἴθι, τὸ τρίτον ἔτω, καὶ πλεονασμῷ τοῦ σ ἔστω· καὶ ἐξ αὐτοῦ γίνεται καὶ τὸ ἤτω, τροπῇ τοῦ ε εἰς η.

Ἑστῶτες, μετοχή, ἵσταντο, παρὰ τὸ ἵστημι στήσω, ὁ παρακείμενος ἕστακα, ἡ μετοχὴ ὁ ἑστακώς, ἀποβολῇ τοῦ κ ἑσταώς, καὶ ἑστώς. τὸ στω μέγα διάτι; τὸ α καὶ τὸ ω εἰς ω κιρνῶνται.

Ἐσύκαζεν, ἐσυκοφάντει, ἐλοιδόρει.

Ἐσχατία, ἡ ὁ ἀγρός, ἢ τὸ ἔσχατον τοῦ ἀγροῦ.

Ἔσσυται, ἔστι παθητικοῦ παρακειμένου τῶν εἰς μι. ἔστι γὰρ ῥῆμα σῶ τὸ σημαῖνον τὸ ὁρμῶ. ἐκ τούτου παράγωγον σύω· ὁ παρακείμενος σέσυκα, ὁ παθητικὸς σέσυμαι, σέσυσαι, σέσυται, καὶ ἐν ὑπερθέσει τοῦ ε ἔσσυται. πάλιν ἐκ τοῦ σῶ γίνεται παράγωγον σεύω, ὁ ἐνεστὼς παθητικὸς σεύομαι, τὸ τρίτον τῶν πληθυντικῶν σεύονται κύνες θαλεροί τ᾽ αἰζηοί.

Ἔσχατος, παρὰ τὸ σχέσιν καὶ κώλυσιν, ὁ τελευταῖος, ὕστατος δὲ, ὅτι ὑπ᾽ αὐτόν ἐστιν ἡ στάσις, καὶ οὐκέτι προβῆναι δύναται, ἀλλ᾽ ὕστερος εἱστήκει, τοῦ πρώτου μὴ ἐόντος, καὶ τοῦ ἀπόντος πεπαῦσθαι. καὶ τέρμιον τὸ ἔσχατον, τὸ ἀπὸ τοῦ τέρματος ὅ ἐστι τέλους.

Ἔσχετο, εἰς τὸ ὑπέσχετο.

Ἔσχατος, παρὰ τὸ ἕω τὸ ἀκολουθῶ, ὁ νεός, ἢ πρὸ ὀλίγου.

Ἔσω, εἰς τὸ ἔνδον.

Ἔσωσε, παρὰ τὸ σώζω, τὸ δὲ σώζω ὅταν ἀπὸ τοῦ σωίζω ἔστιν, ἔχει τὸ ι, ὅτε δὲ ἀπὸ τοῦ σαὸς σαόζω, καὶ κράσει σώζω, ὁ μέλλων σώσω, ὁ παρακείμενος σέσωκα, σέσωσμαι, σωτήρ. ἔστι δὲ καὶ ἄλλο, σῶ τὸ ὑγιαίνω, ὁ παθητικὸς σέσωσμαι, σέσωσται καὶ ἐξ αὐτοῦ σωτήρ. ἔστι σώω, σώσω, ὡς γνώω, γνώσω, ἔγνωκα, ἔγνωσμαι, ἔγνωσται, καὶ ἐξ αὐτοῦ γνωστὸς ὁ ἴδιος, καὶ γὰρ γνωστοὶ λέγονται οἱ γνώριμοι, γνωστοὶ δὲ καὶ οἱ ἴδιοι.

Ἐτάζω, σημαίνει τὸ τὴν ἀλήθειαν ἀνακρίνω. γέγονε δὲ παρὰ τὸ ἐτεὸν τὸ ἀληθές. ὥσπερ παρὰ τὸ ἵππω ἱππίζω, οὕτω καὶ παρὰ τὸ ἐτεὸν ἐτεάζω, καὶ ἀφαιρέσει τοῦ ε ἐτάζω καὶ ἐξετάζω τὸ τὴν ἀλήθειαν ἀνακρίνω. καὶ εἰς τὸ ἐξετάζω.

Ἑταῖρος, ὁ προσφιλής. σημαίνει δὲ τρία. τὸν ἴδιον, τὸν φίλον καὶ τὸν ἀλλότριον. καὶ τὰ μὲν δύο διὰ τῆς αι διφθόγγου, τὸ δὲ ἓν διὰ τοῦ ε ψιλοῦ. τὸ ται διφθόγγῳ διάτι; τὰ εἰς ος καθαρὰ ἀπὸ πρωτοτύπων τῶν εἰς ος παρηγμένα, διὰ τῆς αι διφθόγγου γράφεται, οἷον, λῆνος ληναῖος, δρόμος δρομαῖος. οὕτω καὶ παρὰ τὸ ἔθος ἐθαῖος, καὶ πλεονασμῷ τοῦ ρ ἐθαῖρος, καὶ τροπῇ τοῦ θ εἰς τ ἑταῖρος. οἱονεὶ ὁ συνηθὴς καὶ φίλος, τὸ δὲ ἕταρος ἐκ τοῦ ἑταῖρος.

Ἑταῖρος καὶ φίλος διαφέρει. ὁ μὲν γὰρ φίλος καὶ ἑταῖρος. ὁ δὲ ἑταῖρος οὐ πάντως φίλος.

Ἑταῖροι, οἱ σύμπλοοι καὶ συνναῦται.

Ἑταιρεία, ἡ τάξις, ἑταιρία καὶ ἡ φιλία.

Ἑταίρω, εἰς τὸ ἐθαίρω.

Ἔτ᾽ ἄν, εἰς τὸ ὅταν.

Ἔτης, ὁ πολίτης, ἀπὸ τοῦ ἔθους, ἢ τῆς συνηθείας, ὅθεν καὶ ἕτερος παρήχθη, ὡς καὶ ξένος, ὁ ἐκ τῆς ἑνότητος ὤν.

Ἐτεόν, τὸ ἀληθές, ἀπὸ τοῦ εἰμὶ ὁ μέλλων ἔσω, ἔσομαι. καὶ ὡς θήσω θετός, οὕτως ἔσω ἐτός, καὶ πλεονασμῷ τοῦ ε ἐτεὸς καὶ ἐτεὸν τὸ οὐδέτερον. τὸ ον μικρὸν διάτι; τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιρρηματικὴν μετα-

γόμενα σύνταξιν, τὴν αὐτὴν γραφὴν φυλάττουσιν ἐν ταῖς πτώσεσιν.

Ἐτεὸς, εἰς τὸ ἄτη, καὶ ἔτος, καὶ ἐτώσιον, καὶ ἐτάζω ἐξετάζω.

Ἐτεκτήναντο, τεκταίνω τὸ κατασκευάζω, ὁ μέλλων τεκτανῶ, ὁ ἀόριστος ἐτέκτανα, καὶ Ἰωνικῶς ἐτέκτηνα, ὁ μέσος ἐτεκτηνάμην ἐτεκτήνατο, τὸ γ τῶν πληθυντικῶν ἐτεκτήναντο, ὡς Ἀλεξάνδρῳ ἐτεκτήνατο.

Ἑτεραλκίαν, τοῖς ἑτέροις ἀλκὴν παρέχουσαν ἤγουν δύναμιν, παρὰ τὸ ἀλκῶ.

Ἕτερος καὶ ἄλλος διαφέρει. ἕτερος μὲν γάρ ἐστιν ἐπὶ δύο. ἄλλος δὲ ἐπὶ πολλῶν.

Ἑτερόφθαλμος καὶ μονόφθαλμος διαφέρει. ἑτερόφθαλμος μὲν γάρ ἐστιν, ὁ κατὰ περίπτωσιν πηρωθεὶς τοῦ ἑτέρου τῶν ὀφθαλμῶν. μονόφθαλμος δὲ ὁ μόνον ὀφθαλμὸν ἔχων, ὡς ὁ Κύκλωψ.

Ἐτησίους, τοὺς κατ' ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρας πνέοντας ἀνέμους. ἡ εὐθεῖα ὁ ἐτήσιος τοῦ ἐτησίου, ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ἐτήσιοι [αι], τοῖς ἐτησίοις [αις], τοὺς ἐτησίους. γίνεται ἐκ τοῦ ἔθος, ἐθησίας καὶ ἐτησίας, οἱ ἔθος ἔχοντες ἐν τῷ καιρῷ τῆς ὀπώρας κατ' ἔτος πνεῖν ἄνεμοι. ἢ παρὰ τὸ ἔτος. Ἡσίοδος, μετὰ ν *) ἡμέρας τῆς τροπῆς τοῦ θέρους πνέουσιν οἱ ἄνεμοι. ἢ παρὰ τὸ ἔτος ὁ ἥλιος ἔστιν ἐν λέοντι. Ἕλληνες δὲ, ὅτε ἐν τῷ καρκίνῳ τὸν ἥλιον φασὶν εἶναι. Αἰγύπτιοι δὲ ἐν κριῷ.

Ἔτι, ἀκμὴν ἐπίῤῥημα ἐπιτάσεως δηλωτικὸν, ἢ παρατάσεως. εἰ γὰρ εἴπομεν, τρέχοντος τινὸς ἔτι ἐπιδραμεῖν τοῦτο ἐπίτασις, εἰ δὲ καὶ νυκτος οὔσης ἔτι νὺξ παράτασις. τὸ τι ἰῶτα διὰτι; τὰ εἰς ι λήγοντα ἐπιῤῥήματα δισύλλαβα ὑπάρχοντα συνεσταλμένα βαρύνεται, καὶ διὰ τοῦ ι γράφεται. οἷον, αὖθι, ἐκεῖθι, νόσφι, ἄχρι, ἦχι, ἔτι, μέχρι, ἄρτι.

Ἔτνος, τὸ ἐρειχθὲν καὶ συγκοπὲν, καὶ ἑψηθὲν ὄσπριον. ἀπὸ τοῦ ἐρείκω τὸ σχίζω.

Ἑτοιμασία, παρὰ τὸ ἑτοιμῶ. τὸ τοι δίφθογγος. σημαίνει δὲ τὸν πρόχειρον, καὶ γίνεται παρὰ τὸ οἶμα τὸ ὅρμημα, καὶ Ὅμηρος, οἶμα λέοντος ἔχων, καὶ τοῦ ἔθους ἔθοιμος, καὶ ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται γίνεται ἕτοιμος, ὁ εἰς τὸ ὁρμῆσαι καὶ πρᾶξαι πρόχειρος ὤν.

Ἕτοιμος, σημαίνει δύο, τὸν πρόχειρον καὶ τὸν ἀληθῆ. καὶ εἰ μὲν σημαίνει τὸν πρόχειρον, γίνεται παρὰ τὸ οἶμα, ὃ σημαίνει τὸ ὅρμημα, καὶ τὸ ἔθω, ἔθοιμος καὶ ἕτοιμος. εἰ δὲ σημαίνει τὸν ἀληθῆ γίνεται ἐκ τοῦ ἐτήτυμος, κατὰ συγκοπὴν τοῦ τυ ψιλοῦ. τὸ δὲ οἴμη ὃ σημαίνει τὴν ᾠδήν.

Ἑτοιμάσατε, παρασκευάσατε, παρὰ τὸ οἶμος ὃ σημαίνει τὴν ὁδὸν καὶ τὴν ἐπὶ πρόθεσιν ἔποιμος, καὶ τροπῇ τοῦ π εἰς τ ἕτοιμος, ὁ ἐπὶ τὴν ὁδὸν ὢν παρασκευασμένος.

Ἑτοιμάσατε, παρὰ τὸ ἕτοιμος. τοῦτο δὲ ἡνίκα δηλοῖ τὸν ἑτοιμασμένον διὰ διφθόγγου γράφεται καὶ δασύνεται. ἡνίκα δηλοῖ τὸ ἀληθὲς ψιλοῦται καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται, οἷον, ψεύσομαι ἢ ἔτυμον ἐρέω, κέλεται δέ με θυμός.

Ἐτὸς, παρὰ τὸ ἔω τὸ ὑπάρχω ἔος καὶ ἔτος. διαφέρει δὲ ἔτος καὶ ἐτός· καὶ βαρυτονῶς μὲν σημαίνει τὸν χρόνον, ὀξυνόμενον δὲ τὸν ἀληθῆ, ἐξ οὗ ὁ ἐτεὸς, καὶ κατ' ἀποβολὴν τοῦ ε ἐτὸς, παρὰ τὸ ἔτι καὶ ἔτι εἶναι, καὶ ἰέναι. καὶ εἰς τὸ αὔτως καὶ ἔτεα.

Ἔτυμος, ὁ ἀληθὴς, τὸ τυ ψιλὸν, καὶ γίνεται παρὰ τὸ ἐτεὸν τὸ ἀληθὲς, ἐξ οὗ καὶ ἐτυμολογία ἡ ἀληθολογία.

Ἐτυμολογία, ἔστιν ἡ τῆς δυνάμεως τοῦ ὀνόματος ὀρθότης, καὶ ἐξ αὐτοῦ ὀνόματος ἑρμηνευομένη.

Ἐτύχθη, κατεσκευάσθη, ῥῆμα παθητικὸν ἀορίστου δευτέρου. ὁ παθητικὸς παρακείμενος τέτυγμαι, καὶ ὥσπερ ἀπὸ τοῦ πέφευγμαι πέφυκται γίνεται ποιητικῶς πεφυγμένος κατὰ συστολὴν, οὕτω καὶ ἀπὸ τέτευγμαι τέτυγμαι ἐτύχθην, ἀποβολῇ τοῦ ε. ἐκ τοῦ πέφυκται γίνεται φυκτὸς καὶ ἄφυκτος, ὃν οὐ δύναταί τις διαλαθεῖν· καὶ ὁ Ἴων ἐν τοῖς κανόσι, συραῖς ἀφύκτοις ὃν διαρθροῖ δακτύλοις. ὁ ἐνεστὼς οὖν ἔστι τεύχω. ἔστι δὲ καὶ περισπώμενον, ἐξ οὗ καὶ τὸ τετυχεῖσθαι ἀραρὼν θάμες ἰσταμίνεσσιν. ὁ παθητικὸς παρακείμενος τέτυγμαι, τὸ τρίτον τέτυκται, καὶ ῥηματικὸν ὄνομα τευκτος. καὶ ὥσπερ ἀπὸ τοῦ σημῶ σημαίνω, καὶ μαργὸς ὃ σημαίνει τὸν μωρὸν μαργαίνω, οὕτω καὶ ἀπὸ τοῦ τευκτὸς τευταίνω. μὴ τεύκταινε ἐπὶ σὸν φίλον κακά. καὶ ὁ μέλλων τευκτανῶ, ὁ ἀόριστος ἐτεύκτανα, καὶ Ἰωνικῶς ἐτέκτηνα. καὶ ἀπὸ τοῦ τέτυκται γίνεται ποιητικῶς τυκτός. καὶ ὁ ποιητὴς, τυκτὸν κακὸν ἄλλο πρός αλλον.

Ἐτώθαζον, ἔσκωπτον, διέσυρον, σημαίνει δὲ τὸ ἐσχόλαζον. γίνεται δὲ τὸ τωθάζω, παρὰ τὸ ὤθω, ὠθάζω καὶ τωθάζω. συντάσσεται δοτικῇ καὶ αἰτιατικῇ.

Ἐτώσιον, ἐπίῤῥημα μεσότητος, γίνεται ἐκ τοῦ ἔω τὸ ὑπάρχω ἐτὸς ὁ ἀληθὴς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀετός. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ἀετοὶ, τῶν ἀετῶν, ἀετώσιος καὶ ἀφαιρέσει ἐτώσιος. κανὼν γάρ ἐστιν ὁ λέγων αἱ ἀπὸ γενικῶν πληθυντικῶν γινομέναι παραγωγαὶ διὰ τοῦ ιος διχῶς σχηματίζονται, διὰ τοῦ σ καὶ διὰ τοῦ ν. καὶ ἡ μὲν τῶν Ῥηγίνων διάλεκτος διὰ τοῦ σ. ἡ δὲ τῶν Αἰολέων διὰ τοῦ ν. οἷον, ἑλίκη ἑλίκης, ἑλίκων, Ἑλικώνιον ἀμφὶ ἄνακτα.

Ἐτώσιον, τὸ πρακτέον, μάταιον, ἐκ τοῦ ἀητὴς ἀητώσιον καὶ ἐν συγκοπῇ ἐτώσιον.

Ἐτώσιον ἄχθος ἀρούρης μάταιον βάρος τῆς ἠροτριασμένης γῆς.

Εὐαρεστῶ, ἐκ τοῦ ἀρετῶ γίνεται, κατὰ πλεονασμὸν τοῦ σ. τοῦτο παρὰ τὸ ἀρετή. τοῦτο παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ, ἐρετὴ καὶ τροπῇ τοῦ ε εἰς α ἀρετὴ καὶ ἀρετῶ καὶ εὐαρεστῶ.

Εὐαρεστήσω, ἐκ τοῦ εὐάρεστος, τοῦτο παρὰ τὸ ἀρῶ, ἀρέσω ἀρεστὸς καὶ εὐάρεστος. τοῦτο παρὰ τὴν ἄραν ὃ σημαίνει τὴν εὐχήν· καὶ πόσα σημαίνει ἀρα; δύο· τὴν εὐχὴν, ὡς τὸ ἀράων αὔων, καὶ τὴν βλάβην, ἐμεῖο δὲ δῆσεν Ἄρης ἀρητῆρα γενέσθαι.

Εὐαγγέλιον, τὸ τὰς ἀγαθὰς ἀγγελίας δωρούμενον. εὐαγγέλιον δέ μοι ἔστω.

Εὖς, ὁ καλὸς, κατὰ Αἰολεῖς παις, παιων ὁμοιώς.

Εὔαδεν, τῇ πρώτῃ συλλαβῇ ψιλωτέον, τῇ δὲ δευτέρᾳ δασυντέον.

Εὐαγγέλιον, ἀγαθῆς ἀγγελίης δῶρον.

Εὖ, ἐπίῤῥημα μεσότητος, ἐπιτάσεως καὶ στερήσεως.

Εὐδαιμονῶ σημαίνει τὸ καλῶς γινώσκω πάντα, τὸ καλῶς πιστεύω, τὸ καλῶς κατασκευάζω, τὸ καλῶς ζῶ, τὸ εὐτυχῶ, τὸ δαψιλῶς τρέφομαι καὶ πλουσίως καὶ μακαριως, ἐξ οὗ καὶ εὐδαιμονία ἡ εὐτυχία καὶ ὁ πλοῦτος. δεισιδαιμονία δὲ ἡ φοβοθεΐα, ἢ τὸ δεδιέναι τοὺς δαίμονας.

*) v. i. e. 50.

ὐδία, γαλήνη ἀνέμου, εὐοδία τις οὖσα καὶ εὐδία.

Εὐδίνητον, τὸ εὔστροφον, παρὰ τὸ εὖ μόριον, καὶ τὸ δίνη, ὃ σημαίνει τὴν συστροφὴν, εὔδινος καὶ ἐξ αὐτοῦ εὐδινῶ, εὐδινήσω, εὐδίνηκα, εὐδίνημαι, εὐδίνηται, καὶ εὐδίνητον. δίνη δὲ παρὰ τὸ ἴω τὸ πορεύομαι ἴνη καὶ δίνη. τὸ οὐδέτερον τὸ δῖνος, τοῦ δίνου, τοῖς δίνεσι. καὶ τροπῇ τοῦ ε εἰς ο καὶ πλεονασμῷ τοῦ ι δίνοισι, ἤγουν τοῖς ἐγκάτοις.

Εὐβοϊκὸν νόμισμα. ἐπειδὴ Φείδων ὁ Ἀργείων βασιλεὺς ἐν Εὐβοίᾳ χώρᾳ τοῦ Ἄργους πρῶτον ἔκοψε χρυσοῦν νόμισμα. ὠνόμασε δὲ τὸ χώριον ἀπὸ Εὐβοίας τροφοῦ τῆς Ἥρας.

Εὔβοια, ὅτι καλοὺς καὶ λευκοὺς βόας ἔχει. καὶ Ὅμηρος Ἄβαντας αὐτοὺς καλεῖ, ὡς τοὺς ἐξ Ἰλίου, οὐκ Ἰλιεῖς, ἀλλὰ Τρῶας. καὶ τοὺς ἐκ Ζελείας Τρῶας.

Εὐδοκία, ἔστιν ἀρίστη καὶ καλλίστη τοῦ θεοῦ ἑκούσιος θέλησις, ὅθεν εὐδοκία κυρίου. παρὰ τὸ εὖ καὶ καλῶς δοκεῖν αὐτῷ, ἤγουν δεδέχθαι. οἷον, προηγουμένους γὰρ θέλει πάντας ὁ θεὸς σωθῆναι. τοῦτο λέγεται εὐδοκία θεοῦ.

Εὐδοκία, συνήθεια, ἡ βούλησις, ἡ βούλημα, γνώμη, προαίρεσις, ἐπιθυμία, παρὰ τὸ καλῶς καὶ εὖ δέδεχθαι. ἔστι δὲ ὄνομα πόλεως καὶ κύριον ὄνομα, καὶ ἀποδοχὴν καὶ θέλησιν, ὡς τὸ εὐδοκήσας κύριε τὴν γῆν σου· ἀντὶ τοῦ ἠθέλησας.

Εὐδόκησεν, ἠθέλησεν, ἐπετίμησεν, ἠράσθη.

Εὗδον, ἔλεγον ἐκ τοῦ ἕδω δασέος, ἐκ τούτου γίνεται ἕδος ἡ καθέδρα. ἕδω οὖν τὸ ῥῆμα, καὶ ἵνα μὴ συνεμπέσῃ τῷ ἐσθίω, πλεονασμῷ τοῦ υ γίνεται εὕδω. καὶ εἰς τὸ εὐρύ.

Εὐεπίης, καλολεξίας, τροπολογίας. γέγονε δὲ ἀπὸ τοῦ εὐεπὴς τὸ θηλυκὸν εὐέπεια. τὸ πει διφθόγγῳ διότι; τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν· τὸ δὲ εὐέπης διὰ τοῦ η γράφεται· παρὰ τὸ εὖ μόριον καὶ τὸ ἕπω τὸ λέγω. τὸ δὲ ἕπω σημαίνει δ. ἕπω τὸ λέγω, Ὅμηρος, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον. ἕπω τὸ ἀκολουθῶ, εἴσω εἱπόμην θάλαμον. ἕπω τὸ διώκω, ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο χεῖρες ἐμαὶ διέπουσι. ἕπω τὸ κατασκευάζω, τὸν δ' εὗρεν θαλάμῳ περικαλλέα τεύχε' ἕποντα.

Εὐεργέτης, παρὰ τὸ εὖ μόριον καὶ τὸ ἔργον γίνεται εὐεργέτης. πόθεν γίνεται τὸ εὖ μόριον; παρὰ τὸ ἐΰ ὃ σημαίνει τὸ ἀγαθὸν, καὶ κλίνεται ἐέος, καὶ τὸ οὐδέτερον ἐΰ, καὶ κράσει εὖ. τὸ δὲ ἐΰ παρὰ τὸ ἔω τὸ ὑπάρχω.

Εὔζωμον, εὐκέραστον, εἶδος πόματος, διὰ τὸ καλὸν ἔχειν ζωμόν. εὔζωμον παρὰ τὸ εἶναι εὔσωμον. ἔστι δὲ εἶδος λαχάνου, καὶ ἀλλία.

Εὐθύνω, παρὰ τὸ εὖ μόριον καὶ τὸ θύνω τὸ ὁρμῶ. σημαίνει δὲ ζ. τὸ ἐξισῶ καὶ κανονίζω, ἐξ οὗ καὶ εὐθύτης. καὶ εὐθύνατε τὴν ὁδὸν κυρίου. εὐθύνω τὸ ὁμοιῶ, ἐξ οὗ καὶ εὐθύτης ἡ ὁμοιότης. εὐθύνω τὸ ἐλέγχω, ἐξ οὗ καὶ εὐθύνη ἡ ἔλεγξις. εὐθύνω τὸ κρίνω, ἐξ οὗ καὶ εὐθύνη ἡ κρίσις. εὐθύνω τὸ τιμωρῶ, ἐξ οὗ καὶ εὐθύνη ἡ τιμωρία. εὐθύνω τὸ καταδικάζω, ἐξ οὗ καὶ εὐθύνη ἡ καταδίκη. εὐθύνω τὸ ἀπολογοῦμαι, ἐξ οὗ καὶ εὐθύνη ἡ ἀπολογία. εὐθύνω τὸ χρεωστῶ, ἐξ οὗ καὶ εὐθύνη ἡ ὀφειλὴ ἐκ τούτου τοῦ ῥήματος γίνεται ὄνομα μετοχικὸν [1]) τριγενὲς, ὁ εὐθύνων, ἡ εὐθύνουσα καὶ τὸ εὐθύνον. ἔστι δὲ καὶ ἕτερον περισπώμενον ῥῆμα εὐθηνῶ, ὅπερ γράφεται διὰ τοῦ η. ἡ μετοχὴ ἡ εὐθήνων, ὁ εὐθήνουσα τὸ εὐθηνοῦν. σημαίνει δὲ τὸ πλῆθος, καὶ τὸ βάρος, ἤτοι τὸ καλῶς διακεῖσθαι.

Εὐλαβὴς, ὁ εὖ τῶν πραγμάτων ἐπιλαμβανόμενος. ἢ καὶ ὁ εἰς τὸ λαβεῖν ἐπιτήδειος, οἷον, εὐλαβὴς μάχαιρα καὶ εὐλαβὴς λίθος. τινὲς δὲ τὸν δειλὸν, καὶ δειλὸς μὲν ὁ κακὸς καὶ δείλαιος ὁμοιῶς. εὐλαβὴς δὲ ὁ εὖ προσλαμβάνων τὸ μέλλον. δυσχερὴς δὲ ὁ δύσληπτος.

Εὐλαβείας εἴδη δύο, αἰδὼς καὶ ἁγνεία. αἰδὼς μὲν ἔστιν εὐλάβεια ὀρθοῦ λόγου. ἁγνεία δὲ τῶν περὶ θεὸν ἁμαρτημάτων.

Εὐλογῶ, τὸ κατ' εὐφημισμῶν λέγω.

Εὐέκτης, ὁ πλούσιος. ἔστι ῥηματικὸν σύνθετον. ἀπὸ γὰρ τοῦ ἔχω ἕκτης, ὡς ψάλλω ψάλτης, τρώσω τρώκτης· καὶ εὐέκτης.

Εὐθὲς, οὐδέτερον. τὸ ἀρσενικὸν ὁ εὐθὴς, καὶ ἡ εὐθής· παρὰ τὸ εὖ μόριον καὶ τὸ θέω τὸ τρέχω. εὐθὴς γάρ ἐστιν ὁ καλῶς τρέχων. ἢ παρὰ τὸ εὖ καὶ τὸν θήσω μέλλοντα, ὁ καλῶς διακείμενος εἰς πάντα.

Εὐθὺς [2]) καὶ εὐθὺ καὶ εὐθέως διαφέρει. εὐθύς μὲν γάρ ἐστιν ὁ καλῶς τρέφων. εὐθὺ δὲ τὸ γυμνάσιον, ἀντὶ τοῦ κατ' εὐθείας τοῦ γυμνασίου. εὐθέως δὲ ἀντὶ τοῦ χρονικῶς ἐπιῤῥήματος.

Εὐθύωρον, τὴν ἀναχώρησιν ἐποιήσατο εὐθυτάτην, σύντομον, παρὰ τὸ εὐθὺ καὶ τὸ ὥρα, οἷον, αὐτῇ τῇ ὥρᾳ.

Εὔκαιρος, ὁ ἐπιτήδειος.

Εὐθὺς τὸ χρονικὸν ἐπίῤῥημα. εὐθὺ δὲ τὸ τοπικόν.

Εὐθυνία, παρὰ τὸ εὔθυνος, τοῦτο δὲ παρὰ τὸ εὖ μόριον καὶ τὸ θύω τὸ ὁρμῶ. ἢ παρὰ τὸ θάλλω.

Εὐθηνούντων, ἐκ τοῦ εὐθύνω· τοῦτο ἐκ τοῦ εὐθυνός. τοῦτο ἐκ τοῦ θάλλω τὸ αὐξάνω.

Εὐΐλατος, παρὰ τὸ εὖ μόριον καὶ τὸ ἵλατος. τοῦτο παρὰ τὸ ἵλημι τὸ συγχωρῶ, ἐξ οὗ καὶ τὸ ἵλαθι θεοφορε. ἵλασμαι, ἵλασαι, ἵλαται, καὶ ἐξ αὐτοῦ ἵλατος, καὶ εὐΐλατος.

Εὐκταῖον, εὐχῆς ἄξιον, πολυτίμητον.

Εὐλαὶ, αἱ σκώληκες, παρὰ τὸ εἱλῆσθαι, ὅ ἐστι κινεῖσθαι· τῷ δὲ τόνῳ ὡς εὐναί. καὶ εἰς τὸ εἰλέωσαι.

Εὐλογία, παρὰ τὸ εὐλογῶ, τοῦτο παρὰ τὸ εὔλογος. τοῦτο παρὰ τὸ εὖ μόριον καὶ τὸ λόγος. ἃ γὰρ θέλει τις, ταῦτα καὶ λαλεῖ.

Εὐθὺς καὶ εὐθὺ ὡς ὄνομα καὶ ὡς ἐπίῤῥημα εὑρίσκεται, παρὰ τὸ εὖ μόριον καὶ τὸ θύω τὸ ὁρμῶ. ταυτὸν οὖν τὸ θύνω καὶ τὸ θύω. παρὰ τὸ εὖ γοῦν καὶ τὸ θύω εὐθύω, ὁ μέλλων εὐθύσω, ἀποβολῇ τοῦ ω εὐθὺς, ὡς δώσω δώς. τὸ δὲ εὐθὺ σημαίνει τὸ καλῶς ὁρμῶ· τουτέστιν ὀρθῶς, καὶ παραχρῆμα, καὶ τὸ ταχύ.

Εὐκνήμιδες, παρὰ τὸ εὖ μόριον καὶ τὸ κνημίς. τὸ δὲ κνημὶς ἐκ τοῦ κνήμη, κνῆμαι αἱ τῶν ποδῶν, ἐκ τοῦ κινῶ, κινήσω, κινήμη καὶ κατὰ συγκοπὴν κνήμη. κνῆμαι αἱ ποιοῦσαι ἡμᾶς κινεῖσθαι, αἱ δὲ τῶν χειρῶν ἐκ τοῦ κνῶ, κνήσω, ὃ δηλοῖ τὸ κνήθω. τὸ εὖ μόριον, ὅταν συντεθῇ μεθ' ἑτέρας λέξεως, ἀρχομένης ἀπὸ δύο συμφώνων ἢ ἀπὸ διπλοῦ, ἐν διαστάσει ἀναγινώσκεται παρ' Ὁμήρῳ, εὐκνημις ἐΰκνημις, εὔξοον ἐΰξοον. κνημὶς, τὸ μις μακρόν ἐστι, διότι τὰ εἰς ις θηλυκὰ δισύλλαβα, ἐὰν ἔχωσιν τὴν παραλήγουσαν μακρὰν ἐκτείνει τὸ ι. κρηπὶς κρηπῖδος, σφραγὶς σφραγῖδος, κνημὶς κνημῖδος.

---

1) vel μετουσιαστικόν. 2) cf. infra p. 221. lin. 41.

Εὐκτήριον, παρὰ τὸ εὔκτιστον, ἢ παρὰ τὸ καλὸν τηρεῖν, ἢ εὐχῆς οἰκητήριον.

Εὐκατάπρηστος, ὁ εὐχερῶς καιόμενος.

Εὐλογημένος, κεχαριτωμένος. εὐλόγησον χαρίτωσον.

Εὔμαιος, ὁ τοῦ Ὀδυσσέως δοῦλος, ἀπὸ τῆς πρὸς τὸν δεσπότην εὐμενείας. Φιλοίτιος δὲ Ὀδυσσέως δοῦλος, ἀπὸ τῆς πρὸς αὐτὸν Φιλίας.

Εὐμαρὴς, ὁ εὐχερὴς καὶ εὔκολος. παρὰ τὸ μαίρω τὸ λάμπω. μαρὴς καὶ εὐμαρὴς ὁ εὔληπτος.

Εὐμενὴς, ὁ πράος Φίλος. ὁ εὖ τισὶ κατὰ ψυχὴν διακείμενος, ὅπερ ἔστι ἥμερος. ἀντίκειται δὲ αὐτῷ τὸ δυσμενής. ἢ εὐμενὴς ὁ ἐπιεικὴς ὁ πράος ὁ ἥμηρος.

Εὔμορφος εὐειδοῦς διαφέρει. εὔμορφος μὲν γὰρ ἐστιν ὁ τὴν μορφὴν εὖ ἔχων, ἤτοι εὐπρόσωπος. καὶ γὰρ τὸ τὴν ὄψιν πῶς σχηματίζειν καὶ μορφάζειν λέγομεν. εὐειδὴς δὲ ὁ τὸ εἶδος καλὸν ἔχων, οἷον, ἅπαν τὸ σῶμα.

Εὐνὴ, κοίτη, ἢ γυνὴ, ἢ μονή. παρὰ τὸ εὐνενῆσθαι ὅ ἐστι σεσωρεῦσθαι, ταῖς στρώμναις ἔργον εἴχοντο. καὶ εἰς τὸ λέχος.

Εὖνις, ἐπιδεὴς, ὀρφανὸς ἢ γυνὴ, καὶ ὁ εὐνοῦχος.

Εὐνοουμένη, εἰρηνεύουσα, εὐθυνουμένη, καλῶς διακειμένη.

Εὐνοῦχος, ὁ ἄγαμος, παρὰ τὸ εὐνοῦν ἔχειν. ἢ παρὰ τὸ τὴν εὐνὴν καθαρὰν ἔχειν, ἢ Φυλάττειν. ἔχειν γὰρ τὸ Φυλάττειν. ἢ παρὰ τὸ εἰς ἑνὸς, ἑνοῦχος καὶ εὐνοῦχος, ὁ μόνος ὢν, καὶ μὴ μεθ᾽ ἄλλου συνεζευγμένος. ἢ εὐνοῦχος ὁ εὔνους.

Εὐνὰς, τὰς ἀγκύρας, παρὰ τὸ εὐνάζειν καὶ ποιεῖν τὴν ναῦν χαλᾶσθαι εἰς τὸ ὕδωρ καὶ ἵστασθαι. τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὡς ὅταν λέγει, εὐνῇ ἐνὶ μαλακῇ· τὴν ἀγκύραν, ὡς ναῦν ἐκ δ᾽ εὐνὰς ἔβαλον. τὴν διατριβὴν, ὡς τὸ ὅθι Φασὶ, τύφω ἔως ἔμμεναι εὐνάς.

Εὐνάζω, τὸ κοιτάζω, ὡς τὸ εὐναιεταώσας καλῶς οἰκουμένας.

Εὖνις, ὁ χῆρος καὶ ἔρημος, ὅ ἐστιν εὐναζόμενος. ἐξ οὗ τὸν ἡσυχάζοντα. ἢ παρὰ τὸ ἑνὸς γίνεται εὖνις ὁ μεμονωμένος.

Εὔξεινος, ὁ ἐνδότερος τοῦ πόντου, ἀπὸ τοῦ ξένος γίνεται ξεῖνος κατὰ πλεονασμὸν τοῦ ι. καὶ κατὰ σύνθεσιν εὔξεινος. ὁ εὖ καὶ καλῶς τοὺς ξένους δεχόμενος.

Εὔξοον, καλῶς κατεσκευασμένον, ὄνομα ἐκ τοῦ ξέω, καὶ μετὰ τοῦ εὖ μορίου, εὔξοον. ἀναβιβάζει δὲ τὸν τόνον. τὰ γὰρ εἰς ος ὀνόματα ἔχοντα τὸ εὖ μόριον κατ᾽ ἀρχὴν, ἅπαντα προπαροξύνονται. οἷον, εὔμονος, εὔσκοπος. χωρὶς τῶν παρὰ τὸ ἔργον συγκειμένων, οἷον, εὐεργός· εἴτε κατ᾽ αἶσχος ἔχευε θηλυτερῇσι γυναιξὶ· καὶ εἴ κ᾽ εὐεργὸς ἔῃσιν.

Εὔξω, εἰς τὸ εὐκτῶς.

Εὔοδμος, εὔοσμος, εὐώδης.

Εὐοδώσω, ἑτοιμάσω, ὁδηγήσω.

Εὐπερίστατον, τὸ ταχέως μετατρεπόμενον, παρὰ τὸ εὖ καὶ τὸ πέρας.

Εὐπάροιφα, εὐκατέργαστα.

Εὐπάθεια, εὐτροφία, σπατα . . . [1].

Εὐπρεπῶς, εὐχερῶς, εὐκόλως.

Εὐπρόσιτον, εὐπρόσδεκτον.

Εὐπατρίδαι, εὐγενεῖς.

Εὐπάρεδον, καλῶς παράμενον καὶ διηνεκῶς.

Εὐπρεπῶς, εὐκόσμως, εὐμόρφως, ὡραιώς.

Ἐὐπαρακόλουθοι, ὀξεῖς εἰς τὸ πρᾶγμα, καὶ οὐ νωχελεῖς, ἀντὶ τοῦ βραδεῖς.

Εὐπορεῖν, πλουτεῖν, ἀπὸ τοῦ πείρω γέγονε περῶ καὶ ἐξ αὐτοῦ πόρος. καὶ πορίζω. καὶ εἰς τὸ ὀλβιόδαιμον.

Εὐπάτειρα, διὰ τῆς ει διφθόγγου τῷ λόγῳ τῶν διὰ τοῦ ειρα προπαροξυτόνων.

Εὐπινὴς, εὐειδὴς, πίνος γὰρ τὸ εἶδος.

Εὐραξ, πλευρὰξ, καὶ εἰς τὸ ὑπόδρα.

Εὑρεῖν καὶ εὑρᾶσθαι διαφέρει. εὑρεῖν μὲν γὰρ ἐν συνηθείᾳ, εὑρᾶσθαι δὲ οἷον πορίσασθαι.

Εὐρεία, διὰ τῆς ει διφθόγγου, εὕρηται γὰρ χωρὶς τοῦ ι, εὐρέα.

Εὕρεμεν, εὗρον, ἀορίστου β, τρίτου προσώπου τῶν πληθυντικῶν. τὸ ἀπαρέμφατον εὑρεῖν. καὶ οἱ Ἴωνες καὶ οἱ ποιηταὶ διαιροῦσιν εἰς εμεν.

Εὗρε, ῥῆμα, ἀορίστου β τρίτου προσώπου τῶν ἑνικῶν. ὁ γὰρ ἐνεργητικὸς ἐνεστὼς, οὐκ ἔστι ῥητός ἀλλ᾽ ἐξ ὑπομνήσεως, ὡς εἴπομεν τοῦ ἧον δευτέρου ἀορίστου ἐνεργητικοῦ ἐνεστῶτος, καὶ τὸ ἕω τοῦ ὑποτακτικοῦ. καὶ ἐπινοεῖται ὁ ἐνεργητικὸς ἐνεστώς τοῦ ἀορίστου β καὶ τῶν ἀορίστων δευτέρων ὑποτακτικῶν. καὶ ὄφρα μὴ οἷος Ἀργείων ἀγέραστος ἔω, οὕτως ἔστι καὶ τὸ ὑπόλοιπον.

Εὔριζον, καλόριζον, παρὰ τὸ εὖ μόριον καὶ τὸ ῥίζα. τοῦτο παρὰ τὸ ἵζω τὸ καθέζομαι, ἵζα καὶ ῥίζα. ἢ παρὰ τὸ ῥέειν δι᾽ αὐτῆς τὸ ζῆν.

Εὐριπίδης, διὰ τοῦ ι. ὁ δὲ λόγος περὶ τῆς ρι συλλαβῆς. ἡ γὰρ πι συλλαβὴ βραχεῖά ἐστι. διὰ τοῦ ι γράφεται, ἐπειδὴ παρὰ τὸν Εὔριπον Φασὶ γεννηθῆναι.

Εὔριπος, παρὰ τὸ ῥιπίζω γέγονεν Εὔριπος, οἱονεὶ ὁ εὐχερῶς ῥιπιζόμενος καὶ ἐπιφερόμενος. ἔστι δὲ πέλαγος στενὸν μεταξὺ τῆς Ἀττικῆς καὶ Εὐβοίας, ὅπερ ἑπτάκις καθ᾽ ἡμέραν ἐναλλάττει τὴν ἰδίαν κίνησιν, καὶ πάντως ἐναντίως τῇ κινήσει τοῦ ἀνέμου κινεῖται. ἐκεῖ δὲ ἐτελεύτησεν ὁ Ἀριστοτέλης. ἐλθὼν γὰρ ἐκεῖ, καὶ μὴ εὑρηκὼς τὴν αἰτίαν τῆς κινήσεως, ὀλιγοψυχήσας ἀπέθανε.

Εὖρος, ὁ ἀπηλιώτης ἄνεμος, ὁ τῆς θερμασίας ἄνεμος. εὖρος γὰρ ὁ ἱδρώς. οἱ δὲ ὅτι κατὰ πλάτος τοῦ κόσμου τείνει.

Εὖρος, ὅτι ἐκ τοῦ πλάτους πνεῖ τοῦ κύκλου.

Εὐρόνοτος, ὁ μέσον εὔρου καὶ νότου ἄνεμος.

Εὔριπος, διὰ τοῦ ι. παρὰ τὸ εὐρὺ εὔριπος, τροπῇ τοῦ υ εἰς ι. οἱονεὶ ὁ πλατὺς, καθ᾽ ἀντίφρασιν ὁ μὴ ὢν πλατύς. καὶ γὰρ ὁ Εὔριπος πέλαγος στενόν ἐστι, μεταξύ τῆς Εὐβοίας καὶ τῆς Ἀττικῆς, ὅπερ ἑπτάκις καθ᾽ ἡμέραν μεταλλάττει τὴν ἰδίαν κίνησιν.

Εὐρώπη, παρὰ τὸ ἆσσον εἶναι τοῖς ἀπ᾽ Εὐρώπης οὖσιν· Εὐρώπη δὲ ἀπὸ τοῦ εὔρους ὠνομάσθη. ἔστι δὲ ἡ χώρα τοῦ Ὀδυσσέος.

Εὑρήματα, βουλεύματα.

Εὐρύωπα, μεγαλόφθαλμον.

Εὐρωτείων, ἠφανισμένων.

Εὐρυκρείων, μεγάλως βασιλεύων.

Εὐρωτιῶντα, σαπέντα.

Εὐρύχωρος, παρὰ τὸ εὐρὺ καὶ τὸ χῶρος. τὸ δὲ εὐρὺ παρὰ τὸ εὖ μόριον καὶ τὸ ὀρούω τὸ ὁρμῶ. τὸ δὲ χῶρος παρὰ τὸ χῶ τὸ χωρῶ.

---

1) reliquae litterae erasae.

Εὐρώπεια, ὄνομα κύριον, τῷ λόγῳ τῶν διὰ τοῦ ει α προπαροξυτόνων. δεύτερον δὲ ὅτι τὰ διὰ τοῦ ει α θηλυκὰ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου διὰ τῆς ει διφθόγγου γράφεται. οἷον εὐριγενής, εὐριγένεια, ἱπποδύσης ἱπποδύσεια.

Εὐσέβεια, τῷ λόγῳ τῶν διὰ τοῦ ει α προπαροξυτόνων.

Εὐρώπη, ὄνομα κύριον, θυγατὴρ τοῦ Ἀγήνορος, ἀφ' ἧς ὁ Ἀγήνωρ βασιλεύσας τῆς Θρᾴκης προσηγόρευσεν ἐκεῖ τὴν χώραν Εὐρώπην. καὶ ἐκεῖνα τὰ μέρη εἰς ὄνομα αὐτῆς Εὐρώπια. λέγεται ταῦτα ὑπὲρ καλλινοῦσαν.

Εὗρωσα, ἔστιν εὑρῶ, εὑρήσω, ὁ β. ἀόριστος εὗρον τὸ γ τῶν πληθυντικῶν εὗρον καὶ κατὰ διάλεκτον εὕροσαν.

Εὐρὺ, τὸ πλατὺ παρὰ τὸ εὕδω ὅ ἐστι τὸ κοιμῶμαι, πλάτους γὰρ χρήζει διὰ τὸ περιστρέφεσθαι ὁ κοιμώμενος.

Εὐρώτιον, ἐκ τοῦ εὐρὼς εὐρῶτος ἡ σῆψις.

Εὐρώστως, ὑγιῶς, ἐκ τοῦ ῥῶ τὸ ὑγιαίνω.

Εὐρυάγυιαν, πλατεῖαν, μεγάλην. εὐρὺς δὲ παρασύνθετον, παρὰ τὸ εὖρος, τοῦτο παρὰ τὸ εὑρεῖν, ὅ ἐστιν εὐκόλως φέρεσθαι.

Εὖς, ὁ ἀγαθὸς, παρὰ τὸ ἔω τὸ ὑπάρχω εὖς, ὡς ἥδω ἡδύς. οὕτως ἡ γενικὴ ἐέος, τὸ θηλυκὸν ἐή, ἐξ οὗ καὶ δωτῆρες ἐάων, ὡς πύλαι πυλάων· καὶ εἰς τὸ εὐεργέτης.

Ἠΰς, παῖς, ἰδίωμα Αἰολίδος, τὸ ἠὺς καὶ τὸ παῖς κατὰ διαίρεσιν ἐκφωνούμενα καὶ οὐ κατὰ κρᾶσιν. τὸ γὰρ ἠὺς εὖς ἐστιν, ἢ τὸ παῖς παῖς. καὶ σημαίνει ὁ ἀγαθὸς παῖς. καὶ τὸ οὐδέτερον ἠῢ καὶ κράσει εὖ.

Εὐσεβὴς, εἰς τὸ δίκαιος.

Εὑρίσκω, τὸ ρι ἰῶτα διάτι; ἐπὶ τῶν εἰς κω ῥημάτων πέφυκε τὸ η τρέπεσθαι εἰς ι. πλὴν τοῦ μνήσκω καὶ θνήσκω καὶ ἀλθήσκω καὶ κικλήσκω.

Εὐσσέλμοιο, εὐκαθέδρου. σέλματα γὰρ αἱ τῶν ναυτῶν καθέδραι, δηλαδὴ αἱ τῶν ἐρεσσόντων καθέδραι. ὡς ἀπὸ τοῦ ἔρεισμα γίνεται σέλλις. καὶ σημαίνει τὴν καθέδραν, ἐξ αὐτοῦ σέλλα. ἡ γενικὴ σελλίδος, καὶ ἐξ αὐτοῦ ῥῆμα σελίζω. καὶ κατὰ παραγωγὴν σέλισμα καὶ συγκοπῇ σέλμα καὶ τροπῇ τοῦ α εἰς ος. ὡς σχῆμα εὔσχημος.

Εὐθὺς καὶ εὐθὺ καὶ εὐθέως διαφέρει. εὐθὺς μὲν ἐστιν ὁ κανών. εὐθὺ δὲ τὸ γυμνάσιον ἀντὶ τοῦ κατ' εὐθεῖαν τοῦ γυμνασίου, ἢ εὐθὺ τὸ κανονιόν. τὸ δὲ εὐθέως ἀντὶ τοῦ χρονικῶς ἐπίῤῥημα. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει. τινὲς δὲ τὸ μὲν λέγειν ἐπί τινος εὐθέως, οἷον, ἐὰν μὲν ᾖ θηλυκὸν τὸ ὄνομα, ἡ εὐθεῖα ὁδὸς, ἡ εὐθεῖα βακτηρία, ἐὰν δὲ ἄρρεν εὐθὺς ὁ κανών. ἐὰν δὲ οὐδέτερον εὐθὺ τὸ ξύλον. οἱ δὲ ἀρχαῖοι ἐνίοτε τὸ εὐθὺ ἐτίθεσαν, τὸ ἐφ' ὁδοῦ τῆς τεινούσης ἐπί τινος τόπου, οἷον, εὐθὺ τῆς στοᾶς, εὐθὺ τῶν ἀρωμάτων. τὸ δὲ κατὰ τῶν ἀρωμάτων οὐ λέγεται, ἀλλ' εὐθὺς, οἷον· γήμαντος αὐτοῦ εὐθὺς ἔσομ' ἐλεύθερος. καὶ ὡς τοῦτ' εἶδον, εὐθὺς ἦν τὰ ἄνω κάτω.

Εὐστάθεια, ἡ καρτερία καὶ ἡ πριότης.

Εὔσπλαγχνος, παρὰ τὸ εὖ μόριον καὶ τὸ σπλάγχνον. σπλάγχνα δὲ διὰ τὸ πλησίον ἀλλήλων ὑπάρχειν καὶ ἅπτεσθαι ἀλλήλων. σπλάγχνον δὲ ἐτυμολογεῖται, οἱονεὶ πίλαγχνα, ὃ σημαίνει τὸ καλὸν, ἢ διὰ τὸ σπᾶν τὴν τροφήν.

Εὐστραφὴς, ὁ ἐπιδέξιος εἰς ἐπιστροφήν.

Εὖτ' ἂν, ὅταν, ὁπόταν, δύο μέρη λόγου, εὖτε ἐπίῤῥημα χρόνου δηλωτικὸν, καὶ ἂν σύνδεσμος καὶ γίνεται οὕτως. ὁ μὲν Ἀπολλώνιος λέγει ὅτι ἐκ τοῦ ὅτε ἐστι, πλεονασμῷ τοῦ υ οὖτε, καὶ μεταθέσει τοῦ ο εἰς ε εὖτε. ὁ δὲ Ἡρωδιανὸς, ὅτι ἐκ τοῦ ὅτε ἐστι πλεονασμῷ τοῦ ε καὶ κράσει τοῦ εο εἰς ευ δίφθογγον Δωρικῶς εὖτε.

Εὐτείχεον, καλῶς τετειχισμένον. τὰ εἰς ος ἀπὸ οὐδετέρων σύνθετα, ἀπ' εὐθείας συντίθεται, οἷον ξίφος ἄξιφος, ῥίγος δύσριγος, πλὴν τοῦ εὐτείχεος, ἀπὸ γενικῆς σύνθετον. ὤφειλε δὲ ἡ σύνθεσις ἀπ' εὐθείας εἶναι. ἐγένετο δὲ ἀπὸ γενικῆς διὰ τὸν κανόνα. γίνεται δὲ ἐκ τοῦ τεῖχος τείχεος καὶ μετὰ τοῦ εὖ μορίου εὐτείχεος καὶ εὐτείχεον.

Εὐτελὴς, ταπεινὸς, παρὰ τὸ εὖ καὶ τὸ τέλος. τὸ δὲ εὖ πολλάκις ἀντὶ τοῦ στερητικοῦ α τίθεται.

Εὐτελὴς, τὸ τέλος πολλὰ σημαίνει· καὶ τὴν δαπάνην, ἀφ' οὗ τὴν πολυτελ'. . φησί. καὶ εὐτελεῖς τινὰς, τοὺς μὴ ἐπὶ πολὺ χαίροντας ταῖς δαπάναις. καὶ τὸ τελωνικὸν τέλος συνήθες λέγεται. ὅτι καὶ εἰς τὸ τέλος.

Εὗσαι τὸ χοιριδιὸν, οἱ οὕτω λέγοντες ἁμαρτάνουσι. δεῖ γὰρ θῦσαι λέγειν καὶ παρ' Ὁμήρῳ εἰ δὲ κακῶς γέγραπτο, συαλοὺς εὕοντας ἐν αὐλῇ.

Εὐτραπελία, ἡ ἀναισχυντία καὶ ὕβρις, παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον.

Εὐτράπελος, ὁ μετὰ σεμνότητος χαριέντως λέγων. παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον.

Εὐτραπελία, μωρολογία, κουφότης, ἀπαιδευσία. γέγονε δὲ ἀπὸ τοῦ στρέφω ῥήματος ἢ τρέπω, οἱονεὶ εὔστρεπτος, εὐτράπελος, καὶ εὐτραπελῶ, ὡς φιλόσοφος φιλοσοφῶ. καὶ ἐξ αὐτοῦ καὶ εὐτραπελία. καὶ εἰς τὸ σκῶμμα.

Εὔτυκτον, καλῶς κατεσκευασμένον. ἐκ τοῦ τεύχω, τεύξω, τέτευχα, τέτευχμαι, τέτευκται, ἀποβολῇ τοῦ ε τέτυκται, ὄνομα ῥηματικὸν τυκτὸς καὶ μετὰ τοῦ εὖ μορίου εὔτυκτος. ὁ κανὼν, τὰ εἰς ος σύνθετα κοινὰ εἰσι τῷ γένει, καὶ ὁμοφωνοῦσι τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς.

Εὔτολμος, γενναῖος.

Εὐφραίνειν, τὸ μετὰ ὠφελίας ψυχαγωγεῖν, τέρπειν δὲ τὸ μετὰ πάσης. καὶ εἰς τὸ ηὔφρανεν.

Εὐτυχὴς, εἰς τὸ ὀλβιόδαιμον.

Εὐφραίνω, ἐκ τοῦ εὖ μορίου, καὶ τοῦ φρὴν φρενός.

Εὐφρόνη, ἡ νὺξ, παρὰ τὸ εὖ φρονεῖν ἐν αὐτῇ, ὡς Μένανδρος. ἐνκυκτ.... βουλας, ὅπερ ἅπασι γίνεται διδοὺς ἐμαυτῷ.

Εὐφυὴς καὶ εὐμαθὴς διαφέρει. εὐφυὴς μὲν γὰρ παρὰ Ἀττικοῖς λέγεται ὁ προκοπτικός. εὐμαθὴς ὁ εἰς μάθησιν ταχὺς, ὁ πρὸς μάθησιν εὖ πεφυκώς.

Εὐχερῶς, εὐκόλως, ῥᾳδίως, ὥσπερ ἀπὸ τοῦ ἐναντίου δυσχερὴς, παρὰ τὸ δὺς μόριον καὶ τὸ χεὶρ χειρὸς ὁ μετὰ βίας τινὶ κολλώμενος, οὕτω πάλιν ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ χεὶρ χειρὸς γίνεται εὐχερὴς, τὸ μετ' εὐκολίας, καὶ χωρὶς κόπου τῇ χειρὶ λαμβάνειν καὶ ἐπιθυμεῖν.

Εὐχὴ, διὰ τὸ εὖ ἔχειν ἤγουν καλόν.

Εὐχὴ καὶ προσευχὴ διαφέρει. εὐχὴ λέγεται ἐπαγγελία τινῶν τῶν κατ' εὐσέβειαν ἀφιερωμένων θεῷ. προσευχὴ δὲ δέησις, κατ' ἱκετηρίας τῷ θεῷ προσαγομένη.

Εὐχωλὴ, παρὰ τὸ [illegible] εὐχωλή, ὡς παύσω παυσωλή.

Εὐχὴ διάφορα σημαί[illegible] λέγεται γὰρ τὸ λεγόμενον ἁπλῶς, ὡς τὸ εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι· τὸ καυχῶμαι, ὡς τὸ, ὅς μιν ἔβαλε φθάμενος καὶ ἐπεύχεται. σημαίνει τὸ εὔχομαι, ὡς τὸ, εὔχετο δ' Ἀπόλλωνι ἄνακτι λυκηγενεῖ κλυτοτόξῳ.

Εὐχωλὴ, παραγωγὴ ὁ τρόπος, παρὰ τὸ εὔχομαι εὐχωλὴ, ὥσπερ παύω παυσωλή.

Εὔχομαι καὶ ἐπεύχομαι διαφέρει. ἀντὶ τοῦ πρὸς, ὡς καὶ τὸ ἐπὶ ὅρκων, ἀντὶ τοῦ ὑπὲρ ἄνω τὴν διάνοιαν ἔχειν[1]). καὶ τὸ ἐπευχόμενος, ἀντὶ τοῦ προσευχόμενος. καὶ ἐπὶ γούνασιν, ἀντὶ τοῦ πρὸς τοῖς γόνασιν, ἢ πρὸς τὰ γόνατα. ὁ δὲ Ἡρωδιανὸς, ὅτι ἴσως ἐκ τοῦ ἔχω πεποίηται, κατὰ πλεονασμὸν τοῦ υ. οἱ γὰρ εὐχόμενοι ἀξιοῦσιν ἔχειν ὧν βούλονται. τὸ ἐνεργητικὸν δὲ οὐκ ἔστι, τότε γὰρ ἀπολιμπάνουσι τά τε ἐνεργητικὰ τά τε παθητικὰ. ἐν ᾧ ἂν ῥήματι ἐναντίως ἔχει τὸ σημαινόμενον, τῷ τῆς φωνῆς χαρακτῆρι. οἷον, ῥιγῶ, κάμνω, πυρέσσω, φρίσσω, πάσχω, ὁμοίως εὔχομαι, ὀρχοῦμαι, ἱππάζομαι, φείδομαι, τύπον μὲν ἔχει παθητικοῦ, σημασίαν δὲ ἐνεργητικοῦ.

Εὖχος, καὶ καύχημα, δόξα, ἐκ τοῦ αὐχῶ ὃ σημαίνει τὸ μεγαλύνω καὶ καυχῶμαι, αὖχος καὶ τροπῇ τοῦ α εἰς ε εὖχος, ἀντὶ τοῦ καύχημα. ἢ ἀπὸ τοῦ εὐχὴ ὃ σημαίνει τὴν καύχησιν. τοῦτο δὲ παρὰ τὸ εὔχομαι τοῦτο παρὰ τὸ εὐχὴ. τοῦτο παρὰ τὸ εὖ ἔχειν.

Εὐωδίας, εὐοσμίας, καλῆς ἀποφάσεως.

Εὐώδης, ὁ εὔοσμος, ἐκ τοῦ ἄω, τὸ πνέω ἀὴς καὶ εὐαὴς, καὶ ἐξ αὐτοῦ εὐάδης καὶ κράσει εὐώδης. τὸ ω μέγα διάτι; τὰ διὰ τοῦ ωδης μετουσιαστικὰ, διὰ τοῦ ω γράφεται, χωρὶς τῶν παρὰ τὸ πους, οἷον τριπόδης, τετραπόδης.

Εὐώνυμος, ἡ χεὶρ κατ' ἀντίφρασιν. ὡς καὶ τὸ ἀριστερὰ παρὰ τὸ ἄριστος.

Εὐωχία, εὐεχία, ἤγουν παρὰ τὸ εὖ ἔχειν, ὅτε ἐπὶ τὰς τῶν θεῶν παρεγένετο τίμας. βέλτιον δὲ ἀπὸ τοῦ τροφὴν ἡμῖν εὖ ἔχειν. καὶ γὰρ παροχὴ, ὅτι πολλὴ ὀχὴ πρόκειται. κατ' ἐπαύξησιν τοῦ ο εἰς ω, εὐωχὴ καὶ εὐωχία·

Ἐΰδμητον, εὔτηκτον.

Εὖ, ὃ σημαίνει τὸ καλῶς. εὖ δ' οἴκαδ' ἱκέσθαι[2]) παρὰ τὸ ἐὺς ὄνομα θεράποντα ἐὺς Ἰδομενῆος[3]). ὡς γὰρ ἀπὸ τοῦ ταχὺς ἐπίρρημα ταχὺ καὶ ὄνομα τὸ ταχὺ παιδίον[4]), καὶ εὐρὺς εὐρὺ ὥστε εὐρὺ ῥέειν διὰ γαίης πυλήων[5]), οὕτω καὶ ἐὺς ἐὺ, καὶ συναιρέσει εὖ. καὶ ὤφειλε κατὰ τὸν λόγον τῆς συναιρέσεως ὀξύνεσθαι, ὅτι ἡ βαρεῖα εἰς ὀξεῖαν, καὶ οὐχὶ εἰς περισπώμενον μεθίσταται. περισπᾶται δὲ κατὰ τοῦτον τὸν λόγον, καθ' ὃν πᾶσα δίφθογγος μετὰ τοῦ ε[6]) ἐπὶ τέλους κειμένη, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται. σεσημείωται τὸ ἰδοὺ, ἰοὺ, οὗ.

Ἐχρῆν, χρόνου παρατατικοῦ, καὶ οὐχὶ ἐπίρρημα.

Ἐφαμίλλως, ἐπιζήλως.

Ἐφάμιλλος ὁ συναγωνιζόμενος. καὶ εἰς τὸ ἅμιλλαν ἐξ ἴσου[7]).

Ἔφαν, εἶπον· οἱ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύτονον, ἔβημεν ἔβαν ποιοῦσι, οὕτως καὶ ἔφαν, ἐκ τοῦ φημὶ, ὁ παρατατικὸς ἔφην, τὸ πληθυντικὸν ἔφαμεν. ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι, τὸ τρίτον ἔφασαν, καὶ Βοιωτικῶς ἔφαν.

Ἔφανεν, εἰς τὸ ἐξέφηνεν.

Ἐφάντησαν, εἰς τὸ φάανθεν.

Ἔφασκον, ἔλεγον, παρατατικὸν, τὸ θέμα φάσκω. γέγονε δὲ παρὰ τὸ φῶ τὸ λέγω, ἐξ οὗ καὶ φημὶ, οὗ ὁ μέλλων φάσω, καὶ κατὰ πλεονασμὸν τοῦ κ φάσκω.

Ἔφη, ἀπὸ τοῦ φημὶ, ἀορίστου δευτέρου.

Ἐφειμένον, ἐντεταμένον, προστεταγμένον, ἀπὸ τοῦ ἐφίημι, ὁ μέλλων ἐφήσω, ὁ παρακείμενος ἐφεῖκα, ὁ παθητικὸς ἔφειμαι, ἡ μετοχὴ ὁ ἐφειμένος, τὸ οὐδέτερον ἐφειμένον.

Ἐφεῖντο, ἕω ἐστι ῥῆμα. καὶ σημαίνει τὸ κορεννύω, ἐπεὶ κ' ἐῶμεν πολέμοιο. ἀντὶ τοῦ κορεσθῶμεν. καὶ ἐξ αὐτοῦ παράγωγον ἕημι. ὁ παθητικὸς ἐνεστὼς ἕεμαι καὶ κράσει εἶμαι καὶ ὁ παρατατικὸς εἵμην. τὸ τρίτον τῶν πληθυντικῶν εἶντο. καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐφεῖντο, ἀντὶ τοῦ ἀπολαύσουσιν. ἐπεὶ οὐκ εἶχον οὐδὲν ὅπου ἐφεῖντο.

Ἐφέστιος, ἔνοικος, πολίτης, αὐτόχθων. τὸ στι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιος ἐπίθετα, ἢ κύρια, ἢ καὶ ἀπὸ τόπου λαμβανόμενα, διὰ τοῦ ἰῶτα γράφεται. ἢ ἀπὸ τοῦ ἑστία. τοῦτο δὲ ὅτι τὰ τοῦ ια παροξύτονα θηλυκὰ διὰ τοῦ ι γράφεται. διάτι δασύνεται; τὸ ε ἐπιφερομένου τοῦ σ, ᾧ ὑποτέτακται ἀντίστοιχον ψιλοῦται, εὐθὺς, ἔσχατος. δασύνεται δὲ τὸ ἑστὼς, ἦν δὲ ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος, ἑσπόμεθα, καὶ ἑστία καὶ ἕστιος, καὶ ἐφέστιος. καὶ ποῖα εἰσὶ τὰ ἀντίστοιχα; τὰ ψιλὰ καὶ τὰ δασέα. ψιλὰ μὲν τρία, κ, π, τ. καὶ δασέα τρία θ, φ, χ.

Ἐφετὴς, ὁ δικαστής.

Ἔφεσις, ἀπὸ τοῦ ἐλάττονος ἐπὶ μεῖζον φυγὴ καὶ μετάθεσις. καλεῖται δὲ καὶ ἔκκλητος, παρὰ τὸ ἐκκαλεῖσθαι, καὶ παραιτεῖσθαι καὶ φεύγειν τὸ πρῶτον καὶ ἔλαττον δικαστήριον.

Ἐφέντες, ἐπιπέμψαντες.

Ἐφετῶν, ἐπιθυμητῶν.

Ἐφετμέων, τουτέστιν ἐντολῶν, ἐπὶ γενικῆς τῶν πληθυντικῶν, καὶ κατὰ πλεονασμὸν τοῦ ε. κλίνεται δὲ οὕτως. ἡ ἐφετμὴ, τῆς ἐφετμῆς, ἡ γενικὴ τῶν πληθυντικῶν ἐφετμῶν. καὶ κατὰ πλεονασμὸν τοῦ ε, ἐφετμέων.

Ἐφετμὴ, ἐντολὴ, νουθεσία, ἐπιστολὴ, πρόσταγμα, παρὰ τὸ εἰμὶ ἕσω, καὶ ὄνομα ῥηματικὸν ἑτμὴ. καὶ ἐν συνθέσει ἐφετμή.

Ἐφόλκιον, πλοιάριον, πηδάλιον, ἀπὸ τοῦ ἐφέλκεσθαι τὴν ναῦν, ἢ ἐφέλκεσθαι ἀπὸ τῆς νεώς.

Ἐφήμερον, διὰ τὸ εὐμετάβλητον πρὸς τὴν ἑκάστης ἡμέρας κατάστασιν. καὶ Ὅμηρος. τοῖος γὰρ νοός ἐστιν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Ἔφηνεν, εἰς τὸ ἐξέφηνεν.

Ἐφῆπται, ἐπικρέμαται, παρὰ τὸ ἅπτω τὸ ἀρτῶ, ὁ παθητικὸς ἧμμαι, ἧψαι, ἧπται καὶ ἐφῆπται.

Ἐφιάλτην, τὸν ἐνδιάθυτον, καὶ ἐκ φύσεως παρεπόμενον λόγον τοῖς ἀνθρώποις. ἢ τὸν ἐφαλλόμενον ἄνθρωπον ἀτάκτως. ἔστι δὲ μετοχὴ, ἔστι δὲ καὶ ὄνομα κύριον, καὶ ὁ ἀγαθὸς δαίμων.

Ἐφήσθη, ἐχάρη.

Ἐφήδοιτο, τέρποιτο.

Ἐφῆσθα, εἶπας.

Ἐφιεὶς, ἐκπέμπων, μετοχῆς ἐνεστῶτος, ἀπὸ τοῦ ἵημι, ἱεὶς, ἱέντος, καὶ συνθέσει ἀφιεὶς καὶ διεὶς.

Ἐφίεσθαι, ἐκ τοῦ ἵμαι, τὸ παθητικὸν ἵεμαι, τὸ δεύτερον ἵεσαι, τὸ τρίτον ἵεται καὶ τὸ ἀπαρέμφατον ἐφίεσθαι.

Ἐφίκεσθαι, ἐκ τοῦ ἵκω, ἵκεσθαι καὶ ἀφίκεσθαι τὸ καταλαβεῖν, ἐξ οὗ καὶ ἐφικτὸν, καὶ ἀνέφικτον, καὶ δυσέφικτον.

Ἐφίζον, τὸ καθίζον, μετοχὴ οὐδέτερον. τὸ θέμα ἵζω, τὸ σημαῖνον τὸ καθέζομαι, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπίζω καὶ ἐφίζω. ἡ μετοχὴ ἐφίζων, ἐφίζοντος,

---

1) ἀντὶ τοῦ πρὸς — ἔχειν Corrupta cf. Etym. M. 2) Il. I. 19. 3) Il. XXIII, 528. 4) ταχὺ παίδιον F. πόδας ταχὺ ex Il. XIII, 249. 5) Il. V, 545. 6) L. μετὰ τοῦ υ. cf. infr. v. ἐφιζοίμεθα in fine. 7) cf. Plato p. 516. B. T. I.

τὸ οὐδέτερον τὸ ἐφίζον· τὸ δὲ ἵζω ἀπὸ τοῦ ἕω τὸ καθέζομαι.

Ἐφικτὸν, δυνατὸν, καταληπτόν.

Ἐφίεμαι, ἐπιθυμῶ.

Ἐφιεὶς, συγχωρῶν.

Ἐφίενται, ἐπιθυμοῦσι.

Ἐφιζάνει, ἐπικαθέζεται.

Ἐφικνούμενοι. προτεγγίζοντες, παραγενόμενοι.

Ἐφίκοιτο, νοήσεις, ἐφάψαιτο.

Ἐφοίτα, παρεγένετο, ἤρχετο.

Ἐφοίνιξεν. ἤμαξεν.

Ἐφ' ὑγρὴν, ἐπὶ τὴν θάλασσαν.

Ἐφύζα. ἔφυσα.

Ἔφυς, ὑπάρχεις.

Ἐφύπερθεν, ὑπεράνωθεν.

Ἐφετρίδες, εἶδος ἱματίου.

Ἐφώρμησαν. ἐπήδησαν, ἐπῆλθον.

Ἐφότῳ, ἐφ' ᾧ τινι.

Ἐφόδια, ἁρμόζοντα ἀναλώματα τῆς ὁδοῦ.

Ἐφόσον, ἔνοσον, ἀφ' οὗ.

Ἔφορος, ὁ πάντων ἐπόπτης, καὶ θεωρὸς θεός· καλοῦνται δὲ καὶ οἱ τὰ τῶν πόλεων ὤνια ἐπισκεπτόμενοι.

Ἔφυ, ἐγένετο, ἐγεννήθη.

$\overset{\text{ὸν.}}{\text{Ἐφετῶν}}$, $\overset{\text{ὸν.}}{\text{καλῶν}}$, $\overset{\text{ὸν.}}{\text{ἐραστῶν}}$, $\overset{\text{ὸν.}}{\text{ἐπιθυμητῶν}}$.

Ἐφοδευσάτωσαν, κατασκοπευσάτωσαν.

Ἐφρύαξαν, ἀλογίστως ἐπορθησαν. ἔστι ῥῆμα συζυγίας δ. τῶν βαρυτόνων, χρόνου ἀορίστου πρώτου, τὸ θέμα φρυάσσω. τοῦτο παρὰ τὸ ὀφρῦς, ὀφρύος. ὀφρύσσω, καὶ ἀποβολῇ τοῦ ο. καὶ κατὰ προσθήκην τοῦ α καὶ σ φρυάσσω. ὁ ἀόριστος ἐφρύαξα. καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐφρύαξαν.

Ἐφύχθη, ῥῆμα παθητικὸν ἀόριστος. ὁ παθητικὸς παρακείμενος πέφυγμαι, πέφυκται, ποιητικῶς, καὶ ἡ μετοχὴ πεφυγμένος, κατὰ συστολήν. ἐκ τοῦ φεύγω γὰρ πέφευγα, ἡ μετοχὴ ὁ πεφευγὼς, τοῦ πεφευγότος, ἡ αἰτιατικὴ τὸν πεφευγότα.

Ἐφύμνια, οἱ ὕμνοι, οἱ μετ' ὀργάνων καὶ τέχνης ᾀδόμενοι. ἐκ τοῦ ἐφύμνιος. τοῦτο παρὰ τὸ ὕμνος, ὕμνιος καὶ ἐφύμνιος. τὸ δὲ ὕμνος, παρὰ τὸ ὑπομένω, ὑπόμενος τὶς ὢν καὶ ὕμνος. τὸ μνι ἰῶτα διάτι; τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, παρηγμένα, εἰ μὲν βαρύνεται διὰ τοῦ ι γράφεται, οἷον, κάπρος, κάπριος. εἰ δὲ ὀξύνεται, διὰ τῆς ει διφθόγγου γράφεται, οἷον, ἀρνὸς, ἀρνειός· εἰ δὲ προπαροξύνεται, διὰ τοῦ ι γράφεται· οἷον, Αἴτωλος, Αἰτώλιος· τοῖος ἔην Τυδεὺς Αἰτώλιος, ὀρθὸς ὄρθιος καὶ τὰ ὅμοια.

Ἑφθὸν καὶ ὀπτὸν διαφέρει. ὀπτὸν μὲν γάρ ἐστι τὸ ἀμέσως τῷ πυρὶ ὁμιλοῦν. ἑφθὸν δὲ, τὸ μεθ' ὕδατος ἑψόμενον.

Ἐχθὲς, ἐπίρρημα καιροῦ δηλωτικὸν παραστατικόν. γίνεται παρὰ τὸ ἐκτός. ἐκτὸς γὰρ εἴρηται ὁ παρεληλυθὼς χρόνος, ἐκτὲς οὖν καὶ ἐχθές. ἢ παρὰ τὸ ἐχθέω τὸ τρέχω, ἐχθὲς καὶ ἐκτὲς, ἡ ἐχθεύσασα καὶ παρελθοῦσα ἡμέρα. ἢ παρὰ τὸ ἐκθεῖν ὅ ἐστι παραδραμεῖν. τούτου χάριν καὶ ἔστιν ἀναλογώτερον τὸ ἐχθὲς καὶ τὸ χθές.

Ἐχέτλη, τὸ κράτημα τοῦ ἀρότρου, παρὰ τὸ ἔχω τὸ κρατῶ, καὶ τλῶ τὸ βαστάζω.

Ἐχέγγυον, ἀσφάλεια, τὸ ἐγγύημα. ἢ τὸ ἔχον ἐγγύην.

Ἐχθήρων, ἐκ τοῦ ἐχθρὸς ἐχθαίρω καὶ ἐχθήρω. ἐχθήρων μισῶν, ἀποστρέφων, βδελυσσόμενος.

Ἔχθιστος, ὁ μισητὸς, ἐκ τοῦ ἐχθρός. ἐτυμολογεῖται δὲ ἐκ τοῦ θορῶ τὸ πηδῶ καὶ ἐχθορῶ, ὁ μέλλων ἐχθορήσω ἐχθορὰς καὶ συγκοπῇ ἐχθρὸς, ὁ ἔξω ἡμῶν προσερχόμενος. ἢ παρὰ τὸ ἐχθὴς γέγονεν ἐχθιστότερος τὸ συγκριτικὸν, τὸ ὑπερθετικὸν ἐχθρότατος· καὶ ὁ δεύτερος τύπος ἔχθιστος.

Ἔχθος, τὸ μίσος, παρὰ τὸ ἀπόβλητον, καὶ ἐκτὸς ἡμῶν εἶναι. διάτι ψιλοῦται, πᾶν φωνῆεν πρὸ δασέος ψιλοῦται. καὶ εἰς τὸ ἀπεχθής.

Ἐχθρὸς, παρὰ τὸ ἔξω ἡμῶν θορεῖν, ἤγουν πηδᾶν καὶ εἶναι.

Ἐχθρὸς πολέμιος καὶ δυσμενὴς διαφέρει. ἐχθρὸς μὲν γὰρ ὁ πρότερος φίλος. πολέμιος δὲ ὁ δι' ὅπλων χωρῶν πρὸς τὸν πέλας. δυσμενὴς δὲ ὁ χρόνος τὴν πρὸς τὸν ποτὲ φίλον ἔχθραν διατηρῶν, καὶ δυσδιάλλακτον ἔχων.

Ἔχιδνα, παρὰ τὸ ἔχις, ὃ σημαίνει τὴν ὄφιν, γίνεται ἔχια, καὶ πλεονασμῷ τῶν συμφώνων γίνεται ἔχιδνα. ἐν αὐτῇ τὸν ἰὸν ἔχουσα.

Ἔχης, ὁ πλούσιος, τινὲς δὲ εἶδος ὄφεως.

Ἐχίνος, τὸ ζῶον, παρὰ τὸ συνέχειν ἑαυτὸ στρογγυλούμενον. τὸ δὲ θαλάσσιον καθ' ὁμοιότητα τῶν ἀκανθῶν καὶ τῶν ὀρνίθων, κατὰ ποιότητα σχήματος. κακῶς δὲ Καλλίμαχος τῶν βοῶν τὰς κοιλίας εἶπεν.

Ἐχίνος. διὰ τοῦ ἰῶτα, τῷ λόγῳ τῶν διὰ τοῦ ινος προπερισπωμένων. τὸ δὲ ἐχίνος πολλὰ σημαίνει. τὸν θαλάσσιον ἐχίνον, καὶ τὸν χερσαῖον, τὸν λεγόμενον ἀκανθόχοιρον. ἔστι δὲ καὶ εἶδος χύτρας καὶ λέβητος, καὶ μέρος γαστρός. ἢ παρὰ τὸ ἔχειν πολὺν ἐχίνον. ἢ παρὰ τὸ ἀνέχεσθαι πλησίον ἀλλήλων.

Ἐχίνος, χερσαῖον ζῶον, καὶ οἱ παροιμίαι, πολλὰ δ' ἀλώπηξ ἀλλ' ἐχίνος ἓν μέγα. εἴρηται παρὰ τὸ ἔχειν. ἐν γὰρ τῷ ἀλέξαι τὸν ἐπερχόμενον, συνηλούμενον τὸ τῶν ἀκανθῶν περίβολον, προβάλλεται ὡς ἔρυμα. ἐχίνος δὲ καὶ ἡ γαστὴρ, ὅτε μάλιστα βοῶν ποθέουσιν ἐχίνοι. καὶ αὐτὴ δὲ παρὰ τὸ ἔχειν ἐν αὐτῇ τὴν τροφήν. καὶ ὁ λέβης ὁμοιῶς ἐχίνος. Καλλίμαχος. ἄζηνται δ' οὐχ ἵππον ἀέθλιον· οὐ μὲν ἐχίνον βουδόκον, ἀντὶ τοῦ λέβητα. ὅταν δὲ θαλάσσιον ὁμοιῶς, ἀπὸ τοῦ ἔχειν ἐν ἑαυτῷ, ἀφανῶν τῶν σαρκῶν οὐσῶν. ἢ ἐχίνος κατ' ἀντίφρασιν, διὰ τὸ μὴ δύνασθαι ἔχεσθαι διὰ τὰς ἀκάνθας, ὅ ἐστιν ἀκράτητος.

Ἔχις, ὁ ὄφις, ὅτι μόνη τῶν ὄφεων μὴ ᾠοφοροῦσα τίκτει, καὶ παρ' ἑαυτῷ κατέχει, καὶ ζωοφοροῦσα τίκτει, οὐκ ᾠὸν, ἀλλὰ τέλεια τὰ ἑρπετά. ἀπὸ τοῦ κατέχειν οὖν ἔχις.

Ἐχόμενος, περιπατῶν, ἢ κρατῶν.

Ἐχυρὸς, ὁ ἀσφαλὴς, παρὰ τὸ ἔχω ἐχυρὸς, ὅθεν καὶ ἐνέχυρον.

Ἔχω, εἰς τὸ δυσκάθεκτον, καὶ ἐκεχειρία, καὶ ἴσχω, καὶ ὀχμάσας.

Ἔχω σημαίνει πέντε. ἔχω τὸ κρατῶ καὶ κατέχω, ἐξ οὗ καὶ τὸ ἔχειν τὸ κρατεῖν, καὶ εἴχετο ἀντὶ τοῦ ἐκρατεῖτο. ἔχω τὸ οἰκῶ, ἐξ οὗ καὶ ἔχειν τὸ οἰκεῖν, καὶ ἔχοντες οἱ οἰκοῦντες. ἔχω τὸ ἐλαύνω, καὶ εἴχετο ὁμοιῶς. ἔχω τὸ φυλάσσω καὶ φροντίζω, ἐξ οὗ καὶ ἔχω ἔχου μεταποιοῦ, φρόντιζε, μιμνήσκου. ἔχω τὸ γαμῶ, ἐξ οὗ καὶ ἔχειν τὸ γαμεῖν, καὶ εἴχετο ἐγαμεῖτο, ὡς ἐχομένη, γαμουμένη.

Ἐχόμενα, ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ παραπλησίως. ἐκ τοῦ ἔχω τὸ πλησιάζω, ὡς τὸ, ἐχόμενα τρίβους σκανδάλων.

Ἐχρηματίσθη, ἐφωταγωγήθη, προεμηνύθη.

Ἔχρησε, χρησμὸν δέδωκε. εἴρηται δὲ ἀντὶ τοῦ ἐδάνεισε.

Ἐψεύσθησαν, πόθεν; ἀπὸ τοῦ ψεύθω ψεύσω, ὡς νήθω νήσω. ὁ παθητικὸς ἐνεστὼς ψεύθομαι, ὁ παθητικὸς παρακείμενος ἔψευσμαι, ὁ ἀόριστος ἐψεύσθην, τὸ τρίτον τῶν πληθυντικῶν ἐψεύσθησαν, ὥσπερ ἐνέστησαν.

Ἐψώμισεν, ἐκ τοῦ ψωμίζω, τοῦτο ψῶ, ψωμὸς, τοῦτο παρὰ τὸ ψῶ τὸ κόπτω, ὁ εἰς μικρὰ κεκομμένος ἄρτος.

Ἐψία, τὰ ἀπὸ λόγων ἔχοντα παίγνια. οἷον, ἔπεα ἔπη, καὶ Φιλέψιος. δασυνομένη μὲν Φιλοπαίγμων ἔστι, ψιλουμένη δὲ Φιλόλογος.

Ἔω, εἰς τὸ ἀνειμένος, καὶ ἄποινα, καὶ ἑανὸς, καὶ εἶαρ, καὶ εἶεν, καὶ εἷμαι, καὶ εἰμὶ, καὶ εἰσὶ, καὶ εἰῶσι, καὶ ἐμπεδῶται, καὶ ἐννύω, καὶ ἔπεισι, καὶ ἐσθὴς, καὶ ἔτος, καὶ ἐτώσιον, καὶ εὗρε, καὶ εὗρος, καὶ ἐφεῖντο, καὶ ἔολεν, καὶ ἤμην, καὶ ἠὺς, καὶ ἱέναι, καὶ ἵντες, καὶ ἶφι, καὶ ἰὼν, καὶ κάθου, καὶ λευχειματα, καὶ μεστὸν, καὶ νεανικὸν, καὶ περιπέζια, καὶ τελεῖ.

Ἐῴκει, ὅμοιος ἦν, ῥῆμα ὑπερσυντελικὸν, ὁ παρακείμενος ἔοικα. καὶ σημαίνει τρία. ὁ ὑπερσυντελικὸς ὤφειλεν ἠοίκειν. ἀλλ' οὐδέποτε λέξις Ἑλληνικὴ, ἀπὸ τοῦ η ἀρχομένη ἐπιφέρεται τὸ ο. χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη. κατὰ διάλεξιν [1]). ᾔουῃ δὲ καὶ μᾶλλον. οὕτως οὖν καὶ τὸ ἑώρταζον ἐγένετο. ἢ ἔσωθεν μακρὸν, ἢ ἔξωθεν βραχύ. ὁμοίως καὶ τὸ ἐώλπειν καὶ τὸ ἐώργειν.

Ἕωλος, ὁ χθεσινὸς, ἐκ τοῦ ἕως, ὃ σημαίνει τὴν ἡμέραν, καὶ τοῦ λύω, ὁ ὑπὸ πολλῶν ἡμερῶν λυθείς.

Ἕωλον, ἀργὸν, ἄπρακτον, χθεσινὸν, ἀκάθαρτον.

Ἑωλοκρασία, ἡ χθεσινὴ μέθη, ὅταν ἐν συμποσίῳ πινόντων ἀνδρῶν καὶ καθευδόντων ἐνίων, ἄλλοι τὴν τρυγίαν προχέωσιν. ἔθος ἦν τοῖς νέοις δειπνοῦσι καὶ νυκτερεύουσι καταχεῖν τῶν κοιμωμένων τῶν ἑώλων δείπνων τοὺς ζωμοὺς, πρὸς τοιαύτην παιδίαν τετραμμένοι. ἐγὼ δὲ μᾶλλον νομίζω, πεποιῆσθαι τὸ ὄνομα. ἀπὸ τοῦ ῥήματος, ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα, ὅτι τὰ πράγματα τὰ ἀρχαῖα συγκεράσας κατηγόρει ὁ Αἰσχίνης. ἢ ἑωλοκρασία ἡ χθεσινὴ μέθη. ἕωλον γὰρ τὸ χθεσινὸν, παρὰ τὸ τὴν ἕω ἐλαθῆναι. ἢ ἕωλον τὸ λυτόν. ἢ τὸ μὴ πρόσφατον ἀλλὰ χθεσινὸν, παρὰ τὸ ἕω, ὃ σημαίνει τὸ περιπατῶ. σημαίνει δὲ ἕπτα τὸ ἕω.

Ἑὼν, ὑπῆρχον, μετοχὴ ἀορίστου δευτέρου, διότι οὐδέποτε μετοχὴ ἐνεστῶτος ὀξύνεται, πλὴν τοῦ ἑκών. καὶ οὐδέποτε μετοχὴ δευτέρου ἀορίστου βαρύνεται, πλὴν τοῦ πέφνων, ὥστε τὸ ἑὼν δευτέρου ἀορίστου ἐστιν.

Ἕως, εἰς τὸ ἥλιος καὶ ἠώ.

Ἑωσφόρος, ἑώας φόρος, διὰ τοῦ ἐκ τῆς ἑώας φέρεσθαι ὁ ἀνατολικὸς ἀστὴρ καὶ πρωϊνὸς, καὶ τὴν ἑῴαν φέρων, ὁ αὐτὸς καὶ φωσφόρος καλεῖται.

Ἕωξαν, ἀνέωξαν.

Ἑῶμεν, συγχωρῶμεν.

Ἕως, ἡ πρὸ τοῦ ἡλίου ἀνατολῆς ὥρα.

Ἕωλον, ψυχρὸν, μάταιον, ἀνωφελον.

Ἕως οὗ ἐπιστρέψῃ, ὑποτάσσει τὸ ἕως ἐπίῤῥημα ἀναφορικὸν, μετὰ τῆς οὐ ἀρνήσεως εὑρισκόμενον. ἕως οὗ ἀνταποδῶς μοι.

Ἕωλος, κύριον, καὶ Αἴολος ὁ ποικίλος.

Ἕω, τὸ καθέζομαι.

Τέλος τοῦ Ε στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ζ ΣΤΟΙΧΕΙΟΥ.

Ζαβουλὼν, ἀπὸ τοῦ βάλλω βολὴ καὶ βουλὴ, καὶ μετὰ τοῦ ζα ἐπιτατικοῦ μορίου ζαβουλὼν, ὁ πάνυ βουλευτικός.

Ζαγρεὺς, ὁ μεγάλως ἀγρεύων, ὡς, πότνια Γῆ, Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων. ὁ τὴν Ἀλκμαιονίδα γράψας ἔφη [2]). τινὲς δὲ τὸν Ζαγρέα υἱὸν ᾅδου φασὶν, ὡς Αἰσχύλος ἐν Σκύφῳ, Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ χαίρειν. ἐν δὲ Αἰγύπτῳ οὕτως αὐτὸν διὰ τὸν Πλούτωνα καλεῖ, τὸν ἀγραῖον τὸν πολυξενότατον, διὰ τῶν κεκμηκότων.

Ζάθεος, πάνυ μέγας, θαυμαστὸς, παρὰ τὸ ζα καὶ τὸ θεός. καὶ ζαθέα, καὶ Ἰωνικῶς τροπῇ τοῦ α εἰς η ζαθέη.

Ζάθεος, θεῖος, ὁ ἄγαν θαυμαστός. ζα σημεῖον ἐπιτάσεως.

Ζάλακας, μισόβλεπτος, μιαρὸς, μισητὸς, παρὰ τὸ ζα καὶ τὸ λάω. σημαίνει δὲ τὸν ῥίτζον.

Ζάκορος, νεωκόρος, ἤγουν ἡ διακονοῦσα περὶ τὸ ἱερὸν, ἢ ὁ ἱερεὺς ὁ τὸν ναὸν σαρῶν. κορεῖν γὰρ τὸ σαίρειν Ἀττικῶς. τὸ γὰρ ζα οὐκ ἔστιν ἐνταῦθα ἐπιτατικὸν, ἀλλ' ἀντὶ τοῦ δια προθέσεως, ἵν' ᾖ διάκορος. οἱ Αἰολεῖς καὶ οἱ Ἀττικοὶ τὴν δια τὴν ζα φασίν. οὕτω καὶ εἰς τὸ ἐτυμολογία καὶ ῥῆμα.

Ζάλη, ἡ ταραχὴ τῆς θαλάσσης, ἢ τοῦ ἀέρος. παρὰ τὸ ζα καὶ τὸ ἅλλα.

Ζάλη, παρὰ τὸ ἅλς ἁλὸς ἅλη καὶ σάλη. ἢ παρὰ τὸ ἅλλω τὸ πηδῶ, ἡ ἀγριουμένη καὶ ὀγκουμένη θάλασσα· κυρίως δὲ λέγεται ζάλη ἐπὶ τῆς θαλάσσης, παρὰ τὸ ζέειν τὴν ἅλα, ἤγουν ὀγκοῦσθαι ὑπὸ ἀνέμων. καὶ εἰς τὸ τρικυμία.

Ζαμενὴς, εὔψυχος, μέγα μένος ἔχων, τουτέστι ψυχικὴν προθυμίαν, ἢ ζαμενὴς, ὁ ἄγαν ὀργίλος. παρὰ τὸ ζα καὶ τὸ μένος, ὃ σημαίνει τὴν ὀργὴν καὶ τὸν θυμόν.

Ζάφελος, σημαίνει τὸν μεγάλως ἐπικαθήμενον, ἢ ηὐξημένον, παρὰ τὸ ζα, καὶ τὸ ὀφέλλω τὸ αὐξάνω, ζαφελῶς, καὶ τὸ μὲν ζάφελος προπαροξύνεται λόγῳ τοιούτῳ. τὰ εἰς ος λήγοντα συγκείμενα, παρὰ τὸ ζα, προπαροξύνονται, οἷον, ζάθεος, ζάκοτος, οὕτως οὖν καὶ ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπειδὴ τὰ εἰς λως ἐπιῤῥήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, οἷον, εὐτελῶς, οἷς καὶ

---

1) ἐν δ.φθ. etc. Corruptissime. 2) conf. Athen. L. XI. p. 461. B.

τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τὸ εὐτραπέλως, εἰκέλως.

Ζαχρεής, ζαχρεῖεντος, ὁ βίαιος καὶ σφοδρός.

Ζαχρειῶν, σφοδρῶν, πνεόντων, καὶ ζάχρειον τὸ σφοδρόν.

Ζάω, τὸ καθεύδω, οὗ ὁ μέλλων ζάσω, ἀντὶ τοῦ καθευδήσω.

Ζάω, τὸ ζῶ, ἐξ οὗ καὶ τὸ προσ [1]) ζῆ, καὶ κατ' ἔκτασιν ζῆθι.

Ζαχρείης, κυρίως ζαχρεῖες ἐστὶ τὸ βιαίως ταῖς χερσὶ πραττόμενον, παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις. ὡς ἀπὸ τὴν τῶν βοῶν πρὸς ἀλλήλους μάχην, μὴ συμφώνως ἐργαζομένων. ἐκεῖνοι γὰρ πολλάκις, ὅταν ἕλκωσι, κάμνοντες, ἐπερείδουσι τὸ βάρος πρὸς ἀλλήλους.

Ζέειν καὶ βράζειν, ἐπὶ ὕδατος βράζοντος κυρίως ζέειν, ἔστι καὶ ἐπὶ ἀνθρώπου, οἷον, ζέοντι πόθῳ, θερμαίνει ἐπὶ ἡλίου, τοῦ θερμαίνοντος τὰ πάντα.

Ζέει, ὀγκεῖ.

Ζέφυρος, ὁ ἄνεμος, εἴρηται διὰ τὸν τὸ ζόφος, ὅτι ἀπὸ τοῦ ζείφου πνεῖ. ζεῖφον δὲ τὴν δύσιν ἔλεγον οἱ ἀρχαῖοι.

Ζέμα, τὸ θερμὸν, καὶ ἡ θερμότης, παρὰ τὸ ζέω, ζέσω, ζέσμα καὶ ζέμα, ὡς δέω, δέσμα καὶ δέμα.

Ζειὰ δὲ εἶδος κριθῆς, τὰ εἰς α θηλυκὰ τῇ ει διφθόγγῳ παραληγόμενα ἢ τῷ ἰῶτα, ἐπὶ μὲν οὐσίας ὀξύνεται, οἷον, ζειὰ, φειὰ, χροιά· ἐπὶ δὲ πράγματος βαρύνεται, οἷον, αἰνεῖα, χρεῖα. ζειαὶ, ζεαὶ, ἀπὸ τοῦ ζέειν ἡμῖν αἴτιαι, καὶ γὰρ πᾶς ὁ ζῶν θερμότητι χαρακτηρίζεται.

Ζειαὶ, αἱ ὀλλῦραι, αἱ τοῦ ζῆν αἴτιαι, ὡς παρὰ τὸ ζέω, ζεαὶ καὶ ζειαί. ζεαὶ γὰρ αἱ κριθαί.

Ζείδωρος, παρὰ τὸ ζῆ ζηόδωρος, καὶ κατὰ συγκοπὴν τοῦ ο ζήδωρος, τροπῇ Βοιωτικῇ τοῦ η εἰς ει δίφθογγον, ὥσπερ οὐτῶ οὐτήσω, ὠτειλὴ, ζείδωρος, ἡ τὰ πρὸ τὸ ζῆν δωρούμενα τουτέστιν ἡ γῆ. ἢ παρὰ τὸ ζέειν, ζεέδωρος καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον ζείδωρος.

Ζείδωρον, παρὰ τὸ ζῆν δωρεῖσθαι. αὕτη ἐστὶν ἡ τὸ θερμότατον αἷμα ἐν τῷ σώματι ἐμποιοῦσα.

Ζεῖρα, σημαίνει τὴν ζώνην καὶ χιτῶνα καὶ χλαμύδα. διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ γὰρ τὸ δεῖν, ὅ ἐστι τὸ δέσμειν, καὶ μεταθέσει τοῦ δ εἰς ζ ζεῖρα.

Ζείφων, εἰς τὸ ζέφυρος.

Ζεύγλη, παρὰ τὸ ζεύγω, ζεύξω, ζεύγλη.

Ζεύγλη, τὸ τοῦ τραχήλου μέρος, ἢ τὸ ἄκρον τοῦ ζυγοῦ, καθ' οὗ ὁ ζυγός. Ὅμηρος· ζεύγλης ἐξερείπουσα, παρὰ τὸν ζυγὸν οὐδεὶς ἵκανε. παρὰ τὸ ζεύγω ζεύγλη, ὡς αἴξω αἴγλη, μετὰ τῆς συναιρέσεως.

Ζεῦγος, παρὰ τὸ ζεύγω, ὁμοίως ὁ μέλλων ζεύξω, καὶ ζεῦγος, ὡς παρὰ τὸ τεῦχος.

Ζευγίσιον, τῷ χαρακτῆρι τῶν διὰ τοῦ ισιον, οἷον, ἀφροδίσιον, ἀρτεμίσιον, προβλίσιον, οὕτως οὖν καὶ ζευγίσιον. ἰστέον δὲ, ὅτι τέσσαρες τάξεις ἦσαν παρὰ Ἀθηναίοις. ἦσαν γὰρ πεντακόσιοι μεδιμνοὶ, οἵτινες πεντακόσιοι μεδιμνοὶ ἐλέγοντο, ἐκ τοῦ διακονῶν μέτρου τελεῖν. ἦσαν καὶ οἱ θῆτες, οἵτινες μὴ εὐποροῦντες τελέσαι τὶ, ἐθήτευον, ἢ καὶ ὡς μίσθιοι ὑπῆρχον.

Ζεὺς, Διὸς, ὁ κανών· δύο κανόνες εἰσὶ, οἱ μαχόμενοι ἀλλήλοις. ὁ μὲν εἷς λέγει, ὅτι πᾶν ὄνομα μονοσύλλαβον ὀξύτονον, μακρῷ καταληκτὸν, εἰς σ λῆγον, διὰ καθαροῦ τοῦ ος κλινόμενον, τὸν χρόνον τῆς εὐθείας θέλει φυλάττειν ἐν τῇ γενικῇ. οἷον, δμὼς δμωός, θὼς θωός. καὶ ὤφειλεν εἶναι Ζεὺς Ζέος· ὁ δὲ ἕτερος λέγει, ὅτι τὰ εἰς ευς διὰ τοῦ εος κλίνεται, καὶ ὤφειλεν εἶναι Ζέος. τῶν οὖν δύο κανόνων μαχομένων, εἰσῆχθεν ἡ τῶν Βοιωτῶν διάλεκτος, καὶ ἐγένετο Ζεὺς Διός· Ζεὺς ποτὲ βαρύνεται καὶ ποτὲ ὀξύνεται. βαρύνεται μὲν, ὡς Ζεὺς δ' Ἔριδα προΐαλλεν. ὀξύνεται δὲ, Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε. βαρύνεται δὲ, ἐπειδὴ αἱ ὀξυνομέναι λέξεις, αἱ διὰ τὴν συνέπειαν τρέπουσι τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπιφερομένου τοῦ ἐγκλιτικοῦ μορίου, τὴν ἰδίαν τάσιν φυλάττουσι. σημαίνει δὲ δύο· ὄνομα κύριον βασιλέως Ἀσσυρίων καὶ τὸν ἀστέρα.

Ζευς, ἐκλήθη, ὅτι ἔζησεν, ἐν τῇ Κρήτῃ οὗ ὁ Κρόνος κατεπόθη, τὸ πρότερον Δίας καλούμενος, παρὰ τὸ διαμένειν τὸν χρόνον. βελτίον δὲ γάρ ἐστι λέγειν ὅτι ζωῆς παρεκτικός. οἱ δὲ ὅτι τὸ σῶμα αὐτοῦ ἐσπαργάνωσαν. ὅτι δεύειν καὶ βρυχάζειν αἴτιός ἐστιν. καὶ γὰρ πῶς ὁ θεὸς τριώνυμος ἐστι καὶ ἕκαστον αὐτοῦ τῶν ὀνομάτων, οὐκ ἔχει τὰς πτώσεις, ἀλλ' ὁ Ζεὺς ἔχει τὴν ὀρθὴν μόνον καὶ τὴν κλητικὴν, Ζεῦ ἄνα. πληροῦνται δὲ καὶ αἱ ἄλλαι ἀκατανωνόμαστοι· αἱ γὰρ Διὸς καὶ Διῒ καὶ Δῖα, οὐκ ἔχουσι τὴν ὀνομαστικὴν, ἀλλ' ἀεὶ ἡ ὀνομαστικὴ Δῖα, ὅθεν ὁ Πλάτων, Ζεὺς εἶναι φησὶ, δι' οὗ ζῶμεν. Ζῆνος δὲ καὶ Ζῆνι καὶ Ζῆνα ἀπ' ὀρθῆς τοῦ Ζῆν. οἱ δὲ φυσικοὶ δῖνα ἀπ' ὀρθῆς πτώσεως. λέγεται δὲ αὐτὸν τὸν αἰθέρα εἶναι δῖα. ὅτι ἔμπειρός ἐστι καὶ ζέει, ἀλλ' αἰθὴρ τίκτει σε κόρας, Ζεὺς ὡς ἀνθρώποισιν ὀνομάζεται.

Ζέφυρος, ὁ καὶ λὶψ, ὅτι ἀπὸ ζείφου πνεῖ· ζεῖφον δὲ τὴν δύσιν οἱ ἀρχαῖοι ἔλεγον.

Ζέφυρος, ὅτι ἐκ τῶν ζοφωτάτων τῆς δύσεος πνεῖ.

Ζέφυρος, παρὰ τὸ ζωοφόρος εἶναι. τρέφει γὰρ τοὺς καρπούς. ἢ παρὰ τὸ ζωὴ καὶ τὸ φέρω, ὁ τὸν ζῆν πᾶσι παρέχων, καὶ τὶ μετέχει τοῦ ζῆν, τῷ γὰρ θέρει πνέοντι αὐτῷ οἱ καρποὶ αὔξονται.

Ζηκχὸς, ζῆ ἐκ χοὸς, πόνους τιθέμενος εἰς γαῖαν, ἔνθεν τρυφᾷν εἴθισται ἔκπαλαι τῶν χρόνων. φιλεῖ γὰρ ὄντως ἰδίοις μόχθοις τρέφεσθαι, ἤπερ εἰσάγειν ἑαυτῷ ἐξ ἀλλοτρίων μόχθων.

Ζῆθι, ῥῆμα προστακτικὸν, κατ' ἔκτασιν ἐστιν ἡ θι συλλαβή. ἔστι γὰρ ἄω τὸ πνέω, καὶ μετὰ τοῦ ζα ζάω ζῶ, καὶ κατὰ κρᾶσιν Δωρικὴν τοῦ α εἰς η ζῆ. τὸ τρίτον τοῦ παρατατικοῦ ἔζαε. ἔζα, καὶ τὸ προστακτικὸν ζῆ. ὡς τάω, τῶ, τῆς, τῆ. τῆ πρὸς [2]) οἶνον Κύκλωψ. ἀντὶ τοῦ δέξαι, καὶ προσθέσει τῆς ζη συλλαβῆς γίνεται ζῆθι. ἢ ἀπὸ τοῦ ζάω τὸ καθεύδω, οὗ ὁ μέλλων ζάσω, ἀντὶ τοῦ καθευδήσω, ζάω ζῶ, ἐξ οὗ καὶ τὸ προστακτικὸν ζῆ καὶ ἐπεκτάσει ζῆθι.

Ζῆ, τρίτου προσώπου, ζῶ, ζαεῖς ζᾷς, ζάει ζᾷ, καὶ κράσει Δωρικῇ τοῦ α εἰς η ζῆ.

Ζῆθος, ὁ ἥρως, Ἀμφίων τε Ζῆθός τε, παρὰ τὸν ζήσω μέλλοντα ζῆθος, ὡς ἐρίσω ἔριθος. ἢ ὅτι ἡ μήτηρ αὐτοῦ ἔζησεν εὐμαρῶς τεκεῖν αὐτόν.

Ζῆθος, Εὐριπίδης σαφῶς ἐτυμολογεῖ ἐν Ἀντιόπῃ. ζητῆσαι γὰρ τόκοισιν εὐμάρειαν ἡ τεκοῦσα γυνή.

Ζῆλος, ἀπὸ τοῦ ζέω γίνεται ζέλος, καὶ τροπῇ τοῦ ε

---

1) πρὸς L. προστακτικόν. 2) πρός. Corrupte.

εἰς η ζῆλος, ὁ ἐκ τῆς ζέσεως τοῦ θυμοῦ γενόμενος. ἢ ἀπὸ τοῦ ζάλη, ζάλος καὶ τροπῇ ζῆλος, ὁ γὰρ ζῆλος ζάλην βάλλει εἰς τὸν ἄνθρωπον.

Ζῆλος, παρὰ τὸ ζέειν ὅλος, ζέελος, καὶ κράσει τῶν δύο ε ε εἰς η ζῆλος. τοῦτο παρὰ τὸ ζέω ζέηλος καὶ ζῆλος.

Ζῆλος καὶ ζηλοτυπία διαφέρει. ζῆλος μὲν γάρ ἐστι μίμησις τοῦ καλοῦ, οἷον, ζῆλον τὸν κατηγητὴν ὁ παῖς. ζηλοῖ δέ τε γείτονα γείτων, ἐπὶ καλοῦ. ζηλοτυποῖ δὲ ὁ δεῖνα τὸν δεῖνα. ζηλοτυπία γάρ ἐστι τὸ ἐν μίσει ὑπάρχον.

Ζῆλος φθόνου διαφέρει. ζῆλος μὲν γάρ ἐστιν ἡ δι᾽ ἐπιθυμίας γινομένη μίμησις, δοκοῦντι τινὸς καλοῦ. φθόνος δὲ βασκανία τις ἡ τοῖς ἄλλοις μὲν οὖσα ἀγαθὴ, ἡμῖν δὲ οὐ. καὶ εἰς τὸ χαμαίζηλος.

Ζηλῶσαι τοῦ ἐρίσαι διαφέρει. ζηλοῦν γάρ ἐστι τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι. ἐρίζειν δὲ τὸ μετὰ μάχης φιλονείκειν ἐπὶ τινὶ πράγματι.

Ζῆλος, ζῆλος δ᾽ ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασι, παρὰ τὸ ζεῖν, ὁ φλεγμαίνειν καὶ ἐγκαίεσθαι τὴν ψυχὴν ποιῶν, ἢ ὁ ζητῶν πρός τι εἶναι καλὸν ζῆν.

Ζημία, ἡ τὰ πρὸς ζῆν μειοῦσα, τὸ ζη ἦθα. τὰ γὰρ ἀεὶ παρ᾽ ἡμῖν μὲν διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ δὲ τοῖς Δωριεῦσι εἰς η. οἷον, πεινάεις πεινᾷς· καὶ Δωρικῶς πεινῆς καὶ διψῆς. οὕτω γὰρ ζάεις ζᾷς, ὤφειλεν εἶναι ζῆς· ἀλλ᾽ ἐπεκράτησαν τοῦτο παρ᾽ ἡμῖν λέγεσθαι ζῆν.

Ζηνὸς, ὁ Δίας, καὶ Ζῆνα τὸν Δία, καὶ Ζῆνι τῷ Διΐ.

Ζέω καὶ ζῆν, τὸ ῥῆμα κατὰ μίμησιν τοῦ κατὰ τὴν θερμασίαν τῶν ὑδάτων ἤχου· ἢ ἀπὸ τοῦ ζα καὶ τοῦ ἄω, ζάω καὶ ζέω.

Ζημία, ἡ τοῦ κέρδους καὶ ὠφελείας μείωσις, ἡ τῶν ὄντων πρὸς τὸ ζῆν μείωσις. τούτους μεγίστην ζημίαν ὀφλισκάνειν Εὐριπίδης. παρὰ τὴν ζέσιν τὴν γινομένην ὑπὸ τοῦ θυμοῦ ἐν τῷ ἐκτείνειν τὰ ἐπαγόμενα, ἢ δημία τὶς οὖσα, ἡ πολιτική. ἢ τὴν ζωὴν μειοῦσα, τουτέστι τὴν περιουσίαν. καὶ γὰρ ὁ ποιητὴς ζημίαν τὴν περιουσίαν λέγει. ἢ δὲ κατὰ ζωὴν φαγέειν μενοεικέα πόλλα.

Ζήτης, ὁ υἱὸς Βοῤῥᾶ. Ἀπολλόδωρος ὁ Ῥόδιος ἐν τοῖς Ἀργοναυτικοῖς. παρὰ τὸ ζα καὶ τὸ πνέω, ὁ μεγάλως πνέων. ἤτοι παρὰ τὸ σφοδρὸν τοῦ βορέου καὶ μεγαλοπνεῦν. υἱὸς γὰρ τοῦ Βοῤῥᾶ. ὁ αὐτὸς καὶ αἰθρηγενέτης, ὁ βορέας ὁ αἴθρου καὶ ψύχους αἴτιος.

Ζητοῦ [1]), μὲν παρὰ τοῦ δίμηνος, καὶ τρίμηνος πόθεν ἄρα ἐστι; ἐκ τοῦ ὀνόματος τοῦ δύο καὶ τρία, ἢ ἐκ τοῦ ἐπιῤῥήματος. καὶ λέγει ὁ Ἡρωδιανὸς κατὰ τροπὴν τοῦ υ, ὡς Ἀφροδύτη Ἀφροδίτη καὶ προσθήκῃ τοῦ α τριάμηνος, καὶ κατὰ συγκοπὴν τρίμηνος. καὶ ποῖον ἔστιν ἄρα ἀναλογώτερον, τὸ ἐκ τοῦ ὀνόματος γινόμενον, ἢ τὸ ἐξ ἐπιῤῥήματος; καὶ λέγομεν, ὅτι μᾶλλον τὰ ἀπὸ τοῦ ὀνόματος. ἰδοὺ κατ᾽ ἐντελ᾽ .... τὰ παρὰ Ἀθηναίοις συντιθέντα δεικνύουσιν ἡμῖν· καὶ ταῦτα γίνεσθαι ἐκ τοῦ ὀνόματος, οἱόνπερ ὀκτάμηνος. ἴσως δέ τις ἀρπάσαις λέγων, ἰδοὺ λέγομεν καὶ πεντάμηνος καὶ ὀκτάμηνος, καὶ δῆλον, ὅτι ἀπὸ τοῦ ἐπιῤῥήματος τοῦ πεντάκις καὶ ὀκτάκις γίνεται τὰ προκείμενα πεντακίμηνος καὶ ὀκτακίμηνος, καὶ κατὰ συγκοπὴν τῆς κι συλλαβῆς πεντάμηνος καὶ ὀκτάμηνος. καὶ λέγομεν πρὸς αὐτούς, ὅτι τοῦτο ἀληθές. ἀλλὰ πολλάκις οἱ ἀριθμοὶ ἐν ταῖς συνθέσεσι καὶ παραγωγαῖς τρέπουσι τὸ τέλος εἰς α. ὥσπερ γὰρ ἀπὸ τοῦ ὀκτὼ γίνεται κατὰ παραγωγὴν ὀκτάκις, καὶ ἀπὸ τοῦ πέντε πεντάκις, οὕτω καὶ σύνθετον ὄνομα πεντάμηνος καὶ ὀκτάμηνος. δέδεικται οὖν τὰ προκείμενα διὰ τῶν αἰτιατικῶν ὀνομάτων τοῦ πεντάμηνος καὶ ὀκτάμηνος μᾶλλον ἐκ τοῦ ὀνόματος γίνεσθαι τὸ δίμηνος καὶ τρίμηνος, καὶ ἐκ τρίμηνος τετράμηνος, ὅτι τετράμηνός ἐστιν καὶ ὁ θερισμός. οὐκ ἐξ ἐπιῤῥήματος οὖν, ὡς τινὲς φασί.

Ζῆθα, ἀπὸ τοῦ Ζητοῦ τοῦ Βορέου εἰρῆσθαι φασίν, οὗπερ μέμνηται Ἀπολλώνιος.

Ζήτημα, παρὰ τοῖς ῥήτορσι καλεῖται τὸ ἤδη ὁμολογηθὲν συνίστασθαι πρόβλημα τοῦτο· οὐκ ἀξιοῦται [2]) δὲ τῆς τοῦ ζητήματος προσηγορίας. καὶ ἔστι μὲν ζήτημα τοῦτο καὶ πρόβλημα πάντως, οὐκ ἔστι δὲ πρόβλημα τοῦτο πάντως καὶ ζήτημα.

Ζήτρειον, διὰ τῆς ει διφθόγγου κατὰ τὴν παραλήγουσαν. σημαίνει τὸ τῶν δούλων δεσμωτήριον, ἤγουν τὸν μύλωνα. ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι. γίνεται δὲ παρὰ τὸ δεῖν, ὃ σημαίνει τὸ δεσμεύειν, καὶ τὸ τρεῖν, ὃ σημαίνει τὸ φοβεῖσθαι, δείτριον, μετατιθέντος τοῦ δ εἰς ζ καὶ τῆς ει διφθόγγου εἰς η, ὡς τὸ πλείων πλήων, καὶ μείων μήων. ἢ παρὰ τὸ ζα καὶ τὸ τρεῖν ζάτρειον καὶ ζήτρειον, τροπῇ τοῦ α εἰς η. ἐξ οὗ καὶ ζάπλουτος.

Ζιζάνιον, τό ἄνευ σπορᾶς παραφυόμενον τῷ σίτῳ καὶ γίνεται παρὰ τὸ ἵζω καὶ σιτώζω καὶ σίνω τὸ βλάπτω, σισάμιον καὶ ζιζάνιον, τὸ ἐπικαθήμενον ζιζάνιον, τὸ βλάπτον τὸν σῖτον.

Ζόφος. ὁ σκοτασμος, παρὰ τὸ νέφος νόφος καὶ μετὰ τοῦ ζα ζάνοφος καὶ κατὰ συγκοπὴν ζόφος. διάτι βαρύνεται; τὰ εἰς φος δισύλλαβα προσηγορικὰ βαρύτονα, εἰ μὴ ἔχουσι τὸ ι πρὸ τέλους συνεσταλμένον, οἷον, τάφος κέπφος, ἔστι δὲ εἶδος ὀρνέου, λαῖφος, βρέφος, γόμφος, ζόφος.

Ζυγομαχεῖν, οἱ μὲν ἀπὸ τῶν πολούντων σταθμῶ, καὶ διαφερομένων πρὸς τοὺς ὠνουμένους. οἱ δὲ ἀπὸ τῶν ὑποζυγίων, οἷον, βοῶν ἢ ἵππων, ἢ τινῶν τοιούτων μὴ συμφώνως συνεργαζομένων, ὡς Ἡσίοδος. ζυγὸς σημαίνει τῶν βοῶν τὸ ξύλον. οὐκ ἂν τώγ᾽ ἐρίσαντες ἐν αὔλακι. ὁ δὲ Ἡρόδοτος, ἀπὸ τῶν ἐν τοῖς πλοίοις ζυγῶν δύνασθαι φησὶν εἶναι τὴν λέξιν, ὅτε περὶ τὰς καθέδρας διαφέρονται ἐρέσσοντες οἱ ἐρέται. ἐν ἄλλῳ Ἡσίοδος, βόε δ᾽ ἐνναετῆρε ἄρσενε κεκτῆσθαι, τῶν γὰρ σθένος οὐκ ἀλαπαδνὸν· οὐκ ἂν τώγ᾽ ἐρίσαντες ἐν αὔλακι καμμὲν ἄροτρον ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν [3]).

Ζύμη, τὸ μικρὸν φύραμα, παρὰ τὸ ζωῆς οἶμον εἶναι, ἢ παρὰ τὸ ζέω ζύμη, ὡς λύω λύμη. καὶ ζυμήτης ὁ ἀρτοποιός.

Ζυμήτης, ὁ ἀρτοποιός, Ξενοφῶν, ἄρτοι ζυμῆται μεγάλοι, παρὰ τὸ ζῶ ζέω καὶ ζύω, ὡς ξέω ξύω, χέω χύω, ζύμη καὶ ζύμωμα καὶ ζυμήτης ἄρτος, ἐκ τοῦ ζέσαντος σταιτὸς γεγονώς.

Ζύμη, τὸ σταίς, τὸ συμπεφθὲν εἰς ὄπτησιν, παρὰ τὸ ζέω ζύμη, ὡς λύω λύμη, ὡς σύω σύμη, δύω δύμη, τὸ ζεὸν σταίς.

Ζύγονος, ὁ πῆχυς τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κάλα-

---

1) In codice est Ητοῦ omisso τῷ Ζ. 2) vel ἐξιοῦται. 3) Εργ. 407. sqq.

μα. οὕτω δὲ λέγονται οἱ πάσσαλοι, οἷς ἐξάπτονται καὶ αἱ χορδαὶ, παρὰ τὸ κεκολλῆσθαι.

Ζυγὸς, καὶ ζυγὸν ἐπὶ τῶν ἀμαξῶν καὶ ἁρμάτων καὶ πλοίων. καὶ τὸ λεγόμενον ὑπὸ τινῶν τῶν ποιητῶν τάλαντον, ἡ τριτάνη. παρὰ τὸ δύο ἄγειν δύαγον καὶ ζυγὸν κατὰ Δωριεῖς. ἰστέον ὅτι τὸ ζ οἱ Δωριεῖς εἰς σ καὶ δ, διαλύουσιν, οἷον, ζυγὸς, σδυγὸς, θερίζω θερίσδω.

Ζυγὸς, ἐτυμότερον Αἰολικῶς δυγὸν, ὅτι δύο ἄγει ἡ πλαστιγγης ὅταν τὰ στάθμα σημαίνωμεν. καὶ ζυγὸς ὁ δύο ἄγων. ζυγὸν τὸ σταθμιστικόν. σημαίνει καὶ τὴν καθέδραν τοῦ πλοίου, καὶ τὸ ἅρμα, καὶ τὸ ἄστρον. ἡ μὲν συνήθεια ἀρσενικὸν ἐπιφαίνεται, Ἀττικοὶ δὲ ἥδονται τῷ οὐδετέρῳ γένει. καὶ ὁ ποιητὴς τὸν ζυγὸν λέγει. λέγεται ζυγὸς καὶ ὁ τῆς κιθάρας πῆχυς, εἰς ὃν ἔγκεινται οἱ κόλαβοι, ἤγουν οἱ πάσσαλοι, ὧν ἐξάπτονται αἱ χορδαί· παρὰ τὸ κεκολλῆσθαι.

Ζεῦγος, ἐκ τοῦ ζυγὸς, τὸ δὲ ζυγὸς, παρὰ τὸ δύο ἄγειν δυαγὸς, καὶ τροπῇ τοῦ δ εἰς ζ ζυαγὸς καὶ κράσει τοῦ υα εἰς ευ δίφθογγον ζεῦγος.

Ζῶ, ζῇς, ζῇ, ἀπὸ τοῦ ζάω, κατ' ἀποβολὴν τοῦ α, τὸ δὲ ζῇς. ζῇ ἀπὸ τοῦ ζάει, κατὰ κρᾶσιν Δωρικὴν τοῦ α καὶ ε εἰς η τραπέντος, ζῇς, ζῇ. ὅθεν καὶ ὁ παρατατικὸς ἔζαον ἔζων, ἔζαες ἔζης, ἔζαε ἔζη. καὶ λοιπὸν τὸ προστακτικὸν ζῆ.

Ζωάγρια, ἄποινα, τὰ ὑπὲρ τοῦ ζῆν διδόμενα. συντάσσεται μετὰ δοτικῆς.

Ζωγράφος, διὰ τὸ τὰ ζῶα μιμούμενος γράφειν καὶ εἰς τὸ ἱστοριογράφος.

Ζώδιον, ὅτι ζῶντος εἶδος φέρει.

Ζωὴ, ὥσπερ παρὰ τὸ ῥέω ῥοὴ, καὶ χέω χοὴ, οὕτω καὶ ἀπὸ τοῦ ζέω ζωὴ τροπῇ τοῦ ε εἰς ω. τὰ γοῦν παρὰ τὸ ζῶ συγκείμενα, τὴν αὐτὴν φυλάσσει γραφὴν, οἷον, ζωηφόρος, ζωοτόκος.

Ζωννύω, τὸ τῇ ζώνῃ δεσμῶ, ἢ ὁπλίζω τὸ περιεζωσμένον ἐκ τοῦ ζώου· βαρύνεται. εἰ γὰρ ἦν ἀπὸ τοῦ ζῶ ζήσω, οὐκ ὤφειλε προσλαμβάνειν τὸ σ. τὸ δὲ ζῶ ἐπὶ τῆς ζωῆς, ὁ μέλλων ζήσω. ἔχει δὲ τὸ ζωννύω παρὰ τὸ ζῶ συγγένειάν τινα, ἐπεὶ τὸ ζῆν αὐτῷ θερμασία, ὥσπερ καὶ κατὰ περίφρασιν, ἀλίβας λέγεται ὁ νεκρὸς, ὁ μὴ ἔχων λιβάδα, μήτε θερμότητα, ἀπὸ μεταφορᾶς τοῦ ζῆν, καὶ τὸ ζωννύω, ἐπειδὴ κατ' ἐκεῖνον τὸν τόπον ζωννύμεθα, ἐν ᾧ ἔστι τὸ τοῦ σώματος θερμὸν, ἤγουν ἡ καρδία. καὶ εἰς τὸ κεραννύς.

Ζώνη, τὸ τοῦ σώματος μέρος. εἴρηται παρὰ τὸ ζῶ, ἐν ᾧ μάλιστα ἔστι τὸ τοῦ ζῆν δεκτικὸν καὶ τὸ ζωτικὸν, καὶ τὸ περὶ αὐτὸν ὕφασμα.

Ζώνη, ὁμωνύμως ὡς καὶ θώραξ, τὸ μέρος τοῦ σώματος, καὶ τὸ περιτιθέμενον ὅπλον.

Ζωὴ, ἡ πρὸς τὸ ζῆν παρασκευὴ καὶ κτῆσις, ἢ ἡ πρὸς τὸ ζῆν φύουσα χορηγία.

Ζῶον, τὸ γενικὸν ὄνομα, παρὰ τὸ ζῶ, τὸ τοῦ ζῆν δεκτικὸν, τὸ ζῶον ἔχον ἢ ζέσιν ἔχον καὶ θερμότητα, πρὸς ἀντιδιαστολὴν τῶν μὴ ζώων. ὅθεν καὶ ζεστὸν ἄνθρωπον φαμὲν τὸν εὐκίνητον καὶ θερμόν.

Ζῶον, ἀπὸ τοῦ ζῶ ῥήματος γέγονε ζῶον, διὰ τὸ ἐκ ζωῆς ὄν.

Ζώοιν καὶ ζώοις εἰς τὸ ποιήσειας.

Ζωπυρεῖν, κυρίως τὸ τοὺς ἄνθρακας φυσᾶν, ὡς τὸ, τρισκατάρατε, ἀναζωπύρει τοὺς ἄνθρακας, Μένανδρος ἐν Ἀῤῥηφόρῳ.

Ζωπυρῆσαι, ἀναθάλψαι.

Ζωστὴρ ζώνης διαφέρει. ζωστὴρ μὲν γάρ ἐστι κυρίως ὁ ἀνδρεῖος, ζώνη δὲ ἡ γυναικεία. ζώνη δὲ σημαίνει δύο, τὸν περὶ τὸν γαστέρα τόπον, καὶ τὴν λεγομένην θωρακείαν ζώνην.

Ζωστὴρ, σημαίνει τρία, τὸ ἐπάνωθεν τοῦ θώρακος. λῦσε γὰρ ζωστῆρα παναίολον. ζῶμα δὲ αὐτὸς ὁ θώραξ. λέγεται δὲ καὶ ζῶμα τὸ περίζωμα.

Τέλος τοῦ Ζ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Η ΣΤΟΙΧΕΙΟΥ.

Ἤ, σύνδεσμος βεβαιωτικὸς, ἢ αἰτιολογικὸς, ἀντὶ τοῦ καθὸ παραλαμβανόμενον. καὶ εἰς τὸ ὀψιτέλεστον.

Ἦ, ἐπίῤῥημα ὁρκικὸν, ὅπερ καὶ διὰ διφθόγγου γράφεται. εἰ μὴν εὐλογῶν εὐλογήσω σε.

Ἦ, ψιλούμενον καὶ περισπώμενον δηλοῖ σύνδεσμον παραπληρωματικὸν, ἴσον τοῦ δὴ, ἐπεὶ ἦ πολὺ φέρτερος ἐσσί. ἔστι δὲ ἐπίῤῥημα βεβαιώσεως, ἀντὶ τοῦ οὕτως, ὡς τὸ, ἦ μάλα τέθνηκεν Μενοιτίου ἄλκιμος υἱός. καὶ ἀντὶ ἀποῤῥηματικοῦ τοῦ ἄρα. ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο. καὶ ῥῆμα ἴσον τοῦ ἔφη. ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.

Ἢ, ψιλούμενος σύνδεσμος καὶ ὀξυνόμενος σημαίνει τρία, ἢ διαζευκτικὸς, ἢ ὑποδιαζευκτικὸς, ἢ διασαφητικός. καὶ διαζευκτικὸς μέν ἐστιν ὁ διάφορα πράγματα τιθεὶς, καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει διαιρῶν. οἷον, δός μοι χρυσὸν, ἢ ἄργυρον, ἢ λίθους τιμίους. διασαφητικὸς δέ ἐστιν, ὅταν δύο προτεθέντων, τὸ ἓν αἱρεῖται, οἷον, κρείσσων ἐν γῇ πένεσθαι, ἢ πλουτοῦντα πλεῖν. καὶ θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον. ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης. πόσα σημαίνει τὸ ἤ; ἢ ἀντὶ τοῦ ἥτις, ἢ ἀντωνυμία καὶ ἀντὶ τοῦ ἐστι. πόσα σημαίνει ὁ ἢ σύνδεσμος; ἢ ἀντὶ τοῦ ἢ τόδε, ἢ ἀντὶ τοῦ καὶ, ἢ ἀντὶ τοῦ ἀλλὰ, ἢ ἀντὶ τοῦ ὑπάρχῃ, ἢ ἀντὶ τοῦ καθά. ἢ ἀντὶ τοῦ ἄρα· ἢ ἀντὶ τοῦ εἴπερ. ἢ ἀντὶ τοῦ ἔφη.

Ἧ, πολεμήτης ἦν αὐτοῖς, ἀντὶ τοῦ ὅπου τοπικὸν ἐπίῤῥημα. τὸ γὰρ ἦχι, κατ' ἔκτασιν τῆς χι συλλαβῆς.

Ἧα, ἤσθεν.

Ἠβαιὸς, ὁ μικρὸς, ἠβαιὸν ὄνομα οὐδέτερον, τὸ ἀρσενικὸν ἠβαιὸς, τὸ η ἦθα διάτι; ἐκ τοῦ ἥβη ἡ ἀκμὴ, ἠβαὸς, καὶ πλεονασμῷ τοῦ ι ἠβαιὸς, ὁ ἐπ' ὀλίγον χρόνον ἀκμάζων, καὶ μαραινόμενος πάλιν. καὶ εἰ ἐκ τοῦ ἥβη γίνεται, ὤφειλε λοιπὸν δασύνεσθαι. οὐκ ἔστι δὲ οὕτως. ἀλλὰ ἀπὸ τοῦ βῆναι γίνεται βαὸς καὶ πλεονασμῷ τοῦ ι βαιὸς, ὁ ἐπ' ὀλίγον χρόνον βεβηκὼς, καὶ πλεονασμῷ τοῦ η ἠβαιὸς, ὡς μύει ἠμύει, βαιὸν ἠβαιόν. καὶ ἄλλως· ἐκ τοῦ γράφεσθαι διφθόγγῳ, πλεονασμὸν εἶναι τοῦ η. λέγει γὰρ ὁ κανὼν, τὰ διὰ τοῦ αιος ὀξύτονα δισύλλαβα τριγενῆ, διὰ τῆς αι διφθόγγου γράφεται, οἷον, σκαιὸς, φαιὸς, λαιὸς, οὕτω καὶ βαιὸς, πλὴν τοῦ θεὸς, δῆλον ὅτι πλεονασμός ἐστι τοῦ ἦθα.

Ἠβαιὸς, παρὰ τὴν ἥβην, ἐπεὶ καὶ αὐτὴ ἀρξαμένη ταχέως παύεται. καὶ εἰς τὸ ἠθεῖος.

Ἥβη, ἡ θεὸς, μετὰ δέ σφισι πότνια Ἥβη. καὶ ἡ νεότης, καὶ γ' ἔχει ἥβης ἄνθος, καὶ ἀνδρότητα καὶ ἥβην, ἤδη τὶς οὖσα, ἤδει γὰρ ἡμᾶς, ὡς ἄνθος οὖσα,

καὶ μεταπτώσει τοῦ δ εἰς β Βοιωτικῶς. ἢ παρὰ τὸ ἅπτω ἀφὴ καὶ ἥβη, κατὰ τροπὴν τοῦ α καὶ τοῦ φ. πηρώδεις γὰρ οἱ ἡβῶντες, ἢ ἀφή τις οὖσα, τότε γὰρ ἅπτεσθαι καὶ ἔργου καὶ γυναικός. ἢ παρὰ τὸ ἡβαιὸν, ἡ ἐπ' ὀλίγον χρόνον οὖσα, ἀπὸ τοῦ βεβηκέναι ἄβη καὶ ἥβη.

Ἥβη, ἡ ἡλικία καὶ ἡ νεότης, καὶ ἡ ἀκμὴ Ἡσιόδος, καὶ ἡ τῆς γνώσεως ἀκμὴ, καὶ ὄνομα θεᾶς, καὶ τὸ τοῦ ἀνθρώπου μόριον. ἐκ τοῦ βῶ βῆ, καὶ πλεονασμῷ τοῦ η ἥβη. βῶ δὲ σημαίνει τὸ πορεύομαι.

Ἡβηδὸν, ἀθροὸν, ὅ ἐστι καθ' ἡλικίαν, ἢ κατὰ νεότητα, ἥβη γὰρ ἡ νεότης. τὸ δὲ ἥβη παρὰ τὸ βῶ τὸ βαίνω, ἡβῶ καὶ ἐξ αὐτοῦ ἥβη. συντάσσεται δοτικῇ.

Ἠγαθέῃ, θαυμαστῇ, ἐν Πύλῳ ἠγαθέῃ. παρὰ τὸ ἀγῶ περισπώμενον, ἀγάζω, ἀγαστὸς, καὶ ἄγαθος καὶ ἀγάθεος καὶ κατὰ τροπὴν ἠγάθεος, τὸ θηλυκὸν ἠγαθέη. ἢ παρὰ τὸ ἄγαν καὶ τὸ θεὸς, τὸ γὰρ ἄγαν ἀποβάλλει τὸ ν ἐν ταῖς συνθέσεσιν, Ἀγανίπη, Ἀγαμίδης, ἀγάστροφος, Ἀγαμέμνων καὶ ἠγάθεος, ὡς ἀνεμόεις ἠνεμόεις.

Ἠγάθεον, ἢ θαυμαστὸν, παρὰ τὸ ἄγαμαι ἀγάθεον καὶ ἠγάθεον. ἢ παρὰ τὸ ἄγαν καὶ τὴν θέαν, ὁ ἀξιοθέατος.

Ἠγάσατο, ἐθαύμασεν, ἐξεπλάγη, παρὰ τὸ ἄγαν ἀγάζω, ὡς λίαν λιάζω ἢ ἀγαίω, ὡς ῥῶ ῥαίω, κνῶ κναίω. ἀγέομαι οὖν ἠγάσμην, ἠγασάμην, ἠγάσσατο πλεονασμῷ τοῦ σ. διὰ τὸ μέτρον, ὡς ἀκῶ, ἠκεσάμην, ἠκέσσατο. δηλονότι τοῦ ι ἀποστάντος.

Ἡγεμόνεσσι, ἡγέμοσιν, ἐπὶ τῶν ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων, ἡνίκα λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ες, προσθέσει τῆς σι συλλαβῆς ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, παρὰ τοῖς Ἴωσι καὶ τοῖς ποιηταῖς, οἷον, Αἴαντες Αἰάντεσσι, γυναῖκες γυναίκεσσι. ἐπὶ δὲ τῶν οὐδετέρων, ἐπειδὴ οὐ λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ες, ἀπὸ τῶν γενικῶν τῶν ἑνικῶν γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν, κατὰ τροπὴν τοῦ ο εἰς ε, οἷον, στόματος, στομάτεσσι, δεπάος δεπάεσσι.

Ἡγεμονικὸς, ἐκ τοῦ ἡγεμὼν, ἡγεμόνος. τοῦτο ἐκ τοῦ ἄγω.

Ἡγεμὼν, ἄρχων, ταξίαρχος, παρὰ τὸ ἄγω, ἡγῶ, ἡγήσω, ἡγήμων καὶ ἡγεμών. κλίνεται δὲ ἡγεμόνος, συστέλλεται ὡς ῥηματικὸν, ἡγεμὼν ἡγεμόνος, κηδεμὼν κηδεμόνος ὁ φροντιστής. τὸ γε ψιλὸν διατί; τὰ διὰ τοῦ εμων ὀξύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον, κηδεμὼν, ἡγεμὼν, ἀκρέμων. καὶ εἰς τὸ βασιλεύς.

Ἠγερέθοντο, πόθεν γίνεται, ἀπὸ τοῦ ἐγέρθω, ὁ μέλλων ἐγέρσω, γίνεται ὁ παθητικὸς ἐνεστὼς ἐγέρθομαι, ὁ παρατατικὸς ἠγερθόμην. τὸ τρίτον τῶν πληθυντικῶν ἠγέρθοντο, καὶ προσθέσει τοῦ ε ἠγερέθοντο.

Ἤγερθεν, ἐγείρω, ἐγερῶ, ἤγερκα, ἤγερμαι, ἠγέρθην, ἠγέρθησαν τὸ τρίτον τῶν πληθυντικῶν καὶ ποιητικῶς ἤγερθεν.

Ἠγηλάζω, τὸ ἄγω καὶ ὁδηγῶ, Ὅμηρος. καὶ σὺ κακὸν μόρον ἠγηλάζεις. παρὰ τὸ ἄγω ἀγάγω καὶ ἀγηλάζω καὶ ἠγηλάζω.

Ἡγήσατο, ὁδηγὸς ἐγένετο. ὁμώνυμος ἡ λέξις. ὅτε γὰρ δηλοῖ τὸ προηγῆσθαι ὁδοῦ, δοτικῇ συντάσσεται. ὅτε δὲ τὸ ἄρχειν γενικῇ.

Ἥγισμαι, εἰς τὸ ἁγιστεία.

Ἡγῶμαι, Δωρικῶς ἀντὶ τοῦ ἡγοῦμαι.

Ἠγκιστρωμένοι, ἠγρευομένοι, παρὰ τὸ ἀγκιστρῶ. τοῦτο παρὰ τὸ ἄγχω, ἄγχιστρον καὶ ἄγκιστρον, τὸ ἄγχον τοὺς ἰχθύας, ἢ παρὰ τὸ ἄγω τὸ φέρω. σημαίνει δὲ τὸ ἐζωγρημένον.

Ἧγμαι, εἰς τὸ δυσκάθεκτον, καὶ παρεκτικός.

Ἠγορόωντο, εἰς τὸ ὤου.

Ἤγουν, εἰς τὸ τουτέστιν. γίνεται παρὰ τὸ ἢ σύνδεσμον.

Ἧδε δὲ οἱ, αὕτη δὲ αὐτῷ, καὶ περισπᾶται. ἔστι δὲ ἓν μέρος λόγου, ἐπειδὴ δείκνυται ἐκ τοῦ ἀρσενικοῦ, ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περί.

Ἤδη, ὃ σημαίνει τὸ πρῷ. δηλοῦσιν οἱ Δωριεῖς, διὰ τοῦ α λέγουσιν ἄδη.

Ἤιδη, παρὰ τὸ εἴδω τὸ γινώσκω, ὁ παρακείμενος εἶδα, ἄτρεπτος γὰρ ἡ ει δίφθογγος. εἶτα ἐκτάσει Ἀττικῇ τῆς ει διφθόγγου εἰς η, ἦδα, καὶ ὁ ὑπερσυντελικὸς ἤδειν, καὶ τροπῇ Δωρικῇ τῆς ει διφθόγγου εἰς η γίνεται ἤδην, ἤδης, ἤδη, ὡς πλείων πλήων.

Ἤιδει, ἠπίστατο. εἴδω τὸ γινώσκω καὶ ἐπίσταμαι, τὸ ει δίφθογγος. ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶδα, ὁ ὑπερσυντελικὸς ᾔδειν. καὶ οἱ Ἀττικοὶ τὸ ε τῶν παρῳχημένων εἰς η τρέπουσι, καὶ μένει τὸ ι προσγεγραμμένον. τὸ γὰρ ἐβουλόμην ἠβουλόμην λέγουσι. τὸ δὲ ἔθελον ἤθελον. οὕτως καὶ τὴν ει δίφθογγον ἔστρεψαν εἰς η. καὶ μένει τὸ ι προσγεγραμμένον. κἀγὼ οὐκ ᾔδειν αὐτόν. οἱ δὲ Ἴωνες διαλύουσι τὴν ει δίφθογγον, τὴν ἐν τῷ τέλει, ἐν μὲν τῷ πρώτῳ προσώπῳ εἰς ε καὶ α. ᾔδεα μὲν γὰρ ὅτι πρόφρων, καὶ ὅτι τρέπεται εἰς ε καὶ α, οἷον, ἐτετύφειν ἐτετύφεα, τοῦ ν ἀποβληθέντος. ἐπειδὴ τὸ α ἀποβλητικόν ἐστι τοῦ ν. οἷον, Ξέρξην Ξέρξεα, Πολυδεύκην, Πολυδεύκεα, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα, ἣν ἔα, ἧκε ζωσαμένη νοὸς ἔα. τὸ δὲ ἔτυψα ἔτυψαν ἀπὸ κλίσεως ἔχουσι τὸ ν, καὶ οὐκ ἔστι κατὰ πάθος, ὥσπερ καὶ ταῦτα. ἐν δὲ τῷ τρίτῳ προσώπῳ διαλύουσι τὴν ει δίφθογγον, εἰς δύο εε, οἷον, ἐτετύφειν, ἐτετύφεα, ἀρχόμενοι δὲ πάλιν οἱ Ἀθηναῖοι, κιρνῶσιν αὐτὸ εἰς η, οἷον, ᾔδη, ὃς ᾔδη τά τε ὄντα.

Ἤιδη, ἐκ τοῦ εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶδα καὶ οἶδα Αἰολικῶς, ὁ ὑπερσυντελικὸς εἴδειν, εἴδεις, εἴδει, κατὰ διάλυσιν εἴδει, τροπῇ τοῦ ε εἰς η, ᾔδει. ποιητικῶς γράφεται καὶ τὸ δεύτερον διὰ τοῦ η. κατὰ δὲ ἡμᾶς τὸ πρῶτον καὶ δίφθογγος καὶ η. τὸ δὲ δεύτερον καθόλου διὰ τῆς ει διφθόγγου.

Ἤδη, καὶ πρὸ τούτου, ἐπίῤῥημα χρόνου δηλωτικὸν, συντάσσεται μετὰ τριῶν χρόνων. τὸ γὰρ ἤδη ἰσοδυναμεῖ τῷ νῦν, συντάσσεται δὲ μετὰ ἐνεστῶτος, παρεληλυθότος καὶ μέλλοντος. σημαίνει δὲ τὸ ἤδη, ἀντὶ τοῦ τότε, ἐπειδὴ τὰ ἐπιῤῥήματα, μὴ διορίζοντα χρόνον, κοινὴν δὲ τάξιν ποιοῦντα, ἐπὶ παντὸς χρόνου παραλαμβάνονται. οἷον, νῦν φρονῶ, νῦν ἐφρόνησα, νῦν φρονήσω. ἤδη γράφω, ἤδη ἔγραψα, ἤδη γράψω.

Ἦιδον, σημαίνει τὸ ἔψαλλον. καὶ εἰς τὸ ᾄδω.

Ἠδολέσχησα, τὸ θέμα ἀδολεσχῶ, γίνεται δὲ παρὰ τὸ ᾄδειν, ὃ σημαίνει τὸ δαψιλῶς, καὶ τὸ λέσχη ὃ σημαίνει τὴν πολυλογίαν. πόσα σημαίνει; τέσσαρα. τὸ φιλοσοφῶ, ὡς τὸ ἠδολέσχησα ἐν τοῖς δικαιώμασί σου. τὸ φλυαρῶ, ὡς τὸ, τί ἀδολέσχεις ἄνθρωπε; τὸ πολυλογῶ, ὡς τὸ ἠδολέσχησα καὶ ὠλιγοψύχησα. καὶ τὸ παίζω, ὡς τὸ, ἐξῆλθον Ἰακὼβ ἀδολεσχῆσαι εἰς τὸ πεδίον. καὶ εἰς τὸ ἀδόλεσχος.

Ἡδίων, καὶ ἡδεῖα, ἀπὸ τοῦ ἡδύς.

Ἡδοναὶ, ἐπιθυμίαι. παρὰ τὸ ἥδεσθαι ἢ ἡδονὴ τινὲς ἡδονοῦσι, ὡς εἶναι ἄρθρον τὸ η, αὐτὸ δὲ εἶναι δονοῦσαν

καὶ κλονοῦσαν ἡμᾶς. οἱ δὲ ἡδονὴν μετὰ τοῦ η, ὅθεν ἡ ἡδονὴ ἄλλον ἄρθρον.

Ἡδρασμένος, κατὰ τροπὴν τοῦ ε εἰς η, ἀπὸ τοῦ ἑδράζω ἑδρασμένος.

Ἡδύ. τὸ γλυκὺ, ἐπίῤῥημα, ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν. ὥσπερ ἡδὺ εὐφραντικὸς τὸ ἀχρεῖον δ᾽ ἐγέλασε.

Ἡδύς. καὶ ἡδύ τι τὸ ψιθύρισμα, οὕτω Θεόκριτος.

Ἡδύς, παρὰ Πλάτωνι, ὁ εὐήθης καὶ ἔμφρων.

Ἡδύς, εἰς τὸ εἶδον καὶ λελυμασμένος.

Ἡδύοσμον. διὰ τὸ ἡδὺ τῆς ὀσμῆς.

Ἥδω. εἰς τὸ ἄδειν, καὶ ἀδολεσχία, καὶ ἀήσυλος, καὶ ἀειδής, καὶ ἥνδανε, καὶ ἥσυχος, καὶ μήδεια, καὶ τέλος.

Ἡδονά. ἱμάτια τὰ Θρακικά.

Ἠὲ καὶ ἠέων, εἰς τὸ κλαγγηδὸν.

Ἠὲ, διὰ παντὸς, οὐδέποτε γὰρ εὑρίσκεται σύνδεσμος εἰς τὴν αι δίφθογγον λήγων, πλὴν τοῦ καί. καὶ εἰς τὸ οὐκ ἦν.

Ἡδύ, τὸ γλυκὺ, οἷον, τὸ ἡδὺ τῆς ψαλμῳδίας. καὶ ἡδὺ τὸ ἔχον γῆν καλήν.

Ἧεια, εἰς τὸ ἠύς.

Ἧεις, εἰς τὸ εἷς.

Ἠέλιος, περιφραστικῶς ὁ ἥλιος, κατὰ πλεονασμὸν τοῦ ε ποιητικῶς.

Ἠέλιος, παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν λαμπηδόνα, ἕλιος, καὶ τροπῇ τοῦ ε εἰς η ἥλιος, ὅπερ ἐστὶ παρὰ τὸ ἔπω τὸ λέγω, ἐξ αὐτοῦ ἐπύω, καὶ τροπῇ τοῦ ε εἰς η ἠπύω τὸ φωνῶ, ἠπύτα κῆρυξ. ἢ παρὰ τὸ δῆλος, ὁ φανερὸς, δήλιος, ἀποβολῇ τοῦ δ ἥλιος, ὡς διώκω διωκὴ καὶ ἰωκή. καὶ δαίω τὸ μερίζω καὶ δαίσα, καὶ αἶσα, καὶ δαίμονα αἴμονα θήρης. ἢ παρὰ τὸ ἅλς, ἁλὸς, ἅλιος καὶ ἥλιος, ἀνιμᾶσθαι γάρ φησιν οἱ φυσικοὶ τὸν ἥλιον τῆς θαλάσσης τὸ ὕδωρ. καὶ γὰρ Ποσειδᾶν παρὰ τὴν πόσιν ἀναπίειν τῷ δάει, τουτέστι τῷ ἡλίῳ.

Ἦεν, ἀορίστου δευτέρου, προσώπου τρίτου τῶν ἑνικῶν, τὸ θέμα ἔω τὸ ὑπάρχω, ὁ μέσος παρακείμενος ἦα, καὶ ὁ β ἀόριστος ἦον, καὶ τὸ τρίτον ἦε. καὶ ἐπενθέσει τοῦ ν ἦεν, καὶ ἐν συναιρέσει τοῦ η καὶ ε εἰς αὐτὸ τὸ η γίνεται ἦν, καὶ μετάγει τὸ ν τῆς ἐπενθέσεως.

Ἠέριαι, ἐστὶν ἀὴρ ἀέρος, καὶ ἐξ αὐτοῦ ἀέριος καὶ ἀερία τὸ θηλυκὸν καὶ κατὰ Ἰωνικὴν τροπὴν τοῦ α εἰς η ἠερία. καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἠέριαι.

Ἠερέθονται, ἀποκρέμονται, ἠερεθίζονται, ἐκ τοῦ ἀείρω ὃ σημαίνει τὸ ἐπαίρω, καὶ ἐξ αὐτοῦ γίνεται ἀερέθω, καὶ τροπῇ τοῦ α εἰς η ἠερέθω. καὶ διατί οὐκ ἐστὶν ἀεράθω; ἔστι καὶ εἰς τὸ ἐγειρέθω.

Ἠέρι, εἰ μὲν ἀρσενικῶς, σημαίνει τὸν περικεχυμένον ἡμῖν ἀέρα, οὐ τὸν ἔκτοθεν ἀέρα. γίνεται οὖν παρὰ τὸ ἄω τὸ πνέω. ἢ τότ᾽ ἐν Ἴδῃ μακροτάτη πεφυκυῖα δι᾽ ἠέρος αἰθέρ᾽ ἵκανον. θηλυκῶς δὲ τὴν ἀορασίαν, ἀὴρ δὲ βάθος ἦν.

Ἠερία, ἡ ἀορασία, ἐστὶν ἀὴρ ἀέρος, καὶ ἐξ αὐτοῦ γίνεται ἀέριος. καὶ τὸ θηλυκὸν ἠερία κατὰ Ἰωνικὴν διάλεκτον. ἡ εὐθεῖα τῶν πληθυντικῶν ἠερίαι.

Ἠέρι, ἀέρι, ἠερίαι, ὄνομα γένους θηλυκοῦ, ἡ εὐθεῖα ἠερία παροξυτόνως. τὸ η ἦτα. ἐκ τοῦ ἀὴρ ἀέρος, ἀέριος. τὸ ρι ἰῶτα διατί; τὰ ἀπὸ τῶν εἰς ηρ ὑπὲρ μίαν συλλαβὴν, διὰ τοῦ ιος γινόμενα, διὰ τοῦ ι γράφεται. οἷον, συντακτὴρ, συντακτῆρος, συντακτήριος, ἀστὴρ, ἀστέρος, ἀστέριος, αἰθὴρ, αἰθέρος, αἰθέριος, ὀλετὴρ, ὀλετῆρος, ὀλετήριος, οὕτω καὶ ἀὴρ, ἀέρος, ἀέριος, καὶ τροπῇ τοῦ α εἰς η ἠέριος. πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ θὴρ, θηρὸς, θήριος. λοιπὸν γίνεται ἠέριος, καὶ τὸ θηλυκὸν ἠερία, παροξυτόνως, ἡ εὐθεῖα τῶν πληθυντικῶν ἠερίαι.

Ἤεσαν. εἶμι τὸ πορεύομαι, ὁ μέλλων εἴσω ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, καὶ οἱ Ἀττικοὶ τῶν παρῳχημένων εἰς η τρέπουσι. καὶ ὁ ὑπερσυντελικὸς ᾔειν, καὶ μένει τὸ ι προσγεγραμμένον. τὸ τρίτον τῶν πληθυντικῶν ᾔεισαν, καὶ ἐκβολῇ τοῦ ι ᾔεσαν.

Ἠεροφοίτης, ἀρσενικὸν ὁ ἐν τῷ ἀέρι φοιτῶν. παρὰ τὸ δι᾽ ἀέρος φοιτᾷν καὶ σκότους. καὶ τὸ θηλυκὸν ἠεροφοῖτις, ἡ ἀπροοράτως φοιτῶσα καὶ ἀπερχομένη, ὡς τιμωρὸς τῶν ἀδικημάτων. ἔστι δὲ καταχθονία δαίμων ἠεριννύς· οἷον, ἡ διερευνῶσα ἐν ταῖς πράξεσιν ἔργα.

Ἦθας, ὁ συνήθης καὶ συνεργὸς καὶ ἠθολόγος.

Ἠθεῖος, ἀδελφὸς, διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ θεὸς γέγονε θέϊος, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον θεῖος, καὶ κατὰ πλεονασμὸν τοῦ η ἠθεῖος. ἢ ἀπὸ τοῦ ἦθος γέγονεν ἠθεῖος. σημαίνει δὲ φρόνησιν νεωτέρου πρὸς παλαιότερον. καὶ τινὲς μὲν λέγουσιν, ὅτι πρὸς ἀδελφὸν μόνον λέγεται. ὥσπερ δηΐφοβος λέγεται πρὸς ἑκάτερον ἠθεῖος, μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς. οὐ καλῶς δὲ λέγουσι. εὑρίσκεται γὰρ καὶ μὴ πρὸς ἀδελφὸν λεγόμενον, ὥσπερ ὁ εὐμαῖος λόγος περὶ τοῦ Ὀδυσσέος. ἀλλά μιν ἠθεῖον καλέω καὶ νόσφιν ἐόντα. ἰστέον δὲ, ὅτι ὁ Ἀντίμαχος ἐχρήσατο ταύτῃ τῇ λέξει, μὴ ποιήσας τινὰ λέγοντα αὐτὴν, ἀλλ᾽ αὐτὸς ἐξ ἑαυτοῦ λεγόμενος ἐχρήσατο, λέγων, αὐτίκα δ᾽ ἠθείοισιν ἀναπτύσσων φάτο μῦθον. σημαίνει δὲ ἐνταῦθα τοῖς οἰκείοις φίλοις. ταῦτα δὲ λέγων παρὰ τὸν ἄνδρα σου.

Ἠθεῖε, προσφώνησις φιλοφρονητικὴ νεωτέρου ἀδελφοῦ πρὸς πρεσβύτερον κατὰ τιμήν. ἢ παρὰ τὸ θεῖος δεῖ αὐτὸν κανονίζειν, καὶ κατὰ πλεονασμὸν τοῦ η αὐτὸ γεγονέναι ἠθεῖος, πλεονάζει γὰρ τὸ η ἐν πολλαῖς λέξεσι, ὡς τὸ μύω ἠμύω, πεδανὸς ἠπεδανός. ἢ παρὰ τὸ ἔθος ἔθειος, ὡς τέλος τέλειος, ὄρος ὄρειος, ὄνειδος, ὀνείδειος, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ καταβιβασμῷ τοῦ τόνου ἠθεῖος. ἀναλογώτερον δέ ἐστιν ἐκ τοῦ θεῖος αὐτὸ κανονίζειν, ἤπερ ἐκ τοῦ ἔθος. ἐκ γὰρ τοῦ θεῖος καὶ ὁ αὐτὴ τάσις σώζεται, καὶ ὀλίγα πάθη δίδοται. ἐκ δὲ τοῦ ἔθος, καὶ ἀλλότριος ὁ τόνος, καὶ πολλὰ τὰ πάθη δίδοται.

Ἤθεος, ὁ ἄπειρος γάμου, ἢ νεώτερος ἐτῶν ιδ.

Ἦθος, σημαίνει τὸν τρόπον. γίνεται παρὰ τὸ ἔθος, κατ᾽ ἔκτασιν τοῦ ε εἰς η. ἢ ἀπὸ τοῦ ἵημι ἥσω. ἥσω γὰρ ἐγὼ ἀφ᾽ οὗ καὶ αἱ κατὰ μέρος ἐκπέμπονται πράξεις.

Ἠθικὰ, διότι εἰς ἤθη λέγεται ἀνθρώπου τουτέστιν οὐ θελικὰ κατορθώματα.

Ἤϊε ἐπορεύετο, ἐκ τοῦ εἶμι τὸ πορεύομαι, ὁ μέσος παρακείμενος εἶα, τὸ τρίτον εἶε, καὶ ἐν διαλύσει ἔϊε, καὶ τροπῇ τοῦ ε εἰς η ἤϊε. δύναται εἶναι καὶ παρατατικός· καὶ εἰς τὸ, ὁ δ᾽ ἤϊε.

Ἠϊόνα καὶ ἠόνα, αἰγιαλὸν ἢ ὄχθην. οὕτω γὰρ καλεῖται ὁ παραθαλάσσιος καὶ ὁδεύσιμος τόπος. παρὰ τὸ ἰέναι.

Ἠϊὼν, ὁ αἰγιαλὸς· ἤτοι ὅτι ἀκούομεν ἐκεῖ τῶν κυμάτων, ἀπὸ τοῦ ἰέναι ἀρασσομένων, οἷον, ἀϊόνα ἀντὶ τοῦ ἠόνα Δωρικῶς, παρὰ τὴν ἀπόρευτον θάλασσαν, μέχρι γὰρ αὐτοῦ ἵησιν ἡ θάλασσα. τάχα δὲ ἀπὸ τοῦ ἀοιᾶν λέγουσιν ἐπὶ τοῦ καταντλεῖν, ἀήονα εἰκότως. μέμνηται δὲ τοῦ ἀονᾶν καὶ Ἱπποκράτης καὶ εἰς τὸ αἱματόεσσα.

Ἤϊα, πολλοὺς θεοὺς γενόμενος. καὶ τὰ ἄλευρα. ἐν δὲ καὶ ἤϊα κωρύκῳ.

Ἤλλετο, ἄλλωμι τὸ πηδῶ, τὸ παθητικὸν ἄλλομαι, καὶ ὁ παρατατικὸς ἠλλόμην, ἤλλου ἤλλετο.

Ἧκες, σημαίνει τὸ ἦλθες, τὸ θέμα ἥκω, ὁ μέλλων ἥξω, ὁ παρατατικὸς ἧκον, ἧκες ἧκε.

Ἥκιστα, σημαίνει τὸ οὐδαμῶς, Ἡρόδοτος λέγει, ἐκ τοῦ ἦκα μάλα ψύξας γίνεται ἥκιστα κατὰ πλεονασμὸν τοῦ σ. οὐχ ἥκιστα δὲ ἀντὶ τοῦ λίαν καὶ πάνυ.

Ἡκέστας, ἀκεντρήστους, ἀδαμάστους, παρὰ τὸ κέντω κένσω, κεστὸς. ἄκεστος καὶ ἥκεστος, ἠκεστὴ καὶ ἠκέστας τοὺς ἀκεντήτους.

Ἠκηδίκσε, παρὰ τὸ ἀκηδιῶ. τοῦτο παρὰ τὸ ἀκηδιάζω. καὶ ἀκηδιῶ.

Ἥκιστα, λέγει Ἡρόδοτος ὅτι παραλόγως δασύνεται Ἀττικῶς. ἐκ τοῦ ἧσσω τὸ ἧττω, ἐκεῖνο γὰρ δασύνεται, ἧσσω ἥσιστα καὶ ἥκιστα. ὁ δὲ Ἡρόδοτος καθὼς εἶπε, ὅτι παραλόγως δασύνεται. γίνεται δὲ ἐκ τοῦ ἠρέμα. ἦκα μάλα ψύξασα, ἐκ τοῦ ἦκα ἥκιστα, καὶ μετὰ τῆς οὐ ἀρνήσεως οὐχ ἥκιστα, ἀντὶ τοῦ μάλιστα, δείκνυται γὰρ ἐκ τῆς συναλοιφῆς.

Ἠκρωτηριασμένος, ἐκ τοῦ ἄκρον καὶ τοῦ τηρῶ τὸ ἀποβάλλω καὶ τέμνω. οἱ τὰ ἄκρα τῶν μερῶν ἀποβάλλοντες.

Ἠκούτισαν, τὸ θέμα ἀκουτίζω, τὸ ἀκούειν ποιῶ ἄλλον τινὰ, κυρίως. πόθεν γίνεται; παρὰ τὸ ἀκουστός· τοῦτο παρὰ τὸ ἀκούω.

Ἠκαιρεῖσθε, κωλύεσθε. καιρὸν οὐκ ἔχετε.

Ἠκονημένα, παρὰ τὸ ἀκονῶ, ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων, τοῦτο παρὰ τὸ ἀκόνη, ἔστι δὲ λίθος, δι' οὗ ὀξύνεται ὁ σίδηρος. τοῦτο παρὰ τὸ κονῶ καὶ φθείρω καὶ λεπτύνω. τὸ φθείρω σημαίνει τὸ λεπτύνω τὸν σίδηρον.

Ἠλακάτη, τὸ τῶν γυναικῶν ἐργαλεῖον, εἰς ὅπερ εἱλίσσουσι τὸ ἔριον. παρὰ τὸ ἑλίσσειν, ἢ ἀπὸ τῆς εἱλήσεως τοῦ ἐρίου, ἢ καὶ ἀπ' αὐτοῦ τοῦ σκεύους. στέφεται γὰρ Ὅμηρος ἐπὶ μὲν τῶν ἐρίων ἠλακατοστρόφως ἁλιπόρφυρα θαῦμα ἰδέσθαι. ἐπὶ δὲ τοῦ σκεύους, ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶδος ἔχουσα. ἡ δὲ Ἄρτεμις χρυσηλάκατος οὐκ ἀπὸ τούτου, ἀλλ' ἀπὸ τῶν βελῶν καθ' ὁμοίωσιν ὄντων ἠλακάτῃ. ἢ ὅτι ἔστιν ἠλάκατον τῆς θεοῦ τὸ βέλος.

Ἠλακάτη, ἐκτάσει τοῦ ε εἰς η, εἰλῶ γὰρ εἷλας καὶ ἤλακα.

Ἠλλάξαντο, ἐκ τοῦ ἀλλόσσω. τοῦτο παρὰ τὸ ἄλσος.

Ἠλασκάζω, παρὰ τὸ ἀλῶ ἀλασκάζω καὶ ἠλασκάζω. σημαίνει δὲ τὸ διατρίβω καὶ πλανῶμαι.

Ἠλάσκουσι, πλανῶνται. παρὰ τὸ εἰλῶ ἐλάσκω καὶ ἠλάσκω, οἵτε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσι. ἤγουν τὸ ἐπὶ τοῦ αὐτοῦ τόπου εἰλῆσθαι.

Ἤλεγχον, εἰς τὸ εἰμί.

Ἠλέκτωρ, ὁ ἥλιος, ὅτι ἄληκτός ἐστι καὶ ἀκάμας· ἔνιοι δὲ ἀπὸ τῆς λαμπρότητος τοῦ ἠλέκτρου.

Ἠλέκτωρ καὶ ἀλέκτωρ, τὸ ζῶον. ἐτυμολογεῖται δὲ παρὰ τὸ λέκτρον καὶ τὸ ἐπιτατικὸν α, πολυοχευτον, τὸ α τὸ πολὺ σημαῖνον. οἱ δὲ ὅτι ἐκ τῶν λέκτρων ἡμᾶς ἐγείρων ἔστι. καὶ εἰς τὸ ἥλιος [1]).

Ἠλέκτωρ, ὁ ἥλιος, ἐπιθετικὸν, ὅτι ἀλέκτρους ἡμᾶς ποιεῖ ἀνισταμένους ἐκ τῆς κοίτης. ἢ ὅτι λαμπρός ἐστιν, παρὰ τὸ ἤλεκτρον.

Ἤλεκτρον, τὸ βερωνικόν. Ὅμηρος μετὰ δ' ἠλέκτροισιν ἔερτο, εἴρηται δὲ διακεχυμένον καὶ ὑγρὸν ὄν, ὁ περὶ τὰς τοῦ ἡλίου δυσμὰς πήγνυται, ἀλεκτρόν τι ὄν, ὅτε ἐπὶ λέκτρον ἡ ἠὼς ὁρμᾷ πήγνυται. ἢ παρὰ τὸ ἑλίσσω ἕλεκτρον καὶ ἤλεκτρον. κόσμῳ γὰρ εἰς περιδέρραια καὶ ὅρμους ἐχρῶντο περιελίσσοντες. ἢ παρὰ τὸ ἑλεῖν τὰ ἐκτὸς, ἢ παρὰ τοῦ Ἠλισίου κυρίου ὀνόματος ὠνομάσθη.

Ἤλεκτρον, ἀλλότυπον χρυσίον μεμαλαγμένον [2]) ὑέλῳ καὶ λιθίῳ.

Ἤλλετο, ἄλλωμι τὸ πηδῶ, τὸ παθητικὸν ἄλλομαι, καὶ ὁ παρατατικὸς ἠλλόμην, ἤλλου, ἤλλετο.

Ἠλεὸς, παρὰ τοῖς παλαιοῖς ὁ μάταιος, ἐντεῦθεν τὸ ἠλίθιον ὄνομα. παρὰ τοῖς πολιτικοῖς εἴρηται. σημαίνει δὲ τὸν ἠλίθιον ὄνομα τὸν ἀνόητον καὶ ἀναίσθητον.

Ἠλεὸς καὶ ἠλεής, ὁ ἄφρων. καὶ εἰς τὸ ἄλλω.

Ἠλεὸς, ὁ θερμὸς καὶ προπετὴς, παρὰ τὴν ἀλέαν.

Ἤλευθα, καὶ εἰς τὸ εἰλήλουθας.

Ἤλθοσαν, παρὰ τὸ ἐλεύθω, ὁ μέλλων ἐλεύσω. ὁ ἀόριστος ἤλευσα, ὁ δεύτερος ἀόριστος ἤλυθον καὶ ἐν συγκοπῇ ἦλθον· καὶ πῶς γίνεται ἤλθοσαν; οἱ γὰρ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύτονον ποιοῦσιν ἔνδειαν, ἐκοσμήθημεν, ἐκόσμησαν· καὶ Ὅμηρος, αὐτὰρ ἐπεὶ κόσμηθεν.

Ἡλιακὸν, διὰ τὸ ἐν τῷ ἡλίῳ κεῖσθαι.

Ἡλίας, ἡλίου, ὥσπερ κοχλίας κοχλίου. τὰ δὲ ἡλιοῦ ἀπὸ εὐθείας ἀκλίτου, οἷον, ἡλιοῦ ὡς περισπωμένως.

Ἠλίβατος, ὑψηλὴ πέτρα. ἀπὸ τοῦ ἐκεῖ πρῶτον ἐπιβαίνειν τὸν ἥλιον. τινὲς δὲ ἀντὶ τοῦ β τὸ φ γράφουσιν. ἠλίφατος. ἀπὸ τοῦ φωτίζειν τῆς ἀχλύος τὰ ὑψηλά. ἀλιόβατον δὲ Ἡλιόδωρος, ἀφ' οὗ ἔστιν ἀλυτεῖν βαίνοντας, ἢ διὰ τὸ ὕψος, ἢ διὰ τὴν τραχύτητα.

Ἠλεῖος, διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα, ἀπὸ τοῦ ἦλις, ἥλιος, ἠλίδειος, ἢ ἀποβολῇ τοῦ δ ἠλίειος, καὶ κράσει τοῦ ι καὶ ει διφθόγγου, εἰς τὴν ει δίφθογγον γίνεται ἠλεῖος. ὁ κανὼν, τὰ ἀπὸ εἰς ις διὰ τοῦ ειος γινόμενα παράγωγα, πρὸ μιᾶς ἔχοντα τὸν τόνον, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον, δηρὶς δηρεῖος.

Ἤλιθα, πολλὰ πάνυ, ἄγαν πολὺ, ἀπὸ τοῦ ἅλις γέγονεν, ὅ ἐστι δαψιλῶς, ἠλίθιον δὲ τὸν ἀλιταίνοντα, ὅ ἐστιν ἁμαρτάνοντα.

Ἠλίθιος, ὁ μάταιος, παρὰ τὴν ἅλα, ταύτης γὰρ τὸ ὕδωρ ἀχώριστον, οἷον, ἀλάθιος.

Ἠλίθιος σημαίνει τὸν ἀνόητον, γίνεται παρὰ τὸ ἄλιος ἀλίϊος, πλεονασμῷ τοῦ θ ἀλίθιος, καὶ ἠλίθιος, ὁ πάντα χύδην ποιῶν.

Ἤλιθα, πολλὰ, παρὰ τὸ ἅλις ὅ ἐστι δαψιλῶς ἢ ἀθρόως. ἠλίθιον δὲ τὸν ἀλιταίνοντα, ὅ ἐστιν ἁμαρτάνοντα, παρὰ τὸ ἅλις. ἄλιθα καὶ ἤλιθα, ὡς ἄπειρος ἤπειρος. καὶ ἀντὶ τοῦ ματαίως τάττεται, ἐπέχραον ἤλιθα χερσίν, ἀντὶ τοῦ ματαίως [3]).

Ἡλίσκοντο, ἐκ τοῦ ἁλίσκω τὸ κρατῶ.

Ἡλικιῶτις, θηλυκὸν ἡ ἡλικία. ἡλικιώτης ὁ τέλειος τῇ ἡλικίᾳ.

Ἡλισγημένα, ἐκ τοῦ ἀλισγῶ, ἀλισγήσω, σημαίνει δὲ τὰ μαγειρευμένα.

---

1) Cf. infra v. ἥλιος p. 241.

2) μεμαλαγμένον F. μεμιγμένον ut habet codex Kallii.

3) Vid. Barn. ad Od. XIX, 443.

Ἤλυθα, ἐπίῤῥημα ἀθροίσεως, σημαίνει δὲ καὶ τὸ ἀθρόως.

Ἥλιος, διὰ τὸ ἰέναι λίαν, ἤτοι πορεύεσθαι. οἱ γὰρ παλαιοὶ διὰ τὸ περιέρχεσθαι θεὸν αὐτὸν ἐκάλουν. ἤγουν ὁ τρέχων.

Ἥλιος, ἄλιος, παρὰ τὸ ἀλίζειν εἰς ταυτὸν τὰ μετέχοντα αὐτοῦ πάντα ἄλιος. ἢ παρὰ τὸ περὶ τὴν γῆν ἀεὶ ἠλᾶσθαι ἰών. ἢ ὅτι ποικίλλει ἰὼν τὰ γινόμενα ἐκ τῆς γῆς. ἢ ὅτι ἀολλῆσαι ποιεῖ πάντα τὰ ἐσκεδασμένα καὶ διαφόρως αὐτοῦ ἀπολαύοντα, ὅπερ ἐστὶ συνηθροισμένα, γινόμενα· ἥλιος, ἄλιος, ἀόλιος.

Ἥλιος, παρὰ τὸ ἐν ἁλὶ διατρίβειν, οἷον, ἅλιος, ἢ παρὰ τὸ σέλας, ὃ σημαίνει τὴν λαμπεδόνα, σέλιος καὶ ἀποβολῇ τοῦ σ καὶ τροπῇ τοῦ ε εἰς η ἥλιος. ἢ π[illegible] τὸ τὴν ἅλα ἀνιμᾶσθαι ἥλιος, ἢ ἀπὸ τοῦ ἀολλί[illegible]θαι ἡμᾶς ἐν ταῖς ἡμέραις· καὶ Ἀθήνησιν ἡλιαῖα δικασ[illegible]ιόν ἐστιν ἐκ τῆς συναγωγῆς τῶν ἀνθρώπων. οἱ δὲ ἀπὸ τοῦ ἀλιαίνειν, ὅ ἐστι θερμαίνειν καὶ διαχεῖν. τινὲς δὲ ἀπὸ τῆς γινομένης προσπνεύσεως ἐκ τοῦ στόματος ἡμῶν πρὸς τοὺς δακτύλους, ὃ λέγεται αὔειν καὶ ἄζειν, κατὰ μίμησιν τῆς φωνῆς τῆς θάλψεως τοῦ στόματος ἡμῶν. Ἐμπεδοκλῆς δὲ, ἀλλ' ὁ μὲν ἀλεῖσθαι μέγαν οὐρανὸν ἀμφιπολεύει. λέγεται δὲ καὶ ἠλέκτωρ, ὅτι ἄλεκτός ἐστι καὶ ἀκάμας. ἄλλοι δὲ ἀπὸ τῆς λαμπρότητος τοῦ ἠλέκτρου. οἱ δὲ ὅτι ἐκ τῶν λέκτρων ἡμᾶς ἐγείρει. ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς. τὸ δὲ ζῶον ἀλέκτωρ ἐτυμολογεῖται παρὰ τὸ λέκτρον καὶ τὸ α τὸ ἀθροιστικόν, πολύοχευτον γὰρ τὸ α τὸ πολὺ σημαίνοντα· ἀλλ' ἡ ἑτοιμότης σφαιρική ἐστι.

Ἥλιος, ἡ ἕως λίαν, διὰ τὸ ἵεσθαι τὸ ἕως, ἤγουν φέρειν τὸ φῶς. ἕως γὰρ ἡ ἀνατολή. ἢ διὰ τὸ ἐξ αὐτοῦ ἐκ[illegible]ιέσθαι τὸ ἕως, ἤγουν τὸ φῶς.

Ἥλιος, ἢ διὰ τὸ εἰλῆσθαι τῷ δρόμῳ, ἢ διὰ τὸ ἵεσθαι εἴρηται. διάτι δασύνεται; τὸ η πρὸ τοῦ λ ψιλοῦται, πλὴν τοῦ ἥλιος. τὸ λι [illegible] ἰῶτα διάτι; τὰ διὰ τοῦ ιος ὀνόματα, τῇ λι ἢ τῇ ρι συλλαβῇ παραληγόμενα, μὴ σημαίνοντα μέρος σωματικὸν εἴτε μετουσιαστικὸν, μήτε κτητικὰ ὑπάρχοντα, διὰ τοῦ ι γράφεται. ἄλιος, ἥλιος, πύλιος, δόλιος. σημαίνει δὲ δύο ὀνόματα κύρια, βασιλέα Φρυγῶν καὶ τὸν Φαεινῆ.

Ἥλιος, καὶ ὑπὸ τῶν ποιητῶν ἠέλιος, παρὰ τὴν ἅλαν ἅλιος καὶ ἥλιος. ἔστι γὰρ κατὰ Ζήνωνα τὸν Στωϊκὸν ἄναμμα τὸν ἐκ τοῦ ψαλάσσης. ἢ παρὰ τὸ ἅλις, ἅλιος καὶ ἥλιος, ἐπεὶ πρὸς πάντα ἱκανῶς καὶ ἁρμοδίως ἔχει. ἢ παρὰ τὸ ἄλεος, [illegible] ἢ τὸ ἀληθὲς καὶ συνηθροισμένον πῦρ. λέγει γὰρ καὶ Ἐμπεδοκλῆς, ἀλλ' ὁ μὲν ἀλισθεὶς μέσον οὐρανὸν ἀμφιπολεύει.

Ἡλικόν, μέγα τηλίκον.

Ἡλισμένους, μεμολυσμένους.

Ἧλιξ, ἡ ἡλικιῶτις τέλειος.

Ἡλισσία, ἐδειλίου.

Ἡλέμυια, ὁ φάρμακος.

Ἠλυσίων πεδίων ἐκόμισαν τὰ λήϊα, παρὰ τὸ ἄλυτα τηρεῖν τὰ σώματα. ἢ ἠλύσιον τὸ καθαρὸν ἀπὸ ἁμαρτίας. ἢ ἀπὸ Ἠλυσίου τινός.

Ἠλυσίων, ἡ μακάρων νῆσος. εἴρηται δὲ ἐν νήσῳ τὸ ἠλύσιον, ὅπου διαλύ[illegible] αἱ ψυχαὶ τῶν σωμάτων. ἢ ἠλύσιον, ὅθεν οὐκ ἀ[illegible]νοι τις. ἢ ἀπολύουσι κολάσεως. λέγεται δὲ Ἠλύσιον καὶ ἱερὸν πεδίον Ῥόδων. οἱ δὲ περὶ Αἴγυπτον ἢ Λέσβον.

Ἠλύσιον πεδίον, ἐπλάσατο τοῦτο ὁ Ὅμηρος. μήποτε ἀθανατοποιόν ἐστι, ἐπεὶ οὐ διαλύει τὰ σώματα. ἐγὼ δὲ ὑπονοῶ, ὅτι οὐκ εἶδεν Ὅμηρος, ἀθανατοποιὸν, ἀλλὰ ἡδεῖαν παρέχον ζωήν. οὐ γὰρ λέγει ὁ Πρωτεὺς τῷ Μενελάῳ, ὅτι οὐχ ἥμαρταί σοι ἀποθανεῖν ἐν τῷ καθόλου, ἀλλ' ὅτι ἐν Ἄργει οὐ πέπρωται ἀποθανεῖν σε. ὁ δὲ τοῦτο λέγων, οὐ λέγει ὅτι ἀθάνατος εἴη, ἀλλ' ὅτι ἐν ἑτέρῳ τόπῳ. σοὶ δ' οὐ θέσφατόν ἐστι διοτρεφὲς ὦ Μενέλαε, Ἄργει ἐν ἱπποβότῳ θάνατον καὶ πότμον ἐπισπεῖν, ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς[1]) ὅπου ἀποθάνῃ. οὔτε γὰρ τὸν Ῥαδάμανθυν ἀθάνατόν τις ἡμῖν παρέδωκεν, οὔτε τὸν τούτου ἀδελφὸν Μίνωα.

Ἠλύσιον πεδίον, τὸ τῶν ἡρώων ἐνδιαίτημα, κεκλημένον ἀπὸ Ἠλυσίου τοῦ Ἐλευθῆρος εὐσεβεστάτου γινομένου, ἢ παρὰ τὰ ἄλυτα μένειν ἐν αὐτῷ τὰ σώματα, ὁ δὲ τόπος ἐν ταῖς καλουμέναις μακάρων νήσοις.

Ἤλως, εἰς τὸ ἄλλως.

Ἠλίφατος, εἰς τὸ ἠλίβατος.

Ἠλλοιώμενος, παρὰ τὸ ἀλλοιῶ, τοῦτο παρὰ τὸ ἄλλος καὶ τὸ οἷος γίνεται ἀλλοῖος, καὶ ἐξ αὐτοῦ ἀλλοιῶ, ἀλλοιώσω, ἀλλοίωσις, σημαίνει δὲ τὴν ἐναλλαγήν.

Ἧλος, παρὰ τὸ ἵημι, ἥσω, ἧλος, ὁ διαπεμπόμενος.

Ἧλος, ἐκ τοῦ ἄλλω. ἢ παρὰ τὸ ἠλᾶσθαι καὶ πορεύεσθαι.

Ἧλτο, εἰς τὸ ἆλτο.

Ἦλις, πόλις ἐν Ἀρκαδίᾳ τῆς Πελοποννήσου.

Ἠλιτόμηνος, ὁ Διόνυσος. σημαίνει δὲ τὸ ἑπταμηνιαῖον γεννηθὲν παιδίον. Καλλίμαχος. τὴν οὐκ ἔπλησε μητὴρ φέρουσα οὓς ὤδινε μῆνας. Ὅμηρος, ἐκ δ' ἄγαγε προφόως δὲ καὶ ἠλιτόμηνον ἐόντα. παρὰ τὸ ἄλιτος ἀλιτόμηνος, ὡς παρὰ τὸ ποιητὴς ποιητοῦ, διδάσκαλος διδασκάλου. σημαίνει δὲ τὴν τῶν κακῶν λύσιν.

Ἠμαθίων, Ἠοῦς υἱὸς, Μέμνονος ἀδελφὸς, μήπω τ' οὖν ὑποκοριστικῶς ἀπὸ τῆς ἡμέρας, ἡμερίων, ἡματίων καὶ ἠμαθίων.

Ἧμαι, εἰς τὸ καθίσαι.

Ἦμα καὶ ἦμαρ ψιλοῦται. τὰ γὰρ εἰς ος δισύλλαβα, εἰ μὲν ἀπὸ φύσει μακρᾶς ἄρχονται, ψιλοῦται, αἶσχος, εὖρος, εὖχος, οὕτως οὖν καὶ τὸ ἦμος καὶ ἦμαρ καὶ ἦμα.

Ἦμαρ, εἰς τὸ ἡμέρα, καὶ αὐτῆμαρ καὶ ἤματα.

Ἥμαρτον, ἀπέτυχον ἀγαθῶν.

Ἡμάρτησαν, τὸ τρίτον τῶν πληθυντικῶν ἥμαρτον. καὶ οἱ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύτονον, εἰς σαν ποιοῦσι τὸ πληθυντικόν.

Ἥμβροτες, βροτῷ ἀπέτυχες.

Ἡμέρα, παρὰ το ἵημι τὸ πέμπω, ἡ ἐκπέμπουσα ἡμᾶς πρὸς πάντα, καὶ δασύνεται, ἦμαρ δὲ ψιλοῦται, ἐπειδὴ τὰ ἀπὸ δασέος σχηματιζόμενα ψιλοῦνται, οἷον, ἦθος, ἦμαρ, ἦμος. ἢ οὕτω, τὰ εἰς ος λήγοντα δισύλλαβα. εἴρηται εἰς τὸ ἦμα.

Ἡμέρα, διὰ τοῦ η, ἀμέρα ἡμέρα, ὡς ἄλεκτρον ἤλεκτρον, τριβόμενον γὰρ ἁρπάζει τὰ πελάζοντα φρύγανα, ἢ παρὰ τὸν ἥλιον, ὃς ἠλέκτωρ ὀνομάζεται τὸ τοῦ ἡλίου. φασὶ γὰρ αὐτὸ δάκρυον εἶναι τῶν ἡλιάδων, ὅπερ ἐπὶ τῷ Φαέθοντος οἴκτῳ στάζουσι. ἢ ὅτι ἡλιαυγής ἐστιν ἢ

---

1) Od. IV, 561 sqq.

ἡμέρα. ἡ οὕτως καλουμένη παρὰ τὸ ἡμέρα ποιεῖν τὰ ζῶα. Δωριεῖς γὰρ ἁμέρα φησίν.

Ἡμέρα καὶ ἠὼς διαφέρει. ἡμέρα μὲν γάρ ἐστιν ἡ ὑπὸ ἡλίου φαῦσις. ἠὼς δὲ ἡ μετὰ τὸν ἥλιον.

Ἡμεδαπός, ἴδιος, ἐγχώριος, ἀπὸ τῆς ἡμετέρας χώρας. δάπεδον γὰρ τὸ ἔδαφος. οὕτω καὶ ἡμεδαπὸς ὁ ἀπὸ ἡμετέρας χώρας, δευτέρου προσώπου.

Ἡμερινός, πυρετὸς ὁ καθ' ἡμέραν, ἐξ οὗ καὶ ἀφημερινός.

Ἡμερίς, ἡ ἀναδενδρὰς, ὅτι ἄγει τὶς αὐτὸ ὅπη ἑλκύσει ἥμερον οὖσαν καὶ οὐκ ἀντισπῶσαν. μηδέπω δὲ τῆς τομῆς εὑρεθείσης αὐταῖς ἥρπαζον αἱ ἄμπελοι, ἀγρίους καρποὺς φέρουσαι, ὡς δὲ εὑρέθη καὶ ἐθήραντο. ἥμερον καὶ τὸν καρπὸν καὶ τὴν ὄψιν ἔσχον.

Ἧμην, ὑπῆρχον, ἐκ τοῦ ἕω τὸ ὑπάρχω. τὸ παθητικὸν ἕομαι μονῇ τῇ φωνῇ, τῇ δὲ σημασίᾳ ἀπέλειψε. ὁ παρατατικὸς ἠόμην καὶ συγκοπῇ ἤμην.

Ἡμεῖς, διὰ τῆς ει διφθόγγου. ἄμες γὰρ λέγουσιν οἱ Δωριεῖς, καὶ ἄμμες οἱ Αἰολεῖς. καὶ ἡμεῖς τὸ πρῶτον αὐτῶν εἰς η τρέπομεν.

Ἦ μην, οὕτως δὴ ἀληθῶς, τὸ η σύνδεσμος βεβαιωτικὸς, τὸ μὴν σύνδεσμος παραπληρωματικός. τί διαφέρει ὁ ἐναντιωματικὸς τοῦ παραπληρωματικοῦ; ὅτι ὁ μὲν παραπληρωματικὸς ἐπιφέρεται σύμφωνον καὶ φωνῆεν, ὁ δὲ ἐναντιωματικὸς οὐδέποτε ἐπιφέρεται φωνῆεν.

Ἡμί, ῥῆμα χρόνου ἀορίστου δευτέρου, συζυγίας δευτέρας τῶν εἰς μι. γίνεται δὲ ἐκ τοῦ φημί. ὁ μέλλων ἥσω. ὁ β ἀόριστος ἦν.

Ἡμῖν, πρωτότυπος ἀντωνυμία. αἱ ἀντωνυμίαι ἡνίκα ὁρισμὸν δηλοῦσι, μένουσιν ἐν τῷ αὐτῷ τόνῳ· ἡμῖν μὲν τόδ' ἔφηνε, καὶ ἡμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι. ὅτε δὲ ἀπόλυτον ἔχουσι τὸ σημαινόμενον ἐγκλίνονται. ἠδ' ἡμῖν δοκέει τόδε λωΐτερον, σὺν δ' ἡμῖν ταράξει, ὄφρ' ἡμῖν ἑκάεργος.

Ἡμῖν, διὰ τοῦ ι, ἄμμες γὰρ λέγουσιν οἱ Αἰολεῖς βαρύνοντες καὶ συστέλλοντες τὸ ι. καὶ ἧμιν λέγουσιν Ἴωνες προπερισπῶντες. καὶ ἄμμιν λέγουσιν οἱ Δωριεῖς. κατὰ τροπὴν τοῦ α εἰς η. ὡς ἅλιος ἥλιος, καὶ κάπος κῆπος.

Ἡμιν, ἥτις αὐτὸν ἢ ἡμῖν. τὸ δὲ ἡμῖν πρὸ μιᾶς τὸν τόνον καὶ ἐγκλίνονται. ἡ γὰρ ἔγκλισις ἢ τῇ προηγουμένῃ συλλαβῇ, ὅταν ἔστιν ἡ λέξις ἢ μονοσύλλαβος ἢ δισύλλαβος βραχυκατάληκτος, οἷον, εἰμὶ καὶ ἔστιν ἄνθρωπος [1]. ἄνθρωπος ἔστι φημὶ πεζὸς δ' ἕνδεκά φημι, μονοσύλλαβος δὲ ὡς τὸ, ἤκουσέ μου, ὅταν δὲ ἡ λέξις σπονδειακὴ, τότε τῇ προηγουμένῃ συλλαβῇ ἀναδίδωσι τὸν τόνον. ἐλάλησεν ἡμῖν, ἤκουσεν ἡμῶν, ἔτυψεν ἡμᾶς. ἐγκλινόμεναι δὲ λέξεις εὑρίσκονται ἐν μὲν ὀνόματι τὸ τὶς, οὐ τὸ ἐρωτηματικὸν, ἀλλὰ τὸ ἀνταποδοτικὸν, οἷον, ἄνθρωπός τις, καὶ τοῦτο πᾶσαι πτώσεις καὶ τὰ ὅλα γένη. ἐν δὲ ῥήμασι τὰ ὀξυνόμενα, οἷον, τὸ φημὶ, ἐσὶ, ἐστὶ, ἐσμὲν, ἐστὲ, εἰσὶ, φαμὲν, φατὲ, φασίν. ἐν δὲ ἀντωνυμίᾳ τοῦ πρώτου προσώπου τοῦ πρωτοτύπου, ἀποβάλλοντες τὸ κατ' ἀρχὴν φωνῆεν ἤγουν τὸ ε καὶ τοῦ δευτέρου καὶ τρίτου. ἐν δὲ ἐπιῤῥήμασι τὰ τῶν πυσματικῶν ἀποδοτικὰ, οἷον, πῶς ἦλθες, ἦλθες πῶς, πόθι ἥκεις, αἴκεν πόθι, ποῦ ἀπέρχῃ, ἐάν που, πότε, εἴποτε. ἐν δὲ συνδέσμοις, ὁ τε καὶ ὁ κεν συμπλεκτικὸς, καὶ ὁ ῥα καὶ ὁ νυ, καὶ ὁ που, καὶ ὁ τοὶ, καὶ ὁ θην, καὶ ὁ ἄρ, καὶ ὁ περ, καὶ ὁ πω παραπληρωματικός. γίνεται δὲ καὶ ἔγκλισις οὕτως, ἐὰν μὲν προηγουμένη συλλαβὴ ὀξύτονος ἢ περισπώμενος, ὀξύτονος καὶ ὁ περισπώμενος τόνος φυλάττεται. μόνου τοῦ ἐγκλιτικοῦ μορίου μὴ ἐπιδεχομένου. θεός μου, βασιλεύς μου, Κοσμᾶς ἐστι. Θωμᾶς ἐστι. καλός ἐστι [2]. εἰ δέ ἐστιν ἡ λέξις προπαροξύτονος. τότε ἐπιπίπτουσι δύο τόνοι εἰς τὴν λέξιν, εἷς μὲν ὁ κύριος τόνος, ἕτερος δὲ ὁ τῆς ἐγκλίσεως. τὸ πλεῖστον δὲ διάστασις τοῦ τόνου εὑρίσκεται, οἷον, Γρηγόριός ἐστι, ἄνθρωπός ἐστι. εἰ δὲ ἡ λέξις πρὸ μιᾶς ἔχουσα τὸν τόνον, οἷον πυῤῥιχιαϊκή. οὐκ ἐγείρει τὸν τόνον. ἀλλὰ φυλάττεται ἰδίως ὁ τῆς προηγουμένης λέξεως. καὶ ἰδίως ὁ τοῦ ἐγκλιτικοῦ μορίου, οἷον, τόνος ἐστὶ, κόπος φημὶ, ὅτε ἐστὶ δισύλλαβον τὸ ἐγκλιτικὸν μόριον. εἰ δὲ μονοσύλλαβον. μόνος φυλάττεται ὁ κύριος τόνος, οἷον, ὁ τόπος μου. εἰ δέ ἐστι τροχαϊκὴ, εἰ μὲν περισπᾶται ἡ λέξις φυλάττεται ἡ περισπωμένη ἐν τῷ ἰδίῳ τόπῳ, καὶ ἐγείρει ἐν τῇ ἐπαγομένῃ συλλαβῇ ὀξεῖαν, οἷον, κῆπος μοὺ, δῆμος μοὺ, εἰ δὲ προπαροξύτονον, γίνονται δύο ὀξεῖαι, ἄνδρά μοι ἔννεπε, δόξα μου γένεσθαί τε. εἰ δὲ σπονδειακὴ ᾖ. ἢ ἰαμβικὴ ἡ λέξις, οὐκ ἐγκλίνει ἐν τοῖς δισυλλάβοις, οἷον, ἥρως ἐστὶ, Σόλων εἰμὶ, ἐν δὲ τοῖς μονοσυλλάβοις φυλάττεται μόνως ὁ κύριος τόνος, οἷον, λέων μοι ἐλάλησε, φύλλοις τε κατάκομος.

Ἥμισυ, παρὰ τὸ ἅμα ἴσον τῷ ἄλλῳ.

Ἥμισυς, παρὰ τὸ ἅμα καὶ τὸ ἴσος ἁμαΐσος, καὶ ἐν συγκοπῇ ἅμισος, καὶ τροπῇ τοῦ α εἰς η ἥμισος καὶ ἥμισυς κατὰ τροπὴν τοῦ ι εἰς υ. ἥμισυς γὰρ ἐτυμολογεῖται δὲ παρὰ τὸ μετέχειν τοῦ ἴσου.

Ἥμονες, οἱ ἀκοντισταὶ καὶ ῥήτορες καὶ ὀρχισταὶ, τὸ θέμα ἡμῶ, παρὰ τὸν ἡμήσω μέλλοντα. οὕτως Ἡρωδιανὸς ἐν τῷ καθόλου.

Ἡμιθνῆτες, παραπλῆγες καὶ γυμνῆτες, ἐκ τοῦ ἥμισυ καὶ τοῦ θνήσκω καὶ ἡμίθνητος καὶ ἡμιθανής.

Ἡμίονος, ἐκ τοῦ ἥμισυ καὶ τοῦ ὄνος. τὸ ἥμισυ παρὰ τὸ ἅμα ἴσον εἶναι, τὸ δὲ ὄνος παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ.

Ἡμυνάμην αὐτοὺς, ἀντὶ τοῦ ἐτιμωρησάμην αὐτούς· γίνεται παρὰ τὸ ἀμύνω. πάλιν σημαίνει ἀμύνω τρία, τὸ βοηθῶ καὶ Ὅμηρος· Αἰνεία νῦν σε μάλα χρὴ γαμβρῷ ἀμυνέμεν. καὶ τὸ ἀπείργω καὶ ἀποσοβῶ, ὡς τὸ ἀεὶ παραβέβλωκε, καὶ αὐτῷ κῆρ ἀμύνει, καὶ τὸ τιμωρῶ, ὡς τὸ ἐν Ὀδυσσείᾳ φησὶν Ὅμηρος· ἀμυναίμην Σκύλλην τε πετραίην.

Ἦμος, ὁ πηνικός. ὅτε ἡνίκα ἐπίῤῥημα χρόνου δηλωτικόν.

Ἡμερόκοιτος, ὁ λῃστὴς, ὁ ἐν τῇ ἡμέρᾳ κοιμώμενος.

Ἠθμὸς, ἐργαλεῖον διατετρυπημένον πολλαῖς τρύπαις, δι' οὗ τὰ ὑγρὰ εἰώθασι διακρίνειν τῶν παχυτέρων.

Ἡμεροδρόμοι, οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονοῦντες μανδάτορες.

Ἡμισφαίριον, ἡμικύκλιον.

Ἡμιόλιον, τὸ ἥμισυ τοῦ ὅλου.

Ἡμεῖραξ, ὁ παῖς.

Ἡμιφάριον, ἥμισυ ἱμάτιον.

Ἡμοιρηκὼς, ἀποτυχὼν καὶ μὴ μετέχων.

---

1) Corrupta hic plurima. 2) καλός. Sic lineola superinducta. i. e. signum nominis proprii.

Ἦν καὶ ἔην ῥῆμα ἀορίστου δευτέρου. ἔστιν ἔω τὸ ὑπάρχω, ὁ μέλλων ἔσω. ἦον ὁ παρατατικὸς, ἦες ἦε, καὶ κράσει ἦν. καὶ πλεονασμῷ τοῦ ε ποιητικῶς ἔην. καὶ ἔστι τρίτου προσώπου τῶν ἑνικῶν, καὶ πλεονασμῷ τοῦ ε εἴην, τρίτου προσώπου. ὡς δ' ὅταν ἀΐξει νόος ἀνέρος [1]) ὥστ' ἐπὶ πολὺ γαῖαν εἰληλούθεις, φρεσὶ πευκαλίμησι νοήσει. ἔνθ' εἴη ἢ ἔνθα μενοινήσει ἔτεα πολλά.

Ἦν, πόθεν γίνεται; ἀπὸ τοῦ ἔω, ἔεις, ἔει. ἔστι καὶ εἰς τὸν παρατατικὸν ἦον, ἦες, ἦε, καὶ τροπῇ τοῦ η καὶ τοῦ ε, εἰς ἐκεῖνο αὐτὸ τὸ η γέγονεν ἦν. ἐπειδὴ τὸ λῆγον τὸ ἔλαττον ἀναλίσκει. καὶ ἄλλως. ἔστι ῥῆμα ἔω, καὶ ὁ παρατατικὸς ἦον, ἦες, ἦε, καὶ ἐπειδὴ τὸ ε ἐφελκυστικόν ἐστι τοῦ ν, ὡς ἀνώτερον εἴρηται, γίνεται ἦεν, τοῦ κατὰ τὴν κρᾶσιν τοῦ η, καὶ ε εἰς η ὥσπερ τῇ ἐμῇ τήμῃ, ἀποτελεῖται τὸ ἦν.

Ἥνδανεν, ἤρεσκεν, δασύνεται, παρὰ τὸ ἥδω τὸ ἀρέσκω, ἡδάνω καὶ ἁνδάνω, ὡς πήθω πανθάνω, μήθω μανθάνω, λήβω λαμβάνω, καὶ ἐγένετο ἡ φύσει μακρὰ θέσει.

Ἥνδανον, ἤρεσκον, παρὰ τὸ ἥδω, ἡδάνω καὶ ἁνδάνω.

Ἡνίσω, παρὰ τὸν ἥσω μέλλοντα, ἢ παρὰ τὸ ἑνῶ δασυνόμενον. ἑνοῦται γὰρ δι' αὐτῶν τὰ ὑποζύγια. τινὲς δὲ καὶ ἐκ τοῦ ἐνίεσθαι, καθ' ὑπέρθεσιν τοῦ πνεύματος.

Ἤνεγκεν, ἤγαγεν, ἐκ τοῦ ἐνέκω, ἐνέξω, ἤνεκα ὁ ἀόριστος, καὶ πλεονασμῷ τοῦ ν, καὶ τροπῇ πάλιν τοῦ ν εἰς γ ἤνεγκα. μὴ ἔχοντα χαρακτηριστικὸν σύμφωνον τοῦ μέλλοντος, καὶ ἴσως κατ' ἀντιπάθειαν τοῦ ἔπεσον καὶ ἔχεσον, ἐχόντων τὸ σ χαρακτηριστικὸν τοῦ ἀορίστου.

Ἠνεσχέθην, πόθεν λέγομεν ἐκ συνηθείας; φαμὲν ἀπὸ τοῦ σχῶ, σχήσω, ἔσχηκα, ἔσχημαι, ἐσχέθην. εἶτα προσῆλθεν ἡ ἀνὰ πρόθεσις καὶ ἐγένετο [2]· καὶ ἐκτάσει κατὰ Ἀθηναίους ἠνεσχέθην· καὶ οὐδὲν ξένον εἶ.

Ἠνήνατο, εἰς τὸ ἀπηνήνατο.

Ἡνία, εἰς τὸ ἐξήνιον, καὶ ἥνιον καὶ πειθήνιος.

Ἡνία, τὰ λῶρα, οἱ χαλινοὶ, παρὰ τὸ ἐνεῖσθαι, ἐπὶ ἑνώσει τῶν ὑποζυγίων. καὶ εἰς τὸ ἀπηνὴς καὶ ἀφηνιῶ.

Ἡνίκα, ἐπίῤῥημα ἀναφορικὸν, καὶ εἰς τὸ πηνίκα.

Ἠνιξάμην, αἰνιγματωδῶς εἶπον. ἐκ τοῦ αἰνίσσω, αἰνίξω, ἤνιξα καὶ ἠνιξάμην.

Ἡνίον, τὸ λωρίον, ὁ χαλινὸς, γίνεται ἐκ τοῦ ἀνύω, ἄνυον καὶ τροπῇ ἥνιον. διὰ γὰρ τῶν λώρων τῶν ἵππων ἀνύομεν τὰς ὁδούς.

Ἡνιόχος, ὁ ἐπιβάτης τοῦ ἅρματος ἢ τοῦ ἵππου, καὶ ὁ δεσπότης, παρὰ τὸ ἥνια ἔχειν, ἤγουν τὰ λῶρα κρατεῖν.

Ἠνίπαπεν, ἤβρισεν παρακείμενος. ἔστι γὰρ ὁ ἐνεργητικὸς ἐνίπτω, τὸ ἐπιπλήσσω, τοῦτο ἐκ τοῦ ἐνέπω, ἐκ τούτου οὖν γίνεται ἐνίπω, τὸ γὰρ ε ἡνίκα πλεονάσει σύμφωνον, τρέπεται εἰς ι. ὁ μέλλων ἐνίψω, ὁ παρακείμενος ἤνιφα, ὁ μέσος ἤνιπα καὶ ἐπεκτάσει τῆς πα συλλαβῆς ἠνίπαπα καὶ ἔχει τὸ π. εἰ δὲ διὰ δύο συμφώνων εἴη ὁ ἐνεργητικὸς, δι' οὗ τὸ ῥηματικὸν ὄνομα ἐκφέρεται, διὰ τούτου καὶ ὁ μέσος παρακείμενος, ἐνιπὴ, μάλα πῶς μὲν κατὰ θυμὸν ἐνιπή.

Ἡνίοχος, κυρίως ὁ ἔχων τὰς ἡνίας. εἴρηται δὲ καὶ ἐπὶ τοῦ ἐπιβάτου ὡς ἐπὶ τοῦ Ἕκτορος.

Ἡνίαλος, ὁ ἐνιαυτὸς, παρὰ τὸ ἔνος ἦνις.

Ἦνις, ὁ ἐνιαυσιαῖος, Ὅμηρος, ἦνις ἐκ θείας ἱερεύσεμεν, καὶ βοῦν ἦνιν εὐρυμέτωπον, παρὰ τὸν ἔνον τὸν ἐνιαυτὸν, ἔνθεν τεταίνυμον δαμάσσουσι παῖδες, παρὰ τὸ ἔνος, ἔνις καὶ ἦνις, ὁ ἕνα κύκλον ἔχων. ἦνις. ἤνιος, καὶ τὸ πληθυντικὸν ἤνιες, καὶ ἐν συναλοιφῇ ἦνις. ὡς πόλιες πόλις, ἤνιες ἦνις. ἔνιοι τὸ ἦνις ἐπὶ ἡλικίας βοὸς τάσσουσιν, ὡς τὸ μόσχος, καὶ ἡ πόρτις καὶ ἡ δάμαλις. καὶ γὰρ ὁ ποιητὴς ἐπὶ βοῶν μόνον τάττει τὴν λέξιν. ἢ κατ' ἔλλειψιν τοῦ α στερητικοῦ, ἵν' ᾖ αὔηνις, ἡ μηδέπω ζευχθεῖσα καὶ ἡνία δεξαμένη.

Ἦνις, ὁ ἐνιαυτὸς, παρὰ τὸ ἔνος, ἦνις. ἔνος οὖν ἐστιν ὁ ἐνιαυτὸς, παρώνυμον ἐνὶς, καὶ τροπῇ τοῦ ε εἰς η ἦνις.

Ἠνορέην, εἰς τὸ ῥηξήνορα.

Ἥξουσιν, ἐκ τοῦ ἥκω τὸ ἔρχομαι, καὶ ὁ μέλλων ἥξω, τὸ τρίτον τῶν πληθυντικῶν ἥξουσιν.

Ἤνυχος, εἰς τὸ μυχός.

Ἠοῖαι, ἔστι κατὰ λόγος Ἡσιόδου ἠοίην ὁμοίως ὀρθρίαν, ἢ τὴν πρὸς ἀνατολὴν, ἢ τὸν ἀπὸ πρωΐας μέχρι ἕκτης ὥρας χρόνον.

Ἤντεον, ὑπήντων.

Ἤνυστρον, τὸ μέρος τῆς κοιλίας, ὅθεν διανύει ἡ τροφὴ, ἤγουν διέρχεται.

Ἤνυστρον, τὸ παχύτερον μέρος τῆς κοιλίας τοῦ βοός.

Ἠξίου, παρεκάλου.

Ἦξεν, ὥρμησεν.

Ἥξει, ἐλεύσει.

Ἠξίωσε ναίειν, ἄξιον ἡγήσατο τοῦ οἰκεῖν.

Ἠοῦς, τῆς ἡμέρας, Ἀττικῶς.

Ἠνώχλησε δοτικῇ συντάσσεται, αὐξάνει δὲ ἔσωθεν καὶ ἔξωθεν. τὸ ἐνοχλῶ παρὰ τὸ ὀχλῶ, τοῦτο παρὰ τὸ ὄχλος, τοῦτο παρὰ τὸ ἀχλὺς, ἄχλος καὶ τροπῇ τοῦ α εἰς ο, ὄχλος.

Ἧπαρ, παρὰ τὸ ἥδω, ἧδαρ καὶ ἧπαρ, δι' αὐτοῦ γὰρ εὐφραινόμεθα. ἢ παρὰ τὸ ἄρδειν τὸ σῶμα τῷ σώματι· ἢ παρὰ τὸ ἠσθικὸν καὶ ὀρεκτικὸν ἡδονῆς εἶναι. ὁ δὲ Χρύσιππος παρὰ τὸ ἡδὺ φησὶν εἶναι, πεπηγὸς γὰρ αἷμα, τὸ δὲ αἷμα φυσικῶς γλυκύ.

Ἠπεδανὸς, ὁ ἀσθενὴς, παρὰ τὸ ἀπεδανὸς, ὁ ἐκ τοῦ πέδου μὴ ἀνιστάμενος ὡς ἀδύνατον.

Ἠπεδανὸς, ὁ ἀσθενὴς, ἢ ἄτεχνος, οἱονεὶ ἀπεδανὸς, ὁ μὴ δυνάμενος δι' ὑπερβολὴν ἀσθενείας ἐν τῷ πέδῳ, ὅ ἐστιν ἐν τῷ ἐδάφῳ στῆναι. ἔμπεδος γὰρ λέγεται, ὁ ἐν τῷ πέδῳ δι' ἰσχὺν ἑστὼς βεβαίως.

Ἠπειγμένος, ἐπείγω τὸ σπουδάζω. καὶ κατεπείγω, ἤπειγα, ὁ παθητικὸς παρακείμενος ἤπειγμαι, ἡ μετοχὴ ἠπειγμένος. τὸ γὰρ ἐπείγω γίνεται οὕτως, οἴγω τὸ ἀνοίγω, καὶ τροπῇ τοῦ ο εἰς ε εἴγω καὶ ἐπείγω.

Ἤπειρος, διὰ τῆς ει διφθόγγου, ἄπερος γὰρ οἱ Αἰολεῖς λέγουσι καὶ ἄπηρος, τρέποντες τὴν ει δίφθογγον εἰς η. καὶ ἐκ τῆς ἐτυμολογίας φαίη, ἠπειρωτῶν ἐκ τοῦ ἤπειρος, οἱ κατοικοῦντες τὴν ἤπειρον, ἤτοι τὴν γῆν. φαίνεται διὰ τῆς ει διφθόγγου γραφόμενον, ἤπειρος γὰρ λέγεται ἡ γῆ, οἱονεὶ ἄπερός τις οὖσα,

---

1) Il. XV. 80—82. 2) Adde ἀνεσχέθην.

τουτ᾽ ἔστιν ἡ ἀπλήρωτος, καὶ μὴ ἔχουσα πέρας ὡς δηλοῖ Εὐριπίδης λέγων· ἰστέον ὅτι κυρίως ἤπειρος λέγεται ἡ γῆ πᾶσα. εἰσὶ δὲ τινὲς τόποι, οἵτινες καλοῦνται Ἤπειροι, ὥσπερ καὶ ἡ γῆ, ἐξ ἐναντίου τῆς Ἰθάκης. ἀλλ᾽ οἱ Δωριεῖς ἄπηρος λέγουσιν ἀπέραντος. καὶ Εὐριπίδης Φησὶν, ἤπειρον ἐς ἄπειρον ἐξεπλεύσαμεν. ἤπειρος γὰρ λέγεται ἡ ξηρὰ γῆ. τριχῶς δὲ τὸ τῆς Ἠπείρου ὄνομα. Ἤπειρος κυρίως ἡ πᾶσα γῆ, πρὸς ἀντιδιαστολὴν τῆς θαλάσσης· Ἤπειρος καὶ ἡ Ἀσία, πρὸς ἀντιδιαστολὴν τῆς Εὐρώπης. Ἤπειρος καὶ ἡ Θεσπρωτίς.

Ἧπερ δὴ, ὥσπερ δὴ, ὅπου ἂν, καθ᾽ ὃν τρόπον.

Ἧπερ, καθάπερ.

Ἠπεροπευτὴς, ὁ ἀπατέων. ἐκ τοῦ ἥμερος καὶ τοῦ ὄψ, ὃ σημαίνει τὴν Φωνὴν, ὁ ἥμερος ὀπῇ [1]) χρώμενος. ἢ ὥσπερ παρὰ τὸ ἔχω ὀχεὺς, καὶ ἔπω τὸ λέγω, ὀπεὺς καὶ πλεονασμῷ τοῦ περ συνδέσμου περοπεὺς, καὶ μετὰ τοῦ στερητικοῦ α, τοῦ σημαίνοντος τὸ κακὸν, ἀπεροπεὺς καὶ τροπῇ τοῦ α εἰς η καὶ προσθέσει τοῦ της ἠπεροπευτής.

Ἤπειρος, σύνθετόν ἐστι, παρὰ τὸ α στερητικὸν καὶ τὸ πέρας ἄπερος, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἄπειρος, καὶ κατὰ τροπὴν τοῦ α εἰς η ἤπειρος. καὶ γράφεται ἤπειρος, ἄπερος γὰρ οἱ Αἰολεῖς λέγουσιν, οἱονεὶ ἄπερός τις οὖσα.

Ἠπιώτατος, ὁ ἐν λόγοις πρᾳότατος. ἔπω οὖν τὸ λέγω, ἔπιος καὶ τροπῇ τοῦ ε εἰς η, ἤπιος καὶ τὸ ὑπερθετικὸν ἠπιώτατος.

Ἠπεροπεύειν, παρὰ τὸ ἠμέρως ὀπῇ χρᾶσθαι.

Ἧπται, εἰς τὸ ἐΦῆπται.

Ἠπύω, τὸ κηρύσσω. ὅπερ γέγονεν ἀπὸ τοῦ ἔπω τὸ λέγω, ἐπύω καὶ ἠπύω.

Ἥρα, ὄνομα κύριον θεᾶς, ἐκ τοῦ ἀὴρ, ἀέρος, ἀέρα, καὶ κράσει τοῦ α ε εἰς η ἥρα. ὡς Πήλεα Πηλῆ. ἡ αὐτὴ γάρ ἐστι καὶ ἀήρ. ἢ παρὰ τὸ αὐτὴν ἀὴρ εἶναι, τὴν αὐτὴν γὰρ λέγουσιν ἀέρα.

Ἥρα, ὅτι ἡ Ῥέα αὐτὴν ἐκάλεσεν ἀναγραμματιζομένη ἀήρ· καὶ Ἐμπεδοκλῆς, Ζεὺς γὰρ γῆς εἴρηται Φερέσβιος.

Ἠπίαλος, ὁ ῥιγοπύρετος. σημαίνει δὲ καὶ δαίμονα τοῖς κοιμωμένοις ἐπερχόμενον.

Ἦπου, ὄντως δὴ καὶ ἀληθῶς.

Ἡπατικοὺς, τοὺς τὸ ἧπαρ πάσχοντας.

Ἧπερ οὖν, ὥσπερ οὖν.

Ἠπόρει, ἠμηχάνει.

Ἡ περίοδος, ἡ συναγωγὴ ἡ ἐπάνω.

Ἦρα, εἴρηται ὁ ἀὴρ, μεταθέντος τοῦ α πρὸ τοῦ η.

Ἡρακλῆς, παρὰ τὸ ὀνομάζεσθαι αὐτὸν πρῶτον Ἀλκείδην. Ἡρακλῆς δὲ ἐκλήθη, παρ᾽ ὅσον ἀπὸ τῆς Ἥρας ἐδέξατο, ἢ ἀΦηρέθη τὸ κλέος.

Ἡρακλῆς. τινὲς παρὰ τὴν Ἥραν, ὅ ἐστιν ἐπικουρίας χάριν, ὅτι ἐπίκουρον καὶ κλέος τῷ βίῳ ἔσχε. τινὲς μὲν γὰρ αὐτὸν Ἀλκαῖον ἐκάλουν, ὁμώνυμον τῷ πάππῳ. οἱ δὲ, ἐπεὶ ἄλκιμος ἦν, κυριολογίᾳ χρώμενοι. πάλιν δὲ τινὲς, ὅτι διὰ τὴν Ἥραν κλέος ἔσχεν· οἱ δὲ τὸν ἀέρα, οἱονεὶ ἀέριον κλέος ἐσχηκὼς, τουτ᾽ ἔστι μέγα καὶ περιβόητον.

Ἡρακλείδης, πρότερον Ἀλκείδης ἐλέγετο ἀπὸ Ἀλκαίου. ὕστερον δὲ ἡ Πυθία αὐτὸν Ἡρακλέα ὠνόμασε, παρ᾽ ὅσον ἐξ Ἥρας ἔμελλεν ἔχειν κλέος. Ἀστυαγὴς δὲ Φησὶν, ὁ δι᾽ Ἥραν ἀκλεὴς γενόμενος. διὰ τὸ μὴ βασιλεῦσαι, ἀλλὰ θητεύειν τῷ Εὐρυσθεῖ. καὶ ἡ σύνθεσις τοῦ ὀνόματος τοῦτο ἀπαιτεῖ. τὰ γὰρ παρὰ τὴν Ἥραν ὀνόματα εἰς ος σύνθετα διὰ τοῦ ο λέγεται, Ἡρόδοτος, Ἡροδικός. ἔστιν οὖν Ἡρακλῆς, ὁ δι᾽ Ἥραν ἀκλεὴς γενόμενος. ἢ ὅτι ἕνα τῶν γιγάντων ἐπερχόμενον ὅρους Φονεύσας ὠνομάσθη Ἡρακλῆς. παρὰ τὸ ἀλκεῖν, ἡραλκῆς καὶ ἡρακλῆς.

Ἡράκλειος, καὶ τὸ κύριον καὶ τὸ κτητικὸν ἐκ τοῦ Ἡρακλῆς, Ἥραιον τὸ Ἡράκλειον καὶ πάντα τὰ παρώνυμα προπαροξύνεται. ἀχίλλειον, νείλαιον, εὔναιον, ἀθήναιον τὸ τέμενος κύρκαιον, οὔραιον, ἕρμαιον, τρόπαιον, ἔλαιον, νύμΦαιον, περιβόλαιον.

Ἤρω. ἐκ τοῦ ἀρῶ τὸ εὔχομαι, ὁ παθητικὸς παρακείμενος ἤραμαι, ἠρώμην ἤρω.

Ἤρω, τὸ ἀρῶ δύο σημαίνει, τὸ εὔχομαι καὶ τὸ καταρῶ παρ᾽ Ὁμήρῳ.

Ἠράσθην, εἰς τὸ ἐράσθην.

ἨροΦοιτὴς, αἱ ὀροΦοιτίδες ὄρνις. ἐκ τοῦ ἀὴρ καὶ τοῦ Φοιτῶ τὸ παραγίνομαι.

Ἠρέμα, εἰς τὸ ἀτρέμας.

Ἠρεμία, ἡ ἡσυχία, ἀπὸ τοῦ ἤρεμος ἠρεμία, ὡς ἔρημος ἐρημία, ἀτρεμία τις οὖσα καὶ ἡσυχία, κατὰ στέρησιν τοῦ τρέμειν, οἱονεὶ ἀκινησία.

Ἠρεθίσατο, ἐπελέξατο, ἐκ τοῦ ἐρεθίζω, τοῦτο παρὰ τὸ ἐρέθω, τοῦτο παρὰ τὸ αἱρῶ τὸ προκρίνω, αἱρετὸς γάρ ἐστιν ὁ ἐκλελεγμένος καὶ πρόκριτος.

Ἠρείριστο [2], ἀπὸ τοῦ ἐρείδω, ἐρείσω, ἐρείρικα, ἐρείρισμαι, ἠρείριστο Ἀττικῶς. ἠρώμην δὲ ἀπὸ τοῦ ἐρτῶ [3]).

Ἤρψεν, ἐστέγασεν, ἐσκέπασεν, ἀπὸ τοῦ ἔρψω τὸ στεγάζω, τοῦτο παρὰ τὸ ὄροΦος, οἱ γὰρ ἀρχαῖοι ὀρόΦῳ τὰς οἰκίας ἐστέγαζον.

Ἠρηρώμην, ἐκ τοῦ ἔρημος. τοῦτο παρὰ τὸ ἔραν μόνην ἔχειν.

Ἤρημαι, εἰς τὸ ἠρημένη.

Ἠρημένη, ἀπὸ τοῦ αἱρῶ, ὃ σημαίνει τὸ καταβάλλω, ὁ παρακείμενος ἤρηκα, ἤρημαι, ἡ μετοχὴ ὁ ἠρημένος, τὸ θηλυκὸν ἡ ἠρημένη.

Ἦρι, ἕωθεν, ἐπὶ τοῦ ὄρθρου, ἀπὸ τοῦ αἴρεσθαι ἡμᾶς ἀπὸ κοίτης περὶ τοῦτον τὸν καιρόν.

Ἠρήσαντο. ηὔξαντο.

Ἠρίω, παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω.

Ἠρινὸς, ἐαρινὸς, παρὰ τὸ ἔαρ ἔαρος, καὶ κατὰ κρᾶσιν ἦρος, καὶ ἠρινός. τὸ ρι ἰῶτα διατί; τὰ εἰς νος ἐπὶ καιροῦ λαμβανόμενα, διὰ τοῦ ι γράΦεται, οἷον, μετοπωρινὸς ἐκ τοῦ ὀπώρα, θερινὸς καὶ τὰ ὅμοια.

ἨροΦοῖτις, ἐκ τοῦ ἀὴρ καὶ τὸ Φοιτῶ τὸ παραγίνομαι.

Ἠρίον, ὁ τάΦος, παρὰ τὴν ἔραν τὴν γῆν, τροπῇ τοῦ ε εἰς η, ὅρους δὲ καὶ τοὺς λουτῆρας ἔλεγον οἱ παλαιοί.

Ἤρισμαι, εἰς τὸ ἀμΦήριστον.

Ἠριτὰ, ὅ ἐστιν ἐρεστὰ, καὶ εἰς τὸ εἴκοσιν ἠριτά.

Ἠρυκέναι τὸ ὕδωρ, ἐκ τοῦ ἀρύω τὸ ἀντλῶ.

Ἥρωες, Πλάτων ἔρωες διὰ τὸ ἠρᾶσθαι θεὸν θνητὸς, ἐξ ὧν ἐγεννήθησαν οἱ ἥρωες. Ἀριστόνικος, ὅτι γηγενεῖς ἦσαν, οἱ πρώτην περὶ τὴν ἔραν, οἷον, ἔρωες. τι-

---

1) F. ὑπί. 2) L. ἠρήρειστο. Ap. II, 1107. 3) ἐρῶ (Sic.)

νὲς δὲ ὅτι ἡ Πανδώρα ἐκ πηλοῦ ἐγένετο, ἧς Πανδώρας καὶ Ἐπιμηθέως οἱ ἄνθρωποι.

Ἥρωες ἐκλήθησαν ἀπὸ τῆς ἔρας, ἢ ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὥς φησιν Ἡσίοδος, ἀέρα ἑσσάμενοι, ἢ ἀπὸ τῆς ἐράσεως. τουτέστι τῆς μίξεως τῶν θεῶν, ἢ ἀπὸ τοῦ ἔρω τὸ κουφίζω, ἢ παρὰ τὸ ἀρῶ ὃ σημαίνει τὸ ἁρμόζω.

Ηρος, ἐκ τοῦ εἶαρ κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς η.

Ἥρωες. ἡμίθεοι, δυνατοί, οἱ γίγαντες, οἱ πάλαι πρωτογενεῖς ἄνθρωποι. ἢ ἀπὸ τῆς ἐρωτήσεως, διαλεκτικοὶ γὰρ διὰ τὸ ἠρᾶσθαι θνητῶν. ἐξ ὧν ἐγεννήθησαν ἥρωες. Ἀριστόνικος, ὅτι γηγενεῖς ἦσαν οἱ πρῶτοι περὶ τὴν ἔραν. τινὲς δὲ ὅτι ἡ Πανδώρα ἐκ πηλοῦ ἐγένετο, ἧς Πανδώρας καὶ Ἐπιμηθέως οἱ ἄνθρωποι.

Ἠριγένεια, διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα. καὶ γὰρ διὰ τοῦ ει α.

Ἦσθα, ἐκ τοῦ εἰμὶ τὸ ὑπάρχω. ἧς καὶ ἦσθα διαφέρει. ὁ μὲν γὰρ παρῳχημένον χρόνον δηλοῖ, ὡς. Δηίφοβας εἰ μέν μοι τὸ πάρα πολυφίλτατος ἦσθα γνωστῶν, ὁ δὲ ἧς τὸν μέλλοντα.

Ἧσε ἀορίστου πρώτου, τρίτου προσώπου. τὸ θέμα ἄδω, ὁ μέλλων ἄσω, ὁ ἀόριστος ἦσα, τὸ τρίτον ἦσε. σημαίνει δὲ τὸ ἔψαλλεν.

Ἥσθην, ἐχάρην, ἡδύνθην, ἡδέως ἔχω, ἀπὸ τοῦ ἥδω ῥήματος, ὁ παθητικὸς παρακείμενος ἧσμαι, ὁ ἀόριστος ἥσθην.

Ἦσθα, παρὰ τὸ εἰμὶ τὸ ὑπάρχω, ὁ παρατατικὸς εἶν διὰ διφθόγγου, καὶ οἱ Ἀττικοὶ τῶν παρῳχημένων εἰς η τρέπουσι, καὶ γίνεται διὰ τοῦ η τὸ δεύτερον ἧς, καὶ ἐπεκτάσει τῆς θα συλλαβῆς ἦσθα.

Ἠσθῆσθαι, νοεῖσθαι, αἰσθάνεσθαι, ἀπὸ τοῦ αἰσθῶ, ὃ δηλοῖ τὸ αἰσθάνομαι, ὁ μέλλων αἰσθήσω, ὁ παρακείμενος ᾔσθηκα, ὁ μέσος ᾖσθα, ὁ β ἀόριστος ᾔσθον, ὁ μέσος πρῶτος ἀόριστος παθητικὸς ᾐσθόμην ᾔσθου ᾔσθετο, καὶ τὸ ἀπαρέμφατον ᾐσθῆσθαι.

Ηρτημένος ἐλαίῳ καὶ ἅλατι.

Ἧσιν ἐν τῷ ἑαυτῷ, εἰς τὸ σῆσιν.

Ἧσις, ἡ τέρψις.

Ἧς. ἡ μετοχή, ἄρθρον θηλυκόν, τὸ ἧς μετοχικὸν ὄνομα παρὰ τὸ μετέχω.

Ἧσιν, αὐταῖς, καὶ τροπῇ τοῦ α εἰς η, ὡς παλάμαις παλάμῃσιν. καὶ ἔστιν ὁ κανών, αἱ τοιαῦται δοτικαί, εἴτε ἐπεκτεταμέναι, εἴτε ἀνεπέκτατοι, τρέπουσι τὸ α εἰς η, παρὰ τοῖς Ἴωσι καὶ τοῖς ποιηταῖς, οἷον, παλάμαις παλάμῃσι, ἐν παλάμῃς φορέουσι [1]), θοαῖς θοῇσι. σεσημείωται δύο, τὸ λιμαῖσι καὶ ἀχθαῖς, μὴ τρέψαντα τὸ α εἰς η. ταῦτα δὲ ἐκτείνονται διὰ τοῦ ι. καὶ εἶτε θεαῖς ἀγάασθε παρ' ἄνδρασιν εὐρεθῆναι [2]).

Ἡσίοδος, Αἰολικῶς, ὁ τὴν αἰσίαν ὁδὸν πορευόμενος. ἔργα καὶ ἡμέρας ἔγραψε πρὸς τὴν τοῦ βίου ἐργασίαν καὶ νομοθεσίαν. ἢ ὅτι αἰσίως ἐβάδισε. συνέτυχε γὰρ ταῖς Μούσαις, καὶ οὐχ ὡς Θάμυρις διετέτη. ὅθεν καὶ ποιητὴς ἄριστος.

Ἤσκειν, ἐπιμελῶς ἐργάζεσθαι, τὸ ῥῆμα ἀσκῶ, σημαίνει δὲ τὸ μετὰ πολλοῦ πόνου καὶ κόπου ἐργάζεσθαι, ἐκ τοῦ ἀσκὸς ἀσκῶ, ὁ παρατατικὸς ἤσκεον ἤσκουν, ἤσκεε, ἤσκει, καὶ τὸ ν ἐφελκυστικόν ἐστιν ἐν τοῖς τρίτοις προσώποις, ἔτυπτεν, ἔλεγεν, οὕτως ἤσκεεν, καὶ κατὰ συναίρεσιν ἤσκειν.

Ἡττῶ, παρὰ τὸ ἡσσῶ, τοῦτο παρὰ τὸ ἧσσω, τοῦτο παρὰ τὸ ἡδύς, ἡδύτερος, ἡδίων, ἥσσων, ἀπὸ γὰρ τῶν ἡδίων ἡσσόμεθα, ὁ γὰρ πορεύων διὰ τὴν ἡδύτητα τοῦ πάθους νικᾶται ὑπὸ τοῦ διαβόλου.

Ἡσμένος, ἔστιν ἥδω τὸ εὐφραίνομαι, ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ἡ μετοχὴ ὁ ἡσμένος.

Ἧσο, καθέζου, διάτριβε, προστακτικόν, ἐκ τοῦ ἧμαι χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. ἢ παρὰ ἀντὶ τῆς πρός, ἡ παρὰ δηλοῖ τὸ πλησίον καὶ τὸ ἐγγύς.

Ἡ συκάμινος, τῆς συκαμίνου τὸ δένδρον. τὸ συκάμινον τοῦ συκαμίνου δὲ ὁ καρπός, ἔστι πρωτότυπον.

Ἦτορ, Φιλόξενος ἐν τῇ περὶ τῆς Ἰάδος διαλέξει οὕτως ἐτυμολογεῖ τὸ ἦτορ. ἄτορ ἐστί, φησί, τὸ ὂν ἄτρεπτον. παρὰ γὰρ τὸν τείρω ἐνεστῶτα, μέλλοντα γίνεσθαι τερῶ, ὡς κείρω κερῶ. τοῦ δὲ ω σιγηθέντος ῥηματικὸν ὄνομα γίνεται τὲρ καὶ τὸρ μονοσύλλαβον. καὶ ὥσπερ τὸ φέρω φὲρ καὶ φὸρ, ἐπεκτάσει τοῦ ο εἰς ω φὼρ ὁ λῃστής, ὁ τὰ ἀλλότρια φέρων. τὲρ οὖν καὶ τὸρ, καὶ μετὰ τοῦ στερητικοῦ α ἄτορ καὶ ἦτορ ὡς το. κυρίως ἐπὶ τῆς ἀφόβου ψυχῆς. καταχρηστικῶς δὲ ἐπὶ πάσης ψυχῆς.

Ἠσκημένος, μεμελετηκώς, πεπαιδευμένως.

Ἡσσήθησαν, ἡττήθησαν.

Ἠσκήσασα, μαθοῦσα.

Ἡστόν, ἡδύ.

Ἥσσων, ἥττων, χείρων.

Ἠσχάτησεν, ἠττέρησεν.

Ἡσυχάζειν καὶ σιγᾷν διαφέρει. ἡσυχάζειν μὲν γὰρ τὸ ἠρεμεῖν καὶ ἀτρεμεῖν δι' ὅλου τοῦ σώματος, σιγᾷν δὲ τὸ μηδὲν λαλεῖν.

Ἥσυχος. ὁ πρᾶος, παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι, ὁ μέλλων ἥσω, ἥσυχος ὁ μόναχος, ἥδονται γὰρ μεγάλως τῇ ἡσυχίᾳ οἱ ἀσκηταί.

Ἥσω, ἀφήσω, ἀκοντήσω. καὶ εἰς τὸ ἀήσυλα, καὶ πρᾳοῦ, καὶ προσήκατο.

Ἤσχαλλον, ἐλυπούμην, ἠνιώμην, ἀπὸ τοῦ ἀσχάλλω.

Ἡταιρηκὼς ἐπὶ πόρνης, ἡταιρηκὼς ἐπὶ ἑταίρου.

Ἤτοι, ἀπὸ τοῦ η διαζευκτικοῦ συνδέσμου, καὶ τοῦ τοι παραπληρωματικοῦ. καὶ εἰς τὸ καί.

Ἢ τοιόσδε ἐών, ὁ ἢ σύνδεσμος διαζευκτικὸς μέν ἐστι. παρελήφθη παρὰ τῷ ποιητῇ ἀντὶ τοῦ συναπτικοῦ, οἷον, ἔστι καὶ ἄλλῳ, ἐπεὶ οὐ πολύμυθος ἔην, οὐδ' ἀμαρτοεπής, ἢ καὶ γένει ὕστερος ἔην. ἀντὶ τοῦ ἐὰν καὶ τῷ γένει. οὕτω καὶ τό, ἢ τοιόσδε ἐών, ἀντὶ τοῦ ἐὰν τοιοῦτος ὑπάρχω.

Ἦτις. καὶ Ἤτειος, τὸ Ἦτις ὄνομα πόλεως, τὸ δὲ Ἤτειος σημαίνει τὸν πολίτην. μάντις μάντιος ὁ Ἀπόλλων, ὁ ἐφορῶν τὰς μαντείας. πρόσκειται, πρὸ μιᾶς ἔχοντα τὸν τόνον, ἐπειδὴ ἀπὸ τοῦ μάντις γέγονε Μάντιος, ὄνομα κύριον διὰ τοῦ ι [3].

Ἠτίμασε, δευτέρας συζυγίας τῶν περισπωμένων, ἀτιμῶ, ἀτιμᾷς, ἀτιμᾷ. ἔστι δὲ καὶ τρίτον ἀτιμοῦται. ἀτιμοῦται γὰρ ὁ ἀπὸ νόμου καταδικαζόμενος, ἀτιμᾶται δὲ ἁπλῶς, ὁ ὑβριζόμενος ἐπί τινι πράγματι.

Ἦτορ, ἡ ψυχή, θυμός. Ἴωνες δὲ ἄτορ φασί.

Ἦτορ, ἡ ψυχή, παρὰ τὸ ἀήτης, ὃ σημαίνει τὸν ἄνεμον, ἀήτορ, καὶ κατ' ἀφαίρεσιν τοῦ α ἦτορ. πνεῦμα γὰρ λέγεται ὁ θεὸς καὶ ἡ ψυχή, ὡς ἐν τοῖς θείοις

---

1) Il. I, 238. 2) Od. V, 119. 3) Ἦτις — κύριον διὰ τοῦ ι. Corruptissime. cf. Etym. M. v. Δαρεῖος.

εὐαγγελίοις. πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. τουτ' ἔστιν, ἀσώματον τὸ θεῖον, καὶ τὴν τοιαύτην θέλει καὶ τὴν θυσίαν αὐτοῦ διὰ τοῦ ἐν ἡμῖν ἀσωμάτου προσφέρεσθαι. τουτ' ἔστι διὰ τῆς ψυχῆς, καὶ τῆς τοῦ νοῦ καθαρότητος.

Ἦτρον, σημαίνει τὸ ὑπὸ τῶν ὀφθαλμῶν μέρος, καὶ τὸ ὑπογάστριον ἔντερον, ὅπερ Νίκανδρος ἐπὶ τῆς ἐντεριώνης τίθησιν, ὅ ἐστι τι ὕφασμα. παρὰ τὸ συναφᾶσθαι οὖν τὴν σάρκα τῷ λίπει ἄτρον, καὶ ἦτρον, καὶ ἤτριον.

Ἧττον, τὸ ὀλίγον, τὸ ο μικρόν. ἔστι τὸ τῶ λαμβάνω, οὗ τὸ δεύτερον τᾶς, τὸ τρίτον τᾶ, καὶ ἐξ αὐτοῦ τόν· καὶ μετὰ τοῦ στερητικοῦ α ἄττον κατὰ πλεονασμὸν τοῦ τ. ὃ οὐδεὶς θέλει λαβεῖν, καὶ τροπῇ τοῦ α εἰς η γίνεται ἧττον.

Ἤτω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας [1]. πόθεν γίνεται; ἐκ τοῦ εἰμὶ τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἔντος, καὶ τὸ προστακτικὸν ἔθι, τὸ τρίτον ἔτω, ὡς τιθέτω, καὶ τροπῇ τοῦ ε εἰς η ἤτω. οὐκ ἐτράπη δὲ εἰς ι. ἵνα μὴ συνεμπέσῃ τὸ ἴτω ὃ σημαίνει τὸ πορευέτω.

Ἦτα, τὸ δὲ ἦτα, ὅτι καὶ ἰῶτα καὶ τὸ τ ἔχει ὁ χαρακτὴρ τοῦ στοιχείου. ἡνίκα γὰρ τὸ Η πλάγιον τεθῇ ⌶, εὕροις μακρὰν καὶ ἀπ' αὐτῆς τὸ ι, ὅπερ σημαίνει τὸ τ [2]. ἄλφα δὲ εὕροι, ἡ ἀπὸ τῆς πρώτης γραμμῆς τοῦ η βαρεῖα, καὶ τῆς ἐν τῷ μέσῳ μακρᾶς, ὥστε ἀπὸ τούτου τοῦ τύπου τὸ η ὠνόμασται.

Ηὖδα, εἶπεν, ἔλεγεν, δευτέρας συζυγίας τῶν περισπωμένων, χρόνου παρατατικοῦ, ἀπὸ τοῦ αὐδῶ, αὐδᾶς, τοῦτο παρὰ τὸ αὐδὴ, τοῦτο παρὰ τὸ αὔω τὸ φωνῶ, ἢ παρὰ τὸ ἄω τὸ πνέω.

Ηὐμοίρησεν, ἔλαβεν, ἐπέτυχε, τὸ θέμα εὐμοιρῶ, τοῦτο παρὰ τὸ εὖ μόριον, καὶ τὸ μοῖρα. τὸ δὲ μοῖρα παρὰ τὸ μείρω τὸ μερίζω.

Ηὗρα, τὸ θέμα αὐρῶ τὸ ἀπολαύω, πρώτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων αὐρήσω, ὁ ἀόριστος ηὕρησα, καὶ ἐν συγκοπῇ ηὗρα.

Ηὐλίσθην, ἐκ τοῦ αὐλίζω, τοῦτο ἐκ τοῦ αὐλὴ, τοῦτο ἐκ τοῦ αὔω τὸ λάμπω.

Ἠὺς, σημαίνει δύο τὸν γενναῖον καὶ ἰσχυρὸν, καὶ ἀγαθόν· καὶ ὁ μὲν γενναῖος γίνεται παρὰ τὸ ἔω τὸ ὑπάρχω. ὁ δὲ ἀγαθὸς ἐκ τοῦ ἡδὺς καὶ ἀποβολῇ τοῦ δ ἠΰς, καὶ τὸ θηλυκὸν ἠεῖα, καὶ Ὅμηρος, νῦν τις ἐνηείης Πατροκλῆος [3]. καὶ τὸ οὐδέτερον ἠὺ καὶ ἐξ αὐτοῦ ἐπίρρημα ἀντὶ τοῦ καθό. ἠΰτε ἔθνεα εἰσί.

Ἠΰτε, καθάπερ, ὃν τρόπον παραβολικὸν τὸ σχῆμα, ἐκ τοῦ ὡς· καὶ πῶς γίνεται. κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ εἰς ως λήγοντα ἐπιῤῥήματα, συνυπάρχοντα τινὰ εἰς η λήγοντα καὶ ὁμοτονούμενα αὐτοῖς. οἷον, πάντως πάντῃ, ἄλλως ἄλλῃ, οὐδαμῶς οὐδαμῇ, διχῶς διχῇ. ὀξυνομένου ἄρα τοῦ ὡς ἀντίκειται τὸ η ὡς ἐν τῷ ἠΰτε ξείνων θέμις ἐστι [4], τοῦτο ἐν πλεονασμῷ τοῦ υ, ἠΰτε ἀναγκαίως τοῦ η ψιλωθέντος, τὸ γὰρ υ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ. πῶς δεῖ ἀναγινώσκειν ἠΰτε ἢ ἠῦτε; ἐν διαστάσει δεῖ ἀναγινώσκεσθαι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι οὐκ ἔστι ἐπινοῆσαι τὸ η καὶ τὸ υ ἐν μιᾷ συλλαβῇ χωρὶς εἰ μὴ ἐν κλίσει ῥήματος, ὡς τὸ αὐδῶ ηὔδων, αὐχῶ ηὔχων, ἀναγκαίως οὖν ἡ διάστασις τοῦ ἠΰτε. ὁμοίως τοῦ ἐνηὺς καὶ τῶν λοιπῶν.

Ἠφάνισεν, ἐπόρθησεν, ἀφανὲς ἐποίησεν.

Ηὔφρανε, τὸ θέμα εὐφραίνω. καὶ παρὰ μὲν τῇ κοινῇ διαλέκτῳ οὐ τρέπεται, παρὰ δὲ τοῖς Ἀττικοῖς τρέπεται. τὸ δὲ εὐφραίνω ἔστι φρῶ τὸ προϊῶ, ἐξ οὗ καὶ φρὴν, καὶ ἐξ αὐτοῦ φραίνω, καὶ μετὰ τοῦ εὖ μορίου εὐφραίνω τὸ καλῶς προϊῶ.

Ἥφαιστος, κυρίως ὁ Ἥφαιστος θεὸς, παρὰ τὸ ἄφαιστος. τὸ δὲ ἄφαιστος παρὰ τὸ ἅπτω ἐστι. τοῦ γὰρ πυρὸς οὐδεὶς δύναται ἅψασθαι. ἢ ἀπὸ τῆς τοῦ πυρὸς ἐξάψεως. Πλάτων δὲ ἀπὸ τῆς τοῦ φάους ἱστορίας.

Ἥφαιστος, Αἰολικῶς ἄφαιστος ὢν, οἱονεὶ ἄψαυστος τουτ' ἔστι τὸ φῶς, ἢ τὸ πῦρ. τοῦ γὰρ πυρὸς ἅψασθαι οὐκ ἔνι.

Ἤφυσε, διέκοψε, ἀπήντλησεν, ἐξέβαλεν.

Ἠφίθη, ἐσθη, συνεχωρίσθη.

Ἠχῇ, τὸ ἠχῇ ἐπίῤῥημα μεσότητος, ὅμοιόν ἐστι τῷ σιωπῇ, τριπλῇ, καὶ τετραπλῇ, καὶ κλαγγῇ, ἐνοπῇ. τὰ γὰρ παρὰ τὴν δοτικὴν γινόμενα ἐπιῤῥήματα ἔχουσι τὸ ι προσγεγραμμένον.

Ἧχι, ἀντὶ τοῦ ὅπου, ἐκ τοῦ ᾗ ἧχι, καὶ δασύνεται καὶ περισπᾶται. ἔστιν ἡ ἐπίῤῥημα, καὶ κατ' ἐπέκτασιν τῆς χι συλλαβῆς ἧχι, ἔχει δὲ καὶ τὸ ι προσγεγραμμένον. διάτι; τὰ εἰς η λήγοντα ἐπιῤῥήματα ἔχουσι τὸ ι προσγεγραμμένον, οἷον, ἄλλῃ, τριπλῇ, κομιδῇ. σεσημείωται ενη [5]. δὴ, μὴ, δηλαδὴ, ἤδη. διάτι βαρύνεται; ἔστιν εἰς τὸ ὀψιτέλεστον.

Ἠχήεις, ὁ ἦχον ἀποτελῶν, διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ τὸ ε ἐν τῇ τοῦ ἠχήεντος γενικῇ οὐδετέρου.

Ἦχος, παρὰ τὸ χέω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀχέω ἄχος καὶ ἦχος. ἢ παρὰ τὸ ἔχος, ὃ σημαίνει τὸν θόρυβον, τροπῇ τοῦ α εἰς η ἦχος. καὶ εἰς τὸ πυρῶδες.

Ἤχθετο, ἐλυπεῖτο, ἐβαρεῖτο.

Ἠωρῆσθαι, ἠρτῆσθαι, κρεμᾶσθαι, ἀπὸ τοῦ αἰωρῶ, ὁ μέλλων αἰωρήσω, ὁ παρακείμενος ἠώρηκα, ὁ παθητικὸς ἠώρημαι, τὸ ἀπαρέμφατον ἠωρῆσθαι. τοῦτο παρὰ τὸ ἀὴρ ἀηρῶ, καὶ τροπῇ τοῦ α εἰς ε, καὶ τοῦ η εἰς ω ἐωρῶ καὶ ἀπεορῶ. συντάσσεται μετὰ αἰτιατικῆς.

Ἠὼς, ἀπὸ ὥρας ὄρθρου, ἕως ὥρας ἕκτης.

Ἠὼς, διάφορα σημαίνει· τήν τε γὰρ σωματοειδῆ θεὸν, διὰ τὸ φάναι τὸν ποιητὴν Ἠὼς δ' ἐκ λεχέων. καὶ τὸν ὄρθρον φρωνύμως κληθέντα, ἀπὸ τοῦ ὀρθοῦσθαι ἡμᾶς ἀπὸ τῆς κοίτης, καὶ περὶ τὰ οἰκεῖα τρέπεσθαι ἔργα, ὅταν φησὶν, Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν· καὶ τὸ ἀπὸ πρωΐας μέχρις ὥρας ἕκτης διάστημα. ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξατο ἱερὸν ἦμαρ [6]. καὶ τὴν ὅλην ἡμέραν καθὸ σημαίνει ἡμέραν νοεῖσθαι, ὁ ἀπὸ ἀνατολῆς ἡλίου δρόμος μέχρι δύσεως. ὁπότε τὴν ὑφ' ἡμᾶς διεξιὼν ἡμισφαίριον, οἷον, οἱ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ, ἠοῖ τῇ προτέρῃ, τότε δὲ, Ζεὺς ὦρσε μάχεσθαι [7]· ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ [8]. καὶ τὸ νῦν ἀμφότερον, ἡμέραν τε καὶ νύκτα, καθὸ σημαίνει καὶ παρὰ μαθηματικοῖς νοεῖται· ἠὼς δέ μοι ἐστι ἥδε δυωδεκάτη, ὅτ' ἐς

1) In margine est ψε, ϱγ i. e. Psalm. 103. 2) corrupte. E i. e. πέντε scil. νη. etc. 3) Il. XVII, 670. 4) [illegible] ex Il. XI, 778. 5) L. 6) Il. XI, 84. 7) XIII, 793. 794. 8) Il. XXI, 5.

Ἴλιον εἰλήλουθα. καὶ τὴν ἡλίου πάροδον καὶ τὸν τόπον ἔνθεν ἀνατέλλει ὁ ἥλιος, κατὰ Ἀρίσταρχον. ὦ φίλοι οὐ γάρ τ' ἴδμεν ὅπη ζόφος, νῦν γὰρ καθά φησιν ὁ ποιητὴς τῶν τεσσάρων μερῶν τοῦ κόσμου μέμνηται μερῶν ἄρκτου. μεσημβρίας, ἀνατολῆς καὶ δύσεως, ἅπερ ἀλλήλοις ἐξ ἀντιθέτου ἀντίκειται. ὁ μὲν ἄρκτος τῇ μεσημβρίᾳ, ἡ δὲ ἀνατολὴ τῇ δύσει.

Ἠῷος. ὀρθρινός. καὶ ἕως ἡ ἀνατολὴ Ἀττικῶς. παρὰ τὸ ἀξιοῦσθαι κατὰ τὴν αὐτὴν ὥραν ἀπὸ τῆς κοίτης. ἢ Αἰολικῶς αὔως, παρὰ τὸ αὔειν πάντα τὰ ζῶα μετὰ τὴν ὥραν ἤγουν φωνήν.

Ἠώς, τὸ πρωϊνὸν φῶς τῆς ἡμέρας. ἤτοι ὅτι ἕως ταύτης ἡ νύξ, ἢ ἀπὸ τοῦ ἐξιέναι τοὺς ἀνθρώπους πρὸς τὰ οἰκεῖα ἔργα αὐτῶν, ὅσα Φαινόλης ἐσκέδασεν ἄνθρωπος. ἑῶλα γὰρ λέγεται τὰ εἰς τὴν ἐπερχομένην ἠῶ λειπόμενα. καὶ εἰς τὴν ἡμέραν. καὶ οὐρανόθι.

Τέλος τοῦ Η στοιχείου.

ΑΡΧΗ ΤΟΥ Θ ΣΤΟΙΧΕΙΟΥ.

Θαιρός, σημαίνει τὸν στρόφιγγα, παρὰ τὸ δι' αὐτοῦ ἐνίοτε ἄλλως θέειν καὶ στρέφεσθαι τὰς θύρας.

Θαιροί, οἱ στροφεῖς τῆς θύρας, παρὰ τὸ δι' αὐτῶν θέειν τὰς θύρας. ἢ θεροί δι' ὧν θέει καὶ τρέχει ἡ θύρα.

Θαλάμας καὶ θαλαμὰς διαφέρει· ἐὰν μὲν ὀξύνηται, δηλοῖ τὸ τῶν Διοσκόρων ἱερόν. ἐὰν δὲ βαρύνηται, τὰς καταδύσεις καὶ μηνύσεις.

Θάλαμος, ὁ κοιτών, ὁ οἶκος· παρὰ τὸ θάλπω, ἐξ οὗ καὶ θαλαμηπόλος, ἡ περὶ τὸν οἶκον ἤγουν τὸν θάλαμον ἀναστρεφομένη.

Θάλαμος, ἐν ᾧ τρεφόμεναι θάλλουσιν αἱ γυναῖκες.

Θάκος, ὁ θρονός, παρὰ τὸ θάσσω καὶ θῶ.

Θαιμάν, ἡ ἀνατολή· τὸ θαι διφθόγγῳ.

Θάλαμος, σημαίνει δύο· καὶ εἰ μὲν σημαίνει ἐν ᾧ εἰσέρχονται ἥτε νύμφη, καὶ ὁ νύμφιος, γίνεται παρὰ τὸ θάλλω. δεῖ γὰρ ἐν αὐτῇ θάλλοντα εἰσιέναι τὰ σώματα, τουτέστιν ἀκμάζοντα.

Θάλαμος, οἱονεὶ θάλαιμός τις ὤν, παρὰ τὸ θάλπειν. διότι δεῖ θάλλοντα τὰ σώματα ἔχοντας εἰς αὐτοὺς εἰσιέναι, καὶ ἀπεσβεβηκότα. καὶ Ἡσίοδος. ὥραιος δὲ γυναῖκα μὴ ἀπεσβεβηκέναι. ἀντὶ τοῦ μὴ γεγηρακέναι.

Θάλλεια, ἀπὸ τοῦ θάλλω θάλλος, ἡ θάλλειν ἡμᾶς ἐμποιοῦσα. διὰ τῆς ει διφθόγγου. τὸ δὲ ἐπὶ τῆς εὐφροσύνης διὰ τοῦ ι. ἐξ οὗ καὶ Ὅμηρος. ὅς μοι τηλύγετος τρέφεται, θαλίῃ ἔνι πολλῇ [1].

Θαβώρ, καὶ Ἑρμών, ὀνόματα ὀρέων.

Θαλαμηπόλος, κοιτωνῆτις, ἡ περὶ τὸν οἶκον ἀναστρεφομένη θεράπαινα.

Θάλασσα, ἡ θοῶς ἀλλασσομένη καὶ σαλευομένη.

Θάλασσα, παρὰ τὸ εἰληφέναι τὴν ὀνομασίαν ἐκ τοῦ θῶ, τοῦ σημαίνοντος τὸ τρέχω, καὶ τοῦ λα τὸ ἁλμυρὸν ἤγουν τὸ ἅλας· ἐκ τοῦ ἄσσω τοῦ τινάσσεσθαι, τουτέστι θεὸν ἅλα τινασσόμενον. συναφθέντων οὖν τὸ κατὰ ἰδίωμα λέξεων αὐτῆς ἐκλήθη θάλασσα.

Θάλασσα, παρὰ τὸ σάλον σάλασσα καὶ θάλασσα. παρὰ τὸ ἆσσον εἶναι θανάτου, τοὺς πλέοντας ἐν αὐτῇ· ἐγγύς.

Θάλασσα, θάλαττα λέγουσιν Ἀττικοί. θεᾷ ταραττομένη.

Θαλερός, νέος, παρὰ τὸ ἐν ἀκμῇ εἶναι τοῦ θάλλειν. ἢ παρὰ τὸ θάλλω τὸ αὔξω, τοῦτο παρὰ τὸ θῶ τὸ τρέφω, ἀπὸ μεταφορᾶς τῆς ἀνθρώπων ζωῆς ἤγουν φύσεως· ὁ γὰρ θηλῶν καὶ μαστοῦ μετέχων ἄνεισιν εἰς αὔξησιν.

Θάλλω, βλαστάνω, παρὰ τὸ θέειν ἄλλως. ἢ παρὰ τὸ θῶ τὸ τρέφω, ἐξ αὐτοῦ παράγωγον θάλλω. καί ἐστιν ἀπὸ τῆς τῶν ἀνθρώπων φύσεως μεταφορά.

Θαμᾶ, τὸ συνεχὲς καὶ πυκνόν. παρὰ τὸ ἅμα καὶ εἰς τὸ θαμειαί.

Θαμᾶ, παρὰ τὸ ἅμα πλεονασμῷ τοῦ θ. ἅμα γὰρ τὸ πυκνῶς γινόμενον, εἰς ἕνα καιρὸν γίνεται.

Θαμαψαλῶπες [2]), οἱ ἡμίφλεκτοι ἄνθρακες. θάμψαι γὰρ τὸ καῦσαι.

Θάμβος, σημαίνει τὴν ἔκπληξιν· ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; εἰδικοῦ. γίνεται θάμβος παρὰ τὸ θάπω, καὶ πλεονασμῷ τοῦ β, καὶ τροπῇ τοῦ π εἰς μ, διὰ τὴν ἀσυνταξίαν. τὸ δὲ θάπος παρὰ τὸ θήπω τὸ ἐκπλήττομαι.

Θαμειαί, παρὰ τὸ θαμᾶ ἐπίῤῥημα γίνεται θαμός, θαμειὸς καὶ θαμειά, τὸ θαμᾶ ἐκ τοῦ ἅμα. σεσημείωται κατὰ τὸν τόνον. οὕτως Ὠρίων. ὁ δὲ Χάραξ μᾶλλον τὸ ἅμα ἐκ τοῦ θαμᾶ παράγει, ἀποβολῇ τοῦ θ. καὶ βαρύνεται. τὸ δὲ θαμᾶ ἐκ τοῦ θαμός. θαμή, θαμειν, καὶ θαμᾶ ἐπίῤῥημα. γράφεται δὲ διὰ τῆς ει διφθόγγου, σημαίνει δὲ τὸν συνεχῆ θαμειός, καὶ τὸ θηλυκὸν θαμεῖα, τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ εια γινόμενα, ἡνίκα προπαροξύνεται. καὶ εἰς τὸ γελοῖος.

Θαμίζειν [3]), ἀντὶ τοῦ ὁμιλεῖν, καὶ θαμίζει, πυκνῶς ἔρχεται ἐνδελεχείᾳ ἀπὸ τοῦ θαμᾶ ἐπιῤῥήματος. τοῦτο παρὰ τὸ ἅμα, πλεονασμῷ τοῦ θ θαμᾶ καὶ ἐξ αὐτοῦ θαμίζω.

Θάμνος, ἡ ῥίζα τῶν δένδρων· ὅτι καὶ αὐτῇ ἔγκειται τῇ γῇ ἀπὸ τῆς θέσεως. τὸ δὲ θαμίσαι ἀπὸ αὐτῆς τὸ κατωρύξιμον. ὁ δὲ Ὅμηρος καὶ τὴν πολυπληθίαν τῶν φύλλων δυναμένην δέξασθαι λέγειν, ἀπὸ τούτου ἔφη, ἐκβὰς ἐν θάμνοισι κατέδραθον [4]).

Θάνατος, παρὰ τὸ τάνατος, τείνει γὰρ τὸ σῶμα τῇ ψύξει. ἢ διὰ τὸ θανάσιμον, ἢ τανυρός τις ἐστιν, ὡς ἐπὶ πάντας διατείνων. ἢ θείνωτος, διὰ τὸ τίθεσθαι κατὰ νῶτα τὸν ἀποθνήσκοντα.

Θάνατος, τάνατός τις ἐστι. θάνατος θέσις τοῦ νοητοῦ, ὡς ἂν εἴπῃ τὶς διάζευξις τῆς ψυχῆς. ὅθεν καὶ μνημ.

Θανατῶ, ὅτε μέν ἐστιν ἁπλοῦν, ἔστι τρίτης συζυγίας τῶν περισπωμένων, οἷον, θανατῶ, θανατοῖς. ὅτε δέ ἐστιν σύνθετον δευτέρας συζυγίας τῶν περισπωμένων, δυσθανατῶ, δυσθανατᾷς· ὥσπερ καὶ τὸ δοκῶ ἁπλοῦν μὲν πρώτης συζυγίας τῶν περισπωμένων, σύνθετον δὲ δευτέρας συζυγίας τῶν περισπωμένων, οἷον, προσδοκῶ προσδοκᾷς. ὅτε δὲ τὸ θανατῶ δευτέρας συζυγίας ἐστι,

1) Il. IX, 143. 2) L. θαυμάλωπες. v. Etym. M. θαυμάλωψ, ὁ ἡμίφλεκτος glossarium Kallii. 3) cf. Etym. M. v. θαμά. 4) Od. VII, 285.

σημαίνει τὸ ἀποθανῶ. ἀποθανεῖν μὴ προβάλλεσθαι μάχην. ὅτε δὲ τρίτης συζυγίας ἔστι, σημαίνει τὸ φονεύω.

Θανατοῦν καὶ θανατᾷν διαφέρει. θανατοῦν μέν ἐστι τὸ ἄλλον φονεύειν. θανατᾷν δὲ τὸ ἐφίεσθαι θανεῖν αὐτὸν ἐκεῖνον.

Θάπτω, ὥσπερ παρὰ τὸ βῶ γίνεται βάπτω, οὕτω καὶ παρὰ τὸ θῶ γίνεται θάπτω.

Θάπτειν, παρὰ τὸ θῶ ῥῆμα καὶ τιθῶ, ὡς βῶ βάπτω καὶ θῶ θάπτω. ἀΐδιον γὰρ ἔχουσιν ἀπόθεσιν οἱ θαπτόμενοι.

Θάτερον, οὐ παρὰ τὸ ἕτερον. θοὔτερον γὰρ ἦν ὡς γίνεται ἔλαιον τοὔλαιον. ἀλλὰ τὸ ἕτερον παρὰ Δωριεῦσιν ἐγένετο ἅτερον, θάτερον. τὸ δὲ ἅτερον δασύνεται. διὸ καὶ οὐ λέγουσι θάτερον ἐπὶ ἀρσενικοῦ ὀνόματος, οὐ γὰρ λέγουσι τὸ θάτερος, ἀλλὰ τὸ ἅτερος, ἐπεὶ τὸ τ ἄτρεπτον ὡς τὸ ἀγαθὸν, τἀγαθόν. τὸ δὲ ἅτερον δασύνεται καὶ ἐκεῖθεν θάτερον.

Θαρσῆσαι, θαῤῥῆναι, ἀπὸ τοῦ θαρσῶ, τὸ δὲ θαρσῶ ἐκ τοῦ θάρσος· ἔστι δὲ ψυχικὸν τὸ πάθος. τὸ δὲ θάρσος ἐκ τοῦ θάῤῥος. ἡνίκα εὑρεθῇ τὸ ρ μετὰ τοῦ σ, οἱ Ἀττικοὶ διὰ τῶν δύο ρρ προσφέρουσιν. οἷον, τὸ θάρσος θάῤῥος λέγουσι, καὶ τὸ κόρσην κόῤῥην, καὶ τὴν μυρσίνην μυῤῥίνην.

Θάρσος, ἀνδρεία, παρὰ τὸ θέρω τὸ θερμαίνω, θέρος. ὁ μέλλων θέρσω.

Θάρσος καὶ θράσος διαφέρει, ὡς ἀρετὴ κακίας. τὸ μὲν ἐπὶ ἀρετῆς τάσσεται, τὸ δὲ ἐπὶ κακίας, ὅθεν οἱ παλαίοι ὡρίσαντο οὕτως. θάρσος ἐστὶ ψυχῆς παράστημα μετὰ λογισμοῦ. θράσος δὲ ἡ ἀλογιστία, ὅθεν Εὐριπίδης ἁμαρτάνει λέγων, οὐ θράσος τὸ δ' ἔστιν οὐ δὲ τόλμη κακῶς φίλους δράσαντας ἐναντίας βλέπειν.

Θεῖναι, ἐπὶ τοῦ θεῖναι καὶ προσθεῖναι.

Θαλπωρὴ, διάχυσις, χαρὰ, θάλψις.

Θαλύσιαι, αἱ τῶν καρπῶν ἀπαρχαί.

Θαλαττοπορεῖ, πλέει διὰ θαλάσσης.

Θαλερὸν, ἀκμαῖον.

Θαλὴ, ἡ εὐθηνία.

Θαλία, ὄνομα Μούσης.

Θαμα, συνεχῶς, πυκνῶς, διηνεκῶς.

Θαϊτὴ, θαυμαστή.

Θαμίζει, πυκνάζει, συνεχῶς ἄγει.

Θαῤῥαλέως, ἀνδρείως, εὐθαρσῶς.

Θαῦμα ἔστι τὸ ὑπὲρ φύσιν ὑπὸ θεοῦ τελούμενον.

Θάσσουσαι, σπεύδουσαι.

Θάσσων, ἀπὸ τοῦ ταχὺς παρήχθη. καὶ ἐγένετο ὁ πρωτότυπος τῶν συγκριτικῶν ταχύτερος, ὁ δεύτερος ταχίων, καὶ ὁ τρίτος τάσσων, καὶ τροπῇ τοῦ τ εἰς θ θάσσων.

Θάσια, τὰ ἀμύγδαλα, ἀπὸ τοῦ θάσσων καρπεύειν· πρώϊμα γὰρ ὑπὲρ τὰ λοιπὰ δένδρα. θάσσον οὖν κατ' ἀποβολὴν τοῦ σ.

Θάσια, τὰ ἀμύγδαλα, διὰ τὸ πρὸ πάντων θάλλειν καὶ ἀνθεῖν.

Θάσσω, ταχεῖ, παρὰ τὸ ταχὺς. θάσσων, καὶ θάσσονας ἱρήκων ἔμεναι καλλίτριχας ἵππους [1]).

Θᾶττον. ἐκ τοῦ ταχὺς, ταχύτερον. ταχεῖον, τάσσον, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ θᾶσσον. καὶ θεματικὸν θᾶττον καὶ περισπᾶται.

Θάτερος, σημαίνει τὸν ἕτερον, καὶ γίνεται παρὰ τὸ ἕτερος. οἱ γὰρ Βοιωτοὶ τὸν ἕτερον ἅτερον λέγουσι.

Θαυμάζειν, ἀπὸ τοῦ γινομένου κατὰ τὴν θέαν θάμβους.

Θαυμάζω, γενικῇ μὲν συντασσόμενον σημαίνει τὸ καταγινώσκω, οἷον, θαυμάζω τῶν ταύτην ἐχόντων γνώμην. αἰτιατικῇ δὲ τὸ ἐπαινῶ, οἷον, θαυμάζω τοὺς οὕτω φρονοῦντας.

Θαυματουργία, ἐκ τοῦ θαυματουργῶ. τοῦτο παρὰ τὸ θαῦμα καὶ τὸ ἔργον, θαυματοεργὸς καὶ ἐν συναιρέσει θαυματουργὸς, ὀξυτόνως. τὰ παρὰ τὸ ἔργον συντιθέμενα, εἰ μὲν ἀπὸ πτωτικῶν συνετέθησαν ὀξύνονται· οἷον, δημιουργὸς, τελεσιουργὸς, θαυματουργός. πλὴν τοῦ Λυκοῦργος, πανοῦργος, κακοῦργος. εἰ δὲ ἀπὸ ἀπτώτων, προπαροξύνονται, οἷον, ἑκάεργος. σεσημείωται τὸ συνεργός.

Θέα. ἡ θεωρία, παρὰ τὸ θεῶ καὶ τὸ παθητικὸν θεῶμαι, βαρύνεται δὲ πρὸς ἀντιδιαστολὴν τοῦ θεὰ, ἐπὶ τῆς θεοῦ καὶ θόλος τὸ οἰκοδόμημα, θολὸς δὲ τὸ μέλαν τῆς σηπίας.

Θεὰ. ἡ Μοῦσα. τὰ εἰς α λήγοντα θηλυκὰ ἔχοντα ἐπὶ τέλους τὸν τόνον, προσθέσει τοῦ σ κλίνεται, θεὰ θεᾶς, δεξιὰ δεξιᾶς.

Θεαρχικωτάτη, ἔστι θεὸς καὶ ἄρχων, ἐκ τούτου γίνεται θέαρχος, καὶ κτητικὸν θεαρχικὸς, καὶ τὸ ὑπερθετικὸν θεαρχικώτατος καὶ θεαρχικωτάτη.

Θεάμονας, θεατὰς, θεωρούς.

Θαῦμα, παρὰ τὸ θαυμάζω θαύμασμα καὶ κατ' ἔνδειαν τοῦ σ καὶ κατ' ἀποκοπὴν θαῦμα. οἱ δὲ παρὰ τὸ θέωμι θέαμα καὶ κράσει θᾶμα καὶ θαῦμα. οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς.

Θεατὴς. καὶ εἰς τὸ θεωρός.

Θεομαχία θεομαχίας διαφέρει. θεομαχία ἔστιν ἡ πρὸς θεὸν γινομένη μάχη. θεομαχίας δὲ ἡ αὐτῶν τῶν θεῶν πρὸς ἀλλήλους μάχη.

Θειλόπεδον, διὰ τῆς ει διφθόγγου. περισσὸν τὸ θ. εἱλόπεδον γὰρ παρὰ τὴν ἡλίου αὐγήν· εἰώθασι δὲ καὶ τὴν ἕλην σὺν τῷ ι λέγειν εἵλην. τὴν μὲν γὰρ τῶν σύκων ψύξιν τρασίαν λέγουσι. πρασίης ψευδόμενον φύλακα.

Θειλόπεδον σημαίνει τὸν τόπον, ἔνθα τίθενται αἱ σταφυλαὶ ξηρανθησόμεναι, ὡς φησὶν Ἀλεξίων. ἢ ὅπου ἀποπλύνεται ἡ σταφυλή. παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν θερμασίαν, γέγονεν εἵλη κατὰ πλεονασμὸν τοῦ ι, καὶ τὸ πέδον τὸ σημαῖνον τὸ χαμαὶ, εἱλόπεδον καὶ πλεονασμῷ τοῦ θ θειλόπεδον.

Θεῖν, εἰς τὸ διαλλάττειν καὶ μεθύω.

Θείνω, τὸ τύπτω, ἀφ' οὗ τὸ θεναρὸν τὸ κοῖλον τῆς χειρός. καὶ εἰς τὸ παρθένος.

Θείνω, τὸ τύπτω διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ μέλλοντι, καὶ ἐν τῷ θέναρ ὀνόματι. θέναρ δὲ λέγεται τὸ κατώτερον μέρος, εἰς ὃ ἔστι τύψαι.

Θεῖος, παρὰ τὸ θεός θέϊος, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον θεῖος.

Θεῖον, τὸ ἐπιθυόμενον εἰς κάθαρσιν, καὶ ἀβλαβεῖς ποιοῦν. ἔνθεν τὸ πάσσε δ' ἁλὸς θείοιο [2]). καὶ θεείου καιομένοιο φησὶν ἐπὶ τοῦ κεραυνοῦ. διὰ τοῦτο καὶ ἀπόζει τὸ οὐράνιον πῦρ τὸ τοῦ κεραυνοῦ. θεῖα δὲ τὰ οὐράνια. ὁ δὲ Εὐδαίμων ἐν τῇ ὀρθογραφίᾳ λέγει κτητικὸν, ἐπὶ τοῦ θεὸς θέειος, ἐκβαλὼν δὲ τὸ δεύτερον ε,

---

1) Il. XIII, 819. 2) Il. IX, 214.

ἐποίησε τὸ θεῖος. καὶ ὁ πατράδελφος οὕτω σεπτικὸς ὤν. ὅτι καὶ οἱ γονεῖς θέειοι ἡμῶν εἰσί.

Θεῖαν, παρὰ τὸ θεωρεῖν τὰ παρόντα ἢ τρέχειν.

Θεία, ἡ θαυμαστὴ, καὶ ἀδελφὴ πατρὸς ἢ μητρός. καὶ ἡ ἀκτὶς τοῦ ἡλίου. ὃ παρὰ τὴν θέαν εἴρηται. τὸ θει δίφθογγος καὶ τὸ α μακρόν.

Θεῖοι, οἱ θαυμαστοὶ, καὶ ἀδελφοὶ τοῦ πατρός. παρὰ τὸ θεῖον, ὃ σημαίνει τὸ μέγα. καὶ θεῖον τὸ ἐπὶ τοῦ θεοῦ, καὶ θείου καὶ θαυμαστοῦ, καὶ τιαφίου. λέγεται γὰρ τὸ τιάφιον θεῖον ἄπειρον.

Θεία, διὰ τῆς ει διφθόγγου. σημαίνει δὲ καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου καὶ τῆς σελήνης.

Θειάζω, τὸ θαυμάζω. καὶ ἐκθειάζω τὸ θαυμάζω, διφθόγγῳ. θίασος δὲ ὁ χορὸς καὶ θιασώτης ὁ χορευτής, ἰῶτα.

Θεκέλ, ἡ κριθὴ, μοδ' ιε, ὃ καλεῖται ἔπαρμα.

Θέλγειν, κυρίως μέν ἐστιν, εἰς ὃ θέλει τὶς ἄγειν τινά. ὅθεν καὶ θελκτήρια πολλαχῶς τὰ ᾄσματα· ἀπὸ τῶν ᾠδῶν, ἃ τοὺς ἀκούοντας θέλγει, καὶ εἰς τέρψιν ἄγει τῶν ᾠδῶν. διὸ καὶ ἡ Πηνελόπη τὰς ᾠδὰς θελγητήρια ὑπέφηνε [1]· πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας. καὶ ἡ Κίρκη Ὀδυσσεῖ μὴ φαρμαχθέντι λέγει. θαῦμά μ' ἔχει, ὡς οὔτι πιὼν τάδε φάρμακ' ἐθέλχθης [2]. Εὐριπίδης ἐτυμολογεῖ ὁ τὰ θεῖα γράψας. παρὸ φησὶ καὶ τοὺς τελχῖνας. ὥστε θελγῖνες φησὶ, ἐνόντα τοῖς ὕδασι τῆς φύσεως, καὶ αὔα ἐποίουν ἕως φυτῶν βασκαίνοντες.

Θέλγειν, τὸ ἀπατᾶν.

Θέλυμνος, εἰς τὸ προθέλυμνος.

Θέλγοντι, τῷ εὐφραίνοντι, ἢ τῷ ἀπατῶντι, παρ' Ὁμήρῳ καὶ τῷ σκοτίζοντι, οἷον, αὐτὰρ Ἀχαιῶν θέλγε νόον. καὶ, αὐτὰρ Ἀχαιῶν ὄμματα θέλγε. συντάσσεται μετὰ αἰτιατικῆς. καὶ εἰς τὸ τελχῖνες.

Θέλγειν, μεταβολὴν ποιεῖσθαι τῆς ψυχῆς· εἰς τὸ θέλγειν ἄγειν.

Θέλημα, καὶ θελητικὸν καὶ θελητὸν οὐ ταυτόν ἐστι. θέλημα μὲν γάρ ἐστιν οὐσίας νοερᾶς νοερὰ ὄρεξις, θελητικὸν δέ ἐστι αὐτὸ τὸ θέλησιν ἔχον, θελητὸν δὲ τὸ ἀγαπώμενόν ἐστι.

Θέλημα, εἴρηται παρὰ τὸ θέειν λίαν ἅμα τὴν φύσιν. παρὰ τὸ αὐτὴν λήγειν, ἢ τοῦ θελητοῦ λῆμμα, ἤγουν κράτημα.

Θέλημος, θελήσω μέλλων, ὡς ἀπὸ περισπωμένου τοῦ θελῶ, θελήσω. θέλησμος, ὡς μελῶ μελήσω μέλησμος. καὶ ἀποβολῇ τοῦ σ θέλημος. Ἡσίοδος, οἱ δ' ἐθέλημοι ἥσυχοι ἔργα νέμοντο [3].

Θελκτήρια, εἰς τὸ θερίκλειον.

Θέλημα, παρὰ τὸ θέειν λίαν. ἢ τοῦ θελητοῦ λῆμμα, ἤγουν κράτημα.

Θέλω, λέγεται καὶ ἐθέλω. ποίας διαθέσεως; οὐδετέρας. τὸ γὰρ ἐθέλω καὶ ζῶ καὶ πλουτῶ καὶ ὑπάρχω οὐδετέρας ἐστὶ διαθέσεως· διότι οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῖ.

Θεμέλιον, παρὰ τὸ δέμω τὸ οἰκοδομῶ, δεμέλιον καὶ θεμέλιον. ἐκ δὲ τοῦ θεμέλιον γίνεται θεμελιῶ. τὸ δὲ θεμελιῶ ἀπὸ τοῦ δέμω τὸ οἰκοδομῶ, δεμελιῶ καὶ τροπῇ τοῦ δ εἰς θ θεμελιῶ.

Θεμείλια, Ἰωνικὴ ἡ διάλεκτος, καὶ θεμέλια κοινῶς.

Θέμεναι, θεῖναι, ποιῆσαι, ὁ κανών· ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων, εἰώθασιν οἱ Δωριεῖς ἐπεντιθέναι τὴν με συλλαβήν· καὶ εἰ μὲν εὕρωσι δύο φωνήεντα, τὸ ἓν ἀποβάλλουσιν. οἷον, θεῖναι θέμεναι, δοῦναι δόμεναι. εἰ δὲ ἓν φυλάττουσιν, οἷον, γνῶναι γνώμεναι.

Θέμις, τὸ δίκαιον καὶ πρέπον· ἐκ τοῦ θεμὸς, ὃ σημαίνει τὸν νόμον, γίνεται θέσμις, καὶ ἀποβολῇ τοῦ σ θέμις.

Θεμιστὶς, ἡ δίκη, καὶ κλίνεται θεμίστιος, θέμιστι, θέμιστιν.

Θεμιστὰς, δίκας, νόμους, καὶ κριτάς. παρὰ τὸ τίθησι θεμὸς, καὶ μετὰ τοῦ σ θεσμὸς καὶ θεσμίς. καὶ θέμις κατ' ἀποβολὴν τοῦ πρωτοτύπου θέμιδος καὶ θέμιτα. καὶ θεμιστὰς κατὰ πλεονασμόν.

Θέναρ, τὸ κοῖλον τῆς χειρὸς, διὰ τὸ σθένειν, δι' αὐτοῦ γὰρ πάντα γίνονται. ἢ παρὰ τὸ σθένειν αὐτὸν ἐν γυμνασίοις. καὶ εἰς τὸ θείνω, καὶ ὑπάρχω.

Θεόγραφος, παρὰ τὸ θεὸς καὶ τὸ γράφω γίνεται θεογράφος, ὁ ὑπὸ θεοῦ γραφεὶς, θεόγραφος δὲ ὁ τὸν θεὸν γράφων.

Θεοείκελος, παρὰ τὸ θεὸς καὶ τὸ εἴκελος, ὃ δηλοῖ τὸ ὅμοιον, ὁ θεοῖς ὅμοιος. τὸ δὲ εἴκελος ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ, ὡς παρὰ τὸ πρέπω πρέπελος.

Θεόδμητον, παρὰ τὸ θεὸς καὶ τὸ δομῶ, ὃ σημαίνει τὸ κτίζω, θεοδόμητον, καὶ κατὰ συγκοπὴν θεόδμητον, καὶ κατ' ἀναβίβασιν τοῦ τόνου. σημαίνει τὸ θεόκτιστον.

Θεόκελος, εἰς τὸ ὕστατος.

Θεοκλυτοῦσιν, ὡς θεοὺς ἐπικαλοῦνται, παρὰ τὸ θεὸς καὶ τὸ κλύω, ὃ σημαίνει τὸ καλῶ.

Θεομαχία, εἰς τὸ θεημαχία.

Θεόπιν, θέσπιν, ἐκ τοῦ θεὸς καὶ τοῦ ὂψ ὀπός. καὶ εἰς τὸ νοσφιζοίμεθα.

Θεοπρεπέων, ὁ ἐκ θεοῦ μαντευόμενος. μετοχὴ συζυγίας πρώτης τῶν περισπωμένων, ὥσπερ καὶ τὸ κοιρανέων, ἐκ τοῦ θεοπρεπεύω θεοπρεπῶ· ἔστι δὲ παρασύνθετον ἐκ τοῦ θεοπρόπος· τοῦτο δὲ σύνθετον ἐκ τοῦ θεὸς καὶ τοῦ πρέπω [4] τὸ προλέγω, ὁ τὰ ἐκ θεοῦ προλέγων. ὅτι τὰ εἰς πις [5] ῥήματα δισύλλαβα φύσει μακρᾷ παραληγόμενα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχονται, βαρύνονται. οἷον, τράμπις, ἔστι δὲ βαρβαρικὴ ναῦς, κάλπις κάλπιδος, θέσπις θέσπιδος, εἰ δὲ ἀπὸ φωνήεντος ἄρχονται, ὀξύνονται, ἐλπὶς ἐλπίδος, ἐμπὶς, ὁ κώνωψ, ἐμπίδος, ἀσπὶς ἀσπίδος, καὶ εἴ τι ὅμοιον.

Θεοῖο, γενικὴ κατὰ Θεσσαλούς. γέγονε δὲ παρὰ τὸ θέω τὸ τρέχω. ἢ παρὰ τὸ αἴθω τὸ καίω. ἢ παρὰ τὸ θῶ τὸ ταχὺ ἀκούω. θοὸς ὁ τοῖς κράζουσι ταχύς.

Θεοπρόπιον, τὸ ἐκ θεοῦ μάντευμα, παρὰ τὸ ἔπω ἔπιον τὸ λόγιον, ὡς λέγω λόγιον, καὶ μετὰ τῆς πρὸ προθέσεως προέπιον, καὶ συγκοπῇ πρόπιον, καὶ μετὰ τοῦ θεὸς θεοπρόπιον. οὗτοι γὰρ ὡς πάντα ἐπιστάμενοι λέγουσι τοῖς ἀνθρώποις ἠγνοημένα, οἱονεὶ θεοπρόπιον, τὸ ἐκ θεοῦ λεγόμενον.

Θεοουδὴς, ὁ θεοῖς ὅμοιος. ἢ θεοαδὴς ὁ θεοῖς ἀρέσκων. ἢ θεοῦ ἔχων αὐδὴν, ὅ ἐστι προσηνής. καὶ μειλίχιος θεοῦ ὡς τρεπόμεθα αὐδήν. ἢ θεοὺς δεδοικώς.

Θεοὺς, ὁ Ἀπολλόδωρος ἀπὸ τοῦ θεῖν. τινὲς δὲ ἀπὸ τῆς θερμότητος. ὁ δὲ Ἀπολλόδωρος καὶ ἀπὸ τοῦ εἶναι τοῦ

---

1) ὑπέφηνε (Sic.) Prioribus litteris erasis, haec vox superinducta est ab altera manu. Leg sine dubio ut in Etym. M. εἴπε· φήμεις. ex Od. I, 337. 2) Od. X, 326. 3) Ἔργ. 119. 120. 4) L. πρέπω. 5) ὅτι τὰ εἰς πις ῥημ. Aliena haec sunt, referenda forsan ad vocem θέσπις. infra p. 260. l. 54 cf. ibid. v. θεσπεσία.

θεάσασθαι τὴν ἀκτῖνα τοῦ ἡλίου καὶ τῆς σελήνης [1]). οἱ δὲ ἀπὸ τῆς θερμότητος λέγουσιν, ἀπὸ τοῦ θεοῦ ἄρχοντα τὸν θάνατον, ψυχρὸν ὄντα κατ' ἀντίφρασιν, ὡς καὶ θερμοῦ θεῖν τὸ ἱερὸν Αἰγυπτίων, ψυχροποιὸν γάρ ἐστι.

Θεὸς, διὰ τοῦ θέειν ἤγουν τρέχειν καὶ προφθάνειν τὰ πάντα· ἢ διὰ τὸ αἴθειν ἤγουν φλογίζειν. ἢ διὰ τὸ θεωρεῖν τὰ πάντα. ὅθεν καὶ οἱ τοῖς ὀφθαλμοῖς τῆς καρδίας θεωροῦντες αὐτὸν θεοὶ ἐκλήθησαν. ὡς τὸ ἐγὼ εἶπα, θεοὶ ἐστέ.

Θεουδεὶς, οὐκ ἔστιν ὡς τινὲς θεοαδὴς, παρὰ τὸ ἅδειν καὶ ἀρέσκειν τῷ θεῷ. ἔστιν οὖν θεεδὴς ὁ τὰ ἔδη τουτέστι τὰ ἐδάφη τῶν θεῶν σέβων. θεὸς γὰρ λέγεται, παρὰ τὸ θέειν τὰ πάντα, ἤτοι τεθεᾶσθαι.

Θέσφατον, εἰς τὸ νοσφιζοίμεθα.

Θεουργία, θεοῦ ἔργον.

Θεράπων, παρὰ τὸ θείνω τὸ τύπτω γίνεται θενάπων, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον θεράπων· ἢ θεραπεύω, θεράπων, θεράπεια, ἢ παρὰ τὸ θεραπεύειν τὸν κρείττονα.

Θερείβοτον, τόπος, πεδίον, τὸ ἔχον δόσιν ἐν τῷ θέρει. γράφεται δὲ διὰ διφθόγγου. παρὰ γὰρ τὴν θέρει δοτικὴν, καὶ τὸ βοτὸν, τὸ σημαῖνον τὴν βοσκὴν γέγονε θερείβοτον. σημαίνει δὲ τὸν τόπον τῶν χόρτων τὸν ἔχοντα βοσκήν· ἤγουν ἐν θέρει.

Θέρεια, ὁ καιρὸς τοῦ θέρους διὰ τῆς ει διφθόγγου. πρῶτον μὲν τῷ λόγῳ τῶν διὰ τοῦ ειος προπαροξύνεται. δεύτερον, ὡς παρὰ τὸ θάλλω θάλεια, οὕτω καὶ παρὰ τὸ θέρω, τὸ σημαῖνον τὸ θερίζω, θέρεια.

Θερμὸς, τινὲς θρέμιον, ὅτι τῶν ἄλλων ὀσπρίων θρεπτικώτερόν ἐστι. τινὲς δὲ κατ' ἀντίφρασιν, μόνος γὰρ οὐκ ἐσθίεται θερμὸς, ἀλλὰ ψυχριζόμενος· ἢ ὅτι θερμοῦται πρότερον.

Θερὸς, παρὰ τὸ θέρειν, ὅ ἐστι θερμαίνειν, τὸ δὲ θέρω, παρὰ τὸ θέω πλεονασμῷ τοῦ ρ. τὸ γὰρ ταχὺ καὶ θερμὸν λέγομεν. ὥσπερ παρὰ τὸ φθείω φθείρω, θέω θέρω.

Θερσίτης, κύριον. γίνεται δὲ ἐκ τοῦ θέρσω μέλλοντος, Αἰολικῶς θέῤῥω, ὁ θερματικὸς ἐν τῷ λέγειν. τὸ σι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιτης παρώνυμα. καὶ παρώνυμόν ἐστι. καί ἐστι θέρσος, ὥσπερ βάθος βένθος, πάθος πένθος, οὕτω καὶ θάρσος θέρσος, τροπῇ τοῦ α εἰς ε. τὸ σι μακρὸν, καὶ ἅπαντα τὰ διὰ τοῦ ιτης μακρά εἰσι.

Θερσίτης, παρὰ τὸ θέρω τὸ θερμαίνω. θερμὸς γὰρ καὶ προπετὴς ἦν. ἢ ἀπὸ τοῦ θέρσος Αἰολικῶς γέγονε Θερσίτης.

Θέσκελον, θαυμαστὸν. τὸ θες ἀπὸ τοῦ τιθῶ γέγονε τίθημι.

Θέσθαι καὶ ὑποθέσθαι διαφέρει. θέσθαι μὲν γάρ ἐστι τὸ λαβεῖν ὑποθήκην· ὑποθέσθαι δὲ τὸ δοῦναι ὑποθήκην.

Θερῶ, τὸ καίω, παρὰ τὸ θέω, τὸ γὰρ ταχὺ καὶ θερμόν. φαμὲν δὲ θερῶ περισπωμένως.

Θέρω, τὸ θερμαίνω. θέρων ὄντως ὁ θερμαίνων ἥλιος. ἐξ οὗ θέρος. καὶ εἰς τὸ ἀθέριξ, καὶ εἰς τὸ ἐθρόησε, καὶ θάρσος, καὶ θερμὸς, καὶ θέρος, καὶ θρῆνος, καὶ θηρός.

Θεοείκελος, καὶ ἐν συγκοπῇ θεόκελος. καὶ ὥσπερ θεόφαντος θέσφατος, οὕτω καὶ θεόκελος θέσκελος. καὶ εἰς τὸ ὕστατος.

Θὲς, ἀπὸ τοῦ τιθῶ γέγονε τίθημι. ἀνατεθῆναι καὶ ἀνατετείμενος, προστιτὼν, προστιτείς. ζήτει.

Θεσμὸς, ὁ νόμος, ἀπὸ τῆς θέσεως. ἕκαστος γὰρ νομοθέτης, ὡς ἐβούλετο, ἐτίθει τοὺς νόμους. καὶ εἰς τὸ θέμις καὶ πρόθεσμα.

Θεσπεσία, ἡ θεία, ἐκ τοῦ θεσπίς. πῶς θέλει λέγεσθαι θέσπις ἢ θεσπὶς, ὡς ἐλπὶς, ἐμπίς; παροξύνεται. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ις. καὶ ἔγραψα εἰς τὸ θεοπρόπιον [2]).

Θεσπέσιος, θεῖος, θαυμαστὸς, οἷον, θεοπρέπιος, ὁ ἀκολουθῶν καὶ ἕπων θεοῖς.

Θεσπίζω, σημαίνει τὸ ὁρίζω καὶ νομοθετῶ. ἀφ' οὗ καὶ θέσπισμα τὸ θεῖον δόγμα.

Θέσπιν, θείαν φωνήν· θηλυκὸν, ἐκ τοῦ θεὸς καὶ τοῦ ὄψ, ἡ φωνὴ, γίνεται θεόσπις, καὶ κατὰ συγκοπὴν θέσπις, τῆς θέσπιδος. ὁ κανὼν, τὰ εἰς ις θηλυκὰ, διὰ τοῦ π ἐκφερόμενα, εἴτε ἁπλᾶ εἴτε σύνθετα, διὰ τοῦ δος κλίνεται.

Θεσσαλονίκη, παρὰ τὸ θὲς ἄλλος τὴν νίκην.

Θέσφατος, ὁ ἐκ θεοῦ πεφημισμένος. καὶ εἰς τὸ ἀθέσφατος, καὶ νοσφιζοιμεθα.

Θέτι, τὸ τι ἰῶτα διάτι; ὥσπερ ἀπὸ τοῦ μῆτις μήτιδος, κατ' ἀποβολὴν τοῦ δ μήτιος, ἡ δοτικὴ μήτιϊ καὶ κράσει τῶν δύο ιι εἰς ἓν μακρὸν μήτι. οἷον, μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο [3]). οὕτω καὶ ἀπὸ τοῦ Θέτις Θέτιδος, κατ' ἀποβολὴν τοῦ δ Θέτιος, οἷον, Θέτιος δ' ἐξαίσιον ἀρὴν [4]), καὶ ἐκεῖθεν Θέτιϊ καὶ κράσει τῶν δύο ιι εἰς ἓν Θέτι. ὡς παρὰ τῷ ποιητῇ· πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν [5]).

Θετταλικὸς, ὄνομα ἐκ τοῦ Θετταλοῦ. τοῦτο δέ ἐστι πόλις Θεσσαλίας, καὶ Θεσσαλός.

Θέω, τὸ θάλλω καὶ ἀνθῶ, ἐξ οὗ καὶ τὸ τηλεθόωντες καὶ θαλέθοντες. καὶ εἰς τὸ ἐνήνοθε, καὶ διάττειν, καὶ εὐθὲς, καὶ θόρυβος, καὶ νηγάτεον, καὶ ὀρθῶς, καὶ πτολίπορθος, καὶ θοῦ.

Θεωρία, παρὰ τὸ θεῖα ὁρᾶν.

Θεωρὸς, παρὰ τὸ θεὸς καὶ τὸ ὁρῶ. ἢ παρὰ τὸ θεῖον ὁρᾶν. τὰ παρὰ τὸ ὁρῶ συντιθέμενα ὀνόματα, διὰ τοῦ ω γράφεται.

Θεωρὸς καὶ θεατὴς διαφέρει. ὁ μὲν γὰρ εἰς θεοὺς πεμπόμενος ἤγουν φροντίζων, καὶ θεωρὸς λέγεται. ὁ δὲ ἀγώνων καὶ θεάτρων θεατής. δι' ὃ ἁμαρτάνουσιν οἱ λέγοντες, θεωρῆναι με δεῖ τὸν ἀγῶνα ἐπεὶ δέον εἰπεῖν θεάσασθαι.

Θεωρικὸς καὶ θεωτικὸς διαφέρει. θεωρικὸς μὲν γάρ ἐστιν, ὁ περὶ θέατρά τινα καὶ δημώδη ἀσχολούμενος. θεωτικὸς, ὁ δι' ὑπερβολὴν φρονήσεως καλῶς δυνάμενος θεωρῆσαι λογικὰ θεωρήματα.

Θέσις, ἡ εὐθεῖα ἡ θέσις, τῆς θέσιος καὶ θέσεως, αἱ θέσεες καὶ θέσεις. οἱ δὲ ἀπὸ τῆς θέσιος γενικῆς γέγονε. Ἰωνικῶς γέγονε καὶ διὰ τοῦ ι. ἐγράφη ἂν οἷον θέσιες, καὶ κράσει τοῦ ι καὶ ε εἰς ι μακρὸν θέσις. καὶ γὰρ τὸ ι, εἰ μὲν ἐπιφέρηται τὸ ε, τὸ ι μόνον ἐπικρατεῖ, καὶ εἰς αὐτὸ γίνεται ἡ κρᾶσις. οἷον, ἱερὸν ἱρὸν, ἱερεὺς ἱρεὺς, ἱέραξ ἵραξ. εἰ δὲ ἐπιφέρηται τὸ ε

1) Corrupte. 2) Cfr. supra p. 258, l. 48. 3) Il. XXIII, 318. 4) Il. XV, 598. 5) Il. XVIII, 407.

ἐν διφθόγγῳ, ἡ δίφθογγος ἐπικρατεῖ, οἷον, ὑγίεια ὑγεῖα, Ἀπολλωνίεια, Ἀπολλώνεια.

Θεαζόντων, μαινομένων.

Θεηγόροι, θεολόγοι, οἱ ἐκ θεοῦ λαμπόμενοι.

Θεήλατος, ὁ ὑπὸ θεοῦ πεμφθείς.

Θεῖαι [1]), οἱ σποροὶ τοῦ ψάμμου, καὶ ὁ ἀδελφὸς τοῦ πατρός. καὶ ἡ ἀκτὶς τοῦ ἡλίου.

Θέμεθλα, ῥίζαι, θεμέλια.

Θημωνία, ω μέγα καὶ ἰῶτα. παρὰ τὸ θήμωνα γὰρ ἦν. καὶ παρὰ τὸ θεῖναι.

Θηλαμὼν, ἡ τροφός. παρὰ τὸ θηλάσω ῥῆμα.

Θηλὴ, ὁ μαστὸς, ὁ γαλουχῶν.

Θηεῦντο, σημαίνει τὸ ἐθεώρουν. ἔστιν οὖν θεῶ, θεάσω, τὸ παθητικὸν θεάομαι θεῶμαι, ὁ παρατατικὸς ἐθεαόμην ἐθεώμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐθεάοντο ἐθεῶντο. καὶ οἱ Δωριεῖς τρέπουσι τὸ ω εἰς τὴν ου δίφθογγον, καὶ γίνεται ἐθεοῦντο, καὶ συστολῇ τῆς ἀρχούσης, καὶ τροπῇ τοῦ ε εἰς η, θηεῦντο.

Θνησιμαῖος, ὁ νεκρὸς, ἐκ τοῦ θνήσιμος. τὸ μαι διφθόγγῳ διάτι; τὰ διὰ τοῦ αιος καθαρὰ ἀπὸ πρωτοτύπων τῶν εἰς ος γινόμενα, διὰ τῆς αι διφθόγγου γράφεται. λῖνος λιναῖος, δρόμος δρομαῖος.

Θήλεια, παρὰ τὸ θάλλειν καὶ γεννᾷν, ὅθεν καὶ ἔμβρυον τὸ τικτόμενον, διὰ τὸ βρύειν, καὶ ὕπομβρος δὲ νῦν θήλεια καλεῖται παρὰ Σοφοκλεῖ, διὰ τὸ θάλλειν ἐν αὐτῷ τοὺς καρπούς.

Θῆλυς καὶ θήλεια. ἔστι ῥῆμα θῶ καὶ δηλοῖ τὸ τρέφω, ὁ μέλλων θήσω, παρ' οὗ θηλὴ ὄνομα ῥηματικὸν, καὶ τροπῇ τοῦ η εἰς [illegible]ῆλυς, οὗ γένος θηλυκὸν θήλεια. οὕτω Φιλόξενος. θηλὴ ὡς κάρη, κάρης καὶ κάρις. εἴρηται δὲ καὶ κάρη, φησὶν ὁ Καλλίμαχος.

Θηκάρη, θήκη ἄρεως. ἄρης γὰρ ὁ πόλεμος λέγεται, ἢ ὁ σίδηρος.

Θηλαμὼν, ἡ τροφὸς, παρὰ τὸ θῶ ὃ δηλοῖ τὸ τρέφω, οὗ ὁ μέλλων θήσω. ἢ παρὰ τὸ θεάσω.

Θηλὴ, ἀπὸ τοῦ θηλῆς. τινὲς δὲ ἀπὸ τοῦ ἐντίθεσθαι, διὸ καὶ τιθὸς καὶ τιθήνη. ἀπὸ τοῦ τῶν τιτθίων.

Θῆλυς, ἡ θήλεια, παρὰ τὸ θῶ τὸ τρέφω, θήσω, καὶ θήλω, καὶ θῆλυς.

Θηλύμαστος, ὁ γαλουχῶν.

Θηριωδία, ἡ πικρία, ἐκ τοῦ θηριώδης, ἐξ οὗ καὶ ἐκθηριεῖ.

Θημωνία, ἡ σωρὸς, τὸ θη ἦθα, ἐκ τοῦ τίθημι θήσω γίνεται θημώνη, καὶ ἐξ αὐτοῦ θημωνία. τὸ μω μέγα διάτι; τὰ εἰς ων περιεκτικά. καὶ τὰ ἑξῆς.

Θήπει, ψεύδεται, ἐκ τοῦ θωπεύω.

Θήπω, τὸ ἐκπλήττομαι, ἀφ' οὗ καὶ τάφος. καὶ ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς [2]), καὶ τὸ, τεθηπότες ἠΰτε νεβροὶ [3]), ἀντὶ τοῦ ἐκπλαγέντες. καὶ εἰς τὸ θάμβος.

Θηρία, ἡ πόλις καὶ ἡ ἄγρα, ἤτοι τὸ κυνήγιον.

Θηρεύω καὶ θηρῶ τὸ συλλαμβάνω, καὶ κρατῶ καὶ κυνηγῶ. ἐξ αὐτοῦ θηρεύουσιν ἐπὶ ψυχῆς. καὶ θηρῶ, θηρᾷς, θηρᾷ. καὶ ἐξ αὐτοῦ τὸ θήρωμαι δόξαν. καὶ θηρῶνται, ὅ ἐστι ζητοῦνται.

Θηρίκλειον, σημαίνει τὸ Θηρικλέους ποτήριον, ὡς φησὶν Εὔμηλος· ὅθεν καὶ θελκτήρια πολλαχῶς τὰ ἄσματα, ἀπὸ τῶν ᾠδῶν, ἃ τοὺς ἀκούοντας θέλγει καὶ ἄγει εἰς τέρψιν.

Θηρίκλειον, εἶδος ποτηρίου, ἀπὸ τοῦ ποιήσαντος αὐτὸ Θηρικλέους, ὡς φησὶν Εὔβουλος, ὁ τῆς μέσης κακίας [4]) ποιητής.

Θήας, ἔστι ῥῆμα θῶ δηλοῦν τὸ τρέφω, ὁ μέλλων θήσω, θήσεις, θήσει.

Θηλὴ, παρὰ τὸν θήσω μέλλοντα, ὃ δηλοῖ τὸ θηλάζω.

Θηρίον, παρὰ τὸ θήρ. τοῦτο παρὰ τὸ φθείρω, φθερῶ, φθεὶρ καὶ θήρ. παροξύνεται. τὸ ρι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιον οὐδέτερα, μονογενῆ διὰ τοῦ ι γράφεται. ζήτει εἰς τὸ κανόνας.

Θηρίον, διὰ τὸ θέειν ῥᾷον ἤγουν τρέχειν· ἢ διὰ τὸ θηρεύειν τὴν θήραν, τὴν κυνηγέτην ἐπιστήμην, παρὰ τὸ θὴρ θηρὸς· τοῦτο παρὰ τὸ θήρα, ἀποβολῇ τοῦ α. ἢ διὰ τὸ θεωρεῖν.

Θηρὸς, ἡ εὐθεῖα ὁ θὴρ, τοῦ θηρός. γέγονε παρὰ τὸ θέρω τὸ θερμαίνω. κυρίως δὲ λέγεται θὴρ ὁ λέων, ὁ θερμὸς, ἐπειδὴ καὶ πάντα τὰ θηρία θερμά εἰσι.

Θήγη, ἡ ἀκόνη, καὶ θήγω τὸ ἀκονῶ. ἔλλειψις τοῦ ο παρὰ τὸ θοῦν, θοήγω καὶ θήγω.

Θὴς, παρὰ τὸ τῶ τὸ ζητῶ, ὁ ἐπὶ μισθῷ δουλεύων.

Θὴς καὶ λάτρις καὶ ἄτμενος διαφέρει. θὴς μὲν γὰρ ὁ ἐπὶ μισθῷ δουλεύων. λάτρις δὲ, ὁ κατὰ πολεμικὴν περίστασιν ἁλοὺς, καὶ εἰς δουλείαν ἀχθείς. ἀμφίπολον δὲ κοινὸν ἄρρενος καὶ θηλείας ὄνομα δούλου. ἄτμενος δὲ, οὐ μόνον ὁ δοῦλος, ἀλλὰ καὶ ὁ τεταγμένος ἐλεύθερος. καὶ εἰς τὸ ἄϊξε καὶ σέσηπε.

Θησαυρὸς, ἐκ τοῦ τίθημι θήσω θησαυρὸς, ταμεῖον, κελλάριον, φυλακτήρ.

Θήσειν, ἀφορίζειν, ποιήσειν.

Θήσειν σημαίνει δύο, τὸ ποιεῖν καὶ τὸ θηλάζειν.

Θῆτες, οἱ μίσθιοι, παρὰ τὸ τηγᾶν, ὅ ἐστι σπανίζεσθαι τροφῆς, καὶ διὰ τοῦτο δουλεύειν ἐλευθέρους ὄντας, οἱονεὶ οἱ ποιητοὶ δοῦλοι. ἢ παρὰ τὸ τῶ τὸ ζητῶ, ὁ ἐπὶ μισθῷ δουλεύων.

Θῆτες, παρὰ τὸ τητᾶσθαι, οἷον, τῆτες, θῆτες.

Θητικὸν, θεραπευτικὸν, ὑποχείριον, ἐργαστικὸν τῶν δεόντων, μισθαρικόν. σημαίνει δὲ τὸ ἔσχατον τίμημα παρ' Ἀθηναίοις, εἰς δεῖν τοῦ πολιτεύματος διῃρημένου τέλη. γέγονε δὲ ἀπὸ τοῦ θὴς, θητὸς, θητικός. κτητικοῦ τύπου. τὸ δὲ θὴς παρὰ τὸ τῶ ὃ σημαίνει τὸ λαμβάνω, ὅπερ μετὰ τῆς τη στερήσεως γίνεται τητῶ τὸ οὐ λαμβάνω. θῆτες οὖν καὶ οἱ μισθῷ διὰ πενίαν ἐργαζόμενοι, παρὰ τὸ τητᾶσθαι ὅ ἐστι στερεῖσθαι, ὡς τῆτες καὶ θῆτες, κατὰ τροπὴν τοῦ τ εἰς θ.

Θῆτα, εἴρηται, ὅτι τὴν τοῦ παντὸς θέσιν μιμεῖται. ἡ δὲ τοῦ παντὸς θέσις οὐρανός ἐστι, ὅς τό, τε κυκλοτερὲς ἔχων, κατὰ τὸν διὰ μέσου ἄξονα. τῇ κατὰ τὴν μέσην οὔσῃ μακρᾷ. χαρακτηρισθὲν οὖν οὕτως· εἰκότως καὶ ἐοικυῖαν ἔλαβεν ὀνομασίαν.

Θησεῖον, διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα. τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τὸ ειον παρακείμενα, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον, κουρεὺς κουρεῖον, βαφεὺς βαφεῖον, βαλανεὺς βαλανεῖον. οὕτως οὖν καὶ Θησεὺς Θησεῖον. ταῦτα δὲ προπερισπῶνται πλὴν τοῦ Θήσειον Φύσειον, ἔστι δὲ ὄνομα πόλεως, ἀπὸ Φέσεως κτίσαντος. τὸ δὲ Θήσειόν ἐστι ναὸς τοῦ Θήσεως, ἐν ᾧ οἱ δοῦλοι προσέφευγον.

Θηλυμανεῖς, γυναιμανεῖς, πόρνοι.

Θήγειν, ἅπτεσθαι, ἐγγίζειν.

R 2

---

1) cf. supra v. Θεία. 2) Il. XXIII, 101. 3) Il. IV, 243. 4) L. κωμῳδίας.

Θῆβις, τὸ κιβώτιον πλεκτικὸν ὡς Φοινικώδη.

Θήρατρον, παγίς, ἄγκιστρον.

Θηγήτορα, ἀγρευτήν.

Θηροῦντα, ἐπιτηροῦντα.

Θοίνη, ἡ εὐωχία, ὡς παρὰ τὸ ἀγκὼν, ἀγκόνη καὶ ἀγκοίνη.

Θὶς, ἐπὶ τοῦ σωροῦ δύναται· παρὰ τὸ θῶ, ἀφ' οὗ θεῖναι καὶ ἐπιθεῖναι. θὶς διὰ τοῦ ἰῶτα, τὰ γὰρ εἰς ις δικατάληκτα διὰ τοῦ ἰῶτα γράφεται. οἷον, δελφὶς, θαλαμὶς, τελχίς. οὕτως οὖν καὶ θὶς, διότι καὶ θίν. ἰστέον δὲ ὅτι τὸ θὶς σημαίνει τὸν αἰγιαλόν. οἷον, θῖνος ἐφ' ἁλός. σημαίνει δὲ καὶ τὸν σωρὸν, πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς [1]), ἀντὶ τοῦ σωρός. παρὰ τὸ εἰς ὕψος ἀναθέειν· ἡ θὶς, θηλυκὸν, ὁ αἰγιαλός.

Θίασος, ἀπὸ τοῦ θὶν ὅ ἐστι θεύειν. τοῦτο παρὰ τὸ ἐνθουσίαν, ὅθεν θιασώτας λέγουσι. τοὺς περὶ Διόνυσον. ὤφειλε δὲ διὰ διφθόγγου γράφεσθαι. ἐτυμολογεῖται γὰρ παρὰ τὸ τὰ θεῖα ᾄδειν. ἀλλ' ἡ παράδοσις, παρέλαβεν αὐτὸ γράφεσθαι διὰ τοῦ ι. θίασος δὲ λέγεται χορὸς, ἐξ οὗ καὶ θιασώτης ὁ χορευτής. τὸ θι καὶ τὸ σω μέγα ἀπὸ παραδόσεως.

Θιασώτας, τοὺς τὰ θεῖα ᾄδοντας. ἐκ τοῦ ἄσαι. θειάζω τὸ θαυμάζω, δίφθογγος ἐκ τοῦ θεῖνα.

Θιασώτης, ἐκ τοῦ θειάζω, πολλὰ γὰρ ὀνόματά εἰσι.

Θὶς, θινὸς, ὁ αἰγιαλὸς, ἀπὸ τοῦ τίθεσθαι, καὶ ἀκτὴ λέγεται ἀπὸ τοῦ κατάγεσθαι τὰ κύματα ἐν αὐτῇ.

Θῖνα, τὸν εὔδιον καὶ ἥσυχον αἰγιαλὸν, παρὰ τὸ θείνω τὸ τύπτω, εἰς ὃν ἐγκρούουσι τὰ κύματα. σημαίνει καὶ τὸ φονεύω καὶ θλίβω, παρὰ τὸ θλῶ θλίβω. ἢ παρὰ τὸ θλύβω καὶ ἐξ αὐτοῦ θλίβω, τροπῇ τοῦ υ εἰς ι. τὸ δὲ θλίβω σημαίνει δύο· τὸ συντρίβω τὴν ψυχὴν καὶ τὸ πατῶ τὴν σταφυλήν.

Θνήσκω, παρὰ τὸ θνῶ, θνήσω, θνήσκω, τρῶ, τρώσω, τρώσκω καὶ τιτρώσκω, καὶ βρῶ, βρώσω, βρώσκω καὶ βιβρώσκω. δηλοῦσιν οἱ Δωριεῖς θνάσκω λέγοντες.

Θνητὸς, παρὰ τὸν θνήσω μέλλοντα, θνητὸς ὁ θανὼν καὶ θνησιμαῖος, παρὰ τὸ ἐν τῷ διαστέλλεσθαι ἀθανάτου. ἢ παρὰ τὸ θανῶ, θανήσω, θανητὸς καὶ θνητός.

Θνᾶ, εἰς τὸ θνήσκω καὶ τεθναίη.

Θοὴ, ἡ ὀξεῖα καὶ ταχεῖα, παρὰ τὸ θέω. τὸ θε ψιλὸν διάτι; τὰ διὰ τοῦ εω ῥήματα δισύλλαβα, συναιρούμενα κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τοῦ ε ψιλοῦ γράφεται, οἷον, ζέω, πλέω, θέω.

Θοίνη, ἡ εὐωχία, παρὰ τὸ θῶ τὸ τρέφω, οὗ ὁ μέλλων θήσω, ὄνομα ῥηματικὸν θώνη, καὶ τροπῇ τοῦ ω εἰς τὴν οι δίφθογγον θοίνη. καὶ εἰς τὸ θωρῆξαι.

Θοίνη, θῆναι σημαίνει τὸ φαγεῖν, γίνεται δὲ ἐκ τοῦ θοίνη ἡ εὐωχία. τὸ δὲ θοίνη παρὰ τὸ θῶ, τὸ ἀπολαύω, ὁ μέλλων θώσω, θώνη, καὶ οἱ Δωριεῖς τὸ ω εἰς τὴν οι δίφθογγον τρέπουσι. τὸ γὰρ χελώνη χελοίνη λέγουσιν· οὕτω καὶ τὸ θώνη θοίνη, καὶ ἐξ αὐτοῦ θοινῶ τὸ εὐωχοῦμαι. ἐς δ' αὐτοὺς προτέρω ἄγε, θοινηθῆναι [2]).

Θοὴν νύκτα, ταχέως δοκοῦσαν παρεῖναι, διὰ τὸ ἡδέως ἡμᾶς ἐν αὐτῇ ἀναπαύεσθαι.

Θορὸς, ἡ ἔκχυσις τοῦ σπέρματος, παρὰ τὸ μετὰ ὁρμῆς πέμπεσθαι.

Θορούσης, πηδώσης καρδίας.

Θορὸς, ὁ σπόρος ὁ ἀνθρώπινος, ὁ ἀπὸ τοῦ θορεῖν, ὁ μετὰ ὁρμῆς πεμπόμενος. θῶρος δὲ ἡ τροφὴ καὶ ἡ μέθη, παρώνυμον θώραξ, ὡς λίθος λίθαξ. θώραξ οὖν ὁ δεκτικὸς τόπος τῆς τροφῆς εἴρηται.

Θόρυβος, παρὰ τὸ θέω τὸ τρέχω γέγονε θέρυβος, καὶ τροπῇ τοῦ ε εἰς ο θόρυβος.

Θορῶ, τὸ πηδῶ, ἐξ οὗ καὶ θρίξ. εἰς τὸ δόρυ καὶ ἐθρόησε, καὶ ἔχθιστος καὶ ἐχθρὸς, καὶ θρόνος καὶ τραχός.

Θοὰς, ταχείας, ὁρμάς.

Θοὴ, ἡ θυσία.

Θολοῦσα, σκοτοῦσα.

Θοιμάτιον, τὸ ἱμάτιον.

Θολῶδες, τεταραγμένον, σκοτεινόν.

Θουκυδίδης, ὁ Ἀθηναῖος συγγραφεύς.

Θοῦρον, πηδητικὸν, ταχὺ, πολεμικώτερον.

Θόλος. κυκλοτερὲς οἴκημα, ὑπὸ τοῦ περιθεῖν, εἰς ὃ τὰ καθ' ἑκάστην ἡμέραν εἰς χρῆσιν πίπτοντα ἀπετίθεντο.

Θούριος, ὁ πηδητικὸς, παρὰ τὸ ἐνθουσιᾶν.

Θοῦρις, ἡ ἀσπὶς, ἀπὸ τῶν περιεχομένων, τὸ περιέχον.

Θρᾶξ, εἰς τὸ αἴξ.

Θοῦρος, ὁ πολεμικὸς, παρὰ τὸ θόος ὁ ῥούων ἤγουν ὁρμῶν, καὶ εἰς τὸ θωρῆξαι.

Θρῆσκος, ὁ ἑτερόδοξος, αἱρετικός.

Θρῆνυν, ἀρσενικῶς, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει, τῷ κεν ἐπισχοίης [3]). οὐ γάρ ἐστιν οὐδέτερον εἰς υν λῆγον. εἴρηται δὲ θράνον, ὅ ἐστι μικρὸν ὑποπόδιον.

Θρῆνυς, ἡ τῶν ἐρετῶν ἤγουν κωπηλατῶν σανὶς, ἀφ' ἧς καὶ θανῖται λέγονται, παρὰ τὸ ἐπ' αὐτὴν ἵζειν.

Θραῦσις, ὀργὴ, πληγή. εἴρηται δὲ ἀπὸ τοῦ κατακόπτοντος καὶ λεπτύνοντος ἡ θραῦσις.

Θρασκίας, ὅτι ἀπὸ τῆς Θράκης πνεῖ.

Θράσιον, διὰ τοῦ ἰῶτα. ἔστι δὲ πεδίον. ἢ γὰρ παρὰ τὸ θρία γέγονεν, ἐκεῖ γὰρ ἐρρίπτεν ἡ Ἀθηνᾶ τοὺς μαντικοὺς ψήφους, αἵτινες θρίαι λέγονται. ἢ ἀπὸ Θριασίου τινὸς, οὕτω λεγομένου, ἐκλήθη θριάσιον.

Θρία, σημαίνει τὰ τῆς συκῆς φύλλα. παρὰ γὰρ τὸ τρία γέγονε, καὶ κατὰ τροπὴν τοῦ τ εἰς θ. καὶ γὰρ τὸ φύλλον τῆς συκῆς τριμερές ἐστιν. ἢ παρὰ τὸ εἰς τρία ἐσχίσθαι. καὶ εἰς τὸ θρίαμβος καὶ θρίδαξ.

Θρασὺς, τολμηρὸς, ἰσχυρὸς, παρὰ τὸ θέρω θέρσω, θρασὺς, ὡς θερμὸς, τὸν γὰρ ταχὺν θερμὸν λέγομεν.

Θρῆνος, ὁ ὀδυρμὸς, θρήανος φησὶ κατὰ διαίρεσιν. ὁ ἐπὶ θάνατον αἶνος· ἢ παρὰ τὸ θραύειν τὸν νοῦν. ἢ παρὰ τὸ θέρειν ἤγουν θερμαίνειν τὸν νοῦν, καὶ εἰς τὸ ἐπικήδειον.

Θρὴς, εἰς τὸ ἀθροίζω καὶ ἐπιθρύλλω.

Θρησκεία, θεαρεσκία τις οὖσα, ἀπὸ τοῦ θρησκεύω· η δίφθογγος καὶ τὸ α μακρόν.

Θρησκεύειν, παρὰ τοὺς Θρᾶκας, σὺν ἐπιμελείᾳ σέβειν τὸ θεῖον.

Θρῆνυς, πάλιν ἡ τῶν ἐρετῶν σανὶς, ὅ ἐστιν ὑποπόδιον· καὶ ἐν τῷ μέσῳ τοῦ πλοίου σανὶς, κατὰ τοῖχον εἰς τοῖχον.

Θριγκίον καὶ θρυσιμὸς, ὁ περίβολος τῆς οἰκίας, καὶ τὸ ἐπικόσμημα τοῦ τοίχου, τὸ περίτρεχον κύκλῳ, παρὰ τὸ θρίξαι.

Θρίδαξ, διὰ τὸ θείνεσθαι καὶ ἵεσθαι.

---

1) Od. XII, 45. 2) Od. IV, 36. 3) Il. XIV, 240. 41.

Θρίαμβος, ἔν τισι πόλεσιν, ὅταν ἤνθουν αἱ συκαῖ παῖδες περιελόντες σῦκα σὺν αὐτοῖς τοῖς θρίοις ἔπαιζον. προσφερόμενα ἰαμβεῖα, τετράμετρα, καὶ ἔτι νῦν φασὶ ἐν δήμῳ τοῦτο γίνεσθαι. λέγεται δὲ θρίαμβος καὶ ὁ Διόνυσος, ἐπειδὴ ἐποίησε στέφανον ἀπὸ συκῆς, καὶ ὄντως ἐθριάμβευσεν, οἷον, ἐπὶ μέσης διέβη. καὶ ἐκ τούτου γίνεται. ὅτι ἐπὶ τῶν θηρῶν τουτέστι τῶν λεόντων βέβηκεν, οἷον, θηρίαμβος. τῷ γὰρ ἅρματι αὐτοῦ λέοντας ὑποζευγνύειν φασίν· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐν αἰθρίᾳ βάζεσθαι. γίνεται ἐκ τοῦ τρία θρία. κατὰ τροπὴν τοῦ τ εἰς θ. καὶ σημαίνει τὰ φύλλα τῆς συκῆς. καὶ ἐκ τούτου γίνεται θρίαμβος, καὶ θριαμβεύω. ἢ ὅτι καὶ συκῆς ἐστιν εὑρετής.

Θρίαμβος, ἐστι ῥίαμβος, καὶ πλεονασμῷ τοῦ τ τρίαμβος καὶ τροπῇ τοῦ τ εἰς θ θρίαμβος.

Θριγκοί, ἐπι τοξικῆς [1]) τῶν οἰκίων τὰ ἀνώτερα. μεταφορικῶς ἀπὸ ἡμῶν, ὅτι τὰ ἀνώτερα τῶν σωμάτων ἡμῶν θριξὶ περικείρανται.

Θρίδαξ, τὸ μαϊδύλιον, ὅτι ἀπὸ τριῶν φύλλων σύγκειται. τρίφυλλος γὰρ καὶ κατ' ἀρχὰς ὡς καὶ θρίδαξ. καὶ τὰ φύλλα τῆς συκῆς θρία λέγουσιν οἱ Ἀττικοὶ, τὰ εἰς τρία διῃρημένα. τινὲς δὲ ὅτι τρίζει δακνομένη. ἢ ὅτι τῷ θέρει γίνεται, οἱονεὶ θερειδακίνη τὶς οὖσα, κατὰ συγκοπήν. ἢ διὰ τὸ τείνεσθαι ἐν τῇ δρακῇ τῆς χειρὸς, ἤγουν φυλλίζεσθαι.

Θρίδαξ, τὸ θρι ἰῶτα διάτι; τὰ εἰς αξ ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν, οἷον, φαῖαξ, κλίμαξ, κόραξ, οὕτως οὖν καὶ θρίδαξ. πλὴν τοῦ εἶαξ, μείραξ καὶ λείμαξ.

Θρήσκω, τὸ θρησκεύω, καὶ θρίσκω θρίξω τὸ τὰς τρίχας κόπτω. καὶ ἀπεθρίξατο. τὸ δὲ θρὶξ γέγονεν ἀπὸ τοῦ θερίζω Δωρικῶς θέριξ, καὶ ἐν συγκοπῇ θρίξ. ἢ ἀπὸ τοῦ τρέχω τρέξω, καὶ κατὰ συγκοπὴν τρίξ, καὶ τροπῇ τοῦ τ εἰς θ. τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ ι γράφεται, οἷον θρίναξ, θρίδαξ, θρίξ. οὕτω Καλλίμαχος.

Θρινακία, σημαίνει τὴν Σικελίαν, παρὰ τὸ ἐκ τριῶν σύγκεισθαι ἄκρων, λέγεται δὲ Θρινακία τρινακρία τις οὖσα. καὶ γὰρ τρία ἀκρωτήρια ἔχει ἡ Σικελία, Λιλύβαιον, Πάχυνον, Πέλωρον, ἢ ὅτι Τρίνακος πρῶτος βασιλεὺς Σικελίας.

Θρίνακες, τὰ τριαινώδη ξύλα τῶν γεωργῶν, οἷς λικμῶσι τὸν σῖτον.

Θρίναξ, τὸ τριαινοειδὲς ἐργαλεῖον ἐργαστικὸν, παρὰ τὸ τρία γὰρ τρίναξ καὶ θρίναξ, κατὰ μετάθεσιν τοῦ ψιλοῦ εἰς δασὺ, καὶ γράφεται διὰ τοῦ ἰῶτα.

Θρίξ, ἡ τρίχα. οἱονεὶ θέριξ, ὅτι θερίζεται καὶ τέμνεται. ἢ ἀπὸ τοῦ θορεῖν ὅ ἐστι πηδᾷν· καὶ εἰς τὸ τρίχα καὶ μαλλίον. θρὶξ ἐπὶ ἀνθρώπων, μαλλίον δὲ ἐπὶ κτηνῶν.

Θριπὰς, εἰς τὸ ἴψ.

Θρόνος, ἡ καθέδρα, παρὰ τὸ θροσμὸς, ὃ σημαίνει τὸν ὑψηλὸν τόπον, ὁ ἐφ' ὑψηλοῦ ποιεῖν ἡμᾶς. ἢ παρὰ τὸ θορῶ τὸ πηδῶ θόρος ἡ ἐπηρμένη καθέδρα. ἢ παρὰ τὸ θῶ γίνεται θὸς καὶ θρόνος κατὰ πλεονασμὸν τοῦ ρ.

Θροὸς, εἰς τὸ ἀθροίζω, καὶ ἐπιθρυλλοῦντες καὶ τονθορίζω.

Θρυλλὶς, παρὰ τὸ θρυαλλὶς, λέγεται δὲ ὁ σπινθὴρ ὁ τῆς προσμίξεως, καὶ γίνεται παρὰ τὸ θέρω τὸ θερμαίνω, καὶ τὸ ἄλλω τὸ πηδῶ [2]).

Θρυλλοῦντες, θορυβοῦντες, ἀπὸ τοῦ θροῦς καὶ τοῦ ἕλω, ὃ σημαίνει τὸ ἐλαύνω, οἱονεὶ θροῦν ἕλοντες τουτέστι θόρυβον ἐγείροντες.

Θρίαι, αἱ μαντικαὶ ψῆφοι τρίαινες οὖσαι. τρεῖς γὰρ εἰσι τὸν ἀριθμὸν, νύμφαι δὲ εὗρον ταύτας ἐπὶ τιμῇ θεοῦ. καὶ τὸ μαντεύεσθαι ἐπιτιμοῦν [3]).

Θρύπτω, τὸ κλάνω, θρύψαι γὰρ τὸ κλάσαι, καὶ Ὅμηρος, διατρυφὲν ἔκπεσε χειρὸς [4])· καὶ εἰς τὸ θρύψαι καὶ τετρυλλούμενον καὶ τρυφή.

Θρώσκω, τὸ πηδῶ, παρὰ τὸ θορῶ θορίσκω καὶ θρώσκω. ἐξ οὗ καὶ τὸ θρώσκων, τινὲς δὲ κατὰ κῦμα ἔλεγον αὐτό.

Θυῖα, ὁ λάκκος, ἐν ᾧ τὰ θυμιάματα. καταχρηστικῶς δὲ αἱ λοιπαὶ θυσίαι.

Θυγάτηρ, παρὰ τὸ θύειν κατὰ γαστέρα. τάχιον γὰρ τῶν ἀῤῥένων ἐν γαστρὶ κινεῖται.

Θυγάτηρ, ἀπὸ τοῦ θεῖν. ἐκτρέχει γὰρ τὸ θῆλυ τὴν ἡλικίαν ῥαδίως. ὅθεν παρθένος, παρὰ τὸ παραθέειν τὰς τῶν ἀῤῥένων ἡλικίας. γυνὴ δὲ γινομένη ταχὺ μαραίνεται πάλιν ὡς οὖν ταχέως αὔξει, ταχέως ἀναλύει τὴν ὥραν.

Θύεσθαι τοῦ σφάττεσθαι διαφέρει, ὅτι τὸ μὲν θύεσθαι διὰ σπλάγχνων θύεσθαι φασίν. τὸ δὲ σφάττεσθαι τὸ φονεύεσθαι καθ' ἥντινα αἰτίαν. καὶ τὸ μὲν ἐπ' ἀλόγου, τὸ δὲ ἐπ' ἀνθρώπου τάσσεται.

Θυηλαὶ, θυσίαι, ἀπαρχαί. Φιλόχορος γῆς παῖδας εἶναι θυηλὰς, ἃς πρώτας θῦσαι τοῖς θεοῖς.

Θυοσκόοι, οἱ ἀπὸ τῶν θυομένων διὰ τοῦ πυρὸς μαντευόμενοι. ἱερεῖς δὲ τοὺς, ἀπὸ τῶν ἱερῶν σπλάγχνων μαντευομένους.

Θυηλὰς, κυρίως μὲν τοὺς θύλακας λέγουσι, εἰς οὓς τὰ θυμιάματα ἐμβάλλεται. τὸ τῶν θεῶν ἕνεκα ἄλιγμον ἡνωμένον. καταχρηστικῶς δὲ λέγεται καὶ πᾶσα θυσία.

Θύελλα, λαῖλαψ, ἄνεμος εἱλούμενος, παρὰ τὸ θύω τὸ ὁρμῶ.

Θύελλα, παρὰ τὸ θύω τὸ ὁρμῶ, ἀφ' οὗ παράγωγον θύνω, ὡς πληθύω πληθύνω, ἀντὶ τοῦ ὧδε προελθόντος τοῦ εὖ μορίου, ὡς παρὰ τὸ ἄω, τὸ πνέω, ἄελλα.

Θῦκος, κυρίως εἰς ὃν ἐμβάλλομεν τὰ θυμιάματα.

Θύμελαι, τράπεζαι, ὀρχήσεις· Αἰσχύλος τοὺς βωμοὺς λέγει, ἀπὸ τοῦ θέσθαι ἢ ἀπὸ τοῦ τίθεσθαι.

Θυμίαμα, ἀπὸ τῆς στύφεως τοῦ καπνοῦ, ἀφ' οὗ καὶ θῦμα. τὸ δὲ αὐτὸ καὶ σμυχεῖν ἐλέγετο, ὡς ὁ ποιητής, κατά τε σμύξαι πυρὶ νῆας [5]). στυφελίξαι γὰρ τὸ καπνιζόμενον ξύλον· τινὲς δὲ θυμίαμα, θυμοῦ ἴαμα.

Θυμιατήριον, διὰ τὸ τὰ θυμιάματα τηρεῖν.

Θυμιῶ, ἐκ τοῦ θύον, ὅπερ ἐστὶν εἶδος ποας μυρεψικῆς, θυμίαμα εἴρηται, παρὰ τὸ τὸν θυμὸν ἰᾶσθαι, οἷον, θυμοῦ ἴαμα. θυμίαμα δὲ ἐκ τοῦ θυμιῶ, τοῦτο ἐκ τοῦ θῦμα, διὰ γὰρ τῶν καιομένων ὀσφραινόμεθα· καὶ γὰρ οἱ παλαιοὶ ἔκαιον ἐπὶ ψυχῇ θυμιάματα.

Θύννος, παρὰ τὸ θύω, τὸ ὁρμῶ, θύννος.

Θυμὸς, παρὰ τὸ θύειν αἷμα, οἷον, θύεμος. ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; εἰ μὲν σημαίνει τὴν ψυχὴν γενικοῦ. εἰ δὲ σημαίνει τὴν ὀργὴν εἰδικοῦ. τί διαφέρει μῆνις, ὀργὴ, χόλος, κότος, καὶ θυμός;

---

[1]) an ἐπικοσμήματα? [2]) Corruptissime. [3]) Corruptissime. [4]) Il. III, 363. [5]) Il. [illegible]

διαφέρει. μῆνις μὲν γάρ ἐστιν ἡ ἐπίμονος ὀργὴ, ἀπὸ τοῦ μένειν. ὀργὴ δὲ ἡ ἐπ' ὀλίγον χρόνον, παρὰ τὸ ὀργᾶν. χόλος δὲ οἱονεὶ κίνησις χολῆς. ἀπὸ τοῦ κεῖσθαι κότος δὲ ἡ πολυχρόνιος μνησικακία. θυμὸς δὲ ζέσις τοῦ περικαρδίου αἵματος, ἀπὸ τοῦ θύειν, τουτ' ἔστι μανικῶς ὁρμᾶν. καὶ εἰς τὸ ἀποθυμία.

Θυμὸς, παρὰ τὸ θύω τὸ ὁρμῶ, ἡ τοῦ αἵματος κίνησις καὶ ζέσις. ἢ παρὰ τὸ θύεμός τις ὢν, παρὰ τὸ θύω καὶ τὸ αἷμα. τὸ δὲ αἷμα παρὰ τὸ αἴθω τὸ καίω.

Θυρὶς, ἀέρα θέει.

Θυοσκόος, ὁ μάντις, παρὰ τὸ ἀπὸ τῶν θυομένων κόειν, ὅ ἐστι νοεῖν τὸ μέλλον.

Θύρα, παρὰ τὸ θύω τὸ ὁρμῶ, δι' ἧς ὁρμῶμεν ἅπαντες.

Θύρα καὶ θύρις, δι' ὧν τὸ θεωρεῖν εἰσέρχεται, ἐκ γὰρ τοῦ φωτὸς τὸ θεωρῆσαι, αἱ δὲ πετασθεῖσαι τεῦξαν φαός. ἔνιοι δὲ τὰς θύρας σαλάμας καλοῦσιν, ἀπὸ τοῦ σέλας βάλλειν ἀνοιγομένας, ἢ δι' ὧν τὸ σέλας βαίνει. ἄλλο δέ ἐστι τὸ θεωρεῖν καὶ ἄλλο τὸ βλέπειν. θεωρεῖν γάρ ἐστι τὸ τὰς θυσίας φυλάττειν, ἐκ τοῦ θεωρεῖν αὐτὰς, ὅθεν καὶ θεωροὶ οἱ διὰ τοῦτο ἀποστελλόμενοι, βλέπειν δὲ λέγειν [1]). λέγεται δὲ καὶ ἡ τράπεζα ὑπό τινων, ἀπὸ τοῦ τὰ ἱερὰ ἐν αὐτῇ τιθέναι.

Θυριβόλιον, ἡ ἔπαυλις, θυριβόλιόν τι ὄν.

Θυραῖος, ὁ φύλαξ τῆς θύρας, ἀπὸ τοῦ κλέπτειν καὶ καλύπτειν τὸν ἐπιφερόμενον.

Θύραθεν, ἔξωθεν.

Θυρεὸς, ὁ θύρας τάξιν ἐπέχων. ἄλλοι δὲ φασὶ τὸ ὅπλον. Ῥωμαῖοι δὲ τὸ σκουτάριον.

Θυραῖος, ὁ ξένος.

Θύτης, ἱερουργὸς, ἐκ τοῦ θύω, τὸ ἱερουργῶ, ἐξ οὗ καὶ θυσία.

Θυμοφθόρα, τὰ τὴν ψυχὴν φθείροντα.

Θυμοχεύων, θυμὸν ἀχεύων, τὴν ψυχὴν λυπούμενον.

Θυτήριον, τὸ θυσιαστήριον.

Θυμαρέα, τῇ ψυχῇ ἀρέσκουσα.

Θύσθλα, αἱ λαμπάδες, παρὰ τὸ θύω, θύσω, θύσθλα.

Θυσία, εἰς τὸ θῦμα, διὰ τὸ θυσιάζειν τὸν ἐν αὐτῷ προσφερόμενον ἄρτον. ἢ διὰ τὸ τὰς θυσίας τηρεῖν.

Θύρσος, ῥάβδος καὶ κύριον ὄνομα.

Θύω, τὸ ὁρμῶ, ἐξ οὗ καὶ θύρα, δι' ἧς ὁρμῶμεν, ἀφ' οὗ καὶ θυγάτηρ, παρὰ τὸ τάχιον κινεῖσθαι ἐν τῇ γαστρί.

Θώμιγξ, σχοινίον, σπάρτη, καννάμενος.

Θῶκος, τοῦτο οἱ Ἀττικοὶ θᾶκον λέγουσιν. ἔστι δὲ καθέδρα.

Θῶες, οἱ λυκοπάνθηρες, ταχεῖς γάρ εἰσι, καίπερ βραχυσκελεῖς ὄντες.

Θωὴ, ἡ ζημία, ἣν κατατίθενται οἱ ζημιούμενοι. καὶ εἰς τὸ ἀθῷος.

Θωμᾶς ἀπὸ τοῦ θαῦμα θαυμᾶς καὶ Θωμᾶς.

Θωπεία, ἡ κολακεία, καὶ θῶπες οἱ μετὰ ψεύδους τινὶ προσιόντες ἐπὶ κολακείᾳ· γέγονε δὲ ἀπὸ τοῦ θωπεύω. τοῦτο παρὰ τὸ θὼψ, ὅπερ ἐστι θηρίον ἀπατηλόν· τοῦτο δὲ παρὰ τὸ θῶ τὸ εὐωχοῦμαι, τὸ δὲ θωπεύω συντάσσεται αἰτιατικῇ.

Θὼψ, θωπὸς ὁ κόλαξ.

Θώραξ, ἀπὸ τοῦ θέειν αὐτὸν ὀξέως, ἤγουν κυλίεσθαι.

Θώραξ, σημαίνει τέσσαρα, τὸ λωρίκιον καὶ παχὺ ἱμάτιον τοῦ πολέμου, τὸν πύργον, τὸ στῆθος τοῦ ἀνθρώπου, καὶ ὅλον τὸ σῶμα, καὶ τὸν λαιμόν.

Θώραξ, τὸ στῆθος, παρὰ τὸ φύλαξ εἶναι τῆς θορούσης καὶ πηδώσης καρδίας.

Θώραξ, ὁ τὸ θεῖον ὡρῶν ἤγουν φυλάσσων. τὸ διανοητικὸν ὅ ἐστιν ἐν ἡμῖν τὸ θεῖον.

Θωρῆξαι, καθοπλίσαι, ἐκ τοῦ θώραξ. τὰ εἰς αξ ἀρσενικὰ, φύσει μακρᾷ παραληγόμενα, ἐκτείνουσι τὸ α οἷον, Φαίαξ οἴαξ. τὸ δὲ θώραξ, παρὰ τὸ θῶ, θώσω, θῶρος. καὶ ὥσπερ παρὰ τὸ λίθος λίθαξ, οὕτω καὶ παρὰ τὸ θῶρος θώραξ, τὸ πολεμικὸν ἱμάτιον. ἔστι δὲ καὶ ἕτερον θῶ, καὶ σημαίνει τὸ εὐωχοῦμαι. ἐξ οὗ καὶ θώνη καὶ θοίνη ἡ εὐωχία. ἐκ τοῦ θῶραξ θωρήξω, θώρηξ καὶ διαφέρει [2]). λέγεται γὰρ καὶ ἐπὶ τῆς καθοπλίσεως, καὶ ἐπὶ τῆς οἴνου ἀκροποσίας.

Θώραξ ἐτυμολογεῖται ἐκ τοῦ ὦρος, ὃ σημαίνει τὸν φύλακα, ὦραξ καὶ θώραξ, ὁ φύλαξ τῆς θρούσης, ὅ ἐστι καρδίας. ἢ παρὰ τὸ θῶ, τὸ ἐν εὐωχίᾳ εἰμὶ, ὁ μέλλων θώσω, θῶρος καὶ θώραξ. ἐπὶ δὲ τοῦ χιτῶνος ἀπὸ μεταφορᾶς. τοῦτο ἀπὸ τοῦ περιεχομένου τὸ περιεχόμενον. τίς ἐστιν ὁ τρόπος; μετωνυμία. τὸ θωρήσσω ἐκ τοῦ θοῦρος, ὁ εἰς πόλεμον ὁρμητικός. ἤγουν ἀπὸ τοῦ θέειν ῥᾷον.

Θὼψ, θηρίον, ἐξ ὑαίνης καὶ λύκου γινόμενον.

Θωμὸς καὶ σωρεὸς ὁ σωρος.

Θῶμαι, ἐπίθωμαι, ἀνεβίβασε τὸν τόνον. πᾶν ῥῆμα εἰς μαι λῆγον δισύλλαβον ἀναβιβάζει τὸν τόνον [3]). δῶμαι ἀπόδωμαι, ἀπόσχωμαι ἐπὶ πολέμου.

Τέλος τοῦ Θ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ι ΣΤΟΙΧΕΙΟΥ.

Ἰὰ, εἰς τὸ ἴσχω. ἰὰ, εἰς τὸ ἀμφιαχυῖαν, καὶ ἄγεος.

Ἰαίνειν, εἰς τὸ ἴαχον, καὶ κερδαλεόφρον καὶ λιγόφθογγος καὶ ὑγιής.

Ἰακείμ, τοῦτο κατὰ τὴν γραφὴν ὅμοιον τῷ ἰωακείμ.

Ἰακὼς, ἔστι ῥῆμα ἰάω, ἰῶ, τὸ ὑγιαίνω, ὁ μέλλων ἰάσω, ὁ παρακείμενος ἴακα, ἡ μετοχὴ ὁ ἰακώς, τουτ' ἔστιν ὑγιάνας. εἰακὼς δὲ ῥῆμα ἐάω, τὸ συγχωρῶ, ἐάσω, εἴακα, ἡ μετοχὴ ὁ εἰακὼς, τουτ' ἔστι συγχωρήσας. ἠακὼς δὲ ὁ θρηνήσας, ἐκ τοῦ αἰάζω τὸ θρηνῶ, ὁ μέλλων αἰάσω, ἤακα, ἡ μετοχὴ ὁ ἠακώς.

Ἰάλεμος, ὁ ἄνανδρος, καὶ ὁ θρῆνος ἐπὶ τοῖς ὀλωλόσι, ἴαν φέρων, ἤγουν φωνήν.

Ἴβυκος, ἔστιν ὄνομα κύριον, καὶ γράφεται διὰ τοῦ ι. ὑπάγεται δὲ τῷ κανόνι τοῦ Πτολεμαίου. ἰστέον δὲ ὅτι παρὰ τὸ ἴβυξ ἴβυκος, ὅπερ ἐστιν εἶδος ὀρνέου πρακτικοῦ. ὅθεν γέγονε τὸ ἴβυκος, ἔνθεν ἐγένετο τὸ ἰβυκινίσαι, ὅπερ κατὰ φθορὰν λέγεται βουκινίσαι.

Ἶβις, εἶδος ὀρνέου ὀφιομάχου. διὰ τοῦ ι γράφεται, τῷ λόγῳ τοῦ Πτολεμαίου. τῷ εἰρηκέναι ἐν τῷ βοθυνίᾳ.

Ἴαχος, ὁ Διόνυσος, ἀπὸ τῆς ἐν τοῖς πότοις ἰαχῆς.

---

1) Corruptissime. 2) Corruptissime. 3) τὸν τόνον· Addendum sine dubio ἐν συνθέσει aut simile.

Ἰάς, ἡ Ἀσία. ἀπὸ Ἴωνος τοῦ Ἀπόλλωνος, οὐ τοῦ Ξούθου.

Ἰάλεμος, σημαίνει τὸν θρῆνον. ὅτε μὲν ἐπὶ ἡλίου λέγεται δασύνεται. ἀπὸ τῆς ἀφέσεως τῶν βελῶν, ὡς ῥα σὺ ἥιε Φοῖβε. ἐπὶ δὲ τοῦ θρήνου ψιλοῦται. γεγόνασι δὲ ἀμφότεροι οὕτως. ἔστιν ἵημι τὸ πέμπω, ἐκ τούτου γίνεται ἴημος, τροπῇ τοῦ η εἰς ε ἴεμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἰάλεμος [1]. καὶ ἰηλεμῆσαι ἐπὶ τοῦ θρηνῆσαι. οὕτως Ἡρωδιανός. ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος ἐπὶ τοῦ θρήνου λεγόμενον, παρὰ τὸ ἐπὶ τοῖς ὀλωλόσιν ἱκανὸν φέρειν.

Ἰαίνειν, ἀναλίζειν, παρὰ τὴν ἄλυσιν τῶν ὀφθαλμῶν ἤγουν τῶν κορῶν.

Ἰάμβη, τινὲς ὅτι Ἰάμβη Ἠχοῦς καὶ Πανὸς θυγάτηρ. τὴν Δήμητραν δὲ λυπουμένην, παίζουσα καὶ ἀχρηστολογοῦσα, ἐποίησε γελάσαι.

Ἰαννουάριος, μὴν ἐξ Ἰανοῦ τινὸς δαίμονος οὕτως ὀνομασθείς. ἢ αἰωνιάριος, ὁ αὐτὸς γὰρ ἄρχει τοῦ ἐνιαυτοῦ, αἰὼν γὰρ ἐνιαυτός. ζήτει ἱστορίαν περὶ ἰαννουαρίου.

Ἰάπτω, τὸ βλάπτω, ἐκ τοῦ ἰὸς, ὃ σημαίνει τὸ βέλος.

Ἰαπετὸς, ἡ τῶν στοιχείων κίνησις.

Ἰαπετὸς, ὄνομα κύριον θεοῦ, ἢ γίγαντος, παρὰ τὸ ἵεσθαι καὶ πέτεσθαι. ἤγουν παρὰ τὸ ἴπτω τὸ βλάπτω, ἰπετὸς, καὶ πλεονασμῷ τοῦ α Ἰαπετός. ἔστι δὲ καὶ πότιμον.

Ἰάπτω, εἰς τὸ προΐαψεν.

Ἰας, εἰς τὸ ἧπτο.

Ἴασις, διὰ τοῦ ἰᾶσθαι τὸ σῶμα.

Ἴασος, ὄνομα ποταμοῦ, παρὰ τὸν ἰάσω μέλλοντα· ἐξ οὗ τὸ ἰάσομαι.

Ἰατρικὴ, ἰαττική τις οὖσα, πλεονασμῷ τοῦ ρ, ὡς παντῶ κέντρον, κατὰ πλεονασμὸν τοῦ ρ.

Ἰατρὸς, ὅτι τὴν ἴασιν τηρεῖ.

Ἰαύω, εἰς τὸ ἐνιαυτός.

Ἰαχὸν, θάλπον, ἢ σαπρόν. καὶ εἰ μὲν σημαίνει θάλπον, γίνεται παρὰ τὸ ἰαίνω τὸ εὐφραίνω· εἰ δὲ τὸ σαπρὸν, παρὰ τὸ ἵημι τὸ πέμπω, οἷον τὸ ἀπόπεμπον.

Ἰὰ, τὰ βέλη.

Ἴα, ἄνθη, κρίνα.

Ἴαμβος, στίχος ποδῶν ἕξ.

Ἰάνθη, ἐχάρη, ηὐφράνθη.

Ἰάπυξ, ἄνεμος ἐλαφρός.

Ἰαύει, κοιμᾶται, ἤγουν ἀπόθανεν.

Ἴαχεν, ἤχησεν, ἐβόησεν.

Ἰαχῇ, ἐκ τοῦ ἰαχὴ, τοῦτο παρὰ τὸ ἰὰ, ὃ σημαίνει τὴν φωνήν. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ἐπὶ πᾶσι τὴν ἰαχὴν ἱέναι. ἐκ τοῦ ἰαχὴ γίνεται μετὰ τοῦ ἐπιτατικοῦ α ἄϊχος, καὶ πλεονασμῷ τοῦ υ αὔϊχος. καὶ ὁ ποιητὴς, ἔβροχοι, αὔιχοι.

Ἴαψεν, ἔπεμψεν, ἀορίστου πρώτου. τὸ θέμα ἰάπτω. καὶ τὰ λοιπὰ δῆλα. τὸ δὲ ῥῆμα ποιητικὸν, ὁ ἐνεστὼς γὰρ μόνος εὑρίσκεται, ὁ γὰρ ἀόριστος ἀπὸ τοῦ ἴπτω γίνεται, τοῦ σημαίνοντος τὸ βλάπτω καὶ κατὰ πλεονασμὸν τοῦ α ἰαπτός. ὡς καὶ ἐν ἑτέρῳ λέγει ὁ ποιητὴς, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. τὸ δὲ ἴψαο ἐκ τοῦ ἴπτω ἴψω. ὁ μέσος ἀόριστος παθητικὸς, ἰψάμην, ἴψαο, Ἰωνικῶς μόνος λεχθέν. τὸ δὲ ἴπτω παρὰ τὸ ἰὸς, ὃ σημαίνει τὸ βέλος. τὸ δὲ βέλος παρὰ τὸ ἵημι τὸ πέμπω.

Ἰάπτω, πᾶν ῥῆμα εἰς πτω λῆγον βαρύνεται, εἰ μὴ προκατάρχοι ὀνόματι, ἢ διαστολὴ γένηται σημαινομένου διὰ τοῦ ὀπτῶ πρὸς ἀντιδιαστολὴν τοῦ ὄπτω. ἢ προκαταρχὴν ὀνόματος διὰ τοῦ ἄβλεπτος ἀβλεπτῶ, καὶ ἄπετος ἀπετῶ, Φιλαλείπτης Φιλαλειπτῶ.

Ἰγνύες, τὰ σκέλη, αἱ κόξαι, τὰ ὀπίσθια τῶν γονάτων. παρὰ τὸ ἰκνύσθαι ποιεῖν.

Ἰγνύϊ, ἀπὸ τοῦ κάμψιν ἰκνύσθαι τῶν γονάτων.

Ἰδαῖος, ὄνομα κύριον, ἀπὸ τῆς Ἴδης, καὶ ὁ δάκτυλος. τὸ δαι διφθόγγῳ διάτι; τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν διὰ τοῦ αιος γινόμενα, διὰ τῆς αι διφθόγγου γράφεται. δίκη δίκαιος, οὕτως οὖν Ἴδη ὃ σημαίνει τὸ ὄρος Ἰδαῖος, οἱονεὶ ὁ προειδὼς καὶ προγινώσκων τὰ προκεκηρυγμένα.

Ἰδαλιμοῦ, ἱδρωτικοῦ, ἱδροῦν ποιοῦντος. ἢ τοὺς δι' αὐτοὺς καὶ καθαρούς. Ἡσίοδος, καύματος ἰδαλιμοῦ. ἐν γὰρ τῷ χειμῶνι ἡ δύναμις τοῦ ἡλίου ἀσθενεστέρα ἐστί. γίνεται παρὰ τὸ ἰδίω τὸ ἱδρῶ, ἴδιον, ὡς ἐνόησα. ἴδιμος καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἰδάλιμος. Ὠρίων· οὐδέτερον ἰδάλιμον, τὸ ταῖς ψύαις ἱδρῶτα ποιοῦν.

Ἴδη, ὄρος ἐν Τροίᾳ, ἀπὸ γὰρ τοῦ ὕψους ἔστιν ἰδεῖν αὐτό.

Ἴβερος, ἥμερος, νεότης, χαύνη, ῥάθυμος, ἀναπαυτικὴ ἀργὴ, δειλαινομένη ἐπὶ παντα πόλεμον, ἐξερχομένη ἐκ τῆς γῆς αὐτοῦ ἐπὶ συμμαχίαν, αἰχμάλωτος ἕτοιμος, πολυψευδόκαυχος, καταθαύμαστος ταῖς γυναιξὶ, ἀνθρώποις διαλεκτικὸς, μαλακόζωστος, γυναικοήθεις, ἀσταττόγνωμος.

Ἰδέειν, ἀπαρέμφατον, ἀορίστου δευτέρου καὶ μέλλοντος. οἱ Ἴωνες ἐπὶ τῶν εἰς ειν ἀπαρεμφάτων, πλεονασμῷ τοῦ ε, διὰ τοῦ εειν προσφέρουσι, θανεῖν, θανέειν.

Ἴδη, ὄρος ὑψηλότατον Τροίας. παρὰ τὸ ἰδεῖν ἀπ' αὐτῆς τὰ μήκοθεν. καὶ εἰς τὸ Ἰδαῖος.

Ἴδηαι, ἴδῃς ἢ μάθῃς, ὑπερσυντελικὸς παθητικὸς μέσος ἀορίστου δευτέρου. ὁ κανὼν, οἱ Ἴωνες ἀποβάλλοντες τὸ τ τοῦ τρίτου προσώπου, δεύτερον ποιοῦσιν· οἷον, κέλεαί με Διῒ φίλε· οὕτως ἴδηται, ἴδηαι.

Ἴδηθεν, ἐπίρρημα τοπικόν. τὰ εἰς θεν ἐπιρρήματα τῆς ἐκ τόπου εἰσίν. ἐνταῦθα δὲ οὐδὲν πλέον σημαίνει τὸ ὄνομα, ὁ τῆς Ἴδης βασιλεύς· ἔνιοι γάρ. ὁ ποιητὴς τῶν ἐκ τόπου ἐπιρρημάτων, ἀντὶ γενικῆς τάσσει πτώσεως.

Ἴδε παρὰ τὸ εἴδω τὸ βλέπω, ὁ παρατατικὸς εἶδον, τὸ προστακτικὸν ἴδε. τοῦτο τὸ εἴδω ἐπὶ τῶν ὁριστικῶν ἐνεργητικῶν μόνον διφθογγογραφεῖται, ἐπὶ δὲ τῶν λοιπῶν διὰ τοῦ ἰῶτα. τὸ εἴδω σημαίνει ζ. πέντε διὰ διφθόγγου καὶ δύο διὰ τοῦ η. εἴδω τὸ ὁμοιῶ, εἴδω τὸ βλέπω, εἴδω τὸ φαίνομαι. εἴδω τὸ γινώσκω, ἐξ οὗ καὶ ὁ μέσος παρακείμενος οἶδα. ἔστι δὲ καὶ ἕτερον εἰδῶ. καὶ εἴδω τὸ ὁρμῶ. τὰ δὲ διὰ τοῦ η εἰσὶ ταῦτα, ἥδω τὸ ἀρέσκω, καὶ ἥδω τὸ εὐφραίνομαι.

Ἰδέα, διὰ τοῦ ι γράφεται συνεσταλμένου. ἴδιον κτῆμα, ἴδιον οἶκον διὰ τοῦ ι γράφεται, χωρὶς τοῦ εἶδος καὶ εἰδικὸν διὰ τῆς ει διφθόγγου. εἰδικὸν ἡνίκα μὲν τὸ εἶδος σημαίνει, οἷον, γενικὸν εἰδικὸν διφθογγογραφεῖται. ἡνίκα δὲ τὸν ἴδιον οἶκον, διὰ τοῦ ι γράφεται.

Ἰδίειν, εἰς τὸ ἔνδιος, καὶ ἱδρωδιός.

---

[1] Corrupta.

Ἴδιμος, εἰς τὸ ἰδάλιμος.

Ἰδιαίτατα, εἴρηται διάφορα. διὰ τὸ μὴ ἐπινοίᾳ μήδε ἐνεργείᾳ δύνασθαι συστῆναι τὰ ἀντικείμενα, ἐν ἑνὶ ὑποκειμένῳ κατὰ ταὐτό. τὸ γὰρ λογικὸν οὐκ ἐπινοεῖται ἄλογον. ἢ τὸ ἄλογον λογικόν.

Ἰδὲ, καὶ, σύνδεσμος, ἰδὲ κλέος ἐσθλόν.

Ἴδμεν, ἀπὸ τοῦ εἴδω τὸ γινώσκω, παράγωγον εἰς μι ἴσημι τὸ γινώσκω, τὸ Αἰολικὸν ἴσεμεν, ἴσμεν κατὰ συγκοπὴν καὶ συστολὴν, καὶ τροπῇ τοῦ σ εἰς δ, ἴδμεν.

Ἴδμεν, ἔστιν εἴδω τὸ γινώσκω, τούτου ὁ μέσος παρακείμενος οἶδα, τὸ πρῶτον τῶν πληθυντικῶν οἴδαμεν, καὶ ἐν συγκοπῇ οἴδμεν, καὶ ἀποβολῇ τοῦ ο ἴδμεν, ἀντὶ τοῦ ἐπιστάμεθα.

Ἰδιῶ, τὸ κοπιῶ.

Ἰγδη. ἡ θυῖα, ἔνθα μίσγουσι τὰ ἀρτύσματα, παρὰ τὸ μίσγειν τὰ θύη, διὰ τοῦτο ἀπέβαλε τὸ μ, ὡς τὸ μία ἴα, ἔστι δὲ εἶδος ὀρχήσεως, ἴδισμα, ἐν ᾗ ἐλύγιζον τὴν ὀσφὺν ἐμφερῶς τῷ δοίδυκι.

Ἱδρῶ, ἴδικος πλεονασμῷ.

Ἴδμων, ἀπὸ τοῦ εἰδῶ εἰδήσω καὶ εἰδήμων· καὶ εἴδω ῥῆμα βαρύτονον, ἐξ οὗ τὸ εἴσω· ἴδμων κατὰ συγκοπήν.

Ἰδομενεὺς, διὰ τοῦ ι, παρὰ γὰρ τὸ ἴδω καὶ τὸ μένος ἐστιν, οἱονεὶ ὁ ἔχων δύναμιν, ὥσπερ ἴδη. ἰδροτρόπως, ἰδίως.

Ἰδνῶ, τὸ ἐπιστρέφομαι. ὁ τὸ ἰνίον δονηθείς· καὶ τὸ ἐπικαμφθῆναι, ἀφ' οὗ τὸ ἰδνωθεὶς, ἀντὶ τοῦ ἐπιστραφεὶς, παρὰ τὸ ἵζω. δασύνεται τὸ ἵζω. καὶ γίνεται ἰδνῶ τραπέντος τοῦ ζ εἰς δ Δωρικῶς, καὶ πλεονασμῷ τοῦ ν ἀλωπάζω ἀλωπαδνῶ· τὸ δὲ ἰδνῶ ψιλοῦται.

Ἰδοὺ, ἐπίῤῥημα δεικτικόν.

Ἱδρυμένος, παρὰ τὸ ἱδρύω, ἱδρύσω, ἱδρυμένος. τοῦτο παρὰ τὸ ἕζω, ἕδω, πλεονασμῷ τοῦ ρ, ἕδρω, καὶ ἵδρω, καὶ ἱδρύω.

Ἰδιώτης, ὁ ἀγνώριστος καὶ πτωχός.

Ἰδιῶτις, πτωχή.

Ἰδουμαῖα, ἐκ τοῦ Ἰδουμαῖος. τὸ μαι διφθόγγῳ διάτι; τὰ διὰ τοῦ αιος ὀνόματα ἐθνικὰ ὑπὲρ δύο συλλαβὰς περισπώμενα διὰ τῆς αι διφθόγγου. οἷον, Ἰδουμαῖος, Σαδδουκαῖος, Ἰουδαῖος. Ἰδουμαῖος δὲ ἐκλήθη, ὅτι ἀπόγονος τοῦ Ἡσαῦ. ἐκ τούτου ἐκλήθησαν οἱ Ἰδουμαῖοι. ἴδουμα γὰρ λέγεται εἶδος φακῆς ξανθῆς, ἧς λέγεται ἐπιθυμήσας φαγεῖν, ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ ὁ Ἡσαῦ. καὶ εἰς τὸ Ἰούδας· καὶ ἐκ τούτου ἐκλήθησαν Ἰδουμαῖοι.

Ἴδρις, ἔμπειρος, παρὰ τὸ εἴδω, εἴδις καὶ ἴδρις.

Ἴδρυας, σοφοὺς, ἐπιστήμονας, ἐμπείρους, ἀπὸ τοῦ εἴδω τοῦ σημαίνοντος τὸ ἐπίσταμαι, ὁ μέλλων εἴσω, καὶ ἐξ αὐτοῦ εἴδις, καὶ πλεονασμῷ τοῦ ρ καὶ ἀποβολῇ τοῦ ι ἴδρυς. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ἴδρυας. καὶ εἰς τὸ ἵδρυσεν.

Ἱδρύνω, ἴδρις, σοφὸς, ἀπὸ τοῦ εἴδω, ὃ σημαίνει τὸ ἐπίσταμαι, ὁ μέλλων εἴσω, καὶ ἐξ αὐτοῦ εἴδις. τὸ δὲ ἱδρύνω ἐκ τοῦ ἱδρύω ἱδρύσω, τοῦτο παρὰ τὸ ἵζω, ὃ σημαίνει τὸ καθέζομαι, ἰζύω καὶ τροπῇ τοῦ ζ εἰς δ ἰδύνω, καὶ πλεονασμῷ τοῦ ρ ἱδρύνω. πέφυκε γὰρ πλεονάζειν τὸ ν ἐν τοῖς ῥήμασιν.

Ἵδρυσεν, ἐκ τοῦ ἱδρύω, τοῦτο ἐκ τοῦ ἵζω τοῦ σημαίνοντος τὸ καθέζομαι, κατὰ τροπὴν Αἰολικὴν τοῦ ζ εἰς δ, ὥσπερ ζυγὸς, δυγός. γίνεται δὲ ἴδω, καὶ κατὰ παραγωγὴν ἰδύω, καὶ πλεονασμῷ τοῦ ρ ἱδρύω, καὶ καθιδρύω, δασύνεται. τὸ ι πρὸ τοῦ δ ψιλοῦται, χωρὶς εἰ μὴ ὑποτάσσοιτο τὸ ρ μετὰ φυσικῆς μακρᾶς. Ἰδουμαῖος, Ἴδη, ἰδιώτης. δασύνεται δὲ ἱδρὼς, ἱδρύω. ποῖον δέ ἐστι τὸ φύσει μακρόν; τὸ δρω· ὡς καὶ δρυάτοι θ' ἵδρυθεν, ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς [1]. τὸ δὲ ἴδρις ψιλοῦται, διότι οὐχ ὑποτάσσεται τὸ μετὰ φυσικῆς μακρᾶς, γέρων μέν εἰμι, καὶ πολλῶν κακῶν ἴδρις.

Ἱδρὼς, ἱδαρὸς, ὑγρὸς γὰρ γίνεταί τις.

Ἱδρωχόος, ὁ χέων ἱδρῶτα.

Ἴει, Ταλθύβιον, προΐει [2]), ῥῆμα παρατατικόν. τὸ ἱέω ἰῶ περισπώμενον, ἵεον ἵουν, ἵεεις ἵεις, ἵεε ἵει. τὸ προστακτικὸν καὶ μετὰ τῆς πρὸ προθέσεως προΐει, ἀντὶ τοῦ προέπεμψεν.

Ἵεις, εἰς τὸ ἀνίεις, καὶ εἷς. ἵεμαι εἰς τὸ προσήκατο.

Ἱέναι, ἵημι, ὁ παρατατικὸς ἵην, ἡ μετοχὴ ἱεὶς ἱέντος, καὶ τὸ ἀπαρέμφατον ἱέναι.

Ἱεμένων, πορευομένων, πεμπομένων, ἵημι, ἵεμαι, ἱέμενος, ἱεμένων. τὸ δὲ ἵημι ἐπὶ τὸ πέμπω δασύνεται, ἐπὶ δὲ τοῦ πορεύομαι ψιλοῦται.

Ἴεμος, εἰς τὸ ἰάλεμος.

Ἰέναι, ἐκ τοῦ ἵημι τὸ πορεύομαι· τρία γάρ εἰσιν. ἵημι τὸ πέμπω ὅπερ δασύνεται, ἵημι τὸ πορεύομαι, ἐκ τοῦ ἕω τὸ πορεύομαι, ὅπερ καὶ ψιλοῦται. καὶ ἵημι τὸ ἐφίεμαι, ἐξ οὗ καὶ ἵμερος ἡ ἐπιθυμία. λοιπὸν ἐκ τοῦ ἵημι τὸ πληθυντικὸν ἵεμεν, καὶ τὸ ἀπαρέμφατον ἱέναι, ὡς τίθεμεν τιθέναι. ἢ οὕτως ἐστιν. ἵημι, ὁ παρατατικὸς ἵην. ἡ μετοχὴ ἱεὶς ἱέντος, καὶ τὸ ἀπαρέμφατον ἱέναι. καὶ εἰς τὸ ἄνεως καὶ ἀνία.

Ἵεντο, προθυμοῦντο, ἵημι τὸ παθητικὸν ἵεμαι, ὁ παρατατικὸς ἱέμην, τὸ τρίτον τῶν πληθυντικῶν ἵεντο.

Ἵεντο, εἰς τὸ ἀνίεις.

Ἱέραξ, παρὰ τὸ ἵεσθαι ἤγουν φέρεσθαι ἐν τῷ ἀέρι ῥᾳδίως. ἢ ἀπὸ τῆς καθ' ὁμοίωσιν φωνῆς.

Ἱερεὺς, ὁ τὸ ἱερεῖον θύων ἤτοι προσφέρων. ἐκ τούτου οὖν ἐκλήθη ἱερεὺς, παρὰ τὸ ἵημι τὸ πέμπω, ὁ τὰς θυσίας ἀναπέμπων τῷ θεῷ· ἢ παρὰ τὸ ἱερεύω τὸ θύω, ἢ παρὰ τὸ ἱερός.

Ἱερεὺς, ἐκ τοῦ ἱερεῖον καλεῖσθαι τὸ πρόβατον. ἐρίον γὰρ λέγεται τὸ μαλλίον, καὶ ἔριθος ἡ γερδία.

Ἱερὴν, τὴν μεγαλὴν, τὸ ἱερὸν δύο σημαίνει. τὸ ἱερὸν καὶ τὸ μέγα.

Ἱερεῖον τὸ πρόβατον εἴρηται, διὰ τὸ ἵεσθαι ἤγουν φέρειν τὸ ἔριον. λοιπὸν ἱερεὺς ἐκλήθη, διὰ τὸ ἱερὸν εἶναι. ἢ ὁ τὸ ἱερὸν εὔων [3] ἤγουν προσφέρων.

Ἱερὸν ἦμαρ, παρὰ τὸ θύειν ἐν τούτῳ τῷ καιρῷ, ἤγουν ἐν τῇ μεσημβρίᾳ καὶ πρὸ μεσημέρας ἕως πρωΐας. ἐπὶ τούτῳ γὰρ τῷ καιρῷ ἔθυον τοῖς Ὀλυμπίοις θεοῖς, ἀπὸ δὲ μεσημβρίας τοῖς Χθονίοις.

Ἱερὸν ἰχθῦν, τινὲς παρὰ τὸ διαίνω, διερὸς καὶ διερὸν, τὸ ἀεὶ ἐν ὕδατι βρεχόμενον, οἷον· ἔνθ' ἤτοι μὲν ἐγὼ διερῷ ποδὶ [4])· οἱ δὲ παρὰ τὸ δίω τὸ διώκω διερὸς καὶ ἱερὸς, ὁ ταχὺς καὶ διωκτικός. καὶ εἰς τὸ ἰχθῦς.

Ἱέρεια, διὰ τῆς ει διφθόγγου. τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ εια παρασχηματιζόμενα θηλυκὰ διὰ τῆς ει διφθόγγου γράφεται. ἰστέον δὲ ὅτι οἱ Ἀθηναῖοι

---

1) Il. II, 191. 2) Il. III, 118. 3) F. ἱερεῖον θύων. 4) Od. IX, 43.

[illegible] ἀνταλύοντες τὸ α, καὶ καταβιβάζουσι τὴν τόνον καὶ φυλάσσουσιν.

Ἱερεῖον, παρὰ τὸ [illegible] τὸ ἀθῶον, ὁ ἀνειμένος τόπος εἰς τιμὴν θεοῦ.

Ἱεροφάντωρ, διότι τὰ θεῖα λέγει καὶ διδάσκει, καὶ ἱεροτελεστὴς ὁμοίως.

Ἱεροφάντης, παρὰ τὸ τὰ ἱερὰ ἐκφαίνειν. μᾶλλον δὲ ἐκφαίνειν καὶ λέγειν. οὕτως δὲ ἐστιν ἱερουργὸς τῶν θείων μυστηρίων.

Ἱερὸν ὀστοῦν, κυρίως τὰ κατὰ τὴν ὀσφῦν τῶν ἱερείων ὀστέα δ. ταῦτα ἐπετίθεσαν ταῖς θυσίαις. οἱ δὲ, ὅτι, φασὶν, ἡ ὀσφῦς πρώτη φύεται τῶν ζώων, ἤγουν τῶν ἱερείων, ὅθεν τὰ ἐντέροθεν τῆς τρόπιος, ἀμφιμήτρια λέγεται, ἀπὸ τῆς μήτρας. τινὲς δὲ τὸ μέγα ὀστοῦν. ἢ παρὰ τὸ ἱερὸν τὸ μέγα, ὡς ἱερὸς ἰχθῦς.

Ἱερὸν ὀστέον, τὸ ἄκρον τῆς ὀσφύος· ἢ ὅτι μέγα ἐστὶ, πάθος γὰρ ἀναιρετικόν. ἢ ὅτι ἱερουργεῖται τοῖς θεοῖς. Μένανδρος· οἱ δὲ τὴν ὀσφῦν ἄκραν θύσαντες.

Ἱερὸς, ἅγιος, τίμιος, ἀμόλυντος, θαυμαστὸς, μέγας, καθαρὸς, κατὰ κρᾶσιν ἱρὸς, ἡνίκα προτερεύει τὸ ι τοῦ ε εἰς ι γίνεται ἡ κρᾶσις, οἷον, ἱέραξ ἵραξ, τὸ ἵρηξ ὠκυπέτης. ἡνίκα δὲ τὸ ε τοῦ ι, ἡ δίφθογγος ἐπικρατεῖ, οἷον, ὑγίεια ὑγεία.

Ἱερουργὸς, ὁ τοῦ ἱερέως τὸ ἐπιτήδευμα ἔχων. ἢ παρὰ τὸ τὰ θεῖα ἐπιτελεῖν.

Ἵζεο καὶ ἵζεο, καθέζου. χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ προστακτικοῦ. ἔστι δὲ τὸ κοινὸν ἵζου, καὶ Ἰωνικῶς διαλύσει ἵζεο, καὶ Δωρικῶς κράσει τοῦ εο εἰς ευ δίφθογγον, ὡς ἐξ ἐρεβέος ἐξ ἐρεβεῦς καὶ Ἰδομενέος Ἰδομενεῦς, καὶ ἐκ τοῦ ἵζεο ἵζευ. λοιπὸν οὖν ἐστι τὸ θέμα ἵζω, καὶ ἐπὶ ἐνεστῶτος ἔστι φύσει μακρὸν τὸ ι, ἐπὶ δὲ τοῦ παρατατικοῦ θέσει. δασύνεται. ἐκ τῆς συναλοιφῆς καθίζω.

Ἵζομαι, εἰς τὸ ῥώμη.

Ἵζω, τὸ κάθημαι. Ὅμηρος, Νέστορα δ' αὐτόθι ἔφιζεν [1].

Ἵζω, εἰς τὸ ἔφιζον, καὶ ἱδρυῶ, καὶ ἵδρυσε, καὶ ὄζον, καὶ ῥίζα.

Ἱκμὰς, ἐκ τοῦ ἥκω τὸ παραγίνομαι. ἢ παρὰ τὸ ἱκνεῖσθαι αὐτήν.

Ἵημι, τὸ πέμπω, καὶ τὸ ἀφίεμαι, ἀπὸ διπλασιασμοῦ ἔχει τὴν ἄρχουσαν, οἷον, ὦ, ἰῶ, ἵημι, δῶ διδῶ, δίδωμι. Ὅμηρος, ἵετο γὰρ βαλέειν.

Ἰήϊε, ἰατρὲ, ἐὰν δὲ δασύνεται τοξότα.

Ἰῇ, τῇ μιᾷ, καὶ εἰς τὸ ἴος.

Ἵημι, σημαίνει δύο, τὸ πέμπω ἐξ οὗ καὶ ἀφίεμεν· γέγονεν δὲ παρὰ τὸ ἵω ἰῶ, ἵημι, καὶ τὸ πληθυντικὸν ἵεμεν καὶ ἀφίεμεν, καὶ τὸ ἀπαρέμφατον εἶναι καὶ ἀφεῖναι, ἐξ οὗ τὸ προστακτικὸν πρόες καὶ ἄφες. καὶ τὸ ἐπιθυμῶ, ἐξ οὗ καὶ τὸ, ἵετο γὰρ βαλέειν, ἀντὶ τοῦ ἐφίετο, καὶ ἵμερος ἡ ἐπιθυμία. καὶ ἄλλως. ἵημι τὸ πέμπω ὅπερ δασύνεται, καὶ ἵημι τὸ πορεύομαι, ὅπερ ψιλοῦται.

Ἰησοῦς, τὸ τοῦ Χριστοῦ ὄνομα, παρὰ τὸ ἰᾶσθαι εἰς τὸ σώζειν.

Ἴητο, ἰᾶτο, ἔστι τὸ θέμα ἰῶ, τὸ δεύτερον ἰᾷς, τὸ τρίτον ἰᾷ. οὗ ὁ μέλλων ἰάσω, ὁ παθητικὸς ἐνεστὼς ἰῶμαι, ὁ παρατατικὸς ἰώμην, τὸ δεύτερον ἰῶ, τὸ τρίτον ἰᾶτο, καὶ τροπῇ τοῦ α εἰς η ἴητο. γράφεται δὲ διὰ τοῦ ἰῶτα, ἐπειδὴ πρὸ τοῦ ω πάντοτε τὸ ι εὑρίσκεται, πλὴν τοῦ ἠῶ, τοῦ σημαίνοντος τὸ κόπτω ἢ καίω.

Ἰθαγενεῖς, οἱ γνήσιοι παῖδες καὶ μὴ ἐκ παλλακίδος. καὶ οἱ γνήσιοι πολῖται, οἷον, αὐθιγενεῖς τινες ὄντες, οἱ αὐτόθι γεγεννημένοι.

Ἰθαγενὴς, ἰθὺ καὶ ἀνεπίστροφον τὸ γένος ἔχων.

Ἴθι, ἐξ οὗ καὶ τὸ, ἀλλ' ἴθι μή μ' ἐρέθιζε. ἀπὸ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι, ἴμεν τὸ πληθυντικὸν, καὶ τὸ προστακτικὸν ἴθι, τροπῇ τῆς μεν εἰς θι· καὶ σημαίνει τὸ ὑπάρχω, τὸ πληθυντικὸν ἔμεν, καὶ πλεονασμῷ τοῦ σ ἔσμεν. ἀπὸ γὰρ τοῦ ἔσμεν τὸ προστακτικὸν ἔθι. καὶ τὸ ε, ἡνίκα πλεονάσει σύμφωνον, τρέπεται εἰς ι καὶ γίνεται ἴθι, ὃ σημαίνει τὸ ὑπάρχω.

Ἴθι, πόθεν γίνεται; ἀπὸ τοῦ εἶμι εἷς, ἔστιν· ὁ δεύτερος ἀόριστος ἦν, ἐκτάσει τῆς ει διφθόγγου εἰς η Ἀττικῶς. ἡ μετοχὴ εἷς, τὸ προστακτικὸν ἔθι, καὶ συστολῇ τοῦ ε εἰς ι Ἰωνικῶς ἴθι, ὡς μέμνω μίμνω, καὶ γένω γίγνω.

Ἴθματα, τὰ βήματα, ἀπὸ τοῦ δι' αὐτῶν ἰέναι.

Ἴθι, προστακτικὸν, καὶ ἔστιν ἐνεστὼς καὶ παρατατικὸς, ὡς ἵσταμεν, ἵστατε· καὶ εἰς τὸ βάσκ' ἴθι, καὶ ἴτε.

Ἰθύνω, διὰ τοῦ ι, παρὰ γὰρ τὸ ἰθὺς γέγονεν.

Ἴθμα, βῆμα, παρὰ γὰρ τὸ ἵημι τὸ πορεύομαι, ἦμα ἴθμα, ὡς τίθημι, θέμα.

Ἰκτῖνος, εἶδος πετεινοῦ, ὃ λέγουσι [illegible], ὡς ἐτυμολογεῖται ἀπὸ τοῦ [illegible] ἐκτείνειν [illegible].

Ἴκαρος, διὰ τοῦ ἰῶτα, παρὰ τὸ ἵκεσθαι πρὸς τὸν ἀέρα.

Ἱκάνω, τὸ καταλαμβάνω. τὸ κα μακρὸν. πλὴν τοῦ ἱκάνω, κιχάνω. καὶ ταῦτα διατί; ἐπειδὴ δύο ἀποδείξεις εἰσὶ περὶ τούτου. ἡ ἐπὶ τῆς ἀρχούσης φύσει μακρὰ οὖσα, εἰσῆλθεν ἐν τῇ παραληγούσῃ. ὁ δὲ ἄλλος κανὼν, οὐδέποτε παρατατικὸς ἀόριστος δεύτερος σημασίαν ἐπιδέχεται, ἤγουν ἀνεδέξατο, πλὴν τοῦ ἱκάνω, κιχάνω. εὕρηται καὶ ἐκ τῆς συναλοιφῆς δασύ. ἐκίχανε γὰρ τουτέστι κατέλαβε. καὶ οὐ λέγομεν ὅτι κατελάμβανε δασύ. τὸ ι πρὸ τοῦ κ δασύνεται, ὡς ἵκω, ἱκέτης, ἱκάνω. ἡ μὲν δὴ πρὸ τὸ τεῖχος ἐπειγομένη ἀφικάνη.

Ἱκανῶς, ἀρκετῶς, δυνατῶς.

Ἱκανότης, ἡ δύναμις καὶ ἰσχύς.

Ἰκαρίοιο, ὄνομα Ἰκάριος, τὸ ρι ἰῶτα, ὥσπερ τὸ Αἰτωλὸς πάτριος.

Ἴκελος τὸ ἴκελος διφορεῖται (ει). γίνεται ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ, ἔστι δὲ πρός τι, καὶ συντάσσεται μετὰ δοτικῆς. τὸ γὰρ ἴσος, καὶ ὅμοιος, καὶ εἴκελος μετὰ δοτικῆς συντάσσεται, οἷον, ἴσος τῷ Πριάμῳ, ὅμοιος αὐτῷ, ἴκελος Διΐ. τὸ κε ψιλὸν διατί; ὡς τὸ ἄμπελος.

Ἱκέσθαι, παραγενέσθαι, ἀπαρέμφατον ἐνεστῶτος παθητικοῦ, παρὰ τὸ ἵκω ἱκέσθαι παραγενέσθαι. ἢ μέσου ἀορίστου β. παρὰ δὲ τοῖς ἰαμβολόγοις διὰ τοῦ ι. παρὰ δὲ τοῖς πεζολόγοις διὰ τοῦ η. γίνεται δὲ τὸ ἧκα ἀπὸ τοῦ ἵημι, ἥσω, ἧκα καὶ ἥκω, ἐξ οὗ καὶ ἀφικάνω. βαρύνεται δὲ ὅτι συνεξηκολούθησε τὸ δέρεσθαι καὶ φέρεσθαι. λέγει δὲ ὁ κανών· πᾶν εἰς σθαι λῆγον ἀρσίτονον ἀπαρέμφατον. σεσημείωται τὸ αἱρέσθαι [2]) παρὰ τῷ ποιητῇ. προπαροξύνεται μέσου ἀορίστου ὂν, ἀλλ'

---

[1]) Corr. ex Od. III, 411.   [2]) L. ἵεσθαι.

ἐθέλω σὲ Φέριστε, περὶ ξείνοιο αἴρεσθαι [1]) τοῦτο ἐπὶ μὲν τοῖς ἐνεργητικοῖς γράφεται διὰ τοῦ η, ἀπὸ γὰρ τοῦ εἶμι τὸ πορεύομαι γέγονεν ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα. καὶ ἀπὸ τοῦ παρακειμένου κατὰ Συρακουσίους γίνεται ῥῆμα ἥκω, ὡς πεποίηκα πεποιήκω. καὶ ὅτε μὲν σημαίνει τὸ παραγίνομαι καὶ ἔρχομαι, γράφεται διὰ τοῦ η, ὅτε δὲ σημαίνει τὸ κατέλαβον, γράφεται διὰ τοῦ ι. κνίσση δ' οὐρανον ἷκεν.

Ἵκεσθαι καὶ ἀφίκεσθαι διαφέρει. ἵκεσθαι μὲν γάρ ἐστι τὸ ἐλθεῖν· ἀφίκεσθαι δὲ τὸ ἀπανελθεῖν.

Ἱκετῶ, ἐκ τοῦ ἱκέτης. τοῦτο παρὰ τὸ ἥκω τὸ παραγίνομαι, ὅπερ μὲν τῶν ἐνεργητικῶν διὰ τοῦ η γράφεται, ἐπὶ δὲ τῶν παθητικῶν διὰ τοῦ ι. ἢ ἐκ τοῦ εἴκω τὸ ὑποτάσσομαι, ἢ παρὰ τὸ ἵκω τὸ ἱκετεύω, ἐξ οὗ καὶ Ὅμηρος, μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών [2]).

Ἱκετεύω, ἐκ τοῦ ἱκέτης· τοῦτο παρὰ τὸ ἥκω τὸ παραγίνομαι, τὸ παθητικὸν ἵκομαι, τὸ τρίτον ἵκεται, ἱκέτης καὶ ἱκετεύω.

Ἰκόνιον, ὄνομα πόλεως, παρὰ τὸ ἐκεῖσε ἀφικόμενον Περσέα, καὶ νικῆσαι τοὺς Λυκάονας, καὶ στήσας στήλην, ἐκάλεσεν αὐτὸν Ἰκόνιον· ἐκ τοῦ ἰδίου ἀπεικονίσματος κτίσαι αὐτήν.

Ἴκρια, τὰ σανιδώματα, παρὰ τὸ δι' αὐτῶν κινεῖσθαι καὶ διαβαίνειν.

Ἰκρίον, τὸ ὀρθὸν ξύλον.

Ἵκω, τὸ δέομαι, ἐξ οὗ καὶ ἱκέτης, κλίνεται δὲ ὁ ἱκέτης, τοῦ ἱκέτου. ὁ κανὼν, τὰ εἰς της ῥηματικὰ εἰς ου ἔχει τὴν γενικήν. τὸ κε ψιλὸν διατί; τὰ διὰ τοῦ ετης ὀνόματα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται, οἷον, μητιέτης, ἱκέτης, νεφεληγερέτης, ἐπίθετον τοῦ Διὸς, χωρὶς τῶν παρὰ τὸ χαίτη καὶ τὸ αἰτῶ γινομένων, ὡς ἔχει τὸ προσαίτης, ὁ προσαιτῶν, καὶ εὐχαίτης, ὁ καλὴν χαίτην ἔχων ἵππος, καὶ εἴ τι ἐξ αὐτοῦ γίνεται ἤγουν σύγκειται. διάτι βαρύνεται; τὰ εἰς της λήγοντα ἀρσενικὰ βαρύτονα βραχεῖ παραληγομένῳ, καὶ ἁπλᾶ ὄντα, οἷον, γενέτης, δεσπότης, ἱκέτης. σεσημείωται τὸ εὑρετής.

Ἶκτις, ὃ σημαίνει τὴν λούπην, ἀπὸ τοῦ ἐκτεταμένας ἔχειν τὰς πτέρυγας· οὗ καὶ τὸ αἰδοῖον ἤτοι τὸ κρυπτὸν ὀστέϊνον.

Ἴκτινος, διὰ τοῦ ι γράφεται, σημαίνει δὲ τὴν λεγομένην λουπάδα, τὰ γὰρ διὰ τοῦ ινος προπαροξύτονα, μὴ ὄντα ἀπὸ ἁπλοῦ, ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ υ γράφεται, οἷον, φήγινος, δρυϊνος, ξύλινος, κάμινος, οὕτως οὖν καὶ ἴκτινος. πρόσκειται μὴ ὄντα ἀπὸ ἁπλοῦ [3]).

Ἴκτερος, τὸ ὄνομα, τὸ δὲ ῥῆμα ἰκτεριῶ, γίνεται δὲ ὁ ἴκτερος, ἀπὸ ξανθῆς χολῆς, πλεονάσασα γὰρ πυρωθεῖσα, εἰς τὴν ἐπιφάνειαν ἐξωθεῖται καὶ ἀναχέεται. κἀντεῦθεν τῷ ἰκτεριῶντι ἡ ὠχρίασις. ἴτερον δὲ λέγουσιν εἶναι νόσον ὠχροειδῆ, ἀπὸ θυμοῦ γενομένην, ὥστε τοὺς ὀφθαλμοὺς τῶν κεκρατημένων ὠχροὺς ἢ μελανοὺς ποιεῖν, ὡς τῶν ἰκτίνων ἀφ' οὗ τὴν κλῆσιν ἔχει.

Ἵκωμαι, ἀντὶ τοῦ ἱκετεύσω, ἐνεστῶτος παθητικοῦ ὑποτακτικοῦ.

Ἰκρύον, σταυρὸς, φοῦρκα, ξύλον, ἐν ᾧ οἱ κακοῦργοι κρέμανται.

Ἶκες, ζωΰφια τὰ ἐσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπελῶν.

Ἰλάδιον, κατὰ ἴλας καὶ συστροφὰς, καὶ κατὰ συστροφὴν καὶ κατὰ σύστημα.

Ἵλαος καὶ ἱλεὼς, εὐμενὴς, πρᾶος, γίνεται δὲ παρὰ τὸ ἱλαρὸς, οἱ γὰρ Αἰολεῖς ἵλαος λέγουσι, καὶ οὐχὶ ἔλλαος παρὰ τὴν ἱλαρίαν.

Ἱλαρὸς, θερμὸς, ἡδὺς, παρὰ τὸ ἵλαος ὃ σημαίνει τὸν εὐμενῆ.

Ἱλλάδες, σχοινία ἐξ ἱμάντων, ἀπὸ τοῦ εἰλῆσθαι. πολλὰ γὰρ εἰσὶν ὀνόματα.

Ἰλίων σημαίνει τὴν σύγγαβρον. διὰ τοῦ ἰῶτα γράφεται καὶ κατὰ τὴν ἀρχὴν, καὶ κατὰ τὴν παραλήγουσαν, τῷ λόγῳ τοῦ Ἀμφίων, κατὰ δὲ τὴν ἀρχὴν τῷ λόγῳ τοῦ Πτολεμαίος· ἔστι δὲ παρὰ τὸν ἴλιον, τὸ σημαῖνον τὸ δῶρον. καὶ γὰρ οἱ σύγγαμβροι μετέχουσι τῶν δώρων τοῦ νυμφίου.

Ἴλη, ἡ τάξις, παρὰ τὸ εἰλῶ τὸ συστρέφω· πολλὰ γὰρ εἰσὶν ὀνόματα.

Ἶλις, Ἴλιδος, ὄνομα πόλεως.

Ἰλεὸς, ὁ φωλεὸς, καὶ γράφεται διὰ τοῦ ι, τὰ διὰ τοῦ εἰλῶ παράγωγα.

Ἱλασμὸς, διαλλαγὴ, εὐμένεια. ἔστιν ἱλῶ, ἱλᾷς, ἱλᾷ. ὁ μέλλων ἱλάσω, ὁ παρακείμενος ἵλακα, ὁ παθητικὸς ἵλαμαι, καὶ ἐξ αὐτοῦ ἱλασμός. ἐκ τοῦ ἱλῶ γράφεται ἵλαος, καὶ τροπῇ τοῦ α εἰς ε ἵλεως τὸ Ἀττικόν. τὸ ἵλεως παρὰ τῇ κοινῇ διαλέκτῳ δασύνεται. καὶ εἰς τὸ ἐξίλασμαι.

Ἰλαδὸν, διὰ τοῦ ι. παρὰ γὰρ τὸ ἴλη, τὸ σημαῖνον τὴν ἄθροισιν γέγονεν, ὅπερ δέδεικται διὰ τοῦ ἰῶτα.

Ἱλασσάμενος, ἐξιλεωσάμενος, μετοχὴ παθητικὴ συζυγίας δευτέρας τῶν περισπωμένων. τὸ θέμα, ἱλῶ, ἱλᾷς ἱλᾷ. ὁ μέλλων ἱλάσω, ἐκ τούτου ἱλάσθητι καὶ ἱλασμὸς, καὶ ἐκ τούτου ἱλασσόμενοι, πλεονασμῷ τοῦ σ, διὰ τὸ μέτρον. ἐκ τοῦ ἱλῶ ἵλημι, ἐξ οὗ καὶ τὸ ἱλάσθητι, καὶ γράφεται διὰ τοῦ ἰῶτα.

Ἱλάσσω, τὸ ἱκετεύω, ἐξ οὗ καὶ, τίς δ' αὐτὸν ἱλάσσεται.

Ἰλεὺς, ὁ Αἴαντος πατήρ. ἐτυμολογεῖται ὑφ' Ἡσιόδου [4]) τὸ, Ἰλέα τόν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων, καὶ οἱ τοῦτ' ὀνόμηνʹ ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην εὑράμενος ἵλεων, ὄχθη ἐρατεινῇ φιλότητι [5]), ἤματι τῷ ὅτι τεῖχος ἐϋδμήτοιο πόληος ὑψηλοῦ ποίησε Ποσειδάων καὶ Ἀπόλλων. ταῦτα παρατίθεται ἐν δέλτα Σιμωνίδης.

Ἰλεὸς, ἡ κατάδυσις, παρὰ τὸ ἀπολωλέναι ἐκεῖ τὸ φῶς.

Ἵλεως, ὁ εὐπαράκλητος, ἀπὸ τοῦ ἔλεος κατὰ τροπὴν τοῦ ε εἰς ι, καὶ τοῦ ο εἰς ω. ἐκ δὲ τοῦ ἵλεως γίνεται ἱλεῶ, ἱλεώσω, καὶ ἐξειλεωσάμην, ἐκ δὲ τοῦ ἱλεῶ γίνεται κατὰ συγκοπὴν ἱλῶ, ἱλᾷς, ἐξ οὗ καὶ τὸ ἵλαθι, καὶ ἱλασάμεθα, καὶ ἱλασσάμενοι. ἐκ δὲ τοῦ ἱλῶ, ἱλάσω, ἱλάσκω, ὥσπερ φῶ φάσκω, βῶ βάσκω.

Ἰλιγγιᾷ, ἀτονεῖ, σκοτοῦται, συστρέφεται, παρὰ τὸ ἰλιγγιῶ, τοῦτο παρὰ τὸ ἴλιγξ ἴλιγγος, τοῦτο παρὰ τὸ εἰλίσσω εἰλίξω, ἐξ οὗ καὶ ἕλιξ τὸ τῆς ἀμπέλου περι-

---

1) L. ἔρεσθαι ex Od. I, 405. 2) Il. XXII, 123. 3) Reliqua deficiunt. Sed vid. Etym. M. v. ἰκτῖνα. 4) ad Hesiodi hunc locum respicit etiam Scholiast. ad Pind. Ol. IX, 167. It. Eustath. p. 277. 2. 5) ὄχθη etc. L. μίχθη ἐρατῇ φιλότητι. V. Eustath. p. 650, 46.

φράγμα. ὤφειλε γὰρ τὸ ἰλιγγιῶ διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἀλλὰ διὰ τὸ μέτρον γράφεται διὰ τοῦ ἰῶτα.

Ἰλιγξ, κυρίως συστροφὴ ὕδατος.

Ἰλιοι, παρὰ τὸ Ἶλος ὄνομα κύριον, τὸ ι μακρόν. τὸ ι ἐπιφερομένου συμφώνου ἑνὸς ἁπλοῦ, ᾧ ὑποτάσσηται τὸ ι, ἢ τὸ υ φιλεῖ ἐκτείνεσθαι· χωρὶς τῶν ἀπὸ κλίσεως· ἐγράφη εἰς τὸ δίχρονον.

Ἰλλος, ὁ ὀφθαλμὸς καὶ νόσος, καὶ Ἶλος ὄνομα κύριον, ἀφ' οὗ καὶ Ἴλιος πόλις ὠνόμασται.

Ἰλλω, τὸ δεσμεύω, ἐξ οὗ καὶ ἰλλὰς ὁ δεσμός.

Ἰλλάσσω, τὸ δεσμεύω, ὡς τὸ, τίς δ' ἀστῶν ἰλλάσσεις.

Ἰλλοι, οἱ ὀφθαλμοὶ, κυρίως δὲ αἱ κόραι τῶν ὀφθαλμῶν ἀπὸ τῆς εἰλήσεως, καὶ παρὰ τὸ εἰλῆσθαι τὰς κόρας τῶν ὀμμάτων.

Ἰλὺς, ὁ ῥύπος, παρὰ τὸ ὕω, τὸ βρέχω, ὕλη, καὶ ἐν ὑπερβιβασμῷ ἰλὺς ἰλύος, καὶ ἶλις ἴλιος, καὶ ἴλεως. ὤφειλε γράφεσθαι διὰ τοῦ η. ἀλλὰ κανών ἐστιν ὁ λέγων, τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν, ἔχοντα ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ι ἢ τὸ υ, διὰ τοῦ ι ἔχει τὴν πρώτην. κλίνεται δὲ τριχῶς, ὕλη ὕλης, καὶ ἰλὺς ἰλύος, καὶ ἶλις ἴλιος καὶ ἴλεως, καθὼς εἴρηται ἄνω.

Ἰλάσκεσθαι, τὸ θέμα ἰλῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ σημαῖνον τὸ ἐξιλεοῦμαι, καὶ ἐξευμενίζω, ὁ μέλλων ἰλάσω καὶ πλεονασμῷ τοῦ κ ἰλάσκω, καὶ μετῆλθεν εἰς ἐνεστῶτα. καὶ ἰλάσκοντο τὸ παθητικὸν, καὶ τὸ ἀπαρέμφατον ἰλάσκεσθαι.

Ἰλὺς, παρὰ τὸ ἵζω τὸ καθέζομαι, ἢ παρὰ τὸ ἰλῶ τὸ συστρέφω γίνεται ἰλύς· σημαίνει δὲ τὸν ῥύπον, ὅθεν καὶ ἰλύοδας λέγουσιν τοὺς ὄφεις, παρὰ τὸ ἰλὺν ἐν τοῖς ποσὶν αἴρειν. ἢ παρὰ τὸ ὕλη ἰλύς. τὸ δὲ ὕλη παρὰ τὸ ὕω τὸ βρέχω, ἐκεῖθεν γὰρ ἔχει καὶ τὸ υ μακρόν. καὶ εἰς τὸ ὕλη.

Ἰλυσπῶντο, εἷρπον, ἐκυλίοντο. ἰλυσπᾶσθαι δέ ἐστι τὸ παραπλησίως τοῖς σκώληξι, καὶ τοῖς ὄφεσιν ἰέναι, οἱονεὶ ἐν τῇ ἰλύϊ σπᾶσθαι, τουτέστιν ἐν τῇ γῇ κυλίεσθαι.

Ἰλλούστριος, ἔνδοξος, εὐγενὴς, ἔντιμος.

Ἰλὺς, πηλὸς βορβορώδης, ῥύπος.

Ἰλυσπώμενος, ἕρπων, εἴρηται δὲ παρὰ τὸ ἐν τῇ ἰλύϊ κατασπᾶσθαι.

Ἰλὺς, παρὰ τὸ ἰλύσσω, ἀποβολῇ τοῦ ω.

Ἱμὰς, ὁ λῶρος, μάστιξ, παρὰ τὸ ἐνίεσθαι ὅ ἐστιν ἐνδύεσθαι, ὡς ἀπὸ τοῦ ἐνίημι. δασύνεται· τὸ ι συνεσταλμένον ἐπιφερομένου ἑνὸς λ ἢ ἑνὸς μ δασύνεται, οἷον, ἵλεως, ἱλαρός.

Ἱμαῖος, εἴτε ἐπιμύλιος ᾠδὴ, ἢ ὄνομα κύριον· τὸ μέντοι ἰμῶ μακρὸν ἔχον τὸ ι, ψιλοῦται. σημαίνει δὲ τὸ ἀντλῶ, ὅθεν τὸ ἀνιμῶ, καὶ ἱμονιὰ τὸ ἀντλητήριον. διότι συσσημαίνεται τὸ ἱμὰς καὶ ἀνδριάς; τὰ εἰς ας ὀνόματα ὑπὲρ μίαν συλλαβὴν μακρὸν ἔχοντα τὸ α, ἢ βαρύνεται, ἢ περισπᾶται. οἷον, βουαλλᾶς, ἔστι δὲ εἶδος πλακοῦντος, ἐξ οὗ καὶ βαλλαντοπῶλαι, καὶ πελεκᾶς. τὸ δὲ ἱμὰς καὶ ἀνδριὰς, ὡς διαλλάξαντα κατὰ τὸν χρόνον ἦγουν τοῦ ἄρσεως, διήλλαξαν καὶ κατὰ τὴν κλίσιν. ἐπὶ μέντοι γενικῆς ἱμάντος. οἱ μέντοι Ἀττικοὶ τῷ χρόνῳ τῆς εὐθείας ἀκολουθοῦντες περισπῶσι τὰς γενικάς, ἡ δὲ κοινὴ συνήθεια οὐ παρέλαβε τοῦτο, διὰ τὸν κανόνα, πάντα τὰ διὰ τοῦ ντ κλινόμενα. καὶ ἑνὸς θέσει μακρᾶς περισπωμένη οὐ τίθεται.

Ἱμάτιον, παρὰ τὸ ἕω, τὸ ἐνδύομαι, ἑμάτιον καὶ ἱμάτιον, ἐξ οὗ γίνεται ἱματίζω, ἱματίσω, ἱματισμὸς, ἐκ τούτου καὶ ἱματίδιον, ἀπὸ τοῦ ὠτάριον ὠταρίδιον.

Ἱμείρω, σημαίνει τὸ ἐπιθυμῶ, ἀπὸ τοῦ ἵμερος, τοῦτο παρὰ τὸ ἵημι, ὃ σημαίνει τὸ προθυμοῦμαι, ἵετο γὰρ βασιλεύειν. ὁ γὰρ ποθῶν ἵεται τὸ ποθούμενον. ἢ ἀπὸ τοῦ ἵ, τρίτου προσώπου ἀντωνυμίας, οἷον, ἐγὼ, σὺ, ἵ. ἀπὸ οὖν τοῦ ἵ καὶ τοῦ μέρος γίνεται ἵμερος, οἷον, ἐκείνου μέρος τὸ ἐπιθυμούμενον· καὶ εἰς τὸ ἱμερτόν.

Ἴμεν, πορευόμεθα, εἶμι τὸ πορεύομαι, τὸ πληθυντικὸν ἴμεν, τὸ ἀπαρέμφατον ἶναι, διὰ τοῦ ι, ἵνα φυλάξῃ τὴν παραλήγουσαν τοῦ πρωτοτύπου, ἤτοι τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν, τοῦ ἰδίου ὁριστικοῦ τοῦ ἴμεν. Ἀττικῶς οὖν ἴμεναι, Ἰωνικῶς ἴμεν, ὡς καὶ τὸ ἔμμεναι ἔμεν. ἄρκος ἔμεν πολέμοιο. καὶ εἰς τὸ ἀπρόσιτον, καὶ εἶναι, καὶ εἶσι, καὶ ἰθμός.

Ἵμερος, ὁ πόθος, Δωρικῶς [1]. τὰ γὰρ ἄνθη λέγεται ἵμερα, ἐπεὶ ἐν τῷ ἀέρι φύονται, ὅτε καὶ τὰ ἐρωτικὰ θερμότερά εἰσι. τούτου χάριν καὶ ὁ Ἀλκμαῖος ζεφύρου καὶ Ἴριδος τὸν ἔρωτα φασίν. ἵμερος δὲ ἀπὸ τοῦ ἵεσθαι καὶ ποθεῖν. Λύκιοι δὲ ἐαρινοὺς θεοὺς, Ἀφροδίτην καὶ Ἔρωτα καὶ τὰς ἄλλας Νύμφας καλοῦσι.

Ἵμερος, παρὰ τὸ ἵεσθαι, τὸ σημαῖνον τὸ προθυμεῖσθαι, καὶ γὰρ ὁ ἐπιθυμῶν προθυμεῖται. ὅπερ διὰ τοῦ ι γράφεται, καὶ ὡς ἀπὸ τοῦ ἵημι, ὅπερ, ὡς δειχθήσεται, διὰ τοῦ ἰῶτα γράφεται. ἐξ οὗ γίνεται καὶ τὸ ἱμείρω τὸ ἐπιθυμῶ διὰ τοῦ ι. κατὰ τὴν ἄρχουσαν γραφόμενον. ἰστέον δὲ ὅτι λέγει ὁ Τρύφων, ὅτι ἡμάρτηται τὸ ἵμερος καὶ ἵλαος καὶ ἱμονιά, ὅτι μακρὸν ἔχοντα τὸ ι δασύνεσθαι. καὶ γὰρ πᾶν ὄνομα ἀπὸ μακρᾶς ἀρχόμενον ψιλοῦσθαι θέλει· Ἶνω, Ἰαπετὸς, ἰχώρ· πλὴν τούτων· ταῦτα γὰρ δασύνεται. οὐ καλῶς δὲ λέγει. καὶ γὰρ τὸ ἱμάτιον ἐκτείνει τὸ ι, καὶ ὅμως δασύνεται.

Ἱμερτὸν, τὸ ἐπιθυμητὸν, παρὰ τὸ ἱμείρω ἱμερῶ, ἵμερκα, ἵμερμαι, ἱμερτὸς καὶ ἱμερτὸν τὸ οὐδέτερον. τὸ δὲ ἱμείρω παρὰ τὸ ἵμερος, τοῦτο παρὰ τὸ ἵημι τὸ πορεύομαι, τὸ γὰρ ἵμερον παντὶ πορεύεται.

Ἱμῶ, τὸ ἀντλῶ καὶ ἀναπέμπω, ἐκ τοῦ ἱμὰς ἱμάντος, ὃ συστέλλει τὸ ι. ὡς παρὰ τῷ ποιητῇ, ῥῆξεν ἱμάντα βοὸς ἶφι κταμένοιο. καὶ τὸ ἀνιμῶμαι δὲ διὰ τοῦ ι γράφεται. παρὰ γὰρ τὸ ἱμὰς ἱμάντος γέγονεν ἱμᾶς, καὶ ἀνιμῶ τὸ ἀνασπῶ.

Ἱμονιά, ἐκ τοῦ ἱμὰς, ὃ σημαίνει τὸν λῶρον. σημαίνει δὲ σχοινίον ἀντλήματος. ἢ ἱμονιὰ τὸ δέρμα εἰς ὃ ἀντλοῦμεν τὸ ὕδωρ, ἀπὸ γὰρ τοῦ ἱμὰς ἱμάντος, ἐξ οὗ καὶ τὸ ἀνιμῶμαι διὰ τοῦ ι γράφεται.

Ἶν, εἰς τὸ ἀπτίς.

Ἶνα, σημαίνει δ. τὴν δύναμιν ἶν' ἀπόλεθρον ἔχοντες. τὸ ὅπως ἵνα γνῶσι καὶ οἶδε. τὸ νεῦρον, ἶνα τάμῃς πᾶσαν διὰ πρό [2]. σημαίνει δὲ καὶ τὸ ὅπου, ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέεσθαι. ἔστι δὲ καὶ ἐπίρρημα τοπικόν· καὶ εἰς τὸ κανῶ.

Ἶνα κρατοῦντος, γίνεται ἐκ τοῦ ἴς ἰνὸς, ὃ σημαίνει τὴν τῶν νεύρων δύναμιν. καὶ οὐχ ὡς τινὲς νομίζουσι σύνδεσμον, ἔνθεν καὶ ψιλοῦται, ὁ γὰρ ἵνα σύνδεσμος δασύνεται.

Ἶν, διὰ τοῦ ι, ἐπειδὴ ἀκατάληκτόν ἐστιν, ἴς γὰρ καὶ ἶν, οἷον ῥὶν καὶ ῥὶς, Σαλαμὶν Σαλαμὶς, Ἐλευσὶν Ἐλευσὶς, ἀκτὶν ἀκτὶς, οὕτως οὖν ἶν ἴς. ἰστέον ὅτι τὸ ἴς,

1) Valcken. Diatr. ad Eurip. fragm. p. 161.

2) Il. XVII, 522.

οὐ τὴν δύναμιν σημαίνει μόνον, ὡς παρὰ τῷ ποιητῇ, ἱερὴ ἲς Τηλεμάχοιο, ἀλλὰ καὶ ὄνομα ποταμοῦ, ὡς φησὶν Ἡρόδοτος, καὶ Θύλαξ ὁ ἱστορικός.

Ἰνὼ, διὰ τοῦ ι. παρὰ τὸ ἲς ἰνός. ἢ παρὰ τὸ δύνειν γέγονε δύνω κατ' καὶ ἀποβολὴν τοῦ δ ὕνω, καὶ τροπῇ τοῦ υ εἰς ι Ἰνὼ, ὥσπερ δύφρος δίφρος· καὶ γὰρ εἰς θάλασσαν ἔδυσεν ἡ Ἰνώ.

Ἰνίον, διὰ τοῦ ι γράφεται. ἰστέον δὲ, ὥσπερ ἀπὸ τοῦ σφὴξ, σφηκὸς γίνεται σφήκιον, σημαίνει δὲ τὴν μικρὰν σφῆκα, οὕτω παρὰ τὸ ἲς ἰνὸς ἰνίον, σημαίνει δὲ τὸ πλατὺ νεῦρον.

Ἴναχος, ὄνομα ποταμοῦ, παρὰ τὸ ἲς ἰνὸς καὶ τὸ χέεσθαι γίνεται, οἱονεὶ ὁ μετὰ δυνάμεως φερόμενος καὶ χεόμενος.

Ἴνδαλμα, ὁμοίωμα, ἐκ τοῦ ἰνδάλλω ὅπερ ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ, καὶ κατὰ παραγωγὴν ἰνδάλλω. γράφεται διὰ τοῦ ἰῶτα· διάτι; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι ἐν τοῖς παραγώγοις εἰώθασι πολλάκις τὴν φύσει μακρὰν εἰς θέσιν μεταβαλεῖν, ὡς πένης πενιχρὸς, λήβω λαμβάνω, ἥδω ἁνδάνω, δήκω δαγκάνω, οὕτω καὶ εἴδω ἰνδάλλω τὸ ὁμοιῶ, ἐξ οὗ καὶ ἴνδαλμα.

Ἶνες, τὰ νεῦρα, παρὰ τὸ ἔω τὸ ὑπάρχω, ὄνομα ἲς, ὡς θέω θὶς, καὶ ῥήσω ῥηγμὶς, αἱ δὲ ἶνες παρὰ τὸ εἶναι καὶ συνεστάναι παρέχουσαι τῷ σώματι δύναμιν.

Ἶνις, σημαίνει τὸν νεὸν υἱόν. ἢ παρὰ τὸ ἲς ἰνὸς γέγονε, δύναμις γὰρ τῶν πατέρων οἱ υἱοὶ, ἢ παρὰ τὸ ἰαίνειν γέγονε, τὰ γὰρ τέκνα τοὺς πατέρας εὐφραίνουσιν· ἢ παρὰ τὸ ἰνοῦν τὸ σημαῖνον τὸ θηλάζειν, καὶ γὰρ τοῖς πατράσι τὸ θηλάζειν παρέπεται.

Ἰνίον, τὸ πλατὺ νεῦρον, ἀπὸ τοῦ διήκειν ἀπὸ τῆς τοῦ ἐγκεφάλου βάσεως τὰ πλατέα νεῦρα, ἃ δη τὴν ἰσχὺν ἡμῖν ἔχειν δοκεῖ.

Ἰνωπὸς, ὄνομα ποταμοῦ, παρὰ τὸ ἲς ἰνὸς, καὶ τὸ ὂψ ὀπὸς, ὃ σημαίνει τὴν φωνὴν, τροπῇ τοῦ ο εἰς ω.

Ἴξαλος, πηδητικὸς, παρὰ τὸν ἴξω μέλλοντα.

Ἰξὺς, ἡ ὀσφῦς, οἱονεὶ ἄξις τὶς οὖσα, ἣν οὐχ οἷον τε ξύσαι τῇ χειρὶ, ἣν ἀλλαχῶς λέγουσιν ἄκνηστιν, μεγάνωτον τὸν τόπον λέγων.

Ἰξίων, ὄνομα κύριον· ὥσπερ γὰρ ἀπὸ τοῦ ἄγω ἄξω ἄξιος, οὕτω καὶ ἀπὸ τοῦ ἵκω ἴξω γίνεται ἴξιος· καὶ ὥσπερ ἀπὸ τοῦ ἔχις ἔχιος γίνεται ἐχίων, οὕτω καὶ ἀπὸ τοῦ ἴξις ἴξιος γίνεται Ἰξίων.

Ἰξὸς, παρὰ τὸ ἄξος εἶναι, κατέχει γὰρ τὰ ὄρνεα. ἢ παρὰ τὸ ἄγειν τὰ ὄρνεα εἰς ἑαυτὸν, ἢ παρὰ τὸ ἵκω, ἴξω, ξός.

Ἰοδόκος, ἡ ἰοὺς δεχομένη, τουτέστι τὰ βέλη.

Ἰόμοροι, τοξόται, πολεμιοὶ, παρὰ τὸ μόραν, ὃ σημαίνει τὴν εἱμαρμένην, ἢ παρὰ τὸ ἐν τοῖς ἰοῖς μεμοραμένοι, ὡς τό· τρίγληνα μορόεντα. καὶ εἰς τὸ ῥόεντα.

Ἴουθος, ἡ ἔκφυσις τῶν τριχῶν. ἡ δὲ ὀνομασία ἀπὸ τοῦ ἄνω ἰέναι τὴν τρίχα, ὡς ἄνθος βλασθῆσαν.

Ἰνδικτικὸν, καλεῖται Ῥωμαϊστὶ θέσπισμα ἢ μήνυμα. μηνύει γὰρ ἡ ἀρχὴ τοῦ μηνὸς τὴν τοῦ χρόνου περίοδον, ἢ τοῦ μηνός.

Ἴνδικτος, ἡ κατὰ δέκα πέντε ἐνιαυτῶν ἀρχομένη.

Ἰξίον, ἡ βοτάνη, ἤτοι ὁ κίσσος, παρὰ τὸ ἐξικνεῖσθαι.

Ἰξὸς, παρὰ τὸ ἄξειν τὰ ὄρνεα, ἢ ἐκ τοῦ ἵκω, ἴξω, ἰξὸς, ὁ φθάνων μέχρι τῶν ὀρνέων.

Ἰόντα, πορευόμενον, ἐρχόμενον, μετοχὴ ἀορίστου δευτέρου. σεσημείωται τρία βαρυνόμενα ἐπὶ τοῦ ἐνεστῶτος, καὶ ὀξυνόμενα ἐπὶ τῆς μετοχῆς. ἕκων ἑκὼν, ἕω ἑὼν, καὶ ἴω ἰών. καί ἐστι κανὼν ὁ λέγων, πᾶσα μετοχὴ τὸν ἴδιον τόνον φυλάττει τοῦ ἰδίου ὁριστικοῦ, πλὴν τοῦ ἕκω ἑκὼν, ἕω ἑὼν, ἴω ἰών. καὶ οἱ μὲν λέγουσιν αὐτὸ β ἀόριστον, οἱ δὲ ἐνεστῶτα καὶ παρατατικόν.

Ἰὸν, παραγενόμενον. ὅρα δὲ μὴ τὸν τοῦ ὄφεως ὧδε ἐπιλαβῇς ἰόν· ἀλλὰ τὸ ἐν τῷ κανόνι τῆς πεντηκοστῆς εἰρημένον αὐτοδεσπότως ἰὸν, τουτέστι τὸ ἅγιον πνεῦμα, ἵνα ᾖ μετοχή.

Ἰόπη, δι' ἑνὸς π καὶ διὰ τοῦ ι. ἔστι δὲ πόλις Παλαιστίνης· συστέλλεται δὲ τὸ ι. εἴρηται δὲ Αἰθιόπη τις οὖσα, κατεῖχον γὰρ αὐτὴν Αἰθίοπες.

Ἰορδάνης, ποταμός ἐστιν, ἐκ δύο πηγῶν συνάπτει. λέγεται ἡ μία Ἰὸρ, ἡ δὲ ἑτέρα Δάνης, εἶτα Ἰορδὰν συνετέθη γὰρ, καὶ κατὰ συνήθειαν ἐγένετο Ἰορδάνης.

Ἰορδάνης, Ἰορδάνου, παρὰ τὸ Ἰὸρ καὶ τὸ Δάνης, ὄνομα ποταμῶν, δύο γάρ εἰσι ποταμοὶ ἐνταῦθα μεμιγμένοι.

Ἶος, ὁ μόνος, πλεονασμῷ τοῦ ο οἶος, ἔνθα καὶ παρατατικός. οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς. τὸ ι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιος δισύλλαβα διαφόρως τονούμενα διὰ τοῦ ι γράφεται, οἷον, βίος βιὸς, χίος, θρίος, μνίος ὁ ἁπαλὸς παρὰ Εὐφορίωνι.

Ἰὸν, ῥόδον ἢ ἄνθος.

Ἰὸς, σημαίνει τὸ βέλος, παρὰ τὸ ἵημι τὸ πέμπω, τὸ πρὸς βλάβην ἐκπεμπόμενον· ἢ παρὰ τὸ ἰὸν τοῦ ὄφεως· καὶ γὰρ ἔχριον τὰ βέλη ἀπὸ τοῦ ἰοῦ τοῦ ὄφεως, ἵνα τιτρωσκόμενός τις εὐθέως ἀναιρεθῇ. ἢ παρὰ τὸ ἰέναι γέγονε, καὶ γὰρ τοὺς τιτρωσκομένους ποιεῖ πορεύεσθαι εἰς τὸν ᾅδην. τὸ δὲ ἰέναι διὰ τοῦτο, ἐπειδὴ παρὰ τὸ ἵημι, καὶ γὰρ λίαν πορεύεται τὸ βέλος, τὸ δὲ ἰέναι παρὰ τό ἵημι ἔστιν.

Ἰοχέαιρα, παρὰ τὸ χαίρειν ἐπὶ τὸν ἰόν. ἢ παρὰ τὸ τῇ ἰῷ χαίρειν.

Ἰὸς, τὸ φάρμακον, οἱ γὰρ ἀρχαῖοι ἐπὶ τοῖς ἰοῖς αὐτῶν φάρμακα ἔβαλλον. γίνεται δὲ παρὰ τὸ ἵημι, τὸ πέμπω, ἰὸς, τὸ πεμπόμενον βέλος.

Ἰὸς, παρὰ τὸ βλαπτικὸν εἶναι, ὥσπερ γὰρ ἰὸς τοῦ σιδήρου, οὕτω καὶ οὗτος τοῦ σώματος. γέγονε δὲ παρὰ τὸ ἵημι τὸ πέμπω. ἢ παρὰ τὸν ἰὸν, δηλοῦντα τὸ φάρμακον τοῦ ὄφεως. καὶ γὰρ ἔχριον αὐτὰ ἀπὸ τοῦ ἰοῦ τοῦ ὄφεως.

Ἰουδαῖοι καὶ Ἰδουμαῖοι διαφέρουσιν. Ἰουδαῖοι γάρ εἰσιν οἱ ἐξ ἀρχῆς φυσικοί. Ἰδουμαῖοι δὲ, τὸ μὲν ἀρχῆθεν οὐκ Ἰουδαῖοι, ἀλλὰ Φοίνικες καὶ Σύροι. κρατηθέντες δὲ ὑπ' αὐτῶν καὶ ἀναγκασθέντες περιτέμνεσθαι καὶ συντελεῖν εἰς τὸ ἔθνος, καὶ τὰ αὐτὰ νόμιμα ἡγεῖσθαι, ἐκλήθησαν Ἰδουμαῖοι. ἢ ἐξ Ἰούδα τετάρτου παιδὸς Ἰσραὴλ ἐκλήθησαν. οὗτοι δὲ ἐκ γένους εἰσὶν Ἀβραάμ, Ἰδουμαῖοι δὲ, ἐκ τοῦ Ἠσαῦ ἀδελφοῦ Ἰακὼβ, παιδὸς Ἰσαὰκ, υἱοῦ Ἀβραὰμ, ἀπόγονοι πεφυκότες ἐξ Ἐδώμ.

Ἰούδας, ἀπὸ τοῦ οὖδας, ὃ σημαίνει τὸ ἔδαφος, καὶ πλεονασμῷ τοῦ ι Ἰούδας· ἢ ἀπὸ Ἰούδα φιλάρχου. Ἰούδας Ἰούδα, ὁ κανὼν, τὰ εἰς δας λήγοντα ὀνόματα ἀρσενικὰ, ὑπὲρ δύο συλλαβὰς, ἀποβολῇ τοῦ σ, ποιεῖ τὴν γενικὴν, οἷον, Ἰούδας Ἰούδα, πλακίδας πλακίδα, γεννάδας γεννάδα.

Ἰούλιος, ὁ πέπειρος, δὴ τότε μὴ λιπέσθαι τὶ τῶν καρπῶν τῶν γηΐνων, ἀπὸ Ἰούλου τοῦ Αἰνείου τῆς Ἀφροδίτης.

Ἰούνιος, ὁ νεάζων, ἢ νεὸς, ἢ ἀπὸ τοῦ χωρισμοῦ τῶν τε νέων καὶ μειζόνων, μαίορες γὰρ οἱ μείζονες λέγονται κατὰ Ῥωμαίους· ἰουνίορες δὲ οἱ νέοι. καὶ ἐκ τούτου λέγεται ἰούνιος, ἵνα ἐν τῷ πολέμῳ, οἱ μὲν μείζονες ταῖς βουλαῖς, οἱ δὲ νέοι τοῖς ὅπλοις τὴν ἑαυτῶν διαφυλάττουσι διακράτησιν.

Ἴουλοι, παρὰ τὸ αἰεὶ ὡς κινεῖσθαι, ἢ παρὰ τὸ ἴουλον τὸ ζῶον, ἢ παρὰ τὸ ἵεσθαι λίαν ἤγουν φέρεσθαι ἰούλους τὰς κατὰ τῶν γενύων πρώτας τρίχας ἰούλους λέγομεν, διὰ τὸ τοὺς ἤδη καὶ ἀπάρτι τούτους ἔχοντας, ἄρχεσθαι ἰέναι ἐπὶ τὸν ἴουλον.

Ἰοχέαιρα, ἡ τοξότις, παρὰ τὸ χέειν τοὺς ἰοὺς, τοξότις γάρ ἐστι αἰεὶ ἐν τοῖς ἰοῖς χαίρουσα. ἢ ἡ τὸν ἰὸν χέουσα.

Ἶπος, ἡ παγὶς τῶν μυιῶν καὶ τὸ πραιτώριον. διὰ τοῦ ι γράφεται, ἀπὸ γὰρ τοῦ ἴπτω γέγονε τὸ σημαῖνον τὸ βλάπτω. καὶ γὰρ τοῦτο τὸ εἶδος φθαρτικόν ἐστι τῶν μυιῶν. τὸ δὲ ἴπτω διὰ τοῦ ἰῶτα. ἐπειδὴ τὰ εἰς πτω λήγοντα ῥήματα ἀποστρέφονται τὴν ει δίφθογγον. ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ἴπτω γέγονε τὸ ἰψάμην, ἴψω, ἴψατο, ἐξ οὗ καὶ τὸ, μέγα δ' ἴψατο λαὸν Ἀχαιῶν. ἢ παρὰ τὸ ἴπτω τὸ φθείρω, ἶπος. φθαρτικὸν δέ ἐστιν ἐργαλεῖον, ἐξ οὗ καὶ τὸ ἰάπτω. καὶ εἰς τὸ ἱππόβοτον.

Ἱππόβοτος, ἱππότροφος. διάτι ἀνεβίβασε τὸν τόνον; γίνεται ἐκ τοῦ βῶ βώσω βωτὸς καὶ ἱππόβωτος. τὰ εἰς τος ὀξύτονα δισύλλαβα ἐν τῇ συνθέσει προπαροξύνεται. οἷον φατὸς ἀρηΐφατος, αἵ ῥά τε φῶτας ἀρηϊφάτους ἐνάριξαν[1]. βατὸς ἄβατος, ἔνθα μάλιστ' ἄβατός ἐστι πόλις. χωρὶς εἰ μὴ παρασύνθετα ὦσι· οἷον μετρῶ μετρήσω μετρητὸς, διαμετρητῷ ἐνὶ χώρῳ· τὸ δὲ ἵππος παρὰ τὸ ἵεσθαι τοῖς ποσί. γράφεται δὲ διὰ δύο π π, πρὸς ἀντιδιαστολὴν τοῦ ἶπος, ὃ σημαίνει τὴν τῶν μυιῶν παγίδα. δασύνεται. τὸ ἰῶτα πρὸ τῶν δύο συμφώνων τῶν αὐτῶν ψιλοῦται, οἷον, ἴλλος ὁ ὀφθαλμὸς, ἰλλὰς σημαίνει δὲ τὸν δεσμόν. σεσημείωται τὸ ἵππος ἐκ τῆς συναλοιφῆς, ἐπέβησ' ἀφ' ἵππους.

Ἱπποσύνη, φρόνησις.

Ἱπποδάμοιο, ἵππους δαμάζοντας. διάτι προπαροξύνεται; αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαὶ, εἰ μὲν ἀπὸ περισπωμένων γενικῶν ὦσι, προπερισπῶνται, οἷον, καλοῦ καλοῖο, εἰ δὲ ἀπὸ βαρυτόνων προπαροξύνεται. οἷον, Ἀλέξανδρος, Ἀλεξάνδροιο, ἄχραντος, ἀχράντοιο.

Ἱπποκορυσταὶ, ὄνομα σύνθετον ἐκ τοῦ ἵππος καὶ τοῦ κορυστής· τὸ δὲ κορυστὴς ἐκ τοῦ κορύσσω· τοῦτο ἀπὸ τοῦ κορυνῶ. ἔστι δὲ ἐπικαμπὲς ῥόπαλον. γίνεται οὖν μετὰ τοῦ ἵππος ἱπποκορυστής. καὶ διάτι οὐκ ἀνεβίβασε τὸν τόνον; ἐπειδὴ τὰ εἰς της ὑπὲρ μίαν συλλαβὴν ἐν τῇ συνθέσει τοῦ ἁπλοῦ φυλάττουσι τὸν τόνον. οἷον, λῃστὴς ἀρχιλῃστὴς, μισοδανειστὴς, ἐρανιστὴς, ἀρχερανιστής. χωρὶς τοῦ κριτὴς καὶ ἀληθὴς, καὶ διακριτὴς, φιλαλήθης, ὁ κανὼν, τὰ εἰς της ἀρσενικὰ μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ[2]).

Ἵππος, παρὰ τὸ ἵεσθαι ἢ πέτεσθαι τοῖς ποσί.

Ἱππότα, ἱππικὸς, ἡ εὐθεῖα ἱππότης· κατὰ μεταπλασμὸν ἱππότα.

Ἵππουριν, ἐκ τοῦ ἵππος καὶ τοῦ οὐρὰ, ἐξ ἱππείας τριχός. ἡ εὐθεῖα ἵππουρις. διάτι προπαροξύνεται; τὰ εἰς ρις λήγοντα ὑπὲρ δύο συλλαβὰς, διφθόγγῳ τῇ διὰ τοῦ υ ψιλοῦ παραληγόμενα, ἅπαντα ὀξύνονται. οἷον, ἀθερίς, σημαίνει δὲ τὴν σιτοφαγὸν ἀκρίδα, κυνοσουρίς. σεσημείωται τρία τὸ λάμπουρις σημαίνει δὲ τὴν ἀλώπεκα καὶ τὸ τέτρουρις, σημαίνει δὲ ὄνομα πόλεως, (καὶ [illegible]), κλίνεται [illegible] ιδος.

Ἵππουρις, ἐξ ἵππ[illegible] τ[illegible] ἔχουσα τὸν λόφον, ἤγουν τὸ προνεῦον τῆς περικεφαλαίας· ἀνάστημα κόσμου ἕνεκα.

Ἰπῶ, σημαίνει τὸ θλίβω, γέγονε δὲ παρὰ τὸ ἶπος.

Ἶρις, τὸ τόξον ἢ τῶν θεῶν ἄγγελος, ἡ ἢ τὸν θεὸν ἀγγέλλουσα· ἢ ἀπὸ τοῦ εἴρειν ὃ σημαίνει τὸ λέγειν καὶ προλέγειν. ἢ παρὰ τὸ ῥεῖν καὶ κινεῖν τὸν ὄμβρον.

Ἶρις, σημαίνει τὸν ἄγγελον· καὶ τὸ τόξον τὸ ἐν τῷ ἀέρι γινόμενον, καὶ ποταμὸν ὡς παρὰ Ἀπολλωνίῳ. καὶ γράφεται διὰ τοῦ ι. ἐπειδὴ τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα, ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι. οἷον χαίρω χάρις, εἴρω ἶρις. ὁμοίως καὶ ἔρις ἔριδος. ἔρις δὲ κυρίως ἡ μάχη, ἡ διὰ λόγων γινομένη λέγεται.

Ἱρὴ, ἱερὰ, μεγάλη, τίμια.

Ἱρὸς, σημαίνει τὸν ἱερὸν, ἀπὸ τοῦ εἴρω τὸ λέγω. ἢ παρὰ τὸ ἱερὸν ἱρὸς, κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρόν.

Ἲς, σημαίνει τὸ νεῦρον. γίνεται παρὰ τὸ ἴω τὸ ὑπάρχω, ὁ μέλλων ἴσω. ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν ἴς, ὡς θήσω θίς, καὶ ῥήσω ῥηγμίς· καὶ εἰς τὸ αἴδι, καὶ βία, καὶ ἐκτινάξας, καὶ ἶφι, καὶ κινῶ καὶ μαστίζειν, καὶ σινῶ.

Ἴσαν, σημαίνει τὸ ἐπορεύοντο. ἔστι δὲ εἶμι τὸ πορεύομαι· καὶ γίνεται ἐκ τοῦ εἶμι βαρύτονον, καὶ τὸ μὲν πληθυντικὸν διὰ τοῦ ι γράφεται, ὡς ἀπὸ τοῦ ἴω διὰ τοῦ ἰῶτα. καὶ ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν ἴμεν διὰ τοῦ ἰῶτα. ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι, καὶ ἡ παραλήγουσα συστέλλεται διὰ τὴν τροπ. τὸ τρίτον ἴσαν.

Ἴσθι, σημαίνει τὸ γίνωσκε, παρὰ τὸ ἴσημι τὸ γινώσκω, ὁ μέλλων ἴσω, τὸ πληθυντικὸν τοῦ ἐνεστῶτος ἴσαμεν, καὶ ἐν συγκοπῇ ἴσμεν, τὸ δεύτερον ἴσατε καὶ ἐν συγκοπῇ ἴσθε, τὸ τρίτον ἴσασι.

Ἴσθι, σημαίνει τὸ γίνωσκε, παρὰ τὸ ἴσημι τὸ γινώσκω, τὸ προστακτικὸν ἴσαθι, καὶ ἐν συγκοπῇ ἴσθι, τὸ τρίτον ἰσάτω καὶ συγκοπῇ ἴστω. ἴστω νῦν τόδε γαῖα.

Ἴσθι, σημαίνει τὸ ἴσω τὸ γινώσκω, παρὰ τὸ ἴσημι, ὁ μέλλων ἴσω. τὸ πληθυντικὸν ἴσαμεν, ἡ μετοχὴ ἰσὰς, ἰσάντος, καὶ τὸ προστακτικὸν ἴσαθι, καὶ κατὰ συγκοπὴν ἴσθι.

Ἴσθμια, ἑορτὴ Ἑλλήνων. λέγονται δὲ καὶ τὰ περιτραχήλια, καὶ τὰ στενὰ τοῦ τραχήλου, παρὰ τὸ εἰσιέναι δι' αὐτῶν τὴν βρῶσιν.

Ἴσθμια, σημαίνει τρία, τὴν ἑορτὴν, τὰ περὶ τὸν τράχηλον κόσμια, καὶ αὐτὸν τὸν τράχηλον.

Ἴσθμιον, ὁ περιτραχήλιος κόσμος, ὡς τῷ ἰσθμῷ περιτιθέμενος, παρὰ τὸ ἰσθμῷ, ἴσθμιον. ἰσθμὸς δὲ ὁ τράχηλος παρὰ τὸ εἰσιέναι δι' αὐτοῦ τὰ ποτὰ καὶ τὰ βρώματα, ὅθεν καὶ περίσθμια.

Ἰσθμὸς καὶ πορθμὸς διαφέρει, ἰσθμὸς μὲν γάρ ἐστι γῆς στενῆς δίοδος, ἑκατέρωθεν θαλάσσῃ περιεχόμενος. πορθμὸς δὲ στενὸς θαλάσσης πόρος ἑκατέρωθεν ὑπὸ γῆς περιεχόμενος.

Ἰσημοιρία, ἐκ τοῦ ἴσος καὶ τοῦ μοῖρα.

Ἶσις, παρὰ τὸ ἴσον, ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ, ἥ ἐστι σφαιροειδής.

Ἰσοπάλη, ἴσα ἐν κλήρῳ, πάλος δὲ ὁ κλῆρος.

Ἰσοσθενὲς, ἐκ τοῦ ἴσος καὶ τοῦ σθένος γίνεται ἰσοσθενές. τοῦτο ἐκ τοῦ ἰσοσθενὴς ἀρσενικοῦ.

Ἶσις, ὄνομα δαίμονος, διὰ τοῦ ι γράφεται. τιμᾶται οὖν παρὰ τοῖς Αἰγυπτίοις. οἱ μὲν λέγουσιν, ὅτι αὕτη ἐστὶ τῇ γῇ, ἐπειδὴ παρὰ τὸ ἴσον ἐστί· καὶ ἡ γῆ σφαιροει-

1) Il. XIX, 31. 2) Reliqua desunt.

δὴς γάρ ἐστιν. ἕτεροι δὲ λέγουσιν, ὅτι αὕτη ἐστὶν ἡ Ἰώ· καὶ διὰ τοῦτο διὰ τοῦ ι γράφεται, ἐπειδὴ παρὰ τὸ ἵεσθαί ἐστι· πολλὰ γὰρ ἐπλανήθη ἡ Ἰὼ, μεταβληθεῖσα εἰς βοῦν.

Ἰσίδωρος, παρὰ τὸ Ἶσος καὶ τὸ δῶρον, τὸ τῆς Ἴσιδος δῶρον.

Ἶσος, διὰ τοῦ ι. εὑρίσκεται συνεσταλμένη ἡ ἄρχουσα. καὶ ἔστιν εἰπεῖν ὅτι παρὰ τῷ ποιητῇ ἀεὶ ἐκτείνεται· οἷον, Ἶσος Ἐνυαλίῳ κορυθάϊκι πτολεμιστῇ [1]), καὶ πάλιν, Ἶσος Ἄρηϊ. παρὰ δὲ τοῖς ἄλλοις ἐποποιεῖς εὑρίσκεται συνεσταλμένον τὸ ι, ὡς παρὰ Καλλιμάχῳ. ἤλασε Κιμμερίῳ ψαμάθῳ ἶσον. παρὰ δὲ τραγικοῖς ἐν συστολῇ τοῦ ι, οἷον, παρὰ κρηπῖδος, πολεμιοισιν ἀρτήθεις. ἰστέον δὲ ὅτι παρὰ τοῖς κωμικοῖς σπανίως εὑρίσκεται ἐκτεινόμενον τὸ ἰῶτα.

Ἶσος, γέγονε παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, ὁ μέλλων εἴσω, ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα, συστολῇ τοῦ ε, Ἶσος.

Ἰσόῤῥοπον, πόθεν ποιεῖς; παρὰ τὸ Ἶσον καὶ τὸ ῥέπω τὸ ὁρμῶ, γίνεται ἰσόρεπον, καὶ τροπῇ τοῦ ε εἰς ο ἰσόῤῥοπον.

Ἰσοβαρὲς, ἀκλινές. γίνεται παρὰ τὸ ῥέπω.

Ἶσος, ὁ ὅμοιος. τὸ ι κατὰ μὲν τὸν ποιητὴν μακρόν. κατὰ δὲ τοὺς πεζολόγους βραχυκατάληκτον· κατὰ ἰαμβικοὺς ἐπαμφοτερίζει. ἴσως δὲ ὁ ποιητὴς Δωρικῶς ἐκτείνει τὰ δίχρονα, ὡς τὸ ὕδωρ καὶ ἰλύς. κεῖσθαι ὑπ' ἰλύος· καὶ Ἄρες Ἄρες.

Ἰσόψυχος, ἐκ τοῦ ἶς καὶ τοῦ ψυχή.

Ἰσραὴλ, ἔστιν ἶς ἰνὸς, καὶ σημαίνει τὴν δύναμιν, καὶ ὁρῶ τὸ βλέπω, καὶ ἢλ λέγεται παρ' Ἑβραίοις ὁ θεός. Ἰσραὴλ δὲ ὁ μετὰ δυνάμεως βλέπων τὸν θεόν. Ἰσραὴλ δὲ ὁρῶν τὸν θεὸν, ἢ ἀνὴρ ὁρῶν θεόν.

Ἶσος, παρὰ τὸ ἵημι τὸ πορεύομαι, ὁ μέλλων ἴσω καὶ ἐξ αὐτοῦ Ἶσος, ὁ τοὺς λοιποὺς ἀκολουθῶν. ἢ Ἶσος διὰ τοῦ ἰῶτα, ὤφειλε διὰ διφθόγγου, παρὰ γὰρ τὸ εἴδω, τὸ σημαῖνον τὸ ὁμοιῶ, ὁ ὅμοιος ἑτέρῳ τινί· πολλὰ γάρ εἰσιν ὀνόματα.

Ἴστε, ἐπίστασθε, γινώσκετε, οἴδατε, ἐκ τοῦ ἴσατε, καὶ κατὰ συγκοπὴν ἴστε.

Ἵστη, ἔστι ῥῆμα ἵστημι, καὶ ὁ παρατατικὸς ἵστην, ἵστης, ἵστη. καὶ ὤφειλε δὲ τὸ προστακτικὸν ἵσταθι, ὡς ἐκ τῆς μετοχῆς του πρώτου προσώπου τῶν πληθυντικῶν, ἀλλ' οἱ Αἰολεῖς μιμοῦνται τὰ εἰς ω, καὶ ποιοῦσιν ἐξ αὐτοῦ ἢ ἐκ τοῦ παρῳχημένου, ἢ ἀπὸ τοῦ ἱστῶ, τὸ προστακτικὸν ἵστα καὶ ἵστη, ἱστὰς καὶ ἵστησι τρίτου προσώπου.

Ἰστέον δὲ, γνωστέον, τοῦτο εἰς ἀρχὴν λόγου λέγεται.

Ἱστία, τὰ ἄρμενα, παρὰ τὸ ἵζω ῥῆμα, οὗ ὁ μέλλων ἵσω· καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν ἱστὸς, καὶ ἱστία, καὶ ἱστίον.

Ἱστὸς, τὸ κατάρτιον τῆς νεὼς, καὶ ἱστὸς τὸ ἱστάριον.

Ἱστοριογράφος, συγγραφεὺς καὶ ζωγράφος διαφέρει. καὶ ἀμφότεροι πεζῷ χρῶνται λόγῳ. ἱστοριογράφος μὲν γάρ ἐστι, ὁ τὰ πρὸ αὐτοῦ συγγραφόμενος, ὡς Ἡρόδοτος. συγγραφεὺς δὲ, ὁ τὰ ἀφ' ἑαυτοῦ, ὡς Θουκυδίδης. ζωγράφος δὲ ὁ ζώων εἰκόνας γράφων.

Ἰσχάδες, παρὰ τὸ ἴσχω τὸ ξηραίνω ἰσχνῶ, ἰσχνάδες καὶ ἰσχάδες.

Ἰσχανόων, σημαίνει τὸ ἐπιθυμῶ, καὶ γράφεται διὰ τοῦ ι. ὥσπερ ἀπὸ τοῦ φῶ φαίνω καὶ παμφαίνω; οὕτω καὶ ἀπὸ τοῦ ἴσχω ἰσχάνω· καὶ ἰσχανόων.

Ἰσχάνω σημαίνει τὸ ἐπιθυμῶ. καὶ γὰρ τὸ ε πολλάκις ἐν τοῖς ῥήμασιν, ἐπιφερομένων δύο συμφώνων τρέπεται εἰς ἰῶτα. ὡς τὸ τέκω τίκτω, οὕτω καὶ ἔχω ἴσχω. καὶ ὥσπερ ἀπὸ τοῦ φῶ γίνεται φαίνω καὶ παμφαίνω, καὶ ἐκεῖθεν ὁ μέλλων παμφανῶ, οὕτω καὶ ἀπὸ τοῦ ἴσχω γίνεται ἰσχάνω καὶ ἐκεῖθεν ὁ μέλλων ἰσχανῶ. ἀποβληθέντος τοῦ σ καὶ ἐκταθέντος τοῦ ἰῶτα ἰσχανω. καὶ ὥσπερ ἀπὸ τοῦ εἴρω, ὁ μέλλων γίνεται ἐρῶ, καὶ μετάγεται εἰς ἐνεστῶτα, ἐξ οὗ καὶ ἐρῶ ὁ ἐνεστὼς, καὶ εἴρηκα παρακείμενος, τὸν αὐτὸν τρόπον καὶ ἰσχανῶ ὁ μέλλων, ἅμα τῇ ἀποβολῇ τοῦ σ μετάγεται εἰς ἐνεστῶτα.

Ἰσχίον, τὸ ὄπισθεν μέρος τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν· τὸ κοῖλον ὅπου ἡ κοτύλη στρέφεται· ἢ τὸ ὑπὲρ ἄνω τῶν μηρῶν κοιλὸν ὀστοῦν· εἰς ὃ ἐμμένει τὸ ἄκρον τοῦ μηροῦ, ὅπερ καὶ γλοῦτος καλεῖται, καὶ κοτύλη, παρὰ τὸ τὴν κοιλότητα· κοτύλαι δὲ αἱ τῆς ἰσχίας κοιλότητες εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται.

Ἰσχὺς, παρὰ τὸ ἔχω, τὸ κρατῶ, πλεονασμῷ τοῦ σ ἔσχω· ἢ παρὰ τὸ ἰσχύω, ἰσχύσω, ἰσχύς.

Ἰσχὰς, ἀπὸ τῆς ἰσχύος· ἐπειδὴ μετὰ τὸ τὴν κρεωδοσίαν δοθῆναι τοῖς Ἀθηναίοις, ἐχρῶντο ταῖς ἰσχάσι.

Ἰσχὰς, ἔστι τὸ κατισχώμενον σῦκον. ἔστι δὲ καὶ βαρεῖα τροφή. ἢ ὅτι ἕως τούτου προβαίνει ὁ καρπός. πρῶτον γάρ ἐστιν ὄλυνθος, εἶτα φῆλιξ, εἶτα σῦκον, καὶ λοιπὸν ἔσχατον ἰσχάς. ἢ ἴσχειν ποιοῦσα τὴν αὔξησιν, φθινόπωρον γάρ ἐστιν.

Ἰσχνὸν, θαλπεινὸν, ἢ σαπρόν. καὶ εἰ μὲν σημαίνει τὸ θαλπεινὸν γίνεται παρὰ τὸ ἰαίνω τὸ εὐφραίνομαι. εἴδε τὸ σαπρὸν παρὰ τὸ ἵημι τὸ πέμπω.

Ἰσχνὸς, παρὰ τὸ ἴσχειν, ὅ ἐστι συνέχειν τὸν πόδα· καὶ παρὰ τὸ ἀνέχεσθαι τῆς γῆς.

Ἰσουργὸν, ἶσα ἐργαζόμενον.

Ἰσοστάσιον, ἶσον τῶν βαθμῶν.

Ἰσχυρίζεται, ἐνίσταται, φιλονεικῶς διαβεβαιοῦται.

Ἰσχνομυθίας, λεπτολογίας.

Ἰσχυρὸς, ὁ ἴσχειν καὶ ἀντέχειν δυνάμενος. τὸ σχυ ψιλὸν διάτι; τὰ διὰ τοῦ υρος ὀνόματα ἀρσενικὰ, ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ γράφεται.

Ἴσχω, εἰς τὸ αἴσχιστος, καὶ ἰσχνὸς, καὶ ἰχὼρ, καὶ μίμνω.

Ἴσχω πόθεν γίνεται; ἐκ τοῦ ἔχω. καὶ διάτι οὐκ ἐτράπη εἰς τὴν ει δίφθογγον, ἀλλ' εἰς ἰῶτα; ἐπειδὴ τὸ ε, ἡνίκα πλεονάσει σύμφωνον, τρέπεται εἰς ἰῶτα. οἷον, ἔχω ἴσχω, μένω μίμνω, πέκω πίκνω.

Ἰσχὺς, παρὰ τὸ ἴσχω, τὸ σημαῖνον τὸ ἀντέχω καὶ δύναμαι. ἢ παρὰ τὸ ἰσχύω τὸ κρατῶ, ἐξ οὗ καὶ διϊσχυρίζω, τὸ διὰ λόγου κρατῶ καὶ πείθω.

Ἰσχνότης, ὀλιγοσαρκία, φθίνει τὸ σῶμα ὀλιγαρκεῖ.

Ἰταλοὶ καὶ Ἰταλιῶται διαφέρουσιν. Ἰταλοὶ μὲν γάρ εἰσιν, οἱ ἐξ ἀρχῆς τὴν χώραν οἰκήσαντες· Ἰταλιῶται δὲ, ὅσοι τῶν Ἑλλήνων ᾤκησαν μετ' αὐτῶν. τὸ αὐτὸ ἐπὶ τῶν Σικελῶν καὶ Σικελιωτῶν.

Ἰτέα, φυτὸν, διὰ τοῦ ι παρὰ τὸ ἰέναι. καὶ γὰρ ταχέως αὔξεται, τὸ δὲ ἰέναι διὰ τοῦ ι, ἐπειδὴ παρὰ τὸ ἵημί ἐστιν, ὅπερ δέδεικται διὰ τοῦ ἰῶτα.

Ἰτέον, πορευτέον. ἔστι δὲ ἐπίῤῥημα ποιότητος· ἐκ τοῦ εἶμι ῥήματος, ὁ β ἀόριστος ἦν. ἡ μετοχὴ εἰς ἕντος, καὶ τὸ προστακτικὸν ἕθι, καὶ τροπῇ τοῦ ε εἰς ι ἴθι,

---

1) Il. XXII, 132.

καὶ ἐξ αὐτοῦ ἰθέον, καὶ τροπῇ τοῦ θ εἰς τ ἰτέον. συντάσσεται μετὰ δοτικῆς καὶ αἰτιατικῆς πτώσεως.

Ἴτριον, ἀπὸ τοῦ ἰέναι, ἐπεὶ γὰρ ἕλκεται.

Ἰτέος, παρὰ τὸ ἰτὴς, ὃ σημαίνει τὸν πορευτὸν, ὁρμητικὸν γὰρ τὸ φυτόν.

Ἴτυς, ἡ περιφέρεια τοῦ ἅρματος, τοῦ τρόχου ἡ ἀψίς.

Ἰταβύριον, ὄρος ὑψηλόν.

Ἴτων, ὄνομα κύριον, διὰ τοῦ ι γράφεται.

Ἴτης, σημαίνει τὸν πλούσιον. καὶ τὸν πένητα.

Ἴυγγι, φωνῇ, βοῇ, καὶ ἰύζει τὴν βοὴν καὶ κραυγὴν ποιεῖ. λέγεται δὲ καὶ ἴυγξ σύριγξ μονοκάλαμος καὶ ὄρνεον ἐπαγωγὸν φίλτρων, καλούμενον σεισοπύγης. σημαίνει δὲ καὶ ᾠδήν· καὶ ἰϋγμὸς φωνὴ καὶ συριγμός. καὶ Ὅμηρος· οἱ δ' ἰύζοντες ἕποντο, τουτέστι συρίζοντες· ἔστι δὲ πεποιημένη ἡ λέξις.

Ἴφθιμος, ὁ ἰσχυρός. ὁ μὲν Ἡρωδιανὸς σύνθετον αὐτὸ λέγει. οἱ δὲ λοιποὶ διϊσχυρίζονται λέγειν ἁπλοῦν αὐτὸ εἶναι, ὥσπερ παρὰ τὸ πρωῒ πρώϊμος, καὶ αἴθιμος ἄνθιμος, ὀψὲ ὄψιμος, οὕτω καὶ παρὰ τὸ ἶφι ἴφιμος, καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος. τὸ ι πρὸ τῶν δύο συμφώνων κατ' ἀρχὴν συστέλλεται. χωρὶς εἰ μὴ ἐν κλίσει ῥήματος, διὰ τὸ ἰδυῶθεις, ἴδρις, ἱστάς. πρόσκειται εἰ μὴ ἐν κλίσει ῥήματος διὰ τὸ ἱππεύω, καὶ ἵστημι, ἵστην. τὰ δὲ παρὰ τὸ ἶφι εἴτε παρηγμένα, εἴτε συντεθειμένα ἅπαντα ἐκτείνονται. οἷον ἰφιγενὴς, ἰφιγένειον, Ἰφικλῆς Ἴφικλον.

Ἴφθιμος, διὰ τοῦ ἰῶτα. ὥσπερ ἀπὸ τοῦ ἄνθος ἄνθιμος, καὶ κύδος κύδιμος, οὕτω καὶ ἀπὸ τοῦ ἶφος ἴφιμος καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος, καὶ ὁ χρόνος ὑπερεβιβάσθη. καὶ ἡ μὲν ἄρχουσα θέσει μακρά ἐστι, ἡ δὲ παραλήγουσα φύσει. τινὲς δὲ λέγουσιν, ὅτι σύνθετόν ἐστιν, παρὰ τὸ ἶφι καὶ τοῦ θυμὸς, ἰφίθυμος καὶ κατὰ συγκοπὴν ἴφθιμος. εἰ γὰρ ἦν σύνθετον, ὤφειλεν εἶναι κοινὸν τῷ γένει, χωρὶς εἰ μὴ μηδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ. οἷον ὁ πάνσοφος καὶ ἡ πάνσοφος, ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος, ὁ ἄοικος καὶ ἡ ἄοικος. πρόσκειται εἰ μὴ μηδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ, διὰ τὸ ἐναντίος ἐναντία, ἐναλίγκιος, ἐναλίγκια, καὶ ἐναντίβιος ἐναντίβια, ταῦτα γὰρ οὐκ εἰσὶ κοινὰ τῷ γένει. ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, οὐ πλέον σημαίνουσι τοῦ ἁπλοῦ. τὸ γὰρ ἐναντίος ἐναντία καὶ ἐναλίγκιος ἐναλίγκια. καὶ ἀντίβιος ἀντίβια, τὸ αὐτὸ σημαίνουσι.

Ἰφιγένεια, ἀπὸ τοῦ ἶφι καὶ τοῦ γένος· ἐκ γὰρ ἡρώων κατάγεται.

Ἰφιγένεια, Εὐφορίων αὐτὴν ἐτυμολογεῖ. ἀγνοῶν αὐτὴν Ἀγαμέμνονος, ὡς οἴεται δὲ αὐτὴν Ἑλένης καὶ Θησέως ὑποβλῆθιν δοθῆναι Κλυταιμνήστραν οὕνεκα δ' ἡμῖν ἶφι βιασαμένη Ἑλένη ὑπεγείνατο Θήσει· ἐξ Ἑλένης καὶ Θησέως.

Ἴφικλος, ὁ ἥρως, ἰφίκολός τις ὤν. ἱστορεῖται γὰρ ταχύτατος. καὶ οἱ παῖδες αὐτοῦ Πρωτεσίλαος καὶ Ποδάρκης.

Ἴφια, μῆλα· τὰ ἀσθενῆ πρόβατα.

Ἰφίκλης, ὄνομα κύριον, διὰ τοῦ ι γράφεται, παρὰ τὸ ἶφι γάρ ἐστι. πάντα δὲ τὰ παρὰ τὸ ἶφι διὰ τοῦ ι γράφεται. οἷον ἰφικράτης, ἔστι δὲ εἶδος ὑποδήματος. Ἰφιάνασσα, Ἰφιμέδουσα, Ἰφιγένεια, Ἰφίκλης. ἢ τῷ λόγῳ τῶν Βιθυνίων.

Ἰσχανῷν, οἷον ἰσχανόων φιλότητος. σημαίνει δὲ τὸ ἐπιθυμῶν. παρὰ τὸ λίαν ἔχεσθαι γέγονεν ἰσχαλῶ, καὶ τροπῇ ἰσχανῶ. ἢ τὸ ν ἡνίκα πλεονάσει σύμφωνον. καὶ ὥσπερ παρὰ τὸ φῶ γίνεται φαίνω καὶ παμφαίνω, καὶ ἐκεῖθεν ὁ μέλλων παμφανῶ, οὕτω καὶ παρὰ τὸ ἴσχω ἰσχάνω, καὶ ὁ μέλλων ἰσχανῶ. καὶ ὥσπερ τὸ γινώσκω ἅμα τῇ ἀποβολῇ τοῦ ν ἐξετάθη τὸ δίχρονον, καὶ μετῆλθεν ἡ θέσει μακρὰ εἰς φύσει μακρὰν, οὕτω ἀπὸ τοῦ ἰσχανῶ μέλλοντος γίνεται ἰσχανῶ, ἀποβληθέντος τοῦ σ καὶ ἐκταθέντος τοῦ ι. καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ γίνεται ἰσχανῶ ἐνεστώς. ὡς παρὰ τὸ εἴρω, ἐρῶ γίνεται ἐν τῷ μέλλοντι, ἐξ οὗ ὁ εἴρηκα παρακείμενος.

Ἶφι, σημαίνει τὸ ἰσχυρῶς. ὥσπερ ἀπὸ τοῦ νόστος γίνεται νοστόφι, καὶ κατὰ συγκοπὴν νόσφι, οὕτω καὶ ἀπὸ τοῦ ἲς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν, γίνεται ἰνόφι, καὶ κατὰ συγκοπὴν ἶφι. ἐπὶ δὲ τοῦ ἶφι κατ' ἀντίφρασίν ἐστι· σημαίνει τὰ ἀσθενῆ καὶ τὰ ἰσχυρά. τὸ δὲ ἲς παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἔσω, ῥηματικὸν ὄνομα ἲς, οἱονεὶ ἡ ὑπάρχουσα ἔν τινι. τὸ δὲ ἔω σημαίνει ζ. ἔω τὸ ὑπάρχω, ἐξ οὗ καὶ ἐῢς ὁ ἀγαθὸς, ὁ γὰρ ἀγαθὸς βέβαιος· ἔω τὸ περιπατῶ, ἐξ οὗ καὶ ὁδός· ἕω τὸ καθέζομαι, ἐξ οὗ τὸ ἧσω, παρ' αὐτὸν ἰοῦσα· ἕω τὸ ἐνδύομαι, ἐξ οὗ καὶ τὸ, ἐπιείμενε· ἔω τὸ τελειῶ, ἐξ οὗ καὶ τό, ἐξ ἔρον ἕντο [1]· ἔω τὸ εὐφραίνομαι, ἐξ οὗ καὶ ἥδω τὸ εὐφραίνομαι, ἔω τὸ κορεννύω· ἐξ οὗ καὶ τὸ, ἐπεί χ' ἐῶμεν πολέμοιο.

Ἰχθὺς, παρὰ τὸ ἰθύειν πλεονασμῷ τοῦ χ. ἢ διὰ τὸ ἵεσθαι ἀπὸ τῆς χλόης, ἤγουν φέρεσθαι ἀπὸ τοῦ βάθους.

Ἰχθὺς ἱερὸς, ὁ ἐν τῷ ὑγρῷ θυόμενος.

Ἰχὼρ, ἕλκος, σημαίνει τὸ σεσηπὸς αἷμα, παρὰ τὸ ἴσχω, τὸ σημαῖνον τὸ λεπτύνω, γίνεται παράγωγον ῥῆμα ἰσχανῶ, καὶ ἐξ αὐτοῦ ἰσχὼρ, τὸ λεπτῦνον τὸ σῶμα ἐν τῷ καταστάζειν· καὶ ἀποβολῇ τοῦ σ ἰχώρ.

Ἰχὼρ, ὑγρασία τις διεφθαρμένη σαρκός. γέγονε δὲ τὸ ἰχὼρ οὕτως, ἔχω, ἴσχω καὶ ἰχὼρ, κατ' ἐκβολὴν τοῦ σ, φύσει μακρὸν γινόμενον, τῆς θέσει μακρᾶς ἀναχωρησάσης. ἰχὼρ δὲ τὸ σεσηπὸς αἷμα, παρὰ γὰρ τὸ ἴσχω ἔστιν οἱονεὶ τὸ ἐσχευμένον.

Ἴσχανον, καὶ ἰσχάνα, ἐπεθύμουν, παρὰ τὸ ἔχεσθαι λίαν, οἱονεὶ χαλᾶν τὴν γῆν.

Ἰσχάνει, ἐπιθυμεῖ. μετῆκται ἀπὸ τῶν θηρίων καὶ μετὰ τὸ κεχηνέναι ἱεμένων.

Ἴχνος, ὁδὸς, πόρος. βῆμα, πούς.

Ἴχνος, παρὰ τὸ ἴσχειν, ὅ ἐστι συνέχειν ὅλον τὸν πόδα· ἢ ἀπὸ τοῦ ἀνέχεσθαι τῆς γῆς. οὕτως Ὠρίων.

Ἰχνίον, ἴχνος, πάτημα· παρὰ τὸ ἴξω, ἵκμαι, ἰχνίον, ὡς παίζω παιγνίον· τὰ γὰρ ἀπὸ μακρᾶς ἀρχόμενα, ἔχει παροξυτονούμενα τὰ ὑποκοριστικὰ, οἷον, τυρὸς τυρίον, ἕρκος ἑρκίον, τεῖχος τειχίον· τὰ δὲ ἀπὸ βραχείας οὐκ ἔτι· φάκος φάκιον, λάγος λάγιον, ῥάκος ῥάκιον. νάκος νάκιον, οὕτως ἴχνος ἰχνίον.

Ἰχῶ, ἀπὸ ἰχῶ χειρὸς [2]), ὃν ὡς βραχὺ τὰ δὲ ἴχνια ὡς σύμφωνα ὑγρῷ συνεζευγμένα ποιεῖ τὰ πρὸ αὐτοῦ, ὀμόργνυ ἔστι. ἡ εὐθεῖα ἰχὼρ, ἡ γενικὴ ἰχῶρος, ἡ αἰτιατικὴ ἰχῶρα καὶ κατ' ἀποκοπὴν ἰχῶ, ὡς Ποσειδῶνα Ποσειδῶ.

Ἰεντῶος [3]), ὄνομα πόλεως, παρὰ τὸ ἐντὸς ἔχειν τὸν ἰόν.

Ἰωγὴ, ἡ σκέπη βορέου, ὑπιογὴ, ἀπὸ τοῦ ἰέναι. τὸ γὰρ

---

1) Il. XIX, 402. 2) Il. V, 416. 3) Scriptum erat Ἰεντῶος.

σκέπον ἐπὶ πᾶν ὃ σκέπει ἴσται, καὶ ὑπωγαὶ δὲ, αἱ ὑπαγωγαὶ καὶ σκέπαι.

Ἶψ, σημαίνει τὸν σκώληκα, καὶ γίνεται παρὰ τὸ ἴπτω, ὃ σημαίνει τὸ βλάπτω. ἶπες δέ εἰσιν οἱ σκώληκες, οἱ ἐσθίοντες τὰ κρέατα· σῆτες δὲ οἱ ἐσθίοντες τὰ ἱμάτια· θρῖπες δὲ οἱ ἐσθίοντες τὰ ξύλα· ἶκες δὲ οἱ ἐσθίοντες τὰς ἀμπέλους. κλίνονται οὕτως· ἶψ ἰπὸς καὶ ἶπες. θρὶψ θριπὸς καὶ θρῖπες, ἶξ ἰκὸς καὶ ἶκες, σὴψ σηπὸς καὶ σῆπες.

Ἰωή. ἡ φωνὴ, παρὰ τὸ ἴω ἰωὴ, ἡ διϊκνουμένη εἰς τὰς ἀκοὰς, οὕτως Ἡρωδιανὸς, παρὰ τὸ ἰέναι καὶ περιήχησίν τινα ποιεῖν.

Ἰώμενος, παρὰ τὸ ἰῶ δευτέρας συζυγίας τῶν περισπωμένων.

Ἰὼν, πορευόμενος, ἀορίστου δευτέρου μετοχῆς. τὸ θέμα ἴω, ὁ δεύτερος ἀόριστος ἶον, ἡ μετοχὴ ἰών. ἢ ἔστιν ἔω τὸ πορεύομαι, καὶ πλεονασμῷ τοῦ ι εἴω ὡσαύτως τὸ πορεύομαι, ὁ μέλλων εἴσω, ὁ β ἀόριστος ἶον, ἡ μετοχὴ ἰών. τοῦτο δὲ ἕνεκεν ἴων βαρυτόνου πέμπων.

Ἰωή. σημαίνει τὴν πνοήν. παρὰ τὸ ἵημι ἰὴ, καὶ πλεονασμῷ τοῦ ω ἰωὴ, καὶ ἡ φωνὴ, παρὰ τὸ ἴω γίνεται ἰωὴ, ἡ διϊκνουμένη εἰς ἀκοήν.

Ἰωκὴ, ἡ δίωξις, παρὰ τὸ διώκω διωκὴ καὶ ἀποβολῇ τοῦ δ ἰωκή. οὕτως Ὠρίων. σημαίνει δὲ καὶ τὴν δίωξιν καὶ ἀπειλήν.

Ἰῶτα, ἰστέον ὅτι τὸ ἰῶτα καὶ ἰάσων τινὲς ἐν συλλήψει λέγουσιν εἶναι. ἔστι δὲ ἀνατρέψαι αὐτοὺς, ἐπειδὴ τὰ ὑποταττόμενα τινὶ συλλήψει, ἐὰν ἀντιπροηγήσωνται, ἐν διαστάσει θέλουσι προηγεῖσθαι, οἷον, πρῶτος ἕρπω, κλέος, ἕλκω. εἰ ἄρα οὖν τὸ ἰῶτα ὑποτέτακται τὸ ω κατὰ σύλληψιν [1]). οἷον, τῷ κοχλίᾳ τῷ καλῷ, δηλονότι ἀντιπροηγησάμενον αὐτῷ ἐν τῷ ἰῶτα, καὶ ἰάρδανος καὶ ἰὰς, κατὰ διάστασιν αὐτοῦ, ἀντιπροηγήσαντο. δεῖ δὲ γινώσκειν, ὅτι τὸ ι καὶ τὸ υ τότε δὲ περιστίζειν, ἡνίκα προηγεῖσθαι αὐτῶν φωνῆεν προτακτικὸν, καὶ κατὰ διάστασιν, οἷον, ἀΰω, παῖς, Δημοσθένεϊ, ὁ Ἰωάννης. τοῦτο δὲ γίνεται, ἵνα μὴ νομισθῇ εἶναι δίφθογγος. ὅτε δὲ οὐ προηγεῖται προτακτικὸν φωνῆεν, οὐ δεῖ περιστίζειν αὐτὸ, οἷον, ἰαχὴ, ὕλη. τὸ ι παράγωγόν ἐστι, μονόγραμμα γάρ ἐστιν, ἀλλὰ κατὰ παραγωγὴν ἰῶτα γράφεται.

Ἱστοδόκη, τὴν ὑποδεχομένην, τὸν ἱστὸν θήκην.

Ἴωνες, τινὲς τοὺς τὴν Ἀσίαν οἰκοῦντες, ἀπὸ Ἴωνος τοῦ Ἀπόλλωνος ὀνομασμένοι. καὶ Ἴωνες οἱ Ἀττικοὶ, ἤτοι Ἀθηναῖοι, ἀπὸ Ἴωνος τοῦ Ξούθου.

Ἰωάννης, ἰὼν ἄνωθεν, ἢ χάρις θεοῦ, ἢ ὑπήκοος κυρίῳ.

Ἰωνᾶς, τὸ ω διάτι; πᾶν ὄνομα, Ἑλληνικόν τε καὶ βάρβαρον ἀπὸ τῆς ιω συλλαβῆς ἀρχόμενον, τὴν πρώτην συλλαβὴν διὰ τοῦ ι ἔχει, τὴν δὲ μετὰ ταύτης διὰ τοῦ ω. πλὴν τοῦ Ἰορδάνης καὶ Ἰόππη, καὶ Ἰοκάστη, καὶ Ἰόλαος. τοῦ Ἰωνᾶ ὁ κανὼν, τὰ εἰς ας περισπώμενα, ἀποβολῇ τοῦ σ κλίνεται.

Ἰσχανόωσι, σημαίνει τὸ κατέχουσι καὶ κωλύουσι· τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν [2]). ἀπὸ τοῦ ἔχω τὸ κρατῶ πλεονασμῷ τοῦ σ ἔσχω. τὸ γὰρ ε πλεόναζον τὰ ἀμφότερα τρέπεται εἰς ἰῶτα· καὶ παράγωγον ἰσχάνω.

Ἰσχία ὅτι ἴσχει τοὺς καθημένους. σημαίνει τὸ ὑπὸ τὸ ὀστέον εἰς ὃ ἔγκειται τὸ ἱερὸν, ὅπερ καὶ γλουτὸς καλεῖται. καὶ κοτύλη. παρὰ τὴν κοιλότητα.

Ἵσταο. ὥσπερ παρὰ τὸ ἐφάμην ἐφάσο. γίνεται ἔφαο, καὶ κατ' ἔνδειαν τοῦ σ, οἷον ἐπίφαο, καὶ μάρναο ἀντὶ τοῦ μάρνασο καὶ ἔσσυο ἀντὶ τοῦ ἔσσυσο, οὕτω καὶ ἵσταο, ἵστασο· περὶ παθῶν.

Ἵστη, ποικίλον ἐστίν. οἱ μὲν λέγουσιν, ὅτι ὅταν ἀποκοπὴ γίνεται τῶν εἰς θι προστακτικῶν, ἐπαύξησις ἀκολουθεῖ. ἵσταθι καὶ ἀποβολῇ ἵστα, καὶ ἐκτάσει ἵστη. μέγεθος δ' ὃς ἵστη. τὸ δὲ μείζονα δεῖ κρατῆρα Μενοιτίου υἱὲ καθίστα, ἀντὶ τοῦ εὐτρέπιζεν. ἐὰν μὲν βραχὺ ἀποκοπή ἐστιν· ἐὰν δὲ κατ' ἔκτασιν, ἀπὸ τοῦ ἱστῶ ἱστᾷς, ὡς βοῶ βοᾷς· οὕτω Φίλων καὶ Τρύφων. λέγομεν δὲ ἡμεῖς, ὅτι οὐ μόνον ἐπὶ τῶν εἰς ω ῥημάτων, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς μι, τὰ τρίτα πρόσωπα τῶν παρατατικῶν δεύτερα πρόσωπα τῶν προστακτικῶν γίνεται, οἷον, νόει, φίλει, βόα. οὕτως οὖν καὶ οἱ Ἀττικοὶ, ἐὰν μὴ χρήσωνται τῇ θι καταλήξει, χρῶνται τοῖς τρίτοις προσώποις τῶν παρατατικῶν ἐν προστακτικοῖς. οἷον ἐτίθην, ἐτίθης, ἐτίθη, τίθη. ἐπίμπλην, ἐπίμπλης, ἐπίμπλη, πίμπλη· καὶ τοὺς κοφίνους ἅπαντας ἐπίμπλη πτερῶν. οὕτως ἵστη· ἵστη δὲ μέγα κῦμα ποτιῤῥόον. ὅτι τὰ τοιαῦτα καὶ Δωρικά εἰσιν. οἱ γὰρ Δωριεῖς λέγουσι πίμπλη καὶ κόα· καὶ γὰρ τὸ ὅρα, ὅρη λέγουσιν, οὕτω πίμπλα πίμπλη. Ἡρωδιανὸς περὶ παθῶν.

Ἱμονία σημαίνει τὸ δέρμα, εἰς ὃ ἀντλοῦσι τὸ ὕδωρ· παρὰ τὸ ἱμὰς, ἱμάντος γέγονε. τὸ δὲ ἱμὰς διὰ τοῦ ι γράφεται, ἐπειδὴ συστέλλεται τὸ ἰῶτα, ὡς παρὰ τῷ ποιητῇ καὶ τὸ ἀνιμῶμαι διὰ τοῦ ι γράφεται, παρὰ τὸ ἱμὰς γὰρ ἱμάντος γέγονεν, οἷον, ἱμὰς, ἱμῶ, ἀνιμῶ. οἱ γὰρ ἀρχαῖοι, διὰ τὸ μὴ κλᾶσθαι ταχὺ τὰ ἀγγεῖα, ἐκ δερμάτων αὐτὰ, ἤγουν ἀσκοῦ κατεσκεύαζον. ἱμῶ οὖν καὶ ἀνιμῶ τὸ ἄνω ἀναλέγομαι· καὶ πάλιν· ἱμάντα θοῶς ἀπέλυσε κορώνῃ, ἱμάντα λέγει τὸ ἐπιζύγωμα τῆς θύρας, ὅπερ ἐστὶ σανίδιον ἄνωθεν ἐφηλουμεταῖς θύραις· Ἀθηναῖοι τοῦτο καλοῦσιν ἐπιζύγωμα. κορώνη δὲ τὸ λεγόμενον ἐν τῇ συνηθείᾳ κοράκιον.

Ἱερὸν ἰχθὺν, τινὲς δὲ παρὰ τὸ διαίνω διαιρὸς, καὶ ἱερὸν, τὸν ἀεὶ ἐν ὕδασι βρεχόμενον, κατὰ ἀποβολὴν, οἷον, ἔνθ' ἤτοι μὲν ἐγὼ διερῷ ποδί. οἱ δὲ παρὰ τὸ δίω τὸ διώκω διερὸς καὶ ἱερὸς, ὁ ταχὺς, διωκτικὸς γάρ· οὕτως Ἡρωδιανὸς περὶ παθῶν. ὁ δὲ Ὠρίων, ἱερὸν ἰχθὺν τὸν μέγαν, ὥσπερ καὶ ἱερὸν ὀστοῦν· τὸ δὲ μέγα ἱερὸν ἔλεγον οἱ παλαιοί.

Ἱερὸν τέλος, τὸ μέγα τάγμα λέγουσιν οἱ γλωσσογράφοι, ὡς ἱερὸν ἰχθὺν τὸν μέγαν. ἱερὸν μὲν οὖν τέλος τὸ θεῖον τάγμα, ἱερὸν δὲ ἰχθὺν τὸν ἄνετον, ὡς ἱερὸν βοῦν, ἀπὸ τοῦ ἵεσθαι.

Ἰκτὴρ, ἐκ τοῦ ἰῶ, ἵημι, ἰκτὴρ, ὁ ἰώμενος.

Ἰθύνω, παρὰ τὸ ἰθύς. ἰθύνω σημαίνει τὸ ὁδηγῶ, αὐτὴ δ' αὖτ' ἴθυνε.

Ἰθὺς, ἀντὶ τοῦ ἐπ' εὐθείας ὥρμησαν. ἀπὸ τοῦ ἰθὺς ἰθύω.

Ἰθείας, ἐπ' εὐθείας, ὀρθῶς· ἀπὸ τοῦ ἰθὺς ἰθεῖα.

Ἰθὺς, παρὰ τὸ ἰέναι γέγονεν ἰθύς. γράφεται διὰ τοῦ ι τῷ λόγῳ τοῦ Βιθυνία· καὶ γὰρ ἔχει τὸ υ ἐπιφερόμενον. σημαίνει δὲ τὸ ἐπ' εὐθείας.

Ἰκάνω, τὸ ἱκετεύω, ἡμεῖς δ' ἱκάνομεν τὰ σὰ γούνατα. σημαίνει καὶ τὸ παραγίνομαι καὶ καταλαμβάνω· ἢ μέγα πένθος Ἀχαιΐδα [3]).

---

1) Corrupta plurima. 2) Il. V, 89. 3) Suppl. ex Il. I, 254.

Ἴκαρος, παρὰ τὸ ἵκεσθαι πρὸς τὸν ἀγῶνα.

Ἱματίδιον, ὥσπερ ἀπὸ τοῦ ὀψάριον γίνεται ὀψαρίδιον, οὕτω καὶ ἀπὸ τοῦ ἱμάτιον γίνεται ἱματίδιον, διὰ τοῦ ἰῶτα.

Ἰλίων, σημαίνει τὸν σύγγαμβρον, παρὰ τὸ Ἴλιον, ὃ σημαίνει τὸ δῶρον, γέγονε· καὶ γὰρ οἱ σύγγαμβροι μετέχουσι τῶν δώρων τοῦ νυμφίου. γράφεται δὲ καὶ διὰ τοῦ ι, καὶ κατὰ τὴν ἄρχουσαν, καὶ κατὰ τὴν παραλήγουσαν· καὶ κατὰ μὲν τὴν ἄρχουσαν τῷ λόγῳ τοῦ Βιθυνία, καὶ γὰρ ἔχει τὸ ι, καὶ κατὰ τὴν δευτέραν 10 συλλαβὴν· κατὰ δὲ τὴν παραλήγουσαν τῷ λόγῳ τοῦ Ἀμφίων.

Ἱλλάδες, σχοινία, ἀπὸ τοῦ εἱλῆσθαι, ἐξ ἱμάντα ἰλλατία οὐκ ἐθέλοντα.

Ἰνδάλλω, ὥσπερ γὰρ ἀπὸ τοῦ ἄγω γίνεται ἀγάλλω, ἴω τὸ πέμπω ἰάλλω, οὕτω καὶ παρὰ τὸ εἴδω τὸ ὁμοιῶ γίνεται εἰδάλλω· ἀποβολῇ τοῦ ε καὶ πλεονασμῷ τοῦ ν ἰνδάλλω, ἐξ οὗ καὶ ἴνδαλμα.

Ἴς, τὸ δὲ ἴς, διὰ τοῦ ἰῶτα, ὃ σημαίνει τὴν δύναμιν, ὡς ἀκατάληπτον. τὸ δὲ ἴς οὐ σημαίνει μόνον τὴν δύναμιν, ἀλλ' ἔστι καὶ ὄνομα ποταμοῦ, ὥς φησιν Ἡρόδοτος, καὶ Γύλαξ ὁ ἱστορικός.

Ἰνίον, ὥσπερ παρὰ τὸ σφὴξ σφηκὸς γίνεται σφηκίον, σημαίνει δὲ τὸν μικρὸν σφῆκα, οὕτω καὶ παρὰ τὸ ἲς ἰνὸς γίνεται ἰνίον. σημαίνει τὸ νεῦρον, τὸ ὂν ὀπίσω τοῦ τραχήλου· τὰ γὰρ ἡνία διὰ τοῦ η γράφεται, παρὰ τὸ ἀνύω γίνεται γὰρ ἄνιον καὶ ἡνίον. διὰ γὰρ τῶν λώρων τῶν ἵππων ἀνύομεν τὴν ὁδόν· τὸ δὲ ἲς γέγονε παρὰ τὸ ἴω τὸ ὑπάρχω, ἴς, ὡς ῥήσσω ῥηγμίς. καὶ γὰρ ἶνες τὸ εἶναι καὶ συστᾶναι παρέχουσι τῷ σώματι· ἢ παρὰ τὸ ἰέναι ἡμῖν.

Ἴουλος, τὸ πολύπουν ζῶον, ἀπὸ τοῦ ἰέναι, καὶ τῆς λειότητος τῆς πορείας. ἢ παρὰ τὸ οὔλως καὶ πυκνῶς εἱλῆσθαι. ὅθεν ἀπὸ μεταφορᾶς καὶ αἱ πολύκοποι νῆες, ἰουλόπεζοι ἀπ' αὐτοῦ κέκληνται, ὡς παρὰ Λυκόφρονι [1]). ἰουλόπεζοι θεῖνον εὐῶπας σπάθαις.

Τέλος τοῦ Ι στοιχείου.

ΑΡΧΗ ΤΟΥ Κ ΣΤΟΙΧΕΙΟΥ.

Κάβειροι [2]), ὀνόματα θεῶν· καὶ τὰ ὀνόματα αὐτῶν 20 τρία τὸν ἀριθμόν· Ἀξίερος, Ἀξιόκερσα, Ἀξιόκερσος. Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ. Ἀξιόκερσα ἡ Περσεφόνη. Ἀξιόκερσος μὲν οὖν δὲ ὁ Ἅιδης. Κάβειροι δὲ δοκοῦσιν προσηγορεῦσθαι ἀπὸ Καβείρων ὀρέων Φρυγίας, ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. οἱ δὲ δύο εἶναι τοὺς Καβείρους. πρεσβύτερον μὲν Δία, νεώτερον δὲ Διόνυσον.

Καμβάλλης, κάμβαλος λέγεται ὁ καταβάλλων, οἷον, ἀπ' ἄλλης κάμπης ἐσθίων.

Κάβιροι, ὁ Ἀλεξίων διὰ τοῦ ι, ὡσαύτως δὲ Φιλόξε- 30 νος. καὶ Ἡρωδιανὸς λέγει, τὴν παρά [3]) δίφθογγον ἔχειν. καὶ ἴσως συνέδραμε τὸ μάγειρος, αἴγειρος, πέτειρος, ὄνειρος. Κάβιροι δέ εἰσι δαίμονες περὶ τὴν Ῥέαν οἰκήσαντες τὴν Σαμοθράκην, ὥντινων οἱ μεμυημένοι τὰ μυστήρια ἐν καιρῷ ἀνάγκης εἰσακούονται. ὡς δηλοῖ Ἀριστοφάνης ἐν εἰρήνῃ λέγων [4])· ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθράκῃ τυγχάνει μεμυημένος, νῦν εὔξαιο μᾶλλον ἦ.

Κάγκανα, τὰ ξηρὰ ξύλα, καὶ εἰς καῦσιν ἐπιτήδεια, οἱονεὶ καυσιμαλέα τινὰ ὄντα· παρὰ τὸ καίνειν τὸ κό- 40 πτειν, συγκοπῇ καὶ πλεονασμῷ τοῦ γ κάγκανα. ἢ ὥσπερ ἀπὸ τοῦ τέκω γίνεται τέκανον, καὶ κατὰ συγκοπὴν τέκνον, οὕτω καὶ παρὰ τὸ καίω ῥῆμα, γίνεται κάνον, καὶ κατ' ἀναδιπλασιασμὸν, καὶ πλεονασμῷ τοῦ γ κάγκανον. οἷον, ἔνθεν ἔπειθεν, οἱ μὲν ξύλα τῇ δε λεχαίην.

Καγχαλᾷν, χαίρειν· ὡς παρὰ τὸ χῶ γίνεται κατὰ παραγωγὴν χαίρω, οὕτω καὶ παρὰ τὸ χῶ χλῶ καὶ καὶ καγχαλῶ, διὰ τὸ ἐν χαλάσμασι εἶναι τὴν ψυχὴν χαίροντων· ἔστι δὲ ὅτε καὶ τὸ ἐν τῇ λύπῃ συστέλλε- 50 σθαι σημαίνει τὴν λέξιν.

Κάδος, σκεῦός τι, παρὰ τὸ χαδῶ τὸ δηλοῦν τὸ χωρῶ, ὁ μέλλων χαδήσω, ἀφ' οὗ τὸ κεχαδήσω κατὰ ἀναρίον· ὁ χάδος καὶ κάδος, καὶ τὸ χωρητικὸν ἀγγεῖον· κάδος μέτρον, ἡμικάδιον ἡμίμετρον.

Κάδης, σημαίνει τὸν ἁγιασμὸν παρὰ τῷ Δαβίδ. καὶ συσσείει κύριος τὴν ἔρημον κάδης. κάδης ἑρμηνεύεται ἡ ἁγία παρὰ τῷ ἁγίῳ βασιλεῖ· Κάδης ὄνομα τόπου.

Κάδμος λέγεται ὁ Ἑρμῆς παρὰ τοῖς Τυρσινίοις. διὰ τοῦ ι γράφεται.

Κάζω, εἰς τὸ κάσσια καὶ Κάστορα, καὶ κόσμος, καὶ σκαιός.

Καθεὶς, ἐκ τοῦ ἵημι τὸ πέμπω, ὁ β ἀόριστος ἦν· ἡ μετοχὴ εἷς ἕντος, καὶ μετὰ τῆς κατὰ προθέσεως καθείς.

Καθεῖλες, ἐκ τοῦ εἶλον καὶ τῆς κατὰ προθέσεως κατεῖλες καὶ καθεῖλες.

Καθέκτον, εἰς τὸ δυσκάθεκτον.

Καθέζει με, ἐπὶ μὲν τοῦ ἐνεστῶτος ψιλοῦται· ἐπὶ δὲ τοῦ μέλλοντος δασύνεται.

Καθήλωσον, κράτησον, ἔστιν ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω ἧλος, ἡλῶ, ἡλώσω, καὶ μετὰ τῆς κατὰ προθέσεως καθηλῶ, καθηλώσω.

Καθ' ἡμέραν, δύο μέρη λόγου εἰσὶν ἐν μιᾷ λέξει.

Καθεὶς, χαλασθεὶς, σημαίνει καὶ καθ' ἕνα ἕκαστον ἐὰν περισπᾶται.

Κάθη, ἰστέον ὅτι τὸ κάθη καὶ τὸ μέμνη καὶ τὸ δύνη παράλογά εἰσι. τὸ μὲν γὰρ κάθη καὶ τὸ δύνη ἐνεστῶτες παθητικοῦ εἰσι, τῶν εἰς μι. ὁ δὲ ἐνεστὼς παθητικὸς τῶν εἰς μι, τροπῇ τοῦ τ τοῦ τρίτου προσώπου εἰς σ ποιεῖ τὸ δεύτερον πρόσωπον, οἷον, τίθεται, τίθεσαι, ἵσταται, ἵστασαι. οὕτως οὖν καὶ ἀπὸ τοῦ κάθημαι κάθησαι, καὶ ἀπὸ τοῦ δύναμαι δύνασαι. παράλογον ἄρα τὸ κάθη καὶ τὸ δύνη. τὸ δὲ μέμνη παθητικός ἐστι παρακείμενος· πᾶς δὲ παθητικὸς παρακείμενος τροπῇ τοῦ τ τοῦ τρίτου προσώπου εἰς σ ποιεῖ τὸ δεύτερον. οἷον, πεποίηται πεποίησαι, γενόηται νενόησαι· οὕτως οὖν καὶ μέμνηται μέμνησαι· παράλογον ἄρα καὶ τὸ μέμνη. ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· ἔστι μέμνημαι, τὸ δεύτερον μέμνησαι, καὶ κατὰ ἀποβολὴν τοῦ σ Ἰωνικῶς γίνεται μέμνηαι, καὶ κατὰ συστολὴν μέμνεαι καὶ κατὰ κρᾶσιν

---

1) v. 23. 2) Vid. Reland., diss. misc. P. 1. p. 196. 3) l. l. ... 4) v. 276, 277.

τῶν φωνηέντων μένῃ· καί ἐστι τὸ ι ἀνεκφώνητον, διὰ τὸ μέγεθος τοῦ η. καὶ πάλιν· ἔστι δύναμαι, δύνασαι, δύναται, καὶ κατὰ συστολὴν δύνεαι, καὶ κατὰ κρᾶσιν δύνῃ. καὶ πάλιν τὸ κάθημαι, ἀπὸ τοῦ ἕω, ὃ σημαίνει τὸ κάθημαι, γίνεται παράγωγον τῶν εἰς μι, ἥημι, ὁ παθητικὸς ἐνεστὼς ἕεμαι, καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η ἧμαι, καὶ ἐν συνθέσει κάθημαι, τὸ δεύτερον κάθησαι, καὶ κατὰ ἀποβολὴν τοῦ σ κάθηαι, καὶ κατὰ συστολὴν κάθεαι, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η κάθῃ· οὕτως ὁ Χοιροβοσκός.

Καθῆσθε, ἀπὸ τοῦ ἕω, τοῦ σημαίνοντος τὸ καθέζομαι, τὸ παράγωγον ἕημι, ἕης, ἕησι, τὸ δυϊκὸν ἕετον, τὸ παθητικὸν ἕεμαι, καὶ κράσει ἧμαι, ὁ παρατατικὸς ἥμην, τὸ πληθυντικὸν ἥμεθα, τὸ δεύτερον ἦσθε καὶ καθῆσθε.

Καθῆσθαι, ῥῆμα ἐγκλίσεως ἀπαρεμφάτου. σημαίνει δὲ τὸ καθέζεσθαι. τὸ θέμα ἕημι τὸ καθέζομαι· ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ἧσαι, ἧσται, καὶ τὸ ἀπαρέμφατον ἧσθαι. καὶ μετὰ τῆς κατὰ προθέσεως καθῆσθαι. διάτι προπερισπᾶται; πᾶν εἰς θαι λῆγον ἀπαρέμφατον [1]).

Κάθοδος, εἰς τὸ ἐπάνοδος.

Καθειργνὺς, ἀπὸ τοῦ εἴργω, τὸ κωλύω, εἰργνύω, καὶ εἰργνὺς, καὶ καθειργνύς.

Καθηγήτης, διδάσκαλος, ἡγούμενος.

Καθειργμένον, κατελθόντα, φθάσαντα.

Καθαπτόμενος, ὀνειδίζων, ἐπιπλήττων.

Καθοδοῖς, ἀγωγαῖς, περιόδοις.

Καθοσιωμένος, ἐγγεγραμμένος, ἐγκείμενος.

Καθίδρυσεν, ἔστησεν, ἐστήριξε.

Καθίστησι, καθιστᾷ, χειροτονεῖ, προχειρίζεται.

Καὶ, σύνδεσμος συμπλεκτικὸς, ἰσοδυναμῶν τῷ τε· διαφέρει δὲ αὐτοῦ κατὰ τάξιν, ὁ μὲν γὰρ τὰ ὄπισθεν συμπλέκει, ὁ δὲ τὰ ἐπιφερόμενα, οἷον, ἀρκεσίλαός τε καὶ λέων. πᾶς σύνδεσμος συμπλεκτικὸς ὀξύνεται, πλὴν τοῦ ἤτοι, οὗτος δὲ βαρύνεται, ἐπειδὴ σύνθετόν ἐστιν, συντίθεται γὰρ ἐκ τοῦ ἢ διαζευκτικοῦ, καὶ τοῦ τοι παραπληρωματικοῦ.

Καὶ, σύνδεσμος συμπλεκτικὸς, συνδεῖ γὰρ τὰ ὀνόματα· πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα· τὸ κοινὸν τῆς ἐνεργείας παρίστησι.

Καθ' ἡμῶν, δεῖ γινώσκειν, ὅτι δασέος φωνήεντος ἐπιφερομένου τρέπεται τὸ ψιλὸν σύμφωνον εἰς ἀντίστοιχον τοῦ δασὺ, οἷον, κατὰ ἡμῶν, καθ' ἡμῶν, ἐπὶ ἡμᾶς, ἐφ' ἡμᾶς. ψιλουμένου δὲ φωνήεντος ἐπιφερομένου οὐ τρέπεται τὸ δασὺ σύμφωνον εἰς ψιλὸν, οἷον, ἀμφὶ ἀγαθὸν, ἀμφ' ἀγαθόν· τοῦτο δὲ γίνεται, ἐπειδὴ τὰ δασέα ἐπικρατέστερά εἰσι, καὶ ἰσχυρότερα τῶν ψιλῶν.

Καθῆστο, ἕω, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντελικὸς ἥσμην, ἧσο, ἧστο, καὶ ἐν συνθέσει καθῆστο. ἢ ἀπὸ τοῦ ἕημι, ὁ μέλλων ἥσω. οὐκ ἀνεδόθη ὁ τόνος· ἐπειδὴ κανών ἐστιν ὁ λέγων· ὅτι πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος, καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει, χωρὶς τοῦ οἶδα, σύνοιδα Αἰολικῶς, καὶ τοῦ εἶξα ὑπόειξα, καὶ τοῦ εἶκον ὑπόεικον· ἔστωσαν δὲ κανονίσματα ταῦτα· εἶχον κατεῖχον, εὗρον ἐφεῦρον, ὧγε ἀνῷγε. πρόσκειται πᾶς παρῳχημένος ὁριστικὸς, διὰ τὸ εἰπὲ ἔξειπε, εὗρε ἔφευρε, ταῦτα γὰρ ἀνεβίβασαν τὸν τόνον, ὅτι οὐκ εἰσὶν ὁριστικὰ ἀλλὰ προστακτικά· οὕτως οὖν καὶ τὸ ἧς ὁριστικὸν ὂν οὐκ ἀνεβίβασε τὸν τόνον ἐν τῇ συνθέσει, οἷον ἐν τῷ καθῆστο. πρόσκειται ἀπὸ φωνήεντος ἀρχόμενος, διὰ τὸ κεῖτο κατέκειτο, χεῦε κατέχευεν ὀμίχλην. ταῦτα γὰρ ἀνεβίβασε τὸν τόνον, ἀλλ' οὐκ ἔρχεται ἀπὸ φωνήεντος, ἀλλ' ἀπὸ συμφώνου. πρόσκειται ἀπὸ φύσει μακρᾶς, διὰ τὸ ἷζε ἔφιζε, οἷον, Νέστωρ δ' αὐτὸς ἔφιζε· τοῦτο δὲ τὸ ἷζε κοινῶς μὲν φύσει μακρὸν ἔχει τὸ ι, ἐξ οὗ τὸ ἐφῖζε προπερισπᾶται. Ἀττικῶς δὲ καὶ ποιητικῶς συστέλλουσιν αὐτό· τουτέστι θέσει μακρὸν αὐτὸ ἔχουσιν· ἐξ οὗ τὸ ἔφιζε προπαροξύτονον.

Καινεὺς, ὁ ἥρως διὰ τὸ καινὸν τοῦ γένους.

Καινὸς, ὁ νέος· οἶμαι ὅτι κραινός τις ὤν, κατ' ἔλλειψιν τοῦ ρ καινὸς, οἱονεὶ ὁ ἤδη ἐπιτελεσθείς.

Καίριον, τὸ ἐπικίνδυνον· οἶμαι ἀπὸ τοῦ Κὴρ, ὃ σημαίνει τὴν θανατηφόραν Μοῖραν, γίνεται καρὸς καὶ καίριον, ἤγουν τὸ θανάσιμον καὶ ἐπικίνδυνον.

Καιρὸς, κάρη λέγεται ἡ ὥρα, ὅθεν καὶ ἀκαρικαῖος· ἐκ τοῦ κάρη καρὸς καὶ καιρός.

Καιροσέων, οἱ μὲν τῶν κροσσωτῶν, οἱ δὲ ἀπὸ τῶν κερωμάτων, οὕτω δὲ καλεῖται καιρὸς καὶ κέρωμα, ἡ περιπλοκὴ τοῦ στήμονος, ἡ διαπλεκομένη ὑπὲρ τοῦ μὴ συγχεῖσθαι αὐτόν. καὶ τὰς ἐρίθους Καλλίμαχος εἶπε, καὶ τὸ δειλίων ὕφασμα ὑδατινον.

Καί σφεας, ἰστέον, ὅτι τὸ καί σφιν οὐκ ἔστιν ἀπὸ τοῦ σφίσιν βαρυτόνου, ἀλλ' ἀπὸ τοῦ σφὶν ἐγένετο καί σφιν. καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος, καὶ γέγονε καί σφισι. καὶ πάλιν τὸ καί σφεας, οὐκ ἔστιν ἀπὸ τοῦ σφέας βαρυτόνου, ἀλλ' ἀπὸ τοῦ σφᾶς γέγονε καί σφας, καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος καί σφεας· καὶ πάλιν, τὸ, ἐπεὶ οὔ ἕθεν ἐστὶ χερείων, οὐκ ἔστιν ἀπὸ τοῦ ἕθεν, ἀλλ' ἀπὸ τοῦ οὗ, τρίτου προσώπου, τοῦ σημαίνοντος τοῦ αὐτοῦ, γέγονεν, οὗεν, τουτέστιν οὐδαμῶς, καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος, καὶ γέγονεν οὔ ἕθεν.

Καικίας, ἄνεμος, ὅτι κυνὸς δίκην ὑλάκτων πνεῖ· ἀπὸ τῆς μέσης ἀνατολῆς [2]).

Καινίζω, παρὰ τὸ καινὸν, τὸ νεωστὶ κατεσκευασμένον.

Καινοτομία, ἔστι πρᾶγμα, παρὰ τοὺς τῆς φύσεως ὅρους καὶ νόμους παρηλλαγμένον.

Καινίσας, παρὰ τὸ καινίζω καινίσω, τοῦτο παρὰ τὸ καινός· τοῦτο παρὰ τὸ καίνειν, ὃ σημαίνει τὸ καινουργεῖν· τὸ δὲ καινὸν γέγονεν οὕτως, παρὰ τὸ ἀεὶ ὢν, καὶ ἀποβολῇ τοῦ ε καὶ συναιρέσει τοῦ α ι εἰς τὴν αι δίφθογγον αἰὼν, καὶ πλεονασμῷ τῶν συμφώνων καινὸν, καὶ καινίσας. καὶ εἰς τὸ καινούμενος.

Καίριον, εὔστοχον, μέτριον, εὔκαιρον, σημαίνει δὲ καὶ ἐπικίνδυνον. καὶ Ὅμηρος οὐκ ἐν καιρῷ ὀξὺ πάγη βέλος, ἀντὶ τοῦ ἐν ἐπικινδύνῳ· παρὰ τὴν Κῆρα, ὃ σημαίνει τὴν θανατηφόραν Μοῖραν· σημαίνει δὲ τὸ ἐπιτήδειον τῷ καιρῷ. καίριον μὲν οὐδὲν, ὅτι οὖν λέγει, ἀντὶ τοῦ οὐδὲν ἐπιτήδειον τῷ καιρῷ. τὸ ρι ἰῶτα διάτι; τὰ ἀπὸ τῶν εἰς ος ὀξυτόνων διὰ τοῦ ιον γινόμενα οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφεται, οἷον, βωμὸς, βώμιος· καὶ ἐπιβώμιον αἷμα ξαινομένου ταῖς μάστιξι. καιρὸς καίριος καὶ καίριον· σημαίνει δὲ τὸ μέγα καὶ ἐπωφελὲς πρᾶγμα.

Κάκη, τὴν κάκην, ἐπὶ τῆς κακίας τάττει, περὶ τοῦ μετὰ κακίας τὸ ζῆν περιποιοῦμεν· διὰ τὸ ῥίπτειν τὰ ὅπλα.

---

1) Reliqua canonis delens. [illegible] ἀπὸ τῆς μ[illegible] Prioribus litteris erasis, haec lectio superinducta erat.

Κακάβη, σκεῦος πρὸς ἕψησιν ἐπιτήδειον, παρὰ τὸ κάπτω ῥῆμα τὸ δηλοῦν τὸ κοιλαίνω, ἀφ' οὗ ῥηματικὸν ὄνομα κάβη, καὶ κατ' ἀναδιπλασιασμὸν τοῦ κ κακάβη· ἀναλογώτερον δὲ θέλουσι λέγειν ἡ κάκαβος θηλυκῶς. τὸ γὰρ ἀρσενικὸν πάντως ἀδόκιμον, οὕτως Ὠρίων.

Κακκαίοντες, εἴρηται εἰς τὸ κώδιον, καὶ εἰς τὸ κιχάνω.

Κάκιθος σημαίνει τὸν κακιζόμενον, παρὰ τὸ κακίζω κάκιτος, καὶ ἐκεῖθεν κάκιθος, ὁ καθεζόμενος. καὶ γράφεται διὰ τοῦ ἰῶτα.

Κακὸς, ἐπὶ τοῦ δειλοῦ· παρὰ τὸ χάζω χάζομαι γίνεται χακὸς καὶ κακὸς, ὁ ὑποχωρῶν καὶ φεύγων. ἐπὶ δὲ τοῦ ἄλλου καταχρηστικῶς, ἐκεῖ γὰρ πάντες ὑποχωροῦσι.

Κάκτανε, ἡ κατὰ συγκοπτομένη, ἐὰν ἐπάγηται τὰ δύο σύμφωνα παντελῶς ἀποβάλλεται τὸ τ κατάκτανε κάκτανε, κατάσχεθε κάσχεθε, εἰ μέντοι τῶν δύο συμφώνων τὸ ἕτερον ἀμετάβολον εἴη πάλιν τὸ τ τηρεῖται τῷ ἰδίῳ ἔθει τρεπόμενον, οἷον, καταδραθέτην καδδραθέτην, κατὰ τ' ἥματα καττήματα· κασσήματα δὲ λέγεται παρὰ Αἰολεῦσι.

Κακόχαρτος, ἀμφίβολον. ἤτοι γὰρ ἡ ἐπὶ κακοῖς χαίρουσα· ἢ ἐφ' ᾗ οἱ κακοὶ χαίρουσι. Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις [1]) ὦ Πέρση σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ, μηδέ σ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι, νείκε' ὀπιπτεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα. σχόλιον· κακὴ φιλονεικία μή σε κωλύσῃ ἀπὸ ἔργου, εἰς τὸ περιβλέπεσθαι φιλονεικίας καὶ ἀκράσεις ῥητόρων· καί φησι παρακατίων, ὅτι ὁ μὴ ἔχων πλοῦτον φησὶ ἐν τῷ οἴκῳ αὐτοῦ, ὀφείλει ποτὲ μὲν ἐργάζεσθαι, ποτὲ δὲ ἀκροᾶσθαι· κἄμνε φησὶ καὶ τότε φιλονείκει, τοῦτο εἶπεν, ἵνα κατὰ μέρος ἐπάρει αὐτῷ τὸ φιλονεικεῖν, ἐπὶ τὸ ἐργάζεσθαι.

Καλαμάριον, ὅτι κάλαμον αἴρει.

Καλαῦροψ, καλαύροπα, βουκολικὴ ῥάβδος, μικροτέρα οὖσα τῇ κεφαλῇ, ἀπὸ τοῦ καταῤῥέπειν.

Καλάμη, τὸ γῆρας, τὸ λείψανον ὥσπερ τοῦ σώματος κατὰ μεταφοράν· καὶ γὰρ τὸν εὐγενῆ πυρὸν ἐκ τῆς ὑπολειφθείσης καλάμης δυνάμεθα νοῆσαι. ἔστι δὲ καλάμη ἡ ὑποστάθμη ὑπολειπομένου σίτου.

Κακόσχημος, ὁ χρόνος διατιθέμενος ἐπὶ τὸ χεῖρον. ἢ σκώπτων, ἢ σινόμενος.

Καιριώτερον, σημαίνει τὸ ἀναγκαιότερον, ἐκ τοῦ καίριος, τοῦτο ἐκ τοῦ Κὴρ, ὃ σημαίνει τὴν θανατηφόρον Μοῖραν, κλίνεται κηρὸς καὶ συστολῇ καρός. τίω δέ μιν ἐν καρὸς αἴσῃ [2])· κατὰ παραγωγὴν κάριος, καὶ πλεονασμῷ τοῦ ι καίριος, ὁ ἐπικινδυνότατος.

Καιρὸς χρόνου διαφέρει, καιρὸς μὲν γάρ ἐστι μέτρον χρόνου, οἷον· μεμετρημένων ἡμέρων σύστημα. χρόνος δὲ πολλοῦ καιροῦ περιοχὴ καὶ σύλληψις.

Καιρὸς, παρὰ τὸ καρὸς, ἐξ οὗ καὶ ἀκαριαῖος· ἐκ τούτου καροῦ καιρὸς κατὰ πλεονασμὸν τοῦ ἰῶτα.

Καί τις ἀνὴρ σκέτρις· ἢ τῆς χειρὸς ἢ τοῦ πρὸς ἀσκέτρας φαμεν.

Καισάρειος, ὁ ἀπὸ Καισαρείας· τὸ δὲ κύριον ι καί ἐστιν ἐκ τοῦ Καῖσαρ.

Καινὸς, πρὸς διάφορον σημαινόμενον, διάφορον καὶ γραφήν· ἐπὶ μὲν γὰρ τοῦ νέου διὰ τῆς αι διφθόγγου. ἐπὶ δὲ τοῦ κούφου καὶ τοῦ ματαίου ψιλὸν τὸ κε.

Καίω, ὁ μέλλων καύσω, ἔκαυσα, ἐκλείψει τοῦ σ καὶ ἀποβολῇ τοῦ υ καὶ τροπῇ τοῦ α εἰς η, ἔκηα. ἢ παρὰ τὸ καίω ὁ μέσος παρακείμενος κέκηα, καὶ ἀποβολῇ τοῦ πρώτου κ ἔκηα.

Καινοτάφια, τινὰ εἰσὶν εἱλισσόμενα ὡς ἐν τύπῳ νεκροῦ.

Κακοσσόμενος, ἐκ τοῦ ὄπτω τὸ βλέπω, Αἰολικῶς ὄσσω, ὥσπερ βλέπω καὶ λέσω καὶ λεύσω, πλεονασμῷ τοῦ υ. ἐκεῖνοι γὰρ τρέπουσι τὰ δύο ττ σύμφωνα εἰς δύο σσ.

Κακὸς, παρὰ τὸ χάζω τὸ ὑποχωρῶ, τὸν γὰρ κακὸν τρέπεσθαι χρή. σημαίνει δὲ τρία, τὸν δειλὸν, τὸν εὐτελῆ, καὶ τὸν πονηρόν.

Κακία, παρὰ τὸ κακὸς, ὡς σοφὸς σοφία· ἢ παρὰ τὸ κεκρατηκέναι.

Κακώσαντες, θλίψαντες, ταπεινώσαντες.

Κακοδαίμων, ὁ θεῷ ἐπαχθεὶς, καὶ τὴν ψυχὴν ἔχων ἐμπαθῆ.

Κακοῤῥοθῶν, λοιδορῶν, ὑβρίζων.

Καλινδοῦμαι, κυλίω, καὶ τροπῇ τοῦ υ εἰς α, Αἰολικῶς, καλίω. οἱ γὰρ Αἰολεῖς τὸ υ εἰς α, τρέπουσιν, τὰς σάρκας σύρκας λέγουσιν· ἐπεὶ οὖν τρέπουσι τὸ α εἰς υ, δῆλον ἐστι καὶ τὸ υ εἰς α τρέπουσι, οὕτως γὰρ καλίω καὶ πλεονασμῷ τῶν συμφώνων καλινδῶ. καὶ εἰς τὸ καλινδοῦτο.

Κάλλη, τὰ πορφυρᾶ ἱμάτια. Εὔπολις, βάπτε τὰ κάλλη, καὶ κέραμος [3]).

Κάλαμος, καὶ καλάμη, ἀπὸ τοῦ καλάμου αὐτοῦ τοῦ ξύλου· αὐτὸ δὲ ἀπὸ τῆς καύσεως.

Κάλαμος, διὰ τὸ καλῶς ἀμᾶσθαι.

Κάλαθος, εἰς ὃν τὰ κάλλη ἀποτίθενται. κυρίως κάλλη τὰ βεβαμμένα ἔρια. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ δεκτικοῦ τῶν ὀπώρων καὶ σταφυλῶν· ἢ γάλαθος, εἰς ὃν τὸ γάλα ἀπετίθουν τυρεύοντες, γάλαθος καὶ κάλαθος.

Καλήζω, κατὰ διάλεκτον, οἱ Αἰολεῖς τὰ τῆς πρώτης συζυγίας διὰ τοῦ η προσφέρουσιν. οἷον, ἀδικαίω, οἱ Ἴωνες ἀδικήω. οἷον, ὄψαθ' ἀδικίῃ, ποθέω ποθήω· οἷον, καὶ ποθήω καὶ μάομαι. οὕτω οὖν καὶ παρὰ μὲν Ἴωσι καλέω, παρὰ δ' Αἰολεῦσι καλήω, παρὰ δὲ Κυπρίοις καλήζω, τουτέστι τὸ λέγω. τοῦτο δὲ ἡγοῦνται κατὰ συγκοπὴν γεγονέναι κλήζω. οὐκ ἔστι δέ· εὑρίσκομεν γὰρ αὐτὸ σὺν τῷ ἰῶτα. ἀλλ' ἀπὸ τοῦ κλέος κλείζω καὶ κληίζω καὶ κλήζω, ὡς χρέος χρείζω χρηίζω καὶ χρήζω. τὸ δὲ κληδὼν οὐκ ἔχει τὸ ἰῶτα, ἐπειδὴ οὐκ ἔστιν ἀπὸ τοῦ κληίζω, ἀλλ' ἀπὸ τοῦ κλῶ, τοῦ σημαίνοντος τὸ καλῶ, γέγονε κλήσω καὶ κληδών· οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

Καλαῦροψ καλαύροπα, ἡ βουκολικὴ ῥάβδος, παρὰ τὸ ῥέπειν τὸ καλὸν εἰς τὸ ἓν μέρος, ἐν ᾧ ἐστι τὸ πάθος [4]). καὶ ἡ καλουμένη κονδύλα, καὶ κορύνη, ἡ κατὰ τὸ κάρα νεύουσα. καὶ ῥόπαλον δὲ παρὰ τὸ ῥέπειν εἰς τὸ ἓν μέρος· ἔνθ' αὐτῷ δαραιδ' μὲν εὔστιπτον θέτο φάρος, λεπτὰ λέοντα ῥα οἱ τ' ἴσε ξεινήϊον, ὤπασε ληνιάδαν, ὁ δ' ἄρ ἔμνην δίστυχα χωπὴν αὐτῆς περόνησι καλαύροπα τετρήχειαν, κάββαλε, τὴν φορέεσκεν ὀριτρεφέος ἐσκοτείνοιο, αὐτίκα δ' ἐγγύθι χῶρον ἐαδότα παραστήνας, ἐρεμνὴν δίπτυχα λώπην πορφύραν ἢ με-

1) v. 27. sq. 2) Il. IX, 378. 3) cf. pag. 296. lin. 4. 4) L. βάρος. vid. Schol. ad Il. XXIII, 845.

λανὴν χλαμύδα· κοτίνοιο δὲ τὴν ἀγριελαίαν· ἑαδότα ἄρεστόν ἐστιν ὅτ' ἄργος [1]).

Καλία, κυρίως ἡ ἐκ κάλων ὅ ἐστι ξύλων κατασκευαζομένη οἰκία, μήπω εὑρεθέντων λίθων εἰς ἐργασίαν. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν διὰ λίθων οἰκιῶν Ἡσιόδος, μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον, ἔς τ' ἔννηφιν, οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλίην [2]).

Καλλιέρημα τὸ μὲν ῥῆμα καλλιερῶ, τὸ δὲ ὄνομα καλλιέρημα. καλλιέρημα δέ ἐστιν ἕκαστον ὃ τῷ θεῷ προσάγωσι Φίλον θυμάτων· καὶ Χριστιανοὶ μὲν τότε καλλιεροῦσιν, ὅταν ἑαυτοὺς τῷ θεῷ προσάγωσι πνεῦμα καὶ καρδίαν συντετριμμένην· Ἕλληνες δὲ τότε καλλιερεῖν νομίζουσιν, ὅταν δαίμονι Φίλον τὸ θῦμα τῶν Φαινομένων ἀπατηλῶν ὀφθείη σημείων.

Κάλλος ὡραιότητος διαφέρει. ζήτει αὐτὸν εἰς τὸν ψαλμὸν τὸν λέγοντα, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.

Κάλλος, παρὰ τὸ κάζω τὸ κοσμῶ, ἢ παρὰ τὸ θάλλω κάλλος, διὰ τὸ πρὸς αὐτὸ καλεῖν.

Καλύβη, ἡ καλύπτουσα καὶ σκέπουσα τὸν ἔνοικον. σημαίνει δὲ τὴν ξύλινον καὶ χόρτινον οἰκίαν· γίνεται δὲ ἀπὸ τῶν κάλων τῶν ξύλων.

Καλόπους ὁ ξύλινος πούς· κάλον τὸ ξύλον.

Κάλως, τὸ σχοινίον, πόθεν γίνεται; παρὰ τὸ χαλῶ χάλως καὶ κάλως.

Καλαμᾶται, ῥηγολογεῖ, ἐπανατρυγᾷ, ἢ τὰ ἀπόρισμα συλλέγει.

Κάλυξ, τὸ κεκαλυμμένον ῥόδον.

Καλωπάρηος, παρὰ τὸ καλὰς παρείας ἔχειν, γίνεται καλωπάρηος, ὁ καλὰς παρείας ἔχων. τὸ λω μέγα διάτι; τὰ παρὰ τὸ κάλλος συγκείμενα ὀνόματα ἅπαντα διὰ τοῦ ω γράφεται, οἷον, καλλωπισμός· καλωπάρηος; τὸ ρη ἦτα διάτι; ὤφειλεν εἶναι διὰ τῆς ει διφθόγγου, ἀλλὰ ποιητικῶς ἐγένετο τροπῇ τοῦ ει εἰς η.

Καλλιπάρηος, ἡ καλὰς παρειὰς ἔχουσα, ἐκ τοῦ κάλλος καὶ τοῦ παρειά. τοῦτο παρὰ τὸ ἐπαίρω, τὸ ἀνεσταλμένον μέρος τοῦ σώματος. τὰ δὲ παρὰ τοῦ κάλλος ἐν συνθέσει κείμενα διὰ τοῦ ἰῶτα γράφεται· τὸ ρη ἦτα διάτι; οἱ Αἰολεῖς τὴν ει δίφθογγον εἰς η τρέπουσιν, οἱ δὲ Δωριεῖς τὸ ε εἰς ἦτα.

Κάμηλος, ὅτι χάμαι καθημένη αἴρει τὸ φόρτιον, χάμηλος καὶ κάμηλος. ἐτυμολογεῖται δὲ παρὰ τὸ κάμπτειν τοὺς μηρούς· ἢ παρὰ τὸ κάμνειν μᾶλλον.

Κάμηλος, χαλάμηλος, ὅτι χαμαὶ καθήμενος γεμίζεται καὶ αἴρει τὸ φορτίον. τινὲς κάμειν μῆρος, ἀπὸ τοῦ κάμπτειν τοὺς μήρους, κάμηλος κατὰ συγγένειαν. πρὸ τοῦ ρ πρὸ τοῦ λ κάμηρός τις ἐστι, ἀπὸ τοὺς μήρους κάμπτειν, ἐν τῷ καθέζεσθαι, οὕτως Ἡράκλειτος.

Κάμνειν, ἐπὶ τοῦ πονεῖν καὶ ἐργάζεσθαι. καὶ ἐπὶ τοῦ πονεῖν καὶ ἐπὶ τῶν ἀποθανόντων· προσλαβὼν καὶ τὴν ἀπὸ πρόθεσιν σημαίνει τὸ ἀπείπειν καὶ ἀπαγορεῦσαι καὶ ἀπογνῶναι, οἷον, ἀπέκαμον νουθετῶν, ἀποκάμνω παραινῶν· καὶ εἰς τὸ ἀκμῆτες.

Κάμοντας, ἀποθανόντας, ἢ κατασκευάσαντας, μετοχὴ δευτέρου ἀορίστου. κάμω, ὁ μέλλων καμῶ, ὁ μέσος παρακείμενος κέκμηκα. πρὸ δὲ τοῦ α τὸ σύμφωνον ἔχει τοῦ ἐνεστῶτος. τὸ κάμειν τριχῶς λαμβάνεται, ἐπὶ τῶν ἀποθανόντων, ἐπὶ τῶν κοπτομένων, καὶ ἐπὶ τῶν πολεμίων.

Καλλάτις, πόλις ἐστὶ κτισθεῖσα ὑπὸ Ἡρακλειωτῶν. ὠνομάσθη δὲ ἀπὸ τῆς παρακειμένης αὐτῇ λίμνης· οὕτως Ὧρος [3]).

Κάλλη, τὰ ἄνθη, ἢ τὰ πορφυρᾶ ἱμάτια ἢ τὰ βάπτα ἔρια, ἐξ οὗ καὶ κέραμος καλλαϊνος.

Καλλιγύναικα εἰς Ἑλλάδα, ἀντὶ τοῦ καλὰς γυναῖκας ἔχουσαν. ἀπὸ τῆς καλλιγύναιξ συνθέτου εὐθείας, ὅθεν ἀποβολῇ τοῦ ξ, τὸ ἁπλοῦν λέγεται ὦ γυναῖ ἐπὶ κλητικῆς, ὥσπερ τὸ ἄναξ, ὦ ἄνα· Ζεῦ, ἄνα, Δωδωναῖε.

Κάλλιμος, παρὰ τὸ κάλλος κάλλιμος· ἡ δὲ διὰ τοῦ ιμος παραγωγὴ ἐκ τριῶν γενῶν γίνεται, οἷον, σπόρος σπόριμος, ἀγωγὴ ἀγώγιμος, κῦδος κύδιμος, οὕτω κάλλος κάλλιμος γίνεται· καὶ ἀπὸ ῥήματος προσδοκῶ προσδόκιμος.

Καλλιπάρηος, ἡ καλὰς παρειὰς ἔχουσα, παρὰ τὸ κάλλος καὶ τὸ παρειὰ γίνεται καλλιπάρηος, κατὰ τροπὴν Βοιωτικὴν τῆς ει διφθόγγου εἰς η. τὸ δὲ παρειὰ διὰ τῆς ει διφθόγγου γράφεται. τὰ γὰρ διὰ τοῦ εια τρισύλλαβα ὀξύτονα, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον, φορβειά, παρειὰ πλὴν τοῦ καλιὰ καὶ ἱμονιά.

Καλοκαγαθία, ἀπὸ συνθέτου τάξεως ὄνομα γίνεται, οἷον, θεοῖς ἐχθρὸς, θεοεχθρία, οὕτω καλὸς καὶ ἀγαθὸς καλοκαγαθία.

Κάλπιν, οἷον, τίκτε δέ μιν νύμφη λειμωνιὰς, οὐ δὲ ἡ ὕβρις ἥνδανον, ἀλλὰ θέλημος ἐφ' ὕδατι πατρὸς ἑῷ μητέρι συναίεσκεν ἐπακτὶ πῶεα φερβωκίον ου λέγεσθαι Ἀχιλλέως δρόμους· ἄλπη καὶ κάλπις [4]). κάλπη μὲν οὖν λέγεται, ἡ ὑδρία παρθενική. Κάλπις δὲ πόλις Βιθυνίας.

Κάλυμνος, ὁ ἐν Αἰγύπτῳ σῖτος, ἀντὶ τοῦ καλύμνιος. ὁ γὰρ Φιλάδελφος ἐκ Καλυδνῶν μετήνεγκε τὸ σπέρμα, νήσους περὶ Καλυδρὰς, ὡς Ἀπολλόδωρος φησὶ λέγεσθαι Καλύδρας, ὡς καλύβας.

Καλυψώ, ἡ μὴ ἁπλῆ, καλύπτουσα δέ τι διακορύμενον. διὸ καὶ Ὅμηρος. ἔνθα μὲν Ἄτλαντος θυγάτηρ δολόεσσα Καλυψώ [5]).

Κάλχας, παρὰ τὸ κάλχη. κάλχη δέ ἐστι βοτάνη, ἀφ' ἧς πορφύρα βάπτεται. Κάλχας δέ ἐστιν ὁ τὰ βάθη τῶν μαντείων ἐρευνῶν· ἢ ὁ τοῖς βασιλεῦσιν τὰ ἐκ θεοῦ φανερῶν.

Καλχηδὼν, περὶ τὸν ποταμὸν πόλιν κτίζουσι, καὶ ὁμωνύμως αὐτῷ τὴν πόλιν ὠνόμασαν, οὕτως Ὧρος ὁ Θηβαῖος.

Καλώδιον, σημαίνει τὸ σχοινίον, καὶ διὰ τοῦ ι γράφεται. καὶ ὤφειλεν εἶναι καλλύδιον, ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, οἷον, κάλος κάλου. τότε γὰρ διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγὴ, οἷον, γνώμη, γνώμης, γνωμίδιον, ψυχὴ, ψυχῆς, ψυχίδιον. ἀλλὰ συνεξηκολούθησε τὸ λαγῴδιον, στῴδιον, κῴδιον, σημαίνει δὲ τὸ στῴδιον τὴν στοάν.

Καλλωπίζω, ἀπὸ τοῦ κάλλος καὶ τοῦ ὤψ, ὃ σημαίνει τὸ πρόσωπον.

Κάμαξ, ἀρσενικῶς μὲν σημαίνει ὄρυγμα, ἢ τοὺς πασσάλους τοὺς ἐν τῷ τάφρῳ πεπηγμένους πρὸς τὴν τῶν πολεμίων ἐρωήν· θηλυκῶς δὲ τὰς ῥάβδους, ἢ δόνακας παραπεπηγότας ταῖς ἀμπέλοις· ὡς παρ' Ἡσιόδῳ [6])· σειόμενος φύλλοισι καὶ ἀργυρέοισι κάμαξι. παρὰ τὸ

---

1) ἔνθ' αἰτῷ — ὅτ' ἄργος. Corruptissime ex Apoll. Arg. 2. v. 30. 2) Εργ. 410. 411. 3) cf. supra p. 296. v. 28. 4) ἄλπη. Leg. sine dubio κάλπη, omissa litera majori initiali K. diversus igitur a priori articulus. 5) Od. VII, 245. 6) Asp. 298.

κάμνειν ἐν τῷ βαστάζειν τὴν ἄμπελον, οἱονεὶ κάμναξ τις οὖσα. κατ' ἀποβολὴν τοῦ ν.

Καμελαύκιον, ῥηθήσεται εἰς τὸ καυσανία [1]).

Κάμινος, παρὰ τὸ τὴν ὑποκειμένην ὕλην καίειν. ἢ παρὰ τὸ ὑπὸ μνήμην εἶναι.

Κάμμορος, οἱονεὶ κακόμορος, καὶ κατὰ συγκοπὴν κάμμορος.

Καμπανοί, ὅτι Καμπὸν ἔκτισαν πρὸς τὴν Κάμην τόπον οὕτω λεγόμενον, ὅθεν καὶ Καμπανοὶ ἐκλήθησαν· οὕτως Ὧρος.

Κάμπτω, ἐκ τοῦ γόνυ γονάπτω κατὰ παραγωγὴν, καὶ ἐν συγκοπῇ γνάπτω, καὶ τροπῇ τοῦ γ εἰς κ, καὶ ἐν ὑπερβιβασμῷ κάμπτω.

Καμπή· καμπὴ μὲν οὖν ἡ καμπτομένη καὶ κεκαμμένη. καὶ καμπτομένων φαμὲν τόπων, ὡς κλάσιν πεπονθότων χωρίων. λέγεται καὶ ζωδάριον κάμπη ἡ κάμπτουσα παρὰ τὸ ἑαυτὴν κάμπτειν ἐν τῷ ἕρπεσθαι. τὰ γὰρ ζωδάρια τὰ μὲν τελευταῖα μέρη ὑποτείνει· τὰ δὲ πρὸς τῷ τραχήλῳ κάμπτει, καὶ εἶθ' οὕτω ἐπισύρει τὰ ὀπίσθια, κάμπτουσα ἑαυτήν.

Κανδῆλα, ὅτι καιομένη δηλοῖ πάντα.

Κάνδυλος, βρῶμα διὰ γάλακτος καὶ μέλιτος κατασκευαζόμενον, καὶ ἀβυτάκην θρακικὸν βρῶμα.

Κανθὸς, ἐπὶ τοῦ ὀφθαλμοῦ, οἱονεὶ κνηθός τις ὢν, ἀπὸ τοῦ κνήθεσθαι συνεχῶς δακνομένους ὑπὸ τοῦ παρεισρέοντος ὑγροῦ. ἢ κανθὸς ἀπὸ τῆς κνησμονῆς τῆς περὶ αὐτὸν γινομένης.

Κάναστρα, ἀκρωτήρια τῆς Παλαιστίνης.

Κάνδυς, Περσικὸν ἱμάτιον [2]).

Καμψάκης, ὕδατος στάμνιόν ἐστι, δώδεκα ξέστων τῷ μέτρῳ. τὸ δὲ τῷ ἡλίῳ ἑτοιμασθὲν τεσσάρων ξέστων.

Κανίσκιον, κάνεον καὶ κάνειον κατὰ πλεονασμὸν τοῦ ἰῶτα, καὶ ποταίνιον τὸ ξένιον.

Κανθήλιος, ὁ ὄνος, παρὰ τὸ ἐλεῖν τὰς ἀκάνθας.

Κανὼν διάφορα σημαίνει. τὸν εἱρμὸν, τὸν ῥυθμὸν, τὸν ἔντεχνον λόγον, καὶ ἔμμετρον, καὶ τὴν τεκτονικὴν στάθμην, καὶ τὸν τρόπον, καὶ τὸ διδόμενον τέλος, καὶ διάταξιν τῶν ψαλλομένων, καὶ σύστημα τῶν ἱερέων καὶ μοναχῶν, καὶ τὴν ἔκθεσιν τῶν ἐκκλησιαστικῶν κεφαλαίων.

Κανόνας, ῥάβδους, ἃς ἐκρότουν τὰς ἀσπίδας· τοῦτο γὰρ ἐχρῶντο τοῖς πόρπαξι, οὓς ὄχανα ἐκάλουν. ὕστερον γὰρ ὑπενοήθησαν ὑπὸ Καρῶν. ὡς καὶ Ἀνακρέων, καριοεργέος ὀχάνοιο.

Κανοῦν, κυρίως τὴν μάχαιραν, οἱονεὶ τὸ καίνειν ἔχων καίριον, ὅ ἐστι κόπτειν, ἀπὸ τῶν γινομένων ἐν ταῖς θυσίαις σφαγῶν. σημαίνει δὲ καὶ κανίσκιον, παρὰ τὸ χαίνειν χανοῦν καὶ κανοῦν, ἀπὸ τοῦ κεχηνέναι.

Κάνωβος, ἱστορεῖται ὁ Κάνωβος δίσκῳ ἀνῃρῆσθαι, ὑπὸ Μενελάου ἐν Αἰγύπτῳ ἐν ὑπομνήματι ἀλέσχης Ἡρακλείδης. Νίκανδρος δὲ ἐν θηριακοῖς φησιν, ὅτι ὑπὸ αἱμορροΐδος ἐπλήγη. οἷον, ἦμος ἀποψύχοντα κυβερνητῆρα Κάνωβος θώνιος ἐν ψαμάθοις ἀθροίσατο· οὕτως Ὧρος.

Κάπη, ἡ φάτνη, παρὰ τὸ κάπτειν, ὅ ἐστιν ἐσθίειν, γέγονε κάπτη καὶ κάπη, ἢ παρὰ τὸ κάπος κάπη. κάπος δέ ἐστι τὸ πνεῦμα ἐν τῷ, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν [3])· ἢ καὶ ὑπὸ τῶν ἀσθμάτων τῶν ἵππων καταπνεόμενον· ἢ παρὰ τὸ σκάφθαι κοιλανθαι.

Κάπηλος, ὁ μετάβολος καὶ οἰνοπώλης, παρὰ τὸ χέειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον, τινὲς οἴονται ἓν ἀνθ' ἑνὸς εἶναι, οἷον, ἐκ τοῦ παρὰ Σοφοκλεῖ, πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται, ὁ μὲν οὖν Σοφοκλῆς εὐεπίφορος εἰς τὸν πηλόν. ὁ μέντοι οἶνος οὐκ ἔστι πηλός· πόθεν δὲ ἐν τῷ καπήλῳ ὁ οἶνος ἔγκειται; καὶ γὰρ ἕτερόν ἐστιν οἰνοπώλος, καὶ ἕτερον κάπηλος. καθόλου γὰρ τοὺς πωλοῦντας τὶ καπήλους ἔλεγον· ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα καλεῖ κάπηλα· κάπηλα προσφέρονται τεχνήματα.

Κάπηλος, ὁ οἰνοπώλης, τὸ πη ἦτα. πηλὸν γὰρ τὸν οἶνον λέγουσι, τὸν πάλλοντα καὶ βλάπτοντα τὰς φρένας. ἄλλως τε, τὰ διὰ τοῦ ελος προπαροξύτονα τῷ η παραλήγεται, οἷον, κάμηλος, ἀσύφηλος, νούφηλος καὶ νούσηλος, κίβδηλος καὶ βέβηλος ὁ ῥερυπωμένος.

Κάππα, καπυός ἐστιν εὕρεμα, καπάτιον γὰρ τὸ ἔχον τὴν ὄπα, ἤγουν τὴν φωνήν· τὰ γὰρ ψιλὰ ἀπὸ τῆς κατωτάτης τῆς γλώσσης ἔχει τὴν προσφορὰν τῆς φωνῆς, ὅθεν καὶ κῆπος καὶ χῆπος τις ὢν, ὁ ἔχων τὴν πησμονὴν διὰ τοῦ ὕδατος τοῖς φυτοῖς.

Κάππεσε, πᾶσι δὲ παρὰ ποσὶ κάππεσε θυμὸς, τὰς ψυχάς φησιν, ἐταπεινώθησαν ἅπαντες, λειποψυχήσαντες, τὴν σωτηρίαν παρὰ τοῖς ψυχοῖς εἶχον.

Κάππαρις, ὅτι καλὴ καὶ πολλὴ καὶ μεγάλη ἐν κάμποις φύεται. οὐχ οὕτως γὰρ ἐν κρημνῷ· εἴη ἂν οὖν κάμπαρις, παρὰ τοὺς κάμπους, καὶ μεταβολῇ τοῦ μ εἰς π, κάππαρις, οὕτως Ὧρος.

Καππαδόκαι φαῦλοι ἀεί· ζῶνες δὲ τυχόντες φαυλότεροι· κέρδους ἕνεκα ἔτι φαυλότατοι. ἢν δ' ἄρα δὶς καὶ τρὶς δράξοντα μεγάλως ἀπηνεῖς δὴ ῥα τό τις· ὅρα φαῦλοι ἐπὶ φαυλόπους [4]).

Κάπετος, ἡ τάφος, παρὰ τὸ σκάπτω, σκάπετος καὶ κάπετος, παρὰ τὸ ἐσκάφθαι.

Καπνίζω, παρὰ τὸ καπνὸς, τοῦτο παρὰ τὸ καίω καὶ τὸ πνοὴ, κυρίως γὰρ καπνὸς λέγεται ἡ ἐκ τῆς καύσεως πνοή. καὶ ἐξ αὐτοῦ ῥῆμα τὸ καπνίζω.

Καπνὸς, παρὰ τὸ κάπτω, τοῦτο παρὰ τὸ κάμνω τὸ ἐκπνέω. ἢ παρὰ τὸ κάπος, ὃ σημαίνει τὸ πνεῦμα. κάπος καὶ καπνός· καὶ εἰς τὸ λυγκῶδες.

Κάρα, τὴν κεφαλὴν, ἀπὸ τοῦ κέρας κέρα καὶ κάρα, ἀπὸ τοῦ τετριχῶσθαι κάρα εἴρηται· κέρας γὰρ ἡ θρίξ. τὸ δὲ κάρα λεῖπαρ ἀλεῖφα [5]) ἀποκοπὴν πεπονθυῖαν ἀπὸ τοῦ κάρανον λιπαρὸν ἀλείφαρον. ἄλλοι δὲ ἀπὸ ἄκρα, καὶ καθ' ὑπερβιβασμὸν κάρα, ἡ ἀποτερμάτωσις τοῦ ἀνθρώπου.

Κάραβος, τὸ θαλάσσιον ζῶον, παρὰ τὸ τῇ κάρᾳ βαίνειν, τῆς κεφαλῆς προεχούσης· ἢ καὶ τὴν ναῦν ὡσαύτως· κάρα γὰρ ἡ τροπίς.

Κάραβος, διὰ τὸ ἀκεραίως βαίνειν. ἢ ὁ τὴν κεφαλὴν κινῶν, αἱ γὰρ χηλαὶ καὶ τῇ κεφαλῇ καὶ τὰ λοιπὰ ποδάρια ἐνήρεισται.

Καραδοκεῖν, τὸ τοῦ πράγματος κεφάλαιον ἐπιτηρεῖν ὅπη χωρήσῃ. παρὰ τὸ κάρα καὶ τὸ δοκῶ τὸ ἐπιτηρῶ. συντάσσεται μετὰ αἰτιατικῆς.

Καραδοκία, ἐπιτήρησις, προσδοκία, ἐλπὶς, ἐκδοχὴ, ὑπόληψις.

Κάραμβις, ἀκρωτήριον Παφλαγονίας, παρὰ τὸ κάρα καὶ τὸ βαίνειν· τὸ γὰρ ἄκρον αὐτῆς, ἔξω εἰς τὸ πέλαγος βέβηκεν. οἷον, ἰθὺ διαγραφθέντα· μέση δέ τοι

---

1) L. καυσία. vid. infr. s. v. 2) v. Reland. diss. misc. P. II. p. 150. 3) Conf. ex. Il. XXII, 467. 4) obscure. 5) κάρα — ἀλεῖφα cf. Etym. M. v. κάρη ad finem.

ἐστι Καράμβις γραμμῆς ἐκτὸς ἐοῦσα, καὶ ἐς βορέην ὁρόωσα. Διονύσιος ὁ περιηγητής [1]).

Καρβάνοι [2]), βάρβαροι, οἱ ἔχοντες Καρὸς βοήν. Λυκόφρων, Κάρβανον ὄχλον. ἐν δὲ γυναιξὶ ταῖς πέπλοις.

Κάρδοπος, λίθος, ἡ μάκτρα. Νίκανδρος ἐν Θηριακοῖς, σπέρματος ὃν κυμβοῖο περιφεροῦς ὀξυβάφου· ἐπεὶ καὶ κοῦφον ἐστι.

Καρδομύττειν, τὸ συνεχῶς βλέφαρα κινεῖν· καὶ εἰς τὸ ἐπίμυσιν ἄγειν· ἰδίως οἱ Ἀττικοὶ λέγουσιν. εἴρηται δὲ ἀπὸ τοῦ καρδάμου, ὃ ἐάν τις προσενέγκηται, συνεχῶς τὰ βλέφαρα μύει. ἢ παρὰ τὸ τὰς κόρας μύειν.

Καρδία, ἐκ τοῦ κραδαίνεσθαι διὰ παντὸς, ὅ ἐστι σείεσθαι.

Καρδία, παρὰ τὸ κράτος αὐτὴν ἔχειν. ἔστι δὲ ἡγεμονική.

Κάρδαμον, παρότι τὴν καρδίαν μειοῖ· πινόμενον καὶ βλάπτει.

Κάρη, κεφαλὴ, ὄνομα οὐδέτερον, αἰτιατικοῦ τῶν πληθυντικῶν, ἐκ τοῦ κάρηνα, οὗ ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ κάρηνον, καὶ ἡ γενικὴ τῶν πληθυντικῶν τῶν καρήνων· ὡς τὸ, βῆναι δὲ κατ' Οὐλύμποιο καρήνων. σημαίνει δὲ ἀκρωτήριον, ὅ ἐστι τῶν κεφαλῶν· ὅτι δὲ πεπονθός ἐστι κάρη, καὶ οὐχ ὑγιὲς δηλοῖ. τὰ εἰς η λήγοντα οὐδέποτε πτώσεως ἑνικῆς εἰσι, ἀλλ' ἢ δυικῆς ἢ πληθυντικῆς· ὡς τὰ τείχη, βέλη, σκέλη, τοῦτο δὲ τὸ κάρη, οὔτε εὐθείας ἐστὶν ἑνικῆς, οὔτε πληθυντικῆς· κατὰ συγκοπήν ἐστι τὸ κάρη, ἀπὸ τοῦ κάρηνα.

Καρήνων, κλίνεται τὸ κάρηνον τοῦ καρήνου· γίνεται παρὰ τὸ κάρη, κάρανον καὶ κάρηνον, τροπῇ τοῦ α εἰς η.

Κάρηνα, ἀκρωτήρια, ἀκρόπολα, ἐξοχὰς, ἐξ οὗ βασίλεια. ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα [3]), ἀπὸ τοῦ κάρα. κάρην οὐδέτερον· τὰ μὲν ὑπὲρ δύο συλλαβὰς ἅπαντα, διὰ τοῦ τος κλίνεται· οἷον, ὄνειαρ ὀνείατος, σημαίνει τὸ ὠφελοῦν καὶ τὸ βρῶμα, ἄλειφαρ ἀλείφατος, σημαίνει τὸ ἄλειμμα, οὕτως καὶ κάρηαρ καρήατος, καὶ κατὰ συγκοπὴν κάρητος, καὶ οὐδέτερον κάρκιον [4]). τῶν δὲ δισυλλάβων τὰ μὲν φύσει μακρὰ διὰ τοῦ τος κλίνεται, οἷον, ἧπαρ ἥπατος, ἦμαρ ἤματος, εἶδαρ εἴδατος, σημαίνει δὲ τὸ βρῶμα, οὖθαρ οὔθατος, σημαίνει δὲ τὸν μαστόν. τὰ δὲ βραχεῖα ἢ θέσει μακρὰ παραληγόμενα διὰ τοῦ ρος κλίνεται, οἷον, θέναρ θέναρος, σημαίνει δὲ τὸ κοῖλον τῆς χειρὸς, παρὰ τὸ σθένειν ἤγουν τύπτειν, ὕπαρ ὕπαρος, σημαίνει τὸ ἀληθινὸν ἐνύπνιον τὴν λεγομένην ὀπτασίαν. ἔαρ ἔαρος καὶ κατὰ κρᾶσιν ἦρος, κέαρ κέαρος καὶ κῆρος, ἄλκαρ ἄλκαρος, σημαίνει δὲ τὴν βοήθειαν. σεσημείωται τὸ φρέαρ φρέατος, καὶ στέαρ στέατος, ὅτι βραχεῖα παραληγόμενα διὰ τοῦ τος ἐκλίθη. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι φρεῖαρ καὶ στεῖαρ ἦν, καὶ ὡς ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν, τούτου χάριν ἐκλίθη διὰ τοῦ τος. οἷον, φρείατος, στείατος· ἐξ οὗ, καὶ φρείατα μακρὰ νάουσιν [5])· καὶ ἀποβολῇ τοῦ ι φρέατος καὶ στέατος. λέγει δὲ ὁ Ἡρωδιανὸς ἐν μονοβίβλῳ, ὅτι τὰ εἰς αρ οὐδέτερα παραληγόμενα τῷ ω ἄκλιτά εἰσι, μῶμαρ σημαίνει τὸν μῶμον, μῶμον σημαίνει τὸν μέγαν· νῶκαρ σημαίνει τὴν στέρησιν τῆς ψυχῆς· οὕτως ὁ Χοιροβοσκός.

Καρὶς, ὡς παρὰ τῷ Κρατίνῳ, ἔχον πρόσωπον κάριδος μασθλητίνης, ἀντὶ τοῦ δερματίνης· λέγεται δὲ καρὶς, παρὰ τὸ σκαίρω σκαρίς· ἢ παρὰ τὸ κάρα καρίς. καὶ γὰρ ὅλη ἡ καρὶς σχεδὸν κεφαλή ἐστι. τινὲς δὲ λέγουσιν, ὅτι τὸ καρὶς σύνθετόν ἐστι, παρὰ τὸ κάρα καὶ τὸ ἲς ἰνὸς, οἱονεὶ ἡ ἔχουσα ἐν τῇ κεφαλῇ ἶνας, οἷς τισι καὶ ὁ τόνος καὶ ἡ κλίσις ἀντίκειται. ὁ τόνος μὲν, ὅτι εἰ ἦν σύνθετον ἀπὸ τοῦ ἲς ἰνὸς, ἤμελλε βαρύνεσθαι· πᾶν γὰρ ὄνομα μονοσύλλαβον ἐν τῇ συνθέσει βαρύνεται. οἷον, χθὼν αὐτόχθων, Θρᾷξ, Σαμόθραξ, χωρὶς τοῦ πτὼξ πολυπτὼξ, ὡς παρὰ Καλλιμάχῳ [6])· πολυπτῶκες τὲ Μέλαιναι. Μέλαιναι δέ εἰσι τόπος τῶν Ἀττικῶν. ὥστε οὐκ ἔστι σύνθετον· ἡ δὲ κλίσις, ἐπειδὴ τὸ μὲν καρὶς διὰ τοῦ δος κλίνεται, τὸ δὲ ἲς διὰ τοῦ νος. εἰ δὲ ἦν ἀπ' αὐτοῦ εἶχεν ἂν κλίνεσθαι διὰ τοῦ νος· τὰ γὰρ εἰς ις σύνθετα τὴν τοῦ ἁπλοῦ φυλάττουσι κλίσιν. οἷον, ἀκτὶς ἀκτῖνος, εὐάκτιν εὐάκτινος, γλωχὶν γλωχῖνος, τριγλώχιν τριγλώχινος.

Καρκίνος, ζῶον θαλάσσιον· καρκίνος ἐλθὼν ἐκ βυθοῦ θαλαττίου. ὁ λεγόμενος πάγουρος, καράκινός τις ὤν, ὁ κινῶν ἐπὶ συχνῷ τὴν κάραν. διατί προπαροξύνεται; τὰ γὰρ διὰ τοῦ αντινος προπερισπᾶται· οἷον· Κωνσταντῖνος, Ταραντῖνος· πλὴν τοῦ Φαυστίνος καὶ καρκίνος. καρκίνος δὲ λέγεται καὶ ζῴδιον ἐν τῷ οὐρανῷ, καὶ νόσος οὕτω καλουμένη, καὶ μέλος ἀνθρώπου.

Καρκίνος, παρὰ τὸ κάρα κινεῖν πυκνῶς, ἢ καράκινός τις ὢν, οἷον κάραβος, ἀπὸ τοῦ τὸ κινούμενον αὐτοῦ κάρα εἶναι.

Κάρος, σημαίνει τὴν θανατηφόρον Μοῖραν, ἀπὸ τοῦ Κὴρ Κηρὸς, συστολῇ τοῦ η κάρος. διατί τοῦ κὴρ τὸ η εἰς α ἐτράπη, καὶ οὐκ εἰς ε, ὥσπερ φρὴν, φρενός; ὅτι οὐκ ἔστι τὸ κάρος κατὰ ἀνάλογον κλίσιν, ἀλλὰ συστολὴ ποιητική· καὶ τούτου χάριν οὐκ ἐφύλαξε τὴν ἀκολουθείαν τοῦ φρὴν φρενός.

Καῤῥόον, κατὰ τὸ ῥεῦμα.

Καρπαλίμως, ἀντὶ τοῦ ταχέως, ὡς παρὰ τὸ γονὸς γίνεται γόνιμος, καὶ πόμπος πόμπιμος, οὕτω καὶ παρὰ τὸ κάπτω τὸ πνέω, ἐξ οὗ καὶ τὸ καπύω, οἷον, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε, γίνεται κάπος, καὶ πλεονασμῷ τοῦ ν καπνός. εἶτα κατὰ πρόθεσιν τοῦ ρ πάλιν γίνεται κάρπνος καὶ κάρπνιμος, ἀποβολῇ τοῦ ν, καὶ προσθέσει τῆς αλ συλλαβῆς καρπάλιμος, καὶ τὸ ἐπίῤῥημα καρπαλίμως.

Καρπὸς, ἀπὸ τοῦ κεκάρφθαι, ὅ ἐστιν ἐξηράνθαι ἔνθα τῆς χειρὸς ξηρὸς ὢν ὁ τόπος καὶ ἄσαρκος. καρπὸς δὲ λέγουσι κάρφος τὶς ὤν· καρπὸς παρὰ τὸ κατάξηρον, οἷον, κάρφος.

Καρπὸς, παρὰ τὸ φῦναι αὐτὸν ἐκ τῆς κάρας, καὶ τοῦ ὀποῦ τοῦ δένδρου. τὸ γὰρ ἄκρον τοῦ σώματος ἡ κεφαλή. καὶ ἡ τοῦ δένδρου κεφαλὴ τὸ ἄκρον ἐστὶ καρπὸς τὸ καίριον παντὸς πράγματος, ἢ ὁ τοῦ καιροῦ παντὸς ἴδιος καρπός.

Καρπὸς, σημαίνει δύο· τὸν πρὸς ἄμετρον ἡτοιμασμένον ἄσταχυν, καὶ γίνεται παρὰ τὸ κεκάρφθαι, ὃ σημαίνει τὸ ἐξηράνθαι, καὶ ὁ ποτὶ καρπῷ βριθομένη· σημαίνει δὲ καὶ τὸν τῆς χειρὸς καρπὸν, ὡς ἡ χρῆσις μαρτυρεῖ· Ὀδυσσεὺς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρποῦ· πλὴν καὶ τοῦτο ὡς οἶμαι, παρὰ τὸ κάρφος ὃ σημαίνει τὸ ξηρόν·

---

1) v. 159. 160. 2) cf. Reland. diss. misc. P. II. p. 152. 3) Il. II, 117. 4) Omnia hic confusa. vid. Et. M. v. κάρηνον. 5) Il. XXI, 197. 6) Fragment. Callimachi ineditum. Conf. interim p. 456. edit. Ernest.

κατάξηρον γὰρ τῶν λοιπῶν μερῶν ἐστιν ὁ καρπὸς τῆς χειρός.

Καρταμαν, κλωβεῖον, ξύλινον, ἢ σπυρίδιον πλεκτόν.

Καρτερῶ, ἀπὸ τοῦ κράτος κρατερῶ. τοῦτο παρὰ τὸ κραῶ τὸ τελειῶ.

Κάρρων, οἷον, καὶ κάρρων βώς· τρίτος τύπος ἐστὶ τῶν συγκριτικῶν. ὡς παρὰ τὸ βαθὺς, γίνεται βαθύτερος βαθίων, ὁ τρίτος τύπος βάσσων, ἔνθεν παρ' Ἐπιχάρμῳ, βάσσων τὸ χωρίον· ἐλαχὺς ἐλαχίων, ἐλάχιστος, ἐλάσσων, ταχύτερος ταχίων, τάχιστος, ὁ τρίτος τάσσων καὶ θάσσων, βραχὺς βραχύτερος, βραχίων, βράσσων, ὅπερ συνεμπίπτει ἀπὸ τοῦ βραδὺς, διὰ τὸ ἀμαυρῶσαι τὸ σύμφωνον, γλυκὺς, γλυκύτερος, γλυκίων, γλύκιστος, ὁ τρίτος τύπος γλύσσων. κέχρηται δὲ Ξενοφάνης τῷ ὀνόματι, οἷον, γλύσσωνα σῦκα. καὶ πάλιν παχὺς, παχύτερος, παχίων, πάχιστος, ὁ τρίτος τύπος πάσσων· μείζονα τῶν εἰς ἰδέειν, καὶ πάσσονα [1]) ἀντὶ τοῦ μείζονα καὶ παχύτερον. καὶ πάλιν, μακρότερος, οἷον, μῆκος, μηκίων, μήκιστος, ὁ τρίτος τύπος μάσσων, οἷον, ἥσειν, ἢ τοσσοῦτον, οἴομαι, ἢ ἔτι μάσσον [2]), ἀντὶ τοῦ μακρότερον· οὕτως οὖν καὶ κρατὺς, κρατύτερος, κρατίων, κράτιστος, ὁ τρίτος τύπος κράσσων, ὑπερθέσει κάρσων καὶ κάῤῥων, ὡς ἡ μυρσίνη, μυῤῥίνη. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

Καρυκεύουσα, ἡδύνουσα, γλυκαίνουσα. καρύκη γὰρ βρῶμα Λύδιον, ἐκ πολλῶν ἡδυσμάτων συνεστηκός. ἔστι δὲ εἶδος ὑποτρίμματος, ἐκ πολλῶν ἀρτυμάτων συντιθέμενον· καρυκεύειν δὲ τὸ πράττειν.

Κάρφος, παρὰ τὸ ἐξηράνθαι, καὶ καρπὸς, καὶ κατάξηρος στάχυς, καὶ τῆς χειρὸς ὁ καρπὸς, ὀστώδης ὢν καὶ ἄσαρκος. καὶ τὸ καρπῶσαι τὸ καταπαῦσαι τὰ ἐναντιζόμενα.

Κάρτος, νῖκος, ἰσχὺς, κράτος.

Κάρτα, παρὰ τὸ κρατὺς κρατέα, ὡς ταχὺς ταχέα· καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν κάρτα.

Καρύκη, ἕψημά τι δι' αἵματος καὶ ἀρτυμάτων παντοίων. ὁ δὲ Δίδυμος Λύδιον βρῶμα φησὶν εἰς πολυτελοῦς σκευασίας συγκείμενον· ἐγὼ δὲ οἶμαι καρύκην αὐτὴν λέγεσθαι, ἐπειδὴ μέλαν ἔστι. φησὶ γὰρ ἐν τῷ κωμικῷ λέγεσθαι οὕτω, καρύκειον καρυοβαφεύς. καὶ κάρυος ῥοῦς ὁ μέλανος ῥόος, οὔκουν ἐκ τούτου οἶμαι λέγειν καρύκην. Ὧρος.

Καρχαρόδους, τὰ ζῶα, τοὺς κεχαραγμένους ἔχοντας τοὺς ὀδόντας· τουτέστι στρογγύλους καὶ ὀξεῖς, καὶ ἐναλλάσσοντας ἑαυτῶν, ὡς λύκος, λέων, πάρδαλις· εἴρηται παρὰ τὸ χαράσσω, ῥῆμα, ὅπερ ἐν συνθέσει μετὰ τοῦ ὀδοὺς γίνεται χαρόδους καὶ κατ' ἀναδιπλασιασμὸν χαρχαρόδους καὶ καρχαρόδους. ἀμφόδοντα δὲ λέγονται ζῶα, ὅσα οὐκ ἐνηλλαγμένους ἔχουσι τοὺς ὀδόντας, στρογγύλους καὶ ὀξεῖς, ἀλλὰ παχεῖς καὶ πλατεῖς, ὡς ἐστιν ἄνθρωπος, ἵππος καὶ τὰ ὅμοια. χαυλιόδοντα δὲ ὅσα ἔξωθεν ἔχει τοὺς ὀδόντας ὑπερφανεῖς, ὡς ἔστι σῦς, ἐλέφας, ἀπάλαξ.

Κασσαβὰς, εἴρηται ἡ πορνὴ, παρὰ τὸ καλὸν καὶ σεβεῖν.

Κασίγνητος, καὶ αὐτοκασίγνητος, ποίου σχήματος; συνθέτου. σύνθετον δέ ἐστι τὸ ἐκ δύο ἢ καὶ πλειόνων λέξεων συγκείμενον. τοῦ γὰρ παρασυνθέτου κατὰ τὸ τέλος γίνεται κίνησις· οἷον, Φίλιππος, Φιλιππίζω· τὸ δὲ κατ' ἀρχὴν γινόμενον, μένει ὡσαύτως σύνθετον. γίνεται δὲ τὸ κασίγνητος, ἐκ τοῦ κάσου, ὃ σημαίνει τὸν ἀδελφὸν καὶ τοῦ γνητὸς, τοῦτο ἐκ τοῦ γεννα, κασίγνητος· Ἡσίοδος [3]), μὴ δὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον, εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς, μηδὲ ψεύδεσθαι γλώσσης χάριν, εἰ δέ κεν ἄρχῃ ἤ τε ἔπος εἰπὼν ἀποθύμιον, ἠὲ καὶ ἔρξας, δὶς τόσα τίνυσθαι μεμνημένος, εἰ δέ κεν αὖθις ἡγεῖται φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν, δέξασθαι, δειλός τοι ἀνὴρ φίλον ἄλλοτ' ἐς ἄλλον ποιῆσαι, σὲ δὲ μή τι νόος κατελεγχέτω εἶδος, μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι, μηδὲ κακῶν ἕταρον, μηδ' ἐσθλῶν νεικεστῆρα. σχεδὸν [4]) τοῦ ἀδελφοῦ μου μὴ προτίμα τὸν φίλον σου. ἐὰν δὲ καὶ ποιήσῃς φίλον, μὴ σὺ πρῶτον αὐτὸν ἀτιμάσῃς. μηδὲ καταψεύσῃς αὐτόν. ἐὰν δὲ αὐτὸς ἀρχὴν ποιήσῃ τοῦ ἀτιμάσαι σε, διπλάσιον αὐτῷ κακὸν ἀπόδος, μεμνημένος ὧν εἰς σὲ διεπράξατο. ἐὰν δὲ πάλιν βουληθῇ διαλλαγῆναι καὶ φιλιωθῆναί σοι, καὶ προσπέσῃ σοι, δέξαι αὐτόν. ἄθλιος γὰρ ἐκεῖνος, ὅστις ἀπὸ τούτου εἰς τοῦτον μεταβαίνει φίλον. σὺ δὲ ὑπερέχων καλὴν ἰδέαν, μὴ ἔσο μωρὸς, ἵνα μὴ ἡ μωρία σου, ἀτιμάσῃ τὴν ἰδέαν σου· μηδὲ πολύξεινον, εὐκαταφρόνητον γὰρ τοὺς πολλοὺς ξενίζειν, τὸ δὲ ἄξεινον φιλιῶδες. μὴ δὲ κακοὺς εἴπῃς τοὺς ἀγαθούς· εἴρηται κασίγνητος παρὰ τὸ κάσις ὁ ἀδελφὸς καὶ τὸ γνὴς γνητὸς, ὃ σημαίνει τὸν γνήσιον· καὶ ὀγνῆται οἱ ῥόδιοι.

Κάσις, ἀνηλικιώτης ἀδελφός.

Κασσίτηρος, ὁ τὴν κόσμησιν τηρῶν· ἢ ὁ κοσμῶν καὶ λαμπρύνων.

Κασία, εἶδος μυρεψικοῦ. γέγονε δὲ παρὰ τὸ κάζω τὸ κοσμῶ, οὗ ὁ μέλλων κάσω, καὶ ἐξ αὐτοῦ πλεονασμῷ τοῦ ι, κασία, ἡ κοσμοῦσα διὰ τῆς εὐοσμίας τὰς αἰσθήσεις.

Κάσσα, ἡ πόρνη, ἡ κατωφέρης· παρὰ τὸ καίω καύσω, κάσσα. Λυκόφρων, λείποντος κάσσης ἐκβαλὼν πελειάδος [5]).

Καστρίσιον, πεκούλιον ἰδιόκτητον, ἐξ οὗ καὶ κάστρον.

Καστορα θ' ἱππόδαμον, πόσα σημαίνει; δύο· ὄνομα κύριον, καὶ τὸ ζῶον· καὶ γίνεται παρὰ τὸ κάζω τὸ κοσμῶ. τὸ δὲ ζῶον παρὰ τὸ γαστὴρ γάστωρ καὶ κάστωρ, ὑπογάστριον γὰρ τὸ ζῶον, καὶ σχεδὸν ὅλον κοιλία.

Κασωρὶς, ἡ πορνὴ, ἡ κατωφέρης· κασσαβὰς λέγεται ἡ πόρνη, παρὰ τὸ καλεῖν καὶ σοβεῖν· ἐξ αὐτοῦ γίνεται κατὰ παρασχηματισμὸν κασωρίς. Λυκόφρων [6])· ὅταν κόρη κασωρὶς εἰς ἐπείσιον χλεύην ὑλακτήσασα κηκάσῃ γάμους νυμφεῖα πρὸς κηλοστὰ βαρβάρων τελεῖν. ἐπείσιον σημαίνει δὲ τὸ γυναικεῖον καὶ ἀνδρεῖον αἰδοῖον· κηλοστὰ δὲ τὰ ἀκόλαστα. τὸ ἑξῆς. ὅταν ἡ τοῦ Νηλέως θυγάτηρ τύπτουσα εἰς τὸ αἰδοῖον χλευάσῃ τὰ νυμφεῖα, πρὸς τὰ τῶν βαρβάρων κηλοστὰ [7]), τουτέστιν εἰς τὴν παρὰ τὴν κάρβασιν κοινοὺς τόπους, ἐν οἷς αἱ ἑταιρίδες διατρίβουσι· κηλοστὰ γὰρ ἐκαλοῦντο.

Κατὰ βόστρυχος, κοσμῶν τοῖς βοστρύχοις· τὸ γὰρ κατὰ πλήθους ἐμφαντικόν ἐστιν.

Καταράκτης, ἐκ τοῦ ῥάσσω τὸ φθείρω, ῥάκτης καὶ καταράκτης.

---

1) μείζονα — πάσσονα Od. VI, 230. et Schol. 2) οἷον — μάσσον Od. VIII, 203. 3) Ἔργ. 707—716. 4) L. σχόλιον. 5) Lycophr. v. 131. 6) vs. 1385—1387. 7) cf. Schol. ad Lycophr.

Καταπέψῃ, ἐκ τοῦ πέπτω τὸ δαπανῶ καὶ μαγειρεύω· ἀορίστου πρώτου ὑπερσυντελικοῦ παθητικοῦ, δευτέρου προσώπου· ἐὰν πέψωμαι, ἐὰν πέψῃ, ἀπεψίαν πέπονθεν ἐξ ἀπληστίας.

Κατάπληξις, εἰς τὸ ἐκπάγλως, καὶ Φόβος.

Καταρδεῖν, εἰς τὸ δραθεῖν.

Καταρτίζω, ἁρμόζω· ἐκ τοῦ ἀρτῶ ἀρτίζω.

Κάτα, ἀπὸ τοῦ καὶ συνδέσμου, καὶ τοῦ εἶτα ἐπιῤῥήματος γίνεται, καὶ ἀποβολῇ τῶν δύο ι ι κάετα, καὶ κράσει κᾶτα.

Κατάγαγε, κατάβαλε· ἔστι κατάγω, ὁ β ἀόριστος κατῆγον, καὶ διὰ τὸ μὴ εἶναι τὴν παραλήγουσαν Φύσει μακράν.

Καταιγίς, ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ αἶξ αἰγὸς, καταιγίς. τὸ δὲ αἶξ παρὰ τὸ αἴσσω τὸ ὁρμῶ.

Καταίρειν, ἀντὶ τοῦ ἀναχωρεῖν καὶ ἀποπλεῖν, ἀπὸ τοῦ συμβαίνοντος. συμβαίνει γὰρ ἀποπλεούσης τῆς νέως, αἴρειν τὰ ἱστία. τὸ δὲ καταίρειν συντάσσεται μετὰ πτώσεως γενικῆς.

Καταποντωθῆναι, κινδυνεῦσαι. κλυδώνισμα ὁ κίνδυνος.

Καταιγὶς, ἡ μεγάλη πνοὴ, συντίθεται ἐκ τῆς κατὰ προθέσεως, καὶ τοῦ αἰγὶς ὄνομα, ὃ σημαίνει τὸν ἄνεμον. ἢ ἀπὸ τοῦ καταιγίζειν τοῖς ἀνέμοις καὶ πνεύμασι τὸν Δία. λέγουσι γὰρ αὐτὸν τῶν ἀνέμων δεσπότην εἶναι οἱ Ἕλληνες, ὃς καλεῖται αἰγιοῦχος· ἢ ἀπὸ μεταφορᾶς τοῦ ζώου. ὁ γὰρ Ζεὺς αἶξ αἰγὸς σκεπαστήριον ἀνεδύετο· καὶ εἰς τὸ αἰγιοῦχος.

Κατάλληλον, ὄνομα, παρὰ τὸ ἀλλήλοις ἐοικέναι.

Κατὰ κόῤῥης· κατὰ κόῤῥης λέγεται τὸ τὴν σιαγόνα πλῆξαι· ὁ δὲ Ἐρατοσθένης ἅπασαν τὴν τῆς κεφαλῆς πληγήν· κόρσην γὰρ τὴν κεφαλὴν λέγουσι. μεταβεβλῆσθαι δὲ τὸ σ εἰς ρ Ἀττικῶς, ὡς ἐπὶ τῆς μυῤῥίνης καὶ ταῤῥοῦς, ἔστι γὰρ μυρσίνη καὶ ταρσός.

Κατακύστιν, κατὰ τὴν Φύσιν, ὅπερ ἐστὶν οὐροδόχον ὄργανον.

Κατάκρας, ἀντὶ τοῦ κατὰ κράτος, ἀπὸ τοῦ ἀκὴ, ὃ σημαίνει τὴν ὀξύτητα, ἄκα, καὶ πλεονασμῷ τοῦ ρ ἄκρα.

Κατάντημα, ἀπάντημα καὶ τέλος ὁδοῦ· ἐκ τοῦ καταντάω καταντήσω.

Καταργῶ, σημαίνει τὸ ἀποπαύω. ὡς τὸ κατηργήθη ὁ νόμος, ἀντὶ τοῦ ἀπεπαύθη, ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ ἀργῶ· τοῦτο δὲ ἐκ τοῦ ἀργὸς ὃ σημαίνει τὸν ἄπρακτον, ὅπερ ἀπὸ τοῦ ἄεργος, κατὰ συγκοπήν.

Κατατρύχων, μετοχή. τὸ ῥῆμα τοῦτο ἐστι βαρύτονον καὶ περισπώμενον· τὸ δὲ περισπώμενόν ἐστι τρίτης συζυγίας τῶν περισπωμένων, τρυχῶ, ἐξ οὗ γίνεται μετοχὴ παθητικὴ τετρυχωμένος. Φέρεται τὸ αὐτὸ καὶ βαρύτονον, οἷον, τρύχω τρύχεις, καὶ διὰ τὴν εὐρυθμίαν ἐνταῦθα τῆς συνθήκης βαρυτόνως ἀναγνωστέον τὸ ῥῆμα. καὶ ἀπὸ μὲν τοῦ τρυχοῖς τρυχοῖ, τετρυχωμένος, ἡ παθητικὴ μετοχή· ἀπὸ δὲ τοῦ τρύχω βαρυτόνου τρυχόμενος ἡ μετοχή· τέτρυμμαι γάρ ἐστι, ὅπερ ἐκεῖ τὸ τετρύχωμαι.

Καταθύμιος, κατὰ ψυχὴν, κατὰ νοῦν.

Καταΐγδην, ἀπὸ τοῦ καταΐσσω, ἡ εἰς τὸ ἔμπροσθεν ὁρμῶσα καὶ ἀΐσσουσα. οἷον, ἡ δ' ἄφαρ ὥστε κύλινδρος ἐπέτρεχε κύμασι λάβρα, προπροκαταΐγδην κοίλης ἁλός· ἐν δ' ἄρα μέσσαις.

Κατακᾶσα, ἡ κατωφερὴς καὶ πορνή. Καλλίμαχος· σκύλα γυνὴ κατακᾶσα καὶ οὐ ψύθος οὔνομ' ἔχουσα [1]. εἴρηται ἢ παρὰ τὸ καταχέεσθαι ἐπὶ παντί· ἢ ἡ τοῦ καυθῆναι ἀξία διὰ τὴν ἀσέλγειαν.

Κατάκλεις, κλεὶς καὶ κατάκλεις, ἀπὸ τοῦ ἐγκεκλεῖσθαι μέχρι αὐτῆς τὰ ἐντός. καὶ αἱ μὲν τοῦ σώματος ἐπικλεῖδες εἴρηνται, διὰ τὸ ἐπικαμπεῖς εἶναι, καὶ ἐοικέναι ταῖς τῶν θυρῶν κλεῖσι. καὶ ὅτι μέχρι αὐτῆς τὰ ἐντὸς ἐγκλείονται, παρὰ τὸ κλείς. κατακλεῖδας ἐπὶ τῶν ἐρεσσόντων, ὅτι ἐπ' αὐταῖς ἐζόμενοι τὸ σῶμα ἕλκων.

Καταδημοβοιῆσαι, κατακλῶσαι.

Κατακλῶσθαι, αἱ ἐπικλώσεις τῶν Μοιρῶν, παρὰ τὸ κλώθω· τοῦτο δὲ παρὰ τὸ κάτω καθέλκειν τοὺς τῶν νημάτων ὁλκούς· κλώθουσι γὰρ καὶ νήθουσιν· ὅθεν καὶ κλῶσις παρὰ τὸν κλώσω μέλλοντα εἴρηται.

Καταῖτυξ, εἶδος περικεφαλαίας μὴ ἐχούσης λόφον κατωφεροῦς ἀλλὰ κοίλης οὔσης, κάτω νευούσης, παρὰ τὸ κάτω τετύχθαι, ὡς πρὸς τὴν ἀλώπιδα τὴν ἀνάστασιν ἔχουσα.

Καταφυγὴ, προσφυγὴ, ἐκ τοῦ φεύγω φυγὴ καὶ καταφυγή.

Κάτεισι, παρὰ τὸ κάτω καὶ τὸ εἶμι, τὸ πορεύομαι, γίνεται κάτειμι, τὸ δεύτερον κάτεις, τὸ τρίτον κάτεισιν, ἤγουν κάτωθεν ἦλθεν.

Καταδίκασεν ὁ διαιτητὴς, κατεδικάσθη ὁ καταδικαστὴς, καταδικάσατο ὁ ἀντίδικος.

Κατασκηνώσεις, τρίτης συζυγίας τῶν περισπωμένων. γίνεται δὲ παρὰ τὸ σκηνῶ, τοῦτο παρὰ τὸ σκῆνος, τοῦτο παρὰ τὸ σκήνη. τοῦτο παρὰ τὸ σχῶ σχήσω, σχῆνος καὶ σκῆνος. καὶ ἐξ αὐτοῦ σκήνη· ὡς [illegible] ῥήσω Ῥῆσος. ἔστι δὲ τοῦτο τὸ ὄνομα κύριον. βασιλικόν.

Κατακυριεῦσαι, ἐκ τοῦ κατακυριεύω· τοῦτο ἐκ τοῦ κύριος. διαφέρει δὲ κύριος δεσπότου. κύριος μὲν λέγεται, ὁ ἐπὶ μητρὸς καὶ παίδων πατήρ· δεσπότης δὲ ὁ ἐπὶ ἀργυρωνητῶν.

Καταρχὰς, ἀρχὴ σημαίνει τρία· πρῶτα μὲν τὴν προάναρχον ἀρχήν· καὶ τὴν χρονικὴν ἀρχὴν, τὴν ἐπὶ τοῖς πράγμασι ἡμῶν ἐπιβαλλομένην, καὶ τὴν βασίλειαν ταύτην· καὶ τὴν εἰς τοὺς ἀρχομένους καθόλου ἐπιστασίαν.

Καταβήσεται, ἐκ τοῦ βίβημι βήσω, βήσομαι βήσῃ βήσεται, καὶ καταβήσεται· τοῦτο παρὰ τὸ βῶ τὸ βαίνω.

Κάττα, παρὰ τὸ ἄττω τὸ πηδῶ γίνεται ἄττα· καὶ προσθέσει τοῦ κ κάττα.

Κατακάθετον, ἀπὸ βάθους εἰς ὕψος διάστημα.

Κατακερματίζει, καταμερίζει.

Καταφιλοσοφῶν, διὰ σιγῆς νικῶν.

Καταδυόσαντες, πολεμήσαντες, προδοσαντες.

Κατάπληξις, ἔστι φόβος ἐκ μεγάλης φαντασίας.

Καταγλωττίζει, περιέργως καταφιλεῖ.

Κατακρῆθεν, παρὰ τὸ κάρη ὀξυνόμενον γίνεται καρῆθεν· καὶ κατὰ συγκοπὴν κρῆθεν. τοῦτο καὶ Ἡσίοδος ἐξεδέξατο εἰπών· τῆς καὶ ἀπὸ κρῆθεν, βλεφάρων [2].

Κατὰ μῆρ' ἐκάη. Πτολεμαῖος ἐν τελευταίῳ. παραλαμβάνει μῆρε, ἵνα Ἰωνικῶς ἐκάη, μεταπλασμὸν γὰρ λέγει ἐκ τοῦ μῆρα μῆρε, ὡς τὸ ὄσσα ὄσσε, καὶ ὄψα ὀψέ· οὐκ ἔχυρον δὲ τοῦτο, ἀλλὰ μᾶλλον ἀπόκοπην φαμὲν τοῦ μῆρα, ἅπερ εἰσὶ τὰ ἁγιαζόμενα τοῖς θεοῖς· τὸ δὲ μῆρα ἀπὸ τοῦ μηρία κατὰ συγκοπήν.

1) Vid. p. 510. ed. Ernest. 2) Asp. 7.

Κατεμύξατο, κατημάτωσε, κατέξυσεν· εἰς τὸ ἀμύσσω ἡ ἐτυμολογία.

Καταπροΐξασθαι, ἀπὸ τοῦ προικὸς, ἣν διαιροῦντες οἱ Ἴωνες προῖκα λέγουσιν· ὥσπερ οὖν ἡ προὶξ δωρεὰν δίδοται· οὕτω φασὶν, οὐ δωρεὰν ἐμοῦ καταγνώσεταί τις. ἀλλ᾽ ἀποδώσει μισθὸν ὧν ἔπραξα. καὶ ἐπαίτης, καὶ ὁ προῖκα αἰτῶν προΐκτης λέγεται. οὕτως εὗρον ἐν ὑπομνήματι ἐπῳδῶν Ἀρχιλόχου.

Κατάσχεσιν, ἀπὸ τοῦ σχῶ, σχέσις καὶ κατάσχεσις.

Καταχήνη, ἡ χάσμησις, παρὰ τὸ χαίνω ῥῆμα γίνεται χήνη καὶ καταχήνη.

Καταψήχειν, τὸ ἠρέμα κολακεύειν καὶ κρατεῖν. εἴρηται ἀπὸ τοῦ καταψῶ καταψήσω, καὶ ἀνεδόθη εἰς ἓν καταψήχω. τὸ δὲ καταψῶ σύνθετον ἀπὸ τοῦ ψῶ καταψῶ, καὶ τοῦ ψαύω. καὶ ἐκ τούτου τὸ ψήχω. καὶ τὸ ἠμφιεσμένον ἐν αὐτῷ.

Καταθρῆσαι, ῥᾷον κατιδεῖν, εὐχερῶς.

Κατακερτομοῦντες, καταφλυαροῦντες, λοιδοροῦντες, σκώπτοντες.

Καῦμα, οἱονεὶ τὸ κεκαυμένον ἄημα.

Κατέκταθον, ἀπὸ τοῦ κτείνω, κτενῶ, ἀόριστος παθητικὸς ἐκτάνθην, ὡς φαίνω ἐφάνθην. τὸ πρῶτον τῶν πληθυντικῶν ἐκτάνθημεν ἐκτάνθητε, ἐκτάνθησαν ἔκτανθεν, ὡς ἐφάνθημεν, ἐφάνθησαν, ἔφανθεν. ἢ ἔστιν ἕτερον θέμα κτῶ, ὁππότε κεν τοῦτον κτέομεν· ἀπὸ τούτου γίνεται παράγωγον τῶν εἰς μι, κτῆμι. ὁ β ἀόριστος ἔκτην, ὅπερ γίνεται ἔκταν, οἷον, τὸν σὸν κατέκταν παῖδα. καὶ πάλιν· ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν. τὸ δεύτερον ἔκτας, τὸ τρίτον ἔκτα, οἷον, Ζεὺς ὃς κατέκτα. ἡ μετοχὴ κτὰς ἄνδρα κατακτὰς, ὁ μέσος ἀόριστος ἐκτάμην, ὡς ἔφην ἐφάμην, τὸ τρίτον ἔκτατο καὶ ἀπέκτατο. δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος, ὁ β ἀόριστος ἐκτάθην, ὡς ἐφάθην, τὸ πρῶτον τῶν πληθυντικῶν ἐκτάθημεν, ὡς ἐφάθημεν, τὸ τρίτον ἐκτάθησαν ὡς ἐφάθησαν, καὶ ἔκταθεν· ἕταροι δὲ κατεκτάθη.

Κατ᾽ ἐμαυτὸν, ἰστέον, ὅτι ἡ εὐθεῖα τούτων ἡ ἐμαυτὸς εἶχεν εἶναι, ὡς ἐγαυτὸς καὶ ἐμαυτὸς μὲν ὅτι πᾶσα σύνθετος ἀντωνυμία θέλει εἶναι, καὶ ὁμοιόπτωτος, καὶ ὁμοιοπρόσωπος, καὶ ἰσάριθμος, οἷον, τὸ ἐμαυτοῦ ἐστιν ἀπὸ τοῦ ἐμοῦ αὐτοῦ· τὸ δὲ ἐμαυτοῦ καὶ ἰσάριθμόν ἐστι καὶ ὁμοιόπτωτον, καὶ ὁμοιοπρόσωπον. ἀμφότερα γὰρ τὸ, τε ἐμοῦ καὶ αὐτοῦ ἑνικά ἐστι, καὶ τρίτου προσώπου καὶ πτώσεως γενικῆς. ἐὰν οὖν γένηται ἡ εὐθεῖα τούτων ἐμαυτὸς, ἔμελλεν ἂν εἶναι ὁμοιόπτωτος, ὅπερ ἐστὶν ἀδύνατον ἐπὶ συνθέτου ἀντωνυμίας· τὸ γὰρ αὐτός ἐστιν ἡ εὐθεῖα, τὸ δὲ ἐμὲ οὐκ ἔστιν ἡ εὐθεῖα· ἀπὸ γὰρ τοῦ ἐμὸς οὐκ ἠδύνατο γενέσθαι, ἐπειδὴ οὐδέποτε κτητικὴ ἀντωνυμία ποιεῖ σύνθετον ἀντωνυμίαν. ἀπὸ γὰρ τῶν πρωτοτύπων ἀντωνυμιῶν γίνονται αἱ σύνθετοι ἀντωνυμίαι, οἷον ἐμοῦ, αὐτοῦ ἐμαυτοῦ, ἐμοὶ αὐτῷ ἐμαυτῷ, ἐμὲ αὐτὸν ἐμαυτόν. ἐμαυτὸν δὲ οὐκ ἠδύνατο εἶναι· ἐπειδὴ αἱ σύνθετοι ἀντωνυμίαι πρότερον ἐν τῇ ἁπλότητι τὰς δύο συνθέσεις ἀναδέχονται, τήν τε αὐτοπαθῆ καὶ τὴν ἀλλοπαθῆ καὶ οὕτω συντίθεται· οἷον, ἐμοῦ ἤκουσας, καὶ αὐτοῦ ἤκουσα. διὰ τοῦτο γὰρ ἐπενοήθησαν αἱ σύνθετοι ἀντωνυμίαι, ἵνα καὶ διάκρισιν ποιήσωσι τοῦ ἀλλοπαθοῦς, καὶ σχῶσι τὸ αὐτοπαθὸν μόνον, αἱ δὲ ἁπλαῖ τὸ ἀλλοπαθές. τὸ οὖν ἐγὼ αὐτὸς, ἐπειδὴ ἐν τῇ ἁπλότητι οὐκ ἐπιδέχεται τὰς δύο συντάξεις, τήν τε αὐτοπαθῆ καὶ ἀλλοπαθῆ, εἰκότως οὐ δύναται ποιῆσαι σύνθετον ἀντωνυμίαν. ὅτι γὰρ ἡ ἐγὼ αὐτὸς τὴν ἀλλοπαθῆ μόνην ἔχει, καὶ οὐχὶ τὴν αὐτοπαθῆ, δῆλον ἐντεῦθεν· λεγόντων γὰρ ἡμῶν ἐγὼ αὐτὸς ἤκουσα, λέγοντός τινος ἆρα Σωκράτους, ἆρα Ἀλκιβιάδου· ὥστε οὖν ἀλλοπαθής ἐστιν, αὐτοπαθὴς δὲ οὐ δύναται εἶναι ἡ ἐγὼ αὐτὸς, ἐπειδὴ οὐδέποτε εὐθεῖα εἰς εὐθεῖαν δρᾷ, ἤγουν, ἐνεργεῖ. οὐδεὶς γὰρ λέγει Σωκράτης Πλάτων ἤκουσεν, ἀλλὰ Σωκράτης Πλάτωνος ἤκουσεν. ἐπεὶ οὖν ἐν τῷ ἐγὼ αὐτὸς εὐθεῖαι εἰσι δύο ἡ ἐγὼ καὶ αὐτὸς, τούτου χάριν οὐ δύνανται εἶναι αὐτοπαθεῖς. τοιαῦτα ἔχομεν εἰπεῖν, καὶ περὶ τοῦ μὴ δύνασθαι συστῆναι τὸ ἐγὼ αὐτὸς, εὐθεῖαι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν· οὕτω ζήτει.

Καταρραψῳδεῖ, καταφλυαρεῖ.

Κατάφασις, λόγος ἀποφαντικός.

Καταγορεύει, κακολογεῖ, καταλαλεῖ.

Καΰστριος. τὸ στρι, ἰῶτα διάτι; ὡς κάπριος· ἔστι δὲ ἐκ Καΰστρου. Κάϋστρος δέ ἐστιν υἱὸς Πενθεσιλείας τῆς ἀμαζόνης, ὃς ἐν Ἀσκάλωνι ἔγημε τὴν Δαρκετὼ, καὶ ἐξ αὐτῆς ἔσχε τὴν Σεμίραμιν, ἥτις καὶ τὰ Βαβυλώνια τείχη κατεσκεύασε. λοιπὸν δὲ Καΰστριος καὶ γράφεται διὰ τοῦ ἰῶτα, ἢ ὅτι τὰ εἰς ος, διὰ τοῦ ιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παρῆγμένα [1]).

Κατοίκισις καὶ κατοίκησις διαφέρει. κατοίκισις μὲν διὰ τοῦ ἰῶτα ἐστιν ἡ ὑφ᾽ ἑτέρων γινομένη ἵδρυσις, παρὰ τὸ οἰκίζω. κατοίκησις δὲ διὰ τοῦ η ὅταν αὐτοὶ ὑφ᾽ ἑαυτῶν οἰκήσωσι πόλιν τινὰ καταλαβόντες.

Κατοικεσία. ἐκ τοῦ κατοικῶ, κατοικήσω, κατοικησία, καὶ τροπῇ τοῦ η εἰς ε κατοικεσία.

Κατεπόθησαν, τὸ θέμα πῶμι, πώσω, πέπωκα, πέπωμαι, ὁ ἀόριστος ἐπόθην, τὸ πληθυντικὸν ἐπόθησαν, καὶ μετὰ τῆς κατὰ προθέσεως κατεπόθησαν. καὶ εἰς τὸ πῶμι.

Καυχήσονται, παρὰ τὸ καυχῶ καυχήσω, τοῦτο παρὰ τὸ καῦχος. τοῦτο παρὰ τὸ εὖχος, τοῦτο παρὰ τὸ εὔχω τὸ καυχῶμαι. ἢ παρὰ τὸ αὐχήν.

Καχεξία, ἡ ἀρχὴ τῶν λοιμικῶν νόσων. γίνεται ἐκ τοῦ καχέκτης.

Καχέσπερος, ἐκ τοῦ κακεσπέρου. τοῦτο ἐκ τοῦ κακὸς καὶ τοῦ ἕσπερα, ὃ σημαίνει τὸ σκότος, γίνεται κακέσπερος· καὶ ἐπεὶ ψιλὰ ψιλῶν προηγοῦνται, ἐτράπη τὸ κ εἰς χ, καὶ συγκοπῇ τοῦ ο καχέσπερος, σημαίνει δὲ τὴν κακίστην καὶ σκοτεινὴν νύκτα τῆς ἁμαρτίας.

Κατεκήλησε, κατεπράϋνε, κατέθελξε ἢ κατεμάρανε· καὶ κηληθμὸς λέγεται ἡ διὰ τῆς ἀκοῆς ἡδονὴ καὶ θέρψις. εἴρηται παρὰ τὸ χαλήθυμός τις ὢν, καὶ συγκοπῇ χαληθμὸς, καὶ τροπῇ κηληθμός. τὸ δὲ κηλῶ παρὰ τὸ χαλῶ, ἢ παρὰ τὸ χῶ, ὁ μέλλων χήσω· καὶ ἐξ αὐτοῦ χηλῶ καὶ κηλῶ· οἱ γὰρ παραγενόμενοι διακεχυμένοι καὶ ἐφηπλωμένοι γίνονται.

Κατέλευσαν, ἀντὶ τοῦ ἔχωσαν λίθοις, τὸ θέμα καταλεύω, τὸ κατά τινας λᾶας βάλλω ἤγουν λίθους. ὁ ἀόριστος κατέλευσα, καὶ τὸ τρίτον τῶν πληθυντικῶν κατέλευσαν. γίνεται ἐκ τῆς κατὰ προθέσεως, καὶ τοῦ λᾶας, ὃ σημαίνει τὸν λίθον.

Κατήριπτο, ἔστι τὸ θέμα ῥίπτω ὃ σημαίνει τὸ πίπτω·

[1]) Reliqua canonis omissa.

ἤριπε δ' ὡς ὅτε τις δῦς [1]). σημαίνει δὲ τὸ καταβάλλω· ῥεῖ ὄχθας κατέτοιο βαθείης ποσὶ καὶ χερσὶν ἐρίπτων [2]), ἀντὶ τοῦ καταρίπτων καὶ καταβάλλων. οὐ γίνεται παθητικὸν ἐρίπτομαι ἀντὶ τοῦ καταβάλλομαι, καὶ ἤριμμαι παθητικὸς παρακείμενος· καὶ ἠρίμμην ὑπερσυντελικὸς ἤριπτο· κατὰ Ἀττικὸν διπλασιασμὸν ἐρήριπτο, καὶ κατὰ συστολὴν ἐρέριπτο.

Κατηρτίσω. ἐκ τῆς κατὰ προθέσεως, καὶ τὸ ἄρτιον, ὃ σημαίνει τὸ ὑγιές.

Κατεπανουργευσαντος, ἐκ τοῦ πανουργεύω· τοῦτο παρὰ τὸ πανοῦργος, τοῦτο παρὰ τὸ εἰς πᾶν ἐνεργῆσαι καὶ πρᾶξαι. πόσα σημαίνει πανοῦργος; δύο· τὸν φρόνιμον καὶ νοήμονα ἐπὶ καλοῖς· σημαίνει δὲ καὶ τὸν κακοποιεῖν δυνάμενον, διὰ τῆς αὐτοῦ σοφίας καὶ κακίας.

Κατέστυξαν, ἐφόβησαν, ἐφοβήθησαν, ἀπὸ τοῦ στύγω ἢ στυγῶ ἐξ οὗ καὶ στυγνὸς, παρὰ τὸ στύγω ἢ τὴν στῦγα. οἱ γὰρ ἀρχαῖοι τὰ μὲν ἀειδῆ καὶ λυπηρὰ ἀπὸ τῶν ψυχῶν ὠνόμαζον, τὰ δὲ ἡδέα καὶ τερπνὰ ἀπὸ τῶν θερμῶν. τὸ δὲ στύγειν ἀπὸ τοῦ στυγὸς, ἥπερ μυθεύεται ψυχρότατον παρέχειν ὕδωρ. ὁμοίως ὁ στυγνὸς παρ' αὐτὸν εἴρηται· τὴν δὲ θέρψιν θαλπωρεῖν, καὶ τὸ τέρπεσθαι ἰαίνεσθαι· καὶ φόβου κρυόεντος, ἀπὸ τοῦ κρύους τοῦ ψυχροῦ.

Κατέχευε· κατεξέχεε, καταχεθῆναι ἐποίησε.

Κατενῶπα, ὡς κατὰ δῶμα, ἀπὸ εὐθείας τῆς ὤψ, ἥτις ἔχει τὴν αἰτιατικὴν ὦπα. ὁ δὲ Ἀλεξίων καὶ πλείους κατενῶπα, οἷς καὶ δεῖ πείθεσθαι, ἵνα ᾖ ἀπὸ τοῦ ἐνώπια, καὶ ἐν συγκοπῇ ἐνῶπα. καὶ τῷ Ἀριστάρχῳ τοῦτο ἐστιν ἐνώπη ἡ πρόσοψις. παρ' ἣν ἡ αἰτιατικὴ ἐνώπην. ὃν οὖν τρόπον τὴν ἰωκὴν ἰῶκα εἶπε μεταπλάσας, οὕτως οὖν καὶ τὴν ἐνώπην ἐνῶπα.

Κατέρεξε, κατέψηξε, κατεπράϋνε.

Κατηγορεῖν, λέγεται κοινῶς, τὸ κατά τινος ἀγορεύειν, οἷον, ὡς τὸ γένος λέγομεν κατηγορεῖσθαι τῶν εἰδῶν· κατηγορεῖν δὲ λέγομεν καὶ τοὺς περί τινων ἀδικεῖν λέγοντας. Ὧρος καὶ ζήτει.

Κατηλυσίη, οἷον, κατηλυσίη ζεφύροιο, σημαίνει δὲ τὴν κάθοδον καὶ τὴν ἐπέλευσιν, ἐλευσίη τις οὖσα, καὶ ἐλυσίη καὶ ἠλυσίη, καὶ μετὰ τῆς κατὰ προθέσεως γέγονε κατηλυσίη.

Κατήρεε, κατελάμβανε, παρὰ τὸ ἐρῶ περισπώμενον. ὃ σημαίνει τὸ καταλαμβάνω· μηδέ σε λήθη αἱρείτω.

Κατηφὴς, ὁ ὑπὸ αἰσχύνης κάτω νεύων τοὺς ὀφθαλμοὺς, ἤγουν αἰσχυνόμενος. παρὰ τὸ φῶ τὸ φαίνω, γέγονε παράγωγον φάω καὶ φαὸς, καὶ ἐν συνθέσει μετὰ τῆς κατὰ προθέσεως καταφαής· καὶ τροπῇ τοῦ α εἰς η καὶ ἐν συγκοπῇ κατήφης, ὁ ἔχων κάτω τὰ φάη, ἤγουν τοὺς ὀφθαλμούς· ἐξ οὗ καὶ τὸ θηλυκὸν ἡ κατήφεια.

Κατηφόνες, αἰσχύνης μεστοὶ, ἀπὸ τοῦ κατηφής· θηλυκὴν γὰρ προσηγορίαν ὀνειδίσαι αὐτοὺς ἠθέλησεν.

Κατηγορία, ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ ἀγορεύω καταγορία καὶ κατηγορία. σημαίνει δὲ τὸ λέγειν περί τινος, κατά τινος.

Κατεπόντισε, παρὰ τὸ ποντίζω, τοῦτο παρὰ τὸ πόντος. τοῦτο παρὰ τὸ πῶμι, πώσω, πέπωκα, πέπομαι πέποται πέποται. ἢ παρὰ τὸ πίνω, ὁ πίνων τοὺς κινδυνεύοντας.

Κατεῤῥαγμέναι, ἐκ τοῦ ῥήσσω, ῥήξω, ἔῤῥαχα, ἔῤῥαγμαι καὶ κατεῤῥαγμένος.

Κατήφεια, ἀπὸ τοῦ τὰ φάη κάτω βάλλειν τὸν ὀνειδιζόμενον ἢ λυπούμενον.

Κατ' ἰσχίον, τὸ ὑπὸ τὴν ὀσφῦν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται, καὶ κοτύλη, παρὰ τὴν κοιλότητα.

Καταῤῥωδηκότες, πεφοβημένοι, ἀπὸ τοῦ ὀῤῥωδῶ. τοῦτο παρὰ τὸ ῥῶ, οὗ παράγωγον ῥώζω, καὶ μεταθέσει τοῦ ζ εἰς δ ῥωδῶ, ὡς μύζω μυδῶ, ἐρίζω ἐριδῶ, ἔνθεν τὸ ἐριδήσασθαι Ἀχαιούς· καὶ μετὰ τοῦ στερητικοῦ α ἀῤῥωδῶ, καὶ μεταθέσει τοῦ α εἰς ο ὀῤῥωδῶ, τὸ μὴ ἐῤῥῶσθαι τὴν ψυχὴν ἀπὸ τοῦ φόβου· συντάσσεται μετὰ αἰτιατικῆς.

Κατωμάδιος, παρὰ τὸ ὦμος ὠμάδιος καὶ κατωμάδιος, ἀπὸ τοῦ κατωμαδόν· ὡς ἀφαδὸν ἐκτάδιος.

Κατηχήθησαν, ἐδιδάχθησαν, ἔμαθον.

Κατοιμόζοντες, κατασκευάζοντες.

Κατουλὰς, καλεῖται ἡ σκοτεινὴ νὺξ, διὰ τὸ οὐλοὸν αὐτὴν εἶναι, οἷον, νὺξ ἐφόβει τήν περ τε κατουλάδα κικλήσκουσι.

Κατωμαδὸν, κατὰ τοὺς ὤμους τῶν ἵππων, κατωμαδὸν ἤλασε τοὺς ἵππους.

Κατόπιν, ἀντὶ τοῦ μετὰ τοῦτο, ἀλλ' ἢ κατόπιν ἑορτῆς ἥκομεν.

Καύκοντες ἕλικας βόας, ἀποκοπῇ καὶ συγκοπῇ, καύκωνες, καυκώνων πτολίεθρον, καὶ κατὰ συγκοπὴν καύκων· Ἡρωδιανὸς περὶ παθῶν.

Καυλὸς, τὸ ἄκρον τοῦ δόρατος, ὃ εἰς τὸ ὀξὺ τίθεται. γέγονε δὲ κατὰ πλεονασμὸν τοῦ κ. αὐλῷ γὰρ ἔοικε· πᾶν γὰρ ἐπίμηκες αὐλὸς λέγεται.

Καΰστριος, ποταμὸς ἀπὸ Καϋστρίου τινος λέγεται.

Καῦρος ὁ κοῦφος ταῖς φρεσὶν, οἱονεὶ αὐρός τις ὢν, πλεονασμῷ τοῦ κ καῦρος, τὸν γὰρ κατὰ νοῦν ἐλαφρὸν καῦρον ἐπονομάζουσι. βέλτιον δὲ διὰ τοῦ γ γαῦρον λέγεται, ἵν' ᾖ ὁ σφοδρὸς καὶ ὑπερήφανος· παρὰ τὸ ἀπὸ γῆς αἴρεσθαι.

Καυσία, εἴρηται μὲν καμαλαύκιον παρὰ τὸ ἐλαύνειν τὸ καῦμα, καὶ γὰρ καυσία ἔοικε διὰ τὸ πρὸς τὸ καῦμα εἶναι ἐπιτήδειον· ἔστι γάρ τι κάλυμμα κεφαλῆς. τοῦτο Ἀντίπατρος Θεσσαλονικεὺς ἐν ἐπιγράμμασι. καυσίη ἡ τὸ πάροιθε Μακεδόσιν εὔκολον ὅπλον, καὶ σκεπὰς ἐν νιφετῷ καὶ κορὺς ἐν πολέμῳ. Ὧρος.

Καχλάζω, οἷον, κοῖλαι δὲ πήλυγγες ὑπὸ σπιλάδας τρηχείας λευκοῦ καχλάζοντος ἄνευθεν κύματος. ἄχνη ὁ λευκὸς ἀφρὸς τοῦ κύματος καχλάζοντος οἱονεὶ ταρασσομένου πρὸς ταῖς σπιλάσι ταῖς τραχείαις καὶ ταῖς κοίλαις ἐμβράσεσιν ἀνέπνεε. πεποίηται δὲ τὸ καχλάζω. ὁ γὰρ ἦχος τοῦ κύματος ἐν τοῖς κοιλώμασι τῶν πέτρων γινόμενος δοκεῖ μιμεῖσθαι, τὸ κάχλα κάχλα.

Κάψα, παρὰ τὸ κάπτω ῥῆμα, τὸ δηλοῦν τὸ χωρῶ, γέγονεν, ἡ χωρητικὴ οὖσα τῶν ἐντιθεμένων ἐν αὐτῇ, ὥσπερ ἀπὸ τοῦ δόξω δόξα, καὶ ἄξω ἄξα. οὕτω Φίλων ἐν τῷ περὶ Ῥωμαίων διαλέκτου. λέγομεν δὲ ὅτι δύναται καὶ παρὰ τὸ κάμπτω κάμψω εἶναι· ἐπειδὴ ἐκ καυμάτων ξύλων αὐτὴν συνεστήσαντο.

Κέαρ, ἡ ψυχὴ, παρὰ τὸ κεκρᾶσθαι ἐκ ψυχροῦ καὶ θερμοῦ ἐπίσης ἔχοντος. κὴρ δὲ ἀπὸ τοῦ δίκην κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα.

Κέαρ, τὸ κὴρ, ὅτι ἔγκειται ἡμῖν· μένος δὲ ὅτι μένει.

---

1) F. ex Il. IV. 46?. 2) Em. ex Il. XV, 356

Κέαται, ὅτι οὐ μόνον ἐπὶ παρακειμένου καὶ ὑπερσυντελικοῦ σύνταξιν παθητικὴν ποιοῦσιν οἱ Ἴωνες τρίτον τῶν παθητικῶν, ἀλλὰ καὶ ἐπὶ ἐνεστῶτος, οἷον, κεῖμαι, κεῖται, καὶ κέαται ψυχὰς ὀλέσαντας· καὶ ἧται ἕαται, οἷον, δὴ νῦν ἕαται σιγῇ. καὶ κέαται ψυχὴν ὄλεθρ....

Κεγχρίνης, εἶδος ὄφεως, ὡς Νίκανδρος, οἷον, θῆεις κεγχρίνεω δολιχὸν τέρας ὅν τε λέοντα. οὕτω δὲ ὠνομάσθη διὰ τὸ φαίνεσθαι αὐτὸν τὸν καιρὸν τοῦ κέγχρου· ἢ διὰ τὸ ποικίλον εἶναι, καὶ κατεστίχθαι. ὥσπερ γὰρ κέγχρους τινὰς ἐπὶ τὰ νῶτα ἔχει.

Κέδρος, τὸ ἄκαρπον δένδρον· ἐτυμολογεῖται δὲ παρὰ τὸ χέειν ἱδρῶτα.

Κέδρος, ὅτι καιόμενος ἱδροῖ· ἢ παρὰ τὸ καίεσθαι ῥαδίως. σεσημείωται διὰ τοῦ ε ψιλοῦ γραφόμενον, ἢ παρὰ τὸ ἕδος ὃ σημαίνει τὸ ἔδαφος, καὶ πλεονασμῷ τοῦ ρ ἕδρος, καὶ προσθήκῃ τοῦ κ κέδρος· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἑδραίως ἵστασθαι.

Κεδνός, συνετός, σώφρων, καλός, τίμιος, κηδεμονικώτατος. ἔστι ῥῆμα κοῶ τὸ σημαῖνον τὸ νοῶ· ὁ μέλλων κοήσω, καὶ ῥηματικὸν ὄνομα κόεδρος. ὡς τέρπω τερπνός, καὶ κατὰ συγκοπὴν κεδνός, ἢ ὁ κηδανός τις ὤν· οὗ ἄν τις κήδοιτο.

Κεῖθεν, ἐκ τοῦ ἐκεῖνος καὶ ἐκείνοθεν, καὶ κατὰ συγκοπὴν ἐκεῖθεν καὶ κεῖθεν. ἢ ἐκ τοῦ κεῖνος κεινόθεν, ὡς Λέσβος λεσβόθεν, ἄβυδος ἀβυδόθεν, καὶ κατὰ συγκοπὴν κεῖθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίρρημα τῇ ει διφθόγγῳ παραλήγεται, χωρὶς τούτου δηλονότι συγκοπῇ· τὸ γὰρ ἐντελὲς αὐτῷ ἐπίσταται ἀρκίδς.

Κεῖ, ἐκεῖθι· τὸ κεῖ διφθόγγῳ διάτι; τὰ εἰς θι λήγοντα ἐπιρρήματα τὴν παραλήγουσαν θέλει φυλάττειν τῶν εἰς θεν ἐπιρρημάτων ἀντὶ τοῦ ἐκεῖσε, ἐπὶ τόπου. γίνεται οὖν ἐκ τοῦ ἐκεῖθεν.

Κειρία, παρὰ τὸ κείρεσθαι εἰς λεπτά, ἢ παρὰ τὸ κέρα· ἐκ τριχῶν γὰρ ἐγίνοντο.

Κειρίον, σημαίνει τὸ σχοινίον· καὶ γίνεται παρὰ τὸ εἴρω τὸ συμπλέκω, οἱονεὶ τὸ δεσμεῦον τὴν κλίνην, κειρίον ἢ κειρεῖον ἢ παρὰ τὸ κείρεσθαι εἰς λεπτὰ ἤγουν κόπτεσθαι. ἢ παρὰ τὸ κέρα, ὃ σημαίνει τὴν τρίχα κερεία καὶ πλεονασμῷ τοῦ ι κειρεία· ἐκ γὰρ τῶν τριχῶν ἐγεγόνησαν.

Κείμενα, ἰστέον, ὅτι κεῖμαι καὶ ἧμαι ἐλέγχονται, μήτε ἀπὸ τῶν εἰς ω εἶναι, μήτε ἀπὸ τῶν εἰς μι. καὶ ἀπὸ τῶν εἰς ω, ὅτι ἀπὸ τῶν εἰς ω ἢ τῷ ο παραλήγεται, οἷον, τύπτομαι, λέγομαι, ἢ τὸ ω, οἷον, βοῶμαι, νικῶμαι, ἢ τῇ ου διφθόγγῳ, οἷον, χρυσοῦμαι, νοοῦμαι. ἄρα οὐκ ἔστιν ἀπὸ τῶν εἰς ω. ἀπὸ δὲ τῶν εἰς μι, ἢ τῷ ε παραλήγεται, ἐν τῷ παθητικῷ ἐνεστῶτι, οἷον, τίθεμαι. ἢ τῷ α συνεσταλμένῳ, οἷον, ἵσταμαι, ἢ τῷ ο, οἷον, δίδομαι, ἢ διχρόνῳ συνεσταλμένῳ, οἷον, ζεύγνυμαι. ἄρα οὐκ ἔστιν ἀπὸ τῶν εἰς μι· ἀλλ᾽ ἔστιν εἰπεῖν, ὅτι ἐλέγχονται ταῦτα εἶναι ἀπὸ τῶν εἰς μι, ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ ἧσαι, κεῖσαι, πᾶς γὰρ ἐνεστὼς εἰς μι λῆγον, εἰς αι ἔχων τὸ δεύτερον πρόσωπον ἀπὸ τῶν εἰς μι ἐστι. ἔστι δὲ σχηματίσαι αὐτὰ οὕτως. ἔστιν ἕω καὶ κέω βαρυτόνως, καὶ περισπωμένως γίνεται ἐῶ καὶ κεῶ· καὶ κατὰ παραγωγὴν τῶν εἰς μι, γίνεται ἕημι καὶ κέημι, καὶ ὁ παθητικὸς ἐνεστὼς ἕεμαι καὶ κέεμαι· καὶ κατὰ κρᾶσιν τῇ μὲν τῶν δύο εε εἰς η ἧμαι τῇ δὲ εἰς τὴν ει δίφθογγον κεῖμαι. καὶ διάτι, ἐπὶ μὲν τοῦ κεῖμαι τὰ δύο εε εἰς τὴν ει δίφθογγον ἐκράθη, ἐπὶ δὲ τοῦ ἧμαι εἰς ἦτα; ἐπειδὴ τὸ μὲν ἀπὸ φωνήεντος ἄρχεται. τὸ δὲ ἀπὸ συμφώνου· τούτου χάριν καὶ ἡ κρᾶσις γέγονε τῇ μὲν εἰς ἦτα, τῇ δὲ διὰ διφθόγγου.

Κειμήλια, ἀπόθετα χρήματα, ὡς παρὰ τὸν θήσω μέλλοντα γίνεται θεμέλιον, οὕτω καὶ παρὰ τὸν κείσω μέλλοντα γίνεται κειμήλιον· ἢ παρὰ τὸ κεῖσθαι τὰ μήλια, δι᾽ ὧν τινὰ ἐκμειλισσόμεθα.

Κειμήλιον, δῶρον καὶ χρῆμα ἀπόθετον, ἢ σκεῦος. τὸ κει δίφθογγος, παρὰ τὸν κείσω μέλλοντα γίνεται κειμήλιον· τὸ δὲ μη ἐκ τοῦ κεῖμαι τοῦ α εἰς η τραπέντος.

Κεῖνος, οὐκ ἔστιν ἐνταῦθα σχηματισμός· θεματικὸν γάρ ἐστι. ἔστι γὰρ εἰπεῖν, ὅτι τὸ ε φωνήεσσι πέφυκε πλεονάζειν· οἷον, ἥνδανεν ἑήνδανεν, ὥρων ἑώρων, ἧκεν ἔηκεν, εἴκοσιν ἐείκοσιν, ἀφαιρεῖσθαι δὲ ὅτε μετὰ συμφώνου ὑπάρχει, οἷον, ἔβη βῆ, ἔφη φῆ, ἔστη στῆ, ἐμοῦ μοῦ, οὕτως ἐκεῖνος κεῖνος ἀφαίρεσις ἄρα. καὶ πάλιν, οὐδέποτε μονοπρόσωποι ἀντωνυμίαι ἀπαθεῖς οὖσαι ἀπὸ συμφώνου ἄρχονται, ἀλλ᾽ ἀπὸ φωνήεντος, οἷον, αὐτός, οὗτος, ὅδε, μήποτε ἄρα ἐκεῖνος, καὶ κατὰ ἀφαίρεσιν κεῖνος. πρόσθεσις δὲ λέγεται τοῦ ε. ἐπειδὴ αἱ πρωτότυποι ἀντωνυμίαι ἀπαθεῖς οὖσαι, οὐ θέλουσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν, οἷον, ἐγώ, ἐμοῦ, αὐτός, οὗτος. πρόσκειται ἀπαθεῖς, διὰ τὰς ἐπεκτεταμένας αὐτοσί, οὑτοσί, ἐκεινοσί, ὅθεν τὸ ἐκεῖνος ὑπερβαίνει τὴν δισυλλαβίαν, μήποτε τὸ κεῖνος ἐστι κυριώτερον, ὥσπερ πρὸς μὲν τὴν ποσότητα τῶν συλλαβῶν κεῖνος, πρὸς δὲ τὸ ἀπὸ φωνήεντος ἄρχεσθαι ἐκεῖνος, ὅθεν διφθόγγῳ γράφεται, ἐπειδὴ οἱ Δωριεῖς κῆνος λέγουσι διὰ τοῦ ἦτα· ὡς πλεῖον πλῆον, μεῖον μῆον.

Κεῖνος, εἰς τὸ ξεῖνος.

Κεῖνός θ᾽ ὡς, ὁ μὲν Ἡρωδιανὸς ἀναγινώσκει, εἰς τὸ κει περισπωμένην, εἰς τὸ νος ὀξεῖαν, καὶ εἰς τὸ ὡς βαρεῖαν. ὁ δὲ Ἀρίσταρχος, κεῖνος τόσσ᾽ ἀγόρευε. ζητοῦσι δέ τινες, ποῖον ἐστιν ἀναλογώτερον τὸ ἐκεῖνος ἢ τὸ κεῖνος; ἔστι δὲ εἰπεῖν, κατά τι μέν ἐστιν ἀναλογώτερον τὸ ἐκεῖνος, κατά τι δὲ τὸ κεῖνος, καθ᾽ ὃν μὲν λέγεται, ὅτι οὐδέποτε πρωτότυπος [1]). διὰ τὸ νωΐτερος, σφωΐτερος, παράγωγοι γὰρ αὗται αἱ ἀντωνυμίαι, ἀπαθεῖς εἴπομεν διὰ τὸ οὑτοσί, ἐκεινοσί. καθὸ δὲ αἱ μονοπρόσωποι ἀντωνυμίαι ἐκ φωνήεντος θέλουσιν ἄρχεσθαι, οἷον, οὗτος, αὐτός, καὶ ἀναλογώτερόν ἐστι τὸ ἐκεῖνος, ἵνα ἀπὸ φωνήεντος ἄρξηται.

Κεῖος, σημαίνει δὲ τὸν πολίτην τῆς Κέω· γέγονε Κέϊος, καὶ κατὰ συναίρεσιν Κεῖος.

Κεκτῆσθαι, ἀπὸ τοῦ κτάω, κτῶ, κτήσω κτῆσθαι καὶ κεκτῆσθαι.

Κεκαλλωπισμένα, ἐκ τοῦ καλλωπίζω· τοῦτο ἐκ τοῦ κάλλος καὶ τοῦ ὀπίζω.

Κεκάδοντο, ἐφρόντιζον, ἐλυποῦντο πόθεν γίνεται; ἀπὸ τοῦ χάζω, χάσω, κέχαδα, ὁ β ἀόριστος ἔχαδον, ὡς φράζω, φράσω, πέφραδα, ἔφραδον· καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν ἔκαδον· καὶ ὁ παθητικὸς ἐκαδόμην, ἐκαδόμεθα ἐκάδοντο, καὶ προσελεύσει τοῦ κ κεκάδοντο.

Κεκάμω, κοπιάσω. ἔστι κάμω, ὁ β ἀόριστος ἔκαμον, ἐὰν κάμω, καὶ ἀναδιπλασιασμῷ κεκάμω, ὡς λάχωσι λελάχωσι.

Κεκάρφθαι, εἰς τὸ καρπός.

1) cf. Etym. M.

Κεκληγὼς, κεκραγὼς, βοῶν [1]· μετοχὴ συζυγίας δ τῶν βαρυτόνων, ἐκ τοῦ κράζω. τὸ κρα μακρὸν φύσει. τὰ γὰρ διὰ τοῦ αζω ῥήματα δισύλλαβα συστέλλουσι τὸ α, οἷον, βάζω, φράζω, σφάζω, λάχω λαχάζω, πλὴν τοῦ κράζω, χωρὶς τῶν ἐχόντων τὸ κ πρὸ τοῦ ι, οἷον, μασταζω, τὸ ματαια βουλεύομαι, σφαδάζω, τὸ ἀδημονῶ, τεράζω τὸ τέρατα ποιῶ, βοράζω τὸ ἐσθίω. τί διαφέρει τὸ ὑπωπιάζω τοῦ ὑποπιάζω; οὐδέν· τὸ μὲν γὰρ ὑποπιάζω ἐστὶ κοινὸν, \τὸ δὲ ὑπωπιάζω Δωρικόν· οἱ γὰρ Δωριεῖς τὸ ε εἰς α τρέπουσι, τὸ Ἄρτεμις Ἄρταμις λέγουσιν. οὕτω καὶ τοῦτο. ἔστι δὲ καὶ πρωτότυπον τὸ ὑποπιέζω τὸ δὲ ὑπωπιάζω παράγωγον, ἐκ γὰρ τοῦ ὑποπιέζω γίνεται κατὰ τροπὴν Δωρικὴν τοῦ ε εἰς α, ὡς ἔφαμεν, ὡς τρέχω τράχω. τὸ δὲ κράζω ἐκ τοῦ κρῶ· τοῦτο ἐκ τοῦ καλῶ κλῶ. κλῶ γὰρ γίνεται κατὰ παραγωγὴν ῥῆμα κρώζω καὶ κράζω. καὶ κρώζω ἐπὶ μὲν ὀρνεων, ἐπ' ἀνθρώπων δὲ κράζω· ὁ παρακείμενος κέκραγα. καὶ γὰρ οἱ Ἴωνες τρέπουσι τὸ α εἰς η, καὶ τὸ ρ εἰς λ, καὶ γίνεται κέκληγα, ἡ μετοχὴ κεκληγώς.

Κεκλήσῃ, οἱ μὲν λέγουσιν, ὅτι τὸ κε ἔστι σύνδεσμος παραπληρωματικὸς, οἱ δὲ ῥῆμα. καὶ εἰ μέν ἐστι ῥῆμα μέλλοντος μέσου ἐστὶ, κεκλήσομαι, κεκλήσῃ ἄκοιτις.

Κεκρύφει, ἔκρυψεν. ἔστι ῥῆμα κρύβω, κρύψω, ὁ παρακείμενος κέκρυφα, ὁ ὑπερσυντελικὸς ἐκεκρύφειν, ἐκεκρύφει, καὶ συστολῇ τῆς ἀρχούσης κεκρύφει.

Κεκυφῶσθαι κέκαμφαι.

Κεκραιπαληκὼς, ἐμφαμμένος, ἢ εὐφραινόμενος.

Κεκομψευμένος, σεμνὸς ἢ εὐκαλλώπιστος.

Κεδάζω, σχεδάζω, σκορπίζω, ἀπὸ τοῦ σχέω σχεδάζω καὶ σκεδάζω.

Κείρειν, ἀπὸ τοῦ αἴρειν καὶ ἀποκόπτειν τὸ κέρας, ἤγουν τὴν τριχά. οὕτως ἐγώ.

Κεκαδήσει, ἀπὸ τοῦ χάζω, ὃ σημαίνει τὸ ὑποχωρῶ, ὁ β ἀόριστος ἔχαδον, ὁ μέσος β ἀόριστος παθητικὸς ἐχαδόμην, ἐχάδοντο, καὶ κατὰ τροπὴν ἐκάδοντο, κατὰ ποιητικὸν ἀναδιπλασιασμὸν κεκάδοντο· ἀπὸ δὲ τοῦ χάζω γίνεται χαδῶ, χαδήσω, τὸ τρίτον χαδήσει, καὶ τροπῇ καδήσει, καὶ κατ' ἀναδιπλασιασμὸν κεκαδήσει.

Κεκαδησόμεθα, λυπησόμεθα, φροντιοῦμεν. οἶμαι ἀπὸ τοῦ ἄχος, ἀχῶ, ἀχάζω, ἀχαδῶ, καὶ ἀποβολῇ χαδῶ, χαδήσω, χαδήσομαι καὶ καδήσομαι, καὶ κατ' ἀναδιπλασιασμὸν κεκαδήσομαι· καὶ τὸ πρῶτον τῶν πληθυντικῶν κεκαδησόμεθα.

Κεκαδὼν, στερήσας, χωρήσας, παρὰ τὸ χάζω, ἔχαδον, ἡ μετοχὴ χαδὼν, καὶ κατ' ἀναδιπλασιασμὸν χεχαδὼν καὶ κεκαδὼν· θυμοῦ καὶ ψυχῆς κεκαδών.

Κεκάμω, ἐπεὶ κεκάμω πολεμίζων. ἐὰν γράψω ἐπεὶ κε κάμω, ὁ κε ἔστι σύνδεσμος παραπληρωματικὸς, εἰ δὲ ἐπὴν κεκάμω, ἀναδιπλασιασμὸν ἡ κε συλλαβὴ, καὶ ἔστιν ἔκε.

Κεκασμένη, κεκασμημένη, ἀπὸ τοῦ κάζω τὸ κοσμῶ.

Κεκαφότα, ἐκπεπνευκότα, κάφος γὰρ τὸ πνεῦμα, παρὰ τὸ κάπω, καφῶ οὖν καφήσω, ἔνθεν καὶ κῆπος, ὁ περιπνεόμενος τόπος.

Κεκαυμένην, ἰστέον, ὅτι τὸ παρ' Αἰσχύλῳ ἐν Χοηφόροις λεγόμενον, οἷον τροφόν δ' Ὀρέστου τὴν δ' ὁρῶ κεκαυμένην, ἀντὶ τοῦ κεκλαυκυῖαν κεῖται. ἀλλ' εἴπομεν ὅτι τὰ τοιαῦτα ποιητικά εἰσι.

Κεκλασμένων, οἷον, κεκλαμένων φύλλων· εἰ μὲν οὕτως ἀντὶ τοῦ κεκλασμένων· εἰσὶ δέ τινες εἰρηκότες κεκλιμένων, ὥστε πρὸς ἀντίθεσιν εἶναι· πρός τι ἔνδειαν τοῦ σ. περὶ παθῶν.

Κέκλεικα, ὁ μέντοι κέκλεικα ὤφειλεν ἐν τῷ κέκλεισμαι προσλαμβάνεσθαι τὸ σ. περὶ τούτου ἱστορεῖ Γεώργιος ὁ Χοιροβοσκός.

Κέκληκα, ἐκ τοῦ καλῶ κεκάληκα, καὶ κατὰ συγκοπὴν κέκληκα, ἐξ οὗ καὶ κεκληγὼς τροπῇ τοῦ κ εἰς γ. σημαίνει δὲ κεκραγὼς, βοῶν.

Κεκλήγοντες, ὡς ἀρήγοντες, οὐ γὰρ τὸ κεκληγότες ἐπλεόνασε τὸ ν. οὐ δὲ παρὰ τὸ ὀξέα κεκληγὼς [2]) ἐκλήθη, ἀλλὰ παρὰ τὸ κέκληγα γίνεται κεκληγῶ ἐνεστως, ὡς παρὰ τὸ πέπληγα πεπληγῶ, ἔνθεν τὸ ἐπέπληγον πόδες ἵππων [3]), ἡ μετοχὴ τοῦ κεκληγῶ γίνεται κεκληγὼς, ὅθεν καὶ τὸ κεκλήγοντες.

Κεκραιπαληκὼς, μετοχή. τὸ θέμα κραιπαλῶ, β συζυγίας τῶν περισπωμένων· γίνεται ἐκ τοῦ κραιπάλη, ὃ σημαίνει τὴν μέθην, τοῦτο παρὰ τὸ καρα καὶ τὸ πάλλω τὸ κινῶ. καὶ ἐν ὑπερβιβασμῷ καὶ συγκοπῇ κραιπάλη· τί διαφέρει κραιπάλη καὶ μέθη; διαφέρει. μέθη λέγεται ἡ αὐθημερινὴ οἴνησις· κραιπάλη δὲ ἡ χθεσινὴ μέθη.

Κεκλιμένος, κεκαλυμμένος, κεκρυμμένος. ἔστι κλείω, ὁ παρακείμενος κέκλεικα, ὁ παθητικὸς κέκλειμαι, παρ' Ἕλλησι λέγεται χωρὶς τοῦ σ ἐλλείψει τοῦ ε κέκλιμαι· οὐ γὰρ τὸ κλίνω, ἀλλὰ τὸ περικεκλιμένος· οἷον, στήλῃ κεκλιμένος, ἀντὶ τοῦ ὑπὸ στήλης περιεχόμενος· ἔνθεν καὶ τὸ ἐκέκλιτο λίμνη· ἔλλειψις ἄρα τοῦ ε. ὥσπερ καὶ ἀπὸ τοῦ κλείσω κλὶς, δικλεὶς καὶ δικλίς· οἷον, κεῖσε δὲ ὄντε λέχος, καὶ δικλίδας ἀμφοτέρωθεν· ἢ ἀπὸ τοῦ δικληῒς δικλὶς, δικληΐδες δικλίδες· οὐκ ἀναγκαῖον δὲ τοῦ Ἡρωδιανοῦ.

Κεκλήατο, ὅσοι κεκλήατο βουλὴν, ἀντὶ τοῦ ὅσοι κεκλημένοι ἦσαν εἰς τὸ συμβούλιον.

Κέκλυθι, ἰστέον ὅτι τὸ κέκλυθι καὶ κέκραχθι ὡς οἱ πλεῖστοι καὶ ἡ χρῆσις μαρτυρεῖ παρακειμένου ἐστι, τοῦ γὰρ παρακειμένου τὰ προστακτικὰ πότε μὲν εἰς ε λήγει, οἷον, τέτυφε, πότε δὲ εἰς θι, οἷον, τέτυφθι, οὕτως οὖν καὶ κέκλυθι· οὕτως εὗρον.

Κέκλυτε, ἐστι τῶν εἰς μι προστακτικὸν, χρόνου ἐνεστῶτος, ἀπὸ τοῦ κλύω, κλῦμι, κλῦθι, τὸ δεύτερον τῶν πληθυντικῶν κλῦτε, καὶ κατ' ἀναδιπλασιασμὸν κέκλυτε· ἀλλ' ἴσως τὶς ἐρεῖ, ὅτι ταῦτα συστέλλουσι, τὸ δὲ κλῦθι μακρὸν ἔχει τὸ υ· ἴστω ὅτι πολλὰ παρατίθησιν ἡμῖν ὁ Ἀπολλώνιος μακροκατάληκτα, ὡς τὸ δῶθι, οἷον, δῶθι δέ μιν κλέος ἐσθλὸν ἀπὸ τοῦ δίδωμι· οὐδὲν ἄτοπον εἰ καὶ τὸ κλῦθι μακρὸν ἔχει τὸ υ.

Κεκορυθμένος, καθοπλισμένος, ἀπὸ τοῦ κόρυθος κορυθῶ, κεκορυθημένος, κεκορυθμένος.

Κεκορυθμένα, ἐστομωμένα, ἐνοπλισμένα, ἠκονημένα, ἀπὸ τοῦ κορύσσω τὸ καθοπλίζω, οἷον, τῷ σιδήρῳ ηὐτρεπισμένα ἢ ἠκονημένα τῷ σιδήρῳ, ἀπὸ τοῦ τὴν κορυφὴν θίγειν ἤγουν ἀκονᾷν εἰς ὀξύτητα.

Κεκορυθμένα, μετοχὴ χρόνου παρακειμένου· τὸ θέμα κορύθω, συζυγίας τρίτης τῶν βαρυτόνων· καὶ γίνεται ἐκ τοῦ κόρυς κόρυθος κορύθω· τὸ δὲ κόρυς παρὰ τὸ κάρη κάρυς καὶ κόρυς· κορύθω, ὁ μέλλων κορύσω, ὁ παρακείμενος κεκόρυκα, καὶ ὁ παθητικὸς κεκόρυσμαι, ἡ μετοχὴ κεκορυσμένος· καὶ οἱ Ἀττικοὶ τρέ-

---

1) cf. Etym. M. v. κραυγή. 2) Il. II, 222. 3) Il. V, 504.

τουσι τὸ σ εἰς θ· τὸ γὰρ κλαυσμὸς κλαυθμὸς λέγουσι. καὶ τὸ ἀριθμὸς ἀριθμός.

Κέκλω, εἰ παρὰ τὸ κέλω λάβοιμεν πλεονασμῷ τοῦ κ. εἰ δὲ παρὰ τὸ καλῶ κλῶ, οὐ πλεονασμῷ ἀλλὰ ἀναδιπλασιασμῷ. ἔστι γὰρ κλῶ καὶ κατ' ἀναδιπλασιασμὸν κεκλῶ· οὐ γὰρ μόνον γίνονται οἱ ἀναδιπλασιασμοὶ διὰ τοῦ ι, ἀλλὰ καὶ διὰ τοῦ ε· μένω μίμνω καὶ φένω φνῶ πέφνω· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

Κέκμηκα, ἀπὸ τοῦ καμῶ καμήσω, κεκάμηκα, καὶ συγκοπῇ κέκμηκα, ἡ μετοχὴ ὁ κεκμηκώς· τὸ μη ἦτα διάτι; ἡ πρώτη συζυγία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος θέλει ἔχειν ἢ τὸ ε ἢ τὸ η· νοήσω, τελέσω, κυβερνήσω, καμῶ καμήσω· καὶ ἐξ αὐτοῦ κεκμηκώς.

Κέκονα, παρὰ Σοφοκλεῖ, ἀπὸ τοῦ κτείνω, ὁ μέσος παρακείμενος ἔκτονα, πλεονασμῷ τοῦ κ καὶ ἐκβολῇ τοῦ τ κέκονα.

Κέκρικα, ἰστέον ὅτι λέγει ὁ κανὼν, ὅτε δι' ἀμεταβόλου ὁ μέλλων, ὁ παρακείμενος δι' αὐτοῦ τοῦ ἀμεταβόλου καὶ τοῦ κ. κείρω κερῶ κέκαρκα, πλὴν τῶν ἡμαρτημένων, τοῦ νενέμηκα καὶ τῶν ὁμοίων· εἰσὶ δὲ ταῦτα τέμω τεμῶ, νέμω νεμῶ, δέμω δεμῶ, βρέμω βρεμῶ· τούτοις συνεξηκολούθησε καὶ τὸ μένω μενῶ· δεῖ δὲ γινώσκειν ὅτι σεσημείωται καὶ ταῦτα, κρίνω κρινῶ κέκρικα, πλύνω πλυνῶ πέπλυκα, κλίνω κλινῶ κέκλικα, καὶ τείνω τενῶ τέτακα· ταῦτα γὰρ ἀπέβαλον τελείως κατὰ τὸν παρακείμενον· κεκέρδαγκα καὶ κεκέρδακα. ζήτει εἰς τὸ ῥηματικὸν τοῦ Χοιροβοσκοῦ [1]).

Κέκτημαι, εἴρηται εἰς τὸ μέμνηκα· λέγει γὰρ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν, ὅτι κατὰ πλεονασμόν ἐστι τοῦ κ, Αἰολικῶς, τὸ γὰρ κοινόν ἐστι ἔκτημαι τὸ ἔκτησθαι· τὰ γὰρ ἀπὸ τοῦ κτ ἀναδιπλασιάζουσι· ὃν τρόπον οὐ δὲ ἀπὸ τοῦ πτ, ὁμοίως καὶ τὸ πέπταμαι, ἀπὸ τοῦ ἔπταμαι πλεονασμῷ τοῦ π ἐστι.

Κελαδεινὸς, ὁ θόρυβος· παρὰ τὸ κέλαδος κελαδεινός.

Κέλεαί με, κελεύεις με· ἔστι ῥῆμα κελεύω, καὶ κατὰ συγκοπὴν τῆς ευ κέλω, τὸ παθητικὸν κέλομαι κέλη κέλεται, καὶ κέλεαι Ἰωνικῶς· ἐκεῖνοι γὰρ ἔθος ἔχουσι τῷ τρίτῳ προσώπῳ ἀποβάλλειν τὸ τ, καὶ ποιεῖν αὐτὸ δεύτερον, οἷον, τύπτομαι τύπτεαι, οὕτως κέλομαι κέλεται κέλεαι.

Κελαινεφὲς, μέλαν, ποίου σχήματος; συνθέτου· πόθεν συνετέθη; ἐκ τοῦ μελαίνω καὶ τοῦ νέφος, ὁ τὰ νέφη μελαίνων· καὶ κατὰ συγκοπὴν, ὡς τανύω τανύπεπλος, γίνεται κελαινεφὴς, συγκοπῇ τῆς νω συλλαβῆς, καὶ τροπῇ τοῦ μ εἰς κ· κανὼν γάρ ἐστιν ὁ λέγων· καθόλου τὰ δισύλλαβα βαρύτονα συντιθέμενα, ἐκκόπτει μίαν συλλαβὴν, ὅπως ἀναλογῇ τοῖς δισυλλάβοις, χωρὶς τοῦ ἀλέξω ῥήματος, οὐ γὰρ φύσει βαρύνεται, ὁ μέλλων γὰρ αὐτοῦ ἀλεξήσω. ὅθεν γίνεται ἀλεξιφάρμακον, καὶ οὐκ ἀποβάλλει συλλαβὴν, οἷον, γανύω, γανύεις, γανύει, Γανυμήδης, ἐκκόπτεται μίαν συλλαβὴν, ὑφαίνει ὑφαιμενὴς· καὶ οὐ λέγεται ὑφαινομένης.

Κελλάριον, κεκρυμένον.

Κελεὸς, ὄρνεον ταχύτατον· ἀφ' οὗ τὸ κέλλειν, ταχέως βαδίζειν· καὶ τὸν ἱστοποδα κελεὸν λέγουσιν ἀστεϊζόμενοι.

Κέλλω, σημαίνει δύο, τὸ προστάσσω καὶ τὸ βαδίζω, ἐξ οὗ καὶ τὸ κέλλης, καὶ ἐπακτροκέλλης, ἔστι δὲ εἶδος πλοίου λῃστρικοῦ, ὅ ἐστι γαλαία· καὶ εἰς τὸ λύμη καὶ νωχελὴς, καὶ ὁμοκλήσασκε.

Κέλυφος, τὸ λέπος τοῦ ὠοῦ.

Κελύφη, τὰ καλύμματα, ἀπὸ τοῦ καλύπτειν, ὅθεν καὶ κάλυξ, ἡ καλύπτουσα τὰ ῥόδα.

Κέλευθος, ἡ διὰ θαλάσσης ὁδός· παρὰ τὸ ἐλεύθω ἔλευθος, καὶ κέλευθος, κατὰ πλεονασμὸν τοῦ κ.

Κέλευθα, ἰστέον ὅτι τὰ ὑγρὰ κέλευθα κατὰ μεταπλασμὸν γένους ἐστὶ, ἀντὶ γὰρ θηλυκοῦ τὸ οὐδέτερον εἶπε· γίνεται γὰρ μεταβολὴ γένους εἰς ἕτερον γένος· ὡς ἀπὸ τοῦ ὁ τράχηλος τὸ τράχηλον· ἔνθεν παρὰ Καλλιμάχῳ πληκτικῶς [2]) τὰ τράχηλα γυμνάζειν, καὶ λύχνους λύχνα, δίφρους δίφρα, καὶ δακτύλους δάκτυλα, καὶ ὁ τάρταρος καὶ ἡ τάρταρος παρὰ Πινδάρῳ· καὶ οὐδέτερον τὸ τάρταρον· οἷον, τάρταρά τις ἠρόεντα· οὕτως εὗρον τῷ Χοιροβοσκῷ.

Κεμὰς, ἡ ἐκ νεύρου μεταβάλλουσα ἔλαφος, κοιμάς τις οὖσα, ἢ νεογνὸν ἢ δορκάδα.

Κεμὰς, ὁ κοιμώμενος ἔλαφος ἐν σπήλῳ, καὶ μήπω δυνάμενος ἐξιέναι, διὰ σμικρότητα.

Κενεμβατεῖ, εἰς κενὰ ἐπιβαίνει, ἢ ἐπιχειρεῖ.

Κέλωρ, σημαίνει τὴν φωνὴν, παρὰ τὸ καλεῖν κάλωρ καὶ κέλωρ, ὡς Ἄρταμις Ἄρτεμις.

Κενὸς, οἱ μὲν, ὅτι παρὰ τὸ καίω καινὸς καὶ κενὸς, ὁ κεκαυμένος καὶ σποδὸς ὤν· ἢ ὅτι τὰ κεκαυμένα κοῦφα καὶ ἐλαφρὰ γίνονται· ἢ παρὰ τὸ σκηνῶ σκηνὸς καὶ σκενὸς καὶ κενὸς, ἐν ᾧ ἔστι τὶς σκηνώσασθαι καὶ βάλλειν· ἢ παρὰ τὸ κινῶ κινὸς καὶ κενὸς, τὰ γὰρ κοῦφα καὶ κενὰ εὐκίνητα, καὶ εὐβάστακτα· ἢ παρὰ τὸ γῶ τὸ χωρῶ γενὸς καὶ κενὸς, ὁ χωρῆσαι δυνάμενός τι, διὰ τὸ μηδὲν ἔχειν· ἢ ξένος ὁ κατεξεσμένος καὶ κενός.

Κενεῶνος, τὸ κοῦφον· ἐκ τοῦ κενὸς πλεονασμῷ τοῦ ε κενεός· καὶ ποίου εἴδους; πλεονασμῷ ἐπεκτάσει· καὶ τι ἐστιν ἐπέκτασις; συλλαβῆς πλεονασμὸς κατὰ τὸ μέσον τὸν αὐτὸν τόνον φυλάττουσα, οἷον, ἀδελφὸς ἀδελφεός.

Κένται, ἔστι δὲ διάλεκτος, ὡς γὰρ τὸ παρ' ἡμῖν φίλτατος φίντατος, καὶ τὸ δέλτα δέντα, ὁ ὑπερσυντελικὸς κέλται κένται· περὶ παθῶν.

Κεντηνάριον, λίτραι ρ· κέντουμ γὰρ Ῥωμαῖοι τὰ ρ φασίν.

Κένταυρος, ἀφ' οὗ τὸ τῶν Κενταύρων γένος ὁ πρῶτος ὠνομάσθη ἀπὸ Ἰξίονός τινος· ὁ γὰρ Ἰξίων ἐρασθεὶς τῆς Ἥρας, ἀπόπειραν ποιησάμενος ὁ Ζεὺς, εἰ ἄρα τολμήσει τοῦτο ποιῆσαι, ποιήσας ἑαυτὸν νεφέλην ὁμοίαν τῆς Ἥρας παρέκλινεν ὀφθῆναι αὐτῷ· ὁ δὲ νομίσας εἶναι τὴν Ἥραν συνεγένετο αὐτῇ, καὶ ἔσχεν υἱὸν ὀνόματι Κένταυρον, παρὰ τὸ τὸν πατέρα αὐτοῦ Ἰξίονα κεντεῖν τῇ αὔρᾳ· τουτέστι τῇ νεφέλῃ.

Κένταυρος, παρὰ τὸ κέντω καὶ τὸ αὔρα, ὅ ἐστι πνοὴ τοῦ ἀνέμου· φασὶ γὰρ τὸν Ἰξίονα τῆς Ἥρας ὁμοιωθείσης νεφέλῃ, ὅταν συνεγένετο αὐτῇ· ἐξ ἧς ἐτέχθησαν οἱ Κένταυροι· παρὰ τὸ κεντεῖν τὴν αὔραν ἤγουν τὴν φωνήν.

Κέντριον, τὸ βούκεντρον· κέντει τὸν πῶλον, κεντρίσας τὸν πῶλον.

Κέντρον, παρὰ τὸ κέντω ῥῆμα βαρύτονον, καὶ πλεονασμῷ τοῦ ρ.

Κεντρότυπτον, ὁ μαστιγίας, ἀπὸ τοῦ τύπτειν.

---

1) περὶ — Χοιροβοσκοῦ. v. Etym. M. κέκρικα.

2) L. πληθυντικῶς.

Κενὸν, τὸ μάταιον καὶ κοῦφον, ἀφ' οὗ καὶ τὸ κενῶ κενώσω.

Κενούμενος, κατερχόμενος, μετοχὴ, ἐκ τοῦ κενῶ, τοῦτο ἐκ τοῦ κενὸς ὃ σημαίνει τὸν μάταιον, τοῦτο παρὰ τὸ χέω χενὸς καὶ κενὸς, ὁ διεφθαρμένος· σημαίνει δὲ καὶ ἄλλο· καινὸν τὸ νεωστὶ κατεσκευασμένον, καὶ γίνεται παρὰ τὸ φαίνω φαινὸν καὶ καινὸν· ἤγουν τὸ διαφανὲς ἢ λαμπρόν.

Κεντυρίωνες, μανδάτωρες.

Κεντηριων, ἑκατόνταρχος.

Κεραβὰς, ὁ τὰ ἀκρωτήρια τῶν ὀρέων. τουτέστι τὰς κορυφὰς βαίνων, οἱονεὶ ὀρειβάτης· κέρατα γὰρ λέγουσι πάντα τὰ ἄκρα, ὡς φησὶ Πίνδαρος, οἷον, ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια.

Κέραμος, Ἀπολλόδωρος φησὶ παρὰ τὴν κεχυμένην ἔραν ἤγουν γῆν· ἔρα ἔραμος καὶ πλεονασμῷ τοῦ κ κέραμος· οἱ δὲ παρὰ τὸ κεκάφθαι τῇ ἔρα.

Κεραμας, τὸ δεσμωτήριον παρὰ τοῖς γλωσσογράφοις· παρὰ Κυπρίοις τὸ ἀγγεῖον· παρὰ δὲ Ἀριστάρχῳ ὁ πίθος.

Κεράμειον, ἀγγεῖον ὀστράκινον, ἢ ὁ πίθος.

Κεράμβηλος, οἷον, κάμφηλος, κραδήφηλος, κραδηφηλοῦσα, καὶ παραλογιζομένη ἀνθρώπους· κραδὴ δὲ οὐ μόνον συκῆς ὁ κλάδος, ἀλλὰ πᾶν ἀκρόδρυον· παρὰ τὸ κραδαίνεσθαι.

Κεραΐζειν, διαφθείρειν, ἀφανίζειν· ἡ μεταφορὰ ἀπὸ τῶν κέρασι χρωμένων ζώων, παρὰ τὸ κέρατος.

Κεραϊστὴς, τόπος Μηλίτων ἀπὸ τούτων, ὅτι κέρατα τοῦ ἄῤῥενος τραγήλου ἀμελγομένου ὑπ' αὐτοῦ πῆξαι ἐκεῖ, ὡς Καλλίμαχος ἐν Ἰάμβοις.

Κέραιρε, κίρνα, ἀπὸ τοῦ κερῶ κεραίρω, ὡς μένω μεναίνω· ἢ κέραιρε, κερῶ κεραίνω.

Κεραννὺς, μετοχὴ, ἀντὶ τοῦ κεράσας· ἔστι κέρας, καὶ ἐξ αὐτοῦ κερῶ κεράτω, καὶ ἐκ τοῦ κερῶ κερύω καὶ κεραννύω, καὶ παράγωγον εἰς μι κεράννυμι, καὶ ἡ μετοχὴ κεραννὺς διὰ τῶν δύο νν· τὰ ἀπὸ τῶν εἰς ω περισπωμένων, διὰ τοῦ νυω γινόμενα, διὰ τοῦ νν γράφεται, οἷον, πετῶ πεταννύω, χῶ χαννύω, σβῶ σβεννύω, ῥῶ ῥωννύω καὶ ζῶ ζωννύω.

Κέρας, ἡ θρὶξ, διὰ τὸ τοῖς κέρασιν ἐκφύεσθαι· οἱ δὲ φασὶν, ὅτι ἡ ἐκ τοῦ βάθους εἰς ἡμᾶς ὑπὸ τῆς θερμασίας ἀναφερομένη.

Κέρας, παρὰ τὸ κάρα, ἐπεὶ ἐκ τῆς κεφαλῆς ἐστι, καὶ τὸ κεραΐζειν ἐκ τῶν ζώων, ἃ τοῖς κέρασι μάχεται· καὶ ὁ κέραυνος φθαρτικὸς ὤν· καὶ τὸ κέρμα κατακεκομμένον εἰς πολλά· καὶ κειρεία, στενὰ ὄντα πλέγματα, οἷον, ἐφθινηκυῖαι· τὸ δὲ κεραΐζειν δύναται παρὰ τὸ κῆρα τὸν θάνατον τὸν φθείροντα καὶ θανατοῦντα.

Κέρας, σημαίνει διάφορα· τὴν τρίχα παρὰ τὸ τοῖς κέρασιν ὁμοίως ἐμφύεσθαι, καὶ γίνεται παρὰ τὸ κείρω τὸ κόπτω· σημαίνει δὲ καὶ τὴν δόξαν, καὶ γίνεται παρὰ τὸ ἐρῶ, τὸ ἐπιθυμῶ, ἔρας καὶ κέρας· τὴν γὰρ δόξαν πάντες ἐπιθυμοῦσιν· καὶ εἰς τὸ κάρα, καὶ κειρεία καὶ κρατήρ.

Κεράσαι, τὸ ἐπιχέειν οἶνον ἀπὸ παλαιοῦ ἔθους· πάλαι γὰρ ἐχρῶντο κέρατι ἀντὶ τοῦ προχόου.

Κεράσιον, διὰ τὸ εἶναι κηῤῥὸν ἤγουν πυῤῥόν· ἢ διὰ τὸ ἐν τῷ ἰδίῳ καιρῷ σαίνειν ἢ σείνεσθαι.

Κέρατα, διὰ τὸ εἰς τὴν κάραν τείνεσθαι.

Κεράσαι, τὸ παλαιὸν ἐν κέρατι ἔπινον, ὅθεν καὶ ἡμεῖς τὸ αὐτὸ ποιοῦμεν.

Κεραὸν, κεφαλὴν ασγάλην ἔχοντα· ἐκ τοῦ κέρας κέρατος γίνεται κεραὸς ὀξύτονον· καὶ ἐπειδὴ ἐκ τῆς κέρατος γενικῆς γέγονε, καὶ ὤφειλε προπαροξύνεσθαι· ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ος λήγοντα καθαρὰ τρισύλλαβα τῷ α μόνῳ παραληγόμενα ὀξύνεται, οἷον, Δαναὸς, ἀλαὸς, ἐξ οὗ καὶ ἀλαοσκοπία, ἀγλαὸς, γεγραμμένος, ταναὸς ὁ μακρὸς, τούτοις συνεξηκολούθησε καὶ τὸ κεραός.

Κερατινὴ, παρὰ τὸ κέρας κέρατος κερατινή.

Κεραυνὸς, ἡ μεταφορὰ ἀπὸ τῶν ζώων τῶν τοῖς κέρασι χρωμένων καὶ διαφθειρόντων, παρὰ τὸ κεραΐζειν καὶ τὸ αὔειν ὅ ἐστι καίειν.

Κεραυνὸς, βροντὴ ἢ χάλαζα, παρὰ τὸ καίειν τὴν ἔραν, ἤγουν τὴν γῆν.

Κερδαλεόφρον. πανοῦργε τὸ φρόνημα. ἢ παρὰ τὸ εἰς τὰ κέρδη τὸν νοῦν ἔχων· τουτέστιν ὁ κερδαίνειν φρονῶν· παρὰ τὴν φρένα καὶ τὸ κερδαλέων· τουτέστιν ὁ κερδαίνειν φρονῶν· ἢ διὰ λόγων τὴν ψυχὴν ἀπατῶν.

Κερδαίνειν, παρὰ τὸ κέρδος· ἢ παρὰ τὸ κέαρ ἰαίνειν, ὅ ἐστιν εὐφραίνειν.

Κερδαλέης, συνετῆς, ὠφελίμου, ἢ πανούργου· παρὰ τὸ κερδὼ, ἥ ἐστιν ἀλώπηξ· ἔστι δὲ πανουργότατον ζῶον.

Κέρβερος, παρὰ τὸ κάρβαρος, ἢ παρὰ τὸ τὴν κάραν βαρεῖν· τρικέφαλος γὰρ ἦν κύων ἐν ᾅδου, ὡς μυθεύεται κύωνος κέρβερος.

Κέρδος, παρὰ τὸ κέαρ ἡδύνειν, ὅ ἐστιν εὐφραίνειν.

Κερδὼ, ἡ ἀλώπηξ, ὑποκοριστικῶς, ὡς παρ' Αἰσχύλῳ· ὡς εἰδῶ καὶ ὑψῶ, ἀντὶ τοῦ εἰδοθεὴ καὶ ὑψιπυλὴ, καὶ τὸ κερδὼ ἀντὶ τοῦ κερδαλέα, ἡ ἀπατητική· ἢ ὡς παρὰ τὸ εἰδῶ καὶ ὑψῶ οὕτω καὶ παρὰ τὸ κέρδος κερδὼ, ἡ κερδαλέα καὶ πανοῦργος.

Κερκὶς, κρέκω γὰρ προκατάρχει ῥῆμα, οἷον, γλυκεῖα μᾶτερ· καὶ οὔτι δύναμαι κρέκειν τὸν ἱστόν· κρέκω κρεκὶς, καὶ καθ' ὑπερβιβασμὸν κερκὶς· παρὰ τὸ κρέκειν ὅ ἐστιν ἠχεῖν· περὶ παθῶν.

Κέρκυρ, πρὸς τοῦτο Κέρκυρ οὐκ εἴρηται, οὐ πρόσκειται ἡμῖν, εἰ ἄρα γενέσθαι. ἀλλά τι εἰρήκασιν Ἕλληνες. Ἀλκμὰν φησὶ, καὶ Κέρκυρος ἡγεῖται ἀπὸ εὐθείας τῆς Κέρκυρ· ἀλλ' οὐκ εἴρηται, οὐκ ἄρα ἔρεται τῆς ἀποκοπῆς. ἀλλὰ κλίσεώς ἐστι μᾶλλον, οὐ μεταπλασμοῦ· εἴπερ εὐθεῖα Κέρκυρ, ὁ μὴ εἴρηται, ὥσπερ οὐ ψίθυρ, μάρτυρ, ἀλλὰ μὴν οὐδὲ Ἴλλυρ· ἀλλὰ τὸ Ἴλλυρας μεταπέπλασται κατὰ τὴν αὐτὴν πτῶσιν, ὥστε ταῦτα μεταπλασμός· τοὺς Ἰλλυρίους καὶ Κερκυραίους· οὐ γὰρ εἴρηται οὔτε ἡ εὐθεῖα, οὔτε ἡ γενικὴ ἢ δοτική· ἀλλὰ κατὰ τὴν αὐτὴν πτῶσιν εἴρηται μεταπέπλασται· εἴρηται δὲ ψίθυρ καὶ μάρτυρ, ἀφ' ὧν ἡ κλίσις· οὕτως Ἡρωδιανός.

Κερκώπων, δολίων, πανούργων, ὑπερηφάνων· ἢ γένος πιθήκων, οἷον, καθάπερ τῇ κέρκῳ ἡ ἀλώπηξ τοὺς θηρευτικοὺς κύνας ἀπατῶσα τῇδε κἀκεῖσε περιτρεπομένη, ἐφαμίλλως καὶ οὗτοι τοὺς ἁπλουτέρους φενακίζουσι τῇ κέρκῳ τῶν λόγων· ὡσαύτως καὶ κερκογνώμονες.

Κέρκος, ἡ οὐρὰ, παρὰ τὸ κέρκειν, ὅ ἐστι ἦχον ποιεῖν τελεῖν.

Κερκὶς, εἶδος φυτοῦ, ἐξ οὗ καὶ κερκίδιον, τὸ τῶν γυναικῶν ἐργαλεῖον.

Κερκὶς, τὸ κερκίδιον, παρὰ τὸ κρέκω, τὸ πλήττω κρεκὶς, καὶ ὑπερβιβασμῷ κερκίς· καὶ τοῦ λέοντος ἡ

οὐρὰ κέρκος λέγεται, πλεκτικὸς γάρ ἐστιν· ἐκ τοῦ κρέκω γίνεται κέρκος καὶ κερκίς.

Κέρδος. παρὰ τὸ χεὶρ χερὸς χέρδος καὶ κέρδος· κυρίως δὲ τὸ διὰ τῶν χειρῶν διδόμενον ἐπ' ὠφελείᾳ· ἐτυμολογεῖται δὲ παρὰ τὸ κέαρον καὶ τὸ ἅδω τὸ ἀρέσκω. τὸ τὴν ψυχὴν εὐφραῖνον· ἢ παρὰ τὸ κέαρ καὶ τὸ ἡδύ.

Κερῶ. ὅτι ἐν τοῖς κέρασιν οἱ παλαιοὶ ἔπινον, πρὸ τοῦ εὑρεθῆναι αὐτοῖς τὴν τῶν ποτῶν χρείαν.

Κερόεις. παρὰ τὸ κέρατος γέγονε κατὰ συγκοπὴν τοῦ ατ κερόεις ἐξ οὗ τὸ θηλυκὸν κεραόεσσα, καὶ συγκοπῇ κερόεσσα καὶ κράσει κεροῦσα· οἷον, νόμος δέ τι κεροῦσα [1]· περὶ παθῶν.

Κεραμὶς, διὰ τοῦ ι. τὰ γὰρ εἰς ις θηλυκὰ ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα, ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, ἀσπὶς, ῥανὶς, βολὶς, κρηπὶς, ψηφὶς. κνημίς· οὕτως οὖν καὶ κεραμίς· πρόσκειται κοινολεκτούμενα, ἐπειδὴ τὸ εὐσεβεῖς καὶ αἰολεῖς διὰ τῆς ει διφθόγγου γράφουσιν.

Κέρτομος, ὁ σκώπτης· τινὲς δὲ, ὁ τὸ κέαρ τέμνων τῶν ἀκουόντων, διὰ τὸ παραλογιστικὸν τῶν λόγων, ὡσεὶ ψυχητομός.

Κερτομέων, ἐρεθίζων, χλευάζων, καὶ κερτομίοις ἐρεθιστικοῖς, παροξυντικοῖς, χλευαστικοῖς, ἀπατηλοῖς.

Κερτομῶ, σχῆμα παρασύνθετον, ἐκ τοῦ κέρτομος, τοῦτο ἐκ τοῦ κέαρ τέμνειν, οἱονεὶ ὁ χλευαστής· καὶ εἰς τὸ ἐπεκερτόμουν.

Κεστὸς, ὁ διαπεποικιλμένος, καὶ διακεκεντημένος ζωστήρ· παρὰ τὸ κάζω τὸ κοσμῶ γίνεται ῥηματικὸν ὄνομα καστὸς καὶ κεστὸς ὁ κεκοσμημένος· ἢ παρὰ τὸ κεντῶ ῥῆμα βαρύτονον, ἔνθα καὶ κέντορες ἵππων· ὁ μέλλων κένσω Αἰολικῶς, κένσαι ὁμοκλήσας, γίνεται ῥηματικὸν ὄνομα κενστὸς καὶ κεστὸς, ἐξ οὗ καὶ πολύκεστον ἱμὰς ὁ πολυκέντητος γίνεται· ἐκ τοῦ πολυκέντητον εἶναι ταῖς ῥαφαῖς.

Κεστὸς, παρὰ τὸ κάζω καστὸς καὶ κεκοσμημένος ταῖς ῥα... καὶ κατὰ μετάθεσιν τοῦ α εἰς ε κεστός.

Κευθμὸς, ἐκ τοῦ κεύθω κευσμὸς καὶ Αἰολικῶς κευθμὸς, ὡς κλαύσω κλαυσμὸς καὶ κλαυθμὸς, καὶ μηνισμὸς μηνιθμός· ἐκ δὲ τοῦ κευθμὸς γίνεται κευθμών· γαίης ἐν κευθμῶνι κακῷ, δ' ἐπέρτετος ἔργων.

Κευθμὼν, ὁ ἀφεγγὴς τόπος καὶ κρύφιος, παρὰ τὸ κεύθω τὸ κρύπτω, κευθμὼν διάτι ὀξύνεται; τὰ εἰς μων δισύλλαβα ἐπὶ καιροῦ λαμβανόμενα ἢ τοπικὰ, ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ υ [2] ἐκτεταμένον, ὀξύνεται· λειμὼν, χειμὼν, κευθμών.

Κεφαλὴ, παρὰ τὸ κάρφος καὶ φαλὴ, καὶ κεφαλὴ ὁ κατάξηρος τόπος καὶ ὀστώδης, ἢ κατὰ Ἀπολλόδωρον καλύφη τις οὖσα, παρὰ τὸ καλύπτειν καὶ σκέπειν τὸν ἐγκέφαλον· τινὲς δὲ, παρὰ τὸ ἐκεῖσε κεῖσθαι τὰ φαη. κεφαή τις οὖσα, καὶ κεφαλή· οἱ δὲ παρὰ τὸ κάπω τὸ πνέω, καπαλὴ καὶ κεφαλὴ, οἱονεὶ ἡ διαπνέουσα, ὅθεν καὶ κῆπος ὁ διαπνεόμενος τόπος· διὸ καὶ ἐν ταῖς οἰκίαις τὸν ἀνατεμνόμενον τόπον πρὸς ἀνάπαυσιν λέγομεν κῆπον, παρὰ τὸ κάπω τὸ πνέω· ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε [3]), τουτέστιν ἀπέπνευσε.

Κεφαλὴ, παρὰ τὸ κύειν αὐτὴν τὰ ὠφέλιμα· ἤγουν τὸ ἐν αὐτῇ ἔχειν τὰ ὠφελοῦντα τὸν ἄνθρωπον αἰσθητήρια.

Κεφαλέων, ἄκρων, ὁ κανών· οἱ μὲν Δωριεῖς διὰ τοῦ αων προσφέρουσιν, οἱ δὲ Αἰολεῖς διὰ τοῦ εων· ὁ δὲ Ζηνόδοτος γράφει τὸ λαι δίφθογγον, ὡς κτητικὸν αὐτὸ λαμβάνων· κακῶς δέ· κανὼν γάρ ἐστιν ὁ λέγων, τὸ κτητικὸν ἐπὶ τῶν σωματικῶν μερῶν λαμβανόμενον κατατεθνηκότος θέλει παραλαμβάνεσθαι, οἷον, βοεία κεφαλὴ, ἡ τοῦ τεθνηκότος βοὸς κεφαλή· ἀνθρώπειος πούς ὁ τοῦ τελευτηκότος, οὐ γὰρ ἐπὶ ζώντων εἴπῃ τις ἄν· διὸ καὶ μέμφονται Ζηνόδοτον, ἐπειδὴ τὸ ἀρνῶν ἐκ κεφαλῆς [4]) ἀνεγίνωσκε κτητικόν· κτητικῇ γὰρ φωνῇ ἐχρήσατο ἐπὶ ζώντων τῶν ἀρνῶν· οὐκ ἔπαθε δὲ πλεονασμὸν, ἀλλὰ διαίρεσιν.

Κεχανδότα, χάζω, χάσω, κέχαδα, κεχαδὼς, κεχαδότος, κεχαδότα, καὶ πλεονασμῷ τοῦ ν κεχανδότα· ὁ ἀόριστος ἔχαδον. ἔχαδες, ἔχαδε.

Κεχαρηότα, ἐμῷ κεχαρηότα θυμῷ, οὔτε ἀπὸ τοῦ χαίρω γέγονε, ἐπειδὴ ὁ παρακείμενος κέχαρκά ἐστιν, οὔτε ἀπὸ τοῦ χαιρῶ· ἀλλ' ἀπὸ τοῦ χαίρω γίνεται χαρῶ, ὡς φαίνω φανῶ, οὗ ὁ παρακείμενος κεχάρηκα, ἡ μετοχὴ κεχαρηκότα, καὶ κατ' ἀφαίρεσιν Ἰωνικὴν τοῦ κ κεχαρηότα.

Κεχαροίατο, δευτέρου μέλλοντος παθητικοῦ εὐκτικοῦ, τρίτου τῶν πληθυντικῶν· οἱ γὰρ Ἴωνες πᾶν ῥῆμα εὐκτικὸν τρίτου προσώπου τῶν πληθυντικῶν, κατὰ μετάθεσιν τοῦ ν εἰς α πρόσφερονται· οἷον, μνήσαιντο μνησαίατο, πύθοιντο πυθοίατο, λέγοιτο λεγοίατο· ἔστιν οὖν ἐκ τοῦ χαίρω ῥήματος, ὁ β ἀόριστος ἔχαρον, ἐχάρην, ἐχαροίμην, μετὰ ἀναδιπλασιασμὸν κεχαροίμην· τὸ δὲ χαίρω ἐκ τοῦ χῶ τὸ χωρῶ.

Κεχολώσεται, ἀπὸ τοῦ χολῶ χολώσω, κεχόλωκα, κεχόλωμαι, κεχόλωσαι· καὶ ὁ μετ' ὀλίγον μέλλων κεχολώσεται· διαφέρει ὁ μέλλων τοῦ μετ' ὀλίγον μέλλοντος· ὅτι ὁ μὲν μέλλων ἀόριστός ἐστι, ὁ δὲ μετ' ὀλίγον μέλλων ὡρισμένος.

Κήδεσθαι, τὸ λυπεῖσθαι, ἀλλὰ καὶ τὸ φροντίζειν· εἴρηται εἰς τὸ κήδω.

Κήδω, τὸ φροντίζω, παρὰ τὸ ἔδω τὸ ἐσθίω, κατεσθίουσι γὰρ τρόπον τινὰ ἑαυτοὺς οἱ μεριμνῶντες· ὅθεν καὶ μελεδώνη ἡ φροντὶς, παρὰ τὸ τὰ μέλη ἔδειν· λοιπὸν ἔδω τροπῇ τοῦ ε εἰς η καὶ πλεονασμῷ τοῦ κ κήδω· καὶ κήδω τὸ λυπῶ· σημαίνει δὲ καὶ τὸ θάπτω· καὶ γίνεται παρὰ τὸ χῶ τὸ χωννύω, οὗ ὁ μέλλων χήσω· καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ τροπῇ τοῦ χ εἰς κ καὶ τοῦ σ εἰς δ κήδω, ἐξ οὗ καὶ κηδεύω κήδεια.

Κηδεμὼν, φροντιστὴς, προνοητὴς, ὥσπερ παρὰ τὸ ἄγω ἡγεμὼν, οὕτω καὶ παρὰ τὸ κήδω κηδεμών· τὸ δὲ ψιλὸν διάτι; τὰ διὰ τοῦ εμων ὀνόματα ὀξύτονα διὰ τοῦ ε γράφεται, καὶ διὰ τοῦ ος κλίνεται, καὶ τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· καὶ εἰς τὸ ἡγεμών· καὶ ἄλλως· τὰ εἰς μων ὀξύτονα ἑνὶ φωνήεντι παραλήγεται, οἷον, ἡγεμὼν καὶ κηδεμών.

Κήδετο, ὁ Ἀρίσταρχος ἀντὶ τοῦ ἠνιᾶτο· καὶ ἔστι μετὰ τῆς περί· δηλοῖ δὲ καὶ τὸ ἐφρόντιζε· κήδετο οἰκείων, οὓς κτήσατο δῖος Ὀδυσσεὺς, καὶ τὴν κατ' ἐπιγαμίαν συγγένειαν.

Κηδεστὴς, ὁ κατ' ἐπιγαμβρίαν συγγενής· τουτέστιν ὅ τε πατὴρ τῆς γεγαμένης, καὶ αὐτὸς ὁ γαμῶν· παρὰ τὸ κήδω τὸ φροντίζω γίνεται ῥηματικὸν ὄνομα κῆδος· κῆδος δὲ εἴρηται ἡ κατ' ἐπιγαμίαν συγγένεια· ἐπεὶ ἐκ προνοίας καὶ κηδεμονίας συνίσταται· παρὰ τὸ κήδω οὖν

---

1) corr. v. Etym. M. 2) τὸ υ (Sic) male. 3) Il. XXIII, 467. 4) Il. III, 273.

γίνεται κηδεστής· ἢ παρὰ τὸ κήδω τὸ Φροντίζω κηδεστής· ἐκ προνοίας γὰρ Φροντίδος οἱ ἀμφότεροι συνίστανται· τὸ δὲ Κηδέστης τὸ κύριον ὄνομα βαρύνεται, ὡς θυὸς Θυέστης· τὸ δὲ κηδεστὴς ὀξύνεται ὡς προσηγορικόν.

Κήδεστοι, οἰκειότατοι, Φροντιστικώτατοι, παρὰ τὸ κήδω· τὸ δὲ κήδω παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι.

Κήδεα, κακὰ, λύπας, πένθη, διὰ τὸ ἀνιᾶσθαι, καὶ οἱονεὶ καίεσθαι ἐπ' αὐτοῖς.

Κηκὰς, ἡ κακολόγος· κηκὰ γὰρ ἡ λοιδωρία, ἐξ οὗ καὶ κηκασμὸς ἡ λοιδωρία· γίνεται δὲ ἐκ τοῦ κακὸς, καὶ τοῦ κακῶς ἀφίει [1]), ἀντὶ τοῦ μεθ' ὕβρεως· οἱ δὲ κηκὰς τὴν μελανίαν, ὅθεν Ῥωμαῖοι τὸν τυφλὸν κηκὸν λέγουσι.

Κηκὰς, ἀλώπηξ, κακόποιος, χλευαστικός· Καλλίμαχος, κηκάδος ἐν γλώσσῃ.

Κηκὶς, σημαίνει τὰ κηκίδια διὰ τοῦ ι, τῷ λόγῳ τοῦ κεραμίς.

Κῆλον, τὸ ξύλινον βέλος, παρὰ τὸ κάλον τὸ δηλοῦν τὸ ξύλον· κατὰ δὲ γλωσσογράφους βέλη θεῖα, τουτέστιν ἀστραπὰς καὶ βροντάς· ᾤχετο κῆλα θεοῖο· παρὰ τὸν κήσω μέλλοντα, τὸν δηλοῦντα τὸ καύσω· ὅθεν καὶ πυρὶ κηλέῳ τουτέστι καυστικῷ γέγονε, πλεονασμῷ τοῦ ε· παρὰ τὸν αὐτὸν δὲ κήσω μέλλοντα τὸ αὖα πάλαι περὶ κῆλα.

Κηλόνιον, ὁ ξύλινος ἀντλητὴρ, τὸ παρ' ἡμῖν λεγόμενον γεράνιον, παρὰ τὸ κάλον τὸ δηλοῦν τὸ ξύλον, ὅθεν καὶ καλυπόδιον, ὁ ξύλινος πούς, καὶ μετὰ τοῦ νεύειν γίνεται καλόνειον καὶ κηλόνειον, τὸ ἀνανεῦον καὶ κατανεῦον ξύλον.

Κηλώνιον, ἐκ τοῦ καίω, ὁ κεκαυμένος ὑπὸ οἴστρου· κηλόνειον δὲ γεράνιον, ἀπὸ τοῦ χαλᾶν καὶ τοῦ νεύω.

Κήλων, ὁ θερμὸς εἰς συνουσίαν, παρὰ τὸν κήσω μέλλοντα ὃ δηλοῖ τὸ καύσω.

Κῆλα, δῆλα τινὰ ὄντα φανερὰ, παρὰ τὸ καίω· κυρίως γὰρ τὸν κεραυνὸν σημαίνει καὶ τὸν πρηστῆρα· ἡ λέξις ἢ παρὰ τὸν ἥσω μέλλοντα, τουτέστιν ἀφήσω καὶ πέμψω, ἀπὸ τοῦ ἵημι τὸ πέμπω, ἧλον καὶ κῆλον· καὶ εἰς τὸ δηλήσεται.

Κηλεὺς, παρὰ τὸ κηλεῖν καὶ τέρπειν· κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα· κήλησις γὰρ ἐστιν ἡ δι' ᾠδῆς ἡδονή· οἷον, χαλάσιός τις οὖσα.

Κήλη. τὸ παθητικὸν τοῦ ὀρχέως· δηλοῦσιν οἱ Ἴωνες λέγοντες κάλη.

Κηλὶς, τὸ μόλυσμα, ὁ ῥύπος, ὡς τὸ, κηλῖδα ἔχω· ἔνθεν ἐπὶ τῆς ἐσθῆτος τῆς ἐχούσης σημεῖον, καὶ μολύνων αὐτήν· κῆλα δὲ τὰ σημεῖα οἷον δῆλα. τροπῇ τοῦ δ εἰς κ. καὶ ἐφ' ὕβρεως λέγεται· οὗτος κηλῖδας ἔχει, οἷον, μολυσμένους, οὐ καθαρός ἐστι.

Κηληθμὸς, θέλξις, τέρψις, χαρήθυμός τις ὤν· συγκοπῇ καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, καὶ τοῦ α εἰς η, κήλησις γάρ ἐστιν ἡ δι' ᾠδῆς ἡδονή· καὶ εἰς τὸ κατεκήλησε.

Κῆπος, ὁ ἀποτετειχισμένος τόπος πρὸς ἀνάπαυσιν, καὶ καταπνεόμενος· παρὰ τὸ κάπω τὸ πνέω, κάπος καὶ κῆπος.

Κῆπος καὶ κηπίον ἀπὸ τοῦ καπύσαι. ὅ ἐστι πνεῦσαι, ὁ καταπνεόμενος τόπος, ἀπὸ τοῦ κάπος ὃ σημαίνει τὸ πνεῦμα· Ὅμηρος ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε [2]), τουτέστιν ἀπέπνευσε· γίνεται δὲ παρὰ τὸ σκάπτω καὶ σκάπος καὶ σκῆπος, ἀφαιρέσει καὶ ἐκτάσει. ἢ διὰ τὸ κεῖσθαι καὶ πίνειν· ἢ πάλιν χῆπος, διὰ τὸ χήνεσθαι τὸ πότιμον.

Κῆρ. περισπωμένως μὲν τὴν ψυχὴν παρὰ τὸ κέαρ· ἢ παρὰ τὸ δίκην κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα. ὀξυτόνως δὲ τὴν θανατηφόρον Μοῖραν ἤτοι κακῆναι ἐπιφέρουσαν· καὶ ἐν ᾅδου ποταμοὶ Πυριφλεγέθων καὶ Ἀχέρων· καὶ εἰς τὸ καιριώτερον, καὶ μάκαρ καὶ νεκροῦ.

Κὴρ, ὁ θάνατος, ἐκ τοῦ ἔκηα γίνεται· τοὺς γὰρ ἀποθανόντας ἔκαιον οἱ παλαιοί.

Κηρὸς, ὅτι καιόμενος ῥεῖ· ἢ παρὰ τὸ καίω, καύσω, ἔκαυσα, ἀποβολῇ τοῦ υ καὶ σ ἔκαα, καὶ ἐξ αὐτοῦ καρὸς καὶ κηρὸς ὁ καιόμενος· ἐτυμολογεῖται δὲ παρὰ τὸ καίεσθαι ῥαδίως.

Κηρύκειον, εἰσί τινα ἀπὸ τῶν εἰς διπλοῦν λῃγόντων γινόμενα, διὰ τοῦ ειον, ἅτινα διὰ δίφθογγον γράφεται· οἷον, κύκλωψ κυκλώπειον, σημαίνει δὲ τὸ τοῦ κύκλωπος· Φοῖνιξ. Φοινίκειον, σημαίνει δὲ τὸ τοῦ Φοίνικος· οὕτως οὖν καὶ κῆρυξ κηρύκειον· ἰστέον ὅτι ἐστι καὶ κηρύκιον διὰ τοῦ ἰῶτα, ὅπερ ἐπὶ μόνης τῆς ῥάβδου τοῦ Ἑρμοῦ λέγεται· ἔστι καὶ κηρύκειον ὅπερ προσηγορικόν ἐστι, καὶ σημαίνει πᾶσαν ῥάβδον κήρυκος· ἔστι δὲ καὶ κηρύκειον ὅπερ κτητικόν ἐστι, καὶ σημαίνει τὸ τοῦ κήρυκος, ὡς παρὰ Σοφοκλεῖ, γράμμα κηρύκειον· ἔστι δὲ καὶ κηρύκειον ὄνομα λόφου τῆς Ἐφέσου, ἐν ᾧ ἀνῆλθεν Ἡρακλῆς κατὰ βούλησιν τῶν θεῶν, καὶ ἐκήρυξε τὴν γέννησιν τῆς Ἀρτέμιδος· ἔστι δὲ καὶ κηρύκειον, ὃ καὶ πληθυντικῶς λέγεται τὰ κηρύκεια, καὶ σημαίνει τὸν μισθὸν τὸν διδόμενον ἐν τῷ κηρύξει, ὅπερ λέγεται ἐν τῇ συνηθείᾳ μήνυτρα· ἔστι δὲ καὶ κηρύκειον, καὶ σημαίνει τὴν κήρυξιν.

Κήρυκος ὄνομα, τὸ ρυ μακρὸν, καὶ πέρδικος· ἡ γὰρ ὀφειλομένη ἐν τῇ εὐθείᾳ μακρὰ, μετῆλθεν ἐν τῇ γενικῇ· ὤφειλε δὲ καὶ ἡ εὐθεῖα ἔχειν μακρὸν τὸ υ· ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε τὸ υ ἢ τὸ ι πρὸ τοῦ ξ εὑρίσκεται φύσει μακρὸν, χωρὶς εἰ μὴ μόνου ἑνὸς στοιχείου συνεστάλη, ὡς τὸ κήρυκι ἠπυτίδῃ· τὸ δὲ κῆρυξ γίνεται ἐκ τοῦ γῆρυς, ὃ σημαίνει τὴν φωνὴν, τοῦτο παρὰ τὸ γερας· γῆρυς ἐπὶ τῶν ἐντίμων λέγεται, κυρίως ὁ προφητῶν ψαλμῳδὸς, καὶ εἰς τὸ διακηρυκεύεται.

Κῆρυξ, ὡς παρὰ τὸ πτέρω γίνεται πτερῶ, καὶ πτερύσσω, οὕτω παρὰ τὸ ἐρῶ, ὁ δηλοῖ τὸ λέγω, ἐρύσσω, καὶ ἠρύσσω, καὶ πλεονασμῷ τοῦ κ κηρύσσω, ὁ μέλλων κηρύξω, ἀποβολῇ τοῦ ω κῆρυξ.

Κῆρυξ, ὁ μεγαλόφωνος, γῆρυξ τις ὢν καὶ τροπῇ κῆρυξ, ὁ τῇ κινήσει ῥᾷον, εὐχερὲς, ῥᾷον. ὀξύς.

Κηρύσσω, σημαίνει τὰ καταγγέλλω, τὸ ἁγιάζω, τὸ εἰς φιλίαν ἄγω, τὸ ἐγγυῶ.

Κημὸς, εἶδος χαλινοῦ, παρὰ τὸ κάμπτω, τῆς θέσεως μακρᾶς τραπείσης εἰς φύσει μακρὰν, οὗ ὁ μέλλων κάμψω, ὁ παρακείμενος παθητικὸς κέκαμμαι, καὶ ἐξ αὐτοῦ καμὸς καὶ τροπῇ τοῦ α εἰς η κημός· ὁ τοὺς σκληροὺς αὐχένας κάμπτων τῶν ἵππων· τὸ κούρκουμον ἢ φιμός.

Κητωοὺς, ἐκ τοῦ γῶ τὸ χωρῶ, ὁ μέλλων γήσω· καὶ κητῶ.

Κήτη, παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, τὸ παθητικὸν κέκμαι κεῖμαι, καὶ ἐξ αὐτοῦ κοίτη.

Κηφὰς, ἐκ τοῦ κάφος ὃ σημαίνει τὸ πνεῦμα.

---

[1]) Il. I, 25. [2]) Il. XXIII, 467.

[illegible] τὸ

κηπαῖος, οἱονεὶ ὁ πρὸς το [illegible] ς καὶ ἐργασμένος οἶκος· οὕ[illegible] ς ἐν [illegible] συλλαβῶν ῥημάτων· καὶ ὁ ποιητής· ὄρσο κεῖον, [illegible] [1]), ἀντὶ τοῦ, κοιμήθητι [illegible] γερθείς.

Κιβωτὸς, ὤφειλε δια [illegible] ει διφθόγγου, ἐπειδὴ παρὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βρῶσιν εἴρηται. ἀλλ' ἡ παράδοσις τὸ ἰῶτα ἔχει· καὶ λέγει ὁ Ὦρος, ὅτι ἴσως παρὰ τὸ κίβος γέγονεν, ὃ σημαίνει τὴν τροφὴν, καὶ διὰ τοῦ ι γράφεται τῷ λόγῳ τοῦ θλίβω.

Κίβδηλον, τὸ ὑπόχαλκον παρὰ τὸ χι στοιχεῖον χίβδηλον καὶ κίβδηλον.

Κίβδηλος [2]), ὁ ῥυπαρὸς παρὰ τὸ κινεῖν τὸ δῆλον ἤγουν φανερόν· τὸ κι ἰῶτα ἐκ τοῦ κινῶ· καὶ ἐκεῖνο [illegible] εν; τὰ διὰ τοῦ ινω ῥήματα, διὰ τοῦ ἰῶτα γρά[φετ]αι, οἷον, κρίνω κλίνω, πλὴν τοῦ στείνω, στείνω· τὸ ἦτα διατί; ἐκ τοῦ δῆλος. οἱ Ἀθηναῖοι τῷ πρὸς τ[οὺς] Χίους μίσει φερόμενοι, ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν νομίσμασιν ἐχαράττετον τὸ τοῦ χι στοιχείου τύπον, καὶ ἀπέῤῥιπτον, καὶ χίβδηλα ταῦτα ἐκάλουν.

Κιβώριον, τὸ κιβ σημαίνει κιβωτὸς, τὸ δὲ ὥριον φωτισμὸς, ἢ . . . . [3]).

Κιβωτὸς καὶ κίστη . . . . μὲν . . . . ἡ ξυλίνη, ... καλεῖται, κίστη δὲ ἡ . . . .

Κιγκλὶς, παρὰ τὴν Ἀττικὴν κιγκλίδα, ἥ ἐστιν εἶδος θύρας . . . . ταῖς φυλακαῖς καὶ τοῖς δικαστηρίοις· τινὲς δὲ ἀπὸ τοῦ κίγκλου τοῦ ὀρνέου· οὕτως δὲ λέγεται ἡ σεισοπύγη. καὶ Μένανδρος ἐν ὑμίδῃ [4]), κιγκλισμὸς φησὶν, ἀντὶ τοῦ τάραχος.

Κίδαριν, ἐκ τριχῶν ὕφασμα καὶ μελαίνιον· ἢ περίθεμα κεφαλῆς βασιλικῆς· ἀνὴρ παρὰ Πέρσαις τὴν κίδαριν ἀνεδήσατο.

Κίδαρις, περίθεμα κεφαλῆς εὐκόσμιον· ἄλλον παμάλαίκιον.

Κιδνοὶ, σώφρονες.

Κιδνᾶται, σκεδάννυται, σκορπίζεται.

Κίε, κίω, τὸ πορεύομαι, ὅπερ ἀπὸ τοῦ ἴω τὸ πορεύομαι πλεονασμῷ τοῦ κ.

Κίθαρις, ἀπὸ τοῦ κινεῖν τὸν ἔρωτα.

Κιθάρα, παρὰ τὸ κινεῖν τοὺς θαιροὺς· ἤγουν τοὺς στρόφιγγας.

Κίθαρις καὶ κιθάρα διαφέρει. κίθαρις μὲν γάρ ἐστιν ἡ λύρα· καὶ τοὺς χρωμένους αὐτῇ κιθαριστὰς λέγομεν· οὓς ἡμεῖς λυδώρους φαμέν· κιθάρα δὲ ᾗ χρῶνται οἱ κιθαρῳδοί.

Κιθαρῳδὸς, παρὰ τὸ κινεῖν εἰς ἔρωτα τοὺς ἀκούοντας· ἢ παρὰ τὸ κινεῖσθαι τοὺς θαιροὺς ἤγουν τοὺς στρόφιγγας.

Κίθαρος, καθ' ὁμοιότητα τῶν ὀστῶν πρὸς τὰς χορδὰς, ὁ δὲ Δοῦρος ἀπὸ τοῦ Κιθαιρῶνος φησίν· ὅτι Ἀμφίων ἐκεῖ ἐμουσικεύετο.

Κικύω, σημαίνει τὸ ἰσχύω, καὶ γέγονε παρὰ τὸ κίκυς· ἔχει δὲ καὶ τοῦτο τὸ υ κατὰ τὴν δισυλλαβίαν.

Κίκυς, ἡ δύναμις, Ἀπολλόδωρος ἰκμάς· ἀλλ' οὐ γὰρ ἐγναῖς ἔμπεδος, οὐ δὲ τακτικοῖς [5]), ἀπὸ τοῦ ἀνακικύειν· πολὺς δ' ἀνεκίκυεν ἱδρώς [6])· καὶ Αἰσχύλος ἐν Σισύφῳ· καὶ θανόντων εἰσὶν οὐκ ἐνεστιγμάσει, τὰ σοὶ δ' οὐκ ἔνεστι κίκυς, οὐδ' αἱμόῤῥυτοι φλέβες, θανόντων φησὶν ἀψύχοις· καὶ παρὰ Πινδάρῳ· ἔστι δὲ τοῖς χθόνιοις ἐχίας κίκυος· ὁ δὲ Ὅμηρος κατὰ τοὐναντίον τὸν ἀσθενῆ ἄκικυν λέγει· νῦν δέ μ' ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἄκικυς [7])· ὁ δὲ Ἀλκαῖος, ὁμοίως Ὁμήρῳ τὸν ἰσχυρὸν κίκυν καλεῖ, καὶ τὸ κικίδιον τὸν ἐκθλιβόμενον ἐκ τοῦ Κρότωνος λίπασμα. καὶ εἰς τὸ νεκύς.

Κικλήσκω, ἀπὸ τοῦ κλῶ τοῦ σημαίνοντος τὸ καλῶ, γίνεται κλήσκω, καὶ κατ' ἀναδιπλασιασμὸν κικλήσκω, ὡς τρώσκω τιτρώσκω· σημαίνει δὲ τὸ καλῶ.

Κίναιδος, ὁ κενὸς αἰδοῦς, ὡς Διονύσιος· Ὦρος, ἡ ἀσελγής.

Κίναιδος, ὁ ἀσελγὴς, ὁ κινῶν τὴν ἡδονὴν, ὁ πόρνος· τὸ ναι δίφθογγος· ὁ κινῶν ἑαυτῷ αἰδῶ καὶ αἰσχύνην· εἴρηται δὲ παρὰ τὸ κινεῖσθαι τὴν αἰδῶ· ἢ παρὰ τὸ κινεῖν τὰ αἰδοῖα.

Κίνδυνος, ἰστέον, ὅτι τὰ εἰς υν λήγοντα προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν, οἷον, Γόρτυν Γόρτυνος, ἔστι δὲ ὄνομα πόλεως, μόσυν μόσυνος, σημαίνει δὲ τὸν ξύλινον πύργον, Φόρκυν Φόρκυνος· εἰ γὰρ Φόρκυν αἰτιατικὴ, οἷον, Φόρκυν δ' ἱπποθόοντι, ἀπὸ τοῦ Φόρκυς Φόρκυνος, ὡς βότρυς βότρυος τὸν βότρυν, καὶ τὸν Φόρκυν· κίνδυνος· αὕτη δὲ ἡ κίνδυνος γενικὴ μετάγεται εἰς εὐθεῖαν, καὶ γίνεται ὁ κίνδυνος τοῦ κινδύνου, ὥσπερ ὁ ψὰρ τοῦ ψαρὸς, καὶ ὁ ψάρος τοῦ ψάρου· ἡ κύνος γενικὴ οὐκ ἐστὶν ἀπὸ τῆς κυν εὐθείας, ἀλλ' ἀπὸ τοῦ κύων κύονος καὶ συγκοπῇ κυνός.

Κίνδυνος, παρὰ τὸ κινῶ καὶ τὸ ὀδύνη γίνεται κινοδύνη, ἐκ τοῦ κινεῖν τὰς ὀδύνας, ἐν συγκοπῇ κίνδυνος· καὶ εἰς τὸ ἀκίνδυνον.

Κίνησις, ἀπὸ τοῦ κινῶ κινήσω κίνησις καὶ κινησίας, ὥσπερ καὶ παρὰ τὸν σώσω μέλλοντα γίνεται σωσίας. γράφεται δὲ διὰ τοῦ ἰῶτα· τῷ λόγῳ τοῦ ἀμείψεως.

Κίνησις περιφορᾶς διήλλακται· κίνησις μὲν γάρ ἐστι κυρίως ἡ ἐκ τόπου εἰς τόπον μετάβασις· περιφορὰ δὲ ἡ περὶ τὸν αὐτὸν τόπον διαστροφή.

Κινῶ, παρὰ τὸ ἲς ἰνὸς, ὅπερ ἶν λέγεται, δικατάληκτον γάρ ἐστι τὸ ὄνομα, καὶ δηλοῖ τὴν δύναμιν· τούτου ἡ γενικὴ ἰνὸς, ἀφ' οὗ ῥῆμα ἰνῶ, καὶ πλεονασμῷ τοῦ κ κινῶ.

Κινῶ, διὰ τοῦ ἰῶτα, πρῶτον μὲν παρὰ τὸ κινεῖν ἐστι· δεύτερον δὲ ὅτι κινέω λέγουσιν οἱ Λάκωνες· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου κινείω ἔμελλον λέγειν, καὶ . . . . . περισπώμενα, ἡνίκα μὲν . . . λη . . . . . ἰῶτα γράφεται παρὰ τοῖς Λάκωσι, οἷον [illegible] κινέω, ἡνίκα δὲ φωνῆεντι παραλήγεται διὰ τοῦ [illegible], οἷον, δονῶ δονέω [8])· εἰ οὖν τὸ κινῶ κινέω λέγουσιν οἱ Λάκωνες.

Κινήσιας διὰ τοῦ ἰῶτα, ὥσπερ παρὰ τὸν σώζω σώσω μέλλοντα γίνεται σώσιας οὕτω, καὶ ἀπὸ τοῦ κινήσω κινήσιας γέγονε τὸ πορεύομαι· ἐκ τῆς κινήσεως γὰρ ὁ ἰσχυρὸς φαίνεται· ἔχει γὰρ καὶ αὐτὸ ἐκ τε τῆς δι συλλαβῆς τὸ ἰῶτα.

Κιννάμωμον, παρὰ τὸ κίειν ἄνευ μώμου· πολυχρόνιον γὰρ τὸ ἄρωμα.

Κινύμενος, κινούμενος ἐπὶ πρᾶξιν ὁρμῶν, ἀπὸ τοῦ κινῶ κινύω κίνυμι.

Κιννάμωμον, Ἡρόδοτος ἐν τῷ τρίτῳ οὕτως λέγει· ὄρ-

---

1) Od. VII, 342. 2) Incipit hic tomus alter codicis Gudiani. 3) Quae hic, atque etiam in sequentibus punctis distincta sunt, adeo in codice obliterata erant, ut oculorum aciem omnino fugerent. 4) F. ὑμνίδι. Est Fragm. ineditum. 5) Corrig. ex Od. XI, 592. 6) Il. XXIII, 507. 7) Od. IX, 5[illegible]. 8) pro ει legendum fine dubio ευ.

νιθας λέγουσι ταῦτα τὰ κάρφεα φέρειν, ἃ ἡμεῖς παρὰ Φοινίκων μαθόντες, λέγομεν κιννάμωμον.

Κίρκη, ἡ κινοῦσα τὰ φάρμακα, ἢ παρὰ τὴν κερκίδα. ἡ δὲ κερκὶς ἀπὸ τοῦ κρέκω ἀπὸ τοῦ γινομένου ψόφου κατὰ μίμησιν. τὰς δὲ πεπαλλώδεις γυναῖκας ἀπ' ἐκείνης κίρκας καλοῦμεν, ἐπεὶ φαρμακὶς ἦν ἐκείνη.

Κίρκος, κρίκος κίρκος, καὶ τὸ κρικώσω κιρκώσω, Ἀττικοὶ δὲ λέγουσιν· οἱ δ' ἄλλοι εἴξαντες ὑπέτρεσαν ἠύτε κίρκους ὠκυπέτας ἀγεληδὸν ὑποτρεμέουσι πελεῖαι· ἔστι δὲ εἶδος ἱέρακος.

Κίσηρις· κίσηλις ἦν, καὶ κατὰ μεταβολὴν τοῦ λ εἰς ρ κίσηρις· ἢ παρὰ τὸ κὶς καὶ τὸ λὶς, ὁ ὑποκιὸς λίς· λίθος γάρ ἐστιν ἐκβεβρωμένος.

Κισσύβιον, τὸ ἀγροικικὸν ποτήριον· ἴσως ἀπὸ τοῦ κισσοῦ, ἐξ οὗ κατεσκευάζοντο τὰ ποτήρια [1]· κοινοτέρως δὲ καὶ ἐπὶ πάντων ξυλίνων ποτηρίων ἡ λέξις τίθεται, παρὰ τὸ κεχῦσθαι εἰς αὐτὸ τὸν οἶνον, οἷον, χύω, χύσω, χυσίβιον καὶ κισσύβιον· Ἡσίοδος ὀλίγῳ δήσεται κισσύμη, ἢ σίτλα γάλακτος.

Κισσῶ, παρὰ τὴν κίσσαν κισσῶ. κίσσα δέ ἐστιν ὄρνεον λιχνότατον καὶ πρὸς τὰς συνουσίας καὶ ἡδονὰς καταφερέστατον· ἐτυμολογεῖται δὲ παρὰ τὸ κίειν, καὶ μετὰ σφοδρότητος σεύεσθαι πρὸς τὸ συνουσιάζειν· σημαίνει δὲ καὶ κισσῶ τὸ μεθ' ἡδονὰς τὰς γυναῖκας συλλαμβάνειν· ἐκ τούτου καὶ κίττα.

Κιχῶ, τὸ καταλαμβάνω καὶ εὑρίσκω, ἀπὸ τοῦ κιχῶ κιχείω, ὡς τελῶ τελείω; ὀψῶ ὀψείω· ἀπὸ δὲ τοῦ κιχῶ γίνεται κιχανόω, ἥδω ἀνδάνω· τὸ χει διφθόγγῳ διάτι; τὰ διὰ τοῦ ειω ῥήματα, παρ' ἐνεστώτων ἢ μελλόντων παρηγμένα, διὰ τῆς ει διφθόγγου γράφονται, ὄψω ὀψείω, κιχῶ κιχείω, παρὰ τὸ κίω τὸ περιπατῶ, πλεονασμῷ τοῦ χ κίχω, καὶ περισπώμενον κιχῶ. ὡς βρώσω βρωσείω, οὕτω κιχῶ κιχείω.

Κιχηλὰς, κιχλὰς, πλεονασμῷ τοῦ η, κιχηλὰς, οἷον, κρέατ' ὀρνίθων κεχηλῶν.

Κίων, διὰ τοῦ ι, ὁ λίθος, ἀπὸ τοῦ κίειν καὶ ἀνιέναι εἰς ὕψος· ἢ παρὰ τὴν ἰὼν μετοχὴν γίνεται ἴων καὶ κίων· ἰστέων ὅτι τοῦτο οἱ μὲν Ἀττικοὶ ἀρσενικῶς λέγουσιν· οἱ δὲ Ἴωνες θηλυκῶς.

Κίλιξ, ὄνομα κύριον βασιλέως, ἀφ' οὗ Κιλικία κέκληται.

Κινύρα, κιθάρα, ἐκ τοῦ κινύρω τὸ σημαῖνον τὸ θρηνῶ καὶ ἄδω· καὶ κύριον ὄνομα.

Κίρις, διὰ τοῦ ἰῶτα· τὰ διὰ τοῦ ιρις ὀνόματα, ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν, οἷον, Ἶρις, Βούσιρις, σίρις, ξίρις, ἔστι δὲ ἀρωματικὸν φυτὸν, καλάσιρις, σημαίνει δὲ λινοῦν χιτῶνα· οὕτως οὖν καὶ κίρις· πρόσκειται ἀπὸ ὀνομάτων ἔχοντα τὴν ει δίφθογγον, διὰ τὸ χεῖρις, σημαίνει δὲ τὸ χείρομα, μανίκην, τοῦτο γὰρ ἀπὸ τοῦ χεὶρ ἔχει τὴν ει δίφθογγον· ἰστέον δὲ ὅτι κίρις ἐστὶν εἶδος ἱέρακος· ἔστι δὲ ὁ βήριλος [2], ἢ ὁ ἄῤῥην τῶν ἀλκυόνων. λέγεται παρὰ τοῖς Κυπρίοις κίρις ὁ Ἄδωνις, παρὰ δὲ τοῖς Λάκωσιν ὁ λύχνος.

Κίβησις, οἷον, ἡ κίβησις τῶν Ἰσραηλιτῶν καὶ ἡ κιβωτὸς τὸ σαππο πάθνιον· παρὰ τὸ κεῖσθαι τὴν βρῶσιν.

Κῖς, εἰς τὸ τίς.

Κῖς, κιὸς, σκωληκίον τι καταβρωτικὸν, ἐκ τοῦ κίω τὸ πορεύομαι.

Κίσσηρις, κισσήρεος διὰ καθαροῦ τοῦ ος, γέγονε δὲ παρὰ τὸ κινεῖσθαι, καὶ τὸ σαίρειν, ἤγουν φιλοκαλεῖν.

Κιστύβιον, ποτήριον, ἢ παρὰ τὸ χεῖσθαι· ἢ ὅτι ἀπὸ κίσσου ὄν.

Κίστις κίστεος, ἡ ἐδεσματοθήκη· τὸ τ ἀντὶ τοῦ θ, κίσθες γὰρ καὶ εἰς τὸ κοῖτις· εἴρηται δὲ παρὰ τὸ ἐγκεῖσθαι τι ἐν αὐτῷ.

Κίτρον, ἴσως διὰ τὸ κέντρον τοῦ ἰδίου δένδρου.

Κιχάνω, καταλαμβάνω, τὸ κι ἰῶτα, ἀπὸ τοῦ κίχω βαρυτόνου. τοῦτο παρὰ τὸ κίω τὸ πορεύομαι καὶ περισπωμένως κιχῶ, καὶ κιχάνω κατὰ παραγωγήν· τὸ δὲ κι γράφεται διὰ τοῦ ἰῶτα, πρὸς ἀντιδιαστολὴν τοῦ κείω τὸ κοιμῶμαι· ἡ μετοχὴ κείων κείοντος, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν κείοντες, καὶ μετὰ τῆς κατὰ προθέσεως κατακείοντες, καὶ συγκοπῇ κακκείοντες.

Κίχειν, τὸ ἐπιπολὺ καταλαμβάνειν, τρέχειν.

Κιχρῶ, παρὰ τὸ χρῶ, τὸ ἀρέσκω, γίνεται κατ' ἀναδιπλασιασμὸν χιχρῶ καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δύο δασέων γίνεται κιχρῶ, τὸ παρέχω· ἐξ οὗ καὶ τὸ, μακάριος ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν.

Κίων, ἐκ τοῦ κίω ἔκιον, καὶ κιὼν μετοχὴ ἀορίστου β. τὸ δὲ κίω σημαίνει τρία. κίω τὸ πορεύομαι, ἐξ οὗ καὶ τὸ κιχῶ, κιχάνω, κίχημι καὶ κτίλος ὁ κριὸς ὁ προηγούμενος· κείω τὸ κοιμῶμαι, διὰ διφθόγγου, ἐξ οὗ καὶ τὸ, κακκείοντες ἔβαν· καὶ κήω τὸ καίω διὰ τοῦ ἦτα.

Κλαίω, κλῶ τὸ κλάνω γίνεται κατὰ παραγωγὴν κλαίω· κλᾶται γὰρ ἡ τῶν ἀνθρώπων φωνή, ἐκ τοῦ κλαίειν, καὶ ἡ ψυχὴ τοῦτο πάσχουσα· ἢ παρὰ τὸ κλῶ τὸ καλῶ γίνεται κλαίω· ἐπικαλοῦνται γὰρ τοὺς ἀποθανόντας οἱ κλαίοντες, οἷον· ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον τ' ὀνόμηνεν ἑταῖρον [3].

Κλέα, δόξας· ἰστέον ὅτι τὰ κλέα καὶ χρέα ἀπὸ τοῦ κλέεα καὶ χρέεα γέγονε κατὰ συγκοπήν· εἰς τὸν πρῶτον κανόνα τοῦ Χοιροβοσκοῦ.

Κλάζω, καὶ κλαγγηδὸν, μετὰ κραυγῆς· κλαγγηδὸν δὲ πέτονται, ἀπὸ τοῦ κλάζω καὶ ὁ μέλλων κλάγξω· ὤφειλε δὲ ἔχειν τὸ γ ὁ ἐνεστώς· ἀλλ' ἐπειδὴ οὐδέποτε ἐν μιᾷ λέξει εὑρίσκεται τὸ ν πρὸ τοῦ ζ, τούτου χάριν ἀποβάλλει τὸ ν. ἐπὶ δὲ τοῦ μέλλοντος ἐπαναλαμβάνει· πρόσκειται ἐν μιᾷ λέξει, διὰ τὸ ἐνζεῦξαι, τοῦτο γὰρ οὐκ ἔστι μιᾷ λέξει, ἀλλὰ δύο· τοιοῦτον ἐστι καὶ τὸ πλάγχθη, ἀπὸ τοῦ πλάζω γινόμενον.

Κλαγγηδὸν, μετὰ κραυγῆς, ἐπίῤῥημα ποιότητος, γίνεται ἐκ τοῦ κλάγγη, τοῦτο ἐκ τοῦ κλάζω, ὁ μέλλων κλάγξω· ἔκλαγξε, ἤχησεν, ἐκτύπησε· μιμεῖται δὲ τὴν τοῦ χαλκοῦ βοήν· ἢ ἀπὸ τοῦ κλάζω, τροπῇ καὶ πλεονασμῷ τοῦ γ, ὡς τὸ ἐρίδουπος ἐρίγδουπος. καὶ ὤφειλεν ὁ ἐνεστὼς ἔχειν τὸ ν. ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε τὸ ν πρὸ τοῦ ζ, ἐν μιᾷ λέξει εὑρίσκεται. πρόσκειται ἐν μιᾷ λέξει, διὰ τὸ ἐνζεῦξαι· τοῦτο γὰρ οὐκ ἔστι μίᾳ λέξει ἀλλὰ δύο· ὅμοιόν ἐστι καὶ τὸ πλάγχθη, ἀπὸ τοῦ πλάζω γενόμενον, καὶ μὴ ἔχον τὸ ν ἐστὶ γὰρ πλανῶ, καὶ ἐξ αὐτοῦ πλανάζω, καὶ ἐν συγκοπῇ πλάζω, καὶ ἔχει τὸ ν ἀλλὰ διὰ τὸν κάνονα τοῦτον ἀποβάλλει τὸ ν· γίνεται οὖν πλάζω χωρὶς τοῦ ν. καὶ ὁ μέλλον πλάγξω καὶ ἔχει οὗτος τὸ γ. ὁ ἐνεστὼς δὲ διὰ τὸν εἰρημένον κανόνα οὐκ ἔχει τὸ ν. λοιπὸν ἐκ τοῦ κλάζω γίνεται ὄνομα ῥηματικὸν κλαγγὴ καὶ ἐπίῤῥημα κλαγγηδόν· τὸ γη ἦτα διάτι; τὰ εἰς δον

---

1) Ex Schol. Theocr. I, 27. vid. ibi Heins. p. 296. b. 2) L. κήρυλος. 3) Il. X, 522.

λήγοντα ἐπιῤῥήματα ἁπλᾶ, ὑπὲρ δύο συλλαβὰς, τῷ η θέλει παραλήγεσθαι, οἷον, καναχηδὸν, κρουνηδὸν, ἀγεληδὸν, ῥοιζηδόν· σεσημείωται τὸ βοτρυδὸν τῷ υ παραληγόμενον. πρόσκειται ἁπλᾶ, διὰ τὸ αὐτοσχεδὸν, καὶ διακριδόν· ταῦτα γὰρ σύνθετά εἰσι. πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ ῥυδόν· τοῦτο γὰρ δισύλλαβόν ἐστι. καὶ ἡ χρῆσις, ἐγὼ ῥυδὸν ἀφνειοῖο· τὸ δον μικρὸν διάτι; τὰ εἰς ον ἐπιῤῥήματα διὰ τοῦ ο γράφεται· πλὴν τοῦ χρεὼν, ἐμποδὼν, ἐκδεξιὼν, ἐξ ἀριστερῶν, ἐξευωνύμων καὶ τελευτῶν.

Κλαγγῆ, καὶ ἐνοπῇ ἄυτακτοι φωναί· τὸ ἐνοπὴ γὰρ ὄπισθεν εἴρηται· τὸ δὲ κλαγγὴ ἐκ τοῦ κλάζω, κλαγὴ καὶ κλαγγή· πεποίηται ἡ φωνὴ ἀπὸ τοῦ τῶν βελῶν προσκρούσεως· κλαγγὴ δὲ ἡ βοὴ τῶν γεράνων, ἀπὸ τῆς τοῦ ἤχου ἰδιότητος· οἱ σοφώτατοι τὰ τοιουτότροπα τῶν ὀνομάτων σχηματίζουσι.

Κλάδος, παρὰ τὸ λίαν καλὸν εἶδος ἔχειν· μᾶλλον δὲ κλάσας διὰ τὸ κινεῖσθαι.

Κλαυθμὸς, χαλήθυμός τις ὤν· καὶ εἰς τὸ κατεκήλησε· γίνεται δὲ παρὰ τὸ κλαίω κλαύσω, κλαυθμός.

Κλάδος, διὰ τὸ εἶναι κλέος τοῦ εἴδους αὐτοῦ, τουτέστι τοῦ πρωτοτύπου· πρῶτον γὰρ δένδρον εἶθ' οὕτω κλάδος· δένδρον γὰρ χωρὶς κλάδων κάλανος λέγεται.

Κλεῖν, ἀντὶ τοῦ, κλεὶς κλειδὸς, κλεῖδα, καὶ συγκοπῇ τῆς δα συλλαβῆς, κλεῖ· ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ μονοσύλλαβος ἑνικὴ, ἀρσενικοῦ ἢ θηλυκοῦ, αὐτὴ καθ' ἑαυτὴν οὖσα εἰς ν θέλει λήγειν, τούτου χάριν προσέλαβε τὸ ν, καὶ γέγονε κλεῖν, οἷον, μῦν, σῦν, ὀφρῦν.

Κλεισθένει, παρὰ τὸ κλέος καὶ τὸ σθένος γέγονε Κλεοσθένης, καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον Κλεισθένης, ὡς τὸ δέον δεῖν, πλέον πλεῖν.

Κλειτὴ, μία τῶν Ἀμαζόνων, ἥτις ἐλθοῦσα εἰς Ἰταλίαν, ᾤκησε, καὶ πόλιν ἔκτισεν, ἣν ὑπ' αὐτῆς Κλείτην ὠνόμασε· καὶ ἐβασίλευσε τοῦ τόπου· καὶ ἀπ' αὐτῆς αἱ διαδεχόμεναι τὴν βασιλείαν Κλειταὶ ὠνομάσθησαν, οὕτως Ὧρος. ὁ δὲ Ἀπολλώνιος [1]) καὶ στίχον ἐπιφέρει, οἷον, Κλειτὴ ἐϋπλόκαμος, τὴν μὲν νέον ἔξεστι πατρός· εὗρον δὲ ἄχος [2]) ἐν αὐτῷ, ὅτι Κυζικοῦ γαμετὴ ἦν Μέροπος θυγατὴρ, Περκώτις, τὸ γένος μάντεως· διχῶς δὲ ὁ τόνος· οἱ δὲ πλείους ὀξυτονοῦσι· σημαίνει δὲ καὶ τὴν ἔνδοξον, παρὰ τὸ κλειτός.

Κλειτοφῶν, παρὰ τὸ κλείω, τὸ δοξάζω, κλειτὸς καὶ ἐξ αὐτοῦ Κλειτοφῶν.

Κλείωμεν, ὀνομάσωμεν· τὴν διερὴν κλείωμεν.

Κλεῖθρον, ἐκ τοῦ κλείω τὸ ἀσφαλίζω καὶ κλειτὸς ἡ ἐξέχουσα, ὃ σημαίνει τὴν περιστροφὴν τοῦ ὄρους.

Κλεία, διὰ τῆς ει διφθόγγου γράφεται, ὅτι ἀντιπαράκειται αὐτῷ τὸ κλοιός· τὰ δὲ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχουσι τὸ ε ἐγκείμενον, οἷον, σπείρω σπορὰ, φθείρω φθορὰ, οὕτως οὖν καὶ κλείω κλοιός. ἰστέον δὲ ὅτι οἱ Ἴωνες τὸ κλήω διὰ τοῦ η γράφουσι καὶ διὰ τοῦ ἰῶτα· ἐξ οὗ καὶ τὸ κλήϊθρα. τοῦτο δὲ διὰ τῆς ει διφθόγγου γράφεται.

Κλεὶς, κατακλείς, ἀπὸ τοῦ ἐγκεκλεῖσθαι μεχρὶς αὐτῆς τὰ ἐντός.

Κλείω, σημαίνει τὸ δοξάζω καὶ τὸ ἀσφαλίζω· ἔστι δὲ καὶ ἕτερον κλύω τὸ δοξάζω καὶ ἀκούω διὰ τοῦ υ ψιλοῦ καὶ κλυτός· καὶ εἰς τὸ κλειτὸς καὶ ἀγακλειτὸς, ἔδδεισε καὶ κεκλημένος καὶ κλέος.

Κλεὸς, Πίνδαρος, οὐκ οἶδα ὅπου, φησὶ κλεός· κελεὸς κατὰ συγκοπὴν κλεός· κλεὸς, ὀξῦναί σε δεῖ.

Κλέος καὶ δύσκλεια, παρὰ τὸ δὺς μόριον καὶ τὸ κλέος. τὸ δὲ κλέος παρὰ τὸ κλείω ἐνεστῶτα, τὸ δοξάζω· Ὅμηρος· ἐγὼ δ' ἄν σε κλείω κατ' ἀπείρονα γαῖαν [3]). ἀντὶ τοῦ, ἄν μοι δῷς τι· παραφημῆσαι σε ἔχω εἰς πᾶσαν τὴν γῆν· ἢ παρὰ τὸ καλῶ ὁ μέλλων καλέσω· λοιπὸν ἐκ τοῦ καλέω γίνεται καλέος καὶ συγκοπῇ κλέος, ὅπερ ἅπαντες προσκαλούμεθα· καὶ βαρύνεται. τὸ ος μικρὸν διάτι; τὰ διὰ τοῦ ος οὐδέτερα διὰ τοῦ ο μικροῦ γράφεται.

Κλέπτης, παρὰ τὸ χαλέπτω, τὸ ὀργίζομαι χαλέπτης. ἀποβολῇ τοῦ α καὶ τροπῇ τοῦ χ εἰς κ κλέπτης· καὶ τί μετέχει τὸ ὀργίζομαι; ὀργίζεσθαι γὰρ ποιεῖ τοὺς ἀπολύοντάς τι· ἢ παρὰ τὸ καλύπτειν ἃ ἀφαιρεῖται.

Κλεοφόντης, τὰ εἰς ης παρ' οὐδετέρων συντεθείμενα, πάντως εἰς ους ἔχει τὴν γενικήν· παρ' οὐδετέρων συντεθείμενα εἴρηται, ἵνα κατὰ τὸ τέλος ἔχωσι τὸ οὐδέτερον, καὶ μὴ κατὰ τὴν ἀρχήν· τὸ γὰρ Κλεοφόντης κλεοφόντου παρ' οὐδετέρου ἐστὶ σύνθετον, ἀλλ' ὅμως οὐκ ἔχει εἰς ους τὴν γενικὴν, ὅτι οὐ κατὰ τὸ τέλος, ἀλλὰ κατὰ τὴν ἀρχὴν ἔχει τὸ οὐδέτερον· παρὰ τὸ κλέος γὰρ καὶ τὸ φόντης, ὃ σημαίνει τὸν φονεύσαντα.

Κλεύας, ἰστέον ὅτι τὸ κλέας καὶ τὸ κέας οὐ κλίνεται διὰ τοῦ ντ ὡς τὸ Αἴας αἴαντος, ἐπειδὴ οὐκ ἔχουσι τὸ α φύσει μακρόν· κλεύης γὰρ καὶ κέης, καὶ τροπῇ Δωρικῇ κλεύας καὶ κέας καὶ ἐφύλαξε τὴν ἰσοσύλλαβον κλίσιν· δηλοῦσι δὲ τὰ παρώνυμα, κλευάδης καὶ κεάδης ὄντα· ζήτει εἰς τὸν πρῶτον κανόνα τοῦ Χοιροβοσκοῦ.

Κλεψύδρα, ὄργανον ἀστρονομικὸν, ἐν ᾧ μετροῦνται αἱ ὧραι.

Κλεοβουλινη, τὸ λι ἰῶτα, τῷ χαρακτηριστικῷ τῶν διὰ τοῦ ινη. Κλεοβούλη δέ ἐστι θυγάτηρ τοῦ Κλεοβούλου, τοῦ σοφοῦ τοῦ Λυδίου, οὗ π . . στι . . τὸ μέτρον ἄριστον.

Κλείσιον, τόπος ἔνθα ἵστανται τὰ ζεύγη· ὁ μὲν τεχνικὸς διὰ τῆς ει διφθόγγου γράφεται· οἱ δὲ Ἴωνες διὰ τοῦ ἰῶτα· καὶ γάρ ἐστι κλίνω τὸ σημαῖνον τὸ περιέχω.

Κληδὼν, θεία φήμη, παρὰ τὸ κλέος, ὃ σημαίνει τὴν φήμην· Ὅμηρος. ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν· ἢ ἀπὸ τοῦ καλῶ κλῶ, κληδὼν ἐξ οὗ καὶ κλῆσις.

Κλῆθρα, ἀπὸ τοῦ κλεὶς γέγονε κλῆθρα· ἢ ἀπὸ τοῦ κλείω κλείσω· τὸ κλείω δὲ οἱ Ἴωνες διὰ τοῦ ἦτα καὶ ἰῶτα γράφεται, ἐξ οὗ τὰ κλῆθρα διὰ τοῦ η καὶ ι γράφεται.

Κλήδην, καλοῦντες, κηρύσσοντες, ἀπὸ τοῦ καλῶ, κλήδην.

Κληῒς, ὥσπερ ἀπὸ τοῦ τρώσω γίνεται τρώς, καὶ ἀπὸ τοῦ θήσω θὴς, οὕτω καὶ ἀπὸ τοῦ κλείσω κλείς· εὕρηται κατὰ διάστασιν τοῦ ι, καὶ ἔκτασιν τοῦ ε εἰς η κληῒς. ἔστι δὲ τὸ κληῒς μονῆρες· τὰ γὰρ εἰς η [4]) θηλυκὰ, ἔχοντα καθαρὸν τὸ ἰῶτα, συστέλλουσιν αὐτὸ, οἷον, Χρυσηῒς, Βρισηῒς· τὸ δὲ κληῒς μόνον ἐκτείνει τὸ ι καθαρὸν ὄν· οἷον, οἴξασα κληῗδι θύρας ἱεροῖο δό-

1) I, 973. 2) F. σχόλιον. 3) Od. XVII, 418. 4) L. τὰ εἰς ις θηλ.

μοιο [1]· ὅτε δὲ σύμφωνον ἔχει πρὸ αὐτοῦ, ἐκτείνουσιν· οἷον, ῥιπὶς σφραγὶς, βαρβὶς, ἀκτὶς, πολὶς· πολυκλήει ἀνεβίβασε τὸν τόνον· ὁ κανὼν, τὰ εἰς ις θηλυκὰ, εἰ μὲν βαρύτονα ἐν τῇ συνθέσει προπαροξύνεται. οἷον, πόλις ἀκρόπολις, μῆτις πολύμητις· εἰ δὲ ὀξύτονα, εἰ μὲν τοῦ αὐτοῦ γένους ὦσι, καὶ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον, αἰγὶς καταιγὶς, νυχὶς, παννυχὶς, οἰκὶς περιοικίς· ὁρᾷς ὦ γύναι τὸν κύριον τῆς περιοικίδος ἡμῶν· εἰ δὲ ἀρσενικοῦ γένους εἰσιν, εἰ μὲν ἐκτείνωσι τὸ δίχρονον ἐν τῇ συνθέσει παροξύνεται· οἷον ἀκτὶς, καὶ ὁ χρυσάκτις ἥλιος· κνημὶς εὐκνήμις, κληὶς πολικλήϊς· εἰ δὲ βραχὺ αὐτὸ ἔχουσι προπαροξύνονται· οἷον, πατρὶς εὔπατρις λιπόπατρις· ἀσπὶς ῥίψασπις καὶ σημαίνει τὸν δειλὸν στρατιώτην παρὰ τὸ ῥίπτειν τὴν ἀσπίδα καὶ φευγειν. κρεῖττον ἐστιν ἐν πολέμῳ ῥίψασπιν ἀπελεχθῆναι τινὰ, ἢ τὰ μέγα ὅπλον τῆς νηστείας ἀποβαλεῖν· τοῦτο δὲ τὸ κλεὶς ἐν τῇ συνθέσει καὶ βαρύνεται καὶ φυλάσσει τὴν ει δίφθογγον, οἷον κατάκλεις, Περίκλεις, τὸ γὰρ δίκλεις οὐκ ἔστι παρὰ τὸ κλεὶς, ἐπειδὴ εἶχεν ἂν βαρύνεσθαι, καὶ διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἀλλ' ἀπὸ τοῦ δὶς καὶ τοῦ κληὶς γέγονε δικληὶς καὶ κατὰ συγκοπὴν τοῦ η, καὶ συστολῇ τοῦ ι δικλίς· ὅμοιον δέ ἐστι καὶ τὸ κιγκλὶς, οὕτω δὲ λέγεται ἡ κιγκλλωτὴ θύρα, σημαίνει δὲ τὴν κατακλεῖδα παρὰ τὸ κατακλεῖσθαι ὑπ' αὐτῆς τόν τε αὐχένα καὶ τὸν ὦμον, ὅθεν καὶ Δημοσθένης φησὶ τὴν κλεῖν κατεαγότα.

Κληΐδες, αἱ τῶν ἐρεσσόντων καθέδραι· καὶ φεύγειν σὺν νηυσὶ πολυκληΐσι κελεύσω· παρὰ τὴν κλάσιν τῶν γονάτων· ὅθεν καὶ τὸ μετοκλάζειν, παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα.

Κλῆρος, παρὰ τὸ κλῶ μονοσύλλαβον, ὅπερ γέγονεν ἀπὸ τοῦ καλῶ κλῶ, ὁ μέλλων κλήσω, ῥηματικὸν ὄνομα κλῆρος, ὁ καλῶν ἐφ' ἑαυτὸν τὸν λαχόντα· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ κάλον τὸ ξύλον γέγονε κλῆρος, ἐπειδὴ ἐν ξύλοις ἐχάρασσον τὰ ὀνόματα αὐτῶν. Ὅμηρος, ὅς μιν ἐπιγράψας κυνέην· ἀντὶ τοῦ ἐπιξέσας τῷ ξύλῳ.

Κλῆρος, κυρίως ἡ γῆ, ὑπὲρ ἧς κλῆρος ἐγένετο· οἱ γὰρ πρῶτοι διαμερισάμενοι τὴν γῆν, εἰς διατροφὴν τὰς μερίδας ἔλαβον· νῦν δὲ πᾶσα ἡ οὐσία· ἐπίκληρος δὲ ὁ κληρονόμος· ὁμοίως λέγεται κλῆρος, τὸ σύστημα τῶν πρεσβυτέρων καὶ διακόνων, καὶ παντὸς ἱερατικοῦ τάγματος.

Κλῆρος, ἡ κληρονομία.

Κλῆρος, μέτρον γῆς, ὅθεν καὶ κληροῦχοι οἱ τοὺς κλήρους ἤτοι τὰ μέτρα κατέχοντες γῆς.

Κληρονομία, παρὰ τὸ κλῆρος καὶ τὸ νόμος, ἐξαπολείποντος καὶ τελείου. κληρονόμος ὁ τὸν κλῆρον νεμόμενος.

Κλήσκω, τὸ καλῶ.

Κλητὴ, ἡ ἐξέχουσα, ἐκ τοῦ κλῶ τὸ καλῶ.

Κλῆτος, προπερισπωμένως, τὸ τῆς στρατιᾶς ἄθροισμα καὶ τὸ πλῆθος. σημαίνει δὲ τρία· διὰ μὲν τῆς ἦτα τὴν συνέλευσιν καὶ τὴν συνάθροισιν, καὶ γίνεται παρὰ τὸ κλῶ τὸ καλῶ· ὡς τὸ, σήμερον τὸ κλῆτος τῶν θείων πατέρων· καὶ διὰ τοῦ ι μέρος τῆς οἰκίας, τὸ καλούμενον πρόσκλιτον· ὡς ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου· καὶ τὸ εὐώνυμον μέρος, ὡς τὸ, πεσεῖται ἐκ τοῦ κλίτους σου. ἔστι δὲ καὶ κλειτὸς ὁ ἔνδοξος διὰ διφθόγγου· ὅπερ καὶ ὀξύνεται.

Κλῆμα, παρὰ τὸ κλῶ τὸ κλάνω καὶ συντρίβω, εὔθραυστον γὰρ τὸ κλῆμα, ὁ μέλλων κλάσω, κέκλακα, κέκλαμαι, καὶ ἐξ αὐτοῦ κλάμα καὶ κλῆμα.

Κληδωνισμὸς ἐστι τὸ παρατηρεῖσθαι λόγους τινὰς, καὶ φθαρμοὺς καὶ τρισμοὺς ξύλων καὶ παλμοὺς μελῶν.

Κληδονίζεται, ἀπὸ ἀκοῆς τὰς μαντείας δέχεται.

Κλίνη, παρὰ τὸ κλίνω, τοῦτο παρὰ τὸ κλῶ· κλάσιν γὰρ λαμβάνουσι τὰ κλινόμενα, στερισκόμενα τῆς ὀρθότητος, καὶ εἰς τὸ κλίνω.

Κλισμοῖσι, θρόνοις, ἔχουσιν ἀνακλίσεις, παρὰ τὸ κλίνω.

Κλιτὺς, ὁ μὲν Ἀπίων, τὸ κατωφερὲς τῶν ὑδάτων· ἄμεινον δὲ τὰ ἀποκλίσματα καὶ ἐξέχοντα τῶν ὀρέων, παρὰ τὸ κεκλίσθαι· ἢ παρὰ τὸ κλετὸς ὃ σημαίνει τὸ αὐτὸ γέγονε κλετὺς, καὶ πλεονασμῷ τοῦ ι κλειτύς.

Κλιταριάζειν, Κλιτόριόν ἐστι ὄνομα πόλεως, οὔσης ἐν τῇ Ἀρκαδίᾳ, παρὰ τὸ κλύω γέγονε Κλυτόριον καὶ Κλιτόριον, ὡς δύφρος δίφρος· σημαίνει δὲ καὶ τὸ αἰδοῖον τῆς γυναικός· ὅθεν καὶ κλιταριάζειν λέγεται τὸ συχνῶς ἅπτεσθαι τοῦ αἰδοίου τῆς γυναικός· κλητώριον δὲ ἡ βασιλικὴ τράπεζα ἀπὸ τοῦ καλεῖν· χρὴ δὲ γινώσκειν, ὅτι πηγή ἐστιν ἐν τῇ πόλει ταύτῃ, ἧς τινος ὁ γευόμενος, ἀποστρέφεται τὸν οἶνον.

Κλίσιον, τόπος ἔνθα ἵστανται τὰ ζεύγη· ὁ μὲν τεχνικὸς διὰ διφθόγγου γράφει, ὁ δὲ Ὦρος διὰ τοῦ ἰῶτα, λέγων, παρὰ κρίνω ἔστι τὸ σημαῖνον τὸ περιέχω καὶ ἐκεῖθεν κλίσις ἡ περιέχουσα· καὶ ἐκεῖθεν κλίσιον ὑποκοριστικόν· τοῦτο παρὰ μὲν Ὁμήρῳ συστέλλει τὸ ἰῶτα, καὶ προπαροξύνεται, οἷον, περὶ δὲ κλίσιον θέε πάντη· τὰ γὰρ διὰ τοῦ ιον παρώνυμα τριβραχέα προπαροξύνοντα, οἷον, στόμα στόμιον, θρόνος θρόνιον, οὕτως οὖν καὶ κλίσιον· παρὰ δὲ Ἀττικοῖς ἐκτείνει τὸ ἰῶτα καὶ παροξύνεται· τὰ γὰρ διὰ τοῦ ιον παρώνυμα δακτυλικὰ, πρὸ μιᾶς τὸν τόνον ἔχουσιν, ὡς τὸ ὠτίον, κλεὶς κλειδὸς κλειδίον.

Κλίβανος καὶ κρίβανος ἕν· κλίβανος ὁ φοῦρνος, ἔνθα ὀπτῶσι τοὺς ἄρτους, παρὰ τὸ κρι ἐπιτατικὸν τὸ σημαῖνον τὴν κρίθην, καὶ τὸ βαῦνον, ὃ σημαίνει, τὴν κάμινον, γέγονε κρίβαυνος, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, καὶ ἀποβολῇ τοῦ υ γέγονε κλίβανος· καὶ εἰς τὸ κρίβανος.

Κλῖμα, τὸ μέρος, ἡ γωνία, ὁ τόπος, ἐκ τοῦ κλίνω.

Κλίμαξ, ἡ σκάλα, διὰ τὸ καλεῖν εἰς μῆκος· ἢ ἀπὸ τοῦ κλίνω γίνεται κλίναξ καὶ κλίμαξ.

Κλισία, ἡ σκηνὴ, παρὰ τὸ κλίνεσθαι ἡμᾶς ἐν αὐτῇ κεκοπωμένους· κέκλισαι κλίσις καὶ κλισία· ὡς κόνις κονία, θέσις θεσία καὶ συνθεσία.

Κλισμὸς, ἀπὸ τοῦ κλίνω κλινῶ κέκλικα κέκλισμαι κλισμὸς, σημαίνει δὲ τὴν καθέδραν.

Κλίνη, τῷ λόγῳ τῶν διὰ τοῦ ινη, καὶ ὅτι παρὰ τὸ κλίνω γέγονε· τὸ δὲ κλίνω διὰ τοῦ ἰῶτα.

Κλονίος, ὄνομα κύριον παροξύτονον· τὰ γὰρ εἰς ος λήγοντα βραχέα ἐπὶ κυρίων τασσόμενα παροξύνονται· οἷον, Σχεδίος, Χρομίος, Δολίος, Ὀδίος· ἀντιπίπτει δὲ τὸ ἅλιος κατὰ παράδοσιν καὶ τὸ ἄνιος καὶ τὸ Κρόνιος καὶ τὸ ξένιος.

[1]) Il. VI, 89.

Κλόνος, ὁ τάραχος, παρὰ τὸ κλόνω κλόνος καὶ κλόνος· τὸ δὲ κλόνω ἐκ τοῦ κλῶ.

Κλοιὸς, παρὰ τὸ κλείω· περικλείει γὰρ περιτιθέμενος.

Κλοιὸς καὶ κλωὸς, ἐκ τοῦ κλείω τὸ ἀσφαλίζω, ἡ κλῦσις, ὁ ζυγὸς τῶν βοῶν, ὁ περιαυχένιος δεσμός· καὶ τὸ χρυσοῦν περιτραχήλιον· ἤτοι τὸ περιτιθέμενον ἐν τῷ τραχήλῳ κόσμον.

Κλοιὸς σημαίνει τὰ σίδηρα, ἃ φοροῦσιν οἱ καταδικοί· παρὰ τὸ κλείω κλοιὸς, κλείει γὰρ περιτιθέμενος· εἶθα τὸ κλοιὸς γίνεται κατ' ἔκτασιν κλωιὸς μετὰ τοῦ ἰῶτα.

Κλῦθι, ἀπὸ τοῦ κλύω κλῦμι, τὸ προστακτικὸν κλῦθι.

Κλυτὸς, ὁ ἔνδοξος, παρὰ τὸ κλύω τὸ δοξάζω, γίνεται κλυτὸς καὶ κλυτὰ, ἔνδοξα, λαμπρά.

Κλυταιμνήστρα, παρὰ τὸ κλυτὸς καὶ τὸ μήδω, τὸ φροντίζω γίνεται κλυτομνήστρα, ἡ ἔνδοξα φροντίζουσα, καὶ τροπῇ τοῦ ο εἰς α καὶ πλεονασμῷ τοῦ ι Κλυταιμνήστρα.

Κλύω, τὸ ἀκούω· κέκλυτέ μευ πάντες τε θεοί· παρὰ τὸ καλῶ κλῶ, ὃ σημαίνει τὸ φωνῶ, γίνεται κατὰ παραγωγὴν κλύω· ὅς κε θεοῖς ἐπιπείθηται μάλα τ' ἔκλυον αὐτοῦ, ἀντὶ τοῦ πλέον ὑπακούουσιν αὐτοῦ.

Κλῦθί μευ, ἐπάκουσόν μου, ἐκ τοῦ κλῦμι ἐνεστῶτος καὶ παρατατικοῦ· τῶν εἰς μι γὰρ ἡ τετάρτη συζυγία τὸν ἐνεστῶτα καὶ παρατατικὸν ἔχει ἐπὶ πάσης ἐγκλίσεως· καί ἐστι Λαμψάκηνον τὸ κλῦθι.

Κλυτὲ, ἀκούσατε, ῥῆμα ἀορίστου πρώτου, ἐξ οὗ ἔχει μακρὸν τὸ υ· ὁ γὰρ ἐνεστὼς βαρύτονος· σημαίνει δὲ δύο· τὸ δοξάζω καὶ τὸ ἀκούω· καὶ τὸ μὲν δοξάζω γίνεται ἐκ τοῦ κλέος κλύω, ὡς ἀπὸ τοῦ ῥέω ῥύω, χέω χύω, ξέω ξύω, οὕτω καὶ κλέω κλύω· τὸ δὲ ἀκούω ἀπὸ τοῦ καλῶ κλῶ κλύω κλῦμι, ἔκλυν κλῦς κλῦθι, καὶ κατ' ἀναδιπλασιασμὸν κέκλυθι· τὸ κλυ βραχύ· ἰστέον ὅτι τὰ παροξύτονα τοῦ ἐνεστῶτος βραχεῖ θέλουσι παραλήγεσθαι.

Κλύδων, ἐκ τοῦ κλύζω.

Κλύμενος, ὁ ᾅδης, ὁ ἀλιτανατος, ἀπὸ τοῦ μηδενὸς κλύειν.

Κλύζω, τὸ βυθίζω, ἐξ οὗ καὶ τὸ, ἴδμεν τὸ πρῶτον τὴν πανώλεθρον κλῦσιν· καὶ τὸ νῦν δὲ κλύσαντα.

Κλωστὴρ, παρὰ τὸν κλώσω μέλλοντα κλωστὴρ, ὡς παρὰ τὸ λάμψω λαμπτήρ.

Κλὼψ, ὁ κλέπτης καὶ ὁ ληστής· παρὰ τὸν κλέψω μέλλοντα γίνεται κατ' ἀποβολὴν τοῦ ω κλὲψ καὶ κλὲψ κατ' ἔκτασιν κλὼψ, ὡς βλέψω βλὲψ καὶ βλὼψ ὁ στραβός.

Κλῶ, σημαίνει ἕξ, τὸ καλῶ ἐξ οὗ καὶ κλῆρος· τὸ ἐπαινῶ ἐξ οὗ καὶ κλύω τὸ ἐπαινῶ· τὸ κλάνω ἐξ οὗ καὶ τὸ κλαίω, παρὰ τὸ κεκλᾶσθαι τὴν φωνὴν ἐν τῷ κλαίειν· τὸ φωνῶ καὶ τὸ ἀκούω, ἐξ οὗ καὶ κατὰ παραγωγὴν κλύω κλῶ· τὸ ἐμποδίζω, ἐξ οὗ καὶ κλᾷν τὸ ἐμποδίζειν· καὶ κλῶ τὸ φονεύω, ἤτοι τὰ ποντίζω· καὶ εἰς τὸ εὐκλόνητον, καὶ ἐπίκλημα, καὶ κλαίω καὶ κλῆμα.

Κλωπείαν, ἐκ τοῦ κλὼψ κλωπὸς, ὃ σημαίνει τὸν κλέπτην.

Κλώθω, παρὰ τὸ συγκλωσθαῦθαι καὶ ξυνείρεσθαι τὰ πάντα, καὶ μίαν αὐτῷ τεταμένην εἶναι δόξαν· καὶ εἰς τὸ αἷμα.

Κμέλεθρα, δεῖ γινώσκειν, ὅτι τὸ κ πρὸ τοῦ μ οὐδέποτε εὑρίσκεται ἐν ἀρχῇ λέξεως· τοῦ γὰρ πολύκμητος οὐχ εὕρηται ἐν χρήσει τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμητός· καὶ πάλιν τὸ κέκμηκα οὐκ ἔστιν ἀπὸ τοῦ κμῶ, ἀλλ' ἀπὸ τοῦ καμῶ, καμήσω, κεκάμηκα καὶ κατὰ συγκοπὴν κέκμηκα. σημαίνει δὲ τὸ κεκοπίακα· λέγει δὲ ὁ Ἡρωδιανὸς, τὸν Πάμφιλον ἀναγαγεῖν ἐν ταῖς γλώσσαις τὰ κμέλεθρα, σημαίνει δὲ τὰς δοκούς· τὸ δὲ πολύκμητος σημαίνει ὁ μετὰ πολλοῦ κάματος γενόμενος.

Κναφεὺς, παρὰ τὸ κάμπτω, ὅπερ ἐστὶν ἀπὸ τοῦ κνῶ τὸ ξύω· ξύουσι γὰρ τὴν τῶν ἀκνάπτων ἱματίων κροκίδα· οὕτως Φίλος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων· ἐὰν δὲ διὰ τοῦ γ γναφεὺς, παρὰ τὸ κάμπτω γάμπτω καὶ γνάμπτω, γναφεύς.

Κάμψω, εἰς τὸ κνάφος. κνάφος, ἀπὸ τοῦ κνῶ γίνεται κνάφος, ὡς παρὰ τὸ σχῶ χάπτω· καὶ ῥηματικὸν ὄνομα κνάφος· σημαίνει δὲ τὸ ἀκανθῶδες φυτὸν, ᾧ τὰ ἄθικτα τῶν ἱματίων ἐπισύροντες κατεργάζονται· Ἀλκαῖος, μὴ μέγαν περικνάφον παραστίχειν ἕνα κύκλον.

Κνέφας σημαίνει τὸ σκότος, παρὰ τὸ κενὸν ὄφασι, κένεφας καὶ ἐν συγκοπῇ κνέφας. ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ φάος γίνεται νήφας καὶ κατὰ συστολὴν καὶ πλεονασμῷ τοῦ κ κνέφας· εἴρηται δὲ καὶ κνέφας, ὡς οὖδας οὐδός.

Κνήμη, ἀπὸ τοῦ κινῶ κινήμη, καὶ κατὰ συγκοπὴν κνήμη, οἱονεὶ τὰ κινήσεως αἴτια· ἰστέον ὅτι ἔμπροσθεν λέγεται ἀντικνήμιον· τὸ δὲ ὄπισθεν γαστροκνήμιον· κυρίως δὲ κνήμαι λέγονται καὶ τὰ διαιροῦντα ξύλα τὴν χοινικίδα τοῦ τροχοῦ· σημαίνει δὲ καὶ τὰς ἐξοχὰς καὶ προβάσεις, καὶ καθύγρους τόπους τῶν ὀρῶν.

Κνῆ τυρὸν, εἰς τὸ κνυζώσω, ἐξ οὗ καὶ τὸ κνῆστις, σημαίνει δὲ μάχαιραν, ἀπὸ τοῦ κνῶ κνῆστις, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν, κνήστι χαλκείῃ [1]).

Κνίσσα, ἡ ἀναθυμίασις τοῦ κάπνου. παρὰ τὸ κνίζω ὁ μέλλων κνίσω, καὶ κνίσω· τὸ δὲ κνῶ σημαίνει τὸ ξύω· κνισμὸς γὰρ λέγεται κατὰ τῆς ὀσφρήσεως· ἔστι δὲ τὸ λίπος, καὶ ὁ ἐπίπλους.

Κλυζῶσαι σημαίνει τὸ διαφθεῖραι καὶ κακῶσαι, οἷον, κνυζώσω δέ τοι ὄσσε περικαλλέ' ἐόντε [2])· ἔστι ῥῆμα κνυζῶ πρώτης καὶ τρίτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων κνυζήσω, ἐξ οὗ καὶ τὸ κνυζηθμός. ὡς μυκηθμός· κνυζηθμῷ δ' ἐτέρωσε διὰ σταθμοῖο φόβηθεν [3]). καὶ πάλιν Σοφοκλῆς· φρίζω, κυνηδὸν ἐξέπραξαν κνυζόμενόν ἐστι· καὶ τρίτης κνυζώσω δέ τοι ὄσσε· καί τινες μὲν λέγουσιν ἀπὸ μεταφορᾶς τῶν κυνῶν· κυνὸς γὰρ κυνῶ καὶ κνυζῶ, ὅπερ ἐστὶν ἀπρεπές· οἱ δὲ παρὰ τὴν κνύζαν, οἷον, χαμαιζήλοιο κνύζοιο γίνεται κονυζῶ, ὡς ῥίζα ῥιζῶ, ὅπερ ἀπίθανον· ἄμεινον οὖν Φιλοξένῳ συγκατατίθεσθαι, ὅτι ἀπὸ τοῦ κνῶ γίνεται παράγωγον κναίω, τὸ σημαῖνον τὸ διαφθείρω, ὡς Ἀριστοφάνης ἱππεῦσιν, ἐπὶ ταύτης κατακνίεσθέ τε αὐτῷ τὸ μετὰ τυρὸν [4])· παραιτητέον δὲ τοὺς γράφοντας κατακνησθείην περί τε Ἀριστοφάνους ἀναγνώσεως· ἀλλὰ ῥίμφα δέδοικα μὴ τὰ πράγματα ἡμῶν διακνήσει· παρὰ γὰρ τὸ κνῶ μονοσύλλαβον γέγονε κνῆμος· ἀλλ' ἔστι στρογγύλιόν τι συγκνωμωθέντες· παρὰ οὖν τὸ κνῶ κνίζω, ὡς στῶ στίζω, πρῶ πρίζω, ἐξ οὗ καὶ τὸ κνίζα, ἡ τῇ φύσει προΐζουσα· ἀπὸ δὲ τοῦ κνίζω γίνεται κνύζω, ἐξ οὗ καὶ τὸ κνίζα· τοῦτο δὲ ὡς λέγει Ἡρωδιανὸς ἐν

---

1) Il. XI, 638. 2) Od. XIII, 401. 3) Od. XVI, 163. 4) ... L. ἐπὶ τυρῷ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ.

τῷ καθολ' εἰ μὲν ἐπὶ φυτοῦ κατὰ συγκοπήν ἐστιν, οἷον, χαμαιζήλοιο κονύζης, ἀλλ' ἀπὸ τοῦ κνύω, ἀφ' οὗ καὶ κνυὸς ἡ φθορὰ, οἷον, κατὰ κνυὸς ἔχευε.

Κνώδαλα, κυρίως μὲν τὰ τῆς θαλάσσης ζῶα· τοῦτο δὲ ὡς λέγει Ἡρωδιανὸς, διὰ τὸ ἐνάλιον κινεῖσθαι, κινάδαλά τινα ὄντα· καταχρηστικῶς δὲ ἐπὶ πάντων τῶν θηρίων ἡ λέξις τίθεται, κνυώδαλά τινα ὄντα, διὰ τὸ ὑπὸ τῶν κυνῶν ἁλίσκεσθαι· Ἡσίοδος ἐν Θεογονίᾳ, κνώδαλα ὅσσα ἤπειρος, πολλὰ τρέφει θάλασσα.

Κνώδαλον, κυρίως τὸ θαλάσσιον κῆτος· Ὅμηρος δὲ θηρίον κυνόδαλον τὸ ὑπὸ κυνὸς ἁλισκόμενον· καταχρηστικῶς δὲ καὶ τὰ χερσαῖα ζῶα· ἐτυμολογεῖται δὲ παρὰ τὸ κνώσσω τὸ κοιμῶμαι· ἢ παρὰ τὸ εἶναι κενὰ ὄσσα, τουτέστιν ὄμματα· σημαίνει δὲ ζῶον θαλάσσιον μικρὸν καὶ εὐτελές.

Κνῶ, διάφορα σημαίνει· κνῶ τὸ φθείρω, ἐξ οὗ καὶ κνύζω· κνῶ τὸ κνήθω, ἐξ οὗ καὶ κνῆσις, καὶ κνήμη· κνῶ τὸ κάμπτω, ἐξ οὗ καὶ ἀκμὴ ἡ μὴ κάμνουσα, κατὰ στέρησιν τοῦ α· καὶ ἄκμων, ὁ μὴ κάμνων· κνῶ τὸ κοιμῶμαι ἐξ οὗ καὶ κνώσσειν τὸ κοιμᾶσθαι· γέγονε δὲ παρὰ τὸ ὄσσω τὸ βλέπω καὶ τὸ κενόν.

Κνυζίω, εἰς τὸ ἀποκνυζιόμενος καὶ κνυζηθμός.

Κνήμη, παρὰ τὸ κινῶ κινήμη καὶ κνήμη. παρὰ τὸ ἐν κινήσει ὑπάρχειν· ἔστι δὲ τὸ ὑπὸ τὸ γόνυ μέρος τοῦ σκέλους· ἥτις καὶ κνημὶς καὶ κνήμη λέγεται· τὸ δὲ καμπυλὸν τοῦ σκέλους ἰγνύς.

Κνήμη, τὰ δύο ἦτα, κνήϊμη τις, ἀποβολῇ τοῦ ι κνήμη· εἴρηται δὲ κνήμη, παρὰ τὸ κνήθεσθαι.

Κνημῖδες, καὶ μετὰ τοῦ εὖ εὐκνήμιδες· ἡ εὐθεῖα εὐκνῆμις, τὸ μις μακρόν· τὰ εἰς ις θηλυκὰ, ὅτε ἐκτείνει τὸ ἰῶτα, καὶ μακρύνει, καὶ περισπᾶται τὸ υ, τότε δεῖ περισπᾶν τὸ ι καὶ υ, ἡνίκα εὑρεθῇ πρὸ αὐτοῦ προστακτικὸν φωνῆεν κατὰ διάστασιν· γίνεται ἐκ τοῦ κνήμη κνημὶς, τὸ ὄπισθεν τοῦ σκέλους λέγεται ἰγνύη· μυῶν δὲ τὸ σαρκῶδες καὶ νευρῶδες· κνημῖδες δέ εἰσι, τὰ ἐν ταῖς κνήμαις φορούμενα φυλακτήρια τῶν στρατιωτῶν· καὶ εἰς τὸ εὐκνημίς.

Κνησμὸς καὶ κνισμὸς, ἐκ τοῦ κνηθῆ.

Κνῆστις, σκεῦος, ἐν ᾧ ἐπιξύουσι τὸν τυρὸν, ἡ ἀρτόκοπος μάχη· ἐκ τοῦ κνῶ τὸ κόπτω.

Κνίσσα, τοῦ λίπους καὶ τῆς ἀναθυμιάσεως τουτέστι καπνοῦ· γίνεται δὲ παρὰ τὸ κνίζω κνίσω, ὃ σημαίνει τὸ λεπτύνω, λεπτότατον γάρ ἐστιν ὁ ἐπίπλους, τουτέστι τὸ λεγόμενον κνισσάριον· ἢ ἀπὸ τοῦ κνιμὸς κνίσα· τοιοῦτον ἐστι καὶ τὸ συνκάμνα κνίζοντα, τουτέστι τῷ ὄνυχι διακαθαίροντα· καὶ ἐν τῷ νόμῳ, ἀποκνιεῖ ὁ ἱερεὺς τὸ ὁλοκαύτωμα· καὶ εἰς τὸ λιγανῶδες.

Κνίσσα, σημαίνει δ' αὐτὸ τὸ λίπος, καὶ τὸν ἐπίπλουν, καὶ τὸ κρέας, καὶ τὴν ἀναθυμίασιν.

Κνυζηθμὸς, ὁ τῶν κυνῶν κλαυθμός· ἢ κλαυθμοῦ ἄσημος φωνὴ, ἀπὸ τοῦ κνύζεσθαι· ἴσως ἀπὸ τῶν κυνῶν, καὶ ἡ κνύζα κατὰ συγκοπὴν, κονύζα γάρ ἐστιν εἶδος φυτοῦ, καὶ κνυζοῦν τὸ ἀχρειοῦν. καὶ Ὅμηρος· κνυζώσω δέ τοι ὄσσε, παρὰ τὸ κνῶ κνύω καὶ κνυζῶ παράγωγον τὸ διαφθείρω· εἴρηται δὲ κνυζοῦν καὶ τὸ ξύειν παρὰ Δωριεῦσι· καὶ παρ' Ὁμήρῳ, ἐπεὶ δὲ αἴγειον κνῆ τυρὸν, ὥστε κνύω δηλοῖ τὸ ξύω· Σώφρων· κνύζομαι δὲ οὐδὲν ἰσχύων· ἃ δὲ ξῦσμα [1]) ἐκ ποδῶν εἰς κεφαλὴν ἱππάζετο, ἀντὶ τοῦ νήθω, παρὰ δὲ τὸ κνῶ κναίω τὸ διαφθείρω, καὶ παράγωγον κνύζω, ὡς στῶ στίζω, φυτῶ φυτίζω, οὕτω κνῶ κνίζω, καὶ ὄνομα κνίζα· καὶ ἐξ αὐτοῦ κνιζῶ ὡς ῥίζα ῥιζῶ· τὸ δὲ κνιζοῦν ἐπὶ τοῦ διαφθείρειν.

Κόβαλος, ὁ λῃστὴς, ἀπὸ τῆς κοπίδος κοπίβαλός τις ὤν· ἢ ὅτι κακότεχνος ἡμῖν κόβαλός ἐστιν· ὅθεν καὶ κοβαλεύειν καταχρηστικῶς εἴρηται τὸ μεταφέρειν ἀλλότρια κατ' ὀλίγον· Ὦρος δὲ κόβαλα λέγει τὰ κατεστομυλημένα, καὶ κοβάλους τοὺς λάλους· ἀπὸ τοῦ κόψαι πεποιημένης τῆς λέξεως.

Κόβαλος, πανοῦργος, οἱονεὶ κοπίβαλός τις ὤν, καὶ κοβαλία, καὶ κοβαλεύω.

Κόθορνος, γυναικεῖον ὑπόδημα, τετράγωνον· ὑπὸ τοὺς κοθόρνους, τὸ σχῆμα ἁρμόζον ἀμφοτέροις τοῖς ποσί.

Κόθουρος, σημαίνει τὸν κόνδουρον, παρὰ τὸ κεύθειν τὴν οὐράν.

Κοιλία, ἀπὸ τοῦ κοῖλον εἶναι· ἢ ἀπὸ τοῦ λεαίνειν τὴν τροφὴν, καὶ χολοῦν, χοιλία καὶ κοιλία.

Κοιλὰς, τὸ βαθὺ τῆς γῆς, διὰ τὸ κοῖλον λίαν· καὶ εἰς τὸ φάραγξ.

Κοίλῃσι, βαθείαις, Ἰωνικὴ ἐπέκτασις, παρὰ τὸ κῶ τὸ κεῖμαι, τὰς γὰρ εἰς αις δοτικὰς εἰς ησι ποιοῦσιν οἱ Ἴωνες· γράφεται δὲ τὸ κοι διφθόγγῳ, ἐπειδὴ εὕρηται κατὰ διάλυσιν κόϊλον.

Κοιλία, διὰ τὸ κύειν τὰ λεῖα· ἢ διὰ τὴν τροφὴν λίαν κύειν· ἢ παρὰ τὸ κοῖλον, ὃ σημαίνει τὸ βαθὺ καὶ περιφερές. τὸ δὲ κοῖλον, παρὰ τὸ κεῖσθαι ὅλον· τὸ κοι διφθόγγῳ διάτι; ἀπὸ τοῦ κόϊλον κοῖλον, ἐξ οὗ καὶ κοιλία. κριλία χηλία τις οὖσα, διὰ τὸ μένειν τὴν τροφήν.

Κοιμῶμαι, ἀπὸ τοῦ κῶ, τοῦ σημαίνοντος τὸ ὑπνῶ, γίνεται κείω, ὡς τὸ θῶ θείω, σῶ σείω· ὁ παθητικὸς ἐνεστὼς κείομαι καὶ ἐν συγκοπῇ κεῖμαι· ἀφ' οὗ ὄνομα ῥηματικὸν κοίμη, ἐξ οὗ ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων κοιμῶ κοιμᾷς· τὰ γὰρ ἀπὸ τῶν εἰς η θηλυκῶν γινόμενα ῥήματα δευτέρας συζυγίας εἰσιν, ὡς ἐπὶ τὸ πλεῖστον· ὁ δὲ Ὦρος κείω κοιμὸς, καὶ λείπω λοιμὸς καὶ ῥῆμα κοιμῶ.

Κοινὸς, οἶμαι ὅτι παρὰ τὸ κείω τὸ κεῖμαι, καὶ οἰνὸς καὶ κοινὸς, ὁ πᾶσι προκείμενος, ἢ γινόμενος· καὶ κοινὸς, ὁ εὐκόλως γινόμενος πᾶσι· ἢ κοιμὸς ὁ συγκοιμώμενός τινι· ἢ παρὰ τὸ γῶ τὸ δέχομαι γίνεται γοινὸς καὶ κοινὸς, ὁ δεκτικὸς καὶ εὐπρόσδεκτος· λέγεται Κοινὸς βασιλεὺς Μακεδονίας· Μαρσύας ἱστορεῖ, ὅτι Κνώπις τὸ γένος Κόλχος εἰς Μακεδονίαν ἐλθὼν, διέτριβε παρὰ Καράνῳ· υἱοῦ δε γενομένου τῷ Καράνῳ καὶ βουληθέντι τὸν παῖδα ἀπὸ τοῦ ἰδίου πατρὸς ὀνομάζειν Καράρονα ἀνθίστατο ἡ μητήρ· καὶ αὐτὴ ἀπὸ τοῦ ἰδίου πατρὸς τὸν παῖδα ὀνομασθῆναι βουλομένη· Κνώπις δὲ ἐρωτηθεὶς εἶπε, μηδ' ἑτέρου ὀνομάζεσθαι αὐτὸν, διόπερ Κοινὸς ἐκλήθη· ἔνιοι δ ἁμαρτάνοντες Καινὸν αὐτὸν καλοῦσι.

Κοινὸς, σημαίνει δύο, τὸν μεμολυσμένον· ὡς τὸ, αἷμα Χριστοῦ κοινὸν ἡγησάμενος, ὅπερ ἀπὸ τοῦ φοινὸς, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν κοινός· τοῦτο δὲ ἐκ τοῦ φόνος φοινός· κυρίως λέγεται, τὸ ἀφ' αἵματος μεμολυσμένον· καὶ κοινὸς ὁ κεκοινωμένος καὶ ἀναμεμιγμένος πολλοῖς.

Κοινωνὸς, ὁ τινὶ ἀνακείμενος· ἐκεῖνο δὲ παρὰ τὸ κεῖμαι· τὸ ω μέγα διάτι; τὰ μέσον δύο ἀμεταβόλων.

Κοινωνία, διὰ τὸ ἐνίζεσθαι ἀλλήλοις, ἤγουν ἑνοῦ εἶναι· ἢ διότι εἰς κοινὸν ἰαίνουσι τὰ μέρη.

Κοῖος, ὁ πατὴρ τῆς Λητοῦς· παρὰ τὸ κοεῖν, ὃ ἐστι νοεῖν, καὶ συνιέναι ὅ ἐστι συνετός.

---

1) F. βαιὰ δ' ἐξίσμαι, ex Herod. ap. Eustath. Hom. p. 1766, 34.

Κοίρανος, ὁ ἡγεμὼν καὶ ἀρχηγὸς· ὥσπερ παρὰ τὸ ἀθρεῖν τὸ βλέπειν λέγεται, ὀθρὺς τὸ ὄρος, κατὰ τροπὴν τοῦ α εἰς ο· ἀφ' οὗ ἐστι τὰ μακρόθεν ἐνέστοτα· καὶ παρὰ τὴν ἀρχὴν ὀραχχμος καὶ ὄρχαμος, οὕτω καὶ παρὰ τὸ καιρὸς γέγονε κοίρανος, μεταθέσει τοῦ α εἰς ο, οἱονεὶ καίρανός τις ὢν, ὁ ἐν καιρῷ ἄρχων.

Κοιρανέων, διατάσσων ἐπερχόμενος, καὶ τὸ τοῦ κοιράνου ἔργον ἀποτελῶν.

Κοίτη, ἀπὸ τοῦ κέω, κῶ τὸ κεῖμαι, ὁ παθητικὸς ἐνεστὼς τῶν εἰς μι κεῖμαι, κεῖται, καὶ ἐξ αὐτοῦ κοίτη, ἐν ᾗ ἐστι κεῖσθαι κοιμωμένους· ὁ δὲ Θεόγνωστος, παρὰ τὸ κῶ, ὃ σημαίνει τὸ ὑπνῶ, γίνεται κείω, ὡς θῶ θείω· παρὰ τὸ κείομαι κεῖται, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κοίτη.

Κοΐτις, Ἀττικῶς, ἡ μικρὰ κύστη, τὴν γὰρ κύστην κοίτην λέγουσιν· ἔστι δὲ ἐν αἷς κοιταζόμεναι αἱ γυναῖκες ἀπετίθεντο τὰ χρυσία.

Κοκκότιον, ὁ δῆμος Ἑλληνιστὶ, κυρίως ἁπάσης γῆς οἰκουμένης.

Κοκίας, ὁ προγονός· ἔστι δὲ ἰακὴ ἡ λέξις· σημαίνει δὲ τὴν ἤδη κεκυημένην.

Κόκκυξ, ὄρνεον ἐαρινὸν, παραπλήσιον ἱέρακι· ἢ ὄρνεον δειλότατον, ὡς Ἀνακρέων Φησὶ, ἐγὼ δ' αὐτῆς Φεύγω ὥς τε κόκκυξ.

Κόλαξ, οἱονεὶ ὁ τεταπεινωμένως θεραπεύων τινά· παρὰ τὸ κόλον παράγωγον κόλαξ· κόλον δὲ τὸ ταπεινὸν καὶ μὴ ὁλόκληρον· τινὲς δὲ Φασὶ παρὰ τὸ κολλᾶσθαι, κολλαξ τις ὢν, ἐξ οὗ καὶ δύσκολος ὁ δυσχερῶς τινι κολλώμενος· σημαίνει δὲ τὸ κόλαξ τὸν παράσιτον καὶ παραμένοντά τινι· οἶον, κόλακος [1]) γὰρ Φησὶ καὶ μνημονικὸν πρὸς κακίαν, καὶ τῶν ἀγαθῶν εὐεπίληστον.

Κολαφίζω καὶ κόλαφος, παρὰ τὸ κόλον ἀφεῖσθαι κατὰ τοῦ συντομένου μέρους· ἤγουν ἀσθενὲς καὶ ταπεινὸν πρὸς τὰ λοιπὰ μέρη, κόλος γὰρ τὸ ταπεινὸν, καὶ μὴ ὁλόκληρον· ὁ δὲ Ἀπίων ἀπὸ τοῦ κολάψαι· τὸ δὲ ὄνομα Ἑλληνικὸν παρ' Ἐπιχάρμῳ, ὡς ταχεῖ κόλαφος περιπατεῖ δεινός· οὕτω Σωρανός· ἢ ἀπὸ τοῦ κονδύλους ἀφεῖσθαι ἐν ἐκείνῳ τῷ μέρει· κόνδυλος, κόλαφος, ἡ διδομένη διὰ τῶν μέσων δακτύλων πληγή· ἄλλοι δὲ παρὰ τὸ κωλύειν τὸ Φῶς.

Κολεὸς, ἡ ξιφοθήκη, παρὰ τὸ κεκοιλάνθαι· ἢ παρὰ τὸ κῆλα τὰ τόξα.

Κολεὸς, χωρεὸς, τὸ χωροῦν τὸ ξίφος, ἤγουν ἡ ξιφοθήκη.

Κολάζω, παρὰ τὸ κολαφίζω, καὶ κατὰ συγκοπὴν κολάζω.

Κόλον, τὸ μὴ τέλειον, ἀλλὰ κολοβόν.

Κόλος, ἐπί τινος ἐντέρου, παρὰ τὴν κοιλότησα.

Κολωσσὸς, σημαίνει καὶ τὸ εἴδωλον· κυρίως δὲ κολόσσοι λέγονται οἱ ὑπερμεγέθεις ἀνδριάντες, παρὰ τὸ κολούειν, ὅ ἐστιν ἐλαττοῦν τὰ ὄσσε, τουτέστι τοὺς ὀφθαλμοὺς διὰ τὸ μέγεθος, ὡς μὴ ἐφικνουμένων τῶν ὀφθαλμῶν ὁρᾶν.

Κολοσυρτὸς, κοινοῦ τε καὶ ἀργαλέου κολοσυρτοῦ· ἡ ἐκ Φρυγάνων κόνις· διαφέρει δὲ κόνις κολοσυρτοῦ· κολοσυρτὸς γὰρ ὁ ἐκ Φρυγάνων συρφετὸς, ἀπὸ τοῦ κόλα σύρειν, τουτέστι τὰ Φρύγανα· σημαίνει δὲ καὶ ταραχὴν καὶ θόρυβον, ἀνδρῶν ἠδὲ κυνῶν κολοσυρτόν.

Κόλλαβοι [2]), τὰ τῶν ὑῶν καὶ βοῶν σκληρὰ δέρματα περὶ τὸν τράχηλον, ἐξ οὗ καὶ τοὺς νῦν λεγομένους κολλάβους ἐποίουν· ἔλεγον δὲ καὶ τὸ νωτιαῖον δέρμα διὰ τὴν κόλλαν ἐξ αὐτοῦ γίνεσθαι, ὅθεν Ἀριστοφάνης τὴν σκληρότητα Αἰσχύλου ἐνδεικνύμενος Φησὶν, οἶμαι γὰρ αὐτὸν κόλλοπι ἐοικέναι.

Κολλούρια, τὰ κολοβὰς ἔχοντα τὰς οὐράς· τοῦτο δὲ καὶ ἐπὶ ἄρτων. δύναται καὶ ἐπὶ τῶν Φαρμάκων ἰατρικῶν λέγεσθαι.

Κόλλοψ, ὁ ἐκ τῶν αὐχενίων δερμάτων γινόμενος πασσαλίσκος, ᾧ δεσμεύουσι τὴν νευράν· καλλοπὰς δὲ τὰ μέρη ἐκεῖνα καλοῦσιν, ἐπειδὴ ἐξ αὐτῶν ἑψόμενα ἐγίνετο ἡ κόλλα· οὕτως εὗρον ἐν ὑπομνήματι Ἀνδρονίκου, εἰς τὸ δος.

Κολυμβᾶν, ἐτυμώτερον οἱ Δωριεῖς λέγουσι κολυφᾶν, ἀπὸ τοῦ κόλους, ὅ ἐστι κολοβοὺς Φαίνεσθαι τοὺς ἐν ὕδατι καὶ μὴ ὁλοτελεῖς.

Κολοιὸς, παρὰ τὸ κλῶ ῥῆμα τὸ Φωνῶ καὶ γίνεται κλὸς, καὶ πλεονασμῷ τοῦ ο καὶ ι κολοιός· κρακτικὸν γὰρ τὸ ζῶον· ἀπὸ δὲ τοῦ κλῶ ῥήματος γίνεται κλύω κλύκος, καὶ καθ' ὑπερβιβασμὸν καὶ μετάθεσιν του λ κύκνος· ἢ παρὰ τὸ κύκλος· τὸ κυκλοτερὲς ἔχον τὸν τράχηλον.

Κολώνη, εὔκοσμος καὶ δή μιν ἐπι κριόεντι Κολωνῷ Φαίνετο δ' ἱερὸν στόμα, οἱ δὲ Κολῶναι [3]). τὸ μὲν Κολωνὸς ὀξυτόνως, τὸ δὲ Κολώνη βαρυτόνως· σημαίνει δὲ ἄμφω τὰ ἀκρωτήρια.

Κλὼς, ὡς σὼς σωός, καὶ πλεονασμῷ τοῦ ο κολωός· ἢ παρὰ τὸ κολοιὸς, ὃ δηλοῖ τὸ ὄρνεον γέγονε κολωιὸς ἐκτάσει τοῦ ο εἰς ω, ὅθεν καὶ κολῳᾶ ῥῆμα· κραυγαστικὸν γὰρ τὸ ὄρνεον.

Κόλιξ, τὸ γαρδούβιον.

Κολλῶ, παρὰ τὸ κόλλα, τὸ ἐν δόρυ κεκλασμένον.

Κάλλαβος, δέρμα τὶ, ὃ ἐκ τῶν αὐχενίων δερμάτων ἐστι, ἐξ ὧν αἱ τεκτονικαὶ κόλλαι γίνονται.

Κολλύριον, ὅτι μάλα κωλύει τὸ ῥεῦμα.

Κολλυρίδας, ἐκ τοῦ κολλᾶσθαι ῥᾳδίως.

Κολονοὶ καὶ κολοσσοὶ, οἱ βουνοί.

Κολασσὸς, ἀνδριὰς χαλκοῦς, ὅντινα διὰ τὸ μέγεθος ἐκάλεσαν κολοσσὸν οἱ Ῥόδιοί.

Κολοσυρτὸς, κονιορτὸς ἢ θόρυβος· Νεοπτόλεμος Φησὶ, μεγάλως αἰρομένης τῆς κόνεως καὶ εἰς ἀέρα ἱκνουμένης, τὸ γὰρ κοῖλον κυρτώσεως καὶ ὑπεροχῆς μετέχει· βέλτιον δὲ, ὁ ὑπὸ τὸν κόλον συρόμενος κονιορτός.

Κολῳὸν, παρὰ τὸ κολοιὸς, ὁ δὲ Φιλόπονος, παρὰ τὸ κλῶ κλάζω· ἀπὸ τοῦ κλῶ κατὰ παραγωγήν· οὐδὲ προσγράφεται τὸ ἰῶτα· ἢ κολῳὸν θόρυβον, ἢ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ, ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον καὶ ἄτακτον.

Κόλων, τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον· λαμβάνεται δὲ καὶ ἐπὶ κακῶν· καὶ ἐπὶ μεγάλων καὶ κακῶν.

Κόλλυβος, εἶδος νόσου.

Κολοβὸν Φαίνεται, τουτέστι καὶ τελείωτον.

Κολάπτει, γλύφει ἢ κλύνθει πρὸς τῷ γόνατι.

Κολοφῶνα, τὸ πέρας τοῦ πράγματος· ἢ τὸ τῶν ἄκρων τέλος.

Κόλπος, παρὰ τὸ κοῖλον, ὃ σημαίνει τὸ βαθὺ, κοῖλπος, καὶ ἀφαιρέσει τοῦ ι κόλπος· ἔστι δὲ κλῶ κλάσω, ἐξ αὐτοῦ γίνεται κλὸς, καὶ κατ' ἀναδιπλασιασμὸν κόκλος, καὶ καθ' ὑπέρθεσιν τοῦ λ, καὶ τροπῇ τοῦ κ εἰς π, κόλπος.

---

1) an κόλακος? 2) L. κόλλοπες. v. Etym. M. 3) εὔκοσμος — Κολῶναι. Ap. I, 1120. et 1114.

Κολυμβῶ, παρὰ τὸ κόλυμβος· τοῦτο παρὰ τὸ κολοβοῦς ἡμᾶς φαίνεσθαι.

Κολωνὸς, ὄρος, βουνὸς, λόφος, ἀνάστημα· πᾶν οὖν ἀνάστημα γῆς κολωνὸς λέγεται· σημαίνει δὲ καὶ σκόπελον Ἀθηνᾶς· οἱ δὲ δύο Κολωνοὶ ἵππιος καὶ γὰρ ἀγοραῖος, ἀφ᾽ οὗ τοὺς μισθαρνοῦντας ἀνέφερον μισθαρνεῖσθαι· καὶ κολωνικὸν καὶ ἄλλο χωρίον ἐκαλεῖτο Κολωνὸς ἱππότης.

Κοιαίστωρ[1]), βασανιστὴς, Ῥωμαϊκὸν ἀξίωμα καὶ κλίνεται κοιαίστωρος, ὁ συζητητὴς καὶ ἐρευνητὴς ἐπὶ χρήμασι· κοιαίστωρ δὲ κατ᾽ ἐπέκτασιν καὶ συλλαβῆς προςθήκην ἐπ᾽ ἐγκλίμασιν οἱονεὶ ὁ τιμωρὸς, καὶ τῶν αἰωτιμῶν μεγαλημάτων ἐρευνητὴς σεμνότητος.

Κοδράτης, νοῦμμος, ἄγει γράμματα ἓξ περὶ σύκλου· καλεῖται καὶ ὁ κοδράτης σύκλος· ὁ δὲ σύκλος τέταρτον μὲν τῆς οὐγκίας, ἤγουν νόμισμα ἓν, ἥμισυ δὲ στατῆρος δύο δραχμὰς ἔχων· ὄγδοον καὶ τῆς ὀγκίας ἡ δραγμή· ἐκαλεῖτο δὲ καὶ ὁλκὴ ἡ δραγμὴ τοῦ αὐτοῦ βαθμοῦ· φημὶ δὲ καὶ τοῦ σίκλου τὴν τρίχα τοῦ Ἀβεσσαλὼμ σταθμίζοντος κατὰ καιρὸν ὅταν ἐκορεύετο, ὁλκῆς ἐχούσης ρκ καὶ πέντε σίκλους, ὅ ἐστιν οὐγκίας λα, γράμματα ἓξ τῷ σίκλῳ τῷ βασιλικῷ· καὶ γίνεται λίτραι δύο γράμματα τρία· ὁ δὲ σίκλος ἐστὶ ὀβολῶν τεσσαρῶν, οὐγκίων ιβ, ὅ ἐστιν οὐγκίων λβ, ααὶ σίκλου ἑνὸς, γινομένων λίτρων δύο.

Κομμαγήνη, πόλις, Κόμανα, θυϊλὸς μεθερμηνεύεται σύσκα κατὰ τὴν Καπαόνων φωνήν· ἔνθεν ἡ Κομμαγήνη καὶ ἡ κόμη, ὅτι συσκιάζει τὴν κεφαλήν· Ὧρος.

Κομείτην, ἐπιμελείᾳ ἠξίουν, ἀντὶ τοῦ ἐκόμμουν· ἀπὸ δὲ τοῦ κομῶ κομεῖς.

Κομᾷν τοῦ γαυριᾷν διαφέρει· κομᾷν ἐπὶ πλούτου· γαυριᾷν ἐπὶ νεότητος.

Κόμη, παρὰ τὸ κόσμον εἶναι τοῦ σώματος. οἱ δὲ παρὰ τὸ κομᾷν· καὶ κυρίως ἐπὶ τῆς κεφαλῆς, παρὰ τὸ ἐπιμελείας ἀξιοῦσθαι· ἀλλὰ τὰ εἰς μη ὀνόματα δισύλλαβα τῷ ο παραληγόμενα ὀξύνεσθαι θέλουσιν, οἷον, νομὴ, δρομὴ, καταδρομή· πλὴν τοῦ κόμη.

Κόμη, ἡ θρὶξ, παρὰ τὸ κομᾷν, ἤγουν θάλλειν τὴν τρίχα.

Κόμανα, παρὰ τὸ κόμη, θηλυκὸν κομάνη καὶ τὸ οὐδέτερον κόμανον καὶ τὰ κόμανα· λέγεται γὰρ τὸν Ὀρέστην τὸν υἱὸν τοῦ Ἀγαμέμνονος, φεύγοντα μετὰ τῆς ἀδελφῆς αὐτοῦ ἐκεῖσε τὴν κόμην ἀποκείρασθαι.

Κομίζω, τὸ κοσμίζω· ἐκ τοῦ κόσμος κοσμίζω, καὶ ἀποβολῇ τοῦ σ κομίζω.

Κομιδῇ, ἐπιῤῥηματικῶς, λίαν, πάνυ σημαίνει· ἔστι δὲ ὀνομαστικῶς ἡ συλλογὴ, ἡ λῆψις, ἡ ἐπιμέλεια.

Κομιδὴ, συναγωγὴ, ἐπιμέλεια· σημαίνει δὲ καὶ τελείως· εἴρηται ἀπὸ τῆς τῶν καρπῶν συγκομιδῆς· ἥτις γίνεται τελειωθέντων τῶν καρπῶν· ἀπὸ οὖν τοῦ κομιδὴ ὀνόματος, γίνεται τὸ κομιδῇ ἐπίῤῥημα· σημαίνει δὲ καὶ τὸ πάνυ, οἷον, κομιδῇ νέος, ἀντὶ πάνυ νέος.

Κομμώτρια, ἐμπέκτρια, ἡ κοσμοῦσα καὶ ψιλοῦσα τὰς γυναῖκας κούρισσα.

Κομμωτικὴ, ἐκ τοῦ κόμπου, ὃ σημαίνει τὸν κομπούμενον, γυναικεία κόσμησις.

Κομόωντας, μεγαλοφρονοῦντας, μετοχὴ, τὸ θέμα κομῶ συζυγίας πρώτης καὶ δευτέρας· καί τι σημαίνει ὅτε ἐστι πρώτης; καί τι σημαίνει, ὅτε ἐστι δευτέρας; καὶ πόσα σημαίνει; ὅτε ἐστι πρώτης, σημαίνει τὸ θεραπεύω καὶ ἐπιμελοῦμαι, τοῦτο μὲν θεράποντα κομείτην[2]) ἐξ οὗ καὶ κατὰ παραγωγὴν κομίζειν καὶ κομίσαι τέ με· ὅτε δέ ἐστι δευτέρας, σημαίνει τὸ εὐφραίνομαι καὶ ἀγάλλομαι, καὶ τὰς τρίχας τρέφω· τὸ δὲ κομαστὴς οὐκ ἔστιν ἐκ τούτου, ἀλλ᾽ ἐκ τοῦ κομάζω· τὸ δὲ κομῶ ἐκ τοῦ κόσμος· καὶ γὰρ κόσμον ὁ δημιουργὸς ἐνέθηκε τῷ ἀνθρώπῳ τὰς τρίχας· ἐκ δὲ τοῦ κομῶ καὶ τοῦ ἵππος γίνεται τὸ ἱππόκομος· καὶ γηρόκομος· διάτι βαρύνεται; ἐπειδὴ τὰ ἀπὸ ῥημάτων συντιθέμενα ὀνόματα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον, ἱππόκομον· πηλίκα· τοῦτο γὰρ ἀπὸ τοῦ κόμη συνεθέτη τοῦ ὀνόματος, καὶ οὐκ ἀπὸ τοῦ ῥήματος.

Κομεῖν, τὸ σῶμα ὡραΐζειν, ἐπειδὴ καὶ κομμωτρία λέγουσι τὴν κοσμοῦσαν καὶ ἀμπλέκουσαν, καὶ τὸ κομμῆσαι καὶ ἐπιμελείας ἀξιῶσαι.

Κομμὸς, παρὰ τὸ κόπτω κομμὸς, κόψω γὰρ ὁ μέλλων ὡς καὶ παρὰ τὸ γράψω γραμμὸς καὶ ὑπογραμμός.

Κόμπος, ὀδόντων ἦχος· ἢ ἀλαζονείας· παρὰ τὸ κενὴν ὄπα ἔχειν· ἤγουν φωνήν.

Κομψὸς, εἴρηται μὲν ἡ λέξις ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ μετρίου καὶ ἐπιεικοῦς· ἀμφότερα οὖν παρὰ τὸ κάμπτω ῥῆμα· ἀλλ᾽ ἐπὶ μὲν τοῦ πανούργου, παρὰ τὸ εὐκάμπυλον καὶ διεστραμμένον τῇ διανοίᾳ· ἐπὶ δὲ τοῦ ἐπιεικοῦς, παρὰ τὸ εὐκαμπῆ αὐτὸν εἶναι, οἷον, εὐπειθῆ καὶ προσηνῆ· οὕτως Εἰρηναῖος ὁ Ἀττικός.

Κομπάζω καυχῶμαι, μεγαλοφρονῶ, ἀλαζονεύομαι.

Κομῶ, τὸ γαυριῶ· ὡς ἐν τῷ, ἐκόμα δὲ πολλοῖς χρήμασιν· ἀντὶ τοῦ ἐγαυρία· καὶ κομῶ τὸ καλλοπίζω, ἐξ οὗ καὶ ἀνακομῶ τὸ ἀναφύω τρίχας· κομίζω δὲ τὸ φέρω.

Κομψὸν ἐπίδειν, εἴρηται ἐπὶ τοῦ κεκαλλωπισμένου γυναίου· ἢ καὶ ἐντίμου μειρακίου· ἐπὶ τοῦ ὑπερηφάνου, ἐπὶ τοῦ ῥαδίου καὶ ὑγιοῦς, καὶ ἐπὶ τοῦ ἀστείου καὶ χαρίεντος· εἴρηται δὲ ἀπὸ τοῦ κόμπου.

Κόμη, ἡ θρίξ· τὸ κο μικρὸν παρὰ τὸ κομῶ τὸ ἐπιμελοῦμαι, ἐξ οὗ καὶ κομητὴς ἀστήρ.

Κομενταρήσιοι, οἱ νῦν χαρτουλλάριοι, οἱ ταῖς ἐγκληματικαῖς ὑπηρετοῦντες δίκαις.

Κόναβος, κονάβησαν, ἤχησαν, παρὰ τὸ κόναβος κοναβῶ· τοῦτο παρὰ τὸ τὴν βοὴν ἀκούειν.

Κοναβῶ, ἠχῶ, παρὰ τὸ κόναβος· τοῦτο δὲ παρὰ τὸ δονῶ δόναβος καὶ κόναβος· τοῦτο παρὰ τὸ κόνις· κυρίως γὰρ λέγεται κόναβος, ἡ ἐν τῇ γῇ βοὴ, ὥσπερ καὶ ἄραβος ἐκ τοῦ ἔρα καὶ τοῦ βοὴ γίνεται ἔραβος καὶ ἄραβος, λοιπὸν οὖν λέγουσί τινες, ὅτι ἐκ τοῦ κόνις καὶ τοῦ βοὴ γίνεται κόνιβος καὶ τροπῇ τοῦ ι εἰς α κόναβος· οὐκ ἔστι δέ· οὐδέποτε γὰρ τρέπεται τὸ ι εἰς α, ἀλλ᾽ ἔστι μᾶλλον ἐκ τοῦ κονία καὶ βοὴ, τὸ αὐτὸ σημαίνοντος τοῦ κόνις· ἐξ αὐτοῦ κατὰ παραγωγὴν κονίαβος, καὶ συγκοπῇ τοῦ ι κόναβος, ἐξ οὗ καὶ κοναβίζω.

Κόνδυλοι, παρὰ τὴν κάμψιν τῶν δακτύλων, οἱονεὶ κάνδυλοι ὄντες, περὶ αὐτοὺς γὰρ ἡ κάμψις τῶν δακτύλων ἐγένετο· ὁ κένδυλός τις ὢν, ὁ εἰς τὰ κενὰ δυόμενος τῶν ῥαπιζομένων· κενὰ δὲ σαρκῶν τὰ μέρη.

Κόνις καὶ μάχη, παρὰ τὸ κονῶ κόνις, κόνιος καὶ κονία, ὡς Κύπρος, Κύπριος, Κυπρία.

Κονίησι, παρὰ τὸ κονῶ κονία, ὡς ταινία· ἡ διὰ τῆς σι ἐπέκτασις εἰ μὲν ἔχει δύο σσ, ἑνὶ φωνήεντι παραλήγεται· οἷον, θήρεσσι, κύνεσσιν· εἰ δὲ δύο

---

1) Lat. Quaestor. 2) Il. VIII, 113.

φανήεντα ἐνὶ σ, ἀνθρώποισιν, Ἀχαιοῖσιν, ἐλάτῃσιν καὶ κονίῃσιν· ὁ κανὼν ἕστηκεν, εἰ μὴ μέτρον βιάσαιτο· σεσημείωται δύο λιμαῖσι τε καὶ ἀκτίσι.

Κονιορτὸς, παρὰ τὸ ὄῤῥω, ὃ σημαίνει τὸ διεγείρω, ὁ μέλλων ὄρσω Αἰολικῶς, ῥηματικὸν ὄνομα ὀρτὸς, ὡς κείρω κορμός· καὶ ἐν συνθέσει μετὰ τοῦ κόνις κονιορτὸς, ὁ τὴν κόνιν ὀρούων καὶ ὁρμῶν.

Κόνις, παρὰ τὸ καίνω τὸ κόπτω καὶ διαφθείρω, ἡ εἰς μικρὰ κεκομμένη γῆ· δηλοῖ γὰρ τὴν εἰς λεπτομερῆ οὐσίαν χωρήσασαν γῆν, ἀπὸ μεταφορᾶς τῶν ξυσμάτων· ἢ παρὰ τὸ κνῶ κνίς· καὶ ἐπειδὴ οὐκ ἐδύνατο μονοσύλλαβον ὄνομα βραχυκαταλήγειν πλεονάζει τὸ ο, καὶ γίνεται κόνις.

Κονίζω, τὸ ἀγωνίζομαι, καὶ παρασκευάζομαι πρὸς τὸν πόλεμον, ἀπὸ τοῦ κόνις, οἱ γὰρ ἀρχαῖοι, ὅτε ἔμελλον ἀγωνίζεσθαι εἰς τὰς χεῖρας αὐτῶν πτύοντες κόνιν προσελάμβανον, διὰ τὸ ἰσχυρῶς κρατεῖν.

Κονίσσαλος, ὁ κονιορτὸς, οἱονεὶ ἡ σαλευομένη κόνις· ἢ παρὰ τὸν κονίσω μέλλοντα γίνεται κονίσαλος ὁ κονιορτὸς, ὡς παρὰ τὸ ἴζω ἴζαλος· σημαίνει δὲ τὸ κονίσαλος καὶ κονιορτὸν καὶ αἰδοῖον.

Κονίη, ὁ κονιορτὸς, τὸ νι ἰῶτα. ὥσπερ καὶ τὸ κάρδος γίνεται ἐκ τοῦ καίνω τὸ διαφθείρω, ἐξ οὗ καὶ μετὰ τὸ φαοὺς φάσφανος, ὁ τοῖς φαέσι καίνων ἤγουν διαφθείρων, καὶ συγκοπῇ κνῶ ῥῆμα εἰς μι κνῆμι, ὁ παρατατικὸς ἔκνην, τὸ τρίτον ἔκνη καὶ κνῆ, ἐπειδ' αἴγειον κνῆ τυρόν· ἐκ τοῦ κνῶ οὖν γίνεται κνίς, καὶ πλεονασμῷ τοῦ ο κόνις, ἡ εἰς μικρὸν κεκομμένη καὶ τετριμμένη γῆ.

Κονοειδὲς, σφαιροειδὲς, τὸ πλατέως εἰς ὀξὺ λῆγον ἐχόμενον· ὡς στρόβιτ'.

Κόνειον, διὰ τῆς ει διφθόγγου· πρῶτον ὅτι εἰσὶ προπαροξύτονα διὰ τοῦ ειον τρισύλλαβα, ἅτινα διὰ τῆς ει διφθόγγου γράφεται, οἷον, γένειον, βρένθειον, ἔστι δὲ εἶδος πολυτελοῦς μύρου, οὕτω καὶ κόνειον· δεύτερον δὲ, ὅτι ἀνεφάνη τὸ ε ἐν τῷ κονιάζομεν.

Κονσιστόριον, βασιλικὸν σέκρετον.

Κονδεῖτος, παρὰ τὸ κινεῖν τὴν δεῖσαν.

Κοντὸς, παρὰ τὸ κεντῶ, κεντὸς καὶ κοντὸς, ὡς τρέφω τροφός.

Κοντὸς, τὸ κοντάριον· παρὰ τὸ εἰς κόνιν τιθέναι, ἤτοι εἰς γῆν.

Κοντουβερνάριος, ἡ κουντουβέρνης.

Κόπερα, Αἰολικῇ διαλέκτῳ κοπρία, κόπερα· ὡς Πρίαμος πέραμος, ἀλλότριος ἀλλότερος.

Κόπρος, οἱονεὶ κόπος τις οὖσα· βαρεῖ γὰρ τὸ περισσὸν ἐγκείμενον, καὶ κόπρος· ἢ κόπρος χόπορός τις οὖσα, ἀπὸ τοῦ χεῖσθαι διὰ τοῦ πόρου, κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ χ εἰς κ κόπρος· κόπρος κυρίως εἴρηται ἀπὸ τῶν κοπτόντων καὶ τὸ κοιμᾶσαι.

Κόπρεια, παρὰ τὸ τὸν κόπον ἡμῶν ἐκεῖσε ῥεῖν· πᾶς γὰρ μόχθος ἀνθρώπου ἐκ τοῦ στόματος αὐτοῦ.

Κόπανον, ἐκ τοῦ κόπτω.

Κόπις, τὸ ξίφος.

Κόπις, ὁ ῥήτωρ· κοπεὶς δὲ ὁ φλύαρος καὶ λοίδορος.

Κόπις, σύντομος, ὀξὺς τῷ λόγῳ, ἢ λάλος, ὅθεν καὶ ὁ δημοκόπος καὶ κόβαλος, καὶ κατεστωμυλημένος, κόβαλοι λέγονται· καὶ τὰς τῶν λόγων τέχνας κοπίδας ἐκάλουν· μὴ τὸν Πυθαγόραν εὕρομεν ὄντων ἀληθινῶν κοπίδων· Εὐριπίδης πρὶν ὁ ποικιλόφρων κόπις ἡδυλόγος δημοχαριστής.

Κόρη, ἐπὶ τοῦ ὀφθαλμοῦ οἱονεὶ χορή τις οὖσα, ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ ὁρατικὸν πνεῦμα. κόρη δὲ ἡ παρθένος ἡ ὑγροφυὴς καὶ τρυφερὰ ἀπὸ τοῦ κορεῖν τὸ καλλωπίζειν, ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται· ἢ ἡ καθαρὰν καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν· κορεῖν γὰρ τὸ καθαίρειν· ἔνθεν καὶ νεοκόρος· ἢ παρὰ τὸ κείρω, ἡ κειρομένη ἔτι νεάζουσα.

Κορθύεται, κορυφοῦται, αὔξεται, ἀπὸ τοῦ κορύσσω, ἢ ἀπὸ τοῦ κόρυθος· ἔνιοι δὲ ἀπὸ τοῦ σωρεύεσθαι ἤκουσαν· κόρθυς γὰρ ὁ σωρός.

Κορυθάλη, ἡ πρὸ τῶν θυρῶν δάφνη τιθεμένη, ὅτι οἱ κλάδοι οὓς κοροὺς καλοῦσι, θάλλουσι, ὡς ὁ Χρύσιππος, ἀλλὰ δᾶδας ἡμμένας μὴ δόσω τις· ἔνθεν καὶ κοροὺς πλεκτοὺς ἀκραπνεῖς, μυῤῥίνας· οἱ γὰρ ποιηταὶ ἀνάπαλιν τοὺς κλάδους καὶ ὄζους καὶ ὅρπηκας λέγουσι· τινὲς δὲ ὅτι ἡβησάντων τῶν νέων καὶ θυγατέρων δάφνας προσετίθουν ἐφηβίοις καὶ γάμοις.

Κορύβαντες, δαίμονες, οἵτινες ἐτάχθησαν φυλάττειν τὸν Δία· παρὰ τὸ κρύβειν τὸν Δία, Κορύβαντες, κατὰ πλεονασμὸν τοῦ ο· ἢ οἱ τὴν κόρην καταβάντες ἀναγαγεῖν καὶ μὴ ὑποστρέφειν· Κορύβαντες, ὡς μυθεύεται, ὅτι κατέπινεν ὁ Κρόνος τὰ ἀπὸ τῆς Ῥέας τέκνα· οὕτω Δίδυμος ἐν ὑπομνήματι Μενάνδρου.

Κόρση, ἡ κεφαλὴ, ὡς μὲν Ἀπολλώνιος δίδωσιν ἀπὸ τοῦ κορυφοῦσθαι· οἱ δὲ φασὶ παρὰ τὸ κείρεσθαι, ὅθεν κορσωτὴρ λέγεται, ὁ τὰς τρίχας κουρεύων, οἷον, ὡς δ' ἐνὶ κορσωτῆρος ἀπότριχα καλλύνεις. καὶ κόρσαι αἱ τρίχες· Αἰσχύλος λευκὰς δὲ κόρσας τῇδε παντελλειν νόσου.

Κορεσθῆναι, ὅτι κουροτρόφον τὴν γῆν καλοῦσιν, καὶ τὸν ἐκ ταύτης καρπὸν τὴν κόρην, ὅθεν καὶ τὸ πληρωθῆναι τροφῆς κορεσθῆναι λέγουσιν· ἀπὸ τῆς κόρης, ἣν παρὰ Πλούτωνι κατὰ τὴν γῆν οὖσαν, καὶ ἐκείνου νομιζομένην γυναῖκα, ὅμως κόρην λέγουσι, διὰ τὴν τοῦ καρποῦ κατ' ἐνιαυτὸν γινομένην γέννησιν. Φώτιος.

Κόρταφος, τὸ ἐντελέστερον παρέλαβε· εἰ μὴ ἄρα πρὸς τὴν συνήθειαν παρὰ τὴν κόρσην εἶναι κόρταφος καὶ ἐν ὑπερβιβασμῷ κρόταφος· ἢ ὅτι τοῖς κόρσοις ἀφή ἐστι, παρὰ τὸ κόρση καὶ κρόσση, ἔστι κρόσας· κρόσας μὲν πυργόν· καὶ κρόσος οὕτως ἐτυμολογεῖται ἀπὸ τοῦ τέλους· φησὶ γὰρ ἡ κεφαλὴ τὸ τελευταῖον ὁ κρόσος καλεῖται.

Κορυθάϊξ, ἀπὸ τοῦ ἀΐσσω ἀΐξω, καὶ τοῦ κόρυθος γίνεται κορυθάϊξ· τὰ δὲ εἰς ξ λήγοντα ἀποστρέφονται τὴν ει δίφθογγον, οἷον, πέρδιξ, τέττιξ.

Κορυθαίολος, ἔστιν αἰόλλω τὸ δηλοῦν τὸ κινοῦν καὶ συνεχῶς στρέφειν· οἷον, ὡς δ' ὅτε γαστέρ' ἀνὴρ ἐμπλείην κνίσσης αἰόλλει [1]· καὶ αἰόλαι ἔλαι, ὅπερ ἀπὸ τοῦ ἀέλλης γίνεται· ἢ ἀπὸ τοῦ ἄειν καὶ τοῦ εἰλεῖν, ἀφ' οὗ ῥηματικὸν ὄνομα αἴολος, καὶ ἐν συνθέσει μετὰ τοῦ κόρυθος κορυθαίολος, ὡς πάλλω πάλος καὶ σακέσπαλος· κορυθαίολος οὖν, ὁ τὴν κόρυθα εὐκίνητον ἔχων, ἢ ποικίλην· ἐξ οὗ καὶ πολεμικήν.

Κόρυθος φάλον, τὸ πρὸ μετωπίδα ἀνάστημα τῆς περικεφαλαίας· φάλον γὰρ τὸ λαμπρόν· ὅθεν καὶ φαλακρὸς, ὁ ἔχων φαλὸν τὸ κάρα.

---

1) Il. XX, 25, sq.

Κορύνη, ῥόπαλον, παρὰ τὸ κάρη, ὅπερ ἀπὸ τοῦ κάρηνον γέγονε, κατ' ἀποκοπὴν καρήνη· καὶ τροπῇ τοῦ α εἰς ο κορύνη, τὸ παχεῖαν κεφαλὴν ἔχον ξύλον· ἢ κατὰ τὸ κάλον νεύουσα καρήνη καὶ κορύνη καὶ κορυνήτης.

Κόρυς, ἡ περικεφαλαία. παρὰ τὸ κάρη κάρυς καὶ κόρυς· ἢ παρὰ τὸ κόρση γέγονε κόρυς· κόρση δὲ ἡ κεφαλή· καὶ τὸ κορσοῦσθαι ἐπὶ τοῦ κείρειν ἔλεγον οἱ Ἴωνες, καὶ κουρσωτῆρα τὸν κουρέα.

Κορυφὴ, τὸ μέσον τῆς κεφαλῆς, ὅτι τῆς κάρας ἐστὶν ὀροφή· τινὲς δὲ ἀπὸ τοῦ κεκρύφθαι αὐτὴν ὑπὸ τῶν τρίχων, κρυφή τις οὖσα· καὶ πλεονασμῷ τοῦ ο, κορυφή· ὁ δὲ Φιλόξενος ἐν τῷ περὶ διαλέκτων λέγει, ὅτι παρὰ τὸ κάρη γέγονε καρύπτω καὶ κρύπτω [1]), μεταθέσει τοῦ α εἰς ο· ὡς παρὰ Θεοκρίτῳ [2])· τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τυ κορύψῃ· ἐκ τοῦ οὖν κορύπτω γέγονεν ὄνομα ῥηματικὸν κορυφή· ἰστέον δὲ ὅτι τὸ αὐτό ἐστι τὸ κορύσσω καὶ κορύπτω, ὅθεν Ὅμηρος εἰπὼν, πόντῳ καὶ τὰ πρῶτα κορύσσεται, ἐπήγαγε τὸ κυρτὸν ἐὸν κορυφοῦται [3]), εἰς τὸ αὐτὸ καταστρέφοντος τοῦ ῥήματος· σημαίνει δὲ τὸ κορύσσω καὶ τὸ καθοπλίζω καὶ κατασκευάζω.

Κορώνη, κορωνὶς, ἐπὶ τὸ αὐτὸ, οἷον, αἱ καμπυλοπρύμναι, σὺν νηυσὶ κορώνισι, παρὰ τὸ ἄνω ἐξηρημέναι εἶναι, διὰ τὸ εἰς ὕψος ἀνέχειν· καὶ κορώνη τὸ ὄρνεον, παρὰ τὸ καῦρον ὃ σημαίνει τὸ κακόν· Ἀνακρέων κόρωνα βαίνων φησί· τίθεται δὲ ἡ λέξις ἐπὶ τοῦ ὀρνέου, καὶ ἐπὶ τοῦ ἐπικαμποῦς τόξου, καὶ τοῦ θύρας κρίκου.

Κορωνὸς, ὁ γαῦρος καὶ ὑψαυχενῶν· παρὰ τὸ κάρη κατὰ μετάθεσιν τοῦ α εἰς ο· Ἀρχίλαος· βοῦς δὲ ἡμῖν ἐργάτης ἐν οἰκίῃ κορωνὸς ἔργον ἴδρις.

Κοράλλιον, διὰ τοῦ ι, καὶ ἴσως τὸ ἅλιον ἔγκειται, ἀπὸ τῆς θαλάσσης ταῖς κόραις κόσμιος, ἡ κοινὴ διὰ τοῦ ο, Ἀττικῶς δὲ διὰ τοῦ ἰῶτα.

Κόραξ, ὅτι κόρος ἐστὶ τῇ χροιᾷ· κόρον δὲ τὸ μαῦρον εἴρηται, ἢ διὰ τὸ τῆς κοινῆς ῥέξαι· ἢ διὰ τὸ κόρας ξύειν πάντος ὀρνέου καὶ ἐσθίειν· ἢ διὰ τὸ πολλὰ ἐσθίειν.

Κοράλλιον, λίθος παραθαλάσσιος ἐρυθρός.

Κορεῖν. κοσμεῖν βίβλους ἢ σαίρειν.

Κορεσθῆναι, φαγεῖν ὅσον χωρεῖ.

Κόρη, παρὰ τὸ κόρον ἐμποιεῖν τῇ ἰδέᾳ· σημαίνει τὴν παρθένον, παρὰ τὸ κορῶ τὸ ἐπιμελοῦμαι· ἐξ οὗ καὶ νεωκόρος· ὁ τοῦ λαοῦ ἐπιμελούμενος. Σελευκός.

Κόρη, κώλυσις τοῦ ῥεῖν ἤτοι πρὸ τοῦ τόκου, ἤγουν πρὸ τῶν αἱμάτων· κόρη δὲ ἡ τοῦ ὀφθαλμοῦ, ὡς ἐκ τοῦ κολλοῦ χέειν τὸ δάκρυον· λέγεται ἐκ τούτου κολλούριον τὸ κωλύον τὸ ῥέειν.

Κοριάξιος, διὰ τὸ τὴν κόρην ἔχειν ὀξεῖαν· ἢ τὴν κεφαλήν.

Κοροπλάστης, ὁ τὰ ζῴδια πλάσσων· οὐ γὰρ μόνον κούρους, ἢ ὁμοίως κόρας πλάσσει, ἀλλὰ πᾶν ζῶον.

Κόρος, σῖτος· ὁ κόρος εἴληπται ἐκ τῆς Ἑβραϊκῆς διαλέκτου, ὃς καλεῖται χώρ· εἰσὶ δὲ μόδιοι λ· χὼρ δὲ λέγεται ἀπὸ τῆς τοῦ βουνοῦ ὑποθέσεως· χωρία γὰρ καλεῖται τὰ βουνία· λέγονται βουνοὶ βασανισθέντες οἱ λ, μόδιοι, φοντ'. [4]) ποιοῦσι καμήλου.

Κορύβαντες, οἱ τὴν κόρην καταβάντες ἀναγαγεῖν καὶ μὴ ὑποστρέφειν.

Κορυθαίολος, ἐκ τοῦ κόρυς κόρυθος, καὶ τοῦ αἰόλλω· εἰ γὰρ ἦν ἀπὸ τοῦ αἰόλος ὀνόματος, ὤφειλε προπαροξύνεσθαι· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς ος ὑπὲρ δύο συλλαβὰς, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, ἐν τῇ συνθέσει προπαροξύνεται· χωρὶς εἰ μὴ σύνθετον εἴη ἕνεκα ἐνεργείας παροξυνόμενον· οἷον, πλησίος παραπλήσιος, αἰόλος πανταιόλος· τὸ γὰρ κορυθαιόλος οὐκ ἔχει τὸ ἐγκείμενον τὸ αἰόλον, ἀλλὰ τὸ αἰόλλω ῥῆμα, τὸ δηλοῦν τὸ κινῶ· γίνεται δὲ ἐκ τοῦ ἀέλλα, ἀέλλω καὶ πλεονασμῷ τοῦ ι, αἰόλλω. ἐξ οὗ καὶ αἴλουρος, παρὰ τὸ αἰόλλειν τὴν οὐρὰν, ὅ ἐστι κινεῖν.

Κόρυβος, εὐήθης, μωρός τις μετρῶν τὰ κύματα.

Κορύνη, βάκλον, ῥόπαλον· καὶ εἰς τὸ ἱπποκορυστής.

Κορυφαιότατος, μείζων, ἐξωχότατος, ἐνδοξότατος.

Κοῤῥίνιον, μικρὸν κοράσιον.

Κορώνη, παρὰ τὸ κρώζω κρώνη, καὶ πλεονασμῷ τοῦ ο κορώνη.

Κορωνίσι, κεφαλαῖς, ὑποκοριστικὸν ἐκ τοῦ κορώνη κορωνίς, τοῦτο ἐκ τοῦ κάρα, δι' ἧς ὑψοῦ ἀνέχῃ· καὶ κορώνη ἐκ τοῦ γαῦρον, ἐξ οὗ καὶ κορωνὸς ὁ γαῦρος.

Κόρυζα, μυξῶν πλέον κατάῤῥους.

Κόρος καὶ κόρη, ἀπὸ τῆς θεραπείας, τὸ γὰρ κορεῖν τοιοῦτον· οἷον, δῶμα κορύσατε, τουτέστι καλύμματα· καὶ μυλακόρον τὸ καθάριτον τὸν μύλωνα· οἱ δὲ οἰόμενοι τὸ σαρῶσαι σημαίνεσθαι διὰ τὸ κορίσαι ἀγνοοῦσι· νεωκόρος γέ τοι οὐκ ἔστιν ὁ σαρῶν τὸν νεὼ· ἀλλ' ὁ ἐπιμελούμενος αὐτοῦ· αἵτε ἡλικίαι τῶν νέων πολλῆς ἐπιμελείας χρήζουσι· καὶ ἡ ἐν τοῖς ὀφθαλμοῖς κόρα, ἧς καὶ αὐτὴ ἡ φύσις πεφρόντικε, σάρκινά τε ἑαυτῇ περιθεῖσα βλέφαρα, καὶ ταῦτα ὀχυρώσασα θριξὶ, ταῖς λεγομέναις βλεφάρισι.

Κορώνη, κόραξ, τὸ ἄκρον τοῦ τόξου, εἰς ὃ ἡ νεῦρα τίθεται, καὶ ὁ κρίκος τῆς θύρας καὶ τὸ ζῶον, καὶ ὄρνεον ἄλλο θαλάσσιον, ὃ καλεῖται αἰθρία, λάρος καὶ εἶδος στεφάνου.

Κόσμος, παρὰ τὸ κοσμῶ, ὁ πάντα ἐν αὐτῷ ἔχων κεκοσμημένα καὶ διατεταγμένα· ἢ παρὰ τὸ κάζω κάσω κέκασμαι, κασμὸς ῥηματικὸν ὄνομα καὶ μεταθέσει τοῦ α εἰς ο καὶ ἐναλλαγῇ τοῦ τόνου, κόσμος, οὕτω Φιλόξενος.

Κοσμηθὲν, ἀπὸ ποίου θέματος; ἀπὸ τοῦ κοσμῶ κοσμήσω κεκόσμηκα, κεκόσμημαι, ἐκοσμήθην. τὸ τρίτον τῶν πληθυντικῶν ἐκοσμήθησαν· εἶτα ἀφαιρέσει τοῦ ε κοσμήθησαν· συγκοπῇ λοιπὸν γίνεται κοσμήθησαν κοσμηθέν.

Κοσμήτορας, ἡγεμόνας, διὰ τὸ κοσμεῖν τὸν λαὸν, τουτέστι καθοπλίζειν.

Κόσυμβος, ἀναδεσμὸς κροσσωτ.. χίτων.

Κοσμιωτάτη. εὐγενεστάτη, εὐκαλλώπιστος.

Κοτταβίζω, συνεπίνομέν τε καὶ συνεκοτταβίζομεν· καὶ τῶν κοτταβιῶν τὰ πολλὰ ἡμέτερα ἦν.

Κότος, ἡ ὀργὴ, παρὰ τὸ κέω κῶ τὸ κεῖμαι, κέημι, ὁ παθητικὸς κέεμαι κεῖμαι, τὸ τρίτον κεῖται, ῥηματικὸν ὄνομα κότος, ἡ ἐναπομένουσα ὀργὴ κότος λέγεται.

Κοτέοντες, ὀργιζόμενοι, μετοχή· τὸ ῥῆμα κοτῶ, ἐκ τοῦ κότος· τὸ κο μικρὸν διατί; τὰ ἔχοντα τὸ ε ἐγκείμενον. ποίου εἴδους τῶν ὑποπεπτωκότων, εἰδικου· τὸ γενικὸν θυμός. γίνεται δὲ τὸ κότος, παρὰ

---

1) L. κορύπτω. 2) Idyll. III, 5. 3) Il. IV, 424. 426. 4) F. φορτίον.

τὸ κῶ τὸ κοιμῶμαι· κέω κεὸς καὶ κότος, ἡ κοιμωμένη καὶ ἡσυχάζουσα ἐν τῇ ψυχῇ μῆνις.

Κότος, θυμὸς, ἐπιτηρῶν καιρὸν εἰς τιμωρίαν· εἴρηται δὲ οὕτω παρὰ τὸ ἐγκεῖσθαι. καί τι διαφέρουσιν ἀλλήλων ὀργὴ μῆνις, χόλος, κότος καὶ θυμός; διαφέρει δὲ ὀργὴ μὲν γὰρ ἡ ἐπ' ὀλίγον χρόνον, ἀπὸ τοῦ ὀργᾶν· μῆνις δὲ ἡ μόνιμος ὀργὴ, ἀπὸ τοῦ μένειν· χόλος δὲ ἡ κίνησις τοῦ χόλου, καὶ ἐπ' ὀλίγον χρόνον γενόμενον· κότος δὲ ἡ πολυχρόνιος μνησικακία, ἀπὸ τοῦ ἀνκεῖσθαι· θυμὸς δὲ ξέσις τοῦ περικαρδίου αἵματος θερμοῦ. πρὸς ἀντιληπῆσαι ὁρῶσα, παρὰ τὸ θύειν, ὅ ἐστι μανικῶς ὁρμᾶν.

Κοτζὸς, ὁ κεκομμένους τοὺς πόδας ἔχων, οἱονεὶ κότος.

Κοτύλη, ὅπου ἐγκλίνεται ἡ κεφαλὴ τοῦ μηροῦς, περὶ τὴν κοιλότητα, τὴν ἐν αὐτῇ τῇ κοτύλῃ γινομένην· λέγεται καὶ κοτύλη τὸ κοῖλον τῆς χειρός· ὅθεν καὶ κοτυλήρυτον, τουτέστι τοσοῦτον τῷ πλήθει, ὥστε καὶ κοτύλην ἀρύεσθαι, παρὰ τὸ ἀρύω ἀρύσω, ἄρυτον καὶ ἐν συνθέσει κοτυλήρυτον, ὥστε ψιλωτέον τὸ ρ· λέγουσι κοτύλην καὶ εἶδος ποτηρίου καὶ εἶδος μέτρου· κυρίως δὲ τὸ ὁπωσοῦν μέτρον κοτύλην ἔλεγον οἱ ἀρχαῖοι· παρὰ τὴν κοιλότητα.

Κοτύλη, κυρίως μέτρον, ἢ γλοῦτος, ἀπὸ τῆς κοιλότητος.

Κοτύλη, ἥμισυ ξεστίου ἐστιν, ὅθεν οἱ πτωχοῦντες οἶνον ἔλαιον [1]) κοτυλισταὶ καλοῦνται· καλεῖται δὲ κοτύλη, ἀπὸ τοῦ ξέστην εἰς δύο κόπτεσθαι.

Κότινος, ὁ στέφανος ὁ Ὀλυμπιακὸς, ὅτι πάλαι ἐφυλλοβόλουν τοὺς νικῶντας ἀπὸ τῶν παρακειμένων φύλλων, ἐπιῤῥίπτοντες ἃ δίστρωμνα αὐτοῖς πρὸς τὴν εὐνὴν ἔπιπτον· ὅθεν καὶ κότινον φησὶ καλεῖσθαι τὸν στέφανον τὸν Ὀλυμπιακόν· ἀπὸ τῆς κοίτης ἀρξαμένου στέφανον εἶναι τοῖς νενικηκόσι· σημαίνει καὶ ἀγριελαίαν.

Κουρά, κείρω, κέκαρμαι, κορὰ καὶ κουρά.

Κουρίζω, τὸ κεάζω καὶ ἀκμάζω· ἢ τὰ τῶν νεοτέρων φρονῶ· ἐξ οὗ καὶ κουρὸς ὁ νεώτερος.

Κοῦρβα, διὰ τὸ εἰς κόραν βαίνειν.

Κούρη, παρὰ τὸ ὠρῶ ῥῆμα, ὃ σημαίνει τὸ φυλάττω, γίνεται ὄνομα οὔρη καὶ κούρη· φυλακτικὴ γάρ· ἢ παρὰ τὸ κείρω τὸ κουρεύω, κόρη καὶ Ἰωνικῶς κούρη, κατὰ πλεονασμὸν τοῦ υ, ἡ κειρομένη ἔτι, ἣν νεάζουσα.

Κουροσύνα, κοῦρος λέγεται παρὰ τοῖς Ἀθηναίοις ἡλικία τις ἐν ᾗ ποιοῦντες τραπέζας ἔταττον ἑαυτοὺς μετὰ τῶν νεωτέρων· λέγεται δὲ καὶ ὁ ξυρίζων αὐτοῦ τὸ γένειον.

Κούρους, εἰς τὸ γέρων.

Κουράτωρ, φύλαξ, ἐκ τοῦ κοῦρα· κουράτωρ δέ ἐστιν ὁ ἐπόπτης καὶ διοικητὴς τῶν τοῦ πουπίλλου πραγμάτων.

Κουλεὸς, ἡ ξιφοθήκη· τὸ λε ψιλὸν διάτι; τὰ διὰ τοῦ εος ὀξύτονα μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται, οἷον, ἐλεὸς, σημαίνει δὲ τὸν ἐλεεινόν· ἡ δ' ἐλεεινὸν γναμπτῇσι πεπαρμένη ἀφ' ὀνύχεσσι· γίνεται ἐκ τοῦ κοῖλον κοιλεὸς, καὶ τροπῇ τοῦ ι εἰς υ κουλεός· τὸ κοῖλον καὶ βαθύτατον.

Κοῦστος, ζήτρεῖον.

Κουριδίης, παρθενικῆς γυναικὸς, ὥσπερ ἐκ τοῦ μοίχου μοιχιδίη, οὕτω καὶ παρὰ τὸ κοῦρος κουριδίη.

Κουρῆτες, οἱ μὲν ἀπὸ ὄρους τοπικοῦ, οἱ τὴν Πλευρῶνα πόλιν τῆς Αἰτωλίας κατοικοῦντες· οἱ δὲ ἀπὸ τῆς κουρᾶς, παρὰ τὸ μὴ κείρεσθαι. Κουρῆτες δὲ οἱ ἀκραυάνες, οἱ τὸν Δία τρέψαντες· κατ' ἐπέκτασιν Κουρῆτες, προπερισπωμένως· ἐπὶ τοῦ ἔθνους· ἐπὶ δὲ τοῦ νέου προπαροξυτόνως.

Κόφινος, παρὰ τὸ κόπον ἐπιέναι τοῖς βαστάζουσιν· ἢ παρὰ τὸ κοῦφον, ὃ σημαίνει τὸ βαθύ.

Κοχλιάριον, τὸ κοχλίον αἶρον· ἢ ὅτι τὰ κοχλάζοντα αἴρει.

Κοχλίδιον, τὸ ὄστρεον, ὡς ἀπὸ τοῦ γονία γονίδιον, καὶ ἀπὸ τοῦ κοιλία κοιλίδιον [2]).

Κοχλιάριον, μέτρον ἐστιν ὑγροῦν, καὶ αὐτὸ παρ' Ἑβραίοις ἐκφωνούμενον· τοῦτο τὸ μέτρον ἐστιν ἐν ταῖς χρονογραφίαις Εὐσεβίου καὶ τῶν ἄλλων χρονογράφων, δηλούμενον ὡς ἕκαστος τῶν τότε βασιλέων φιλοτιμίαν τῷ δήμῳ Ῥωμαίων πρὸς εὐφρασίαν ἐχαρίζοντο [3])· ὃς ἑρμηνεύεται συνημμένον ἢ συνεστραμμένον· ἔχει δὲ ξέστας δύο.

Κουστωδία, στρατιωτικὸν στίφος, ὃ βάνδον καλοῦσι Ῥωμαῖοι.

Κοσσὸς καὶ κόσσιον, τὸ κρεμώμενον, ἢ τυχὴ καὶ ἀλυσείδιον.

Κόχλος, παρὰ τὸ χαλῶ, καὶ συγκοπῇ χλῶ χλὸς, καὶ κατ' ἀναδιπλασιασμὸν χόχλος, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων κόχλος, τὸ κατ' εἴλησιν χαλώμενον ἑκάστῳ· ὅθεν καὶ Θουκιδίδης ἐν τῷ τετάρτῳ διὰ τοῦ α λέγει κόχλακας· ὡς παρὰ τὸ ἱερὸς γίνεται ἱέραξ καὶ νεὸς νέαξ, ὡς παρὰ Καλλιμάχῳ καὶ τῶν νεήκων εὐθὺς οἱ τομώτατοι· καὶ μῦρμος μύρμαξ, οἷον, αὐτίκα μύρμων πλεονᾶ ἢ διὰ τὸ κόχλος κόχλαξ.

Κραδάων, κινῶν, ἐξ οὗ καὶ τὸ κραδαίνω τὸ σημαῖνον τὸ κινῶ· οἶμαι δὲ ἀμφότερα γεγενῆσθαι ἀπὸ τοῦ κάρα καραίνω, κραδαίνων καὶ κραδάων.

Κράδη, ἡ συκῆ, διὰ τὸ συνεχῶς κραδαίνεσθαι. Ὧρος τῷ Θηριππίδῃ· ἔστι πατὴρ κύμηνον καὶ μόνον οὔτ' ἀρηχεύων τοὺς θαλλοὺς τῶν κραδῶν.

Κράβατος, κρεμνᾶν τὰς βάσεις· καὶ τὸ μὲν κρα κραδαίνεσθαι ἤγουν σαλεύεσθαι σημαίνει, τὸ δὲ βα, τὴν βάσιν.

Κραδοφάγος, συκοφάγος.

Κράμβη, κοράμβη, ἡ ἀμβλύνουσα τὰς κόρας· βέλτιον δὲ ἡ τῷ κόρῳ ἀντιβαίνουσα· ὅθεν καὶ πρώτη ἐν τοῖς συμποσίοις δίδοται, καὶ παρὰ ἀμπέλῳ οὐ φύεται.

Κράζω, παρὰ τὸ κρῶ, τοῦτο παρὰ τὸ καλῶ, καὶ κρῶ καὶ κατὰ παραγωγὴν κράζω καὶ κρώζω· διαφέρει δὲ τὸ κράζω τοῦ κρώζω· τὸ μὲν κράζω ἐπὶ ἀνθρώπου, τὸ δὲ κρώζω ἐπὶ ὀρνέου.

Κραδία, ἀντὶ τοῦ καρδία, παρὰ τὸ ἀεὶ κραδαίνεσθαι καὶ πάλλεσθαι τὸ τῆς καρδίας σπλάγχνον.

Κραίνω, καὶ ἐπικραίαινον. τὸ κραι διφθόγγῳ, διότι ἀνεφάνη τὸ α ἐν τῷ κρανῶ μέλλοντι, ὁ ἀόριστος ἔκρανα καὶ Ἰωνικῶς ἔκρηνα, τὸ προστακτικὸν κρῆνον, καὶ πλεονασμῷ τοῦ ἦτα κρήηνον.

Κραναῆς, τραχείας, ὀρείου κάρηνα ἐχούσης. Ὧρος παρὰ τὸ κραυκον, τοῦτο παρὰ τὸ κρανίων, ὅπερ ἐστι παχὺ καὶ ὀστῶδες.

Κραίνα, τὸ ἄρχω, ἐξ οὗ καὶ κρανίον, καὶ κέρατα, παρὰ τὸ ἄρχειν τοῦ σώματος ὅλου.

---

1) αα ἔλαβον? 2) Reliqua omissa sunt. 3) Corrupta.

Κρανίον, ἡ κεφαλὴ, καὶ γράφεται διὰ τοῦ ἰῶτα. κραvεῖον δὲ ὁ τόπος διφθόγγῳ.

Κρανίον, ἐν ᾧ κρέμεται ὁ νοῦς.

Κράθις, ὁ ἐν Κροτώνῃ ποταμὸς, ὅτι κιρνᾷ τὰ χρώματα τῶν ἐξ αὐτοῦ πινόντων.

Κρανέεσθαι, τελειωθήσεσθαι, τελείως λείψεσθαι, ἀπὸ τοῦ κρανίω, κράνω.

Κράτεια, παρὰ τὸ κρανῶ κράτεια, ἀνθῶ ἄνθεια.

Κρατευτάων, τῶν βασέων, ὅ ἐστι τῶν λίθων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται, ὀπτομένων τῶν κρεῶν, οἱ δὲ τῶν λαβῶν τῶν ὀβελίσκων εἶπον κακῶς.

Κράτα, τὴν κεφαλὴν, ἀπὸ τοῦ κράτος ἐνταῦθα τοῦ ἡγεμονικοῦ τυγχάνοντος· ἢ παρὰ τὸ κραίνειν καὶ βασιλεύειν τοῦ λοιποῦ σώματος, ὅθεν καὶ κρανίον καὶ κέρατα, τὰ ἐκ τοῦ κρανίου φυόμενα· οὕτως Ὧρος. ὁ δὲ Χοιροβοσκὸς παρὰ τὸ ὁ κρὰς τοῦ κρατὸς τῷ κράτι τὸν κράτα.

Κραταιώθητε, παρὰ τὸ κραταιῶ, τοῦτο παρὰ τὸ κραταιὸς, τοῦτο παρὰ τὸ κραίνω τὸ τελείω, οἱ γὰρ κραταιοὶ κυρίως τοῖς ἑαυτῶν πράγμασι τὰ μέλη τιθέασι.

Κρατερὸς, ἐκ τοῦ κρατός· τὰ δὲ εἰς τερος τρισύλλαβα παράγωγα προπαροξύνονται· οἷον, κύντερος πρότερος, σφέτερος· τοῦτο δὲ ὀξύτονον, διότι οὐκ ἐγένετο ἡ παραγωγὴ αὐτοῦ διὰ τοῦ τερος, ἀλλὰ διὰ τοῦ ερος, τὸ γὰρ τ τοῦ πρωτοτύπου ἐστί· ὅμοιόν ἐστι καὶ τὸ βλαβερὸς ἐκ τοῦ βλάβη. τὸ τε ψιλὸν διάτι; τὰ διὰ τοῦ τερος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα τριγενῆ διὰ τοῦ ε γράφεται, γοερὸς, φοβερὸς, ἱερός· κρατερός· διάτι ὀξύνεται τὸ κρατερὸς; διότι τὰ μὲν ἄλλα ἀπὸ τῆς παραγωγῆς ἔσχον τὸ τ, τὸ μὲν πρότερος κατὰ παραγωγὴν ἐκ τῆς προ προθέσεως, τὸ σφέτερος ἐκ τῆς σφῶν γενικῆς τῶν πληθυντικῶν, τὸ κύντερος ἐκ τοῦ κυνὸς, κυνότερος καὶ συγκοπῇ κύντερος· τὸ δὲ κρατερὸς ἐκ τοῦ πρωτοτύπου, ἐκ τοῦ κράτος, ἐξ αὐτοῦ κρατερός· ἢ ἐκ τοῦ κρατερῶ, καὶ ὑπερθέσει τοῦ α, καρτερῶ, τοῦτο ἐκ τοῦ κρῶ τὸ τελειῶ.

Κράτιστος, κρατύτερος, κρατύων, καὶ τὸ ὑπερθετικὸν κράτιστος· τὸ δὲ κράτος παρὰ τὸ κάρα· τοῦτο παρὰ τὸ ἄκρον· τοῦτο παρὰ τὸ ἥκω τὸ ἔρχομαι· κράτος ἡ ἐξουσία, ἐκ τοῦ κρατεῖν· κράτησον τοῦ πιάσον διαφέρει.

Κρατὸς, ἡ εὐθεῖα κρὰς κρατός· ὁ κανών· τὰ εἰς ας ὀξύτονα μονοσύλλαβα κύριά εἰσι, καὶ διὰ τοῦ ντ κλίνεται· οἷον, ζὰς ζαντὸς, στὰς σταντὸς, πρὰς πραντός· τὸ δὲ κρὰς προσηγορικόν ἐστι, διὸ καὶ ὡς διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὴν κλίσιν.

Κραταίπεδον, λίαν ορθοστρωτον ἔδαφος· ἢ ψηφολόγητον τὸ ἀντίτυπον.

Κρατῆρες, ἀπὸ τοῦ γινομένου ἐλέγοντο, κράμα γὰρ ἐγίνετο· οἱ μὲν ἄρ' οἶνον ἔμισγον.

Κρατὺς, ἀπὸ τοῦ κράτος κρατὺς, ὡς πλάτος πλατύς.

Κρατῶ, παρὰ τὸ κράτος· τοῦτο παρὰ τὸ κάρα κάρατος καὶ κράτος· ὁ γὰρ κρατῶν καὶ ἄρχων ἐκεῖνος ἔστι κεφαλή.

Κράσπεδον, τὸ κρεμάμενον ἤτοι κεχαλασμένον εἰς πέδον· γίνεται παρὰ τὸ ἄκρον καὶ τὸ πέδον τὴν γῆν· ἀκρόπεδον, καὶ ἀφαιρέσει τοῦ α, καὶ τροπῇ τοῦ ο εἰς α, καὶ πλεονασμῷ τοῦ σ κράσπεδον, οἷον τὸ, ἔξω ὂν ἐν ἀκροτάτῳ τόπῳ, καὶ τῇ γῇ πλησιάζον.

Κραιπνὸς, ὁ ταχὺς, καὶ τὸ συγκριτικὸν κραιπνότερος, παρὰ τὸ κάπω τὸ πνέω, ὅθεν καὶ κάπος τὸ πνεῦμα, καὶ καπνὸς τὸ ἐκ ξύλων καυθέντων ἀναπεμπόμενον πνεῦμα· τοῦτο καὶ πλεονασμῷ τοῦ ρ γίνεται καρπὸς, καὶ καθ' ὑπερβιβασμὸν καὶ πλεονασμῷ τοῦ ἰῶτα κραιπνός. Φιλόδωρος.

Κρέας, παρὰ τὸ κέαρ ὃ σημαίνει τὴν ψυχὴν, καθ' ὑπέρθεσιν· πᾶν γὰρ κρέας ἔμψυχόν ἐστι, εἴγε πᾶν ἔμψυχον κρέας ἔχει· ἢ παρὰ τὸ κερῶ τὸ συγκεκρασμένον ἐκ τεσσάρων στοιχείων· τινὲς δὲ παρὰ τὸ κρατύνειν καὶ ἰσχυροποιεῖν τὸ σῶμα ἡμῶν· ἢ παρὰ τὸ κείρω τὸ κόπτω.

Κρεῖον, παρὰ τὸ κρέας γέγονε κρέον καὶ κρεῖον διὰ τῆς ει διφθόγγου· λέγει ὁ Ὧρος ἐν τῇ Ἰλιακῇ προσῳδ, ὅτι τὸ κρεῖον ὅμοιόν ἐστι τῷ θεῖον· ἰστέον δὲ ὅτι ἡ μὲν κοινὴ δόξα ἔχει, ὅτι τὸ κρεῖον κρεοδόχον ἀγγεῖον σημαίνει· ὁ δὲ Εὐφορίων τὸ κρέας λέγει αὐτὸ εἶναι, ὡς καὶ Ὅμηρος [1]· αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν· ὁ δὲ Ἡρωδιανὸς τὴν ἐκ τῶν ὠμῶν κρεάτων πεπληρωμένην τράπεζαν· ὁ δὲ Πτολέμαχος τὸν ἀπὸ στέατος πλακοῦντα.

Κρείουσα, σημαίνει τὸ βασιλεύουσα, παρὰ τὸ κρατῶ κρατείω, ὡς κιχῶ κιχείω, καὶ ὀλῶ ὀλείω, καὶ ἡ μετοχὴ κρατείων καὶ τὸ θηλυκὸν κρατείουσα, καὶ συγκοπῇ κρείουσα.

Κρείσσων, ὡς ἀπὸ τοῦ ταχὺς γίνεται ταχίων, καὶ ὁ τρίτος τύπος θάσσων, οὕτω καὶ ἀπὸ τοῦ κρατὺς γίνεται κρατίων καὶ ὁ τρίτος τύπος κράσσων καὶ τροπῇ τοῦ α εἰς ε κρέσσων, καὶ πλεονασμῷ τοῦ ι κρείσσων· οὐδέποτε πρὸ τῶν δύο σσ δίφθογγος εὑρίσκεται, οἷον, φρίσσω, ἑλίσσω λίσσω, πλὴν τοῦ κρείσσων καὶ τοῦ ῥήματος τοῦ ἐξ αὐτοῦ γινομένου· καὶ χωρὶς τοῦ λεύσσω, σημαίνει δὲ τὸ θεωρῶ, καὶ τοῦ γλαύσσω, σημαίνει δὲ τὸ φωτίζω· ταῦτα διὰ δύο σσ ἐκφέρονται ἐπειδὴ τετάρτης συζυγίας εἰσὶ τῶν βαρυτόνων· ἡ δὲ τετάρτη συζυγία τῶν βαρυτόνων διὰ τοῦ ζ ἢ δύο σσ ἐκφέρεται.

Κρειῶν, σημαίνει τῶν κρεάτων· παρὰ τῶν κρεάτων γέγονε καὶ ἀποβολῇ τοῦ τ κρεάων, καὶ κατὰ κρᾶσιν κρεῶν καὶ πλεονασμῷ τοῦ ἰῶτα κρειῶν· οὐκ ἔστι δὲ μετοχὴ ἀλλ' ὄνομα, ὡς Ὧρος.

Κρεκύδειλος, κροκόδειλος, κατὰ ἐναλλαγὴν τῶν στοιχείων.

Κρεμόω, ἀπὸ τοῦ κρεμῶ κρεμᾷς, γίνεται ποιητικῶς, πλεονασμῷ τοῦ ο, κρεμόω, ὡς παρὰ τὸ γελῶ γελόω, καὶ ὁρῶ ὁρόω· ἐνεστὼς δέ ἐστι καὶ οὐ μέλλων· ἐὰν γὰρ τὸ κρεμῶ καὶ ἀγορῶ δῶμεν μέλλοντας εἶναι, ἀπὸ τοῦ κρεμάζω καὶ ἀγοράζω εὑρίσκεται ἐλάττονας συλλαβὰς ἔχοντα τοῦ ἐνεστῶτος, ὅπερ ἐστὶ ἀδύνατον· ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀγοράζω καὶ κρεμάζω γίνεται ὁ μέλλων ἀγοράσω καὶ κρεμάσω, ἀποβολῇ τοῦ σ ἀγοράω καὶ κρεμάω, καὶ κατὰ συγκοπὴν ἀγορῶ καὶ κρεμῶ· μετάγεται εἰς ἐνεστῶτα. ταῦτα δὲ μέχρι τοῦ παρατατικοῦ κλίνονται· ὁ γὰρ κρεμάσω μέλλων οὐκ ἔστιν ἀπὸ τοῦ κρεμῶ, ἐπειδὴ κρεμήσω ὤφειλεν εἶναι ὁ μέλλων, ὥσπερ βριμῶ βριμᾷς βριμήσω· ἀλλὰ τὸ κρεμάσω καὶ ἀγοράσω οὐκ ἐκ τοῦ ἀγορῶ, ἀλλ' ἐκ τοῦ ἀγοράζω· ἐπειδὴ ὤφειλεν εἶναι τὸ α μακρὸν, ἀλλ' ἔστι βραχὺ, μήποτε οὖν καὶ τὸ ἀμφιῶ ἢ ἐνεστώς ἐστιν, ἢ μεταβέβηκεν εἰς ἐνεστῶτα, χωρὶς εἰ μή τις εἴπῃ, ὅτι τὰ τῷ ἰῶτα παραληγόμενα τῶν περισπωμένων δευτέρας συζυγίας ἔστι καὶ οὐ τῆς πρώτης· οἷον, ἀνιῶ, κοπιῶ· πῶς οὖν τὸ ἀμφιῶ πρώτης, ζήτει.

Κρεμάννυσι, ὁ κρεμῶν, κρεμᾶται ὁ κρεμώμενος.

Κρεμάθρα, εἰς τὸ ἀχθός.

[1] Il. IX, 206 et Schol.

Κρεμῶ, ἔστιν ἔρα ἡ γῆ, καὶ ἐξ αὐτοῦ γίνεται ἔραμος καὶ κέραμος καὶ κεραμῶ, καὶ συγκοπῇ κερμῶ, καὶ ἐν ὑπερβιβασμῷ κρεμῶ, ἐκ μεταφορᾶς τῶν κεράμων· ἐκ δὲ τοῦ κέραμος κατὰ συγκοπὴν κράμος.

Κρείσσων, ὁ μέγας, παρὰ τὸ κράτος γέγονε κρατὺς κρατίων καὶ κράσσων καὶ τροπῇ τοῦ α εἰς ι, καὶ πλεονασμῷ τοῦ ι, κρείσσων.

Κρείσσων καὶ κρείττων, δίφθογγος καὶ ω μέγα· παρὰ τὸ γένος· εἰ μὲν ἀρσενικὸν ὁ κρείττων, καὶ ἡ κρείσσων ω· εἰ δὲ οὐδέτερον τὸ κρεῖσσον ο μικρόν.

Κρείων, ὁ βασιλεὺς, ἀπὸ μετοχῆς μετήχθη εἰς ὄνομα. ἔστι γὰρ κρατῶ καὶ σημαίνει τὸ ἄρχομαι, καὶ ἐξ αὐτοῦ παράγωγον κρατείω· τὸ τει διφθόγγῳ διάτι; τὰ διὰ τοῦ ειω παρ' ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ὀψείω, βρωσείω, θείω· τούτου ἡ μετοχὴ κρατείων καὶ συγκοπῇ κρείων· ἀπὸ μετοχῆς μετήχθη εἰς ὄνομα, καὶ γράφεται διὰ διφθόγγου.

Κρείων, ὁ βασιλεὺς, παρὰ τὸ κρατῶ κρατείω· ἐκ τοῦ κρατεῖων γίνεται κατὰ συγκοπὴν κρείων· πάλιν ζητοῦμεν, τὸ κρείων πόθεν διφθογγογραφεῖται; καὶ λέγομεν, ὅτι πρῶτον δεῖ γινώσκειν, ὅτι μετοχή ἐστι, ἀπὸ τοῦ κρατῶ κρατείω, ὡς γαμῶ γαμείω· τούτου ἡ μετοχὴ κρατείων, καὶ συγκοπῇ τοῦ α καὶ τ κρατείων.

Κρήγυον, τὸ ἀληθὲς καὶ τὸ ἡδὺ τῆς ψυχῆς, τὸ ἀγαθόν· παρὰ τὸ κῆρ ἡ ψυχὴ, καὶ τὸ ἡδὺ γέγονε κηρήδυον, καὶ κατὰ συγκοπὴν κρήδυον, καὶ τροπῇ τοῦ δ εἰς γ κρήγυον· τὸ τὴν ψυχὴν ἡδύνον, ἢ ταὐτό ἐστι τὸ θυμῆρες.

Κρήδεσμον [1]), τὸ κεφαλοδέσμιον, παρὰ τὸ καρὴ, ὃ σημαίνει τὴν κεφαλὴν, καὶ τὸ δέω τὸ δεσμεύω καρήδεσμον, τὸ δεσμεῦον τὴν κεφαλήν· κρήδεσμον λέγουσι τὸ κατεσκευασμένον καὶ πεποιημένον εἰς κεφαλήν· σημαίνει δὲ καὶ τὰ ὑπὲρ ἄνω τῶν τείχων, οἷον, τὰ περιβλήματα· Ἡσίοδος ἐν ἀσπίδι· ὃς Θήβης κρήδεμνον ἔχει, ῥύεταί τε πόληα [2]).

Κρήηνον, ἐπιτέλεσον, ἐκ τοῦ κραίνω παρὰ τὸ τὴν κάραν ἤτοι κεφαλὴν ἐπιθεῖναι τῷ πράγματι· ἔστι δὲ τὸ θέμα καραίνω, ἀπὸ τοῦ κάρα καὶ συγκοπῇ κραίνω, κρανῶ, ἔκρηνα· κραιαίνω, κραιανῶ, ἐκραίηνα, καὶ τροπῇ τοῦ α εἰς ἦτα καὶ ἀποβολῇ τοῦ ι ἐκρήηνα, καὶ τὸ προστακτικὸν κρήηνον.

Κρημνὸς, παρὰ τὸ κρεμῶ, καὶ τροπῇ τοῦ ε εἰς η κρημὸς, καὶ προσθέσει τοῦ ν κρημνός· καὶ εἰς τὸ κρεμῶ· ἢ παρὰ τὸ κάρα καὶ τὸ νεύω καρανὸς καὶ κρημνός· ὁ ἐπὶ κάραν νεύων.

Κρήμνη, ὡς παρ' Εὐριπίδῃ· κρήμνη σεαυτὴν ἐκ μέσης· ὡς ἀπὸ τοῦ ἱστῶ ἵστημι, ἵστην, ἵστης ἵστη, τὸ προστακτικὸν ἵστη, οὕτως ἀπὸ τοῦ κρημνῶ κρήμνημι, κρήμνην, κρήμνης, κρήμνη, καὶ τὸ προστακτικὸν κρήμνη.

Κρημνοβάτης, νευροβάτης.

Κρήνη, ἔστι ῥῆμα μονοσύλλαβον κρῶ, ἀπὸ τοῦ κερῶ, ὃ δηλοῖ τὸ ἐπιχέω· ὡς παρὰ τὸ εἴρω, τὸ λέγω, εἰρήνη, οὕτω κρῶ κρήνη· καὶ νεοκράτη σπονδάς· Αἰσχύλος τὰς νεωστὶ ἐκχυθείσας. καὶ Ὅμηρος· κέρασσε νέκταρ ἐρυθρόν· ἐπέχεεν, οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ.

Κρήνη, παρὰ τὸ ῥέω ῥένη, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ κ κρήνη· ἢ ἀπὸ τοῦ κάραν καὶ κορυφὴν εἶναι τοῦ ῥεύματος, καὶ κόρη νάματος· καὶ γὰρ αἱ κρῆναι θυγατέρες τῶν ποταμῶν εἰσι.

Κρηπὶς, ἡ βάθρα, καὶ ἡ ἀρχὴ καὶ βαθμὸς καὶ βάσις ποδὸς, ὄχθη καὶ θεμέλιον.

Κρηπὶς, σημαίνει τὸ ὑπόδημα, παρὰ τὸ ἕρπω ἑρπὶς καὶ κρηπὶς, δι' ἧς ἐστιν ἕρπειν, ὅ ἐστι βαδίζειν· ἢ παρὰ τὸ ἕρπω, τὸ σύρω, ἑρπὶς, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ρ ῥεπὶς, καὶ πλεονασμῷ τοῦ κ κρεπὶς, καὶ τροπῇ τοῦ ε εἰς η κρηπίς· οὕτως Ἡρωδιανός.

Κρησφύγετα, φρούρια καὶ φυγαί τινες ὄντα, ἐν οἷς ἐκρύπτοντο οἱ νησιῶται τὸν Μίνωα φεύγοντες· τὸ οὖν κρησφύγετον ἔλεγον τὸ χρήσιμον τοῖς φεύγουσιν εἰς ἀσφάλειαν.

Κρητὴρ, ἐκ τοῦ κρατὴρ, καὶ τροπῇ Ἰωνικῇ τοῦ α εἰς η· ὡς πράγμα πρῆγμα· τὸ κρα μακρὸν ἐκ τοῦ κρῶ κράσω· καὶ εἰ μὲν καθαρεύει ὁ ἐνεστὼς, ἢ τὸ ρ παραλήγει· ὅπερ ἀπὸ τοῦ κερῶ κέρας, οἱ γὰρ παλαιοὶ κέρατι ἐχρῶντο ἀντὶ τοῦ προχοδ' . . .

Κρῆτες, παρὰ τὸ ἐπὶ κρέασι βιοτεύειν, κυνηγετικοὶ γάρ· ὁ δὲ Ἀπολλώνιος παρὰ τὸ εὖ κεκρᾶσθαι τὸν περὶ τὴν νῆσον ἀέρα.

Κρῖ, σημαίνει τὴν κριθήν· ἀπὸ τοῦ κριθὴ γίνεται κατὰ ἀποκοπὴν τῆς θη συλλαβῆς· ἀπὸ τοῦ κρίμον, ὃ σημαίνει τὸ παχὺ τῆς ἀλεύρου· καὶ κατὰ ἀποκοπὴν κρί. ζήτει πλατύτερον εἰς τὸν Χοιροβοσκόν.

Κρίβανος, σημαίνει τὴν κάμινον, ἔνθα ὀπτοῦν τοὺς ἄρτους· παρὰ τὸ κρῖ, τὸ σημαῖνον τὴν κριθὴν, καὶ τὸ βαῦνος, τὸ σημαῖνον τὴν κάμινον· οἱ μέντοι Δωριεῖς κλίβανον λέγουσι καὶ κρίβανον.

Κρίβανος, παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος, ἐν ᾧ αὔουσι καὶ φρύγουσιν ἢ κριθὴν ἢ κρίμνον· οἱ μέν τοι Δωριεῖς κλίβανον λέγουσι.

Κριθὴ, παρὰ τὸ κριθῆναι τῶν δρυῶν· ὀπτοὺς γὰρ βαλάνους ἔτρωγον οἱ ἀρχαῖοι· καὶ πάλιν ἤρξαντο ἀπὸ κριθοῦ ὕστερον ἄρτον ἐσθίειν· ἢ διὰ τὸ κρίνεσθαι καὶ διαχωρίζεσθαι αὐτὴν ἐκ τῶν ἀχύρων ἀπὸ τοῦ ἀνέμου.

Κριθὴ διὰ τοῦ ἰῶτα· τὰ γὰρ εἰς θη οὐ θέλουσι παραλήγεσθαι τῇ ει διφθόγγῳ, ὡς μέθη, ποθὴ, πάθη· ποθὴ σημαίνει δὲ τὸ αἰδοῖον, τιτθὴ, σημαίνει δὲ τὴν παρέχουσαν τὸ γάλα, τοῖς ἀρτιγένεσι παισί· τιθὴ, σημαίνει δὲ τὴν μάμμην· οὕτως οὖν καὶ κριθή· πάντα δὲ τὰ παρ' αὐτοῦ διὰ τοῦ ἰῶτα γράφεται.

Κρῖος, ἔστι δὲ ὄνομα Τιτᾶνος, παρὰ τὸ κεκρίσθαι· γράφεται δὲ διὰ τοῦ ἰῶτα· προπερισπᾶται δὲ πρὸς ἀντιδιαστολὴν τοῦ κριός· ὁ δὲ Ἀρίσταρχος καὶ τὸ κύριον ὀξύνει, ὁμοίως τῷ προσηγορικῷ. ἄλλως τε, διὰ τοῦ ι γράφεται τὸ Κρῖος, τὰ γὰρ δισύλλαβα ἀρσενικὰ, ἀποστρέφει τὴν διὰ τῆς ει διφθόγγου γραφήν· οἷον, βίος, Χῖος, ὁ ἀπὸ τῆς Χίου, δῖος ὁ ἔνδοξος, Θρίος ὄνομα τόπου, Κίος κύριον, Τῖος κύριον, ἴος ὁ μόνος, ἰὸς τοῦ ὄφεως καὶ τὸ βέλος, Πῖος κύριον, κριός· οὕτως οὖν καὶ Κρῖος· πρόσκειται ἀρσενικὰ, διὰ τοῦ νειὸς ἡ ἄρουρα, τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, ἀλλ' οὐκ ἔστιν ἀρσενικὸν ἀλλὰ θηλυκόν· καὶ σεσημείωται διὰ τῆς ει διφθόγγου γραφόμενον ὡσαύτως καὶ τὸ θεῖος, Κεῖος ὁ πολίτης τῆς κέω, πλεῖος, μεῖος, λεῖος, ῥεῖος διὰ τῆς ει διφθόγγου γράφεται· ῥεῖον δὲ λέγουσιν οἱ Κύπριοι τὸν ἀσθενῆ, παρὰ τὸ ῥέα, τὸ σημαῖνον τὸ εὐχερές· χρεῖος παρὰ τὴν χρείαν.

---

1) cf. Etym. M. v. κρήδεμνον. 2) vs. 105.

τὸ Δελφειὸς, τὸ σημαῖνον τὸν Διόνυσον, διφορεῖται καὶ διὰ τοῦ ἰῶτα καὶ διὰ διφθόγγου γράφεται.

Κριὸς, διὰ τοῦ ἰῶτα· παρὰ γὰρ τὸ κεκρίσθαι ἐστι, κατὰ τὰς τρίχας· διαφέρουσι δὲ αἱ τρίχες τοῦ κριοῦ τῶν ἄλλων ζώων· ὥσπερ λέγεται κρείων ὁ βασιλεὺς, οὕτω καὶ κριὸς ὁ ἐξέχων τῆς ποίμνης· διὰ τοῦ ι δὲ γράφεται, τῷ κανόνι τῷ προειρημένῳ ἐκ τοῦ κρῖος· ἰστέον ὅτι τὸ κριὸς πολλὰ σημαίνει· ἔστιν ὁ προηγούμενος τῆς ποίμνης· καὶ ὄργανον πολιορκητικὸν, καὶ μέρος πλοίου, καὶ εἶδος ἐρεβίνθου, ὁ ἐρέβινθος δὲ λέγεται ἀρσενικῶς, οἱ δὲ Ἀθηναῖοι τὰς τραχείας κόγχυ καλοῦσι. τὴν γραφὴν διὰ τῆς ει διφθόγγου ποιούμενοι· καὶ ὁ ἀστήρ· τινὲς δὲ λέγουσιν, ὅτι τὸ κριὸς ἀπὸ κέρας γέγονε κέριος, καὶ κατὰ συγκοπὴν κριός· οὐ καλῶς δὲ, εἰ γὰρ ἦν ἀπὸ τοῦ κέρας κεραιὸς ὤφειλεν εἶναι, ὥσπερ κνέφας κνεφαιὸς, καὶ Ἰούδας Ἰουδαῖος.

Κριὸς· ὁ τῷ κέρατι ἱέμενος· ὡς ὁ κρύπτων ἤλαυνεν ὀπίσω. καὶ ἐν ταῖς οἰνικαῖς ἀποστάσεσι κριὸς λέγεται τὸ πρῶτον κεράμιον, ᾧ τὰ λοιπὰ ἐνήρεισται· κριὸς δὲ λέγεται καὶ τὸ ἄστρον, ἢ τὸ ζώδιον.

Κρίκε, ἰστέον ὅτι τὸ, κρίκε δὲ ζυγὸν μιμητικῶς εἰρημένον. ἀφ' οὗ τινὲς οὐ προσεσχηκότες τῇ μιμήσει τῆς φωνῆς ἠπόρησαν· ὡς Ἡρωδιανὸς φησὶ, πῶς ἀπὸ θέματος τοῦ κρίζω ὤν, ὁ β ἀόριστος οὔτε διὰ τοῦ δ, ὡς φράζω, ἔφραδον ἀλλὰ διὰ τοῦ κ· ὅτι δέ ἐστι τὸ κρίζω τὸ θέμα δῆλον ἐκ τῶν κινημάτων· ὁ γὰρ ποιητὴς φησὶ, ὡς αἱ κεκριγυῖαι, καὶ ῥηματικὸν ὄνομα κριγὴ. ὡς παρ' Ἱππώνακτι, οἷον, κριγὴ δὲ νεκρῶν ἄγγελός τε καὶ κῆρυξ· σχηματίζει δὲ τὸ κρίζω ὁ Ἡρωδιανὸς οὕτως· ἔστι μονοσύλλαβον ῥῆμα κρῶ, ἀφ' οὗ τὸ κράζω καὶ ἕτερον ῥῆμα κρώζω· ἀπὸ δὲ τοῦ κράζω γίνεται κρίζω, ὡς στάζω στίζω, σεβάζω σεβίζω· τοῦτο δὲ τὸ κρίζω ἡμαρτημένον ἀόριστον παραλαμβάνει· τὸ δὲ κρίκε δὲ ζυγὸν ἡμεῖς οὐ φαμὲν αὐτὸν ἡμαρτῆσθαι, ἀλλὰ πεποιῆσθαι· οὕτω Ζηνοδότος. σημαίνει δὲ ἐψόφησεν, ἤχησεν, ποιὸν ἀτελὲς ἦχον.

Κρίμνα, σημαίνει δὲ τὸ κλάσμα.

Κρίμα, τὸ ἐκριθὲν, ἤγουν ἐκλελεχθέν.

Κρίμισος, ὄνομα τόπου, παρὰ τὸ κρίνειν τὰ μίση· Κριμισὸς δὲ κιφησὸς πόλις.

Κρίνειν τοῦ διακρίνειν διαφέρει. κρίνειν μὲν γὰρ ἐστι τὸ κυρίως δοκιμάζειν, διακρίνειν τὸ πνευμα πράγματα διαχωρίζειν, καὶ διΐστάναι· καὶ εἰς τὸ κριτής.

Κρίνον, τὸ ἄνθος, παρὰ τὸ κρῖ, τὸ σημαῖνον τὸ λευκόν· ἢ παρὰ τὸ ἐν κάναις ὑδάτων γίνεσθαι.

Κρίνον, ἀπὸ τοῦ διακρίνειν· διὸ καὶ τὰ τοῦ διακρίνειν λέγεται· κρίνον εὐμάραντον ὑπαρχὸν καὶ ταχὺ ἀποπιπτόν· διὸ καὶ λέγεται· κρίνον καὶ ἡ κολόκυνθα· ἐκ γὰρ τοῦ κρίνειν λέγεται ἡ κολόκυνθα, ἀλλ' ἀποπίπτει. διὸ τοὺς πτωχοὺς καὶ νεκροὺς κρίνα. αὕτη δὲ ἡ κολόκυνθα Μηδικόν ἐστιν ὄνομα [1]).

Κρίνω, διὰ τοῦ ι, κρινῶ γὰρ ὁ μέλλων· εἰ δὲ διὰ διφθόγγου γράφεται, κρενῶ ἂν εἶχεν εἶναι ὡς κείρω κερῶ· ἄλλως δὲ ἐπικρίνω λέγουσιν οἱ Αἰολεῖς.

Κριτὴς, ὁ τῆς διαφορᾶς χαριστικὸς κρίναι γὰρ τὸ διαχωρίσαι καὶ διακρίναι· ἔνθεν καὶ ἀκριτόμυθος, ὁ ἄκριτα λέγων, καὶ ἀδιαχώριστα· καὶ μὴ διακρίναι δυνάμενος τὰ λεγόμενα, οἷον, Θέρσιτ' ἀκριτόμυθε.

Κριτὴς, ὁ δικάζων, κρίνων· ἐκ τοῦ κρὶς κριτὸς γέγονε, καὶ ἐξ αὐτοῦ κρίσις.

Κριτὴς, ὁ τοὺς ἐμπεπλεγμένους ἀλλήλοις διαχωρίζων· καὶ αἱ γυναῖκες κρίνας ἐπὶ τῶν τριχῶν λέγουσι ἤγουν πλοκῶν· καὶ τὸ διαχωρίζειν, Ὅμηρος κρίν' ἄνδρας, ἀντὶ τοῦ διαχώρισον.

Κροαίνω, τὸ κτυπῶ, καὶ ἠχῶ καὶ κρούω, ἐκ τοῦ κρούω. καὶ ἐξ αὐτοῦ παράγωγον ῥῆμα κρουαίνω, καὶ ἐκβολῇ τοῦ υ κροαίνω.

Κροαίνειν, φησὶν Ἀριστοφάνης τὸ τοῖς ποσὶ κροτεῖν καὶ σκιρτᾶν· παρὰ τὸ κροτῶ κροταίνω, ἀποβολῇ τοῦ τ κροαίνω· ἢ παρὰ τὸ κρούω κρουαίνω· καὶ κρουνός.

Κροκόδειλος, παρὰ τὸ δειλὸς καὶ τὸ κρόκος γέγονε κροκόδειλος, καὶ γὰρ ὁ χερσαῖος κροκόδειλος φοβεῖται τὸν κρόκον· ὅθεν οἱ μελιτουργοὶ ἐπειδὴ ἀνέρχεται καὶ ἐσθίει τὸ μέλι, ἐπιτιθέασιν ἔξωθεν κρόκον, ὅνπερ ὁρῶν φεύγει· ὁ δὲ θαλάττιος παρὰ τὸ δειλαίνεσθαι τὰς κρόκας ὃ σημαίνει τοὺς αἰγιαλοὺς, οἱονεὶ ὁ περὶ τὴν γῆν δειλός· ὁ δὲ κροκόδειλος ζωΰφιον ἐστι μικρόν· καὶ ἡ χρῆσις παρὰ Ἱππώνακτι.

Κρόκος, παρὰ τὸ ἐν κρύει ἔχειν τὴν αὔξησιν, οἱονεὶ κρυόκιός τις ὤν, ὃ ἐν τῷ κρύει κίων καὶ αὐξάνων· οὕτως εὗρον ἐν ὑπομνήματι Ἰλιάδος Ἀριστονίκου.

Κρόκαλα, ἧχι πολυκροκάλοιο παρ' ἀνθήροισι Νεμείης· κρόκαλα λέγεται αἱ ψῆφοι τῶν ποταμῶν, ἀπὸ τοῦ κροτεῖν καὶ ψοφεῖν· Νεμέα πότε ἐν Ἄργει παρ' ἀνθήροις, τοῖς τοῦ ποταμοῦ ἀναχωρήμασι.

Κρόμυον, παρὰ τὸ τὰς κόρας μύειν τῶν ἐσθιόντων· αὐτὸ δριμὺ γάρ· οὕτως Ἡρακλείδης.

Κρόκη, παρὰ τὸν κρούσω μέλλοντα, ἀποβολῇ τοῦ υ γέγονεν· ἢ τὸ κρούεσθαι δι' ὅλου παρηκολούθησε.

Κρόκος, κρυόκιός τις ὤν, ὅτι κύειν καὶ ἀναβλαστάνειν ἐν τῷ ὕδατι συμβέβηκε καὶ τὸ ἐν τῷ κρύειν πηγνύμενον ὕδωρ κρύσταλλος· ὁ δὲ λίθος καθ' ὁμοιότητα.

Κροκύφαντος, ὅτι διὰ κρόκου ὑφαίνεται· οἱ δὲ Ἀττικοὶ κεκρύφαλον αὐτὸν καλοῦσιν, ὅτι κρύπτει τὸν φαλὸν, ὅ ἐστιν ἐξοχὴ τῆς κεφαλῆς.

Κρονίδης, παρὰ τὸ Κρόνος Κρονίδης. τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα. διὰ τοῦ ι γράφεται, οἷον Κρόνος Κρονίδης, Ὅμηρος Ὁμηρίδης, Πρίαμος Πριαμίδης, χωρὶς τοῦ Κύθνος Κυθνείδης· ἔστι δὲ ὄνομα κύριον.

Κρονίων, Κρονίωνος, Κρόνου υἱὸς, ποίου εἴδους τῶν παραγώγων; πατρωνυμικοῦ· καὶ κλίνεται Κρονίωνος· τὰ εἰς ων πατρωνυμικὰ φυλάσσουσι τὸ ω ἐπὶ γενικῆς· ἡ δοτικὴ Κρονίωνι· ὁμοίως καὶ τῷ Κρονίδης διὰ τοῦ ι γράφεται, ὡς εἴρηται· καὶ συνεσταλμένη ἡ νι συλλαβὴ, ὡς παρὰ τῷ ποιητῇ· ὅς ῥα παρὰ Κρονίωνι· τὸ γὰρ Ζηνὸς καὶ Κρονίωνος ὑπερβιβασμὸν ἐδέξατο τοῦ χρόνου, καὶ τὴν μὲν προπαραλήγουσαν ἐξέτεινε, τὴν δὲ παραλήγουσαν συνέστειλεν· ἄλλως τε τὸ Κρονίων, διὰ τοῦ ἰῶτα, ὡς Αἰακὸς, Αἰακίδης· πλὴν τοῦ Κυθνὸς Κυθνείδης· τὰ εἰς ος εἰ μὲν καθαρεύουσι, διὰ τοῦ αδης ποιοῦσι πατρωνυμικὸν, οἷον, Θυέστιος Θυεστιάδης, Τελαμώνιος Τελαμωνιάδης· εἰ δὲ μὴ καθαρεύουσι διὰ τοῦ ιδης, Πρίαμος Πριαμίδης.

Κρόσσας, οἱ μὲν φασὶ κεφαλίδας τοῦ τείχους σημαίνειν· ἄλλοι δὲ τοὺς προμαχῶνας, Ἀρίσταρχος δὲ κλίμακας τινας ἢ ὄργανα τινὰ πρὸς τειχομαχίαν ἐπιτήδεια· οἱ δὲ καὶ τὰς προκόσας κλημακηδόνα, ἄλλοι δὲ τὰ ἀποκριδώματα· καὶ γὰρ κροσσοὺς τὰ ἄκρα τῶν ἱματίων λεγόμενα, ὃ καὶ βέλτιον, οἱονεὶ κόρσους τινὰς ὄντας, παρὰ τὴν κόρσην τὴν κεφαλήν· ἢ μεταφορὰ ἀπὸ τῶν πλοκάμων· κατὰ μετάθεσιν τοῦ ρ κρόσας, οὕτω Φιλόξενος, ἐν τῷ περὶ Ἰάδος διαλέκτῳ· τὸ δὲ τῆς κλι-

1) Corruptissime.

μακος ὄνομα οὐ γινώσκει Ὅμηρος, οὐδέπω γὰρ ἦν τὰ πολεμικὰ ὄργανα· καὶ ταῦτα μὲν ὁ Ὠρίων· ἐγὼ δὲ εὗρον σχόλιον παρακείμενον ὑπόνοιαν παρέχων μοι, ἵνα σημαίνῃ καὶ τὰς κλίμακας, καὶ τὰ ἐξέχοντα τοῖς τείχεσιν· ἔχει δὲ οὕτως· ὅτι εἰ μὲν διαστέλλοιμεν εἰς τὸν μὲν σύνδεσμον, γένοιτο ἂν, κρόσσας μὲν πύργων ἔρυον, οἷον, ἐπὶ τοὺς πύργους τὰς κλίμακας εἷλκον· εἰ δὲ συνάπτοιμεν κρόσσας πύργων ἔρυον τὰς ἐξοχὰς φησὶ, περὶ ὧν ἐν τοῖς περὶ ναυστάθμου διαλέγεται· στήλας δὲ προβλῆτας, ἀντὶ τοῦ τοὺς προκαταβεβλημένους θεμελίους.

Κρόταφοι, κυρίως μὲν ἡ λέξις ἐπὶ τῶν ζώων τῶν κερατοφόρων, διὰ τὸ ἐξ αὐτῶν τῶν μερῶν φύεσθαι τὰ κέρατα, οἱονεὶ κερατοφόροι τινὲς ὄντες, ἢ ὅτι κρούουσι τὴν ἀφὴν παλλόμενοι, οἷον κρούταφοι· ὡς δὲ Ἀπολλόδωρος, ὅτι συγκεκρότηνται ἀμφοτέρωθεν· ὁ δὲ Ἀπίων, ὅτι τοῦ κρόσσου ἅπτονται, τουτέστι τῆς κεφαλῆς. οὕτως Ὧρος.

Κρότων, ὁ φθεὶρ, ἀπὸ τοῦ κρατεῖν οὓς ἂν ἐκφύει· ὁ δὲ Ὧρος βοτάνην λέγει διὰ τὸ ἐξ αὐτῆς τὸ σπέρμα διατριβόμενον, τοῖς δακτύλοις ὁμοίως τῷ ζώῳ. διὰ τοῦτο κροτὼν ἐκλήθη· ἔστι δὲ καὶ ὄνομα πόλεως παρ' αὐτῷ, ἀπὸ τοῦ Κρότωνος, ὅστις ὑφήρπασε κλαίουσαν κρέθην [1]).

Κρόταφος, καλεῖται οὕτως ἐπειδὴ ὁ κρουόμενος εἰς αὐτοὺς τάφον ἔχει· ὡς τὸ τάφος δ' ἕλε πάντας Ἀχαιούς.

Κρόταφος, παρότι ἐστὶ τάφος τοῦ ὀφθαλμοῦ.

Κροτήσατε, ἐκ τοῦ κροτῶ· τοῦτο παρὰ τὸ κρούω.

Κροσσὸς καὶ κρόσσιον τὸ κρεμώμενον εἰ τύχῃ καὶ ἁλυσείδιον· παρὰ τὸ ἄκρον καὶ τὸ σείω· τὸ ἐν τῷ ἄκρῳ κρεμάμενον.

Κροσσωτὸς, παρὰ τὸ κροσσὸς γίνεται κροσσῶ, κροσσώσω, κροσσωτός· ἢ παρὰ τὸ ἄκρον γίνεται ἀκρῶ, ἀκρώσω, καὶ ἐκτάσει ἀκρόσσωτον, καὶ ἀποβολῇ τοῦ α κροσσωτὸν, τὸ ἐν τῷ ἄκρῳ κρεμάμενον· ἢ ἀπὸ τοῦ κρεμῶ καὶ τοῦ σείω γίνεται κρεμώσιον καὶ κροσσωτόν.

Κρουνῶν, ῥευμάτων, ἔστι ῥῆμα κρῶ μονοσύλλαβον, ὅπερ γίνεται ἀπὸ τοῦ κερῶ κρῶ· ἐκ τούτου γίνεται κρονὰς καὶ κρουνός.

Κρουνοὶ, κυρίως αἱ ἀρχαὶ τῶν ῥευμάτων, ἢ αἱ φλέβες.

Κρούω, ἔστι ῥῆμα κρῶ, παράγωγον κρόω, καὶ πλεονασμῷ τοῦ υ κρούω, ὡς ὄρω, ὀρόω καὶ ὀρούω· κυρίως δὲ τὸ κρούειν, ἐπὶ τῶν κερατηφόρων εἴρηται· κορούειν γὰρ τὸ τοῖς κέρασι παίειν, καὶ κατὰ συγκοπὴν κρούειν· οὕτω Φιλόξενος.

Κρυεροῦ, φοβεροῦ, καὶ κρυόεντος, φρικτοῦ φοβεροῦ, συμβαίνει γὰρ τοὺς φοβουμένους συγκρούειν τοὺς ὀδόντας.

Κρυμὸς, παρὰ τὸ κρύπτω κρυμμὸς, καὶ ἀποβολῇ τοῦ μ κρυμός· κρυμὸς δὲ ὀνομάζεται αὐτὸ τὸ πάγος, ᾧ ἐπικρυπτόμεθα· χειμερίου γὰρ καιροῦ τὸ πάγος.

Κρύος, ῥίγος, ψύχος, παρὰ τὸ τὴν γινομένην κροῦσιν τῶν ὀδόντων, ἐν τῷ ψύχει, κροῦος καὶ κρύος.

Κρύσταλλος, παρὰ τὸ κρύω καὶ σταλάσσω γίνεται κρύσταλλος· τὸ δὲ κρύος παρὰ τὸ κρατῶ κρατύω, καὶ συγκοπῇ κρόω, καὶ ἐξ αὐτοῦ κρύος.

Κρωσσὸς, ὑδρία [2]), ἤτοι ἄγγος, εἰς τὸ ἐπιχέειν ὕδωρ, παρὰ τὸ κρῶ τὸ ἐπιχέω· τοῦτο γέγονε παρὰ τὸ κερῶ καὶ κατὰ συγκοπήν· οἷον, κέρασσε δὲ νέκταρ, ἀντὶ τοῦ ἐπέχεεν, οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ, καὶ παρ' Αἰσχύλῳ νεωκρᾶται σπονδαὶ λέγονται: τουτέστιν αἱ νεωστὶ ἐκχυθεῖσαι.

Κρῶ, σημαίνει τέσσαρα· τὸ ἐπιχέω, οὗ ὁ μέλλων κρώσω, ἐξ οὗ καὶ κρωσσὸς, ὃ σημαίνει τὴν ὑδρίαν· κρῶ τὸ φωνῶ ἐξ οὗ καὶ κρώζω τὸ κράζω καὶ κεκραγύζω, οὗ ὁ μέλλων κρώσω· ἐν Ἡσιόδῳ μή τοι κρώζῃ λακέρυζα κορώνη [3]). κρῶ τὸ τελειῶ, ἐξ οὗ καὶ κρήηνον.

Κρώζειν, ὡς κόραξ, ἢ ὡς κορώνη κράζειν.

Κταμῶ, τὸ ἀναιρῶ, καὶ φονεύω· τὸν δὲ κτάμενον παρόχου.

Κτάμενος, ἐκ τοῦ κτῶ τὸ φονεύω καὶ ἀναιρῶ γίνεται κτῆμι, κτήσω, ἔκτηκα, ἔκτημαι, ἐκτάθην, ἐκτάμην, κτάμενος ἡ μετοχή· τί δὲ ἐστὶ τὸ εἰς χειρὸς ἀναιρεθέν; ἐπειδὴ θέλων ὁ ποιητὴς δεῖξαι τὸν ἰσχυρὸν τοῦ δέρματος· τῶν γὰρ θνησιμαίων τὰ δέρματα, ἀσθενέστερά εἰσιν, ὡς προδιαφθαρέντων [4])· τούτου χάριν εἶπε, τὰ ἰσχυρῶς ἀναιρεθέντα.

Κτεὶς, σημαίνει τρία· τὸ μόριον ἤγουν τὸ αἰδοῖον· οἷον οὐδ' οἷσιν ἐπὶ κτενὲς ἔσχον αἱ θεῖραι, παρὰ τὸ ἐκτείνεσθαι ἐν ταῖς συνουσίαις. τὸ κτένιον τῆς κεφαλῆς, παρὰ τὸ ἐκτείνειν τὰς τρίχας ἢ τὰς χεῖρας· ἢ κτείνειν τοὺς φθεῖρας· τὸ θαλάσσιον ζῶον, παρὰ τὸ ἐκτείνεσθαι καὶ ἁπλοῦσθαι.

Κτήνη, κυρίως μὲν τὰ θυόμενα, ὅσα νόμος σφάζει καὶ κτείνει· καταχρηστικῶς ἐπὶ τῶν τε θυσίμων καὶ μὴ οὕτως. τὸ κτη η διάτι; τὰ διὰ τοῦ ηνος οὐδέτερα, διὰ τοῦ η γράφεται· οἷον, σμῆνος, θρῆνος, κτῆνος.

Κτῆσιν, τὴν περιουσίαν· κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς δῶμα [5]).

Κτῆσις κτίσεως διαφέρει. κτῆσις μὲν γὰρ κυρίως ἐστιν, αὐτὰ τὰ εἴδη, ἃ κτώμεθα κινητά τε καὶ ἀκίνητα· κτίσις δὲ ἡ δημιουργὸς οὐρανοῦ καὶ γῆς.

Κτεκτίζω, εἰς τὸ φιλοκτεανώτατος.

Κτίλος, ὁ προηγούμενος τῶν προβάτων κριὸς, οἱονεὶ κίλός τις ὢν, πλεονασμῷ τοῦ τ κτίλος, παρὰ τὸ κίειν ὅ ἐστι πορεύεσθαι· οἱ δὲ νεώτεροι τάσσουσιν τὴν λέξιν ἐπὶ τοῦ εἰθισμένου καὶ γεγονότος ἡμερίου ζώου· ἢ ἀπὸ τοῦ ἵκω ἰκτὸς, ὡς τάσσω τακτὸς, πλέκω πλεκτός· καὶ ὥσπερ παρὰ τὸ πένθος γίνεται πένθιλος, ναυτίλος, οὕτως οὖν καὶ ἰκτὸς ἰκτίλος· καὶ ἀφαιρέσει τοῦ ι, κτῖλος· τὸ μὲν πρῶτον Ὠρίων, τοῦτο δὲ Ἡρωδιανὸς περὶ παθῶν.

Κτίλος, ὁ πρᾶος καὶ χειροήθης κριὸς καὶ ἀφηγούμενος τῆς ποίμνης· εἴρηται κτίλος ἀπὸ τοῦ ἄγειν τὰ λοιπὰ θρέμματα, οἱονεὶ ἀκτιλός τις ὤν· ἢ κῖλος τις ὢν, παρὰ τὸ κίειν τῶν λοιπῶν ἤγουν προπορεύεσθαι· τὸ κτι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιλος ἀρσενικὰ βαρύτονα μὴ ἀπὸ ὀνομάτων ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται· σεσημείωται τὸ Νεῖλος, τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, ἐκ τῆς ἐτυμολογίας παρὰ τὸ νέαν ἰλὺν ἔχειν, καὶ διὰ τὸ ἔχειν νέαν ἰλὺν, ἐπειδὴ ἐναντίως φέρεται ὡς πρὸς τοὺς λοιποὺς ποταμούς· οἱ μὲν γὰρ λοιποὶ τῷ χείμωνι πλημμυροῦσι, τῷ δὲ θέρει ἀνεκτότερον πρόεισι τὸν ῥοῦν· οὗτος δὲ τοὐναντίον τῷ μὲν χειμῶνι ἀνεκτότερον ῥεῖ, τῷ δὲ θέρει πλημμυρεῖ καὶ ἐξερχόμενον ποτίζει πᾶσαν τὴν γῆν ἐκείνην. καὶ εἰς τὸ ἐκτῖλαι.

---

1) ὑφηρπ. — κρέθην. Ridicule v. Etym. M. 2) Etymol. M. Κρωσσός. 3) Εργ. 692. 4) Schol. Il. III, 375. 5) Il. XIX, 333.

Κτίσις κτίσματος διαφέρει· κτίσις μὲν γὰρ κυρίως καλεῖται ἡ σύστασις τοῦ παντός· κτίσμα δὲ τὸ ὑφ' ἑκάστου ἀνδρὸς δυνάμενον οἰκονομεῖσθαι· οἷον, πόλις, οἶκος· καὶ εἰς τὸ κτῆσις.

Κτύπος, παρὰ τὸ τύπτω τύπος, καὶ πλεονασμῷ τοῦ κ κτύπος· τὰ γὰρ τυπτόμενα ψοφεῖ.

Κύαμος, φάβα μέγα· παρὰ τὸ κύειν αἷμα. Ὅμηρος, ἶσον τοι κυάμοις τε φαγεῖν.

Κυβερνήτης, ἀναλόγως οἱ Αἰολεῖς κυμερνήτην λέγουσιν, παρὰ τὸ ἐρευνᾷν τὰ κύματα, καὶ πρὸς αὐτὰ ἰθύνειν τὴν ναῦν· ἡμεῖς δὲ τροπῇ τοῦ μ εἰς β κυβερνήτην φαμέν.

Κυβερνήτης, ἐκ τοῦ κυβερνῶ, τοῦτο ἐκ τοῦ κύβερνος· τὸ δὲ κύβερνος παρὰ τὸ τὰ κύματα ἐρευνᾷν, κυμέρεμνός τις ὢν, ὁ τῶν κυμάτων ἐρευνήτης.

Κυβιστητὴρ, ὁ ὀρχιστὴς, παρὰ τὸ κρύπτω κρύψω γίνεται κῦβος. ὅθεν καὶ κῦφος καὶ ἀμφικύπελλον, καὶ ἐξ αὐτοῦ κυβιστὴς καὶ κυβιστητὴρ· τὰ γὰρ ἐπικύψαντα κυλισθῆναι. κυβιστῆσαι ἔλεγον· Λυκόφρων [1]) ἄφλαστα καὶ κόρυμβα καὶ κλῄδων, θρόνους πυκνοὶ κυβιστητῆρες ἐξ ἐδωλίων· ἄφλαστα καλεῖ τὸ ἄκρον τῆς νεώς, κατ' εὐφημισμὸν, οἷον, τὸ εὔθλαστον, καὶ κόρυμβα δὲ τὸ αὐτὸ δηλοῖ· καὶ ἔστιν ἐκ παραλλήλου τὸ αὐτό· διαφέρουσι δὲ, ὅτι τὰ μὲν ἄφλαστα τὰ πρυμνήσια, τὰ δὲ κόρυμβα πρωρρήσια.

Κυβήβη, κυρίως τὸ ἐπὶ τῆς κεφαλῆς κύπτον· Ὅμηρος· κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους [2])· ἐπειδὴ οἱ μανιώδεις τὴν κεφαλὴν πάθους γινομένου τοιοῦτοι γίνονται· ὅθεν καὶ τὴν μητέρα τῶν θεῶν Κυβήβην λέγουσιν· αἰτία γὰρ ἐνθουσιασμοῦ τοῖς μύσταις γίνεται· ἔστι δὲ καὶ ἐν Φρυγίᾳ ἱερὸν μητέρος θεῶν.

Κυβιστᾷν, τὸ ἐπὶ κεφαλῆς πηδᾷν· κύβην γὰρ ἔλεγον τὴν κεφαλήν.

Κύβος, ὁ κύκλωθεν βάσιν ἔχων· ὁ δὲ Ἀπολλόδωρος ἀπὸ τῆς κουφότητος· τὰ γὰρ ἐπὶ τῶν κεφαλῶν κύψαντα κυλισθῆναι κυβιστῆναι ἔλεγον. Ὅμηρος, κυβιστῆρι ἐοικώς.

Κυδιάνειρα, ἐνδόξους ἄνδρας ἔχουσα· ἢ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσα.

Κῦδος, παρὰ τὸ κύειν δέος· ἢ παρὰ τὸ κύειν ἡδονὴν, κύηδος καὶ κατὰ κρᾶσιν κῦδος· ἢ παρὰ τὸ κύω τὸ φιλῶ κύσω, καὶ τροπῇ τοῦ σ εἰς δ κῦδος· τὴν γὰρ δόξαν πάντες φιλοῦμεν· καὶ τὸ ὑπερθετικὸν κύδιστος, κῦδος, κυδότερος, κυδότατος, κύδιστος.

Κυδιόων, γαυριῶν, ἐπαιρόμενος ἀπὸ τοῦ κῦδος, κυδίων.

Κύδοιμος, ταραχὴ, θόρυβος, ἢ πόλεμος, ἀπὸ τοῦ κύειν τὸ δέος· ἢ ἀπὸ τοῦ κύειν δεῖμα.

Κύειν τοῦ τίκτειν διαφέρει, κύειν μὲν γάρ ἐστι τὸ ἔγκυον εἶναι· τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν.

Κύαθος, τῇ μὲν εἰς ἁπλοῦν ποτήριόν δέ ἐστι ξεστῶν ἕξ· εἰς τριπλοῦν ὅ ἐστι ξεστῶν τριῶν· ἀντλητήριον δὲ ἐστὶν ἀπὸ τοῦ κεραμίου ἀντλοῦν, διὰ μακρᾶς λαβῆς.

Κύαθος, ἔχει ὀγκίαν μίαν· ὁ δὲ τοῦ ἐλαίου ὀγκίαν α ς, ὁ δὲ τοῦ οἴνου ὀγκίαν α· ὁ δὲ τοῦ μέλιτος ὀγκίας δύο ἥμισυ· λέγονται δὲ αὐτοὶ κύαθοι, καὶ μαδεκὰβ, μαμαρὼθ δὲ τοῦ διϋλιστῆρας.

Κυθέρεια, ἡ Ἀφροδίτη, ἡ κεύθουσα τοὺς ἔρωτας, ἢ ἀπὸ τοῦ τόπου, διότι προσέκυρσε Κυθήραις· ἢ ἀπὸ τοῦ χέειν τοὺς ἔρωτας· ἡ δὲ κοινὴ ἔννοια, ἧς ἔδει ἀποκεκρύφθαι τὸ ὄνομα ἀκούει. ἐπεὶ μυστηριώδης ἡ γένεσις αὐτῆς· τινὲς δὲ καὶ τὴν Κύθηραν ἀπ' αὐτῆς, ὅτι γεννηθεῖσα ἐκεῖ ἐκρύφθη· τὴν δὲ Κυθέρειαν νοοῦσι τινὲς ὡς κρυψίποθον ἔνων· διὸ καὶ σκοτίας Ἀφροδίτης ἱερὸν εἶναι ἐν Φαιστῷ· ἐν δὲ καύδῳ [3]) καὶ καλιψοῦν ἔστιν Ἀφροδίτης ἱερόν· Παφίην δὲ ἀπὸ τοῦ περὶ τοὺς ἔρωτας πάθους, οὐκ ἀπὸ τόπου ὡς Χρύσιππος· ἐγὼ δὲ τὴν Παφίην παρ' ἐπαφίην θέλω εἶναι· καὶ τὸν παρ' Ἀντιμάχῳ τινὲς κυθώνυμον Οἰδιποῦν, οὐχ ὡς ἡ κοινὴ ἔννοια, οὗ ἔδει ἀποκεκρύφθαι τὸ ὄνομα, διὰ τὰ κακὰ, ἀλλ' οὐ κέχυται τὸ ὄνομα ἀκούουσι· κυθογένης μὲν γὰρ ὁ Διόνυσος, ἐπεὶ μυστηριώδης ἡ γένεσις αὐτοῦ· καὶ τὴν Ἀφροδίτην κρύπτουσαν τὸν γεννώμενον κυόμενον ἀπὸ τοῦ γεννηθῆναι.

Κύθειρα, ἡ Ἀφροδίτη, παρὰ τὸ χέειν τοὺς ἔρωτας· ἢ παρὰ τὸ χύδειν θέρει, καὶ φλέγειν τῷ πάθει· ἢ παρὰ τὸ κεύθειν, καὶ κρυφίαν τινὰ οὖσαν τὴν μίξιν.

Κύθηρα, πόλις μακρὰ Κύπρου· εἴρηται δὲ Κύθηρα ἀπὸ τοῦ κεύθειν καὶ κρύπτειν τὸ αἰσχρόν· ἢ ἀπὸ τοῦ κύειν.

Κύθρα καὶ χύθρα, τὸ τζοκκάλιον, ἢ παρὰ τὸ κύτος, ἢ παρὰ τὸ κεύθω.

Κύθρα, ἀπὸ τοῦ κῦτος, κῦθος, κύθρα.

Κυαιστινάριοι, οἱ δήμιοι, οἱ θυρωροί.

Κυκεὼν, ἡ ποσις, ἀπὸ τοῦ κεχῦσθαι χυχεών τις ὢν, πόμα κατασκευασθὲν, παυστικὸν δίψους.

Κυκεὼν, κυκεῶνος, τὸ ἐξ οἴνου καὶ μέλιτος, καὶ ἀλφίτων καὶ ὕδατος, καὶ πυροῦ ἀναμεμιγμένον.

Κύκλα, σημαίνει τοὺς τρόχους· ἔστι ῥῆμα κλῶ, ἐξ οὗ καὶ μονοσύλλαβον ὄνομα κλός· καὶ ἐπειδὴ οὐδὲν εἰς ος ὄνομα λήγει μονοσύλλαβον διπλασιασμὸν ἀναδεξάμενον ἐγένετο κύκλος. ὡς παρὰ τὸ θῶ τὸ θηλάζω θὸς, καὶ ἐπειδὴ οὐκ ἠδύνατο διπλασιασθῆναι ἐγένετο τηθός· ἢ κύκλος λέγεται ὁ εὐκύλιστος· τὸ δὲ κύκλα ἐγένετο κατὰ μεταπλασμόν· ὁ δὲ τοιοῦτος μεταπλασμὸς φυλακτικός ἐστι τῶν αὐτῶν τόνων, κύκλα κύκλους, θάρσους θάρσα, ἐρετμοὺς ἐρετμά· οὕτως Ἡρωδιανὸς ἐν β, αὐτοῦ ἐπιμερισμοῖς.

Κύκλω, ἐκ τοῦ κυκλῶ· κυκλόθεν δὲ μικρὸν, παρὰ τὸ κύκλος γέγονε.

Κυκλοτερὲς, εὔκυκλον, ἐπειδὴ ἔτεινε τὸ τόξον, ὡς κυκλοτερὲς γενέσθαι.

Κύκλωπες, ὡς Ἡσίοδος· Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτοῖς κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ [4])· Κυκλόωπες καὶ κατὰ συγκοπὴν Κύκλωπες· ἐν τῇ φωνῇ εἴρηται τῶν Κυκλώπων· Κύκλωπες οὖν κατὰ συγκοπὴν Κυκλάωπες, οὗ χάριν αὐτοὺς ἔφησαν Φαίακας, οἱ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ, ἀγχοῦ, Κυκλώπων ἀνδρῶν ὑπερηνορεόντων, οἵ σφεας σινέσκοντο βίηφι τε φέρτεροι [5])· ἀλλ' οὐδ' ἦσαν πάντες μονόφθαλμοι· οὐ γὰρ ἀνέστησεν Ὅμηρος τὸ τεράτευμα. ἀλλ' οὐδ' ὁ Πολύφημος μονόφθαλμος ὢν, παρὰ τὸ τόπον ἔχει τὴν θέσιν τοῦ ὀφθαλμοῦ, εἰ κατεκλάσθησαν μέγαν ἰδόντες ὀφθαλμὸν, οὐκ ἐνεκρωθησαν ἐπὶ τῇ μόρφῃ· ἔδει γὰρ Ὁμήρος εἴποντος ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ δεισάντων φθόγγον τε βαρὺν, αὐτόν τε πέλωρον, προσεπιζεῦξαι τοιοῦτόν τοι μοῦνον τ' ὀφθαλμῶν ἐν ἐόντα μετώπῳ [6]).

---

1) vs. 295. 296. et Schol. 2) Il. V, 586. 3) an κνίδῳ. 4) Theog. 144. 145. 5) Od. VI, 4. sq. 6) Od. IX, 256. sq.

Κυκλώπειόν ἐστιν ὄρος ἐν Λιβύῃ· γέγονε δὲ ἀπὸ τοῦ Κύκλωπος.

Κυκνίτης, σημαίνει τὸν τοῦ κύκνου, ἀπὸ τοῦ κύκνος κυκνίτης· τὸ κύκνος εἰς τὸ κολοιός.

Κύκνος, ὄνομα εἰδικόν· ἔστι γὰρ ὄρνις καὶ πετεινόν· ὁ γὰρ ποιητὴς πάντοτε τὰ γενικὰ προτάσσει τῶν εἰδικῶν· γίνεται δὲ παρὰ τὸ κλῶ τὸ φωνῶ, ἐξ οὗ καὶ κλωὸς καὶ πλεονασμῷ τοῦ ο κολωός· λοιπὸν ἐκ τοῦ κλῶ τὸ φωνῶ γίνεται παράγωγον κλύω· ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κύκλος [1]) καὶ ἐν ὑπερβιβασμῷ καὶ μεταθέσει τοῦ λ εἰς ν κύκνος· κρακτικὸν γὰρ τὸ ζῶον. ἢ παρὰ τὸ κύκλος.

Κύλιξ, ποτήριον, ἡ φιάλη, κύκλιξ τις ὤν, παρὰ τὸ κυκλοειδὴς εἶναι· ἢ παρὰ τὸ χύω, χύλιξ καὶ κύλιξ.

Κυλίχνες, λεκανίδες καὶ τρυβλία ἢ φιάλαι ἐλέγοντο, καὶ κυλίκνη τροπῇ τοῦ χ εἰς κ. καὶ κυλικνίδες παρὰ Ῥωμαίοις αἱ πυξίδες, οἱ δὲ οἱ λιβανωτοὶ, ἄλλοι ἀγγεῖα κεράμια.

Κυλίω, παρὰ τὸ ἀλῶ τὸ πλανῶ ἀλύω, καλίω καὶ κυλίω· ἢ κινῶ, κινύω καὶ κυλίω.

Κυλλὸς, ὁ ἓν μέρος ἔχων παραλελυμένον.

Κυλλαρὶς, ἵππος Κάστορος, παρὰ τὸ κέλλειν, ὅ ἐστι ταχύς. Στησίχορος ἐν τοῖς ἐπιπελίοις [2]) ἄθλοις, τὸν μὲν Ἑρμῆν δεδωκέναι φησὶ τοῖς Διοσκόροις Φλόγεον καὶ Ἅρπαγον, ὠκέα τέκνα Ποδάργης, Ἥραν δ' ἑλιόμενος, παρὰ σιδήρῳ, τῶν ἐπισώτρων ὅ ἐστι τῶν κανθῶν.

Κύμβαλα, παρὰ τὸ κύφον, κύφαλά τινα ὄντα.

Κύμβαλον, παρὰ τὸ κύπελον κύπαλον καὶ κύμβαλον· συγγένειαν γὰρ τὸ π πρὸς τὸ β· ἢ παρὰ τὸ πεποιημένην φωνὴν βάλλειν· κύμβαλον γὰρ ἐκ πεποιημένης φωνῆς εἴληπται· αἱ πεποιημέναι φωναὶ αὗται, κῦμα, κέρκεροι, κρύκαι καὶ τὸ τριχθά.

Κῦμα, ἀπὸ τοῦ κύημα, ὥσπερ καὶ οἶμα λέγεται, ἀντὶ τοῦ οἴδημα· ἢ κῦμα τὸ κυρτούμενον ἅμα· ἢ παρὰ τὸ κυκῶ τὸ ταράσσω κύκημα καὶ ἐν συναιρέσει κῦμα· ἢ παρὰ τὸ κύω τὸ ὀγκοῦμαι· ἔστι δὲ μακρὸν τὸ κυ· τὰ εἰς μα δισύλλαβα, διχρόνῳ παραληγόμενα, συστέλλει αὐτό· οἷον πλύμα, χύμα, θῦμα· σεσημείωται τὸ κῦμα· τὸ γὰρ λῦμα ποιητικῶς ἐκτείνεται· τὸ δὲ θῦμα ἱστορεῖ Ἀριστοκλῆς ἐν τῷ περὶ διαλέκτων ἐκτεινόμενον. εἴρηται δὲ κῦμα παρὰ τὸ κυκῶ, δευτέρας συζυγίας τῶν περισπωμένων· καὶ ἔστιν ἡ χρῆσις, δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα [3]).

Κύματι κωφῷ τῷ δίχα ἀνέμου ἐπαιρομένῳ, τῷ ἀψόφῳ· ἄνευ γὰρ ἀνέμου τὸ κῦμα ἠρεμεῖ· κῦμα δὲ παρὰ τὸ κύω τὸ κυόμενον.

Κύμινον, τὰ διὰ τοῦ ινον προπαροξύτονα ἀποστρέφονται τὴν ει δίφθογγον, χωρὶς εἰ μὴ ὦσιν ἀπὸ ἁπλοῦ ἔχοντος τὴν ει δίφθογγον, οἷον, ἀνθρώπινον, λίθινον, ξύλινον, οὕτως οὖν καὶ κύμινον· χωρὶς εἰ μὴ ὦσιν ἀπὸ ἁπλοῦ, διὰ τὸ ξεῖνος ξένος, ἄξεινος.

Κύμινδις, ὄρνεον, οἱονεὶ κρύμινδις· κρύπτει γὰρ ἑαυτοῦ τὴν κεφαλὴν εἰς τὰς σήραγγας τῶν δένδρων καταδύνουσαν. ἢ διὰ τὴν τῆς φωνῆς ὁμοιότητα ταύτης ἔτυχε τῆς ὀνομασίας.

Κυνεός περ ἐὼν καί περ αὐθάδης καὶ ἀναιδὴς ὑπάρχων.

Κυνεραϊστέων, τῶν κροτώνων· ῥέουσι γὰρ τοὺς κύνας πίνοντες τὸ αἷμα αὐτῶν.

Κύντερον, παρὰ τὴν κυνὸς γενικὴν κυνότερον καὶ συγκοπῇ κύντερον, οἱονεὶ χαλεπότερον· ὡς μέλανον μελανότερον καὶ μελάντερον.

Κῦνας, παρὰ τὸ κύω τὸ φιλῶ, ἱλαρὸν γὰρ τὸ ζῶον παρὰ τοὺς οἰκείους.

Κυνέη, εἶδος περικεφαλαίας· κυνέη Ἰωνικῶς, καὶ κοινῶς κυνέα. ὁ κανών· τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκά· τὰ εἰς ος ἤγουν κύνεος· τὸ ὁλόκληρον κύνειος.

Κύνεσσι, δοτικὴ τῶν πληθυντικῶν· οἱ γὰρ Αἰολεῖς, ἀπὸ τῶν εἰς ες εὐθειῶν τῶν πληθυντικῶν, προστιθέασι τῆς σι συλλαβῆς ποιοῦσι τὴν δοτικήν· ἔστιν ἡ εὐθεῖα κύων, ἡ γενικὴ ὤφειλεν εἶναι κύονος· ἀλλὰ δύο κανόνες εἰσὶν, οἱ μαχόμενοι ἀλλήλοις [4])· ὁ μὲν εἷς λέγει, ὅτι τὰ εἰς ων βαρύτονα διχρόνῳ παραληγόμενα συνεσταλμένον φυλάττουσι τὸ ω ἐπὶ γενικῆς· οἷον, Ἀμφιτρύονος, Ἰξίονος· ἕτερος δὲ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ων, κοινὰ τῷ γένει, τρέπουσι τὸ ω ἐπὶ γενικῆς, σώφρονος, γείτονος, πλὴν τοῦ ἥρων ἥρωνος, αἴθων αἴθωνος, ταῦτα γὰρ φύσει· οὕτως οὖν καὶ κύονος· τῶν οὖν δύο κανόνων μαχομένων, ἐγένετο συγκοπὴ, καὶ ἐκλίθη κυνός· ἡ μέντοι κλητικὴ εὕρηται κῦον διὰ τοῦ ο, ὡς ἀπὸ τῆς κύονος γενικῆς.

Κύων, γίνεται παρὰ τὸ ὠκύς, τὸ γὰρ ζῶον ταχύ ἐστι, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ω κύων· ἢ παρὰ τὸ κύω τὸ φιλῶ· ἢ παρὰ τὸ κύω· τὸ δὲ κύω σημαίνει τρία· τὸ φιλῶ, τὸ προσκυνῶ καὶ τὸ τίκτω.

Κυνηγεῖν τοῦ ἰχθυᾶσθαι διαφέρει· κυνηγεῖν μὲν τὸ διὰ κυνῶν θήραν λαμβάνειν, ἰχθυᾶσθαι δὲ τὸ ἰχθύας λαμβάνειν· ὁ οὖν εἰπὼν, ἰχθύας ἐκυνήγησα, ἀκυρολογεῖ.

Κυνηγεσία καὶ κυνηγία· τὸ νη ἦτα διάτι; τὰ ἄλλα τὸ ἰῶτα· οὕτως ἡ παράδοσις.

Κυνικὸς φιλόσοφος, ἀπὸ μεταφορᾶς τῶν κυνῶν, ὅτι ἀναιδέστατος.

Κυνίζω, παρὰ τὸ κίω τὸ κινῶ, κνίζω καὶ κυνίζω· τὸ δὲ κίω παρὰ τὸ ἴω τὸ πορεύομαι.

Κυνικοὶ φιλόσοφοι, ἀπὸ μεταφορᾶς τῶν κυνῶν, ὅτι ἀναιδέστατοι ὑπῆρχον, ὥσπερ καὶ ὁ κύων· οὗτοι γὰρ ὅτε ἤλεγχόν τινα δημοσίως, καὶ οὐ κατ' ἰδίαν ἤλεγχον· καὶ ὅτε ἤσθιον, ἢ ἄλλό τι ἔπραττον, ἀναφανδὸν αὐτὸ ἐποίουν, ὡς οἱ κυνές· ἢ ὅτι κοινῶς διελέγοντο.

Κυνῶπα, ἀναίσχυντον, ἀναιδῆ πρόσωπον ἔχων ὡς κυνός. ὡς ἀπὸ τοῦ κύων κυνὸς καὶ τοῦ ὤψ ὀπὸς, κυνώπης, γλαυκώπης καὶ βοώπης· ἡ γενικὴ εἰς ου, ἡ κλητικὴ εἰς α.

Κύπελλον, ἔκπωμα· ποτήριον, παρὰ τὸ κῦφον κύφελον καὶ κύπελλον· ἢ χύπελλον ἔνθα ὁ πηλὸς ἤτοι ὁ οἶνος χεῖται.

Κύπρις, ἡ Ἀφροδίτη, ἡ τὸ κύειν παρέχουσα· ἢ ὅτι ἐν Κύπρῳ τιμᾶται.

Κύπελλον, τὸ ποτήριον, ἀπὸ τοῦ κῦφον, ὃ σημαίνει τὸ βαθὺ καὶ τὰ νέφη· κύφελα ἀπὸ τοῦ κεύθειν τὴν ἕλην, ἤγουν τὸν ἥλιον καὶ τὴν σελήνην.

Κύουσαν, ἐσφραγισμένην, ὄνομα μετοχικὸν ἐκ τοῦ κύω ῥήματος, τοῦ σημαίνοντος τὸ ὀγκοῦμαι· ἐκ τοῦ κύων ἀρσενικοῦ τὸ κύουσα· κλίνονται δὲ ἀμφότερα ὁ κύων τοῦ κύοντος, ἡ κύουσα τῆς κυούσης, τῇ κυούσῃ τὴν κύουσαν.

1) L. κλύνος. cf. Etym. M. 2) L. πελίαις. Vid. Schol. Pind. p. 432. Apoll. I, 1301. 3) Il. XX, 240. 4) cfr. Infra p. 356, v. 15.

Κύπειρος, εἶδος βοτάνης, ἐπειδὴ κύπαιρον λέγουσιν οἱ Δωριεῖς.

Κύπελλον, ποτήριον, ὅτι κῦφον ἐστὶ καὶ περιφερές· τὸ δὲ αὐτὸ ἀμφικύπελλον· καὶ κυριώτερόν ἐστι τὸ δὲ αὐτὸ ἀμφικύπελλον τὸ περιφερὲς μόνον· τινὲς δὲ ὅτι τὰ χείλη ἐπικέκαμπται εἰς ἓν μέρος· τὰ δὲ μὴ τοιαῦτα ἔχειλα λέγουσι· καὶ εἰς τὸ ἀμφικύπελλον.

Κύπρις, τὸ ἐπίθετον Ἀφροδίτης, καὶ οὐχ ὡς τινες συμπλανηθέντες τῷ Ἡσιόδῳ ἔδοξαν, ὅτι Κύπρις λέγεται, διότι γεννᾶται ἐν Κύπρῳ ὥσπερ καὶ τὴν φιλομειδῆ ὅτι μηδέων ἐξεφαάνθη· Ὅμηρος δὲ οὐκ εἶπε τὴν τὰ μειδιάματα φιλοῦσαν, οἷον, ἱλαρὸν, διὰ τὴν ἐγκειμένην αὐτῇ δύναμιν ἀπὸ τῆς συνουσίας· ὥσπερ οὖν τὸ πῦρ ἥφαιστον λέγει, ὁμωνύμως τῷ εὕροντι, οὕτω καὶ τὴν ἀφροδίτην ποτὲ, τὴν ἀνδρὸς πρὸς γυναῖκα συνουσίαν, ἡνίκ' ἂν περὶ μνηστήρων λέγει· καὶ ἐκλελαθόντ' ἀφροδίτης, ἣν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντο δὲ λάθρα [1]. τὸ οὖν ἐπίθετον τὸ διὰ τοῦ Κύπρις σημαινόμενον, ἀπὸ τῆς περὶ αὐτὴν δυνάμεως, Ὁμήρῳ παρείληπται· ἔστιν οὖν κατὰ συγκοπὴν εἰρημένη Κύπρις, ἡ τὸ κύειν πορίσκουσα· ἴδιον γὰρ της Ἀφροδίτης τοῦτο· οὐ γὰρ ἄλλως γυναῖκες κυΐσκουσι, χωρὶς τῆς ἀφροδισιακῆς συνουσίας.

Κύπρος, παρὰ τὸ κυοφόρον καὶ λιπαρὰν γῆν ἔχειν.

Κύπρος, ἡ νῆσος καὶ χαλκοὺς· καὶ κύπρος μέτρον παρὰ ποντικοῖς ξηροῦ γενήματα μοδίων δύο, ὃ λέγεται εἶναι παρ' αὐτοῖς χοινίκων πέντε· ὁ δὲ χοῖνιξ παρ' αὐτοῖς ἔστι ξέστων πέντε, ὥστε εἶναι τὸν κύπρον ξεστῶν κ· ὁ δὲ μίγαρ παρ' αὐτοῖς μόδιον ξεστῶν κδ.

Κύπτω, παρὰ τὸ γυῖον, ὃ σημαίνει τὸ μέλος τοῦ σώματος, γίνεται γύπτω καὶ κύπτω· οἱ γὰρ γυμνοὶ ὄντες, κύπτοντες τὰ ἑαυτῶν αἰσχυντικὰ μόρια συγκαλύπτουσι· ἐτυμολογεῖται δὲ παρὰ τὸ τὰ γυῖα κάμπτειν, ἤγουν τὰ μέλη.

Κυρβασία, τὸ τὴν κεφαλὴν καλύπτον· Θεοδώριτος ἐν ἐνίοις ἐπιγράμμασι τὰς περικεφαλαίας κυρβασίας λέγει.

Κῦρβες, αἱ τὰς τῶν θεῶν ἑορτὰς ἔχουσαι, ἤτοι ἀπὸ τῆς κατασκευῆς· εἰσὶ γὰρ κυρβασταὶ ἢ κύρβιες· ἐπειδὴ τὰ τῶν θεῶν ἀποκρυπτόμενα δεῖ εἰδέναι· Ἀσκληπιάδης δὲ ἐν τοῖς τῶν ἀξόνων ἐξηγητικοῖς, ἀπὸ κύρβεως τοῦ τὰς οὐσίας ὁρίσαντος, ὡς φησὶ Φανίης ὁ Ἐφέσιος, ἀπὸ τοῦ ταῦτα κυρωθῆναι τοῖς γράμμασιν· Ἐρατοσθένης δὲ τριγώνους φησὶν αὐτὰς εἶναι οὐ τετραγώνους· Ἀριστοφάνης δὲ φησὶν, ὁμοίας εἶναι τοῖς ἄξοσι, πλὴν ὅτι οἱ μὲν ἄξονες νόμους, αἱ δὲ κύρβεις οὐσίας ἔχουσιν· ἀμφοτέρων δὲ τετραγώνων τὸ κατασκεύασμα· οἷον, πλινθίον τὸ μέγα ἀνδρόμηκες, ἡρμοσμένα ἔχοντα τετράγωνα ξύλα, τὰς πλευρὰς πλατείας ἔχοντα καὶ γραμμάτων πλήρεις, ἑκατέρωθεν δὲ κνώδακας, ὥστε κινεῖσθαι καὶ περιφέρεσθαι ὑπὸ τῶν ἀναγινωσκόντων.

Κύρω, σημαίνει τὸ ἐπιτυγχάνω, ὁ μέλλων κυρῶ, καὶ Αἰολικῶς κύρσω, ὥσπερ ὀρῶ ὄρσω· δια τοῦτο παραλῆγον τὸ σ, ἐπειδὴ βαρύτονά εἰσι, καὶ διότι κανών ἐστιν ὁ λέγων, πᾶς μέλλων ἐνεργητικὸς μὴ ἔχων τὸ σ ἢ δυνάμει ἢ ἐνεργείᾳ, περισπᾶσθαι θέλει, ὥσπερ πάλλω παλῶ, ὅτε δὲ ἔχει τὸ σ, βαρύνεται. οἷον, τύπτω τύψω, λέξω, δυνάμει γὰρ ἔχουσι τὸ σ, δύναται γὰρ διαιρεθῆναι τὸ ψ εἰς π σ, καὶ τὸ ξ εἰς κ καὶ σ.

Κυρία, ἡ ἐξουσία· ἡ ἡμέρα δὲ καὶ ἡ δεσπότις, καὶ ἡ ὥρα, ἡ προσηγορία διὰ τοῦ ἰῶτα.

Κύριος καὶ δεσπότης διαφέρει· κύριος μὲν γάρ ἐστιν ὁ ἀνὴρ τῆς γυναικὸς, καὶ υἱῶν ὁ πατὴρ· δεσπότης δὲ ὁ ἀργυρονήτων καὶ ἄλλων τινῶν.

Κυριότης, παρὰ τὸ κῦρος, ἤγουν τὴν ἐξουσίαν.

Κύριος, παρὰ τὸ κῦρος. ὃ σημαίνει τὴν ἐξουσίαν· τὸ δὲ κῦρος παρὰ τὸ κύρω βαρύτονον, τὸ ἐπιτυγχάνω.

Κῦρμα, εὕρεμα, ἐγκύρημα, ἔνταλμα, ἐντύχημα.

Κυρτὸν, σημαίνει καὶ τὸν παρ' ἡμῖν λεγόμενον κυρτὸν καὶ τὸ μετέωρον, καὶ ὑψηλὸν· τὸ μὲν ἀπὸ τοῦ κύπτω· τὸ δὲ ἀπὸ τοῦ κύειν εἰς ὕψος, ἤτοι ἐπαίρεσθαι.

Κυρτὸς, παρὰ τὸ κύπτω κυπτὸς καὶ πλεονασμῷ τοῦ ρ καὶ ἀποβολῇ τοῦ συμφώνου κυρτός· διαφέρει δὲ κυρτὸς καὶ κύρτος· κύρτος μὲν γὰρ βαρυτόνως εἶδος δικτύου ὡς σπυρίδιον· κυρτὸς δὲ ὀξυτόνως ἐπίθετον.

Κύστις, παρὰ τὸ κεύθειν ἐφήβιον ὑπογάστριον, καὶ διὰ τὸ τοῦ ἀνθρώπου φυλάττειν τὰ ὑγρά· ἢ παρὰ τὸ μόριον κύειν τὸ οὖρος· σημαίνει δὲ τὸ οὐροδόχον ἀγγεῖον.

Κύφελα, τὰ νέφη, τὰ κούφως ἐλαυνόμενα, οἷον, κρύφελα, τὰ ἀποκρύπτοντα τὴν σελήνην· ἐτμήγη δὲ κύφελα· Καλλίμαχος. εἰς τὸ κύπελλον.

Κυψέλη, πλεκτὸν ἀγγεῖον· λέγεται καὶ τοῦ ὠτίου κοῖλον διὰ τὸ κῦφον τε καὶ κοχλοειδὲς, καὶ τοῖς ἀγγείοις ἐοικέναι· ἐξ οὗ καὶ κυψελὴς ἡ ῥύπωσις τοῦ ὠτίου.

Κύω, σημαίνει τρία, τὸ φιλῶ ὡς παρ' Ὁμήρῳ, αὐτὰρ φίλον υἱὸν ἐπέκυσε· τὸ γεννῶ, οὗ ὁ μέλλων κυήσω, ἐξ οὗ καὶ κύη· καὶ λέγεται κύω τὸ προσκυνῶ καὶ προσχαίρομαι· ἐξ οὗ καὶ κύων, προσχαρὲς γὰρ τὸ ζῶον πρὸς τοὺς δεσπότας· κυνῶ δὲ τὰ τῶν κυνῶν φρονῶ.

Κύειν, διὰ τὸ κύειν καὶ κράζειν· ἢ διὰ τὸ συχνῶς κύειν καὶ γεννᾶν, ἢ παρὰ τὸ φιλῶ· φιλητικὸν γὰρ τὸ ζῶον πρὸς τοὺς ἑαυτοῦ δεσπότας.

Κύων, σημαίνει πέντε. τὸ ζῶον, καὶ γίνεται παρὰ τὸ κύω τὸ φιλῶ· καὶ Ὅμηρος, ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βόωσα [2]· καὶ τὸν ἀγχιδῆ, ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους [3], ὃ καὶ ἐπὶ τῶν τετορνευμένων, ὡς τὸ χρύσειοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν· καὶ τὸ ἄστρον· ὡς τὸ, ὡς ὅτε κύων ὠρίωνος· καὶ τὸ θαλάσσιον ζῶον· λέγονται καὶ οἱ φιλόσοφοι, Κυνικοί.

Κύων, κυνὸς, ὁ κανὼν, δύο κανόνες εἰσὶν οἱ μαχόμενοι ἀλλήλοις [4]. ὁ μὲν εἷς λέγει, ὅτι τὰ εἰς ων καθαρὰ βαρύτονα διχρόνῳ παραληγόμενα φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Ἠετίων Ἠετίωνος, Ἀμφιτρύων Ἀμφιτρύωνος· ὁ δὲ ἕτερος λέγει, ὅτι τὰ κοινὰ τῷ γένει διὰ τοῦ ο μικροῦ· τῶν οὖν δύο μαχομένων, τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος φυλάττειν τὸ ω, ἐπὶ γενικῆς, τοῦ δὲ ἑτέρου τὸ ο μικρὸν, συνεκόπη τὸ ἀμφιβαλλόμενον, καὶ ἐκλίθη κύνος· λέγεται καὶ ὁ κύων τὸ κάτω τῆς πάρθης, συμπεφυκὸς τῷ δέρματι, παρὰ τὸ κεῖσθαι καὶ ἀναδέδοσθαι.

Κώας, εἰς τὸ κῴδιον, οἷον, κῶας ἄγειν κριοῖο μεμαῶτας.

Κῴδιον, στῴδιον, καλῴδιον· δεῖ γινώσκειν, ὅτι τὸ στῴδιον καὶ κῴδιον εὐλόγως ἔχουσι τὸ ἰῶτα· τὸ δὲ λαγῴδιον παραλόγως· ἔστι γὰρ στοιὰ στοιᾶς· ἐπειδὴ ἡ

---

1) Od. XXI, 424. ubi interpr.　2) Od. XX, 14.　3) Il. VIII, 527.　4) Cfr. supra p. 354, v. 14.

τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἄρχεται, τούτου χάριν διὰ τοῦ διον ἐγένετο ἡ παραγωγὴ, καὶ ἐγένετο στοΐδιον, ὡς γραφεῖον γραφείδιον, καὶ κατ' ἔκτασιν τοῦ ο εἰς ω στῴδιον καὶ ἔχει τὸ ἰῶτα· τὸ δὲ κῴδιον σημαίνει τὸ τοῦ προβάτου δέρμα, παρὰ τὸ ἐπ' αὐτῷ κοιμᾶσθαι· ἢ παρὰ τὸ κῶ, τὸ σημαῖνον τὸ κοιμῶμαι, ἀφ' οὗ καὶ κείω καὶ κῶμα ὁ ὕπνος. ὡς Ἡσίοδος, κακὸν δ' ἐπὶ κῶμα καλύπτει· καὶ κῶς ῥηματικὸν ὄνομα. τοῦτο δὲ τὸ κῶς γίνεται καὶ κωὰς κατὰ πλεονασμὸν, ὥσπερ ὧς ὠτὸς, ὦας, οἱ γὰρ Ἀττικοὶ οὖς φασὶ, οἱ δὲ ποιηταὶ ὦας· καὶ ἐπειδὴ τοῦ κωὰς κώαντος ἡ τελευταία συλλαβὴ τοῦ πρωτοτύπου τῆς γενικῆς ἀπὸ φωνήεντος ἄρχεται, γίνεται διὰ τοῦ ιδιον ἡ παραγωγὴ, κωατίδιον καὶ συγκοπῇ τοῦ α τ κώδιον καὶ συναιρέσει κῴδιον. τὸ δὲ λαγῴδιον οὐκ ὤφειλεν ἔχειν τὸ ἰῶτα, εἴτε ἀπὸ τοῦ λαγωὸς λαγωοῦ γέγονε, καὶ ὤφειλεν εἶναι χωρὶς τοῦ ι. ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἄρχεται καὶ διὰ τοῦ ιδιον γέγονεν ἡ παραγωγή· ἀλλ' ἔστιν εἰπεῖν ἀπὸ τοῦ λαγωὸς λαγωοῦ γέγονε λαγῴδιον, καὶ ἔχει τὸ ι, κατὰ συνεκδρομὴν τοῦ κῴδιον καὶ στῴδιον· συνεξέδραμε τούτοις καὶ τὸ καλῴδιον, ἔχει καὶ τὸ ι προσγεγραμμένον, σημαίνει δὲ τὸ σχοινίον.

Κωδία, ἡ τῆς μήκωνος κεφαλή.

Κωδίκαλλος, ἐκ τοῦ κῴδιον τὸ δέρμα, γίνεται κωδίκαλλος.

Κώεα. κῴδια, ἅ ἐστι προβάτων δέρματα, καὶ εἴρηται παρὰ τὸ ἐγκεῖν, ὅ ἐστιν ἐγκοιμᾶσθαι.

Κώθων, νῦν ὑβρίζοντες τὴν λέξιν ἔλεγον· Διόδωρος δὲ λέγει, ὅτι διὰ μέθην οὕτως ἐκλήθη· κώθων γὰρ εἶδος ποτηρίου.

Κωκύματα, πένθη στεναγμῶν, παρὰ τὸ κωκυτὸς κωκύω κώκυμα.

Κωκυτὸς, θρῆνος μετὰ κραυγῆς, ὀδυρμὸς, κοπετός.

Κῶλοψ, σημαίνει τὸ ἀστράγαλον.

Κῶλα, κυρίως ἐπὶ τῶν μελοποιῶν, μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν πεζολόγων, κώλοις μὴ χρωμένων.

Κωλιάδας, ἐκ τοῦ κῶλον, ὃ σημαίνει τὸ ὀστοῦν· φασὶ γὰρ ἀνθρώπου τινὸς αἰχμαλωτισθέντος παρακαλεσαμένου τὴν Ἀφροδίτην, ἀντιμισθίαν ἔστησεν εἴδωλον ἐκ στέατος.

Κῶλος, ὁ ἀπηρτισμένην ἔννοιαν ἔχων στίχος.

Κωλύω, τὸ κρατῶ, ἡ μεταφορὰ ἐκ τοῦ χωλός· κωλὸς ὁ κεκρατημένος τοῖς ποσί· καὶ εἰς τὸ χωλός.

Κῶμα, ὕπνος λιθώδης κατὰ μεταφοράν· γίνεται δὲ ἀπὸ τοῦ κοιμῶ κοιμήσω, καὶ ἐξ αὐτοῦ κοίμημα, καὶ κατὰ συγκοπὴν κοῖμα καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω, κῶμα· τὸ δὲ κοιμῶ συντάσσεται αἰτιατικῇ.

Κωμάζειν, τὸ ποιῶς ὀρχεῖσθαι· ἐξ οὗ καὶ κῶμα εἶδος ὀρχήσεως, οἱ δὲ μέλους, παρὰ τὸ κῶ τὸ κοιμῶμαι· ἐμφαίνει γὰρ τὸν ἀπὸ τοῦ δείπνου καὶ τῆς μέθης, ἐπὶ τοῦ κοιμηθῆναι βαδίζειν· ἔστιν οὖν κῶμος ὁ καιρὸς, ὁ ἀπὸ τῶν δείπνων πρὸς ὕπνον καλῶν.

Κωμάζειν, κυρίως τὸ ἐπικοιμᾶσθαι καὶ βαδίζειν· ἔστιν οὖν κῶμος ὁ καιρός· τὸ δὲ κῶμος ἐκ τοῦ κωμάζω, τὸ ἐπὶ τοῦ κοιμᾶσθαι βαδίζειν· τὸ δὲ κῶμος παρὰ τὸ κῶ τὸ κοιμῶμαι, ἐξ οὗ καὶ κώμη τὸ χωρίον, ἡ κοιμητήριον, καὶ ἀνάπαυσις τῶν ζώων. κόμη δὲ τῆς κεφαλῆς ἐκ τοῦ κείρω τὸ κόπτω.

Κώμη, εἰς ἣν ἐκοιμῶντο ἀπὸ τῶν ἔργων ἀνύοντες. ἡ χώμη ἀνάλωμά τι, κατὰ κλίσιν τοῦ ἐδάφους.

Κῶμα, ἡ μέθη, ἐκ τοῦ κωμάζω· κῶμος δὲ ὁ μεθυστικὸς αὐλὸς, ἐγχρονίζων τοῖς οἴκοις καὶ κυμβάλοις, καὶ θέλγων τοὺς δαιτυμόνας.

Κωμῳδὸς, ἐκ τοῦ κώμη καὶ τοῦ ᾄδω γίνεται κωμῳδός. ὁ ἐν ταῖς κώμαις ᾄδων· σημαίνει δὲ τὸν ἀντικαταλλασσόμενον.

Κῶμος, μὴ κώμοις καὶ μέθαις [1]), παρὰ τὸ κῶ τὸ κοιμῶμαι· ἐμφαίνει γὰρ, ἀπὸ τοῦ δείπνου καὶ μέθης κοιμᾶσθαι· σημαίνει δὲ τὸ πρὸς τὰς ἐρωμένας, κωμάζειν τοὺς ἐρῶντας, ἢ ἐπὶ τοῦ συγκοιμᾶσθαι βαδίζειν.

Κωμῳδία, κῶ τὸ κοιμῶμαι· ἐκ τούτου γίνεται κώμη. τὸ χωρίον, εἰς ὃ κοιμῶνται πολλοί· καὶ ἐκ τούτου γίνεται κωμῳδία.

Κωμῳδία τραγῳδίας διαφέρει· κωμῳδία γάρ ἐστι βιωτικῶν πραγμάτων διήγησις· τραγῳδία δὲ ἡρωικῶν παθῶν.

Κώνωψ, παρὰ τὸ κῶλον, ὃ σημαίνει τὸ στρόγγυλον· καὶ γὰρ ἡ κώνωψ στρογγυλοτάτη πάντων μυῶν.

Κωνίσαι, κυρίως, τὸ τὸν κέραμον πιττῶσαι, κωνᾶν τὸ στρέφειν, καὶ τοὺς βόκωνας κώνους λέγουσι· καὶ Ἀριστοφάνης δὲ ἀντ' ἀνίσαι, τὸ περιενεικεῖν κωνίσαι λέγει.

Κώνειον, τὸ θανάσιμον φάρμακον.

Κῷος, σὺν τῷ ἰῶτα γράφεται, ἐπειδὴ εὕρηται κατὰ διάστασιν. Καλλίμαχος, τῷ ἴκελον τὸ γράμμα τὸ κώϊον· ἢ ὅτι τὰ εἰς ος κτητικὰ, τῷ ἰῶτα θέλουσι παραλήγεσθαι, ἢ τῷ α, χωρὶς τοῦ θηλυκὸς, Λιβυκὸς, ἁλυκός. καὶ ἁλυκὸς μὲν ὁ τῆς θαλάσσης, θηλυκὸς δὲ ὁ τοῦ θήλεος, Λιβυκὸς δὲ ὁ τῆς Λιβύης· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, Ξενοφώντειος, Ἡρωδότειος, Ἀριστάρχειος, Θηβαϊκὸς. Ῥωμαϊκὸς, πατρῷος, Μινῷος, ἡρῷος, οὕτω καὶ Κῷος.

Κώπη, ἡ λαβὴ τοῦ ξίφους, ᾗ κόπτειν δυνάμεθα, παρὰ τὸ κόπτω κοπὴ καὶ ἀναβιβασμῷ καὶ τροπῇ κώπη· καὶ ἡ τῶν ἐρετῶν κώπη λέγεται παρὰ τὸ κόπτειν τὸ ὕδωρ· ὑμεῖς μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν τύπτετε κληΐδεσσι [2]).

Κωπίες, ἐκ τοῦ κώπη, ὃ σημαίνει τὴν λαβὴν, ὁ ἐκ τοῦ, τῶ τὸ λαμβάνω τώπη, καὶ κατὰ τροπὴν τοῦ τ εἰς κ, κώπη· ἐκ τοῦ κόπτω κώπη ἀποβολῇ τοῦ τ.

Κῶς, ἡ νῆσος, ἥν φασιν ἀπὸ τοῦ κῶ ὀνομάζεσθαι, ὅτι ἦν θυγάτηρ Μέροπος καὶ Ἐχεμείας.

Κώτιλλος, ὄρνεον, οὕτω καλούμενον· ἀφ' οὗ καὶ οἱ πολλὰ λαλοῦντες, κώτιλλοι καλοῦνται.

Κωτίλλων, ὁ πανοῦργα κολακεύων καὶ λέγων· ἀπό τινος ὀρνέου καλουμένου· ἀφ' οὗ καὶ οἱ πολλὰ λαλοῦντες καὶ κολακεύοντες κώτιλλοι λέγονται.

Κωφὸς, παρὰ τὸ κεκόφθαι τὴν ὄπα, ἢ κεκοπός τις ὢν, ὁ μήτε φθεγγόμενος μήτε ἀκούων· ἁρμόζει δὲ τὸ σύμφωνον τῆς λέξεως, ὡς πρὸς ἄμφω· οἷον, καὶ κωφοῦ συνημμένων, καὶ οὐ λαλέοντα ἀκούων. διαφέρει δὲ ὅτι τὸ κωφὸς ὁ παντελὴς κενοπὸς, οὐ λαλέοντα δὲ τὸν δυνάμενον λαλεῖν, οὐ λαλοῦντα δέ.

Κωφὸς, ὁ ἐν αὐτῷ τὴν ὄπα ἔχων, κυρίως δὲ, ὁ μὴ λαλῶν· λέγεται καὶ ἐπὶ μὴ ἀκούοντος· κωφὸς δὲ ὁ μὴ κοῶν, τουτέστιν ὁ ἀγνοῶν τὸ φῶς, ὅ ἐστιν ὁ φωνὴν ἀγνοῶν.

1) ad Rom. XIII, 13. 2) Od. XII, 214.

Κωπὸς καὶ ἐνεος διαφέρει· κωφὸς μὲν γάρ ἐστιν, ὁ τὴν ἀκοὴν βεβλαμμένην ἔχων· ἐνεὸς δὲ ὁ λαλεῖν τι ἔχων.

Κωφὸς, παρὰ τὸ κεκομμένην ἔχειν τὸ οὖς· εἰ γὰρ καὶ τὸ οὖς ἔχει, καὶ τὴν ἀκοὴν οὐκ ἔχει.

Κωφὸν, ἀνεπαίσθητον, μεταφορικῶς τὸ ῥοῖζον μὴ ποιοῦν· κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο [1]. ἐπὶ τοῦ κύματος· ὡς ὁ ὅτε πορφύρῃ πέλαγος βία κύματι κώφῳ [2], τῷ μηδέπω καχλάζοντι, ἀρχομένῳ δὲ μεγαλύνεσθαι. ἀψόφως.

Κωχεύουσι, ὀχοῦσι, μετεωρίζουσι.

Τέλος τοῦ Κ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Λ ΣΤΟΙΧΕΙΟΥ.

Λάας, σημαίνει δύο, τὸ κύριον ὄνομα καὶ τὸ προσηγορικὸν, τουτέστι τὸν λίθον· καὶ κατὰ πόσους τρόπους διαφέρει τὸ κύριον τοῦ προσηγορικοῦ; κατὰ δύο· κατὰ χρόνον καὶ κατὰ κλίσιν. πῶς; ὅτι τὸ μὲν κύριον μακρὸν ἔχει τὸ α, τὸ δὲ προσηγορικὸν βραχύ· καὶ ὅτι τὸ μὲν κύριον ἰσοσυλλαβῶς κλίνεται, ἀποβολῇ γὰρ τοῦ σ ποιεῖ τὴν γενικὴν, οἷον, ὁ Λάας τοῦ Λάα, τὸ δὲ προσηγορικὸν περιττοσυλλαβῶς, οἷον, λάας λάαος, καὶ ἐπεὶ τὸ κύριον, μακροκατάληκτον, ὅτως δισύλλαβόν ἐστι, καὶ παντα τὰ τοῦ κανόνος φυλάττονται· ὥσπερ καὶ τὸ Αἴας, διά τί οὐκ ἐκλίθη διὰ τοῦ ντ· ἐπειδὴ κανὼν ἐστιν ὁ λέγων, ὅτι τὰ συνῃρημένα τῶν ἐντελῶν φυλάττει τὴν κλίσιν· καὶ γὰρ ἀπὸ τοῦ λάας γίνεται τοῦ προσηγορικοῦ· καὶ γὰρ ἐκεῖνος λιθογλύφος ἦν, διὰ τοῦτο ἀπὸ μεταφορᾶς τοῦ προσηγορικοῦ γίνεται λάαος καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, ὥσπερ Καππάδοξ, Καππάδοκος, ὁ Καππαδόκης τοῦ Καππαδόκου· τὸ δὲ Καππάδοξ κατὰ πλεονασμόν· καὶ ὁ θεόλογος φησὶ, τοὺς ἐμοὺς Καππαδόκους. ἐκ γοῦν τῆς τοῦ λάας γενικῆς, γίνεται εὐθεῖα ἕτερα λάαος καὶ κλίνεται λαάου καὶ κράσει τοῦ αο εἰς α μακρὸν. ὡς Μενέλαος, Μενέλας, περέλαος, περέλας, οὕτω καὶ λάας λάαος λάου· καὶ ἐπεὶ τὴν κλίσιν τοῦ ἐντελοῦς ἐφύλαξε, διάτι μὴ τὴν κατάληξιν αὐτοῦ; ἐπειδὴ τὸ ὄνομα Δωρικόν ἐστιν· οἱ δὲ Δωριεῖς εἰς ου περατοῦσι τὴν γενικὴν τοῦ πατία καὶ τοῦ Ἑρμεία· καὶ εἰς τὸ κατέλευσαν καὶ Λαρτιάδα καὶ λευκός.

Λαβεῖν καὶ δέξασθαι διαφέρει· λαβεῖν μὲν γάρ ἐστι τὸ ἀνελέσθαι ἀπὸ τοῦ μηδὲν διδόντος· δέξασθαι δὲ τὸ παρά τινος προστινόμενον δέξασθαι· καὶ ἐσχηματίσθαι παρὰ τὴν δεξιὰν τῇ αὐτῇ δεξιᾷ.

Λαβη, σημαίνει τέσσαρα· τὴν ἐπίληψιν καὶ ἐπαφὴν, ἢ ἐπικράτησιν καὶ αικίαν τοῦ πολέμου, τὴν ἀφορμὴν καὶ τὴν μέμψιν, ἔνθεν καὶ λάβετο τίς τινὸς, καὶ τὴν τοῦ ξίφους λαβήν.

Λάβραξ, παρὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὸ βορὰ λάβορος καὶ συγκοπῇ λάβρος καὶ λάβραξ παρωνύμως, ὡς λίθος λίθαξ· οὕτως Ἱππιανός.

Λάβρος, ὁ ἀδηφάγος, ἐκ τοῦ βορὰ, ὃ σημαίνει τὴν τροφήν· ἔστι δὲ ἀπὸ τοῦ βορέας, ὃ σημαίνει τὸν ἄνεμον.

Λαβύρινθος, ἔστι σπήλαιον ἀντρῶδες περὶ τὴν κάθοδον, δυσχερὲς δὲ καὶ περὶ τὴν ἄνοδον, ἐν ᾧ λέγεται ὁ μινώταυρος ἐμβληθῆναι. ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκβῆναι τοὺς λαβυρίνθους, λαμβάνεται ἐπὶ ἀφύκτων λόγων, ὧν οὐδεὶς δύναται ἐκφυγεῖν, λαγύρινθός τις οὖσα, παρὰ τὸ λίαν γυρεύεσθαι τὴν αὐτῆς εἴσοδον, διὰ τὴν σκοτεινὴν καὶ τὴν κοχλοειδῆ αὐτῆς ὁδὸν, τροπῇ τοῦ γ εἰς β.

Λαβώριον, εἶδος ἐκπώματος, σκέπασμα.

Λάγυνος, ὁ πάνυ δεκτικός.

Λάγυνεια, λαγυνεία τὶς οὖσα, παρὰ τὸ λα καὶ τὸ γυνὴ, λάγυνος, παρωνύμως γίνεται, λαγνὸς κατὰ συγκοπὴν, ἀφ' οὗ λαγνεία.

Λάγειον, ἐστιν ἱππόδρομος Ἀλεξάνδρου λαγοῦ τινός.

Λαγωὸς κοινῶς, λαγὼς Ἀττικῶς ἀπὸ τοῦ λάειν λαὸς καὶ λαγωός.

Λαγωὸς, παρὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὸ ὦς ὠτὸς, ὁ μεγάλα ὦτα ἔχων· Ἀπολλόδωρος, ὅτι λάγαρόν ἐστι.

Λάγανον, ὡς λάγαρον· ἐκκεκένωται γὰρ αὐτοῦ τὸ πάχος εἰς πλάτος, καὶ λίαν ἀσθενεστέρως γέγονε.

Λάγανα, πλακουντάρια, ὡς πατυρωδ' ἐκ σεμιδάλεως.

Λαερτιάδης, γίνεται παρὰ τὸ Λαέρτιος ὄνομα κύριον, ὥσπερ Βούσιρις λέγεται παρὰ τὸ βοῦς αἴρειν, ἀνδρεῖος γὰρ ἦν, ὥστε καὶ δύνασθαι αὐτὸν μόνον δύο ζευγνύειν βοῦς, οὕτως καὶ Λαέρτιος λέγεται παρὰ τὸ δύνασθαι λάας ἀερτάζειν, ἤγουν κουφίζειν λίθους· ἐκ τοῦ Λαέρτιος Λαερτιάδης, τὸ πατρωνυμικὸν, οἷον, Νηλήϊος Νηληϊάδης, Θυέστιος Θυεστιάδης· εἰ δὲ μὴ καθαρεύουσι διὰ τοῦ ιδης Πρίαμος Πριαμίδης, Κρόνος Κρονίδης· ἰστέον ὅτι οὐ ποιοῦμεν ἀπὸ προσηγορικοῦ πατρωνυμικὸν, τὰ γὰρ προσηγορικὰ κοινά εἰσι, καὶ κατὰ πολλῶν λέξεων· εἰ οὖν ἄνθρωπος ἀνθρωπίδης εἴπομεν, ἐδηλώσαμεν, τινὰ ἐκ πολλῶν γεγενῆσθαι, ὅπερ ἄτοπόν ἐστι· μόνον δὲ λέγει γεγενῆσθαι τὸν περὶ πολλῶν, ὅθεν καὶ αὐτὴν εἴληφε τὴν ὀνομασίαν.

Λάζος, λάχνος λυσσώδης· ἡ γνώμη παρατρέπει τ' ἀληθῆ αὐτοῦ· καθάπερ ἡ αὐτὴ τυγχάνει γαῖα, λόγῳ δοκῶν ἀπαντᾶν τὴν ἀλήθειαν φαίη οὐ πιστῶς, ἄνανδρος ὢν, φαῦλα κέκτηται· προσφύγιον ἔχων τὴν πάνταλσον καὶ κατάγνοφον καὶ ζοφερὰν ὑγρὰν γαῖαν αὐτοῦ ἐν τῇ σήψει πυροῦνται αἱ θήλειαι αὐτῶν, μεταλλάσσουσαι τὰς ἑαυτῶν ἔσθητας γυπτικὰ ἐκφέρουσι γεννήματα καὶ παμμάλογα, ὡς πολύσπορα· εἴρηται δὲ λαζος τὸ ὄνομα, καὶ ὄζων κατὰ τὴν ζοφερὰν καὶ γυψώδη γῆν αὐτοῦ.

Λάθρα, παρὰ τὸ λήθω, τὸ λανθάνω, ὁ β ἀόριστος ἔλαθον καὶ ἐξ αὐτοῦ λάθρα· ἔστι δὲ ἐπίῤῥημα ποιότητος ἀντὶ τοῦ λαθραίως· ὁ γὰρ λάθρα ποιῶν τὸ ὑπολανθάνειν πολλοὺς εἴωθε.

Λαῖλαψ, παρὰ τὸ λάπτω, ὁ μέλλων λάψω, λὰψ, καὶ κατ' ἀναδιπλασιασμὸν λάλαψ, καὶ πρόσθεσιν τοῦ ι λαῖλαψ· δηλοῖ δὲ τὴν σφοδρὰν καὶ ἐπιτεταμένην λαβρότητα τοῦ πνεύματος.

Λαίθαργος, ὁ λαθραίως δάκνων κύων.

Λαιμὸς εἴρηται ὅτι πλεονάζειν ποιεῖ τὴν ἔνδειαν τῆς τροφῆς, ὥσπερ καὶ ὁ λοιμὸς πλεονάζειν ποιεῖ τὴν ἔνδειαν τῶν ζώων.

---

1) Il. XI, 390.   2) Il. XIV, 16.

Λαιὸν, ἀριστερὸν, καὶ λαιὰ χεὶρ ἡ ἀριστερά· παρὰ τὸ λιλᾶσθαι καὶ κεχωρίσθαι τῶν πράξεων· ἀριστερὰ δὲ καὶ εὐώνυμος, κατ' ἀντίφρασιν, ἢ κατ' εὐφημισμόν.

Λαιά, παρὰ τὸ ἐν λαιᾷ βαστάζειν· ἢ ἐκ τοῦ σταλάζω τὸ λαμβάνω.

Λαιστρυγὼν, ὁ ἀδδηφάγος, παρὰ τὸ λίαν στύγειν, ἤγουν μισεῖσθαι, ὁ ἀπάνθρωπος, κατὰ πλεονασμὸν τοῦ ρ, ὅπερ καὶ θηλυκῶς λέγεται.

Λαῖμα, τὸ κῦμα, παρὰ τὸ λίαν τέμνειν καὶ καροφοῦσθαι.

Λαίφες, τὸ ἄρμενον παρὰ τὸ λίαν φαίνεσθαι, λαῖφος, λειοῦφεσις βέλτιον λινοῦφὲς τὸ ἄρμενον.

Λακεδαίμων, παρὰ τὸ λαχεδαίμων, διὰ τὸ ἐκεῖ τοὺς δαίμονας λαχεῖν· τοῦ Λακεδαίμονος ὁ κανών· τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο μικροῦ· ὁ Λακεδαίμων γὰρ ἀνὴρ ἀπὸ τῆς πόλεως, καὶ ἡ Λακεδαίμων πόλις καὶ ἡ κλητικὴ ὦ Λακεδαῖμον· ὁ τόνος; τὰ εἰς ων σύνθετα, ὅταν εἰς ον εἴη ἡ κλητικὴ ἀναβιβάζουσι τὸν τόνον· σεσημείωται ὦ Λακεδαῖμον καὶ ὦ παλαῖμον· παλαίμων δὲ λέγεται ὁ ἔμπειρος τῆς παλαιστικῆς, ἐκ τοῦ πάλη, ὃ σημαίνει τὴν παλαίστραν καὶ τοῦ αἵμων ὃ σημαίνει τὸν ἔμπειρον· τὸ δὲ Λακεδαίμων ἐκ τοῦ λαχεδαίμων τις οὖσα· ἐν αὐτῇ γὰρ οἱ θεοὶ πρῶτον ἔλαχον καὶ ἐκληρώσαντο τὰς πόλεις.

Λακέρυζα, παρὰ τὸ λίαν κρώζειν, ἤγουν μεγάλως.

Λάκκος, παρὰ τὸ λακῶ λακήσω, ὃ σημαίνει τὸ διαχωρίζω, καὶ πατάσσω, οὗ ὁ δεύτερος ἀόριστος ἔλακον, καὶ ἐξ αὐτοῦ λάκκος, ἢ παρὰ τὸ λίαν κάτω.

Λάκων, Σπαρτιάτης ἄντικρυ τῶν Ἀθηνῶν.

Λακίς, λάκισμα, σχίσμα ἱματίου.

Λαλῶ, λῶ, ἐν διπλασιασμῷ λαλῶ· παράγωγον τοῦ λῶ λάσκω. Εὐριπίδης· τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους· τὸ δὲ λῶ δηλοῖ τὸ θέλω, ὃ δὲ θέλει τις καὶ φθέγγεται· προϋπάρχει δὲ τοῦ λόγου ψυχὴ καὶ θέσις [1]), οὕτω Φιλόξενος.

Λαλίστατος, ὁ κατὰ λόγον σοφός· λέγεται δὲ καὶ ὁ εὔγλωττος καὶ ὁ εὔφωνος.

Λάμια, θηρίον, ἀπὸ τοῦ ἔχειν μέγαν λαιμόν.

Λαμυρία, ἡ σαλία [2]).

Λάμαζα, οἱονεὶ λαβάτιον, παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέτροις, καὶ ἀσθενὲς εἶναι πρὸς τὸ μὴ κύειν τὰς συλλαβάς.

Λαμπετόωντι, λάμποντι, ὡς ἀπὸ τοῦ ἔχω ἐχέτης, βάλλω βαλλέτης, καὶ ἑκατηβελέτης, οὕτω λάμπω λαμπέτης· καὶ ἐκ τοῦ λαμπετῶ πλεονασμῷ τοῦ ο λαμπετόω, καὶ ἡ μετοχὴ ὁ λαμπετόων· ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων· οἱ ποιηταὶ δὲ ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἔθος ἔχουσι πλεονάζειν τὸ ο, οἷον, βοόωντα ἐφεύροι, καὶ ὁρόων ἐπὶ οἴνοπα πόντον.

Λάμπουρις, εἰς τὸ ἵππουρις.

Λάμορον, τὸ πολὺ καὶ ἀθροῦν καὶ λαμορεῖν τὴν θάλασσαν, οἷον πελλήν.

Λάμπω, παρὰ τὸ σέλας ὃ σημαίνει τὸ φῶς καὶ τὸ πέμπω γίνεται σελάμπω καὶ κατ' ἀφαίρεσιν τῆς σε συλλαβῆς λάμπω.

Λαμπρείμων, τὰ παρὰ τὸ εἶμα, ὃ δηλοῖ τὸ ἱμάτιον, ἐν συνθέσει γινόμενα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, λευχείμων, λαμπρείμων.

Λάμψακος, ὅτι τοῖς Λαμψακηνοῖς χρησμὸς ἐδόθη, ὅπου ἂν αὐτοῖς λάμψῃ, ἐκεῖ πόλιν κτίσαι. ἀστραπῆς οὖν γινομένης εἶδον τὸν τόπον, καὶ ἔκτισαν τὴν πόλιν, Λάμψακον αὐτὴν προσαγορεύοντες· καὶ οὕτω τοὺς πολεμοῦντας αὐτοὺς βαρβάρους λοχοποιήσαντες, διὰ τῆς ἀστραπῆς ἰδόντες κατέκοψαν.

Λάμυρον, εὔλαλον, εὐτράπελον καταπληκτικόν.

Λὰξ, παρὰ τὸ λήγω ῥῆμα, λήξω, λὴξ καὶ λὰξ ὁ τῷ λήγοντι μέρει τοῦ ποδὸς, τουτέστι τῷ ἄκρῳ πλήττει, ὃ λέγεται λάκτισμα.

Λέξις, ἡ οἰκοδόμησις αἱμασίας λέξαντες, ἀλλ' ᾧ ἔμμεναι ἕρκος [2])· οἱ δὲ Ἀττικοὶ λίθους ἐκλέγοντες ἀνῳκοδόμουν.

Λαξευτήριον, ἔστι ξέω, καὶ πλεονασμῷ τοῦ υ ξεύω καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ μορίου, λαξεύω τὸ πάνυ ξέω, καὶ ἐξ αὐτοῦ λαξευτήριον.

Λαοδίκεια, πόλις Ἀσίας, ἀπὸ Λαοδίκης θυγάτρος Σελεύκου, κτισθεῖσα ὑπ' αὐτοῦ.

Λαοδίκη, ἐκ τοῦ λαὸς καὶ τοῦ δίκη· ἰστέον δὲ ὅτι τὰ εἰς ος ὀκταχῶς συντίθεται· ἐγράφη.

Λαοὶ, ὁ μὲν Ἡσίοδος, τοῦ ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς κεκτοὺς ἐκ γαίης λαὸς Δευκαλίωνος· τινὲς λαοὶ οἱ ἱλαροί. ἐπειδὴ καὶ ἄνθρωπος κατὰ μίαν ἐτυμολογίαν, ὁ διορθωμένην ἔχων τὴν ὄπα· διὸ καὶ αὐδῆς ἔντε ἦν ὑπὲρ ἄρθρων, σχεδὸν εἰ μὴ αὐδηέντων [3])· φέρεται δὲ ἱστορία, ἡ Μῆτις, δυστοκούσης τῆς Ῥέας, αὕτη μὲν ἔτεκε τέκνον, ὃ ἐκάλεσαν Λάαν· τῇ δὲ Ῥέᾳ τεκούσῃ τὸν Δία, αὕτη κατηλλάξατο τὸν Λάαν αὐτῆς τὸν παῖδα ἵνα ὁ Κρόνος ἀντὶ τοῦ Διὸς τὸν Λάαν καταπίῃ· Ζεὺς οὖν ἡβήσας, εἰς τίμην τοῦ ἀντ' αὐτοῦ καταποθέντος, λαοὺς ὠνόμασε τοὺς ἀνθρώπους· οἱ δὲ ὅτι Δευκαλίων λίθους ῥίπτων ἀνθρώπους ἐποίει· τινὲς δὲ ὅτι κατακλυσμοῦ ὄντος ἔφυγον οἱ ἄνθρωποι εἰς τὰ ὄρη. καὶ μετὰ ταὐτοῦ αἰφνιδίως ἐπέστησαν τῇ γῇ, εὐδίας γινομένης, ὡς ἐκπλαγῆναι καὶ ἀπὸ λίθων νομισθῆναι εἶναι.

Λαομεδοντιάδης, πατρωνυμικόν· τὸ τι ἰῶτα διότι; πᾶσα γενικὴ εἰς ος, διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικόν· ἔστι Λαομέδοντος ἡ γενικὴ, καὶ τὸ πατρωνυμικὸν Λαομεδοντίδης· καὶ ὥσπερ Τελαμὼν Τελαμῶνος Τελαμωνίδης, καὶ πλεονασμῷ τοῦ α Τελαμωνιάδης, οὕτω καὶ Λαομεδοντιάδης· ἡ κλητικὴ ὦ Λαομέδον.

Λάπαθον, ἀπὸ τοῦ λαπάθειν· ἔστι γὰρ τὸ λάχανον εὔθετον εἰς γαστέρα, ἀπαλύνει γάρ· οἱ δὲ Ἀττικοὶ λάπαθα λέγουσι τὰ ὀρύγματα τῶν θηρίων· τάχα ὅτι λανθάνει θεωροῦντας, οἵτινες μὴ ἰδόντες ἔρχονται εἰδόντες εἰς τὸ παθεῖν τι.

Λαπίνη, ἡ ἅμαξα, ἡ ἅρμα σκεπαστόν.

Λαπαρὰ, παρὰ τὸ λελάφθαι, ὅ ἐστι κεκενῶσθαι τὸν τόπον, πρὸς σύγκρισιν τῶν πλευρῶν, ὅθεν καὶ λάφυρα ἀπὸ τῆς κενώσεως· καὶ Ὅμηρος· δώδεκα δησὶ νήσιον δὲ πόλεις ἀλαπάξαντες [5]), λαμποντες γλώσσησιν· οἱονεὶ κενοῦνται καὶ ἐξαρτοῦνται.

Λαπάρα, ὁ κενὸς ὀστέων τόπος τῆς πλευρᾶς· λαπάξαι γὰρ τὸ κενῶσαι, παρὰ τὸ λάπαθον τὴν βοτάνην, κενωτικὴν οὖσαν γαστρός.

Λάρδος, παρὰ τὸ λαρινὸν τὸ λιπαρόν.

Λάρναξ, παρὰ τὸ λίαν ἐγγίζεσθαι τὸν ἐπεντιθέμενον.

---

1) F. θέλησις. 2) Sine dubio, λαλία. 3) λεξ. — ἕρκος. Corrige ex Od. XXIV, 223. 4) Od. VI, 125. 5) Corrige ex Il. IX, 328.

Λάρναξ, κυρίως ἡ διὰ λαὼν ὅ ἐστι λίθων κατασκευασθεῖσα θήκη· καταχρηστικῶς δὲ καὶ αἱ λοιπαὶ λάρνακες.

Λάρης, ὁ ὄρνις, ὥστε κατὰ δίνους κόπους ἁλὸς ἀτρυγέτοιο ἰχθῦς ἀγρώσσων κυκίνα πτερὰ δεύεται ἅλμη.

Λάρυγξ φάρυγγος διαφέρει· λάρυγξ μὲν γάρ ἐστι δι' οὗ λαλοῦμεν· φάρυγξ δὲ δι' οὗ ἐσθίομεν· ἐπειδὴ δύο πόροι εἰσὶ τοῦ λαιμοῦ.

Λασίῃσι, δάσεσι στήθεσιν· ἐκ τοῦ λα, ἐπιτατικοῦ μορίου, καὶ τοῦ σεύω τὸ ὁρμῶ· ὀρθῶς γὰρ ὁρμῶνται τὰ δι' αὐτοῦ νοήματα· νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησὶν ἀφ' ὧν λέγεται στήθεσιν, ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστι τὸ πυρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς.

Λάσκω, τὸ λαλῶ. Εὐριπίδης, τοιαῦτα λάσκεις τοῖς ἀναγκαίοις φίλοις.

Λάτις, εἶδος ἰχθύος, ἔστι δὲ μακρὸν τὸ τις.

Λατῖνος, Ῥωμαΐα ἡ λέξις· λατὺς γὰρ πλατὺς κέκληται.

Λάτρις, θεράπαινις, δούλη, προσαίτις.

Λατρεύειν, παρὰ τὸ λατρεύω, τοῦτο παρὰ τὸ λάτρον, ὃ σημαίνει τὸ ἔμμονον· τοῦτο παρὰ τὸ λα ἐπιτατικὸν καὶ τοῦ τρῶ τὸ καρτερῶ.

Λάτρον, ὁ μισθὸς, ἐκ τοῦ τηρῶ, τοῦ σημαίνοντος τὸ βλέπω, καὶ τοῦ λα ἐπιτατικοῦ γίνεται λατήριον καὶ συγκοπῇ λάτρον· πρὸς ὃ βλέπει ὁ μισθωτός.

Λαυκανία, ἡ φάρυγξ, ἡ ἀρτηρία, δι' ἧς τὸ πνεῦμα ἔρχεται, ἀπὸ τοῦ λευκὴν εἶναι αὐτοῦ τὴν φύσιν.

Λαυκανίη, ὁ λαιμὸς, ἀπὸ τῆς ἀπολαύσεως· λευκανίτης ἡ φάρυγξ λέγεται, ἀρτηρία ἀπὸ τοῦ τὴν λευκήν.

Λαῦρα, ἡ πλατεῖα· οἷον, οὐ δῶες λαῦρον· παρὰ τὸ λίαν ἔχειν αὖραν· ἢ παρὰ τὸ δι' αὐτῆς τὸν λαὸν ῥεῖν.

Λάφυρα, τὰ ἐκ τῶν πολεμίων ἔτι ζώντων λαμβανόμενα· τὰ δὲ τεθνεώτων αὐτῶν σκύλα λέγεται.

Λαφύξας, διασπαράξας, ἀφειδῶς θοινισάμενος ἢ κατακπίων.

Λάχανον, παρὰ τὸ λαχαίνω τὸ σκάπτω.

Λάχανον, παρὰ τὸ λεία χέειν· ἢ λίαν χεύειν, ἤγουν ἐξανοῖκον τοῖς φύλλος.

Λαχεῖν καὶ κληρώσασθαι διαφέρει· λαγχάνει μὲν γὰρ εἷς ἀποτυγχάνων· κληρῶνται δὲ πάντες.

Λάχεια, σημαίνει τὸν ἐσκαμμένην γῆν, καὶ γίνεται παρὰ τὸ λάχω λάχεια, ὡς κρατῶ κράτεια.

Λάχνη, ἡ τρίχωσις, ἐτυμολογεῖται δὲ ἐκ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ ἔχω τὸ κρατῶ· γίνεται λαέχνη καὶ κατὰ κρᾶσιν λάχνη· οὐδὲν εὐληπτότερον τῶν τριχῶν.

Λεανῶ, ἀπὸ τοῦ λεαίνω· τοῦτο παρὰ τὸ λεῖος.

Λεαίνω, ὁμαλὸν ποιήσω, ἐκ τοῦ λεῖος· τοῦτο ἐκ τοῦ λαίω τοῦτο παρὰ τὸ λῶ τὸ θέλω, καὶ ἐξ αὐτοῦ λαῦος, καὶ τροπῇ τοῦ α εἰς ε, καὶ τοῦ υ εἰς ι, λεῖος, καὶ ῥῆμα ἐξ αὐτοῦ λειαίνω καὶ λεαίνω· τὰ γὰρ λεῖα καὶ ὁμαλὰ θέλομεν, ὥσπερ τὰ κρημνώδη ἐκφεύγομεν· καὶ εἰς τὸ λέντιον.

Λέβης, ἐκ τοῦ λείβω τὸ σπένδω.

Λεβηρὶς, τὸ γῆρας τοῦ ὄφεως, ὃ ἀποδύεται.

Λεβηρὶς, ἡ φολὶς, καὶ ἡ λεβηθρὶς τὸ αὐτὸ σημαίνει· ἔστι δὲ δέρμα τοῦ ὄφεως, ἤτοι αἱ λεπίδες τοῦ δέρματος.

Λέβητα, τὸ χέρνιβον, ἀπὸ τοῦ τὰς λιβάδας τῶν χειρῶν ὑποδέχεσθαι.

Λεβηδὼν, τόπος ἐν ᾧ ἐθυσίαζον οἱ κατὰ τὴν λιβανησίαν Ἀραβῖται.

Λέγω σημαίνει ἑπτα· λέγω τὸ ἐπιτυγχάνω, τίμην δέ μιν λελόχα [1]· λέγω τὸ φροντίζω, οὐκ ἀλέγω ὡσεὶ γυνὴ βάλεν ἢ παῖς ἄφρων· λέγω τὸ ὁρίζω, ἐξ οὗ καὶ λόγος ὁ ὁρισμός· λέγω τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος· λέγω τὸ μετρῶ ἐξ οὗ καὶ τὸ ὡρολόγιον· λέγω τὸ κοιμῶμαι ἐξ οὗ καὶ λόχος, ἡ κοίτη καὶ λέκτρον· λέγω τὸ σύναγω, ἀφ' οὗ καὶ σύλλογος· καὶ εἰς τὸ ἀλεγίζω· λόγος καὶ παλίλλογα.

Λεγάτον, ἐστι δωρέα ἐν διαθήκῃ, καταληφθεῖσα.

Λάρισσα, ἔστι πόλις· διὰ δὲ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ισσα μὴ ὄντα ἀπὸ ῥημάτων ἐχόντων τὴν ει δίφθογγον, ἀποστρέφονται αὐτήν· οἷον, σάρισσα, ἔστι δὲ εἶδος ἀκοντίου μικροῦ· Πίσσα δὲ πόλις Ἰλίαδος, οὕτω καὶ Λάρισσα.

Λεγεὼν, ἑξακοσίων ἀνδρῶν τάξις πεζῶν.

Λεγάτον πεκούλιον, ἐκ τοῦ λεγάραι ἤγουν δεσμεῦσαι· διὰ γὰρ τοῦτο ἱκανὰ δουλεύει ὁ ληψόμενος.

Λεηλατεύειν, ληστεύειν, ἁρπάζειν.

Λειρόφθαλμος, εἰ μὲν σημαίνει τὸν προσηνῆ, διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ τὸ λείριον ὃ σημαίνει τὸ ἄνθος· εἰ δὲ τὸν ἀναιδῆ διὰ τοῦ ἰῶτα· παρὰ τὸ λιρὸς γάρ ἐστι· τοῦτο δὲ παρὰ τὸ λίαν ὁρᾶν· λέγει δὲ Ὦρος, ὅτι οὐ τῶν ἀνθῶν δεῖ λέγειν, ἀλλὰ τῶν ἀνθέων, διὰ τὴν συνέμπτωσιν τῶν ἀνθ' ὧν ὀνόματος, ὅπερ ἐκ τῆς ἀντὶ προθέσεως καὶ τοῦ ὧν ὑποτακτικοῦ ἄρθρου γίνεται.

Λειχανὸς, ὁ δάκτυλος, ἐκ τοῦ λείχω ῥήματος.

Λειπόνεως, ἐκ τοῦ λείπω καὶ τοῦ νεὼς, ὁ καταλειφθεὶς τῆς νεώς.

Λειβὴ καὶ λειβαὶ, ἀντὶ τοῦ σπονδαί· εἴρηται δὲ παρὰ τὸ λείβειν καὶ σπένδειν καὶ στάζειν.

Λεῖαν, ἐκ τοῦ λεαίνω τὸ ὁμαλίζω.

Λείριον, τὸ ἄνθος καὶ λειρίων τῶν ἀνθῶν.

Λεῖκνον, τὸ πτυάριον, διφορεῖται κατὰ τὴν γραφὴν, καὶ γράφεται διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ἰῶτα· οἱ μὲν γὰρ διὰ τῆς ει διφθόγγου γράφοντες, σχηματίζουσι τρόπον τοιοῦτον, ἐκ τοῦ λέχος· ἐκ τούτου γίνεται λέχω, λέχνος καὶ πλεονασμῷ τοῦ ἰῶτα λεῖχνος· καὶ γὰρ οἱ ἀρχαῖοι αὐτοῖς ἐν πτυαρίοις ἐποίουν τοὺς οἰκοίους υἱεὺς καθεύδειν, διὰ τὸ πολύγονον· οἱ δὲ γράφοντες διὰ τοῦ ἰῶτα· ἔστι λικμᾶν ἐκ τούτου γίνεται λίκμον κατὰ μεταβολὴν τοῦ μ εἰς ν λίκνον· τὸ δὲ λικμᾶν διὰ τοῦ ι γράφεται· ἔστι δὲ παρὰ τὸ λίαν καμεῖν.

Λείβδην, εἰς τὸ παραβλήδην.

Λειμὼν, ὁ παράδεισος, διὰ τῆς ει διφθόγγου γράφεται παρὰ τὸ λείβω τὸ καταστάζω, λειβὼν καὶ λειμών· ἔστι δὲ περιεκτικὸν, ὡς καὶ τὸ χειμών.

Λειμὼν, ὅπου τὰ λεῖα κατανέμεται, τουτ' ἔστι τὰ πρόβατα.

Λειόβουλος, εἶδος ἰχθύος, παρὰ τὸ λεῖον.

Λείριον, τὸ ἄνθος, παρὰ τὸ λεῖον, ὃ σημαίνει τὸ ὁμαλὸν λεῖον καὶ πλεονασμῷ τοῦ ρ, λείριον· ὡς ἔγχος ἔγχεος, ἔγχεϊ, ἐγχειΐδιον, καὶ πλεονασμῷ τοῦ ρ ἐγχειρίδιον· ἐξ οὗ καὶ ποδαλείριος, ὁ ποδῶν ἰατρός.

---

1) F. ex Od. XI, 303. cf. infra p. 365. v. λέλογχε.

Λειτουργεῖν, ἀπὸ τοῦ ἔργου καὶ τοῦ λήϊτον, ἤγουν τὸ δημόσιον, γέγονε ληϊτουργεῖν, καὶ κατὰ συστολὴν τοῦ η εἰς ε, λεϊτουργεῖν, καὶ κατὰ συναίρεσιν λειτουργεῖν.

Λειτουργεῖν, διὰ τῆς ει διφθόγγου σημαίνει τὸ ὑπηρετεῖν· ἔστιν ἐπὶ τοῦ ληΐτῳ λεγόμενος· λήϊτον δὲ τὸ δημόσιον.

Λειτουργὸς, ὁ τοῖς διοικηταῖς ἄρχουσιν ὑπουργῶν καὶ διακονῶν· τὸ γὰρ πρυτανεῖον, ἤγουν τὸ δημόσιον λήϊτον ἐκαλεῖτο.

Ληΐτῶ. τὸ λειτουργῶ.

Λείχω τὸ κατεσθίω, ὡς τὸ, χοῦν τῆς γῆς ἔλειξε τὸ πῦρ· τῷ λει διφθόγγῳ διάτι; ἀντιπαράκειται γὰρ αὐτῷ τὸ τραπεζόλοιχος.

Λείψανον, παρὰ τὸ λείβω λείψω γέγονε καὶ γὰρ ἔσπενδον ἐπὶ τῶν τεθνεώτων· ἢ παρὰ τὸ λείπω λείψω γέγονε, λείψανα γάρ εἰσι τὰ ἐγκαταλείμματα.

Λείψανον, τὸ σῶμα, ἐκ τοῦ λείπω τὸ καταλιμπάνω.

Λειψύδριον, ὄρος.

Λειψυδρία, ἐκ τοῦ λείπω τὸ καταλιμπάνω.

Λειποταξία, ἐκ τοῦ λείπω καὶ τοῦ τάξις, ὁ φεύγων ἐκ τῆς τάξεως.

Λεκτίκιον, παρὰ τὸ λέχος, ὃ σημαίνει τὴν κοίτην· κιβώριον ἐκ ξύλων, ὃ ἔχουσιν αἱ παρθένοι πρὸς τὸ καλύπτεσθαι αὐτάς.

Λεκάνη, ἧς τὸ χάσμα λεῖον ἔστι· πεπλάτηται γὰρ, λειοχάνη τις οὖσα.

Λεκτὸν, ἀκρωτήριον τῆς Ἴδης, κεκλημένον ἀπὸ τοῦ ἐν αὐτῇ κατακλιθῆναι Δία καὶ Ἥραν· τρία δέ εἰσι τὰ τῆς Ἴδης ἀκρωτήρια· Λεκτὸν, Γάργαρον καὶ Φαλάκρη.

Λάχανον, κοινῶς, ἀπὸ τοῦ λαχαίνεσθαι ὅ ἐστι σκάπτεσθαι· ἤτοι ὁ μὲν κατέχων κεφαλὴν, φυτὸν ἀμφελάχαινε [1]· καὶ τὸ νῆσον ἐπὶ τελ' ὁ παρακεκλιμένος [2], οἷον, εὔγειος, παρὰ τὸ λαχαίνεσθαι, δυνατὴν εἶναι [3]· ἐλέγχεται γὰρ ἀπὸ τῆς ἐπαγωγῆς παρακλιμένος τετάνυστο· κώμακα δὲ τὰ λάχανα, ὅτι δασέα ἐστιν, ἀπὸ τῆς λάχνης.

Λέκτρα, εἰς τὸ ἠλέκτωρ.

Λελάθη, εἰς τὸ ἀπεμπάλων· Λελαχως εἰς τὸ ἀπεμπάλων.

Λέληκα, οὐκ ἀπὸ τοῦ λέγω, ἀλλ' ἀπὸ τοῦ λαλῶ λαλήσω, λελάληκα, συγκοπῇ τῆς λα συλλαβῆς.

Λέληκται, εἰς τὸ ἄληκτος.

Λεληθότως, λανθανόντως, κρυφίως.

Λελιπαρημένον, ἔστι λιπαρῶ τὸ παρακαλῶ, ὁ μέλλων λιπαρήσω, λελιπάρηκα, λελιπάρημαι, λελιπάρησαι, παρὰ τὸ λίαν παρεῖναι· τὸ δὲ λιπαρῶ παρὰ τὸ λιπαρός.

Λέλογχα, ἔστι ῥῆμα λήχω τὸ λαγχάνω, ἢ ἐπιτυγχάνω, οὗ ὁ μέλλων λήξω, ὁ ἐνεργητικὸς παρακείμενος λέληχα καὶ πλεονασμῷ τοῦ ν λέληγχα καὶ τροπῇ τοῦ η εἰς ο λέλογχα· καὶ εἰς τὸ πέπονθα.

Λελογχὼς, λαγχάνων, ἢ ἐπιτύχων.

Λελουμένη, ἔστι λύω, πλεονασμῷ τοῦ ο λούω, ὁ παθητικὸς παρακείμενος λέλουμαι, ἡ μετοχὴ ὁ λελουμένος.

Λελωβημένος, ἐκ τοῦ λαὸς καὶ τοῦ βοὴ γίνεται λαοβή

Λελυμασμένος, βεβλαμμένος, ἐκ τοῦ λυμαίνω τὸ φθείρω, ὁ παρακείμενος λελύμαγκα· ὁ παθητικὸς λελύμαμμαι καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς σ λελυμασμένος· ὥσπερ ἡδύνω ἥδυγκα ἥδυμμαι καὶ ἥδυσμαι, ἐξ οὗ καὶ ἥδυσμα· ἔστι δὲ καὶ λυμάζω, εἶτα λυμάσω, λελύμακα, λελύμασμαι.

Λέμβος, πλοῖον μικρὸν τὸ ἐφόλκιον· καὶ λεμβάρχαι οἱ ἐν ἐφολκίῳ, πλέοντες· γίνεται παρὰ τὸ λίαν βαίνειν, ὅ ἐστι πορεύεσθαι· διὰ τὴν σμικρότητα καὶ λαῖφος καὶ λαιφίς.

Λέντιον, παρὰ τὸ λειαίνω τὸ καθαίρω, ὁ μέλλων λειανῶ· ὁ παρακείμενος παθητικὸς λελείαμαι λελείασαι, λελείαται, τὸ τρίτον τῶν πληθυντικῶν λελείανται· λειάντιον καὶ συγκοπῇ λέντιον.

Λέντιον, σάβανον τὸ τι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ, διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται, οἷον, βαλάντιον, εὐαγγέλιον, λέντιον.

Λεαίνω, ἐκ τοῦ λειαίνω, πόσα σημαίνει; δύο· τὸ ἀποσπογγίζω καὶ ἐκμάσσω.

Λεοντοκόμος, ὁ τῶν λεόντων ἐπιμελούμενος, ἐκ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι καὶ τὸ λέων.

Λέπρα, σημαίνει τὸν ἐλεφαντιασμὸν, παρὰ τὸ λέπος ὃ σημαίνει τὸ δέρμα· εἰς γὰρ τὴν ἐπιφάνειαν τοῦ δέρματος γίνεται ὁ ἐλεφαντιασμός· ἐκ τοῦ οὖν λέπος γίνεται λέπηρα καὶ ἐν συγκοπῇ λέπρα· ἢ παρὰ τὸ ῥαίω τὸ φθείρω ἡ διεφθαρμένη σάρξ.

Λεπρὸς, λευκὸς παρὰ φύσιν, παρὰ τὸ λέπω λεπηρὸς καὶ λεπρός· ἢ παρὰ τὸ λέπω καὶ τὸ ῥαίω, ἡ διεῤῥηκυῖα σάρξ.

Λεπτύνω, παρὰ τὸ λεπτός.

Λέσχη σημαίνει τὴν φλυαρίαν παρὰ τὸ λέγω, λέξω, λέλεχα, καὶ ἐξ αὐτοῦ κατὰ πλεονασμὸν τοῦ σ λέσχη.

Λέσχη, παρὰ τοῖς Βοιωτοῖς τὰ κοινὰ δειπνητήρια. τινὲς δὲ τὰ καταφύγια, καὶ τοὺς ἐλεεινοὺς τόπους λέσχας καλοῦσι· συμβαίνει γὰρ τοὺς ἐν ταῖς οἰκίαις ταύταις καθεζομένους χάριν θέρμης, λόγους συναίρειν· γίνεται οὖν ἡ λέσχη παρὰ τὸ λέγω· εἴρηται.

Λέσχη, δημόσιον οἴκημα, οἱονεὶ λέσχην, παρὰ τὸ ἐν αὐτῷ, τοὺς μὴ ἔχοντας οἰκήματα λέχη ποιεῖσθαι· ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ, ὅ ἐστιν ὁμιλεῖν.

Λεπτὸν, ὅ ἐστι στάθμιον, γόμορ ἤγουν ὀγκίας τὸ τέταρτον· περὶ οὗ ὁ κύριος λέγει, οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται· ἄσσαρ δὲ Ἑβραϊστὶ ἐλαττωμένον καλεῖται.

Λεξείδιον, παρὰ γὰρ τῆς λέξεως Ἰωνικῶς γέγονε πλεονασμῷ τοῦ ι.

Λευκὸς, παρὰ τὸ λεύσσω τὸ βλέπω, ὁ εὐσύνοπτος καὶ εὐειδὴς καὶ λαμπρὸς, ἐξ οὗ καὶ λευκὸν λέγεται χρῶμα διακριτικὸν ὄψεως· τὸ μὲν γὰρ λευκὸν διακρίνει καὶ διαχέει τὴν ὄψιν· τὸ μέλαν δὲ χρῶμα διακριτικὸν ὄψεως.

Λευκὸν, παρὰ τὸ τηρεῖσθαι τὸ εὖ ἤγουν τὸ καλὸν, τουτέστι τὸ φῶς αὐτό.

Λευκώλενος, παρὰ τὸ λευκὸς καὶ τὸ ὠλένη, ὃ σημαίνει τὸν βραχίονα· τοῦτο δὲ παρὰ τὸ δι' αὐτῶν ὁλοῦσθαι τὰς πράξεις, τουτέστι πληροῦσθαι· ὠλένη δὲ λέγεται τὰ ἄκρα τῶν βραχιόνων· τὸ δὲ λευκὸν παρὰ τὸ λεύσσω τὸ βλέπω, ὡς ἐκ τοῦ ἐναντίου τὸ μέλαν μὴ βλεπόμενον· συγκριτικὸν δὲ ἐστὶ τὸ οἱονεὶ συνάγον. τὸ γὰρ μέλαν συνάγει τὴν ὅρασιν· τὸ δὲ μέλας παρὰ τὸ λάω τὸ βλέπω, καὶ τὴν μὴ ἀπαγόρευσιν.

---

1) Od. XXIV, 241. 2) corr. ex Od. IX, 116. ubi Schol. 3) δυνατὴν εἶναι, An δρᾶσθαι?

Λεύκωμα, λευκὸν ὄμμα.

Λεύσσεται, ἐκ τοῦ βλέπω [1]) τροπῇ τοῦ β καὶ τοῦ π εἰς δύο σσ λέσσω, καὶ πλεονασμῷ τοῦ υ λεύσσω, κατὰ τοὺς Αἰολεῖς, τὸ παθητικὸν λεύσσομαι, λεύσσεται τρίτον πρόσωπον.

Λεύσσετε, ὁρᾶτε· Ἀρίσταρχος ἓν σ γράφει, ἄλλοι δὲ διὰ δύο λέγουσιν, ὡς ἀπὸ τοῦ μέλλοντος, λέγουσι δὲ αὐτὸ ἀπὸ τοῦ λεύσσω τοῦ σημαίνοντος τὸ βλέπω· ὥσπερ ἀπὸ τούτου μέλλοντος, καὶ τὸ ἄξετε δὲ Πριάμοιο βίην [2])· καὶ τὸ, οἴσετε δ' ἄρνα λευκὸν [3])· καὶ καταβήσεο δίφρου [4]). γέγονε δὲ τὸ λεύσσω οὕτως· ἔστι ῥῆμα βλέπω, ὅπερ καὶ κατὰ Αἰολεῖς γίνεται βλέσσω, ὡς ὄπτω ὄσσω, ὅθεν καὶ κακοσσώμενον· κατ' ἀποβολὴν τοῦ β, καὶ πλεονασμῷ τοῦ υ λεύσσω· λεύσσω σε τλῆμον· ἔστι δὲ καὶ ἐνεστῶτος, καὶ εἰς τὸ βλέπω, ὅθεν καὶ τὸ ἀβλέπω, καὶ κατέλευσαν, καὶ λευκὸν καὶ λευκύνων.

Λευχάραι, αἱ σχολαὶ, ἀπὸ τοῦ λέξαι τὶ, ἐκεῖ γὰρ ὡμιλοῦν· ὡς οὐδ' ἤθελε παίζειν χαλκηΐδιον ἄδομον ἔλθῃ [5]).

Λευρὸν, τὸ ὁμαλὸν καὶ λελιθολογημένον· λεύειν γὰρ τὸ λιθάζειν.

Λευχλέος, ὁ πανοῦργος, καὶ φαῦλος, παρὰ τὸ λεύειν καὶ τὸ ἔργον, λεωργὸς καὶ λεορτὴς διὰ τοῦ ο καὶ λευογαλέος κατὰ συναλοιφὴν, καὶ δι' εὐφωνίαν λευγαλέος.

Λευχειμονείτω, ἔστι δὲ λευκὸς καὶ ἕω τὸ ἐνδύομαι, οὗ ὁ παρατατικὸς εἶον, ὁ παρακείμενος παθητικὸς εἷμαι καὶ ἐξ αὐτοῦ εἷμα ἐξ οὗ καὶ ἱμάτιον· καὶ ἐκ τοῦ λευκὸς καὶ τοῦ εἷμα λευκείμων, ὁ λευκὰ ἱματία ἔχων. καὶ ἐκ τούτου λευχειμονῶ, ὁ παρατατικὸς ἐλευχειμόνουν καὶ τὸ προστακτικὸν λευχειμόνει, λευχειμονείτω.

Λέχος, παρὰ τὸ λέχω, τὸ κοιμῶμαι, ἐξ οὗ καὶ ἄλοχος ἡ ὁμόκοιτος· σημαίνει δὲ λέγω τὸ φθέγγομαι καὶ τὸ μετρῶ ἐξ οὗ καὶ ὡρολόγιον.

Λέχος καὶ εὐνὴ διαφέρει· λέχος μὲν γάρ ἐστιν ἡ κοίτη· εὐνὴ δὲ ἡ ἐπ' αὐταῖς στρωμνή. Ὅμηρος, ἔνθα οἱ ἐκθεῖσαι πυκνὸν λέχος, ἐμβάλετ' εὐνὴν, δέμνια καὶ χλαίνας [6]).

Λέων, ἔστι δὲ λάω, ὃ σημαίνει τὸ θεωρῶ, ἐξ οὗ καὶ τὸ ἀλαὸς τὸ σημαῖνον τὸν τυφλὸν, οἱονεὶ ὁ ἐστερημένος τοῦ λάειν· ἀπὸ οὖν τοῦ λάω γέγονε λέων, ὀξυδερκὲς δὲ τὸ θηρίον· φασὶ γὰρ ὅτι οὐδέποτε καθεύδει ὁ λέων· τοῦτο δὲ ἀπίθανον, οὐκ ἐνδέχεται γάρ τινα ἀεὶ ἐγρηγορέναι, ἀλλ' ἴσως ὥσπερ ἡ δορκὰς, ἀνεῳγμένους ἔχει ἐν τῷ καθεύδειν τοὺς ὀφθαλμοὺς, τὸν αὐτὸν τρόπον καὶ ὁ λέων ἐν τῷ καθεύδειν ἀνεῳγμένους ἔχει τοὺς ὦπας· λοιπὸν, ὑπόνοιαν ὁ λέων ἔχει μὴ καθεύδειν, ἀνεῳγμένους δὲ ἔχει τοὺς ὀφθαλμοὺς, ἐπειδὴ τῶν ὀφθαλμῶν μεγάλων ὄντων τὸ δέρμα τὸ ἐπικείμενον τοῖς ὀφθαλμοῖς μικρότερόν ἐστι καὶ οὐ δύναται σκεπάσαι αὐτούς.

Λευχείμων, ὁ λευκοφόρος, ἐκ τοῦ λευκὸς καὶ τοῦ εἷμα· τὸ ἐντὸς τοῦ σ γραφόμενον, οὐδετέρως γὰρ ἐκφωνεῖται· ὁ δὲ ἱμὰς ἀρσενικῶς, διὰ τὸ σ ἐκκαλούμενος· δεῖται τῆς τοῦ σ προσθήκης· σημαίνει δὲ τὸν λῶρον.

Λεωφόρος, ἡ πλατεῖα ὁδὸς, ἡ τὸν λαὸν φέρουσα· γίνεται δὲ παρὰ τὸ λαὸς, λεὼς, Ἀττικῶς, καὶ τοῦ φέρω λεωφόρος ὡς καὶ νεωκόρος, ὁ τὸν ναὸν ἐπιμελούμενος, ἐκ τοῦ ναὸς νεὼς, καὶ τοῦ κορῶ τὸ ἐπιμελοῦμαι.

Λέα, ὁ ἐν τοῖς ἱστοῖς λίθος, ὅτι λίθοις ἐξήρτουν.

Λείβω, εἰς τὸ ἀπειλημμένη καὶ εἱμαρμένη.

Λήγδην, εἰς τὸ συλλήβδην.

Λήθω, λήσω, ὡς παύω παύσω.

Λήθαργος, ληθαργός [7]) τις ὢν, ὁ λήθης ἄλγος ἔχων.

Ληνὶς, σημαίνει τὴν βάκχην, παρὰ τὸ ληνόν· διὰ τοῦ ἰῶτα γράφεται· τὰ γὰρ εἰς ις ὀξύτονα θηλυκὰ διὰ τοῦ ι γράφεται.

Ληΐδα, μερίδα, καὶ λήϊος σιτοφόρος γῆ, ἢ πεδίον.

Λήϊον, σημαίνει τὸ σιτοφόρον χωρίον, παρὰ τὸ λίαν ἰέναι.

Λήϊστροι, οἱ ἐκ πράξεως καὶ λῃστείας, ἀπὸ τοῦ ληΐζω· ἀνδρὸς δὲ ψυχὴ οὔτε ληϊστὴ, οὔθ' ἑλετὴ, οὔτε εὐκλείας λαμβανομένη [8]), φησὶν, οὔτε πάλιν ληπτή. ἐπὰν ἅπαξ φθάσῃ παρελθεῖν τὸ περιβόλαιον τῶν ὀδόντων· διὰ γὰρ τοῦ στόματος ἔξεισι τὸ φυσικὸν πνεῦμα.

Ληϊστὴς τινὲς ὅτι καταλεύσεως καὶ λίθων ἄξια πράττει.

Λήμη, τὸ συνιστάμενον ἐν τῷ ὀφθαλμῷ λευκὸν, ὑγρόν· παρὰ τὸ λάω τὸ βλέπω καὶ τὸ μή.

Λήμη ἡ περὶ τοὺς κάνθους τῶν ὀφθαλμῶν πεπηγυῖα σύστασις· γέγονε δὲ παρὰ τὸ λάω, ὃ σημαίνει τὸ βλέπω καὶ τὸ μὴ στερητικὸν καὶ τὴν μὴ ἀπαγόρευσιν, ἐν τῷ τέλει τιθεμένης ὁμοίως τῷ χελώνη, ὅπερ γέγονε παρὰ τὸ κέλω ῥῆμα, ὃ σημαίνει τὸ τρέχω καὶ τὸ νη στερητικὸν μόριον· τὸ οὖν λήμη, ἢ παρὰ τὸ λάω καὶ τὴν μὴ στέρησιν· ἢ παρὰ τὸ λίαν μῶν ὅ ἐστι ζητεῖν· οἱ γὰρ λημῶντες τοῦ φωτὸς στερούμενοι λίαν ζητοῦσι· ἢ παρὰ τὸ λήθω τὸ λανθάνω, λήθη καὶ λήμη οἱ γὰρ τζιμβλοὶ οὐ βλέπουσι.

Λήδη καὶ λήδιον ἱμάτιον, τὸ πεπαλαιωμένον· ἐκ τοῦ λήθω, τὸ λανθάνω.

Ληκύθιον, τὸ ἐλαιοδόχον ἀγγεῖον, ἐκ τοῦ ἔλαιον καὶ τοῦ κεύθω τὸ κρύπτω.

Λῆμα καὶ λῆμμα διαφέρει· λῆμα μὲν τὸ δι' ἑνὸς μ τὸ παράστημα τῆς τύχης ἢ ἀνδρεία· λῆμμα δὲ τὸ λαμβανόμενον κέρδος διὰ δύο μ μ.

Λῆμνος, εἰ μὲν σημαίνει τὴν πόλιν γράφεται διὰ τοῦ η καὶ κλίνεται Λήμνου· καὶ γίνεται παρὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὸ ὕπνος, λάϋπνος καὶ συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς η καὶ πλεονασμῷ τοῦ μ λῆμνος· εἰ δὲ σημαίνει τὴν λίμνην γράφεται διὰ τοῦ ἰῶτα· καὶ γίνεται παρὰ τὸ λίαν μένειν ἐν αὐτῇ τὸ ὕδωρ· κλίνεται δὲ λίμνη λίμνης.

Ληνὸς, παρὰ τὸ λεαίνεσθαι πατουμένης τῆς σταφυλῆς ἐν αὐτῷ.

Ληναίων, ὄνομα μηνὸς κατὰ Βοιωτοὺς, κατὰ δὲ Ἴωνας ληλαίων, ὅ ἐστιν ἰαννουάριος· ληναίων δὲ εἴρηται, διὰ τὸ τοὺς οἴνους ἐν αὐτῷ εἰσκομίζειν· οὗτος δὲ ὁ μὴν ἀρχὴ χειμῶνος ἐστί· οἱ δὲ ληναιῶνα φάσκουσιν αὐτὸν καλεῖσθαι, διὰ τὸ λήνεια, ὅ ἐστιν ἔρια.

---

1) L. βλέπτω . . τοῦ π καὶ τ. 2) Il. III, 105. 3) Il. III, 103. 4) Il. V, 109. 5) Corr. ex Od. XVIII, 327. 6) Od. XXIII, 179. 7) L. λήθαλγος. 8) ἀνδρὸς — λαμβανομένη. Vid. Il. IX, 406 — 408. et Schol. ex quibus haec delumta sunt.

Λῆρος, ἡ φλυαρία, ἐκ τοῦ λόγος καὶ τοῦ ῥέω· καὶ εἰς τὸ λέσχη. λιρὸς δὲ ὁ ἀναιδὴς, παρὰ τὸ λίαν ὁρᾶν· οἱ γὰρ λίχνοι λίαν ὁρῶσι τὰ κάλλιστα τῶν βρωμάτων· τὸ λι ἰῶτα διάτι; ἐκ τοῦ λίαν· τὰ γὰρ εἰς αν λήγοντα ἐπιῤῥήματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον πέραν, ἄγαν, λίαν.

Ληστρικῶς, οἷον, οὐδένι συγχωρῶν· διὰ τὸ αὐλῆς ὑπερβαίνοντι ληστρικῶς τε καὶ ἐπιβούλως, τεχνικῶς κατὰ τὴν ληστείαν.

Ληστικὸν μὲν τὸ σύστημα ἄνευ τοῦ ρ, ληστρικὸν δὲ τὸ ὄργανον, οἷον, ξίφος, δόρυ, μετὰ τοῦ ρ.

Ληστὴς παρὰ τὸ λήϊα καὶ σιτοπορούμενα σίτια ἐκκόπτειν καὶ ἁρπάζειν.

Λητὼ, ἐκ τοῦ λήθω τὸ λανθάνω, ὁ μὲν Πλάτων φησὶ, πρᾴα γὰρ καὶ πάντας ἐλοῦσα· τὸ δὲ ἥμερον καὶ πρᾶον ἐκ τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτὴν πεπλημμελημένων ἐμφαίνεται, ὁ δὲ Ἀρίσταρχος παρὰ τὸ λῶ τὸ θέλω, ἐπειδὴ ὃ ἐάν τις θέλῃ, παρ' αὐτῆς λαμβάνει· τὸ δὲ λῶ σημαίνει τρία, λῶ τὸ θέλω, ἐξ οὗ καὶ Λητὼ, λῶ τὸ ἐπιθυμῶ ἐξ οὗ καὶ λιλῶ, λῶ τὸ βλέπω, ὅπερ ἀπὸ τοῦ λάω γέγονε καὶ λελιημένος.

Λητὼ, ἡ νὺξ, παρὰ τὸ λήθω τὸ λανθάνω, ἢ παρὰ τὸ λήθην καὶ ἀμνημοσύνην ποιεῖν· ἢ παρὰ τὸ λεληθότως ταύτην διέρχεσθαι· Ἀπολλόδωρος δὲ ἐλεητὼ, ἐλεήμων γὰρ καὶ πραεῖα ἡ θεός.

Λιάμαθοι οἱ αἰπόλοι, παρὰ τὸ λίαν εἶναι ἀμαθεῖς.

Λιβάδην, διὰ τὸ λίαν βαθέον εἶναι, ἤγουν εὐδιάβατον· καὶ εἰς τὸ ἀλίβας καὶ ζωννύω.

Λίαν, ἐπίῤῥημα, ἀντὶ τοῦ πάνυ· καὶ εἰς τὸ λῆρος.

Λίβανος καὶ λιβανωτὸς διαφέρει. Λίβανος μὲν γὰρ τὸ ὄρος, λιβανωτὸς δὲ τὸ ἀπὸ τοῦ δένδρου δάκρυον.

Λίβανος, παρὰ τὸ λείβω τὸ σπένδω, τὸ εἰς εὐχὰς καὶ σπονδὰς ἐπιτήδειον, παρὰ τὸ ἐκεῖ νεύειν τὸν λίβαν· ἢ παρὰ τὸ λίαν βαίνειν, ὑψηλὸν γὰρ τὸ ὄρος· ἔστι δὲ καὶ δένδρον.

Λιβρὸς, ὁ σκοτεινὸς, παρὰ τὸ λίαν ἔρεβος.

Λιβρὴν, τὴ λίαν ἐρέβεννην· ἢ λιβηρὴν, παρὰ τὴν λιβάδα, διὸ καὶ ἐπίθετόν ἐστι τῆς νυκτὸς, διὰ τὸ ἔνδροσον αὐτῆς.

Λιβύη, ἡ χώρα, ὡς ἐλλειπὴς ὑετῶν Λιβύη ὠνομάσθη ὑφ' Ἕλλησιν ἄγνωστα.

Λίβανος, τινὲς ὅτι λειβόμενος καὶ σπενδόμενος ἀναφερής ἐστι, καὶ ὃν οἱ Ἰουδαῖοι σέβονται· δοκοῦσι γὰρ αὐτὸν ὅλον εἶναι πνεῦμα καὶ θεόν.

Λιγνὸς, ὁ λεπτὸς, παρὰ τὸ λύγος λυγνὸς καὶ λιγνός.

Λιγνυῶδες, τὸ ἀσβολῶδες τὸ καπνῶδες· λιγνὺς γὰρ λέγεται ὁ ἀπὸ καιομένων ἐλαιώδων ἀγγείων γινόμενος καπνός· καὶ Ὅμηρος, λιγνῦν αἰθαλόεσσαν· διαφέρει γὰρ παρ' Ὁμήρῳ καπνὸς καὶ κνίσσα καὶ λιγνὺς καὶ αἰθάλη· λιχνὺς γὰρ ὁ ἀπὸ ἐλαιοδόχων ἀγγείων ἐλαίου καὶ κηροῦ γινόμενος καπνός· καπνὸς δὲ ὁ ἀπὸ ξύλων· κνίσσα δὲ ὁ ἀπὸ κρέων καιομένων καπνός.

Λιγὺς, καλὸς, ὀξὺς, γλυκὺς, παρὰ τὸ λέγω λέγις καὶ λιγύς· ἢ παρὰ τὸ λίαν ἡδύς· τὸ λι ἰῶτα διάτι; τὰ ἀμφιβαλλόμενα.

Λιγύφθογγος, σύνθετον ἐκ τοῦ λιγὺς καὶ τοῦ φθόγγος· τὸ γυς ψιλὸν διάτι; τὰ εἰς υς, εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ, διὰ τοῦ υ γράφεται· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβήν· τὸ θηλυκὸν λίγεια· ᾠδὴ γάρ ἐστι λίγεια. κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς α θηλυκὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν γινόμενα, εἰ μὲν βαρύνεται τὰ εἰς υς ἀρσενικὰ παροξύνεται τὰ θηλυκὰ, οἷον, πρέσβυς πρεσβεία· εἰ δὲ ὀξύνεται τὰ ἀρσενικὰ προπερισπῶνται τὰ θηλυκὰ, οἷον, ταχεῖα ἐκ τοῦ ταχύς· σεσημείωται τὸ λαχὺς, λάχεια, σημαίνει δὲ τὴν μακρὰν, καὶ λιγὺς λίγεια· περὶ δὲ τοῦ λίγεια ἐστιν εἰπεῖν, ὅτι παράκειται αὐτῷ τῷ λιγῶ, τὸ ὑμνῶ, ἐξ οὗ καὶ λιγαίνω γίνεται, παρὰ τὸ λίαν ἰαίνειν, ἤγουν εὐφραίνειν· καὶ διάτι βαρύνεται τὸ λίγεια; ὅτι ἔχει ῥῆμα παρακείμενον· τὰ γὰρ ἀπὸ ἐνεστώτων παρηγμένα διὰ τοῦ εια θηλυκὰ προπαροξύνεται· οἷον, μήδω μήδεια, θέρω θέρεια, οὕτω καὶ λιγῶ λίγεια· καὶ ἔστι ῥῆμα λιγῶ· ναὶ εὐεπίησαν μελέσσεσιν ἐφ' ὕμνια ταῦτα λιγαίνει· τοίνυν ἀποδέδεικται εἶναι βαρύτονον· διάτι δὲ προπαροξύνεται τὸ λίγεια καὶ τὸ λάχεια; ἐπειδὴ τὰ εἰς υς ὑπὲρ δύο συλλαβὰς, συστέλλει τὸ υ, οἷον, λεύκοφρυς ἥμισυς, ἀτράφαξυς ἔστι δὲ εἶδος βοτάνης χρυσολαχάνου· οὕτως οὖν ἔλαχυς ὤφειλεν εἶναι· ἀλλ' ἐπειδὴ τὰ εἰς υς ἔχοντα οὐδέτερον παρασχηματισμὸν παραληγόμενα τῷ α, οἷον, βραδὺς βραδεῖα, τραχὺς τραχεῖα, πραῦς πραεῖα, τούτου χάριν καὶ τὸ ἔλαχυς ὀξύνεται· τὴν οὖν κεχρεωστημένην προπαροξύτονον θηλυκαῖς ἀνεδέξατο· εἰ δὲ τὰ εἰς υς ἀρσενικὰ προπαροξύνεται τὰ θηλυκὰ ὡσαύτως προπαροξύνεται· οἷον, ἥμισυς, ἡμίσεια.

Λίθος, λίαν θέσις, ἢ παρὰ τὸ λίαν θέειν κατ' ἀντίφρασιν ὁ μὴ λίαν θέων, ἀλλ' ἑδραῖος ὤν· τὸ λι ἰῶτα διάτι; τὰ διὰ τοῦ θος ὀνόματα, διὰ τοῦ η γράφεται, πλὴν τοῦ λίθος καὶ πίθος.

Λίθος οὐ λέγεται ἀρσενικῶς, ἀλλὰ θηλυκῶς. ἡ λίθος.

Λίκνον καὶ πτύον διφορεῖται κατὰ τὴν γραφήν· ὡς ἐκ τοῦ λέχος λέχνος, λέχνον καὶ λέκανον καὶ προσθέσει τοῦ ι λεῖχνον· ἢ παρὰ τὸ λικμᾶν, λίκμον καὶ κατὰ μετάθεσιν τοῦ μ εἰς ν λίκνον· τινὲς δὲ λεῖκον λέγουσι, καταλείπει γὰρ τὰ χρήσιμα, καὶ ἄχυρα ἀποβάλλει.

Λιλαίω, ἐκ τοῦ λιλῶ· καὶ ὥσπερ ἐκ τοῦ κερῶ γίνεται κεραίω, περῶ περαίω, οὕτω καὶ λιλῶ λιλαίω· κατὰ παραγωγὴν τὸ λιλῶ ἐκ τοῦ λῶ τὸ θέλω, κατ' ἀναδιπλασιασμόν· τὸ λαι διφθόγγῳ διάτι; τὰ εἰς α λήγοντα ῥήματα, μὴ ἐπιδεχόμενα συναίρεσιν ἐπὶ δευτέρου καὶ τρίτου προσώπου, διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, παίω καὶ τὰ ὅμοια· σημαίνει δὲ τὸ ἐπιθυμῶ.

Λιμνώρεια, ἐκ τοῦ ὄρος καὶ τοῦ λίμνη.

Λιμβὸς, παρὰ τὸ λίαν καὶ τὴν βάσιν, ἤγουν τὴν τροφήν· ὡς σφόδρα περὶ ταύτην ἔχων.

Λιμὴν, διὰ τὸ λίαν μένειν ἀχειμάστως ἐν αὐτῷ τὰ πλοῖα.

Λιμὴν, παρὰ τὸ λεῖον αὐτὸν διαμένειν ἤγουν πραῦν, καὶ μὴ πρὸς ἀτάκτους φορὰς ῥευμάτων καὶ κυμάτων, τὰ πολλὰ ἀντεγείρεσθαι.

Λίμνη, ἡ συναγωγὴ τῶν ὑδάτων· εἴτε παρὰ τὸ λείβειν, εἴτε παρὰ τὸ λίαν μένειν ἐν αὐτῷ τὰ πλοῖα, ὃ καὶ μᾶλλον στάσιμον τὸ ὕδωρ τῶν λίμνων.

Λιμητανέων, τὰ ἐν ταῖς ἐσχάταις φρούρια· λίμητα Ῥωμαῖοι καλοῦσι τὰς κλησούρας.

Λιμὸς, ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι, ὅτι λεῖψις ἐστὶ τῶν ἐπιτηδείων· ἀλλ' ἀπὸ τοῦ λιμπάνω γέγονε διὰ τοῦ ἰῶτα.

Λοιμὸς, διὰ τὸ φθείρειν, παρὰ τὸ λείπω, λέλοιπα λοιπὸς καὶ λοιμός.

Λιμὸς λοιμοῦ διαφέρει· λιμὸς γάρ ἐστιν ἔνδεια τῶν ἀναγκαίων, λοιμὸς δὲ πάθος θανάσιμον λοιμου παρακο-

λοθοῦντος· καὶ Δωριεῖς μὲν ἡ λιμὸς, Ἀθηναῖοι δὲ ὁ λιμός· ἔδει δὲ διὰ τῆς οι διφθόγγου, ἀπὸ γὰρ τοῦ λείπω ἐστί· καὶ ἐπειδὴ ἔνδειαν σημαίνει τῶν ἀναγκαίων, τούτου χάριν ἔνδειαν φωνῆς ἀνεδέξατο. ὥσπερ καὶ χιράδες αἱ τῶν χειρῶν ῥαγάδες· τὸ γὰρ ἔχον ῥαγάδας, οὐκ ἔστιν ὁλόκληρον, εἰ καὶ ἀπὸ τοῦ χεὶρ ἐγένετο· ὅμως κατὰ τοῦτο διὰ τοῦ ἰῶτα γράφεται.

Λῖνος, τὸ λινάριον.

Λιπανάτω, ἐκ τοῦ λιπαίνω λιπανῶ ὁ μέλλων, καὶ ὁ β ἀόριστος ἐλίπανον, τὸ προστακτικὸν λίπανε, τοῦ δευτέρου ἀορίστου τὸ τρίτον λιπανάτω.

Λινουφὲς, τὸ ἄρμενον.

Λιπαρῆσιν, ἀπὸ τοῦ λιπαίνω γίνεται λιπαρός· τὰ γὰρ εἰς ναι ἀπαρέμφατα ποιοῦσιν εἰς ρος ὀνόματα ἰσοσύλλαβα τοῖς ῥήμασι, καὶ ἢ τῷ α παραλήγει ἢ τῷ ε. μιᾶναι μιαρὸς, χλιᾶναι χλιαρὸς, θλιβῆναι θλιβερὸς, στυγῆναι στυγερὸς, μυσᾶναι μυσαρὸς, τακῆναι τακερὸς, λιπᾶναι λιπαρός.

Λιρὸς σημαίνει τὸν ἀναιδῆ, παρὰ τὸ λίαν ὁρᾶν· οἱ γὰρ ἀναιδεῖς λίαν ὁρῶσιν τὰ κάλλιστα τῶν βρωμάτων.

Λίτρα, διὰ τοῦ ἰῶτα· εὕρηται γὰρ ἐν συστολῇ παρὰ τοῖς Δωριεῦσι. λίτρα δέ ἐστι νόμισμα παρὰ Σικελιώταις, ὅπερ ἰσοδυναμεῖ τῷ ὀβολῷ.

Λιπαρεῖν, σημαίνει τὸ παρακαλεῖν, παρὰ τὸ λίαν παρεῖναι καὶ προσεγκεῖσθαι.

Λιποτακτεῖν, τὴν τάξιν καταλιμπάνειν· κυρίως δὲ ἐπὶ στρατιώτων φυγοπολέμων.

Λιπερνήταις, Ἀριστόξενος λιπερνήτας φησὶ τοὺς ἁλιεῖς καὶ θαλασσίους, ἀπὸ τοῦ τῆς ἁλὸς διαπιπράσκειν καὶ ζῆν· τινὲς δὲ λιπερνῆται οἱ λιπαίνοντες τὸ βλάστημα τοῦ ἄνθους τοῦ πλούθου. λέγεται δὲ καὶ ἁλιπερνήτες.

Λῖπος, παρὰ τὸ λίαν καὶ τὸ πῖον, ὃ σημαίνει τὸ λιπαρόν· τὸ λίαν πῖον καὶ εὐδιάλυτον· τὸ λι ἰῶτα. συνεσταλμένη γάρ ἐστιν ἡ λι συλλαβή.

Λίσσομαι, παρὰ τὸ λίαν ἵζω· τὸ θέμα λίσσω, ὁ μέλλων λίσω· ἢ παρὰ τὸ λιτῶ τὸ παρακαλῶ· ἢ ὥς φησί τινες, ἀπὸ μέλλοντος παρήχθη εἰς ἐνεστῶτα, καὶ ἐγένετο λίσω, καὶ πλεονασμῷ τοῦ ἑτέρου σ λίσσω, λίσσομαι.

Λὶς, ὁ λέων, παρὰ τὸ λίαν ἐπίῤῥημα, ὁ λίαν βλέπων, διὰ τοῦ ἰῶτα, ἐπειδὴ τὰ εἰς ις κοινολεκτούμενα ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφὴν, οἷον πάρις, θέτις, ὄφις, κὶς, σημαίνει δὲ τὸν σκώληκα, ῥὶς. θὶς, οὕτω καὶ λίς· χωρὶς τοῦ κλεὶς καὶ ἀντήρεις· εἰ δέ που εὑρεθῇ διὰ τοῦ νος, διὰ τῆς ει διφθόγγου γράφεται, διότι ἔχει ἀναφαινόμενον ἐν τῇ γενικῇ, οἷον εἷς ἑνὸς, κτεὶς κτενὸς, οὐδεὶς οὐδενὸς, χαρίεις χαρίεντος.

Λισγάριον, σκαφείδιον, καὶ σκαφεῖον.

Λιτανεύω, παρὰ τὸ λιτὴ, τοῦτο παρὰ τὸ λίσσω τὸ ἱκετεύω, τοῦτο παρὰ τὸ λίαν καὶ τὸ ἵζω τὸ καθέζομαι.

Λιτὸν, σημαίνει τὸν εὐτελῆ καὶ τὸν ἀποίκιλον χιτῶνα, καὶ τὸν πένητα.

Λίταργος, ὁ ταχὺς, παρὰ τὸ λίαν ἀργὸν εἶναι, ἤγουν ταχύν.

Λιχμώμενος, παρὰ τὸ λείχω τὸ ἀποσπογγίζω, ἀπὸ τοῦ λιχμάω λιχμῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, ἀπὸ τοῦ λείχω πλεονασμῷ τοῦ μ λιχμῶ· τὸ λι ἰῶτα διατί; ἐπειδὴ ἅπαντα ἀκολουθοῦσι τὰ παράγωγα τοῖς πρωτοτύποις.

Λιχνευσάμενοι, λαιμαργήσαντες.

Λιχνοι, οἱ πολυπράγμονες, καὶ ὀψοφάγοι, ἢ λαίμαργοι, παρὰ τὸ λίαν χαίνειν.

Λὶψ, σημαίνει τὸν ἄνεμον καὶ ἧτταν, ὅτι λείβει, ἤγουν στάζει, καὶ βρέχει, ἢ παρὰ τὸ λείπω λείψω, λείβω λείψω.

Λίσφοι, τὰ ἰσχία, οἱ Ἀττικοὶ, παρὰ τὸ λείπειν αὐτὰ σαρκῶν· δύναται δὲ καὶ λεσφοὶ λεῖοι εἶναι μετὰ τὴν ὀσφύν.

Λοβὸς, ἐκ τοῦ λείβω τὸ στάζω· λοβοὶ λέγονται τὰ κατώτερα μέρη τῶν ὤτων· καὶ Ὅμηρος εὐτρήτοισι λοβοῖσι. λέγεται δὲ καὶ ἀγγεῖον ἐρεβίνθου καὶ κυάμου. παρὰ τοῖς θυτικοῖς λέγεται τὰ κατώτερα μέρη τοῦ ἥπατος.

Λοβὸς, οὗ ἔστι λαβέσθαι, οἷον, ἐπὶ μὲν ἀνθρώπου τὸ ἄκρον τοῦ ὠτὸς κατ' ἐξοχὴν, ὁ μὴ ὀστώδης τόπος· ἔστι δὲ ἀλεκτρυόνων λείαφος, οἱονεὶ ἕλιος κατὰ τὴν ἀφήν.

Λογγῶνες, ἐν Συρακούσαις λιμένες εἰσὶ διττοί· λογγῶνες δὲ καλοῦνται, οἱ ἐπὶ τῶν λιμένων τρητοὶ λίθοι, οὓς τρυποῦσιν, ἵν' ἐξαρτῶσιν ἐξ αὐταῖς τὰ σχοινία τῶν νεῶν· τοὺς δὲ τοιούτους λίθους καὶ λογγάσια ἔλεγον.

Λογεῖον, σημαίνει δὲ εἶδος κρατῆρος, καὶ τὸν τόπον τοῦ θεάτρου. ὥσπερ γὰρ ἀπὸ τοῦ αἰδῶ αἰδοῖον, κείρα κειρεῖον, σκάφη σκαφεῖον, γραφὴ γραφεῖον, οὕτω καὶ ἀπὸ τοῦ λέγω λεγεῖον· διὰ διφθόγγου· καὶ γὰρ τὰ ἀπὸ τῶν εἰς ω ῥημάτων διὰ τοῦ ειον παραγόμενα, καὶ προπερισπᾶται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται. αἰδῶ αἰδοῖον· ἀγγεῖον ἐκ τοῦ ἄγω, οὕτως οὖν καὶ λέγω λογεῖον.

Λογικὸς εἰς τὸ ἐμπειρικός.

Λογὰς, ἡ ἐκλογὴ, καὶ λογία ὁμοίως· σημαίνει δὲ καὶ συλλογὰς καὶ καρποφορίας.

Λόγος βαρύνεται. τὰ γὰρ εἰς ος δισύλλαβα δίβραχα, ἀπὸ ῥήματος γινόμενα, βαρύνεται, οἷον, ψόγος, μόγος ὃ σημαίνει τὴν κακοπάθειαν, ἐξ οὗ καὶ τὸ μογεῖν τὸ κακοπαθεῖν λέγεται· καὶ ἤτοι ὅμοιον.

Λόγος ποιήσεως διαφέρει· λόγος μὲν γάρ ἐστιν ἡ δίχα μέτρου σύνταξις· ποίησις δὲ ἡ ἔμμετρος σύνθεσις· ἡ μέτρῳ κοσμημένη, ὡς ὁ Ὅμηρος.

Λόγος, παρὰ τὸ λέγω λόγος· σημαίνει ἑπτά· λόγος ὁ ἐνδιάθετος λογισμὸς, καθὸ λογικοὶ καὶ διανοητικοὶ ἐσμεν· λόγος λέγεται καὶ ἡ φροντὶς, ὡς ὅταν λέγωμεν, οὐκ ἔστι λόγου ἄξιος· οὐ ποιοῦμεν αὐτοῦ λόγον· λόγος λέγεται καὶ ὁ ἀπολογαρισμὸς, ὡς ὁ ἡγεμὼν πρὸς τοὺς ἑαυτοὺς ἐπιτρόπους λόγον ἔχει· λόγος λέγεται καὶ ἡ ἀπολογία· ὡς τὸ ἔδωκε περὶ τούτου λόγον· λόγος λέγεται καὶ ὁ καθόλου περιέχων ἐν ἑαυτῷ πᾶσαν λέξιν. σημαίνει δὲ καὶ πᾶν μέρος λόγου, ἤτοι, ὄνομα, ῥῆμα καὶ τὰ λοιπά· λόγος λέγεται καὶ ὁ ὅρος, ὡς ὅταν λέγωμεν, ἀπόδος τὸν τοῦ ζώου λόγον, οἷον, οὐσία, ἔμψυχος, αἰσθητική· λόγος λέγεται καὶ ἡ αὐτοτελὴς τῶν λέξεων παράθεσις, τουτ' ἔστιν ὁ κατὰ σύνταξιν λόγος.

Λογογράφος λογοποιοῦ διαφέρει· λογογράφος μέν ἐστιν, ὁ τοὺς δικανικοὺς λόγους γράφων· λογοποιὸς δὲ ὁ λόγους τινὰς καὶ μύθους συντιθείς.

Λογγούβαρδος, παρὰ τὸ λόγγου κατὰ Ῥωμαίους καὶ σημαίνει τὸ μακρὺ, καὶ τὸ βάρβα, τὸ γένειον· ἐξ οὗ καὶ βαρβᾶτος, ἐκ τούτου γίνεται Λογγούβαρδος, ὁ μακρὺ ἔχων γένειον.

Λοιγὸς, ὁ ὄλεθρος, παρὰ τὸ λείπω λοιπὸς καὶ λοιγός· λεῖψιν γὰρ τῶν ἀνθρώπων ἐργάζεται.

Λιτὸς, ὁ πένης καὶ δημότης· ἢ ὁ ἐκ λιτανείας ζῶν· ἢ ὁ ἐπὶ γῆς τιμώμενος, λιτὴ γὰρ ἡ γῆ.

Λοίδορος, παρὰ τὸ λόγος καὶ τὸ δόρυ γίνεται λοίδορος, ὡς ὁ δόρατα λόγους πέμπων· λοίδορος διὰ τῆς οι διφθόγγου, οὐχ ὡς τινὲς ἐπλανήθησαν, παρὰ τὸ δῶρον λόγου τῆς ἀγάπης· λογοορῶν τις ὤν, τουτέστιν ὁ τοὺς λόγους ταράσσων· πλεονασμῷ τοῦ ι.

Λοιδορία ὕβρεως διαφέρει, ἡ μὲν γὰρ λοιδορία γλώσσης ἐστὶ μόνον ἀτιμία· ἡ δὲ ὕβρις καὶ τὴν διὰ τῶν ἔργων ἐπαισχυνομένην τῶν ὑβριζομένων ἐπίνοιαν ἔχειν.

Λόπος, τὸ λεπτὸν τοῦ κρομμύου.

Λουκᾶς, Ῥωμαῖον τὸ ὄνομα, οὐχὶ δὲ Ἑλληνικόν· ἄλλοι δὲ λέγουσιν, ὅτι ἀπὸ τοῦ λευκὸς γέγονε, Λευκᾶς καὶ Λουκᾶς.

Λουτρὸν, ἔστι λύω, τὸ σημαῖνον τὸ καθαίρω, οὗ ὁ μέλλων λύσω, ὁ παρακείμενος λέλυκα, ὁ παθητικὸς λέλυμαι, καὶ ἐξ αὐτοῦ λῦμα τὸ καθάρσιον, ὡς Ὅμηρος· οἱ δ' ἀπελυμαίνοντο· καὶ ἐκ τοῦ λῦμα γίνεται λυμαίνω τὸ καθαίρω· ἐκ δὲ τοῦ λύω κατὰ πλεονασμὸν τοῦ ο λούω, ὁ μέλλων λούσω, ὁ παρακείμενος λέλουκα, ὁ παθητικὸς, λέλουμαι τὸ τρίτον λέλουται, καὶ ἐξ αὐτοῦ λουτὸν καὶ πλεονασμῷ τοῦ ρ λουτρὸν, τὸ λῦον τὴν τρῶσιν.

Λουτρὸν βαλάνειον καὶ λοετρόν.

Λουτρὰ, τὰ εἰς λύσιν ἄγοντα τῆς ἀκαθαρσίας· καὶ γὰρ λῦμα καλεῖται ὁ ῥύπος· λύματα πάντα καθῆραν.

Λόφος, ὁ ὑψηλὸς τοῦ ὄρους τόπος· παρὰ τὸ λέπω τὸ λεπτύνω· ἔνθεν καὶ λόπος, τὸ τοῦ κρομμύου λεπτόν· καὶ λόφος τὸ τῆς περικεφαλαίας.

Λόφος σημαίνει τρία· τὸν τράχηλον, ἐξ οὗ καὶ τὸ λόφουραν, ἀπὸ μεταφορᾶς τῶν βοῶν τῶν ἀναπαυομένων ἐν τῷ λόφῳ, ἡνίκα ἀνεθῶσι τοῦ ζυγοῦ· γίνεται δὲ ἀπὸ τοῦ λέπω τὸ λεπίζω λόπος καὶ λόφος, ἀπὸ μεταφορᾶς τῶν βοῶν, τοῦτο γὰρ τὸ μέρος πρῶτον πάντων ἀπέρχεται, λεπίζειν καὶ ἐκδείρειν τὰ ζῶα. σημαίνει δὲ καὶ τὸ ἀνάστημα τῆς περικεφαλαίας· σημαίνει δὲ καὶ τὸ ὄρος.

Λοχᾶν, τουτέστιν ἐνεδρεύειν.

Λοχαγὸς, ἡγούμενος, ὁ τοῦ λόχου ἄρχων, ἤγουν τῆς τάξεως.

Λοχευομένων, ἐκ τοῦ λοχεύω τὸ γεννῶ, τοῦτο παρὰ τὸ λέχος, ὃ σημαίνει τὴν κοίτην.

Λόχμη, θάμνος, ὕλη, σύνδενδρος τόπος, παρὰ τὸ λοχᾶν ἐν αὐτῇ, τουτέστιν ἐνεδρεύειν· ἔστι οὖν λοχῶ, λόχη, καὶ πλεονασμῷ τοῦ μ λόχμη· συντάσσεται αἰτιατικῇ.

Λόχος, ἡ ἐνέδρα, παρὰ τὸ λέγω τὸ ἐπιλέγομαι, ἐξ οὗ καὶ ἐπίλεκτος· ὅτι τοιοῦτοι ἐπίλεκτοι ἐπελέγοντο εἰς τὰς ἐνέδρας.

Λοχῶ, τὸ ἐνεδρεύω, ἐξ οὗ καὶ λόχος ἡ ἐνέδρα· καὶ λόχμη, ὁ σύμφυτος τόπος· καὶ λοχία διὰ τοῦ ἰῶτα· καὶ λοχῶ τὸ τίκτω, ἐξ οὗ καὶ λόχος ὁ τόπος, καὶ λοχεία, διὰ τῆς ει διφθόγγου.

Λοξίας, λέξιν τὴν ἠῶ, ἤγουν τὴν φωνὴν ἔχων.

Λυμαντικὸν, λοιμικὴ δὲ νόσος, καὶ λυμικὸν, καὶ εἰς τὸ ἐλυμήνατο.

Λύμη, ἡ φθορά, ἐκ τοῦ λύω λύσω, ἐξ οὗ καὶ γράφεται διὰ τοῦ υ ψιλοῦ· ...νεται· τὰ εἰς μη καθαρὰ δισύλλαβα, φύσει μα... φ... παραληγόμενα ὀξύνονται καὶ βαρύνονται, οἷον, μ... μη· καὶ τὰ ἔχοντα πρὸ τοῦ η τὸ η, εἰ καὶ ὑπὲρ δύο συλλαβὰς ὦσι, διὰ τὸ νοσήνη, φιλήνη· καὶ καθόλου ὁποῖα ὑπάρχει φύσει μακρά, οἷον, μνήμη, λύμη. σεσημείωται τὸ τιμὴ ὀξυνόμενον, ὡς προσηγορικόν· καὶ εἰς τὸ ἐλυμήνατο καὶ λελυμασμένος.

Λόχος, ἡ ἐνέδρα· ἤτοι ἀπὸ τοῦ τοὺς ἐπιλέκτους εἰς τοῦτον ἐνθετεῖν, ἢ ἀπὸ τοῦ λέξασθαι, ὃ πολλὰ σημαίνει· καὶ ἀριθμηθῆναι, καὶ καθευδῆσαι καὶ ἐπιλέκτους εἶναι· ὡς ἓν καὶ τὸ διαλέξασθαι, ὅτι οἱ τοιοῦτοι ἐπίλεκτοι διεκρίνοντο εἰς τὰς ἐνέδρας· εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγώμεθα πάντες ἄριστοι εἰς λόχον, ἢ ὡς λέχεις ἔχειν ἀνακρινομένους, ἵνα ἀθεώρητοι ὦσι. ὣς ἄρα φωνήσαντε, πάρεξ ὁδοῦ ἐν νεκύεσσι κλινθήτην [1].

Λύγος, τὸ σκότος, οὐδέτερον· ἀπὸ τοῦ λύειν τὴν αὐγήν· καὶ τὸ κατακρύπτεσθαι ὑπολυγίζεσθαι λέγεται.

Λυγίσμασι, συγκλάσματι, περικάμψεσι.

Λυκόφως, τινὲς λυκόφως τὸ σκοτεινόν· λυγαῖον, γὰρ τὸ σκοτεινὸν, οἷον, διαλυόμενον φαὸς, ἢ αὐγὴ διαλυθεῖσα. τινὲς δὲ ἀπὸ τῶν ἀλόγων ζώων τῶν λύκων· ὀξυδερκὲς γὰρ τὸ ζῶον· διὸ καὶ ἑρμῇ αὐτὸ ἀναπτύσσουσιν· ἀλλὰ καὶ ὁ υἱὸς αὐτοῦ αὐτόλυκος, καὶ λυκεὺς ἔβλεπε· τὸ δὲ ἐν τῇ πυγμῇ λυγίζειν παρὰ τὸ φυτόν· μαλακὸν γὰρ καὶ εὐκαμπές, καὶ εὔτονον.

Λύμη, φθορὰ, λυμεὼν φθορεὺς, ὄλεθρος.

Λυγμὸς, ὁ θρῆνος, καὶ λυγμὴ ἡ κραυγή.

Λύθρος, ἡ ἀκαθαρσία· κυρίως δὲ τὸ μετὰ κόνεως αἷμα· παρὰ τὸ λύματα καὶ καθάρματα δεῖσθαι.

Λυκάων, Λυκάονος, ὄνομα κύριον, υἱὸς Πανδάρου· ὁ κανών· τὰ εἰς ων βαρύτονα διχρόνῳ ἐκτεταμένῳ παραληγόμενα [2].

Λύκος, παρὰ τὸ λίαν κακός· ἢ λύειν κακῶς τὴν ποίμνην ἢ φαγεῖν πολλά.

Λύη, ἡ στάσις, παρὰ τὸ λυθῆναι τὴν ὁμόνοιαν· ἔνθεν καὶ ἀστασίαστος ὄχλος καὶ δῆμος καλεῖται τὸ σκοτεινόν.

Λυγίζειν τοῦ θρύπτεσθαι διαφέρει· λυγίζειν μὲν γάρ ἐστι τὸ τεχνικῶς ὀρχεῖσθαι καὶ θρύπτεσθαι· εἶτα τοῖς μέλεσι καὶ τῇ φωνῇ κατακλώμενος ἀκκίζεσθαι. θρύπτεσθαι δέ ἐστι, τὸ ἄνευ φωνῆς καὶ τέχνης ἀκκίζεσθαί τε καὶ κατακλᾶσθαι τοῖς τοῦ σώματος μέλεσιν· εἴρηται δὲ τὸ λυγίζειν ἀπὸ τοῦ λύγου· λύγος δέ ἐστι παροξυτόνως, τὸ ἱμαντῶδες φυτὸν, ὁ γοῦν λυγίζων στρέφεται ὡς καὶ τὸ φυτὸν, καὶ ἀκκιζόμενός τε καὶ θρυπτόμενος· εὔδηλον δὲ ὡς ὀξυτονούμενον τὸ λυγὸς ὄνομα, σημαίνει ποιητικῶς τὸν ὄλεθρον· τὸ δὲ ἐν τῇ πυγμῇ λυγίζειν παρὰ τὸ φυτὸν, μαλακὸν γὰρ καὶ εὐκαμπὲς καὶ εὔτονον.

Λυκάβας, ὁ ἐνιαυτός· εἴρηται δὲ ἀπὸ τοῦ λυγέως βαίνειν, ὅ ἐστι σκοτεινῶς· ἀοράτως γὰρ καὶ λεληθότως ὁ χρόνος διέρχεται.

Λύματα, καθάρματα, αἱ τῆς γαστρὸς εἰς ἀφεδρῶνα ἐκρύσεις.

Λύπη, παρὰ τὸ λύειν τοῖς δακρύσι τοὺς ὦπας, ἤγουν τοὺς ὀφθαλμούς.

Λύπη λῦσίς τις οὖσα ψυχῆς· καί τι μετέχει ἐκ τοῦ λύω; λῦσις γὰρ τῆς ψυχῆς τὸ πάθος, λυπηρὸν γὰρ καὶ εἰς τὸ ἄχος.

Λύπη παρὰ τὸ λύω λύη, καὶ πλεονασμῷ τοῦ π λύπη.

Λύκειον ἔστι δὲ πόλις Θετταλίας, ἔνθα λύκος ἐπιὼν ἐπὶ τοῖς τοῦ Πήλεως βουσὶν ἀπελαθείη· γράφεται δὲ

1) Il. XI, 349. 2) Reliqua desunt.

διὰ τῆς ει διφθόγγου, οἷον, Λαύρειον, ἔστι δὲ τόπος τῆς Ἀττικῆς, ποιῶν μέταλλον· λάγειον, οὕτω δὲ λέγεται τὸ ἱπποδρόμιον Ἀλεξάνδρου, ἀπὸ λαγοῦ τινός. Χλούνειον καὶ αὐτὸ τόπος ἐν Αἰτωλίᾳ, ἔνθα ὁ Χλούνης διέτριβεν· οὕτω καὶ Λύκειον.

Λύρα, παρὰ τὸ λύω, λύσω, λύρα· ἐδόθη γὰρ τῷ Ἀπόλλωνι παρ' Ἑρμοῦ, ὑπὲρ ὧν ἔβλεψε τὰς βοῦς αὐτοῦ λύτρα τις οὖσα· ἢ παρὰ τὸ λύειν τὴν ἀράν· ἐκ τούτου λυρικὴ ἡ αὐτή, καὶ κινύρα.

Λυσιτελής, σημαίνει τὸ εὔκολον ὄντα, καὶ μὴ στραγγαλιώδη, καὶ γίνεται παρὰ τὸ λύω λύσω καὶ τὸ τέλος.

Λύχνος, παρὰ τὸ λύειν τὸ νύχος τουτέστι τὸ σκότος.

Λυχνίον λυχνοῦ διαφέρει· λυχνιὸν μὲν γάρ ἐστιν ἡ λυχνία· λύχνος δὲ ὁ φανὸς, καὶ λυχνοῦργος ὁ λυπηρός.

Λύτρα ὁ μισθός· ἢ τὰ παρεχόμενα ὑπὲρ ἐλευθερίας, ἐπὶ τὸ λυτρώσασθαι ἀπὸ βαρβάρων, ἢ ἑτέρας κακῆς δουλείας.

Λύσσα, ἡ μανία, ὀργή, χόλος καὶ μῆνις· εἴρηται δὲ παρὰ τὸ λύειν τὸν νοῦν.

Λύτρωσις, παρὰ τὸ λυτρῶ· τοῦτο παρὰ τὸ λύω τὸ ἀγοράζω.

Λωβὸς ὁ κελεφὸς, ἐκ τοῦ λαὸς καὶ τοῦ βοὴ γίνεται λαοβὴ καὶ λωβὴ καὶ λωβός.

Λωβήσαιο, παρὰ τὸ λωβῶ, πρώτης συζυγίας τῶν περισπωμένων, μέσου ἀορίστου πρώτου παθητικοῦ εὐκτικοῦ· τοῦτο παρὰ τὸ λωβή, τοῦτο παρὰ τὸ λῶ τὸ θέλω, κατ' ἀντίφρασιν, ὃν οὐδεὶς θέλει· τοῦτο ἀπὸ μεταφορᾶς τῶν ἠκρωτηριασμένων· ἐπειδὴ οἱ παλαιοὶ τοὺς ἐν τισιν ἀτοπήμασιν ἁλῶντας ἐνυβρίζοντες τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον· ὡς καὶ ὁ ποιητὴς πρὸς τὸν Ἶρον· καὶ ταῦτα ὁ Ὠρίων· ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ λαβή ἐστιν, ὃ σημαίνει τὸ ξίφος· ἐξ αὐτοῦ γὰρ λάβη, καὶ τὸ α τρέπει εἰς ω· ὡς ἐμάθομεν, φάρος φαριαμὸς καὶ φωριαμὸς, καὶ γίνεται λώβη καὶ βαρύνεται, ἐπειδὴ τὰ εἰς βη λήγοντα δισύλλαβα φύσει μακρᾷ παραλήγεται, ὑπεσταλμένης τῆς οι διφθόγγου, βαρύνεται· βήβη, ἥβη, στίβη, σημαίνει δὲ τὸν ὀρθρινὸν παγετόν· λώβη· τὸ δὲ λαβὴ ὀξύτονον· ἐπειδὴ τὰ εἰς βη λήγοντα κυρίως βαρύνεσθαι θέλουσιν· εἰ μέντοι ῥηματικὰ ὑπάρχει ἢ προσηγορικὰ ὀξύνεσθαι θέλουσιν· τοῦ μὲν προτέρου παραδείγματος Φοίβη, βλάβη, Βοίβη κύριον ὄνομα βαρύνεται· τὸ μέντοι λαβὴ καὶ στιλβὴ καὶ λοιβὴ ὀξύνεται, ῥηματικὰ ὑπάρχοντα καὶ προσηγορικά. σεσημείωται τὸ λώβη καὶ βλάβη· λώβη δὲ τὸ λω μέγα· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς βη λήγοντα δισύλλαβα βαρύτονα φύσει μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον ἥβη, Θήβη, στίβη· μὴ μ' ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση [1]).

Λώβη, ἡ βλάβη, κυρίως ἐπὶ τῶν ἠκρωτηριασμένων· ἀπέτεμνον γὰρ τοὺς λόβους καὶ τὰ ἄκρα τῶν ῥινῶν· καὶ λώβη ἡ ὕβρις, οἷον, λωβοὴ ἐπὶ κακῷ περιβόητος πᾶσιν.

Λώϊον κρεῖσσον, βέλτιον, γίνεται παρὰ τὸ λῶ τὸ θέλω, ὃ γὰρ νοεῖ τις ἑαυτῷ συμφέρον τοῦτο καὶ θέλει· καὶ τὸ συγκριτικὸν λῴων, ὡς πλείων, ῥᾴων· καὶ ὄνομα λώϊον.

Λωπίζω, τὸ ἐκδύω, ἐξ οὗ καὶ λωποδύτης ὁ κλέπτης, ὁ τοῦ νεκροῦ τὸ ἱμάτιον ἀφελόμενος.

Λωπὸς, τὸ ἱμάτιον τοῦ νεκροῦ, ἀναλογεῖ γὰρ τῇ λωπίᾳ, τῷ δέρματι.

Λῷστοι, βέλτιστοι, ἠγαπημένοι, πεποθημένοι· ἔστι δὲ ὄνομα ὑπερθετικὸν ἀπὸ τοῦ λῷος τὸ ὑπερθετικὸν λῷστος· τοῦτο παρὰ τὸ λῶ τὸ θέλω· τὸ γὰρ καλὸν πάντες θέλουσι.

Λωφήσω, τὸ καταπαύσω· λόφος δὲ τὸ ἐπανάστημα.

Λωποδύτης, παρὰ τὸ ἀποδύειν τὸ λῶπος, ὅ ἐστι τὸ ἱμάτιον τοῦ νεκροῦ κατὰ Ἀθήνας.

Λωφῆσαι, ἔστι δὲ ἡ λέξις μεταφορική, ἀπὸ τῶν βοῶν τῶν ὑπὸ λόφον ἀναπαυομένων ἡνίκα ἀνεθῶσι τοῦ ζυγοῦ· ἐκ τούτου οὖν γίνεται λωφῶ ῥῆμα, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω· ἰστέον δὲ ὅτι τὸ λωφεῖν λέγεται πρώτης συζυγίας τῶν περισπωμένων· μετελώφιον γάρ φησιν Ἀπολλώνιος ὁ ποιητὴς [2]) ἀντὶ τοῦ μετελώφουν, καὶ μετὰ τὸν πόνον ἀνεπαύοντο, ὅθεν δῆλον ὅτι πρώτης συζυγίας τῶν περισπωμένων ἐστί.

Λωφήσαντες, ἀναπαυσάμενοι, ἠρεμήσαντες.

Λωφήσασα, παυσαμένη, λήξασα· κυρίως δὲ λωφῆσαι τὸ ἀποπαύσασθαι περὶ τὸν λόφον, ἀπὸ τῶν ὑποζυγίων, τῶν ἀπὸ τῶν ἔργων ἀπολυομένων καὶ ὑπὸ λόφων παυσαμένων. συντάσσεται μετὰ αἰτιατικῆς.

Λωφήσω, τὸ καταπαύσω· λόφος δὲ τὸ ἐπανάστημα μικρὸν, ἐκ τοῦ λεύω τὸ βλέπω.

Λύσσα, ἡ μανία· παρὰ τὴν λύσιν τῶν κατὰ τὴν ψυχὴν λογισμῶν καὶ τοῦ πάλαι τῶν φρενῶν καταστήματος· ἢ παρὰ τὸ ἀφέτους εἶναι τοὺς κατεχομένους ὑπ' αὐτῆς.

Τέλος τοῦ Λ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Μ ΣΤΟΙΧΕΙΟΥ.

Μαγγανεῖα, στρεβλότης· ἡ μαγγανεία, ἐκ τοῦ μαγγανεύω τοῦτο παρὰ τὸ μάγγανον, τοῦτο παρὰ τὸ ἄγω, ἄγγανον καὶ μάγγανον.

Μάγειρος, διὰ τὸ τὰ μάγματα ἀγείρειν· μάγμα γὰρ ἡ ἄρτυσις, ἀγείρειν δὲ τὸ ποιεῖν,

Μάγειρος, ὡς ὄνειρος, πέπειρος, αἴγειρος· καὶ φασὶ γενέσθαι παρὰ τὸ μάσσειν. Ἀλεξίων δὲ φησί, ἢ ὅτι μαγεία τίς ἐστιν ἡ ἄρτυσις τῶν ἑψημάτων· ἢ ἐπειδὴ εἰς μίαν αὐτὰ συγκόπτει· ῥηματικὸς γὰρ ὁ χαρακτὴρ καὶ ἁρμόζει τῷ μάσσω ῥήματι· Φιλόξενος δὲ λέγει, ὅτι παρ' Αἰολεῦσιν ἡ γραφὴ διὰ τοῦ ἰῶτα ἐστί, μάγιρος.

Μαγίρας, παρὰ τὸ τοῖς Ἄραψι μαγὶς τὸ σκουτάριον· καὶ λέγονται δὲ μαγίδες μᾶζαι, τουτέστιν ἄρτοι, ἃς καταφέρουσιν οἱ εἰς Τροφωνίου κατιόντες.

Μαγὶς, ἡ τράπεζα, ἔνθα τὰ μεμαγευμένα.

Μαγκίπες, Ῥωμαϊστὶ οἱ τεχνῖται τοῦ ἄρτου.

Μαγεία, ἡ κατασκευὴ τῶν ὁμοιωμάτων, καὶ ἡ ἄρτυσις τῶν ἑψημάτων.

---

1) Od. v. 467.   2) I. 1162.

Μαγὰς. σανὶς τετράγωνος, ὑπόκροφος. δεχομένη ἐφ' ἑαυτοῦ τὰς νευρὰς καὶ ἐκτελοῦσα τὸν φθόγγον [1]).

Μάγος, παρὰ τὸ μάσσω τὸ μαλάσσω, ὁ διὰ τῶν μαλακτικῶν αὐτοῦ, καὶ μαγικῶν ἐμπλάστων τὰ μέλλοντα προλέγων· ἢ παρὰ τὸ ἄγος, ὃ σημαίνει τὸν ῥυπαρὸν, ἄγος καὶ μάγος, ὁ μισητὸς καὶ ῥυπαρὸς παρὰ ἀνθρώποις· τὸ δὲ μάγος σημαίνει δύο τὸν μάγον καὶ μαλακτικὸν, καὶ τὸν τὰ μάγεια ἐργαζόμενον.

Μάζα, εἰς τὸ ἀμαζὼν, καὶ μαγίδες, καὶ μείζων.

Μαζεδὼν λέγουσι τοὺς καθαροὺς, μαρμαρὼθ τοὺς διυλιστρᾶς εἰτουνιθμούς.

Μάζας, ψώμια, ἀπὸ τοῦ μάσσω τὸ μαλάσσω, τροπῇ τῶν δύο σσ εἰς ζ, λέγεται δὲ μάζα φύραμα γινόμενον, πινόμενον δὲ ποτὲ μὲν ἐξ ὕδατος ποτὲ δὲ καὶ ὀξυκράτου, καὶ ὀξυμέλιτος, ἢ ὑδρομέλιτος· ἔστι γὰρ τρόφιμον.

Μαῖα, μαιῶτις, μαιώτιδος.

Μαθεῖν, μήθω ἔστι ῥῆμα ἀφ' οὗ ἔμαθον δευτέρου ἀορίστου, τροπῇ δὲ γέγονε τοῦ δ εἰς θ, μήδω, μήθω.

Μαθὼν, παρὰ τοῦ διδαχθῆναι παρὰ τινός.

Μαιμάσσει, ἀφύζει, προθυμεῖται, κοιματοῦται· παρὰ τὸ αἷμα αἱμάσσω, καὶ πλεονασμῷ τοῦ μ μαιμάσσω· ἢ παρὰ τὸ μῶ τὸ ζητῶ. μαιμάσσειν μαλάσσειν· ὡς οἶμαι καὶ τήκειν, καὶ δαπανᾷν, καὶ μαραίνειν, καὶ καταναλίσκειν.

Μαινόλης, μαινόμενος, ἢ μανιοπὸς, παρὰ τὸ μαίνω καὶ τὸ ὅλος γίνεται μαινόλης, ὥσπερ καὶ τὸ ἐξώλης καὶ πανώφης· σεσημείωται τὸ μαινόλης διὰ τοῦ ο μικροῦ.

Μαίνω, τὸ ὀργίζομαι, καὶ εἰς τὸ μηνιεῖ.

Μαῖος, Φιλόξενος δὲ λέγει, ὅτι παρ' Αἰολεῦσι ἡ γραφὴ διὰ τοῦ ἰῶτα· ἔστι δὲ μαῖος ἐπεξουσιαστὴς, ὡς ἐκ τοῦ μεγίστατος, ἀπὸ Μαίας τῆς Ἄτλαντος τοῦ Ἑρμοῦ ὀνομασθείς· μάϊον κατὰ διάλυσιν τοῦ ἰῶτα.

Μαινὰς, βάκχη, ὀρχουμένη, καὶ μαινὰς ἡ παράφορος καὶ μαινας ἡ πόρνη.

Μαιρὰ, ὑπό τινων ὁ ἥλιος, ἀπὸ τοῦ μαραίνεσθαι ὑπ' αὐτοῦ πάντα· λέγεται δὲ ὁ κατάστερος ὁ κατεστιγμένος κύων μαίρας· κάλλιον δὲ ἀπὸ τοῦ μαρμαίρειν ἤγουν λάμπειν.

Μακὰρ, πόσας εὐθείας ἔχει; τρία· μάκαρς, μάκαρος, μακάριος· ὅπερ ἀπὸ τοῦ κὰρ ὃ σημαίνει τὴν θανατηφόρον Μοῖραν γέγονε, καὶ ἐξ αὐτοῦ μάκαρς· ἀπὸ τῆς δευτέρας συλλαβῆς ἡ κλητικὴ, μακάριος ἐμῇ κηρὶ, τουτέστι φθορᾷ ὑποκείμενος, οἱ δὲ πλεονασμῷ τοῦ μ ἀκάριος καὶ μακάριος, ὁ πάντοτε ἐν ἀγαθοῖς ὤν.

Μάγοι, ἔθνος· ἢ ἐλαφρῶς ἐπάδοντες τοὺς ἀλγοῦντας ἰῶνται, ὡς καὶ οἱ Φρύγες αὐλοῦντες τοὺς ἀλγοῦντας τόπους ἰῶνται τῶν πασχόντων ἡδὺ προσπνέοντες.

Μάγιστρος, ὀφφικίων ὄνομα, οὐδὲν ἧττον ἡγούμενος τῶν αὐλικῶν κατὰ λόγων, διὰ σημασίας.

Μάκαρες οἱ μὴ πεπτωκότες ὑπὸ κῆρα.

Μάκαρται, οἱ ἀποθανόντες· οἱ ἤδη τὸ μῆκος ἐπιλαμβανόμενοι, μήκιστοι, ὅθεν καὶ μακαιρίων (η) ὁ τύμβος, ὁ ἐς μακρόν.

Μακκοᾷ, ἀνοηταίνει, μωραίνει, παρὰ τὸ μὴ καὶ τὸ κοῶ τὸ νοῶ μηκοῶ· καὶ κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ἐπείσοδος συμφώνων τροπὴν ποιεῖ, ὡς ἥδω ἁνδάνω, ἐπεισῆλθε τὸ ν καὶ ἐτράπη τὸ η εἰς α.

Μακρὰν, ἐπίῤῥημα τοπικὸν μεσότητος· γίνεται δὲ παρὰ τὸ μακρὸς, τοῦτο παρὰ τὸ μῆκος μακερὸς καὶ ἐν συγκοπῇ μακρός.

Μάκρα, ὄνομα ἐκ τοῦ μακρός· τοῦτο ἐκ τοῦ μῆκος· καὶ ὥσπερ παρὰ τὸ κύδος γέγονε κυδρὸς καὶ κυδρὴ, οὕτω καὶ ἐκ τοῦ μῆκος γίνεται μηκερὸς καὶ ἐν συγκοπῇ μηκρὸς καὶ μακρός· ἡνίκα γὰρ ἐπλεονάσσε τὸ σύμφωνον ἐτράπη τὸ μακρὸν εἰς βραχύ· τὸ δὲ μακρὰ βιβῶντα· ἔστιν ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ μεγάλως, ὡς τὸ ταχέα τάχα, ὠκέα ὦκα, οὕτω καὶ τὸ μακρέα μακρά· ὁ δὲ κανὼν, ὡς ἀρτίβιος· μακρὸν ἐτυμολογεῖται, παρὰ τὸ μέχρις ἄκρου δίηκειν, τουτέστιν ἀρχῆς· ἢ παρὰ τὸ μῆκος μηκερὸς, καὶ ἐν συγκοπῇ μηκρὸς καὶ μακρός.

Μακρύνης, παρὰ τὸ μακρύνω, τοῦτο παρὰ τὸ μακρὸς τὸ δὲ μακρὸς παρὰ τὸ μακκοῶ, τοῦτο παρὰ τὸ μὴ κοεῖν, ὅ ἐστι ἀκούειν ἢ νοεῖν, μῆκος μήκους, καὶ κατὰ τροπὴν μακρός.

Μακρόθυμος, παρὰ τὸ μακρὰν ἔχειν τὸν θυμόν.

Μάκτρα, παρὰ τὸ μάττειν ἐν αὐτῇ τὴν μάζαν· μάζα δὲ ὁ ἄρτος [2]).

Μακελλάριος, ὁ σφάζων τὰ ζῶα· μάκελ γὰρ καὶ μακέλλης Ῥωμαϊστὶ ἔστιν ὁ σφαγεύς.

Μακκαβαῖος, κατὰ Πέρσας κάρανος τουτέστι δεσπότης. τῇ δὲ Σύρων διαλέκτῳ ἀνδρεῖος, πολεμιστὴς, δυνατώτατος.

Μαῖα, ἰατρικὴ ταῖς ἐν τῷ τίκτειν γυναιξὶ κινδυνευούσαις βοηθοῦσα.

Μαιμόωσα [3]), οἱ μὲν μαμόωσα καὶ πλεονασμῷ τοῦ ἰῶτα μαιμόωσα, ἡ ἐνθουσιῶσα καὶ ὀξέως ὁρμῶσα· ἡ τοῦ αἵματος γευστικῶς ἔχουσα.

Μαῖα, μαίω ῥῆμα τὸ ζητῶ, καὶ ῥηματικὸν ὄνομα Μαῖα· ἡ κατὰ γαστρὸς παιδία ζητοῦσα.

Μάλαθρον, παρὰ τὸ μάλα ἀθρεῖν, ἤγουν λίαν βλέπειν· ἢ ὅτι μάλα θρεῖ, ἤτοι ὠφελεῖ τὴν ὅρασιν.

Μαλακὸς, ὁ μάλα ἤγουν καυκός.

Μανία, μανὸν ἔλεγον τὸ ἀραιὸν, ὡς καὶ Αἰσχύλος, ἐμμανοῖς στύλοις ἐπίπλοις τουτέστιν ἀραιοῖς.

Μανίαν, τὴν ἀραίωσιν, καὶ χαυνότητα τῶν φρενῶν· ἀραιὸν γὰρ τὸ ἀσθενὲς, κατὰ τοὐναντίον οὖν ἀγχίνους καλεῖται, παρὰ συνεχεῖς καὶ πυκνὰς ἔχειν τὰς φρένας, καὶ πίνυτος καὶ πυκινὸς, καὶ αὐτὴ ἡ συνέχησίς ἐστι σύγκλεισις, καὶ οἷον ἕνωσις φρενῶν.

Μαλάχη, διὰ τὸ μάλα χέειν τὸν θυμόν.

Μαλακὸς, παρὰ τὸ μαλάσσω μαλακός, ὥσπερ παρὰ τὸ λεύσσω λευκός.

Μάλεια, ὄνομα ὄρους, διὰ τῆς ει διφθόγγου γράφεται· εὕρηται καὶ χωρὶς τοῦ ι Μαλέα, ὡς καὶ παρ' Εὐριπίδῃ [4])· ἰστέον δὲ ὅτι ἡνίκα μὲν διὰ τῆς ει διφθόγγου γράφεται προπαροξύνεται, Μάλεια· ἡνίκα δὲ διὰ τοῦ ε μόνου παροξύνεται Μαλέα.

Μάνδρα παρὰ τὸ ἄντρον, ἄντρα καὶ μάνδρα, τὸ δὲ ἄντρον, ἐκ τῆς ἀνὰ προθέσεως, καὶ τοῦ τρῶ τὸ τρυπῶ.

Μαλλὸς, ἐπὶ τῶν πλαγίων τῶν τριχῶν τῆς κεφαλῆς· εἴρηται δὲ ἀπὸ ἐμφείας τῶν τοῦ προβάτου μαλλῶν· μαλλὸς δὲ ἀπὸ τοῦ μῆλον τὸ πρόβατον, μαλὸς καὶ πλεονασμῷ τοῦ λ, μαλλός.

---

1) Cf. Sch. Lucian. p. 8. T. I. ed. Hemsterh. p. 223. T. I. cf. Ath. Kircherus Musurg. univ. p. 160. T. I. 2) Helladius p. 17. 3) Sch. Il. v. 661. 4) Orest. 362. Sch.

Μαλακισθέντες, ἀντὶ τοῦ σχυνωθέντες, τὸ θέμα μαλακίζω, γίνεται ἐκ τοῦ μαλακὸς, τοῦτο ἐκ τοῦ μαλάσσω.

Μαλακὸν, ἁπαλόν· μαλάκιον, εἶδος ἰχθῦος.

Μᾶλλον, λίαν, πάνυ, πλέον. ἐκ τῆς μη ἀπαγορεύσεως καὶ τοῦ ἄλλον γίνεται μήαλλον καὶ μᾶλλον· τὸ μα μακρὸν διάτι; πᾶν δίχρονον, ἔχον διπλασιασμὸν ἀμεταβόλου συστέλλεται. οἷον, ἀμνὸς, Φαλκόνιλλα. ψύλλα, σεσημείωται· τὸ μᾶλλον παρὰ Ἀττικοῖς ἐκτεινόμενον.

Μαλθακὸς, τρυφερὸς, εὐμάλακτος, ἐκλελυμένος.

Μαμμωνᾶς, τὸ κέρδος, ὁ χρυσὸς καὶ ὁ πλοῦτος.

Μαμερτῖνοι, Μάμερτος ἐν Ἰταλίᾳ ὁ Ἄρης, ὅθεν καὶ οἱ ἐν Σικελίᾳ οἰκήσαντες στρατιῶται μαμερτιανοὶ ὠνομάσθησαν, οἱ ἶσα ἐργαζόμενοι Ἄρει.

Μανδήλιον [1]), μανειήλιον καὶ μανδήλιον τὸ ἀποσπόγγιζον τὰς μάνους ἤγουν τὰς χεῖρας.

Μάννα, σημαίνει τοῦτο· οὐ γὰρ σημαίνει τὴν τροφὴν κυρίως· ἐγείροντο γὰρ τῷ πρωῒ, καὶ εὕρισκον ὅσον ἤρκει αὐτοὺς φαγεῖν, μὰν λέγοντες· καὶ λοιπὸν ἐλθόντες οἱ Ἕλληνες προσέθηκαν τὸ να· καὶ σημαίνει τί τοῦτο· εἶχον γὰρ τοῦτο, ὅτε ἤθελον ἀπελθεῖν εἰς τινὰ τόπον, καὶ ἀπὸ δισχιλίων πηχῶν ἐποίουν τὴν σκήνην.

Μάννα, βάρβαρον, γέγονεν ἀπὸ τοῦ μαίω τὸ ζητῶ, ὄνομα θηλυκὸν, ἡ μάννα, τῆς μάννας, ἣν πάντες ἐπιζητοῦσι· καὶ ἐκ τούτου τὸ βάρβαρον ὠνόμασται· καὶ τὸ οὐδέτερον τὸ μάννα.

Μαντίνεια, διὰ τῆς ει διφθόγγου· ἔστι δὲ ὄνομα πόλεως· γίνεται δὲ παρὰ τὸ μαντίνες, Μαντίνεια.

Μάντις, μάντεως καὶ μαντίπολις.

Μαντεία, ὁ χρῆσμος οἰονὸς καὶ ὑποφήτης ὁ μάντις [2]).

Μανδραγόρα, εἶδος βοτάνης φονικῆς.

Μαπία, σπογγίστρια παρὰ τὸ μάσσω τὸ μαλάσσω.

Μαρίλη, σημαίνει τὴν κόνιν τὴν γινομένην ἐκ τοῦ κατασβέννυσθαι τοὺς κάρβωνας· τὰ γὰρ διὰ τοῦ ιλη μονογενῆ μὴ ὄντα ἀπὸ κράσεως, καὶ μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, σμίλη τὸ σμιλίον, ἴλη ἡ ἄθροισις, σπατίλη τὸ ἀπόξυσμα τῶν δερμάτων· μὴ ὄντα ἀπὸ κράσεως, ὅτι ἀπὸ τοῦ ἐνδεία τὴν ἕλην γίνεται διέλη, καὶ κράσει δείλη· μὴ ὄντα ἀπὸ τῶν ἐχόντων τὸ ἰῶτα, ὅτι ἀπὸ τοῦ ἕλη τοῦ σημαίνοντος τὴν θερμασίαν γίνεται εἵλη πλεονασμῷ τοῦ ι· πρόσκειται μονογενῆ, διὰ τὸ δειλὸς δειλή· χωρὶς τοῦ ὠφειλὴ καὶ ἀπειλή.

Μαραίνω, παρὰ τὸ ἄρης, ὃ σημαίνει τὸν πόλεμον ἀραίνω, καὶ πλεονασμῷ τοῦ μ μαραίνω· καὶ εἰς τὸ μαρνάμενος.

Μάργος [2]), ὁ μαινόμενος, οὗ μή ἐστιν ἀρωγή· ἢ παρὰ τὸ ἐστερῆσθαι τὶ ἐργάζεσθαι ἀγαθὸν, παρὰ τὸ μὴ καὶ τὸ ἔργον· καὶ εἰς τὸ ἐτύχθη.

Μαρμαρέην, ἡ εὐθεῖα μαρμαρέη· ὁ κανών· τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκά· ἐκ τοῦ μαρμάρεος, τοῦτο ἐκ τοῦ μαρμάρειος, ἀποβολῇ τοῦ ἰῶτα· ἐπὶ γὰρ τῶν διὰ τοῦ ειος κτητικῶν, οἱ Ἴωνες ἀποβάλλοντες τὸ ἰῶτα, τὴν ει δίφθογγον διὰ τοῦ εος προσφέρουσιν· οἷον, φλόγειος; φλόγεος· ἐς δ' ὄχεα φλόγεα, τὸ ρει διφθόγγῳ· τὰ διὰ τοῦ ειος κτητικὰ, σημαίνοντα μέρος σωματικὸν ἢ μετουσιαστικὸν, διὰ τῆς ει διφθόγγου γράφεται. σιδήρειος, χρύσειος, οὕτω καὶ μαρμάρειος γίνεται ἐκ τοῦ μάρμαρον· σημαίνει δὲ τὸ λευκόν· τοῦτο ἐκ τοῦ μαρμαίρω τὸ λάμπω· μέλλοντα οὐκ ἔχει.

Μαυλὶς ἡ μάχαιρα· καὶ ἴσως εἴρηται παρὰ τὸ μαῦρον, ὅ ἐστι τὸ ἀμαυρὸν τῇ λαμπήδωνι· ὅτι δὲ ἄνευ τοῦ α λέγεται σαφῶς παρ' Ἡσιόδῳ· ῥεῖα τέ μιν μαυροῦσι θεοί [3])· Δημήτριος δὲ παρὰ τὸ ὁμοῦ αὐλίζεσθαι τοῖς φοροῦσιν ὁμαλις· ἀποπεσόντος οὖν τοῦ ο, ἔμεινε μαυλίς.

Μάραθρον, Ῥωμαῖοι λέγουσιν αὐτὸ φαινούκλουμ, παρ' ὅτι φαῖνον ποιεῖ τὸν ὄκλον, ἤγουν τὸν ὀφθαλμὸν, Ἕλληνες δὲ διὰ τὸ μαραίνειν καὶ ξηρᾶν ποιεῖν τὴν σάρκα· ἢ ψωρίαν ἐσθιόμενον ποιεῖν.

Μάραθρον κατ' ἀποβολὴν τοῦ ρ· μάραθρον γάρ ἐστι παρὰ τὸ μαραίνειν εὐθέως τὸ ἄνθος.

Μάταιος, παρὰ τὸ μάτος· ὅπερ εἴρηται παρὰ τὴν ἄτην μάτιος, ὡς φίλος, φίλιος καὶ φίλαιος, οὕτω μάτιος, ἀφ' οὗ μάτια καὶ μάταιος, ὡς παρὰ τὸ θάλασσα θαλάσσιος θαλασσαῖος. Καλλίμαχος [4]), πολυθαλασσίων μανδότρ. . ἐπιδών· ὡς παρὰ τὴν ὥραν, ὥριος καὶ ὡραῖος.

Μάρμαρον, διὰ τὴν μαρμαρυγὴν, ἤγουν τὴν λάμψιν· ἢ διὰ τὸ μέρος αἱρεσθαι· ἢ διὰ τὸ μαρμαραίνειν ἤγουν στίλβειν.

Μαρνᾶται, μάχεται ἐν πολέμῳ, παρὰ τὸ μαραίνεσθαι καὶ φθείρεσθαι.

Μάρψαι, κυρίως μάρψαι ἐστι τὸ ταῖς χερσὶ συλλαμβάνειν· μάρη γὰρ ἔλεγον τὰς χεῖρας· ἔνθεν τὸ εὐχερὲς εὐμαρές· οὕτως εὗρον ἐν ὑπομνήματι.

Μαρναμένοιϊν, ἀπὸ τοῦ μαρνῶ μάρνημι, μαρνάμενος, μαρναμένοιν καὶ πλεονασμῷ τοῦ ἰῶτα μαρναμενοιϊν· τὸ δὲ μαρνῶ ἀπὸ τοῦ ἀρνός· οἱ παλαιοὶ γὰρ τὰς πραγματείας μετ' ἀρνῶν ἐποιοῦντο, ὅθεν καὶ τὸ ἀρνῶ ἀρνοῦμαι.

Μάρπτω, ὃ δηλοῖ τὸ καταλαμβάνω· καὶ εἰς τὸ ἁμαρτάνω καὶ μάρτυροι.

Μαρσίππιον, ὁ ἐν αὐτῷ πάντα μάρπτων καὶ συνέχων· ἔστι δὲ ζύγιον.

Μάρτιος, παρὰ τὸ ἄρην ἄρτιος καὶ μάρτιος, κατὰ πλεονασμὸν τοῦ μ· τῷ γὰρ μηνὶ τούτῳ ἑορτὴν ἦγον τῷ Ἄρει· ἐφετὴν γὰρ λέγουσιν Ἑλλήνων παῖδες· τοῦτον τῆς τῶν ὅπλων γυμνασίας, καὶ πρὸς τιμὴν τούτου ἔθυον τράγον, καὶ ἐχρίοντο ἐκ τοῦ αἵματος αὐτοῦ, ὅθεν καὶ τὸ γυμνάσιον μέχρι τῶν δεῦρο κεκράτηται παρ' Ἕλλησι· καὶ τὸ τῶν κυάμων ἄλευρον κατὰ μίμησιν χρίονται ἀντὶ τοῦ αἵματος.

Μάρτυροι, δύο γενικὰς ἐπιδέχεται, ὡς τὸ ψίθυρις ψίθυρος ψιθύρου, οὕτω μάρτυς μάρτυος, καὶ πλεονασμῷ τοῦ ρ μάρτυρος· τὸ δὲ μάρτυς γίνεται παρὰ τὸ μάρπτω, τὸ καταλαμβάνω μάρπτυς καὶ μάρτυς ἀποβολῇ τοῦ π· ὁ ἐκ τοῦ κατειληφέναι δυνάμενος περὶ αὐτοῦ εἰπεῖν· ἢ παρὰ τὸ μαρμαίρω τὸ λάμπω, ὁ λαμπρύνων καὶ εἰς φῶς ἄγων τὸ ζητούμενον· κλίνεται δὲ μάρτυς μάρτυος, καὶ κατὰ πλεονασμὸν τοῦ ρ μάρτυρος· καὶ μάρτυρος μαρτύρου.

Μάρτυς ἐλέγχου διαφέρει· μάρτυς γὰρ ἐπ' ἀγαθοῦ λαμβάνεται· ἔλεγχος δὲ ἐπὶ φαύλου.

Μασσῶμαι, παρὰ τὸ σῶ, ὃ δηλοῖ τὸ σείω καὶ κινῶ, ἀφ' οὗ καὶ τὸ σήθω· καὶ προσλαβὼν τὴν μα συλλα-

---

1) v. Reland. diss. misc. P. 2. p. 193. 2) v. Sch. Soph. Oed. Tyr. 21. 3) Il. v. 882. Sch. cfr. Sch. Ap. III, 120. 4) Epy. 526. p. 532. 260. 5) Fragment. inedit. sed. vide Edit. Ernesti

βὰν ἐποίησε τὸ μασῶ καὶ μασῶμαι, τὸ εἰς λεπτὰ τὴν τροφὴν κερματίζειν καὶ κατακόπτειν.

Μασθὸς, παρὰ τὸ μῶ τὸ ζητῶ, καὶ τὸ θῶ τὸ θηλάζω, κατ' ἀντίφρασιν, ὁ μὴ πρὸς τὸ θηλάζεσθαι ζητούμενος.

Μάστιγξ, ἐκ τοῦ μαστίζω, τοῦτο παρὰ τὸ μάσσω τὸ μαλάσσω, ἢ παρὰ τὸ ἱμάσσω τὸ πλήσσω.

Μαστίζω, ἀπὸ τοῦ ἶς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν, γίνεται ἰνὰς καὶ ἱμὰς, ἡ γενικὴ ἱμάντος, καὶ ἐξ αὐτοῦ γίνεται ἱμαστίζω· καὶ κατ' ἀποβολὴν τοῦ ι μαστίζω· τὸ μετὰ δυνάμεως πλήσσω.

Μάστιγξ, παρὰ τὸ ἱμασσω, σημαίνει δὲ τὸ πλήττω· τοῦτο παρὰ τὸ ἱμὰς ὁ λῶρος.

Μάρσιππος, σάκκος, θυλάκιον, βαλαντίον.

Μαστροπὸς, ὅ ἐστι μαυλιστής· μαστροπὸς ἥξει τοὺς ἐραστὰς καὶ ἐρωμένους.

Μαστροπὸς, παρὰ τὸ μάττεσθαι τοῖς τρόποις.

Μαστροπὸς, μα, τὸ σημαῖνον τὴν μητέρα καὶ τὸν τρόπον, οἱονεὶ ἡ δοκοῦσα ἔχειν μητέρος τρόπον· σημαίνει δὲ τὴν μαυλίστριαν· σὺν αὐτῷ δὲ τετάχθω καὶ τὸ τραγωγόν.

Μαστὸς καὶ μαζὸς διαφέρει, μαστὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος· κυρίως δὲ, διὰ τὸ εἶναι μεστὸς γάλακτος· μάζος δὲ ὁ ἀνδρεῖος, ὡς καὶ ὁ ποιητὴς δηλοῖ· νεύρην μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον· τινὲς δὲ ἀδιαφόρως χρῶνται ταῖς λέξεσι.

Μαστὸς ὁ γυναικεῖος, παρὰ τὸ μεστὸς εἶναι γάλακτος· ἢ ἀπὸ τοῦ μαστεύεσθαι ὑπὸ τῶν παίδων· ἢ παρὰ τὸ μαστεύεσθαι, ὅ ἐστι ζητεῖσθαι ὑπὸ τοῦ βρέφους.

Μαστὸς ὁ ἀνδρῶος, παρὰ τὸ μὴ ἐσθίεσθαι.

Μαστοὶ, κυρίως ἐπὶ τῶν γυναικείων, οἷον, μασητοὶ, οὗτοι γὰρ ἀλλήλοις τροφὴ, ἀπὸ τοῦ τὴν μαστάκα, τουτέστι τὴν τροφὴν τῶν γεννωμένων παρέχειν, ἀφ' ἧς καὶ τὸ μάσημα· ἢ ἀπὸ τοῦ προσμάττεσθαι καὶ προφύεσθαι τούτοις πρῶτον τὰ βρέφη, οἷον παστοὶ, ἀπὸ τοῦ πάσσεσθαι, ἢ παστοὶ τινὲς ὄντες, ἀπὸ τοῦ πᾶν αὐτοὺς τὰ βρέφη· ὁ δὲ Σωρανὸς φησὶ ὑπὸ τῶν θηλαζομένων ἐπισπᾶσθαι· ἢ παρὰ τὸ μῶ τὸ ζητῶ, παράγωγον μάζω καὶ μαστὸς, ὃν ἐπιζητοῦσι οἱ παῖδες· δύναται δὲ καὶ παρὰ τὸ αὐτὸ μάζω μάζα, ἡ ζητουμένη τροφὴ, ὡς σχίζω σχίζα.

Μασχάλη παρὰ τὸ εἰς μαστὸν χαλᾶσθαι· ἢ παρὰ τὸ σχῶ σχήσω, σχήλη, ὡς στήσω στήλη, καὶ μεταθέσει τοῦ α εἰς η σχάλη, καὶ πλεονασμῷ τῆς μα συλλαβῆς μασχάλη, ἡ λίαν κατέχουσα, ἅτινα ἂν σχῇ· ἢ ἀπὸ τοῦ χαλᾶσθαι εἰς μασθόν· ἢ εἰς ἣν χαλᾶσθαι ὁ μῦς· ἢ ἀπὸ τῆς ἀλέας, τὴν διὰ τὴν κάμπην τοῦ σώματος· οὕτω Σωρανός· ὁ δὲ Ἡρακλῆς ἀπὸ τοῦ μαστεύειν τὶ ὑπ' αὐτὴν ἐπειδὴ οἱ ὑφαινούμενοί τι ὑπ' αὐτοῦ κρύπτεσθαι.

Μαχλὰς, ἡ πόρνη, καὶ μαχλὸς ὁ καταφελὴς, παρὰ τὸ χαλῶ, μαχαλὸς καὶ μαχλός [1]).

Μασσαλία, Φωκαεῖς καταλιπόντες τὴν Ἰωνίαν διὰ τὴν τῶν Περσῶν ἔφοδον, παρεγένοντο εἰς Γαλατίαν· καὶ ἰδόντες ἁλιέα, ἐπ' αὐτὸν ἴεσαν, ἑαυτοῖς παρακελευόμενοι Μεσσαλιεῖς· οὗτος δὲ συλληφθεὶς, ἔδειξεν αὐτοῖς ἐπιτήδειον τόπον· ὅθεν καὶ Μεσσαλίαν ὠνόμασαν, ἐν ᾗ καὶ ἔλαβεν τὸν ἁλιέα.

Ματῶ, εἰς τὸ αὐτομάτως, καὶ χατίζεις.

Μάχαιρα, διὰ τὸ μάχεσθαι ῥᾷον· ἢ διὰ τὸ μάχεσθαι πᾶσι φύσεσι, καὶ τόνον ἐμποιεῖν βίᾳ· ἢ παρὰ τὸ μάχῃ χαίρειν· ἢ ὅτι αἷμα χέει· ἢ παρὰ τὸ τοῖς αἵμασι χαίρειν· ἢ παρὰ τὸ εἰς μάχην αἱρεσθαι καὶ λαμβάνεσθαι· ἢ διὰ τὸ χέειν αὖθις τὸ αἷμα.

Μάχη, παρὰ τὸ ἄχος ἄχη καὶ μάχη πλεονασμῷ τοῦ μ· ὡς ἄλευρον μάλευρον, καὶ χεὶρ χειρὸς χειράδιον καὶ χερμάδιον.

Μαχήσομαι, μαχῶ μαχήσω· τὸ μαχῶ ἐκ τοῦ μάχω βαρυτόνου εἴρηται· τὸ δὲ παθητικὸν μάχομαι· ὁ γὰρ χαρακτὴρ παθητικός ἐστι, τὸ δὲ σημαινόμενον ἐνέργειαν δηλοῖ· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς χω λήγοντα βαρύτονα, τῷ α καθαρῷ παραληγόμενα σπάνιά εἰσι, τὸ ἄχομαι καὶ τὸ μάχομαι, καὶ ταῦτα μὲν ἄχρι τοῦ παρατατικοῦ κλίνεται ὡς βαρύτονα· ἀπὸ δὲ τοῦ παρατατικοῦ ὡς περισπώμενα ποιοῦνται τὴν κλίσιν. Ἡρωδιανός.

Μὰψ, ἀντὶ τοῦ ματαίως ἐπίῤῥημα.

Μεγάλη, παρὰ τὸ μὴ καὶ τὸ γῆ μηγὴ, καὶ τροπῇ τοῦ πρώτου η εἰς ε καὶ τοῦ δευτέρου εἰς α μέγα· καὶ τὸ σέλας ἀπὸ τοῦ μέγας· τοῦτο δὲ εἴρηται ἀπὸ μεταφορᾶς τοῦ ὑψηλοῦ καὶ ἐπηρμένου τόπου· ἢ παρὰ τὸ μὴ εἰς γῆν εἶναι.

Μέγαρον, οὐδέτερον, τὸ τῆς Δήμητρος ἱερόν· μέγαρον δὲ ἔστιν ὁ οἶκος· μέλαθρον δὲ ἡ ὀροφὴ ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ, ὡς Ὅμηρος· αὐτὴ δ' αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον [2])· οὐ γὰρ ἂν εἴποι τις οἴκου οἶκος· καὶ εἰς τὸ ἑστία.

Μέγας, τὸ ἐπίθετον συστέλλει τὸ α, διότι τὰ εἰς σ λήγοντα μετὰ διχρόνου, καὶ τὰ ἑξῆς· καὶ σεσημείωται τὸ μέγας. βαρύνεται τὸ κύριον ὄνομα, ὅπερ ἰσοσυλλάβως κλίνεται, ὁ Μέγας τοῦ Μέγα, ἐξ οὗ καὶ τὸ παρώνυμον Μεγάδης. καὶ ὁ ποιητὴς καὶ Πέριμον Μεγάδην [3])· ἤγουν τοῦ μεγάλου τὸν υἱόν· καὶ διαφέρει τὸ κύριον τοῦ προσηγορικοῦ· ὅτι τὸ μὲν κύριον ἰσολυσσάβως κλίνεται καὶ ἐκτείνεται τὸ α· τὸ δὲ προσηγορικὸν περιττοσυλλάβως καὶ συστέλλει τὸ α καὶ εἰς τὸ βασιλεὺς καὶ μείζων.

Μεγαλεῖον, ἐν τοῦ μεγάλως· ἔστι δὲ μετουσιαστικόν.

Μέγας, ἀπὸ μεταφορᾶς τοῦ ὑψηλοῦ τόπου· ἢ παρὰ τὸ εἰς γῆν μὴ εἶναι.

Μέγας, παρὰ τὸ μὴ καὶ τὸ γῆ μήγας, καὶ τροπῇ τοῦ η εἰς ε μέγας.

Μέγας καὶ πολὺς διαφέρει· μέγας μὲν ἐπὶ πηλικότητος τάσσεται, πολὺς δὲ ἐπὶ ποσότητος· ὁμοίως καὶ τὸ μικρὸν τοῦ ὀλίγου, τὸ μὲν μικρὸν ἐπὶ πηλικότητος, τὸ δὲ ὀλίγον ἐπὶ ποσότητος· ὅθεν ὁ λέγων, μικρὸν ὕδωρ ἀντὶ τοῦ ὀλίγου ἀκυρολογεῖ.

Μέγεθος, παρὰ τὸ μέγα μέγαθος, καὶ τροπῇ τοῦ α εἰς ε μέγεθος.

Μεγαλόφρων, μεγαλόψυχος.

Μεγαλώνυμον, μεγαλόδοξον, περίδοξον.

Μεγαλοψυχία, ἔστιν ἀρετὴ ψυχῆς καθ' ἣν δύναται φέρειν τὴν εὐτυχίαν καὶ τὴν ἀτυχίαν, τιμὴν καὶ ἀτιμίαν· μικροψυχία δὲ ἐστὶ μακρὰ ψυχῆς καθ' ἣν ἀδύνατόν ἐστι φέρειν εὐτυχίαν.

Μεδέων, μετοχὴ, ὡς φιλέων, κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς δω λήγοντα ῥήματα δισύλλαβα, μὴ ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ε στοιχεῖον παραλήγουσαν, περισπᾶσθαι θέλει· οἷον, πηδῶ πηδήσω, σκεδῶ σκεδάσω· οὕτως ἔστι τὸ ἐδῶ καὶ μεδῶ· ταῦτα

---

1) Anthol. IV. XVIII, 50. 2) Od. XXII, 239. 3) Il. XVI, 695.

δὲ βαρύνονται καὶ περισπῶνται· ἀναλογώτερον οὖν ἐστι περισπώμενον. μεδεῶν, ὡς νοέων καὶ Φιλέων· πολλαὶ δὲ εἰσὶ καὶ τοῦ ἑδῶ κινήσεις· ἕδεσμα καὶ ὁδηγός.

Μέδιμνον, μοδ' ε, ὡς εἶναι μοδ' δ· μέτρον δὲ ξέστων κβ· ἄλλο δὲ ς.

Μεναλύνω, παρὰ τὸ μεγάλως· τοῦτο παρὰ τὸ μὴ εἰς γῆν εἶναι, ὡς πρὸς σύγκρισιν τῶν μικρῶν, τῶν οὐ πολὺ τῆς γῆς ἀφεστώτων.

Μέδων σημαίνει τὸν βασιλέα, ἡ εὐθεῖα ὁ μέδων· γέγονε δὲ ἀπὸ μετοχῆς ὄνομα μετοχικόν· τὸ θέμα μέδω· τοῦτο παρὰ τὸ ἕζω τὸ καθέζομαι, γίνεται ἕδω καὶ μέδω, καὶ μέδων, ὁ ἑδραίως καθεζόμενος· καὶ εἰς τὸ μήδω.

Μέζεα, τὰ αἰδοῖα, ὅτι μέσεά ἐστι τῆς οὐρᾶς· οὐρᾶς δ' ὑπὸ μεζ' ἔθεντο· Σικελοὶ δὲ καὶ Ταραντῖνοι μέσα αὐτὰ καλοῦσι.

Μεθέμεν, ἔστιν ἀπαρέμφατον Ἰωνικὸν ἢ Δωρικὸν ἐνεργητικοῦ καὶ παρατατικοῦ. πρώτης τῶν περισπωμένων· οἷον, μεθῶ μεθήσω· Ὅμηρος μεθέμεν, καταλιπεῖν, ἀπὸ τοῦ ἕναι καὶ πλεονασμῷ τῆς με ἔμεναι, καὶ συγκοπῇ τῆς αι διφθόγγου ἔμεν καὶ μετὰ τῆς προθέσεως μεθέμεν ἐκ τοῦ ἵημι τὸ πέμπω, τὸ ἀπαρέμφατον ἕναι.

Μεθέμεν, ἀφεῖναι συγχωρῆσαι· ἵημι τὸ πέμπω καὶ μετὰ τῆς μετὰ μεθίημι, ὁ μέλλων μεθήσω, ὁ παρατατικὸς μεθίην, τὸ πληθυντικὸν μεθίεμεν καὶ τὸ ἀπαρέμφατον μεθιέμεναι καὶ κατὰ συγκοπὴν μεθέμεν, ἤγουν ἀποπέμψαι τὴν ὀργήν.

Μέθες, ἄφες, βάλε, ἀπὸ τοῦ ἵημι· ὁ δεύτερος ἀόριστος ἦν ἡ μετοχὴ εἷς ἕντος καὶ τὸ προστακτικὸν ἕς· καὶ μετὰ τῆς μετὰ προθέσεως μέθες· σεσημείωται γὰρ τὸ θές, δός, ἕς.

Μεθήμων, ὁ ἀμελής, ὄνομα· τὸ θη ἦτα· ὥσπερ γὰρ ἀπὸ τοῦ νοήσω νοήμων· οὕτως ἀπὸ τοῦ μεθῶ μεθήσω, μεθήμων.

Μεθίω, τὸ ἀμελῶ, τὸ θι μακρόν· τὰ εἰς ω καθαρὰ βαρύτονα, ὑπὲρ δύο συλλαβάς, τῷ ι παραληγόμενα ἐκτείνεται· τὰ διὰ τοῦ ι ῥήματα ὑπὲρ δύο συλλαβὰς κλινόμενα εἰς μέλλοντα, διὰ τοῦ ι γράφεται· καὶ γίνεται ἐκ τοῦ μέθηες ὃ σημαίνει τὸν οἶνον.

Μεῖς[1]), ὁ μήν, Δωρικῶς. δεῖ γινώσκειν, ὅτι ἡ εὐθεῖα τριχῶς λέγεται· μεῖς Δωρικῶς, καὶ μὴς Ἀττικῶς, καὶ μὴν κοινῶς.

Μεθοδεία, ἡ τοῦ χρόνου ἔρευνα καὶ ἡ τέχνη.

Μέθυσο, παρὰ τὸ μέθηες, ὃ σημαίνει τὸν οἶνον· καὶ Ὅμηρος, καὶ μέθυ, χίλια μέτρα[2])· τοῦτο παρὰ τὸ μέθη· τοῦτο παρὰ τὸ μεθίω, τὸ ἀμελῶ· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐμὲ θύειν.

Μεθύμναιος, ὁ Διόνυσος, ὅτι μεθ' ὕμνων ἦλθε· τάχα δὲ ὅτι καὶ παρὰ τὴν μέθην εἴρηται καὶ (η ο) μεθυδώτης.

Μεγαλεῖον, τὸ λει διφθόγγῳ διάτι; τὰ διὰ τοῦ ειον μετουσιαστικὰ μὴ σημαίνοντα μέρος σώματος, διὰ τῆς ει διφθόγγου· καὶ προπερισπᾶται. οἷον, ἑτερεῖος, πρυτανεῖος, γυναικεῖος, μεγαλεῖος.

Μέγας, ποίου εἴδους τῶν ὑποπεπτωκότων; τῷ ὀνόματι· πρός τι ἔχων; πρὸς γὰρ τὸ μικρὸν ἔχει.

Μείζων, παρήχθη ἀπὸ τοῦ μέγας· καὶ ἐγένετο πρῶτος τύπος τῶν συγκριτικῶν μεγάτερος, ὁ δεύτερος μείζων, ὁ τρίτος μέσσων· καὶ οἱ μὲν Αἰολεῖς τὸν ἵππον ἴσσον, καὶ τὸ βλέπω βλέσσω, ὑφαιροῦνται τὸ β καὶ πλεονασμῷ τοῦ υ ποιοῦσι λεύσσω· καὶ παρὰ τοὺς Βοιωτοὺς μείζων, ὡς εἴρηται· ἡ δὲ τῶν Ταραντίνων διάλεκτος, τὰ δύο σσ εἰς ξ τρέπει ὡς καὶ ἡ τῶν Βοιωτῶν.

Μειλίχιος, παρὰ τὸ μέλι μέλιχιος· καὶ πλεονασμῷ τοῦ ι μειλίχιος.

Μειλίγματα, σημαίνει τὰ πραϋντικά, ὥσπερ ἀπὸ τοῦ μειλίσσω μείλιγμα.

Μειλίσσω, τὸ καταπραΰνω διὰ τῆς ει διφθόγγου· παρὰ τὸ μέλι ἢ τὸ μέλος γέγονε μελίσσω.

Μέλισσα, παρὰ τὸ ἐν τοῖς μήλοις ἰζάνειν· μῆλα δὲ λέγει Ὅμηρος τὰ πρόβατα.

Μεῖον, μικρόν, παρὰ τὸ μέρος γέγονε μερίων καὶ κατὰ συγκοπὴν τοῦ ρ μείων, καὶ κατὰ κρᾶσιν μείων, καὶ τὸ οὐδέτερον μεῖον· καὶ εἰς τὸ Βενιαμίν, καὶ μειδιῶ, καὶ μὴν καὶ μήρυγμα, καὶ μικρόν.

Μειονεκτεῖσθαι, τουτέστι τοῖς μικροῖς ἡττᾶσθαι. μεῖον γὰρ σημαίνει τὸ μικρόν, οἷον, ἐπὶ μικρὸν ἔχεσθαι, τουτ' ἔστι κρατεῖσθαι.

Μεῖστος σημαίνει τὸν ἕνα· διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ων συγκριτικῶν εἰς τος γινόμενα, εἰ μὲν ἀπὸ τῶν ὑπὲρ δύο συλλαβὰς παραχθῶσι, διὰ τοῦ ι μόνου παράγονται, οἷον, χερείων, χέριστος, εἰ δὲ ἀπὸ τῶν δισυλλάβων, φυλάττουσι τὴν ει δίφθογγον· οἷον, πλείων πλεῖστος· λώων λῷστος, σημαίνει δὲ τὸν συμφέροντα. οὕτω καὶ μείων μεῖστος· ἰστέον ὅτι τὰ εἰς ων καθαρὰ δισύλλαβα τέσσαρά εἰσι· καὶ τὰ μὲν δύο διφθόγγῳ παραλήγονται, καὶ ἐκφωνοῦσι τὸ ἰῶτα, πλείων, μείων· τὰ δὲ ἕτερα διφθόγγῳ παραλήγονται, καὶ ἀνεκφώνητον ἔχουσι τὸ ι· οἷον, λῴων, ῥᾴων.

Μειράκιον, παρὰ τὸ εἴρω τὸ λέγω εἰράκιον· καὶ πλεονασμῷ τοῦ μ μειράκιον.

Μειράκιον καὶ μεῖραξ διαφέρει· μεῖραξ μὲν ἐπὶ θηλείας, μειράκιον δὲ ἐπὶ ἄρρενος· καὶ εἰς τὸ γέρων.

Μείρεται, εἰ μὲν σημαίνει τὸ μερίζεται, γίνεται ἀπὸ τοῦ μέρος, μερῶ, μέρομαι, καὶ πλεονασμῷ τοῦ ι μείρομαι· εἰ δὲ σημαίνει τὸ ἐπιθυμῶ, γίνεται ἀπὸ τοῦ ἵμερος, ἱμέρω καὶ πλεονασμῷ τοῦ ι ἱμείρω καὶ ἱμείρομαι, τὸ τρίτον ἱμείρεται καὶ ἀποβολῇ τοῦ ι μείρεται.

Μειράκισκος καὶ μειράκιον εἴρηται ἀπὸ τοῦ μεῖον καὶ ἧττον εἴρειν καὶ λέγειν τῶν ἀνδρῶν τὸν νέον.

Μείς, σημαίνει τὸν μῆνα καὶ γράφεται διὰ τῆς ει διφθόγγου· ἐπειδὴ οἱ Δωριεῖς διὰ τῆς η γράφουσιν αὐτό· ἔθος δὲ ἔχουσι τὴν ει δίφθογγον εἰς η, τρέπειν, οἷον πλείων πλήων, μείων μήων. ἰστέον, ὅτι τὸ μείς μὴν ὑπῆρχε καὶ ἔτρεψε τὸ η εἰς τὴν ει δίφθογγον· καὶ ἐπειδὴ τὰ εἰς ν λήγοντα, ἀρσενικὰ ἢ θηλυκά, οὐ θέλουσιν ἔχειν πρὸ τοῦ ν δίφθογγον, οἷον Σωλήν, Πλάτων, ἔτρεψε τὸ ν εἰς σ· καὶ ἐγένετο μείς· πρόσκειται ἀρσενικὰ ἢ θηλυκά, διὰ τὰ οὐδέτερα, οἷον τὸ διπλοῦν, τὸ χρυσοῦν· λέγει δὲ ὁ Διονύσιος, ὅτι μὴν ἦν, καὶ ἔτρεψε τὸ ν εἰς σ· καὶ ἐγένετο μής· καὶ ἐπειδὴ οἱ ἀρχαῖοι ἠγνόουν τὰ μακρὰ στοιχεῖα, ἐτίθεσαν ἀντὶ τοῦ η τὸ ε, καὶ ἀντὶ τοῦ ω τὸ ο οὕτω· καὶ ἐνταῦθα ἀντὶ τοῦ ι ἔθηκαν τὸ ε· καὶ εἶπον μές· εἶτα τὸ λοιπὸν μετὰ τὸ φανῆναι τὰ μακρὰ νομίσαντες, ὅτι ἀντὶ τοῦ ει κεῖται τὸ ε, προσέθηκαν τὸ ι, καὶ

1) cfr. pag. seq. v. μείς. 2) Il. VII, 471.

ἐγένετο μεὶς διὰ τῆς ει διφθόγγου· ὁ δὲ ἕβδομος εἱστήκει μεὶς· λέγει δὲ τὸ μεὶς ὁ Ὧρος, καὶ ὁ Ἀρκάδης καὶ ὁ Εὐδαίμων ἄκλιτον εἶναι· ἡ γενικὴ ὡς κτεὶς κτενός.

Μέλαθρον, κυρίως λέγεται τὸ μέσον τῆς στέγης ξύλον τὸ ὑπέρτον καλούμενον ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ· ὅταν οὖν εἴπῃ Ὅμηρος, αὐτὴ δ' αἰθαλόεντος ἀνάϊξασα μελάθρου ἕζετο, τοῦτο φησὶ δηλοῦν· τινὲς δὲ ἁπλῶς τὸν ὄροφον ἢ τὸν οἶκον.

Μέλισσα, οἱονεὶ μέλιζα, ἡ πᾶσιν ἐφιζάνουσα τοῖς καρποῖς· μῆλα γὰρ κατὰ πάντα εἴρηται οἱ καρποὶ τῶν βοτάνων, ὅθεν καὶ πολύμηλος γῆ.

Μέλαινα τὰ διὰ τοῦ αινα θηλυκὰ προπαροξύτονα ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς αι διφθόγγου γράφεται, οἷον, μύραινα, δράκαινα, λέαινα, οὕτω καὶ μέλαινα· καὶ γίνεται ἐκ τοῦ μέλας μέλανος· ὁ κανὼν, τὰ εἰς ας ὀνόματα περιττοσυλλάβως κλινόμενα, διὰ τοῦ ντ κλίνεται, μέλας μέλαντος, ἐξ οὗ καὶ τὸ, μελάντερον ἠΰτε πίσσα· τάλας τάλαντος· ἐπεκράτησε δὲ ἡ συνήθεια, διὰ μόνου τοῦ ν αὐτὰ κλίνεσθαι· πρόσκειται περιττοσυλλάβως διὰ τὸ μέγας μέγα, λάας λᾶα.

Μέλαν παρὰ τὸ μὴ καὶ τὸ λάειν, τὸ μὴ βλέπειν, ὅθεν ἀλαὸς ὁ τυφλὸς, καὶ· ὁ μὲν λάε νεβρὸν ἀπάγχων [1]).

Μελδόμενος, παρὰ τὸ τὰ μέλη ἔδειν, ὅ ἐστιν ἐσθίειν, ἢ τήκειν, οἷον, μελέδειν καὶ μέλδειν κατὰ συγκοπήν· ἔστι δὲ μελδόμενος ὁ τηκόμενος.

Μελέαγρος, κύριον, παρὰ τὸ μέλλειν αὐτῷ τὴν ἄγραν.

Μελεδῶναι, αἱ τὰ μέλη ἔδουσαι φροντίδες· ὅθεν Ἡσίοδος γυιοκόρους αὐτὰς καλεῖ, τὰς ἕως κόρου τὰ γυῖα ἀναλυούσας, καὶ οἱ Αἰολεῖς σταλαγμὸν τὴν ὀδύνην λέγουσιν· ἀποστάζουσι γὰρ καὶ ῥέουσιν· Ὅμηρος, τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν· καὶ εἰς τὸ κήδω.

Μελέεσι, ποιητικῶς τοῖς μέλεσιν, ὁ κανὼν εἴρηται εἰς τὸ ἡγεμόνεσσι. τί διαφέρει μέλος καὶ μέρος; διαφέρει· ὥσπερ γὰρ τὰ μέλη μέρη τοῦ σώματός εἰσι, καὶ τὰ μέν εἰσι βραχέα τὰ δὲ μακρὰ, καὶ τὰ μὲν εἰς ἐνέργειν, ὡς ἐπὶ τῶν χειρῶν, τὰ δὲ ἐπὶ τὸ περιπαθεῖν, ὡς ἐπὶ τῶν ποδῶν· οὕτω καὶ τὰ μέλη τὰ μέν εἰσιν ὀξύτονα, τὰ δὲ βαρύτονα, καὶ οὕτως ἀποτελοῦσι τὴν ἐν ἁρμονίᾳ μελῳδίαν· ἔστι δὲ μέρος εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι συνωνυμίας· συνώνυμον δέ ἐστι, τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν· τὸ δὲ μέλος παρὰ τὸ μέρος· τὰ γὰρ μέλη μέρη εἰσὶ τοῦ σώματος· μεταφορικῶς δὲ ἡ ἐναρμόνιος μελῳδία.

Μέλαιον, τὸ μάταιον, παρὰ τὸ λῶ τὸ θέλω, καὶ Ἰωνικῶς λέω, ὃ μὴ λέομεν, τουτέστιν ὃ μὴ θέλομεν, οὐδεὶς γὰρ θέλει τὸ μάταιον.

Μελέτη. ἡ φροντὶς, διὰ τὸ τὰ μέλλοντα μεριμνᾷν, παρὰ τὸ μέλλειν.

Μέλη, τὰ μέρη συνωνύμως, κατὰ μείζονα καὶ ὁλοσχερέστερα νοούμενα περιγραφήν· ἢ ἀπὸ τῶν κατὰ τὴν μουσικὴν μελῶν ἁρμονίαν, ὥσαν εἴπῃς μέρη.

Μέλισσα, παρὰ τὸ ἐν τοῖς μήλοις ἰζάνειν· μῆλα δέ εἰσι τὰ ἄνθη· Ὅμηρος· αὐτῇ σοι ῥίζοισι καὶ αὐτοῖς ἄνθεσι μήλων. καί τι μετέχει τοῦ ἄνθους; καὶ γὰρ ἡ μέλισσα τῶν ἀνθέων τὰ χρησιμώτατα συλλέγουσα ποιεῖ τὸ μέλι.

Μελισσάων, μελισσῶν· ὁ κανών· οἱ Αἰολεῖς τὰς εἰς ων γενικὰς, τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γινομένας, διὰ τοῦ αων προσφέρουσιν, οἷον, μοῦσαι μουσάων, πύλαι πυλάων, ἀθῆναι ἀθηνάων, μέλισσαι μελισσάων· οἱ δὲ Δωριεῖς διὰ τοῦ εων, πύλαι πυλέων. Ὅμηρος, πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

Μελίφρων, παρὰ τὸ μέλισσα, τοῦτο ἐκ τοῦ μῆλον, ὃ σημαίνει τὸν πάντα καρπὸν, μήλιζά τις οὖσα, ἡ τοῖς καρποῖς ἐφιζάνουσα: ἡ γὰρ μέλισσα, τῶν ἀνθέων τὰ χρησιμώτατα συλλέγουσα ποιεῖ τὸ μέλι· τὰ μὲν καλὰ ἐκλέγεται, τὰ δὲ φαῦλα ἀποῤῥίπτει· λέγεται δὲ καταχρηστικῶς ὁ γλυκὺς ἄνθρωπος οἱονεὶ, ὁ γλυκαίνων τὰς φρένας· ὅμως καὶ κρίθης μελίφρονος εἴρηκε.

Μέλος, κατὰ σύγκρισιν τοῦ ἔπους, τὸ μεμελισμένον· ἢ ἀπὸ τῆς τοῦ μέλιτος γλυκύτητος. Μόρσιλος δὲ τὰς ἐν Λέσβῳ γενομένας παρθένους Μούσας ἐπὶ τὰ πένθη φοιτᾷν καὶ θρηνεῖν, ὅθεν ἐπεκράτησε τὰ ᾀδόμενα μέλεα κληθῆναι· οἱ δὲ ἀπὸ τοῦ μελιγόρου Πινδάρου μελισσοτευχηρίων, ὅ ἐστι τὸ μέλος τὸ ἑκάστῳ μεμελημένον· καὶ γὰρ μετὰ φροντίδος σκευάζεται.

Μελῳδία, παρὰ τὸ μέλος, ἐξ οὗ καὶ μελῳδός· γράφεται δὲ διὰ τοῦ ω μεγάλου· τὰ γὰρ παρὰ τὴν ᾠδὴν γινόμενα ἅπαντα διὰ τοῦ ω γράφεται· οἷον, ὑμνῳδὸς, τραγῳδὸς, ψαλμῳδὸς, χωρὶς τῶν παρὰ ὁδόν· ταῦτα γὰρ διὰ τοῦ ο γράφεται.

Μέλος καὶ ᾠδὴ, ἀπὸ μεταφορᾶς τῶν μελῶν τοῦ σώματος· καὶ εἰς τὸ μελέεσσι καὶ μέλπω.

Μέλπηθρα, παίγνια παρὰ τὸ μέλπω τὸ παίζω· δηΐῳ μέλπεσθαι ἄρηϊ.

Μέλπω, παρὰ τὸ μέλος, ὃ σημαίνει τὴν ᾠδὴν, γίνεται μέλω, καὶ πλεονασμῷ τοῦ π μέλπω· ἐξ οὗ καὶ μολπή.

Μελχισεδὲκ, τὸ χι ἰῶτα διάτι; ἀπὸ παραδόσεως τὸ μελ λέγεται βασιλεὺς, τὸ σεδὲκ λέγεται δικαιοσύνη· λέγεται δὲ οὖν μελχισεδὲκ βασιλεὺς δικαιοσύνης· καὶ μελχισαλὴμ βασιλεὺς εἰρήνης· καὶ ἀνάγεται εἰς τὸν Χριστὸν ἡ τοιαύτη παραγωγὴ παρ' Ἑβραίοις.

Μέλλω σημαίνει τέσσαρα· τὸ ὀφείλω, ὡς τὸ, ὦ μέλλεις εὔχεσθαι· τὸ φροντίζω, ὡς τὸ, καὶ σὲ χρὴ ταῦτα πάντα μέλλειν νύκτας τε καὶ ἦμαρ· καὶ τὸ βραδύνω, ὡς τὸ, τί μέλλεις; τί ἀναδύῃ; καὶ τὸ φαίνω ὡς τὸ οὕτω που Διῒ μέλλει ὑπερμενεῖ φίλον εἶναι [2])· καὶ τὸ πρέπω· καὶ ἀπέκειτο ὡς τὸ ἔμελλον ἄρα.

Μέλλω, διὰ δύο λλ, ἐπειδὴ οὐδέποτε βαρυτόνως ἐνεστὼς δι' ἑνὸς λ ἐκφέρεται· καὶ διὰ τοῦτο τὰ φθάσαντα γενέσθαι βαρύτονα καὶ τὰ ὅμοια ἄχρι τοῦ παρατατικοῦ κλίνεται ὡς βαρύτονα, ἀπὸ δὲ τοῦ παρατατικοῦ ὡς περισπώμενα. καὶ εἰς τὸ πλημμέλεια, καὶ ἐμμέλεια καὶ μελῳδός.

Μέλεα, τὰ ἄθλια καὶ μάταια, μέλεος γὰρ ὁ ἄθλιος, μάταιος καὶ ταλαίπωρος καὶ δυστυχής.

Μελῳδὸς, παρὰ τὸ μέλος καὶ τὸ ᾠδή· τὸ δὲ μέλος σημαίνει δύο· τὸν ψαλμὸν καὶ γίνεται παρὰ τὸ μέλλω τὸ φροντίζω· ἢ παρὰ τὸ ἔλω τὸ ἐλαύνω, ἔλος καὶ μέλος. σημαίνει καὶ τὸ μέρος τοῦ σώματος, καὶ γίνεται παρὰ τὸ μείρω τὸ μερίζω.

Μεμαῶτα, προθυμούμενον· χρόνου παρακειμένου μετοχῆς· ἔστιν ἀπὸ τοῦ μῶ τοῦ σημαίνοντος τὸ προθυμοῦμαι, δευτέρας συζυγίας τῶν περισπωμένων· ὁ μέλ-

---

1) Od. XIX, 230. II. 2) Il. XIV, 69.

λων μήσω, ὁ παρακείμενος μέμηκα, ἡ μετοχὴ ὁ μεμηκὼς, καὶ τροπῇ τοῦ η εἰς α καὶ ἀποβολῇ τοῦ κ, μεμαώς.

Μέμω, τὸ προθυμοῦμαι, ἐξ οὗ καὶ ὄνομα ῥηματικὸν ματὸς, καὶ μετὰ τοῦ αὐτὸς γίνεται αὐτόματος, ὁ αὐτόκλητος· ὁ μέλλων μεμῶ, ὁ παρακείμενος μέμακα, ἡ μετοχὴ ὁ μεμακὼς, καὶ ἀποβολῇ τοῦ κ μεμαώς· καὶ κλίνεται μεμαῶτος μεμῶτος κατὰ συναίρεσιν· τὸ πληθυντικὸν μεμῶτες, καὶ πλεονασμῷ τοῦ α ποιητικῶς μεμαῶτες· καὶ φυλάττει τὸ α· τὸ θηλυκὸν ἡ μεμῶσα· ζήτει τὸν κανόνα εἰς τὸ ἑστῶσα.

Μεμυελωμένα, παρὰ τὸ μυελῶ, τοῦτο παρὰ τὸ μύω τὸ ἀσφαλίζω. γίνεται μυελὸς ὁ ἠσφαλισμένος ὑπὸ τοῦ ὀστέου· λέγεται δὲ καὶ μυελὸς, ἐκ τούτου μυελῶ μυελώσω· καὶ τὰ λοιπὰ δηλωτικά.

Μεμυκέναι, κρύψαι, κολλῆσαι ἢ καμμῦσθαι· σημαίνει δὲ κυρίως καὶ ἠχῆσαι, ἀπὸ τοῦ μυκῶ, ὁ μέλλων μυκήσω, μεμύκηκα ὁ μέσος μέμυκα, τὸ τρίτον μέμυκεν· Ἡσίοδος, μέμυκε δὲ γαῖα καὶ ὕλη, ἀντὶ τοῦ ἤχησε· καὶ τὸ ἀπαρέμφατον μεμυκέναι.

Μέμφεαι, ἐπὶ τῶν τριῶν προσώπων τῶν πληθυντικῶν οἱ Ἴωνες ἀποβάλλουσι τὸ τ τοῦ τρίτου προσώπου, καὶ δεύτερον ποιοῦσιν· ἐνέργειαν δὲ οὐκ ἔχει· γίνεται ἐκ τοῦ μέμφη μέμψω, τὸ παθητικὸν μέμφομαι μέμφεται, ἐκβολῇ τοῦ τ μέμφεαι.

Μεσίτης, ὁ μεταξὺ δύο ὤν· καὶ σημαίνει τὸν μεσάζοντα. διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης γινόμενα διὰ τοῦ ι γράφεται, οἷον, τόπος τοπίτης, στῦλος στυλίτης, λόχος λοχίτης, μῦθος μυθίτης· οὕτω καὶ μέσος μεσίτης.

Μεμψίμοιρος, φιλεγκλήμων, μεμφόμενος.

Μέμνησο, μνημόνευσον, μιμνήσκου.

Μεμισθαρνικὸς, ὁ μισθῷ κάμνων· ἢ διὰ μισθὸν ψεῦδος ποιῶν.

Μενδήσιος, μένδος ἐλέγετο παρ' Αἰγυπτίοις ὁ τράγος, ἐκ τοῦ μένδος, μένδητος, μενδήτιος καὶ μενδήσιος· ἢ ὅτι τοπικόν ἐστι, ὡς θαλάσσιος, οὐράνιος.

Μέλας, εἰς τὸ λάας.

Μένος, εἰς τὸ δυσμένης, καὶ εὐμένης καὶ ζαμένης.

Μέντοιγε, ἐκ τοῦ μὲν, καὶ τοῦ τοὶ, καὶ τοῦ γέ· ἔστι δὲ ἐπίῤῥημα μεσότητος.

Μενοῦνγε, τρεῖς εἰσὶ σύνδεσμοι· σημαίνει δὲ βεβαιότητα καὶ ἀληθές.

Μενοῦν, διὰ τοῦτο, τοιγαροῦν.

Μενοινᾶ, ἔστι γὰρ πολέμοιο μενοινᾷ· καὶ μενοινῶ, μενοινᾷς. σημαίνει δὲ τὸ προθυμῶ.

Μένος, ἡ δύναμις.

Μερμέριζε, φρόντιζε, βουλεύου. παρὰ τὸ μερίζω, τοῦτο παρὰ τὸ μέρος· τοῦτο παρὰ τὸ μείρω, μερῶ, μερίζω καὶ μερμερίζω, καὶ τροπῇ τοῦ ε εἰς η, μερμηρίζω, ἀπὸ τοῦ, ἐπὶ τάδε καὶ τάδε μερίζεται τὴν ψυχὴν τοῦ μεριμνῶντος· ὅθεν καὶ μερμήρας τὰς φροντίδας ἔνιοι λέγουσιν.

Μέρμις, μέρμιθος, τὸ σχοινίον· καὶ εἰς τὸ ὄρνιθος.

Μεριμνῶ, παρὰ τὸ μέριμνα, τοῦτο παρὰ τὸ μερίζω μερίσω, μεμέρικα, μεμέρισμαι, μέριμνα. ἐτυμολογεῖται δὲ παρὰ τὸ μερίζειν τὸν νοῦν.

Μερὶς, παρὰ τὸ μερίζω, τοῦτο παρὰ τὸ μείρω τὸ μερίζω· ἢ παρὰ τὸ μέλος μελίζω καὶ μερίζω.

Μέροψ, ὁ ἄνθρωπος, συνώνυμον· γίνεται παρὰ τὸ μείρω τὸ μερίζω, ὁ μεμερισμένην ἔχων τὴν ἔναρθρον ὄπα, ἤγουν τὴν φωνὴν, ὥσπερ σύγκρισιν τῶν ἄλλων ζώων· ἐπειδὴ ἐὰν λαλῇ ὁ ἄνθρωπος μερίζεται εἰς συλλαβάς.

Μέροπες, οἱ μορητικοὶ καὶ κακοπαθεῖς· οἱ δὲ μεμορημένοι τὸ λόγιον. οἱ δὲ μεμορῆτες τὸν λόγον· ἑκάστῳ γὰρ ὀνόματι φωνῇ παράκειται. οὐ γὰρ πάντων ἦεν ὁμοθρόος, οὐδ' ἴα γῆρυς [1]· ἄλλοι δὲ τοὺς ὑπὸ ὄρου πεπτωκότας, οἷς κατὰ τοὐναντίον μάκαρες, οἱ μὴ κῆρα ἔχοντες, οἱ ἀθάνατοι.

Μέσος, παρὰ τὸ μερίζω μερίσω, μέρισος καὶ κατὰ συγκοπὴν μέσος· ἐτυμολογεῖται παρὰ τὸ τὰ μέρη ἴσα ἔχειν.

Μεσημβρία, παρὰ τὸ μέση καὶ τὸ ἡμέρα μεσημερία, καὶ ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ β, μεσημβρία.

Μεσίας, ὁ Χριστὸς, παρὰ τὸ μέσος.

Μεσούσης. ἔστιν ἴσον, καὶ τροπῇ τοῦ ι εἰς ε, καὶ πλεονασμῷ τοῦ μ, μέσος, καὶ ἐκ τούτου μεσῶ, μεσάσω, τρίτης συζυγίας τῶν περισπωμένων· καὶ ἡ μετοχὴ ὁ μεσῶν τοῦ μεσοῦντος, καὶ τὸ θηλυκὸν ἡ μεσοῦσα, τῆς μεσούσης· καὶ ἀπὸ τοῦ μεσάζω μεσάζουσα καὶ κατὰ συγκοπὴν μεσοῦσα.

Μεστὸς καὶ μεστὸν τὸ πλῆρες, παρὰ τὸ ἕω τὸ πληρῶ, ἐξ αὐτοῦ ἑστὸς, καὶ πλεονασμῷ τοῦ μ, μεστός.

Μετὰ δαῖτα, δύο μέρη λόγου· μετὰ πρόθεσις, δαῖτα ὄνομα· ἡ εὐθεῖα ἡ δαίς.

Μεταβαλεῖν καὶ μεταμορφοῦσθαι, καὶ ἀλλοιοῦσθαι καὶ ἑτεροιοῦσθαι διαφέρει. μεταβαλεῖν μὲν γάρ ἐστι πάθος κοινόν· καὶ καιρῶν γίνεται μεταβολὴ καὶ πράξεων, καὶ ἀφροδισίων. Εὐριπίδης· μεταβολὴ πάντων γλυκύ· μεταμόρφωσις δὲ μεταχαρακτηρισμὸς, καὶ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα· ἀλλοίωσις δὲ οὐ μόνον μετασχηματισμὸς χαρακτῆρος, ὡς Ὅμηρος, ἀλλοῖός μοι ξεῖνε φάνης ἠὲ πάροιθεν· ἀλλὰ τῆς προτέρας ὑπολήψεως ποίησις ἑτέρα· ἑτεροίωσις δὲ ὅταν ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβάλλεται· οἷον, Νιόβη εἰς λίθον.

Μεταλλῶ, σημαίνει τὸ ζητῶ, καὶ πολυπραγμονῶ, δευτέρας συζυγίας τῶν περισπωμένων· καὶ σημαίνει τὸ πολύπονον· γίνεται ἐκ τοῦ μέταλλον, ὃ σημαίνει τὸν τόπον, ἐν ᾧ ὁ χρυσὸς τίκτεται· ἢ ἡ χρυσίτης γῆ· καί τι μετέχει τὸ μέταλλον, πρὸς τὸ μεταλλῶ· ἐπειδὴ ταῦτα εὑρένης οὐ τῆς τυχούσης, ἀλλὰ καὶ τῆς ἀναγκαίας δέονται.

Μεταμέλεια, σχῆμα παρασύνθετον, ἐκ τοῦ μεταλῶμαι καὶ μετανοῶ, καὶ μεταγινώσκω.

Μετάφρενον, τὸ μεταξὺ τῶν ἐξοχῶν τοῦ νώτου· καὶ τοῦ μέρους μέσον.

Μετάξιν, διὰ τὸ μεταξὺ ζώου καὶ δένδρου· ἔστι δὲ σπέρμα καὶ οὐ σπέρμα, ζῶον, ἑρπετὸν, πτερωτὸν καὶ σπερματικόν.

Μεταίχμιον, ὁ μεταξὺ δύο στρατιωτῶν τόπος.

Μεταλλᾶν, ἀντὶ τοῦ ζητεῖν ἐν αὐτῷ τι. τὸ γὰρ ζητεῖν μεταλλᾶν ἔλεγον.

Μεταξὺ, ἀπὸ τοῦ μεσάζω· ἔθος ἔχουσιν οἱ Δωριεῖς τρέπειν τὸ σ εἰς τ, καὶ γίνεται μετάξω καὶ μεταξύ· καί ἐστιν ἐπίῤῥημα.

Μετάρσιος, ὁ ὑψηλός· ἔστιν αἴρω ὁ μέλλων ἀρῶ, Αἰολικῶς ἄρσω, καὶ ἐξ αὐτοῦ ἄρσιος ὄνομα, καὶ μετὰ

---

[1] Il. IV, 437.

τῆς μετὰ προθέσεως μετάρσιος, ὁ λίαν ὑψούμενος· ἡ γὰρ μετὰ ἐπίτασιν σημαίνει ἀρτίως.

Μετάφρενα, οἱ μεταξὺ τῶν νώτων τόποι μετὰ τὰς φρένας ἐγγύς· τὰ ὀπίσθια τῆς κεφαλῆς· ἐν τῇ κεφαλῇ γὰρ αἱ φρένες.

Μετανασταταί, μέτοικοι φυγάδες.

Μεταμφίασθαι, μετενδύεσθαι ἐσθῆτα.

Μεταπεσεῖν, τὸ ἀπὸ δόξης εἰς ἀτιμίαν ἐλθεῖν.

Μετάβολοι, μεταπράται, πραγματευταί.

Μέτοικος ξένος.

Μετεστείλατο, μετεπέμψατο, μετεκαλέσατο.

Μεταχρονοῦντες, μετασχηματίζοντες.

Μετέπειτα, μετὰ ταῦτα.

Μετριάζει, ταπεινοφρονεῖ, μέτρια φρονεῖ.

Μετριοπαθεῖν, συγγινώσκειν.

Μεταπλασμός ἐστιν, ὅταν τραπῇ ἡ τελευταία συλλαβὴ τῆς λέξεως εἰς ἄλλην συλλαβὴν, οἷον, διχόμηνι, πολυπόταμι.

Μετέωρος, ὁ ὑψηλὸς, παρὰ τὸ αἴρω τὸ κουφίζω, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν ἄειρος· καὶ ἐν ὑπερβιβασμῷ ἔαιρος, καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω ἔωρος, καὶ μετὰ τῆς μετὰ προθέσεως μετέωρος· ἐξ οὗ καὶ ἑωρίζω καὶ μετεωρισμος.

Μετρῆσαι, εἰς τὸ ἀριθμῆσαι.

Μέτριον, τὸ ταπεινὸν καὶ ἐπιεικὲς, παρὰ τὸ μετρῶ, τὸ ὑπερταπεινούμενον· τοῦτο παρὰ τὸ μέτρον τοῦτο παρὰ τὸ μείρω τὸ μερίζω. ὥσπερ παρὰ τὸ δείρω δέτρον, οὕτω παρὰ τὸ μείρω μέτρον· σημαίνει δὲ δύο, τὸ ταπεινὸν, καὶ τὸ ὑποκοριστικὸν τοῦ μέτρου.

Μέτρον, τινὲς τὸ κοῖλον, παρὰ τὸ μέσον εἶναι, τὰ δ' ἄλλα ἀπ' αὐτοῦ· τὸ δὲ μετροῦν, μέθορος ποιοῦν ἐτυμολογεῖται.

Μετώπηδον τὰς φάλαγγας, μετώπηδον στήσαντες, ἀντὶ τοῦ ἔμπροσθεν τῶν ὠπῶν.

Μέτωπον, ἔστιν ἐνταῦθα πρόθεσις ἀντὶ προθέσεως, τουτέστιν ὑπέρωπον, τὸ ὑπὲρ τοὺς ὦπας μέρος ὄν, μέτωπον, παρὰ τὸ ἄνω τῶν ὠπῶν ἵστασθαι.

Μέχρι. ἐπίῤῥημα χρόνου δηλωτικόν· ἢ ἐπίῤῥημα καιροῦ παραστατικόν· τὸ χρι ἰῶτα διάτι; τὰ πεφυκότα ἐπιῤῥήματα, κἄν τε μετὰ τοῦ σ, κἄν τε ἄνευ τοῦ σ διὰ τοῦ ι γράφεται, οἷον, πολλάκις, ὀλιγάκις, μέχρις, ἄχρις καὶ ἄχρι· πλὴν τοῦ χρὴ, ὅπερ καὶ παρ' ἡμῖν λέγεται· παρὰ πολλοῖς δὲ ἀπόχρης.

Μέχρι, τῆς δεῦρο ἕως τῆς σήμερον· μέχρι τῆς δεῦρο, ἕως ὧδε, ἕως νῦν.

Μετοχὴ ὀνόματος διαφέρει· καθὸ ἐν μὲν τοῖς ὀνόμασί τινα ἐστὶ μονογενῆ τινὰ δὲ κοινὰ, τινὰ δὲ τριγενῆ, ἡ μέντοι μετοχὴ τὴν τριγένειαν ἠσπάσατο· τύπτων γὰρ τύπτουσα καὶ τύπτον· πλὴν τοῦ ἐκτρώσασα· ταύτης γὰρ τῆς μετοχῆς ἡ φωνὴ ἐπὶ τοῦ ἄῤῥενος οὐ συνίσταται· τὸ δὲ ῥῆμα ἐκτρῶ, ἐκτρᾷς, ἐκτρώσασα. μὴ παραδῷς [1]) ὑποτακτικὸν ἐκ τοῦ δίδωμι, δώσω, ὁ β ἀόριστος ἔδων καὶ τὸ ὑποτακτικὸν ἐὰν δῶ, ἐὰν δῷς· καὶ παραδῷς.

Μή, τὸ μὲν ἀπαγορευτικὸν ἐπίῤῥημα, μετὰ πόσων ἐγκλίσεων συντάσσεται; μετὰ τριῶν. μετὰ προστακτικοῦ ὡς Ὅμηρος, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν [2])· καὶ ὁ Δαβὶδ, μή με καταποντισάτω καταιγὶς ὕδατος [3]). καὶ μετὰ ποίων προσώπων συντάσσεται ἐν τοῖς προστακτικοῖς; ἐν μὲν τοῖς προστακτικοῖς μετὰ δευτέρου καὶ τρίτου προσώπου συντάσσεται, εἰς ἐνεστῶτα· οἷον, μή δ' ἔα νῆας ἅλαδ' ἑλκέμεν· καὶ μή μοι οἶνον ἄειρε· μετὰ δὲ τρίτου προσώπου, ὡς ὁ Παῦλος, ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ κρινέτω· καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ ἐξουθενείτω· ἐπὶ δὲ τοῦ πρώτου τοῦ μέλλοντος, ἀορίστου ἐνεργητικοῦ παθητικοῦ, μετὰ τρίτου προσώπου μόνον συντάσσεται, οὐ γὰρ λέγεται μὴ τύψον, ἢ μὴ τύψαι, ἢ μὴ τυποῦ· καὶ μετὰ εὐκτικοῦ, ὡς ἐν τῷ· εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην· καὶ μετὰ ὑποτακτικοῦ, ὡς τὸ μὴ δήπω ὑπ' ὀχέσφι λυώμεθα μώνυχας ἵππους· καὶ ἀλλαχοῦ· μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών· ὁ δὲ μ' οὐκ ἐλεήσει, οὐδέ τι μ' αἰδέσεται [4])· εἰ δὲ τῇ ὁριστικῇ ἐγκλίσει συντάσσεται, οὐ μετὰ τῆς ἰδίας δυνάμεως τάσσεται, ἀλλὰ ἀντὶ τῆς οὐ ἀποφάσεως, ὡς ἐν τῷ, μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων πημαίνει, Τρῶας τε καὶ Ἕκτορα τοῖσι δ' ἀρήγει· ἀντὶ τοῦ οὐ διὰ τὴν ἐμὴν βούλησιν· καὶ ὡς ἐν τῷ μὴ ὄφελες λίσσεσθαι, ἀντὶ τοῦ οὐκ ὤφελες· ἀπαρεμφάτῳ δὲ εἰ συντάσσεται ἡ μὴ ἀπαγόρευσις, οὐ ξένον, διότι παντὸς ῥήματος ἀρχὴ τὸ ἀπαρέμφατον· κρεῖττον δὲ εἰπεῖν, ὅτι ἡνίκα μετὰ ἀπαρεμφάτου συντάσσεται ἡ μὴ ἀπαγόρευσις, ἀντὶ προστακτικῆς ἐγκλίσεως πρόσκειται· ὡ τὸ, μήτ' αὐτὸν κτείνειν, μήτε μνᾶσθαι ἄκοιτιν· ἀντὶ τοῦ μὴ κτεινέτω τὸν Ἀγαμέμνονα ὁ Αἴγισθος, καὶ μὴ ἔστω μνηστὴρ τῆς γυναικὸς αὐτοῦ. καὶ Ὅμηρος. μὴ μὲν ἐγὼ Βρισηΐδι χεῖρ' ἐπενεῖκαι. συνεχῶς γὰρ ὁ ποιητὴς τὰ ἀπαρέμφατα ἀντὶ τῶν προστακτικῶν κέχρηται, ὡς ἐν τῷ, πειρᾶν δ' ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς, ἀντὶ τοῦ ἀπόπειραν ποιησάτω. καὶ, πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω, ἀντὶ τοῦ ἀγόρευσον. τὸ μὴ ἦτα διάτι; πᾶν ἐπίῤῥημα μονοσύλλαβον μακροκατάληκτον ὀξύνεσθαι θέλει καὶ διὰ τοῦ η γράφεται. οἷον, μὴ, νὴ, δή· εἰς τὸ μή τι προσγράφεις οὐδέν; διὰ τὸ τὰ εἰς η λήγοντα ἐπιῤῥήματα ἔχουσι καὶ τὸ ι προσγεγραμμένον, οἷον, ἄλλῃ, πάντῃ, πλὴν τοῦ μὴ καὶ νὴ, καὶ δηλαδή· τὸ μὴ σημαίνει δύο, ἀπαγόρευσιν, καὶ δισταγμόν· ἀπαγόρευσιν, οἷον, μὴ φάγῃς, μὴ πίῃς· δισταγμὸν δὲ, μὴ ἀπέθανεν ὁ δεῖνα.

Μηδαμινός, ἄτιμος, εὐτελής· εἰς τὸ οὐτιδανοῖσι.

Μήδεα, τὰ βουλεύματα, ἡ εὐθεῖα μῆδος.

Μήδεα, τὰ αἰδοῖα, παρὰ τὸ μέδειν καὶ ἄρχειν τῆς γενέσεως· καὶ μέζεα, καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς ζ· ἢ μέδεα καὶ κατὰ τροπὴν τοῦ ε εἰς η μήδεα τὰ μόρια· ἤτοι μέδεα ὧν δεῖ κρατεῖν· ἢ τὰ ἔχοντα τὸ μήδειν, ὅ ἐστι τὸ κρατεῖν, ἐπειδὴ τῆς ἀρσενότητος αἰτία· ἢ καὶ μετὰ τοῦ τοῦ σώματος οὐρὴν δ' ὑπὸ μέζε' ἔθεντο· ὡς καὶ Ἀρχίλοχος, ἶνας δὲ μελέων ἀπέθρισε.

Μηδία, κέκληται, ἀπὸ τοῦ μικροῦ μαθήματος τῆς μηδούσης ἧς ἐδίδαξε τούς τε ἀνθρώπους ὁ Περσεύς.

Μήδω, τὸ μὴ ἦτα· καὶ ὅτι μέδων ἐστὶ, καὶ ἐκτάσει τοῦ ε εἰς η. καὶ μέδων ὁ βασιλεὺς, μεδῶ, ἐξ οὗ καὶ μεδέων· ἢ καὶ τὰ διὰ τοῦ ηδω ῥήματα δισύλλαβα βαρύτονα διὰ τῆς ει διφθόγγου γράφεται, οἷον, δείδω, ἐρείδω, πλὴν τοῦ μήδω· ἥδω τὸ εὐφραίνομαι· καὶ κλυταιμνῆσαι, καὶ Προμηθεύς.

Μηθ' ἑνός, τρία μέρη λόγου· τὸ μὴ ἀπαγορεύσεως, τό τε σύνδεσμος, καὶ τὸ ἑνὸς ὄνομα, ἀπὸ τοῦ εἷς ἑνός.

---

1) Ab initio Μὴ παραδ. 2) Il. IV, 404. 3) Ps. LXVIII, 16. 4) Il. XXII, 123. 124.

οἷον, μήτε ἑνὸς, καὶ κατὰ συγκοπὴν μήθ' ἑνὸς, τροπῇ τοῦ τ εἰς θ.

Μήλιον, τὸ δῶρον, ὅθεν καὶ κειμήλιον.

Μῆκος, παρὰ τὴν μὴ ἀπαγόρευσιν, καὶ τὸ γῆ, ἦγος καὶ μῆγος, καὶ ἐξ αὐτοῦ μῆκος, τὸ πολὺν γῆν ἔχον· ἢ παρὰ τὸ ἥκω, τὸ ἔρχομαι, ἦκος καὶ μῆκος· τὸ τοῖς ἐν αὐτῷ ἐρχομένοις κόπους παρέχειν.

Μῆλα, εἰς τὸ μέλισσα.

Μηκάδας, ἤτοι μηκωμένας ἀπὸ τῆς φωνῆς· μήκη γὰρ λέγεται ἡ τῶν αἰγῶν φωνή· ἢ ἀπὸ τοῦ ἐπὶ τὰ μήκη κίειν, ὅ ἐστι πορεύεσθαι.

Μήκωνος, μάκων, μήκων· ἔστι δὲ ἡ παπαρίνα, ἡ δὲ ταύτης κεφαλὴ κώδεια, καὶ κωδία λέγεται.

Μῆλα, τὰ πρόβατα, ἀπὸ τοῦ μεμαλλῶσθαι. ὁ δὲ καρπὸς κατ' ἐξοχὴν, πᾶς γὰρ οὕτως ἐλέγετο· πολλὰ δ' ὅγε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ, αὐτῇσιν ῥίζῃσι, καὶ αὐτοῖς ἄνθεσι μήλων [1]· ἀντεστραμμένως δὲ εἴρηται· ἔδει γὰρ εἰπεῖν ἀνθέων μήλοις.

Μῆλον, ὀπώρα, παρὰ τὸ μηλαθρῶ, ὃ σημαίνει τὸ βάπτω· ὥριμον γὰρ ῥούσιόν ἐστι.

Μῆλον, τὸ πρόβατον, ὅθεν καὶ μηλωτή· δηλοῦσιν οἱ Δωριεῖς διὰ τοῦ α.

Μήλη ἰατρική, δι' ἧς ψηλαφᾶται τὰ πονούμενα· μηλοῦν γὰρ τὸ ψηλαφᾶν λέγεται· καὶ μήλωα θεαταί, πορφύρα βάμματα.

Μηλωτὴ, γίνεται παρὰ τὸ μῆλον, ὃ σημαίνει τὸ πρόβατον· τοῦτο παρὰ τὴν ἐπιμέλειαν ἥντινα εἰς αὐτὰ ποιούμεθα· ἢ παρὰ τὸ μαλλόν· τὸ λω μέγα διάτι; τὰ διὰ τοῦ ωτη. . . .

Μηλωτὴ, δέρμα, δορὰ προβάτου· μῆλα γὰρ παρὰ τῶν Ἰώνων τὰ πρόβατα λέγονται.

Μὴν γὰρ παρὰ τὸ μήνη, ὃ σημαίνει τὴν σελήνην, δι' αὐτῆς γὰρ τελειοῦται ὁ μήν. ἢ παρὰ τὸ μεῖον τὸ μικρὸν, γίνεται μείην καὶ κατὰ συγκοπὴν μὴν, ἡ εἰς ἄκρον ἐλάττωσις, καὶ ἀποτερμάτωσις τῆς σελήνης. καὶ εἰς τὸ ἦμην.

Μήνη, ἡ σελήνη, ἀπὸ τοῦ μὴ μένειν ἐν ταὐτῷ, ἀλλὰ ποτὲ μὲν μειοῦσθαι ποτὲ δὲ αὐξάνεσθαι, ὡς ἐκλείπειν· ἢ παρὰ τὸ ἐλαττοῦσθαι. ἐξ οὗ καὶ σκοτομήνη· καὶ εἰς τὸ μήν.

Μῆνιξ, ὁ μυελὸς τῆς κεφαλῆς.

Μήνιγγες, παρὰ τὸ μένειν ἐν αὐταῖς τον ἐγκέφαλον.

Μηνιεῖ, ἀπὸ τοῦ μαίνω τὸ ὀργίζομαι, ὁ μέλλων μανῶ, ὁ ἀόριστος ἔμανον καὶ ἔμηνα· καὶ ἐκ τούτου μῆνις· καὶ ἐκ τοῦ μῆνις μηνίω, μηνίσω, ὁ β μέλλων μηνιῶ, τὸ τρίτον μηνιεῖ.

Μῆνις. ἔστι παρὰ τὴν ἐμμένουσαν ὀργὴν μένις καὶ κατ' ἐπέκτασιν τοῦ ε εἰς η μῆνις· ἔστι δὲ καὶ παρὰ τὴν μανίαν· καὶ εἰς τὸ θυμός.

Μῆνις, μάνις τίς ἐστι· παρὰ τὴν ὀργὴν καὶ τὴν μανίαν· ἐοίκασι γὰρ μαινομένοις οἱ ὀργιζόμενοι· ἢ παρὰ τὸ ἐμμένειν τῷ μηνιῶντι καὶ ὀργιζομένῳ· διαφέρει δὲ μῆνις χόλου καὶ ὀργῆς.

Μῆνιν, παρὰ τὸ μηνίω. μηνίσω μῆνις· ἢ παρὰ τὸ μένω ἡ ἐπίμονος ὀργή· καθάπερ μὲν ἐπὶ συκῆς πρῶτον μέν ἐστιν ὄλυνθος, εἶτα φῆλιξ, εἶτα σῦκον, εἶτα ἰσχὰς, οὕτως ὀργὴ, θυμὸς, χόλος, κότος καὶ μῆνις· ὁ μὲν οὖν ποιητὴς ὡς συνωνύμοις ὀνόμασι συγκεχυμένως αὐτὰ λέγει.

Μήνισκος, ὁ περιτραχήλιος κόσμος, ἡ μανιάκις· παρὰ τὸ κυκλοειδῆ εἶναι καὶ περιτίθεσθαι, ἢ μεταφορὰ ἀπὸ τῆς μήνης, ἤγουν τῆς σελήνης· κυκλοειδὴς γάρ ἐστί.

Μήνυμα, παρὰ τὸ μηνύω, τοῦτο παρὰ τὸ ἀνύω, ὃ σημαίνει τὸ διέρχομαι, ἄνυμα καὶ πλεονασμῷ τοῦ μ, ἐν πολλαῖς γὰρ λέξεσι πλεονάζει τὸ μ, καὶ τοῦ α εἰς η τρεπομένου, μήνυμα.

Μῆνις, παρὰ τὸ μένω, τὸ ἐπιμένω, ἡ ἐναπομένουσα ὀργή· κλίνεται δὲ μῆνις μήνιδος κοινῶς, μῆνις μήνιος αἰολικῶς.

Μήτι, διὰ τοῦ ι. ὡς ἀπὸ τοῦ νεάνις, κατὰ κρᾶσιν γίνεται νῆνις, καὶ ἐκεῖθεν νήνιος, νήνιϊ, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ι μακρὸν ἓν, νήνι, ποικίλους ἀμβάλω, οὕτω καὶ ἀπὸ τοῦ μήτις μήτιϊ καὶ κράσει τῶν δύο ιι εἰς ἓν ι μακρὸν μήτι.

Μήρινθος, ἡ σπαρτὸς, παρὰ τὸ μείρεσθαι καὶ καταῤῥεῖν ἐν τῷ κλῶσθαι αὐτὴν, ἤτοι νήθεσθαι.

Μῆρα, μήρια, κατὰ μῆρ' ἐκάη, τὸ ὁλόκληρον γὰρ ἔστι τὰ μῆρα· καὶ ὤφειλεν εἶναι κατὰ μηρὰ ὀξυτόνως· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ ἀρσενικῶν ἢ θηλυκῶν εἰς οὐδέτερα γινόμενα, μεταπλασιασμὸν τοῦ αὐτοῦ σημαινομένου, ὁμότονα καθεστήκασιν, οἷον, ἐρετμὴ ἐρετμὴν, πυρετὰ πυρὰ, χίλι' ἄρης ἐν πεδίῳ πυρα καίετο [2], αἱ οἰκεῖαι, τὰ οἰκεῖα, καὶ αἱ οἰκεῖαι καὶ τὰ οἰκεῖα ποιήσονται, ὁδῷ ἐπὶ παιπαλοέσσῃ [3], αἱ δὲ πλευραὶ τὰ πλευρά. καὶ ὤφειλεν εἶναι καὶ τοῦτο ὀξύτονον, οὐκ ἔστι δέ· ἔδειξε γὰρ ὁ τόνος τὸ πάθος· ἔστι γὰρ τὸ μηρίον καὶ τὰ μηρία τὸ πληθυντικὸν, καὶ κατὰ συγκοπὴν τὰ μῆρα· διαφέρει τὸ ἀρσενικὸν τοῦ οὐδετέρου. ὅτι τὸ ἀρσενικὸν μὲν ὁ ποιητὴς τίθησι καὶ ἐπὶ τῶν ἁγιαζομένων, ἤγουν θυομένων, καὶ ἐπὶ τῶν ἀνθρωπείων· ὡς μήρους ἐξέταμον, ἐπὶ τῶν ἀνθρωπείων, ὡς τοιοίτοι, μὲν μιάνθην αἵματι μηροί [4]· τὸ δὲ οὐδέτερον ἐπὶ τῶν ἁγιαζομένων μόνον· ὡς τὸ αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη· γίνεται παρὰ τὸ μείρω τὸ μερίζω, ἀπ' αὐτοῦ γὰρ τοῦτο μερίζεται τὸ σῶμα, μέχρι γὰρ αὐτοῦ ἕν ἐστι, ἀπ' αὐτοῦ δὲ μερίζεται.

Μηρία, γέγονε παρὰ τὸ μηρὸς, τοῦτο παρὰ τὸ μερίζω, μερὸς καὶ μηρὸς, καὶ τὸ ὑποκοριστικὸν μηρίον.

Μηρὸς, παρὰ τὸ μερὸς, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, καὶ ἐκτάσει τοῦ ε εἰς η· τὸ μη ἦτα· τὰ διὰ τοῦ ηρος ὀξύτονα ἅπαντα διὰ τοῦ η γράφεται· πλὴν τοῦ καυστειρός.

Μηρὸς, παρὰ τὸ μερίζω, ἔνθα μεμέρισθαι τὸ σῶμα καὶ τροπῇ τοῦ ε εἰς η· οὕτως Ἡρωδιανὸς ἐν τοῖς ἐπιμερισμοῖς.

Μηριόνης, ὁ διὰ τῶν μηρῶν τὴν ὄνησιν αὐτῷ ἐμποιῶν· ταχὺς γὰρ ἦν καὶ μόλος, ἀπὸ τοῦ μολίσκειν.

Μηρυκισμὸς, ἐκ τοῦ μηρυκίζω, τοῦτο ἐκ τοῦ μηρύκω, μηρύκειν γὰρ λέγεται τὸ ἐκ βάθους ἀρύεσθαι τὴν τροφὴν καὶ εἰς μικρὰ κόπτειν· τοῦτο παρὰ τὸ μηρίω τὸ ἀναλέγομαι, τοῦτο παρὰ τὸ μερὸς· μερυχ' . . τὸ εἰς μικρὰ κοπτόμενον.

Μήρυγμα, ἀπὸ τοῦ τῆς ὑποστατικωτέρας ὑπάρξεως εἰς μεῖον καὶ ἔλαττον ἕλκεσθαι, οἱ δὲ μόρημα, ἐπεὶ διὰ πόνου ἐργάζεται· μορεῖν γὰρ τὸ πονεῖν, ὅθεν καὶ μόρτοι οἱ ἄνθρωποι.

Μήστορα, τὸ κύριον διὰ τοῦ ο, Μήστορα τ' ἀντίθεον·

---

[1] Il. IX, 537. 38. [2] Il. VIII, 562. [3] Il. XII, 168. [4] μὲν. L. Μενελάε. Il. IV, 146.

τὸ δὲ σημαῖνον τὸν ἔμπειρον τῆς μάχης διὰ τοῦ ω, ἀποστερὰς αὐτῆς.

Μητρύνθιον, μητράγριον.

Μήτειρα, σημαίνει δὲ τὴν μητέρα· διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ ειρα θηλυκὰ, διὰ τῆς ει διφθόγγου γράφεται· τὸ κάειρα καὶ ἄειρα καὶ ἀμφίβολ'.

Μήτηρ. παρὰ τὸ μὴ τηρεῖσθαι· αἱ γὰρ γυναῖκες πρὶν γένωνται μητέρες φυλάττονται πρὸς τὸ μὴ λυμανθῆναι τὴν αὐτῶν παρθενίαν· ἡνίκα δὲ γένωνται μητέρες οὐ τηροῦνται.

Μητραλοίας καὶ μητρολῴας, ὁ τὴν μητέρα τύπτων.

Μήτηρ, τινὲς ἀπὸ τοῦ μαστεύσθαι· τινὲς, ὅτι μέθηκε τὸ βρέφος ἐν τῇ κυήσει· τινὲς ἀπὸ τῆς μήτρας· αὐτὴ δὲ ἡ μήτρα μήστειρα καλεῖται, καὶ ἔρα ἀπὸ τοῦ ὑγραίνεσθαι ἀπὸ τοῦ θοροῦ· καθὸ καὶ οἱ ὠσιαγενεῖς, φύσεως ἐργαστήριον αὐτὴν εἶπον.

Μίλαξ, διὰ τοῦ ι, τὰ εἰς αξ λήγοντα, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, οἷον, Φαῖαξ, αὖλαξ, θώραξ. κλίμαξ, θρίδαξ, πλὴν τοῦ λεῖαξ ὃ σημαίνει τὸν λειμῶνα, καὶ τὸ μεῖραξ· ἰστέον δὲ ὅτι τὸ μίλαξ εἶδος βοτάνης ἐστὶν, ἥτις λέγεται καὶ ἡ μίλος· ἐξ οὗ καὶ μίλιον χρῶμα διὰ τοῦ ι γράφεται.

Μητίετα Ζεὺς, τὸ μῆτις γέγονεν ἐκ τοῦ μήδω. τὸ σημαῖνον τὸ βουλεύομαι, ὅθεν καὶ μέδοντες οἱ βασιλεῖς λέγονται, οὓς εὐβουλίας δεῖ, ὅθεν καὶ βουληφόροι λέγονται· οὗ ὁ μέλλων μήσω ῥῆμα, καὶ ὄνομα μῆσις, καὶ μεταθέσει τοῦ σ εἰς τ μῆτις, καὶ ἐν συνθέσει ἀγκυλομήτις· ἀπὸ δὲ τοῦ μήδω ἐγένετο τὸ μῆδος ὄνομα, ὅθεν καὶ μήδεα πυκνά· καὶ ἀπὸ τούτου ἐγένετο μητιόεις, ὄνομα ἀρσενικὸν, οὐδέτερον μητιόεν μητιόεντος· ἰστέον ὅτι ταῦτα κατὰ ποιητικὴν ἄδειαν λέγονται, ὡς ἱππότα Νέστωρ καὶ μητίετα Ζεὺς, καὶ αὐτὰρ ὁ Θυέστα καὶ τὰ τούτοις ὅμοια· ταῦτα γὰρ καὶ μηνόπτωτά [1]) εἰσι, καὶ μετὰ ποιητικοῦ μεταπλασιασμοῦ λέγουσιν εἶναι αὐτὰ, διὸ καὶ ἄκλιτα ἔμειναν· καὶ ἄλλως· παρὰ τὸ μήδω τὸ βουλεύομαι γίνεται μητίτης καὶ κατὰ πλεονασμὸν τοῦ ε, καὶ συστολῇ τοῦ ι, γίνεται μητιέτης· ἔστι Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τῶν ὀνομάτων μετασχηματισμός· παρ' ἡμῖν οὐδὲ ἀρσενικὸν ὄνομα ἐπ' εὐθείας εἰς α λήγει.

Μαιφόνος, οἷον βιαιφόνος, καὶ τροπῇ τοῦ β εἰς μ. ὁ ἰαιφόνος ὁ ἰαινόμενος τοῦ φόνου, τουτέστιν εὐφραινόμενος.

Μήτηρ, παρὰ τὸν μῶ μήσω μέλλοντα, ὅ ἐστι φροντίσω· τὸ μη ἦτα. ἐκ τοῦ ματῶ μάτηρ καὶ μήτηρ, ὡς μάτης καὶ μήτης ὁ τῶν ἀδήλων ζητητικός.

Μητίετα, ἔστιν ἡ εὐθεῖα μητιέτης, παρὰ τὸ μῆτις τοῦτο παρὰ τὸ μήδω· ἐκ τοῦ μῆτις γίνεται μητίτης καὶ πλεονασμῷ τοῦ ε μητιέτης, ἡ αἰτιατικὴ τὸν μητιέτην, καὶ κατὰ μεταπλασμὸν μητίετα· διάτι προπαροξύνεται; αἱ γινόμεναι κατὰ μεταπλασμὸν εἰς α αἰτιατικαὶ, μὴ προηγουμένης γενικῆς ἢ δοτικῆς, διὰ τὸ ἱππότης, ἱππότου, ἱππότα, προμετεπλάσθη γὰρ [2])· πρόσκειται τὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ λιτοῦ λίτα καὶ λίτα πετάσας· τὸν μητιέτην γάρ· καὶ ἡ κλητικὴ ὦ μητίετα ὤφειλε βαρύνεσθαι· ἀλλὰ κανὼν ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ης ἰσοσύλλαβα, εἰ τὸ τ ἔχει, ποιοῦσιν εἰς α τὴν κλητικὴν, καὶ ὤφειλεν εἶναι μητιέτα ἀπὸ τῆς μητιέτης εὐθείας· ἀλλ' ἐπειδὴ ἕτερος κανὼν ἐστιν ὁ λέγων, ὅτι πᾶσα πτῶσις συνεμπίπτουσα ἑτέρᾳ πτώσει, κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὸν αὐτὸν τόνον ἐπιδέχεται· τούτου χάριν ἡ κλητικὴ τὸν αὐτὸν τόνον ἐφύλαξε τῆς αἰτιατικῆς· καὶ ἡ εὐθεῖα πάλιν τῇ αἰτιατικῇ ὡμοφώνησεν.

Μήτρα, παρὰ τὸ μήτηρ, μητέρος, μητέρα καὶ κατὰ συγκοπὴν μήτρα· σημαίνει δύο· τὴν μήτραν καὶ γράφεται διὰ τοῦ ἦτα· καὶ τὴν ζώνην καὶ γράφεται διὰ τοῦ ι. καὶ Ὅμηρος, μίτρα θ' ἣν ἐφόρει.

Μήτρα, ὡς ἀπὸ τοῦ πατὴρ πάτρα, οὕτω καὶ ἀπὸ τοῦ μήτηρ μήτρα, ὑπερβιβασμῷ τοῦ ρ, τὸ δὲ μήτηρ, παρὰ τὸ μῶ τὸ ζητῶ· ἡ μαστεύουσα τὰ πρὸς τροφὴν τοῖς κυηθεῖσι· ἢ ὅτι φυσικῶς αὐτὰ τὰ γεννηθέντα μαστεύει καὶ ζητεῖ· ῥήτρα καὶ φήτρα, ἡ μήτρα τῆς γυναικός.

Μῆχος, ἔστιν ὄνομα οὐδέτερον· τὸ μη ἦτα. λέγουσί τινες, ὅτι ἐκ τοῦ μηχανὴ γίνεται· κατὰ παρασχηματισμόν.

Μιλιαρήσιον, τὸ καὶ χρυσοῦν καὶ ἥμισυ τοῦ ἀργύρου· ἄγει οὐγκίας δέκα· καὶ εἰς τὸ ἄργυρος.

Μιλιαρήσιον ἓν, δηνάρια δύο, στρατιωτικὸν δῶρον· μίλιν γὰρ ἡ στρατεία.

Μίνως, διὰ τοῦ ἰῶτα· τινὲς γράφουσιν αὐτὸ διὰ τῆς ει διφθόγγου, παρὰ τὸ μένειν λέγοντες μένως καὶ πλεονασμῷ τοῦ ι μείνως· ἡ δὲ παράδοσις διὰ τοῦ ι αὐτὸ γράφει· ἐπειδὴ εὕρηται καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ· ἢ ὅτι παρὰ τὸ μίμνω γέγονε μίμνως καὶ Μίνως· καίπερ διὰ τοῦ ι γράφεται· ἢ παρὰ τὸ ἶς, τὸ σημαῖνον τὴν δύναμιν, γέγονεν ἶνως, καὶ πλεονασμῷ τοῦ μ Μίνως, ὡς ἴα καὶ μία· ἐκ τοῦ Μίνως γίνεται Μινώταυρος ὄνομα κύριον.

Μία, ὄνομα θηλυκὸν, γίνεται παρὰ τὸ ἴα μία· ζήτει τὰ λοιπὰ εἰς τὸ εἷς.

Μιγέντα ἐκ τοῦ μίγω· τὸ μι ἰῶτα διάτι; τὰ διὰ τοῦ ηγω ῥήματα, εἴτε δισύλλαβα εἴτε ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε προπερισπώμενα διὰ τοῦ η γράφεται, οἷον, τμήγω τὸ διαχωρίζω, θήγω τὸ ἀκονῶ, ἀρήγω τὸ βοηθῶ, περισπώμενα δὲ, ξυληγῶ, στρατηγῶ. ὁδηγῶ· πλὴν τοῦ πνίγω, μίγω, λέγεται καὶ μίσγω καὶ θίγω τὸ προσεγγίζω καὶ τὸ σιγῶ· σεσημείωται καὶ τὸ ἐπείγω, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται.

Μικρὸς, παρὰ τὸ μεῖον, ὃ σημαίνει τὸ ἔλαττον· τοῦτο γὰρ κατὰ διάλυσιν τοῦ ι καὶ ἔκτασιν τοῦ ε εἰς η, μήϊον καὶ ἐκεῖθεν μήϊκρον καὶ μικρὸν κατὰ συγκοπήν· τὸν μικρὸν δὲ ἄνθρωπον εἰώθασι νάνον καλεῖν.

Μικρὸς, διὰ τοῦ ι γράφεται κανόνι τοιούτῳ· τὰ εἰς ρος καθαρὰ δισύλλαβα εἴτε κύρια εἴτε μὴ κύρια, ἀποστρέφει τὴν διὰ τῆς ει διφθόγγου γραφήν.

Μιμαλῶνες, γυναῖκες, παρὰ τὸ μιμεῖσθαι ἄνδρας· ἤτοι διὰ Μακεδονικὴν ἱστορίαν ἥτις κεῖται ἐν τοῖς Καλλιμάχου· καὶ εἰς τὸ Ἄπολλον.

Μιμηλὸν, ζῶον, ὅμοιον ἐξ ὁμοιοῦντα, παρὰ τὸ μιμεῖσθαι, ὃ καὶ μιμηλὸς, ἄνθρωπος ὁ μίμης· τὸ μι ι διάτι; ἐκ τοῦ μῖμος μιμῶ καὶ μιμηλῶ τὸ μιμοῦμαι ὁμοιάζω· ἐξ οὗ καὶ μίμος, ὁ μιμούμενος· καὶ εἰς τὸ ὅμοιος.

Μὶν, ἀντωνυμία δοτικὴ, τρίτου προσώπου πρωτοτύπου, ἐγὼ σὺ, ἶ, τοῦτο γὰρ τὸ ἶ, ὡς τρίτον βραχυνόμενον πρόσωπον ἐφελκύσατο τὸ ν, ἔτυψε ἔτυψεν, καὶ πλεονασμῷ τοῦ μ μίν· ὡς ἴα μία, χεράδιον χερμάδιον· τὸ δὲ μὶν τρία σημαίνει γένη, αὐτὸν, αὐτὴν, αὐτό.

---

1) L. μονοπτ. 2) cf. Etym. M. v. μῆτις.

Μίνθη, ἣν τινες ἡδύοσμον καλοῦσι· ἔτι δὲ καλάμινθος, ἄγριον ἡδύοσμον, ὅπερ λυπουμένη ἡ Δημήτηρ ἰδοῦσα, ἰδοῦσα, ἐμίσησε καὶ ἄκαρπον ἐποίησεν, Ὀρφεύς, τὸ πρὶν ἐὸν μέγα δένδρον ἐπὶ χθονὶ, καὶ φέρε καρπόν· μήποτ' οὖν ἡμεῖς μίνθον κατ' ἀντίφρασιν τὴν δυσωδίαν καλοῦμεν.

Μίξις, ὥσπερ ἀπὸ τοῦ σώσω, σωσίας, καὶ λέξω λεξίας, οὕτω καὶ μίξω μιξίας, καὶ μίξις.

Μίξις, διὰ τοῦ ἰῶτα· ὥσπερ παρὰ τὸν πράξω μέλλοντα γίνεται πράξις, οὕτω καὶ παρὰ τὸ μίξω μίξις· τὸ δὲ μίσγω διὰ τοῦ ἰῶτα, ἐπειδὴ μέμισγά ἐστιν ὁ μέσος παρακείμενος· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, μεῖγα εἶχεν εἶναι· ἐὰν γὰρ εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι τὸ ε ἢ μόνον, ἢ μετὰ τοῦ ι, τότε εἰς ο αὐτὸ τρέπει, ὁ μέσος παρακείμενος. οἷον, πείσω πέποιθα, λείψω λέλοιπα, λέγω λέλογα.

Μισγάγκεια, σημαίνει κοῖλον τόπον, ὡς ὃν καταφερόμενα τὰ ὕδατα τῶν ὀρῶν μίσγονται· γράφεται δὲ διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ διὰ τοῦ εια προπαροξυτόνων, οὕτως οὖν καὶ ἄγκος μίσγαγκος, μισγάγκεια· σημαίνει δὲ τὸ ἄγκος τὸν ἐξέχοντα τόπον, ἐξ οὗ καὶ τὸ ἀγκών.

Μισητὴ καὶ μισήτη διαφέρει· ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μία, καθὼς καὶ ἐν τῇ συνηθείᾳ. εἰ δὲ βαρυτονήσωμεν τὴν κατωφερῆ πρὸς συνουσίαν.

Μισθαρνῖα, παρὰ τὸ μισθὸς καὶ τὸ ἀρνῶ, τὸ ἀντικαταλλάσσομαι, ἐξ οὗ καὶ κατὰ παραγωγὴν ἀρνύω καὶ ἄρνυμαι καὶ ἀρνύμενος· τὸ δὲ ἀρνῶ παρὰ τὸ ἀρνός· οἱ γὰρ ἀρχαῖοι τὰς ἀμοιβὰς διὰ τῶν ἀρνῶν ἐποιοῦντο· τὸ δὲ ἀρνός· παρὰ τὸ ἄρην, ὃ σημαίνει τὸ πρόβατον ῥῆν κατὰ συγκοπὴν, καὶ μεταθέσει ἀρνός· τὸ δὲ ἀρὴν παρὰ τὸ ἄρα, ὃ σημαίνει τὴν εὐχὴν, τὰς γὰρ εὐχὰς οἱ ἀρχαῖοι διὰ τῶν ἀρνῶν ἐποιοῦντο.

Μισθὸς, οἱονεὶ πιστὸς, ὁ πείθων τινὰ ὑπηρετεῖν· ἢ παρὰ τὸ μῖσος ὠθεῖν· ἢ παρὰ τὸ πείθω· ἢ παρὰ τὸ μῶ τὸ ζητῶ καὶ τὸ θὴς, ὃ σημαίνει τὸν δοῦλον, πρὸς ὃν ἀναβλέπει ὁ δουλεύων.

Μίστυλλον, παρατατικὸς τρίτου προσώπου τῶν πληθυντικῶν τῶν εἰς ω· τὸ θέμα μιστύλλω, σημαίνει τὸ εἰς μικρὰ κατακόπτω· γέγονε δὲ παρὰ τὸ μεῖον τὸ μικρὸν, μιτύλλω καὶ πλεονασμῷ τοῦ σ μιστύλλω, ἐμίστυλλον, καὶ Ἰωνικῶς μίστυλλον.

Μνημόσυνον, ἀπὸ τοῦ μνῶ μνήσω ὄνομα ῥηματικὸν μνήμων, μνήμονος, μνημοσύνη· τὸ οὐδέτερον μνημόσυνον.

Μνεῖα, ἔστι μένω μενία καὶ ἐν ὑπερθέσει τοῦ ε μνέία, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι, εἰς τὴν ει δίφθογγον μνεῖα· μνεῖα δέ ἐστιν ἔν τινι οὖσα, οἱονεὶ ἐγκειμένη.

Μνήμη, μενήμη, ἀπὸ τοῦ μένειν ἐν ἡμῖν αὐτήν· Ἀλκμὰν δὲ φασὶ δόρκον αὐτὴν καλεῖ· βλέπομεν γὰρ τῇ διανοίᾳ τὰ ἀρχαῖα.

Μνήμη καὶ μνεῖα διαφέρει, μνήμη μὲν γὰρ ἐστιν ἡ τῷ μνημονικῷ ἀεὶ συνοῦσα καὶ συνοικοῦσα, μνεῖα δὲ προγεγονότος τινὸς ὑπόμνησις· ὅπου γὰρ μνεῖα ἐκεῖ καὶ μνήμη· ὅπου δὲ μνήμη οὐ πάντως καὶ μνεῖα· ἔστι γοῦν μνήμη γενικὴ τύπωσις, μνεῖα λόγος κατὰ ἀνανέωσιν λεγόμενος.

Μνήσαντο, μνήμην ἐποιοῦντο τοῦ πολέμου καὶ τῆς χάρμης· χάρμη δὲ ἡ μάχη, ἤτοι κατὰ ἐναντιότητα, ἢ χαρὰν ἐμποιοῦσα τοῖς νικῶσι.

Μνήματα, οἱ τάφοι.

Μνηστεύου σαυτὸν, μνηστεύεσθαι δὲ ἑτέρῳ.

Μνᾶ, τινὲς μὲν τρία νομίσματα ταῦτα φασὶ εἶναι· ἔνιοι δὲ ἐτυμολογοῦντες μίαν τινὰ αὐτὴν εἶναι· κατὰ μίαν οὖν μνᾶ.

Μνᾶ ἔχει οὐγκίας κ. ἄλλοι δὲ ἑξηκοστίας.

Μνάσις, κατὰ μέδιμνον· οἶμαι δὲ ἐκ Ῥωμαϊκῆς γλώσσης παρήχθησαν· τὸ γὰρ μεδιοὺμ μέσον ἑρμηνεύεται ἐν αὐτῇ τῇ γλώσσῃ· μνάσις τοίνυν παρὰ Κυπρίοις μετρεῖται, καὶ παρ' ἄλλοις ἔθνεσιν· εἰσὶ δὲ καὶ μόδιοι σίτου ι, ἢ κριθῆς· ἔστι δὲ παρὰ Κυπρίοις μοδον· μέδιμνος δὲ παρ' αὐτοῖς τοῖς Κυπρίοις διάφορος· τὸν γὰρ μέδιμνον Σαλαμίνιοι ἢ Κωνστάντινοι κε μοδίων ἔχουσι· Πάφιοι δὲ καὶ Σικελοὶ τέταρτον ἥμισυ μοδ' αὐτὸν μετροῦσι· καὶ εἰς τὸ σάτον.

Μόδιος, παρ' Ἑβραίοις μώβηλ λέγεται, ὃ ἔστι κ.β ξεστων· Ἕλληνες δὲ τὸ αὐτὸ ἑρμηνεύοντες μόδιον· φασὶ καὶ Αἰγύπτιοι καὶ Σύροι καὶ Ἄραβες· καὶ εἰς τὸ σάτον.

Μνήστωρ, ἐκ τοῦ μένειν στεῤῥῶς.

Μνηστὴρ μνηστῆς διαφέρει· καὶ κλίνεται μνηστὴρ μνηστῆρος, μνηστὴ δὲ ἡ γυνὴ καὶ κλίνεται μνηστῆς· ἰστέον ὅτι, ὁ λαμβάνων γυναῖκα πρῶτον λέγεται μνηστὴρ, εἶτα νυμφίος, εἶτα ἀνήρ· ἡ δὲ γυνὴ πρῶτον παρθένος, εἶτα μνηστὴ, εἶτα νύμφη, εἶτα γυνὴ, κἂν τὸ κυοφορούμενον βαστάζει· ἐὰν [1]) γὰρ οὖν προέλθῃ μήτηρ οὐ λέγεται· τὸ δὲ γεννώμενον πρῶτον μὲν λέγεται σπέρμα, ἔπειτα ἔμβρυον καὶ ὅταν γεννήθῃ υἱός.

Μνῶ, εἰς τὸ μνύω μνῶ, τὸ ἐπιμνήσκω· καὶ μνῶ τὸ σφίγγω.

Μόγος, κάματος, παρὰ τὸ μέγα, ἐν γὰρ τοῖς μεγάλοις πράγμασι κοπιῶμεν· καὶ εἰς τὸ λόγος καὶ μόχθος.

Μοθωνία, ἀλαζωνεία τις τοῦ σώματος κινητική· ὅθεν καὶ μόθος καὶ μόθων ὁ ταρακτικός· Ὅμηρος, οἶδα δ' ἐπαΐξαι μόθων ἵππων ὠκειάων.

Μοῖραν, ἀντὶ τοῦ μεμερίσθαι καὶ κατανεμεῖσθαι τινὰ ἡμῶν ἑκάστῳ· καὶ εἰς τὸ ηὐμοίρησε.

Μοιρηγενὴς, γίνεται ἐκ τοῦ μοῖρα, ὃ σημαίνει τὴν εὐτύχησιν· καὶ Ἰωνικῶς μοίρη· καὶ τὸ μοιραγενὴς, οἱονεὶ ἐπὶ εὐτυχίας γεγενημένη.

Μοιχὸς, σημαίνει δύο· τὸν ἐνδότατον τόπον, καὶ γράφεται διὰ τοῦ υ ψιλοῦ· γίνεται δὲ παρὰ τὸ νὺξ νυχὸς κατὰ τροπὴν τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον μυχὸς, ὁ ἐνδότατος καὶ σκοτεινὸς τόπος, παρὰ τὸ μεμυκέναι. ἤγουν κόλπος τις ὤν, οἱονεὶ σκοτεινός [2])· ἢ ἐκ τοῦ μύω τὸ καμμύω, οὗ τὰ ἐνδότερα φωτὸς ἐστέρηνται· μοῖχος δὲ ὁ πόρνος, τὸ μοι διφθόγγῳ, καὶ γίνεται παρὰ τὴν μὴ ἀπαγόρευσιν, καὶ τὸ οἴχω τὸ πορεύομαι, ὁ μέσος παρακείμενος οἶκα, καὶ ἐξ αὐτοῦ μετὰ τῆς μὴ ἀπαγορεύσεως μηοικὸς καὶ κατὰ συγκοπὴν μοικὸς, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺν μοιχὸς, ὁ τὰ μὴ ἐοικότα πράττων· ἢ παρὰ τὴν μὴ ἀπαγόρευσιν, καὶ τὸ οἴχω τὸ πορεύομαι· ἐπιτηρεῖ γὰρ μὴ οἴχεται ὁ ἀνὴρ τῆς γυναικός· ἢ παρὰ τὸ μίασμα ἔχεσθαι.

---

1) F. ἕως ἄν. 2) Μοιχὸς — σκοτεινός. Exacte haec conveniunt cum Etymolog. MSc. Ultraj. v. Eschenb. ad Orph. Argon. 84.

Μοῖρα, ἡ μεμερισμένη ἑκάστῳ καὶ δίαις καὶ δαΐς καὶ ἐκίεουσα, ἀφαίρισται γὰρ καὶ δαίμων.

Μοιχὸς, ἀπὸ τοῦ εἰς μυχοὺς καταβαίνειν· ὁ δ' εὐκήλας μυχῷ Ἄργεος ἵπποι [1]· ἔτι οὐχ ὡς τινὲς μαίοιχος ὁ μαιόμενος καὶ ζητῶν, πότε ἀπῆλθεν ὁ ἀνὴρ, ὡς ὁ ποιητής· δεῦρο, φίλη, λέκτρονδε τραπείομεν εὐνηθέντε, οὐ γὰρ ἔθ' Ἥφαιστος καταδήμιος, ἀλλά που ἤδη οἴχεται εἰς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους [2]) οἱ δὲ ὁ ἐν τῷ μυχῷ ὀχεύων, ὡς Διόνυσος φησίν.

Μολόχη, διὰ τὸ μάλα χέειν τὸν χυμόν.

Μολπὴ, εἰς τὸ μέλπω.

Μόλυσμα, ἔστι μολύνω, μολυνῶ, μεμόλυκα. μεμόλυμμαι, τροπῇ τοῦ μ εἰς σ μεμόλυσμαι· ἐξ αὐτοῦ μολυσμὸς καὶ τὸ μόλυσμα.

Μολῶ, τὸ παραγίνομαι· ἢ παρὰ τὸ μέλω τὸ φροντίζω γίνεται μολῶ· ἢ παρὰ τὸ πονῶ πολῶ, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, καὶ τροπῇ τοῦ π εἰς μ μολῶ· εἰς ὃν γάρ τις τόπον οἰκεῖ, ἐκεῖ καὶ μολεῖ.

Μονὰς, λέγεται παρὰ τὸ μένειν ἐφ' ὃν ἂν γένηται ἀριθμόν.

Μόλιβδος, παρὰ τὸ μολεῖν εἰς βάθος· μετὰ τούτου γὰρ βολίζειν λέγεται τὸ πέλαγος.

Μολοβρὸς, ὁ ἀλήτης, ὁ ἐπαίτης, ὁ γαστρίμαργος, ὁ μολίσκων ἐπὶ τὴν βοράν· ὁ ἀκόρεστος τροφῆς· παρὰ τὸ τάχιστα πληροῦσθαι τὴν ἐπιθυμίαν.

Μονονουχὶ, ἐπίρρημα συγκριτικόν· σημαίνει δὲ τὸ σχεδόν, ἢ τὸ ἐγγὺς καὶ ἔστι τοπικόν.

Μοναχός ἐστιν ὁ μόνῳ τῷ θεῷ εὐχόμενος ἐν πάντι καιρῷ καὶ τόπῳ καὶ πράγματι. μοναχός ἐστιν ἔμψυχος νεκρὸς, καὶ σιωπῶν τῷ βίῳ.

Μονιὸς, σημαίνει τὴν ἄρκτον· γέγονε δὲ ἀπὸ τοῦ μόνος μονιὸς, ἡ γὰρ ἄρκτος οὐ προσκολλᾶται ἑτέρῳ τινί· καταχρηστικῶς δὲ σημαίνει τὸν δαίμονα.

Μονοκερώτων, ἐκ τοῦ μόνος καὶ τοῦ κείρω, τὸ κόπτω, γίνεται κέρας καὶ κλίνεται· κέρατος καὶ τὸ Ἰωνικὸν κέραος καὶ Ἀττικῶς κέρως· καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ κλίνεται κέρωτος· ἡ γενικὴ τῶν πληθυντικῶν τῶν μονοκερώτων.

Μονογενὴς, ὁ μόνος γεννώμενος· ἢ διὰ τὸ μόνος τῷ γένει ὤν.

Μόνος καὶ μοναχὸς διαφέρει· μοναχὸς μὲν εἴρηται, παρὰ τὸ μόνος τῷ θεῷ εὔχεσθαι· ἢ παρὰ τὸ μόνος ἔχη ἔχειν, μόνος δὲ ἁπλῶς ὁ μεμονωμένος.

Μόνος, παρὰ τὸ μὴ μετὰ ἑτέρου εἶναι· ἐτυμολογεῖται δὲ παρὰ τὸ μένω. μένος καὶ μόνος.

Μορμολυκεῖον. τὸ ἐκφοβοῦν, παρὰ τὸ μορμώ. ἔστι δὲ ὄνομα γυναικός· μεταφορικῶς οὖν ἐκ ταύτης τὰ πρὸς κατάπληξιν ἐκτυπωθέντα προσωπεῖα, ἐκάλεσαν μορμολυκεῖα.

Μορφὴ, ἰδέα, παρὰ τὸ μείρω τὸ μερίζω, γίνεται μορὴ καὶ πλεονασμῷ τοῦ φ μορφή· ἢ παρὰ τὸ μαρμαίρω τὸ λάμπω· τὸ μορ μικρόν· τὰ ἔχοντα τὸ ε, ἐγκείμενον ἐν τοῖς ῥήμασι· τί διαφέρει μορφὴ καὶ σχῆμα; διαφέρει, μορφὴ μὲν λέγεται ἐπὶ τῶν ἐμψύχων, σχῆμα δὲ ἐπὶ τῶν ἀψύχων· καὶ σχῆμα ἔστιν ἡ παντὸς ὄγκου ἀποπεράτωσις· ἡ γὰρ μορφὴ πάντα μερίζει.

Μόρος, παρὰ τὸ μείρω τὸ μερίζω, ὁ μεμερισμένος ἑκάστῳ, ὡς σπείρω σπόρος· σημαίνει δὲ τέσσαρα· τὸν θάνατον τὴν κακοπάθειαν, καὶ τὸν κόπον καὶ τὴν μωρίαν.

Μόσχος, σημαίνει τρία· τὸ μοσχάριον, καὶ τὸν ἀρωματικὸν μόσχον· σημαίνει καὶ τὸ ἱμαντῶδες φυτόν· καὶ εἰ μὲν σημαίνει τὸ μοσχάριον, γίνεται παρὰ τὸ τῇ μήτρι κράζειν, μῶ μᾶ· ἢ παρὰ τὴν μητέρα ὀσμᾶσθαι· εἰ δὲ σημαίνει τὸν ἀρωματικὸν μόσχον, παρὰ τὸ μέσον κεῖσθαι· εἰ δὲ τὸ ἱμαντῶδες φυτόν [3]). . . .

Μόσχος, παρὰ τὸ μῶ, τὸ σημαῖνον τὸ ζητῶ, ὁ τοῖς πᾶσι ζητούμενος· ἢ ἀπὸ τοῦ ὄζω γίνεται ὄσχος, καὶ πλεονασμῷ τοῦ μ μόσχος· ἢ κατὰ στέρησιν τῆς δυσωδίας ἀπὸ τοῦ ὄζω ὄσχος καὶ μόσχος· δύο γὰρ σημαίνει τὸ ὄζω.

Μοχλὸς, μὴ ὀχλός τίς ἐστι, ὁ μὴ ἐῶν ὀχλεῖσθαι τὴν θύραν, ὡς καὶ Ὅμηρος, ἀπ' οὔδεος ὀχλίσσειαν [4]), καὶ ὄχλος ἀπὸ τοῦ κινεῖσθαι ἄκοντας ἀπ' ἀλλήλων.

Μοῦσα, γνῶσις, παίδευσις, θεωρία, ᾠδὴ, μορφὴ καὶ ὄνομα κύριον· ἄμουσον, ἀπαίδευτον· καὶ ἀμουσία.

Μουσικὰ, τερπνὰ, τὰ δι' αὐλῶν καὶ κινύρας· καὶ τὰ τούτοις ὅμοια.

Μόριον, τὸ ἐπὶ τοῦ αἰδοίου, κατ' ἐξοχὴν δὲ τῶν ἄλλων μορίων ἐπειδὴ γενέσεώς ἐστιν ὄργανον.

Μορία, ἡ ἐλαία· οἱ μὲν πᾶσαν ἐλαίαν οὕτω καλοῦσιν· οἱ δὲ τὰς ἱερὰς τῇ θεῷ· ἐκλήθη δὲ μορία, ὅτι δημοσίαν μοῖραν ἐκ τῶν παρθένων ἐλάμβανον· ζητ δὲ ὁ μινθάδιος [5]), ὅτι τὸ βρύον τῶν ἐλαιῶν ἐκαλεῖτο μόριον· ἔνθα αἱ ἀνθοῦσαι ἐλαῖαι μέραι· τινὲς δὲ φασὶ, διὰ τὸν ταλλιρόθου μῦθον, ὃν ἑαυτὸν ἀνεῖλε πελέκει, βιασάμενον αὐτοῦ τὴν θυγατέρα ἀναλκίππην, εἰς τὸ ἐλαίας μόρια ἐκλήθη [6]).

Μοτάριον, ἔστι βῶ, βίβημι, βέβαμαι, βέβασαι, βέβαται καὶ ἐξ αὐτοῦ βατὸς, καὶ τροπῇ τοῦ β εἰς μ καὶ τοῦ α εἰς ο, μοτὸς μοτοῦ· καὶ μοτῶ ῥῆμα μοτώσω, τρίτης συζυγίας τῶν περισπωμένων· καὶ ἐξ αὐτοῦ μοτάριον.

Μοτὸν, τὸ εἰς ἀναπλήρωσιν σαρκὸς τιθέμενον· ἔνθεν καὶ ὁμολυτός· οἷον, ὁ πεπληρωμένος σαρκός.

Μότωσις, παρὰ τὸ βῶ, βήσω, βέβηκα, βέβημαι, βέβαται βατὸς καὶ τροπῇ τοῦ β εἰς μ, ματὸς καὶ ἐξ αὐτοῦ περισπώμενον ῥῆμα ματῶ, μάτωσις καὶ ματάριον.

Μοχθηρία, λέγεται ἡ κακία, ἀπὸ τοῦ μοχθηρὸν, ὃ σημαίνει τὸ κακόν· τοῦτο ἐκ τοῦ μόχθος, τοῦτο ἐκ τοῦ μόγτος, ὃ σημαίνει τὸν κόπον, τροπῇ τοῦ γ εἰς χ μόχθος.

Μυῖα, πόθεν; ἐκ τοῦ μύων· σημαίνει δὲ τὸ σαρκῶδες τῶν ὀπισθίων μέρος, τὸ συνεσφιγμένον ὑπὸ τῶν νεύρων· καὶ γίνεται παρὰ τὸ μύω, τὸ συσφίγγω, μύων, ἔνθα πάχιστος μυῶν ἀνθρώπου πέλεται, ὁ συνεσφιγμένος τόπος· καὶ ἐξ αὐτοῦ γίνεται μυῖα, ἡ σαρκώδης οὖσα καὶ παχεία. καὶ ὥσπερ ἀπὸ τοῦ ἀλύω, πλεονασμῷ τοῦ ι γίνεται ἀλυΐω σὺν τῷ ι, οἷον, ἡ δ' ἀλύουσ' ἀπεβήσατο, οὕτω καὶ τὸ μύω πλεονασμῷ τοῦ ι, καὶ ἡ γενικὴ μυάων Αἰολικῶς.

Μύδρος, ὁ πεπυρακτωμένος σίδηρος· παρὰ τὸ μύρεσθαι καὶ διαρρεῖν.

Μυδῶντα, σημαίνει τὸν ὄζοντα· ἔστι γὰρ μυδῶ καὶ γίνεται παρὰ τὸ μύειν τοὺς μυκτῆρας, ἤγουν τοὺς μυκτῆ-

---

1) Od. III, 263. 2) Od. VIII, 292 seq. 3) Reliqua omissa sunt. 4) Il. XII, 120. 5) Cf. Etym. M. 6) τινὲς δὲ — ἐκλήθη. Corruptissime.

ρας κλείειν· καὶ ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων, μυδᾶς γὰρ λέγομεν, καὶ ἡ μετοχὴ μυδάων μυδῶν.

Μυεῖται, παρὰ τὸ μύω τὸ μανθάνω τὰ ἀπόκρυφα, μύω τὸ καμμύω.

Μυελὸς, παρὰ τὸ ἐν τῷ μυχῷ εἰλῆσθαι, μυχελός τις ὤν· καὶ εἰς τὸ μεμυαλλός.

Μυελὸς, ὅτι μεμυκόσι τοῖς ὀστέοις ἐγγενᾶται.

Μυθήσασθαι, ἐκ τοῦ μυθῶ, μυθήσω, ἐμύθησα ἐμυθησάμην, μυθήσασθαι τὸ ἀπαρέμφατον.

Μῦθος σημαίνει δύο· τὸν σκοτεινὸν λόγον, παρὰ τὸ μύω, τὸ καμμύω. καὶ τὸν ἁπλοῦν λόγον, καὶ γίνεται παρὰ τὸ μυῶ μυήσω, τὸ διδάσκω, μύηθος καὶ μῦθος· τὸ μυ ψιλὸν διατί; τὰ διὰ τοῦ υθος δισύλλαβα, διὰ τοῦ υ ψιλοῦ γράφεται. οἷον, μῦθος, ζῦθος· τὸ μὲν βυθὸς τὸν τόνον ἤμειψε, τὴν δὲ γραφὴν ἐφύλαξε· βαρύνεται· τὰ εἰς ος λήγοντα καθαρὰ μονογενῆ δισύλλαβα, παραληγόμενα φύσει μακρὰ βαρύνεται, οἷον, μῦθος, κῶθος, ζῦθος· πρόσκειται μονογενῆ, διὰ τὸ στρουθός· καὶ εἰς τὸ μυστήριον.

Μῦθος, λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν.

Μύθλος, ἀπὸ τοῦ περὶ αὐτὸ μεμυκέναι τὸ ὀστέον.

Μυκτηρίζω, παρὰ τὸ μυκτήρ· τοῦτο παρὰ τὸ μύω μύσω· ἢ παρὰ τὸ ἐκμυζῶ, τὸ πιέζω. ἀφ' οὗ καὶ τὸ, αἷμ' ἐκμυζήσας [1]).

Μυκτὴρ, ἀπὸ τοῦ μεμυκέναι τὴν ὑγρὰν στάσιν.

Μυκώμεναι, βοῶσαι.

Μυκηθμὸς, ἡ τῶν βοῶν φωνή.

Μυλωθρὸς, πλεονασμῷ τοῦ ρ, οἱονεὶ ὁ τὴν μύλην ὠθῶν, μυλωθός τις ὤν.

Μύλος, διὰ τὸ μυλίζειν λίαν, ἤγουν κόπτειν· ἢ παρὰ τὸ μυελὸς, κατὰ συγκοπὴν μύλος, παρὰ τὸ μυελὸν ποιεῖν, τὰ εἰς αὐτὸν βαλλόμενα· καὶ τὸ θηλυκὸν μύλη· τοῦτο παρὰ τὸ μεῖον ὃ σημαίνει τὸ ἔλαττον· ἢ παρὰ τὸ εἰλῶ τὸ συστρέφω· ἢ παρὰ τὸ μειοῦν.

Μύλαι, τινὲς τῶν ὀδόντων, διὰ τὸ ὑπ' αὐτῶν λεαίνεσθαι, ἤτοι τρίβεσθαι τὴν τροφήν.

Μύζα, παρὰ τὸ ἀπὸ τῶν μυκτήρων ἐξέρχεσθαι.

Μύρια. τινὲς τὰ μὴ ὡρισμένα, οἱ δὲ τὰ πολλὰ, οἱ δὲ τὰς δέκα χιλιάδας· ἀπὸ τοῦ μεμυκέναι τοὺς δακτύλους ἐν τῇ ψήφῳ.

Μύρια, τὸ μυ ψιλὸν· οὐδὲν στοιχείου ὄνομα εἰς δίφθογγον λήγει· ἢ οὕτως· ὁ τεσσαρακοστὸς ἀριθμὸς ἐφ' ἑαυτὸν πολυπλασιαζόμενος γίνεται χίλια ἑξακόσια. εἶτα τὰ χίλια ἑξακόσια ἐφ' ἑαυτὰ ἑξαπλασιαζόμενα γίνεται ἐννάκις χίλια ἑξακόσια· εἶτα ἀπὸ τοῦ υ στοιχείου τὰ τετρακόσια προστεθέντα, γίνεται μύρια· δέκα χιλιάδες.

Μύρεσθαι, τὸ κλαίειν, παρὰ τὸ μύρειν, καὶ ῥεῖν τὰ δάκρυα.

Μυρίας, τὸ μυ ψιλόν· τὰ γὰρ ἀριθμητικὰ ἀπὸ στοιχείου ὄνομα ἀρχόμενα τὴν αὐτὴν τοῦ στοιχείου ἔχει γραφὴν, οἷον χ χιλίας, ει εἴκοσι, μυ μύριος· οὐ μόνος δὲ, ἀλλὰ καὶ τετρακοσιοστὸς ἀριθμὸς συγγένειαν ἔχει πρὸς τὸν τεσσαρακοστὸν ἄριθμον· ὁ γὰρ τεσσαρακοστὸς ἀριθμὸς ἐφ' ἑαυτὸν πολυπλασιαζόμενος, ποιεῖ τὸν χιλιοστὸν ἑξακοσιοστόν· ὅστις πάλιν ἑξαπλασιαζόμενος ποιεῖ τὸν θχ [2])· πρὸς ἀναπλήρωσιν τοῦ υ, ὅπερ ἐπιτεθὲν τῷ χαρακτῆρι τοῦ μ, ἀποτελεῖ στοιχεῖον ἐκφωνεῖσθαι τοῦ μ. ὅτι δὲ συγγένειαν ἔχει πρὸς ὁ γαρ δ τὸν θχ, ἐννακισχιλίας ἑξακ. ὅστις πρὸς ἀναπλήρωσιν τοῦ μυρίου τὸν λ, οὗ τινὸς ἀριθμὸς γεννητικὸς τοῦ δεκάτου ἀριθμοῦ ἐστι· γὰρ α, β, γ, δ, καὶ γίνεται δέκα.

Μῦρτα, ὁ καρπὸς τῆς μυρσίνης.

Μῦρον, τινὲς ἀπὸ τῆς Μύῤῥας οὕτως ὠνομασμέν ναικὸς, ἢ ἀπεδενδρώθη· ἢ μῦρον ἀπὸ τοῦ ἐμ σθαι τὰ ἀρώματα καὶ ἀποστάζειν ἐκεῖνα. Ὁ ποταμῶν ἀλλ μυριέντων εἰς θάλασσαν.

Μῦς, διὰ τὸ τοὺς μύσους ἐρᾶν, ἤγουν τὰς ἀκ σίας.

Μύσταξ, ἀπὸ τοῦ τὰς μυστῆρας στάζειν ἐν αὐτ ἀπὸ τοῦ μεστοῦσθαι.

Μύσταξ, αἱ τοῦ ἄνω χείλους τρίχες, ἀπὸ τοῦ ρος· ἢ μέσταξ ἀπὸ τοῦ μεστοῦσθαι τῶν τριχῶν μεστοὺς εἶναι.

Μύκηθες, οἱ σπινθῆρες, ἀπὸ τῶν μυζῶν τ χνου.

Μύστης, ἀρσενικόν. ὁ τῶν μυστηρίων εἰσηγητὴς στις δὲ θηλυκὸν, ἡ τῶν μυστηρίων κοινωνός.

Μώλωψ. Δημήτριος ὁ ποιητὴς, ἐν τῷ παρὰ τ λέκτου μώλωψ ἐτυμολογεῖται, οἷον, ἀπὸ βόος ὅ ἐστι δέρματος, οὗ οἱ ἱμάντες σκευάζονται· μ οὖν καὶ ὁ ἔλλος, ὁ νεβρὸς, καὶ οἱ ἔλλοπες οἱ ἰχ οὐκ ἀπὸ τοῦ τὴν ὄπα μὴ ἔχειν ἀλλ' ἀπὸ τοῦ τοι ἐλλιπεῖς εἶναι τοὺς ἐν λόποις· λέπις μὲν γὰρ κ πος καὶ λόπος τὸ περικείμενον τῇ σαρκὶ καλεῖται πος μὲν οὖν λέγεται τὸ ἱμάτιον κατὰ μεταφ λόπος δὲ καὶ λέπυρον καὶ λέπις, κυρίως καὶ τὴ λίδα, ἀπὸ τοῦ φολεύειν ἐν αὐτῇ.

Μυσαττόμενος, βδελλυττόμενος.

Μύστης καὶ μυσταγωγὸς διαφέρει· μυσταγωγὸς ὁ καὶ τελῶν· μύστης δὲ ὁ μύων καὶ τελούμενος.

Μῦνδος, ὁ μὴ οὐδῶν· Σοφοκλῆς μύνδος ὁ μὴ ὅθεν καὶ ἔλλοψ, ἀπὸ τοῦ ἐλλειπῆ τὴν ὄπα τὸ δὲ μυ, ὅτι μυγμόν τινα ἔχει, ἢ τούτου ἐκφ

Μυκτηρίζω, παρὰ τὸ μυκτὴρ, τοῦτο παρὰ τ μύσω, ἢ παρὰ τὸ ἐκμύζω τὸ ἐκπιέζω, ἀφ' οὗ αἷμ' ἐκμυζήσας.

Μυριοπλάσιον, ἐκ τοῦ μύριος καὶ τοῦ πλάσσω ται μυριοπλάσιον.

Μυστήρια, μυθήρια, μῦθος γὰρ ὁ λόγος· βελτί ἃ δεῖ μύσαντες τηρεῖν ἔνδον.

Μυστήριον, κατὰ τὸ μύειν κατ' αἴσθησιν νοῦ· τηρεῖν τὸ νοούμενον· κατὰ δὲ Ὧρον, ἡ διετης των πάνυ πολλῶν ἀγνοουμένων.

Μυττωτόν, τρίμμα ἐξ ἀρτυμάτων πολλῶν συντ νον· οἱ δὲ Ἀττικοὶ ἀρτυμάτιον μετὰ σκορόδων τρίμμα γενόμενον λέγουσιν· ἔνιοι δὲ πλακοῦντα δ χάνων συντιθέντες· βέλτιον δὲ τὸ διὰ σκορόδω τριμμα, ὡς εἶναι παρὰ τὸ μυσάττεσθαι τὴν δυσ μυσσωτὸν καὶ μυττωτόν.

Μυχὸς, ἀπὸ τοῦ μεμυκέσθαι· ἢ διὰ τὸ ἐπεσκοτ τὴν νύκτα· εἰς τὸ μοιχός.

Μῦ, ὅτι μεμιγμένον τινὰ ἔχει ἡ τούτου ἐκφώνησι

Μυωπιζόμενος, ἄκροις τοῖς ὀφθαλμοῖς προβλ

Μύωψ, ὁ κνύων πυκνῶς τοὺς ὀφθαλμούς.

Μῶ, εἰς τὸ μεμάσσει, καὶ μάννα, καὶ μαστος μέλω, καὶ μήτηρ, καὶ μισθὸς, καὶ μόσχος.

---

1) Il. IV, 218. 2) 9600.

Μῶλον, ἄρηον, τιν[illegible], ἀπὸ τοῦ μόλις δύνασθαι ἐκφυγεῖν, ἢ ἀπὸ [illegible] μόλις κινεῖσθαι αὐτὸν, καὶ οἱ ναυτικοὶ οἰκείω[ς] μῶλον, ἀντὶ τοῦ μόλις ἐξέρχοντα, ἀλλ' οὐ μόγις· τὸ μὲν γὰρ ἀπὸ τοῦ μόγου ἐτυμολογεῖται· οἱ δὲ μῶλον, ἢ ἀπὸ τοῦ μόλις κινεῖσθαι αὐτὸν κατὰ τὴν θάλασσαν, καὶ τοὺς ἐν πολέμῳ [illegible].

Μῶλυ, ἀντὶ σπάθιον.

Μῶλος, ἡ πολυχρόνιος μάχη· κυρίως παρὰ τὸ μὴ [illegible] ταχέως· ἢ παρὰ τὸ ὁμοῦ ὀλλύειν· ἢ παρὰ τὸ [illegible] τὸ σῶμα. ἐκ δὲ τοῦ ὀλλύω τὸ ὀλοθρεύω γίνεται· καὶ εἰς τὸ ἀμβλὺς καὶ μόλις.

Μώλωψ στίγματος διαφέρει· μώλωψ μὲν ἡ ἐκ πολέμου γενομένη πληγή· στίγμα δὲ ἡ ἀπὸ δεσμοῦ πλῆξις καὶ [illegible].

Μώλωψ, τραῦμα· ἔστιν ὄλλω τὸ συστρέφω καὶ φθείρω, ὁ μέλλων ὀλῶ, ὁ παρακείμενος ὦλκα, ὁ παθητικὸς ὦλμαι, καὶ ἐξ αὐτοῦ ὦλμος, καὶ ὑπερθέσει τοῦ μ [illegible] ἡ συστροφὴ, οἷον, μῶλον ἄρηος· καὶ ἐξ αὐτοῦ μώλωψ· ἤγουν ἡ πληγὴ, ἡ ἐκ πολέμου γενομένη· καὶ ἄλλως ζήτει εἰς τὸ ἔρωτα.

Μῶμος, παρὰ τὸ μῶ, οὗ ὁ μέλλων μώσω, δηλοῖ δὲ τὸ ζητῶ τὸ μῶμαι· μῶμος οὖν ὁ ἀεὶ ζητητικὸς, καὶ μηδὲν τῶν ἄλλων ἱκανὸν εἶναι νομίζων, ἀλλ' ἐνδεῖν τοῦ κρείττονος· ἀεὶ πᾶν ὅτι οὖν λέγεται διασύρων.

Μῶλυ, ἐκ τοῦ μῶ τὸ ζητῶ μῶλυ, βοτάνης εἶδος, παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφανίζειν τὰ φάρμακα· φασὶ δὲ [illegible] ἑλκόμενον τῆς ῥίζης τῷ τέλει θάνατον ἐπιφέρειν τῷ ἀποσπῶντι.

Μωκῶ, τὸ κατατρώγω καὶ διαμωκῶ τὸ καταγελῶ· καὶ συντάσσεται μετὰ γενικῆς.

Μωμητὰ, ψεκτὰ, κατεγνωσμένα.

Μῶμαρ, ὁ σαλός.

Μῶν ἐστὶ ἀντὶ τοῦ ἆρα· ἔστιν ἀπορηματικὸς σύνδεσμος. συνετέθη δὲ, ἀπὸ τῆς μὴ ἀπαγορεύσεως, καὶ τοῦ οὖν συνδέσμου, καὶ ἐγένετο μὴ οὖν, καὶ ἀποβολῇ τοῦ η μοῦν καὶ τροπῇ Δωρικῇ τοῦ ου εἰς ω γέγονε μῶν· καὶ περισπᾶται.

Μώνυχες, μονόνυχες.

Μωρὸς, παρὰ τὸ μὴ στερητικὸν καὶ τὸ ὤρα, οἱονεὶ ὁ μὴ ἐπιτηρῶν τὴν ὥραν· ἢ διὰ τὸ μὴ ὁρᾷν τὸ συμφέρον.

Μωρὸς, ὁ ἄνους.

Μωρὸν, τινὲς εὐφήμως μωρὸν, ἐπεὶ ἀμελέστατοι εἴσθων· οἱ δὲ ἐν τῇ συνθέσει, μωρὸς ὁ βραδὺς τὸν νοῦν· ἐπεὶ ἐν Κορίνθῳ ἦν τις παράφρων μωρὸς καλούμενος, ἀφ' οὗ οἱ Κορίνθιοι τοὺς ἀήθεις, ὡς ἐκεῖνον μωροὺς καλοῦσι.

Μωρὸς, πόθεν ἐτυμολογεῖται; μὴ ὠρός τις ὢν, ὁ μὴ βουλόμενος φροντίζειν περὶ τοῦ συνοίσοντος· ὤρα γὰρ ἡ φροντίς.

Μωϋσῆς, παρὰ τὸ μῶϋ, ὃ σημαίνει τὸ ὕδωρ Αἰγυπτιστὶ, καὶ τὸ σῆς, ὃ σημαίνει τὸ λαμβάνω, καὶ κατ' Αἰγυπτίους, ὁ ἐκ τοῦ ὕδατος ληφθείς.

Μῶς καὶ μῶϋ τὸ ὕδωρ, ἐξ οὗ καὶ Μωϋσῆς.

Μωσῆς, πόσας κλίσεις ἐπιδέχεται; τέσσαρας· Μωσῆς μωσέως, Μωσῆς μωσῆ, Μωϋσῆς μωϋσέος καὶ Μωσεὺς μωσέως, ὡς Πηλεὺς πηλέως.

Τέλος τοῦ Μ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ν ΣΤΟΙΧΕΙΟΥ.

[illegible], εἰς τὸ ὄρνεα.

Ναὶ μὰ τόδε σκῆπτρον, πλεονασμῷ τοῦ μὰ, ἤτοι ἀπο[illegible] μόριον, κατὰ Ἀττικὸν ἔθος ἐστί· ἦρκει γὰρ [illegible], καὶ τοῦτο τὸ σκῆπτρον· λέγεται καὶ ἀντὶ τοῦ [illegible], οἷον, ναὶ μὲν ἀκηδεστὸν γαίῃ ἐνὶ τὸν δὲ λιπόντας. ἢ ἀντὶ τοῦ ἐγκαλῶν· λυπούμενος τὴν αι δίφθογγον ἀπουρῶν.

Ναὶ, ἐπίῤῥημα συγκαταθέσεως· ἀπὸ τοῦ νοῦς, νοὸς, νοΐ καὶ τροπῇ τοῦ ο εἰς α καὶ ἐν συναιρέσει ναί· διότι καὶ ὀξύνεται.

Ναζαρὲτ, κάθαρσις· καὶ Ναζαραῖος ὁ καθαριστής.

Ναζιραῖος, ὁ καθαρὸς καὶ ἅγιος.

Ναὸς, παρὰ τὸ ἐν αὐτῷ ναίειν, ὅ ἐστιν οἰκεῖν, ἢ νάειν ὅ ἐστι ῥέειν, σημαίνει δὲ τὸ θυσιαστήριον· καὶ Ἀττικῶς νεώς· ναὸς δὲ βωμοῦ διαφέρει.

Ναιετωώσῃ, ἀπὸ τοῦ ναίω, ναιέτης, ναιετῶ, ὡς κυνηγῶ, κυνηγέτης, κυνηγετῶ, ναιέτης ναιετῶ ναιετᾷς, καὶ διαλύσει ναιετάω· ἔδει μὲν ναιετωούσῃ, ὡς βοαούσῃ, ἀλλ' ἔστιν ὅμοιον τοῦ ἱδρῶσαι.

Ναίουσι, καὶ ναίοιτε, εὐκτικὸν χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, δευτέρου προσώπου, τὸ ῥῆμα ναίω. τὸ ναι διφθόγγῳ, διότι ἐνεφάνη τὸ α ἐν τῷ ναός· ἐπεὶ μὲν οὖν τὸ οἰκῶ διαφέρει· ἐπὶ δὲ τοῦ πορεύομαι νέω, διὰ τοῦ ε, πρὸς ἀντιδιαστο[λὴν] ἐκείνου.

Ναίων, παρὰ τὸ ναι[ω] τὸ οἰκῶ· νέω διὰ τοῦ ε, σημαίνει δύο, τὸ πορεύομαι· νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα. καὶ νέω τὸ κολυμβῶ, αὐτὰρ ὁ χερσὶ νέων ἐπεμαίετο νέκτου· καὶ διὰ τῆς αι διφθόγγου ἔν, τὸ οἰκῶ, ἐνθάδε ναίε, Κίρκη ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα.

Νᾶμα, παρὰ τὸ νῶ, τὸ νέω, ὁ μέλλων νάσω, νᾶμα ὡς δρᾶμα.

Νᾶμα, τὸ ὕδωρ, διὰ τὸ νομὰς ἔχειν ἅμα εἰκός· ἢ ἐκ τοῦ νάουσα, ὡς προνάουσα καὶ προχέουσα.

Νάνος, παρὰ τὸ ἄνω, ὃ δηλοῖ τὸ αὐξάνω, ἄνος, καὶ μετὰ τοῦ νη στερητικοῦ νάνος, ὁ μικρὸς οὐ πίθηκος.

Νάεσσι, δέρμασι προβάτων.

Νάπη, ὁ σύνδενδρος τόπος, ὁ δίυγρος· καὶ τὸ οὐδέτερον νάπος, ἔδαφος· καὶ νάπῃ δοτική.

Νάπαι, ὑψώματα, ἀλλ' ἀπὸ τῆς ψάμμου· αὗται δὲ καὶ θῖνες λέγονται ἄμμου.

Νάπαι, δρυμοῦ φάλαγγες, κοιλάδες, παρὰ τὸ πίω ῥῆμα, μετὰ τοῦ στερητικοῦ α ἄπη, καὶ μετὰ τοῦ νη στερητικοῦ νηάπη καὶ συγκοπῇ νάπη, οἱονεὶ ἄγαν πίνουσα· αἱ γὰρ δύο στερήσεις ποιοῦσι μίαν ἐπίτασιν.

Ναῦλον, οὐδέτερον, ἐκ τοῦ ναῦς καὶ τοῦ αὐλῶ τοῦ σημαίνοντος τὸ κατοικῶ, νέαυλόν τι ὄν· καὶ ναῦλον τὸ μίσθωμα τοῦ πλοίου, ἢ ὁ μισθὸς τοῦ πλοῦ.

Ναύκληρος, σκαφηφόρος.

Νάπυ, τὸ σίνηπι, κατὰ στέρησιν τοῦ ἠπίου, διὰ τὴν δριμύτητα.

Ναζιραῖος, ἡγιασμένος, καθαρὸς, μόσχος, ἄθυξ, ἅγιος, ἐξ οὗ καὶ ναζιραῖον σχῆμα, τὸ ἀγγελικόν.

Ναύχολος, λιμὴν ἐν ᾧ αἱ ναῦς καμῶνται· ὅθεν καὶ αὐχαὶ αἱ ἄγκυραι.

Ναστὸς, ὁ πεπληρωμένος ἄρτος ἀπὸ τοῦ ναέσεσθαι ἀρτύμασί τισιν ἢ τραγήμασιν.

Νάρθηξ, παρὰ τὸ νέρθεν τοῦ ἄμβωνος εἶναι· ἔστι καὶ σκεῦος ἰατρικόν.

Ναῦς, παρὰ τὸ νέω, τὸ κολυμβῶ· ἢ διὰ τὸ ἐν τοῖς νάμασιν ἵεσθαι, ἤγουν φέρεσθαι· ναῦς καὶ γραῦς, ὁ κανών· δύο μόνα εἰσὶν εἰς αυς θηλικὰ, ναῦς καὶ γραῦς· κέκλινται δὲ ἀμφότερα, διὰ καθαροῦ τοῦ ος, νηὸς, γραός.

Ναύτης, ὁ ἄγων τὴν ναῦν· ἢ διὰ τὸ τὰ νάματα τέμνειν· ἢ διὰ τὸ τὰ νάματα τείνειν· ἤγουν ἐλαύνειν.

Ναῦφιν ἀμυνόμενοι, ἀντὶ τοῦ ἐκ τῶν νεῶν ἀποσοβοῦντες.

Νάφθα παρὰ τὸ ἀνάπτω, ἀνάψω, ἀνῆμμαι, ἀνῆψαι, ἀνῆπται, νάπτα καὶ νάφθα· παρασκευαστικὸν γὰρ πρὸς τὸ ἐξάψαι.

Ναυτιλλόμενοι, οἱ πλέοντες ναῦται.

Ναῦθα, θεῖον, πίσσα ὑδατώδης.

Νεανικῶς, ἐκ τοῦ νεανίας· καὶ τὸ κτητικὸν νεανικὸς, καὶ τὸ ἐπίῤῥημα νεανικῶς· τὸ δὲ νεανίας παρὰ τὸ νέον νέανος· τοῦτο δὲ παρὰ τὸ νέος· τοῦτο δὲ παρὰ τὸ ἔω τὸ περιπαθῶ, ἢ παρὰ τὸ νέω τὸ πορεύομαι· οἱ γὰρ νέοι εὐχερῶς ὁδεύουσι.

Ναυκρατίτης. τῷ λόγῳ τοῦ μεμφίτης.

Νείατον σημαίνει τὸ ἔσχατον· διὰ τῆς ει διφθόγγου γράφεται· ὥσπερ παρὰ τὸ μέσω γίνεται μέσατον οὕτω καὶ παρὰ τὸ νέω γίνεται νέατον καὶ πλεονασμῷ τοῦ ι νείατον.

Νέηαι, ὑποτακτικὸν χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ, δευτέρου προσώπου Ἰωνικῶς· οἱ γὰρ Ἴωνες ὁμοίως τοῖς ὁριστικοῖς καὶ τὰ ὑποτακτικὰ ποιοῦσι· ἔστι νέω τὸ πορεύομαι καὶ τὸ ὑποτακτικὸν ἐὰν νέω, καὶ τὸ παθητικὸν ἐὰν νέωμαι, τὸ τρίτον ἐὰν νέηται, καὶ τὸ Ἰωνικὸν ἐὰν νέηαι· συστέλλουσι τὸ τ οἱ Ἴωνες, οἷον, ὄληαι, νέηαι.

Νεαρὸν, ὄνομα, γίνεται παρὰ τὸ νέον καὶ τὸ ἀρύω, τὸ νεωστὶ ἀρυθὲν ὕδωρ· μεταφορικῶς δὲ λέγεται ἐπὶ τῶν παίδων τῶν νεωστὶ γεννηθέντων· λέγεται δὲ πρόσφατον, τὸ νεωστὶ ἐσφαγμένον κρέας.

Νεαρὸν καὶ πρόσφατον καὶ νεαλὲς διαφέρει· νεαρὸν μὲν γάρ ἐστι τὸ νεωστὶ ὕδωρ κομισθέν· πρόσφατον δὲ κρέας, πεποίηται γὰρ παρὰ τὸ φάσαι, ὅ ἐστι φονεῦσαι, ὅθεν καὶ τὸ φάσγανον· νεαλὲς δὲ τὸ νεωστὶ ἑαλωκὸς, οἷον, ἰχθύς. δύναται δὲ καὶ τὸ ἁλσὶ νεωστὶ πεπασμένον.

Νεβρὸς, σημαίνει τὸ τῆς ἐλάφου γέννημα· παρὰ τὸ νεωστὶ πρὸς βορὰν ἰέναι· ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ βορά· ὃ σημαίνει τὴν τροφήν· τὸ ἐστερημένον τῆς βορᾶς.

Νεβρὸς, παρὰ τὸ νέον βόρον, ἢ ἄρτι ἐπὶ τὴν πόαν ἰών.

Νεβὲλ, οἴνου μέτρον, ξεστῶν ρν, ὅμοιον ὑγροῦ τρία σάτα.

Νεάζω, τὸ ἀκμάζω, τὸ τὴν γῆν ἀροτριῶν, σημαίνει ὁμοίως τὸ νεάζω, παρὰ τὸ νέω τὸ πληρῶ· καὶ γὰρ νεαζομένη ἡ γῆ, ἤτοι πληρωθεῖσα τοῦ ἐργάσαι σπείρεται.

Νέηλυς, νεήλυδος, ὁ κανών· τὰ εἰς υς σύνθετα, εἰ μὲν ἀπὸ τῶν εἰς υς ληγόντων εἰσὶ συντιθέμενα, τὴν τῶν ἁπλῶν φυλάττουσιν κλίσιν, οἷον, βραχὺς βραχέος. τρίβραχυς τριβράχεος. πῆχυς πήχεος, δεκάπηχυς δεκαπήχεος, θῆλυς θήλεος, ἰχθὺς ἰχθύος, καλλίχθυς καλλίχθυος, ὀφρὺς ὀφρύος, λευκόφρυς λευκόφρυος· εἰ μὲν ἀπὸ ῥημάτων εἰσὶ συντεθείμενα διὰ τοῦ δος κλίνονται, νέηλυς, νεήλυδος· ἔπηλυς ἐπήλυδος· ταῦτα γὰρ οὐκ ἀπὸ ἁπλῶν εἰσὶ λήγοντα καὶ εἰσὶ συντεθειμένα, ἀλλ' ἀπὸ ῥήματος τοῦ ἐλεύθω.

Νείαιρα, σημαίνει τὸ ἔσχατον μέρος τῆς γαστρὸς. παρὰ τὸ νέω τὸ σημαῖνον τὸ πορεύομαι, γέγονε νέαιρα καὶ πλεονασμῷ τοῦ ι νείαιρα· καὶ γὰρ εἰς αὐτὴν πορεύονται τὰ ἐσθιόμενα.

Νεικεέσκει. ῥῆμα τρίτου προσώπου· νεικείω, τὸ κει διφθόγγῳ. τὰ διὰ τοῦ ειω παρ' ἐνεστώτων ἢ μελλόντων παρηγμένα. ἐκ τοῦ νεικῶ τὸ παρακλήσω· ὅτε δὲ ἔστιν ἐπὶ τῆς νικῆς, δευτέρας συζυγίας ἐστὶ τῶν περισπωμένων· ὅτε δὲ τὸ φιλονεικῶ, πρώτης· καὶ ἔστιν ὁ μέλλων νεικέσω· Ὅμηρος, ὡς νείκεσεν ὁ γέρων· ὁμοίως δὲ ἐπὶ τῆς νίκης, νικήσω· ὁ παρατατικὸς ἐνείκεον, ἐνείκεες, ἐνείκεε· καὶ νείκεε συνάρχεται, καὶ νεικείεσκεν.

Νεικῶ, τὸ λοιδορῶ, διὰ τῆς ει διφθόγγου γράφεται ὅτι παρὰ τὸ νεῖκος· γίνεται παρὰ τὸ νέοις ἐοικέναι· ἡ γὰρ φιλονεικία τοῖς νέοις ἁρμόζει· ὥσπερ γὰρ παρὰ τὸ νὲ στερητικὸν καὶ τὸ κέαρ, τὸ σημαῖνον τὴν ψυχὴν, γίνεται νεκρὸς, ὁ ἐστερημένος τῆς ψυχῆς· οὕτω καὶ παρὰ τὸ νὲ καὶ τὸ εἴκειν, τὸ ὑποχωρεῖν γίνεται φιλονεικία· ἡ γὰρ φιλονεικία τοῦ ὑποχωρεῖν ἐστέρηται· εἰ γὰρ ὑποχωρήσουσιν, οὐκ ἔτι γὰρ ἡ φιλονεικία.

Νεῖλος, παρὰ τὸ νέος γέγονε νεῖλος καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, Νεῖλος· καὶ γὰρ κατ' ἔτος νέος φαίνεται πλημμυρῶν καὶ φωτίζων πᾶσαν Αἰγύπτου γῆν.

Νεῖλος, ὄνομα ποταμοῦ, παρὰ τὸ νέω τὸ πορεύομαι, νέλος καὶ κατὰ πλεονασμὸν τοῦ ι νείλος· καὶ γίνεται παρὰ τὸ νέαν ἰλὺν ἔχειν, νέιλος καὶ ἐν συναιρέσει Νεῖλος· ἢ παρὰ τὸ περιέχειν τὰς τοῦ χρόνου ἡμέρας ἐν ψήφῳ· τοῦ δὲ λείλου εἰσιν οὖν α πηλουσιακὸν, β τανικὸν, γ μενδήσιον, δ φαμητικὸν, ε σεβεννητικὸν, ϛ μολυντικὸν, ζ κανωβικὸν, τὸ νῦν ἡράκλειον καλούμενον.

Νεῖλος, παρὰ τὸ νέοις παρῆλθε, νέϊλός τις ὢν, ὁ ἀεὶ νέαν ἰλὺν ἄγων, ἐν τῇ ἀναβάσει· ὅτι κατ' ἔτος νέος φαίνεται.

Νειὸς σημαίνει τὴν ἀνανεωμένην γῆν· παρὰ τὸ νέω γέγονε νεὸς καὶ πλεονασμῷ τοῦ ι νειός.

Νείφω καὶ σημαίνει τὸ βρέχω· ἔστι γὰρ νέφος ἐξ οὗ γίνεται νόφος καὶ πλεονασμῷ τοῦ γ γνόφος· καὶ ἐκ τούτου οὖν τοῦ νέφους γίνεται νέφω, καὶ ἐν πλεονασμῷ τοῦ ι νείφω.

Νείφω, νέφος γὰρ ἦν, ἐν ᾧ φαινόμενον παρακείμενος παρ' Ἀριστοφάνη καὶ τὸ νεφέλη διδάσκει. Ἀπολλώνιος δὲ ὁ τοῦ Ἀρχιβίου καὶ τὸ νείφειν κατὰ τροπὴν ἔλεγε γεγενῆσθαι· κυρίως γὰρ φησὶ νείφειν εἴρηται τὴν τοῦ ὕδατος προσφορὰν καὶ νιφάλια θεῖν, καὶ τρέχειν εἴρηται, ὅταν ὕδωρ ἐσπένδουσι· οἱ μέντοι ἐκπέπτωκεν ἀπ' αὐτοῦ τρέχειν καὶ τὸ νιφάς [1]

Νεκάδες Ὅμηρος εἴωθε λέγειν τὰς τῶν νεκρῶν τάξεις, παρὰ τὸ τοὺς νέκυας νεκύαδας τινας οὔσας· οἱ δὲ νεώτεροι τῶν ποταμῶν [2]) τάξεις οὕτω καλοῦσι· παρὰ τὸ νεῖκος, αἱ εἰς πόλεμον ἡτοιμασμέναι ἢ ἀχώριστοι· τὸ γὰρ νὲ στερητικόν ἐστι καὶ καδεῖν χωρίσαι· καὶ Ὅμηρος· οὐκέτι νῶϊ ὀλλυμένων Δαναῶν κεκαδησό-

---

1) Corruptissime. cf. Etym. M. v. νήφω.

2) Prioribus literis erasis, haec lectio superinducta erat.

μαθ' ¹). παρὰ μὲν τοῖς ποιηταῖς αἱ ψυχαὶ νεκάδες λέγονται· ἤ τέ κε δηρὸν αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν ²).

Νέκυς, ὁ νεκρὸς, καὶ πληθυντικῶς νεκύων· εἴρηται δὲ παρὰ τὸ νεκρὸς ὁ μὴ ἔχων κέαρ ἤγουν ψυχήν.

Νεκρὸς, σύνθετον παρὰ τὸ νὴ στερητικὸν καὶ τὸ κὴρ, ὃ δηλοῖ τὴν ψυχὴν, γέγονε νήκηρ, ὁ ἐστερημένος τῆς ψυχῆς, καὶ συγκοπῇ ³) τοῦ η εἰς ε νεκρός· καὶ ὥσπερ κότος κότυς οὕτω καὶ νεκρὸς νέκρυς, καὶ ἀποβολῇ τοῦ ρ νέκυς· καὶ εἰς τὸ νῖκος.

Νεκύω, νεκρῶ, εἴρηται δὲ παρὰ τὸ νηκηρὸς, ὁ μὴ ἔχων κέαρ, ὅ ἐστι ψυχήν.

Νέκταρ, τὸ πόμα, παρὰ τὸ νεάζειν γεγενημένον.

Νεκταρέου, ἐκ τοῦ νέκταρ, νέκταρον, νέκταρος τὸ κτητικὸν νεκτάρεος· τὸ δὲ νέκταρ παρὰ τὸ κτῶ τὸ φονεύω καὶ ἀναιρῶ, μετὰ τοῦ νε στερητικοῦ τὸ μὴ κτεινομένοις, ἀλλὰ τοῖς ἀθανάτοις διδόμενον.

Νέκυς, παρὰ τὸ μὴ ἔχειν κίκυν ἤγουν δύναμιν· ἢ παρὰ τὸ κίκυς ὃ δηλοῖ τὴν ἰσχὺν, καὶ τὸ νε στερητικὸν νέκικυς, καὶ ἐν συγκοπῇ νέκυς, ὁ ἐστερημένος τῆς ἰσχύος.

Νεμεσσηθέντες ἐνὶ θυμῷ· διατί ἀναπέμπει τὸν τόνον; ὅτι ἐὰν ἡ προκειμένη λέξις τοῦ ἐγκλιτικοῦ μορίου προπαροξύνεται, τὴν ἐν τῷ τέλει αὐτῆς βαρεῖαν εἰς ὀξεῖαν ἐγείρει· ἤκουσέ μου, ἔδωκέ μοι. τὸ δὲ νεμεσῶ, ἐκ τοῦ νεμῶ περισπωμένου· ἐξ αὐτοῦ νεμεσῶ δευτέρας τῶν περισπωμένων καὶ νεμεσηθέντες ἐνὶ θυμῷ, μὴν νεμέσω· τοῦτο ἐκ τοῦ νεμεσης, τουτ' ἔστιν ἀορίστου πρώτου παθητικοῦ ⁴)· καὶ οἱ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχήν· ὥσπερ καὶ τὸ κόσμηθεν.

Νεμέα, ἐκ τοῦ τρέμω, σημαίνει, ἀμαλθαῖα, προνομαῖα, πλὴν τοῦ αὐγανέα.

Νεόσμηκτον, ἐκ τοῦ σμήχω τὸ καθαίρω· δηλοῖ δὲ τὸ κάτοπτρον τὸ νεωστὶ κεκαθαρισμένον· κάτοπτρον τὸ καθαρθέν.

Νέκταρ, παρὰ τὸ κτῶ, τὸ σημαῖνον τὸ κτείνω γίνεται κτάρ, καὶ μετὰ τῆς νε στερήσεως νέκταρ τὸ θεῖον πόμα, ὅπερ τοῖς κτεινομένοις καὶ θνητοῖς οὐ δίδοται.

Νέκταρ, τὸ συνέχον τοὺς πίνοντας αὐτὸ ἐν νεότητι, οἷον, νεοέκταρ· διόπερ ἡ Ἥβη αὐτὸ κιρνᾷ. οἱ δὲ παρὰ τὸ στερεῖσθαι τοῦ κτᾶσθαι καὶ φονεύεσθαι τοὺς πίνοντας· ἀφ' οὗ τὸ ἀθάνατον δηλοῦσθαι, τὸ μὴ τοῖς κτεινομένοις διδόμενον.

Νέμω σημαίνει τέσσαρα· νέμω τὸ βόσκω, ἐξ οὗ καὶ νομεὺς ὁ βοσκός· νέμω τὸ πορεύομαι, ἐξ οὗ καὶ νέμεται τὸ ἐπιπορεύεται· νέμω τὸ μερίζω, ἐξ οὗ καὶ κληρονόμος· νέμω τὸ μέμφομαι, ἐξ οὗ καὶ νέμεσις ἡ μέμψις.

Νέποδες, οἱ διὰ τοῦ νήχεσθαι τὴν πορείαν ποιούμενοι· ἢ ἄποδες.

Νέποδες, οἱ ἰχθύες· παρὰ τὸ νε στερητικὸν, οἱ ποδῶν ἐστερημένοι.

Νεὸς, ἡ ἀροσίμη γῆ· παρὰ τὸ νέω· ἀνανεοῦται γὰρ ἡ γῆ ἀρουμένη.

Νεὸς, ἀπὸ τοῦ νέεσθαι καὶ ἔρχεσθαι εἰς αὔξησιν· ἢ παρὰ τὸ ὁρμᾶσθαι· ὁρμὴ γὰρ ἡ ἡλικία ἀνάπλεως.

Νεοκρὰς, ὁ νεωστὶ κεκραμένος· εἰς τὸ προβλητί.

Νεομηνία, παρὰ τὸ νεὸς καὶ τὸ μὴν μηνός.

Νεὸς, ἀπὸ τοῦ νέεσθαι, ὅ ἐστι πορεύεσθαι· ἢ ἀπὸ τοῦ νεωστὶ βεβηκέναι αὐτόν.

Νεολαία, ὁ νεὸς λαὸς, ἐκ τοῦ νέω καὶ τοῦ λαός. νεολαία ὁ ἐν τῷ ναῷ ἑστὼς λαός.

Νεόλεκτος, νεοστράτευτος.

Νεογνὸν, τὸ νεωστὶ γεγενημένον· ἐκ τοῦ γονή, νεόγονον καὶ ἐν συγκοπῇ νεογνόν.

Νεόφυτον, ἐκ τοῦ νεὸς καὶ τὸ φυτόν· τὸ φυ ψιλόν; πᾶσα λέξις ἀπὸ τῆς φυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ γράφεται, πλὴν τοῦ φοιτῶ τὸ παραγίνομαι· πόθεν γίνεται; παρὰ τὸ εἶμι τὸ πορεύομαι· τὸ παθητικὸν ἧμαι, εἶμαι, ἶσαι, ἶται, ἰτὸς καὶ προϊτὸς; καὶ ἐξ αὐτοῦ προϊτῶ καὶ τροπῇ τοῦ π εἰς φ, καὶ ἐκβολῇ τοῦ ρ φοιτῶ.

Νεόφθιτον, νεωστὶ τελευτῆσαν, νεωστὶ φθαρέν.

Νεοσσὸς, παρὰ τὸ νεός τις ἔσσεται· ἢ παρὰ τὸ νεάζω· ἢ παρὰ τὸ νεωστὶ σέβεσθαι.

Νεουργὸς, παρὰ τὸ νεὸς καὶ τὸ ἔργον, νεοεργός· καὶ κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον, νεουργός.

Νεωχμοῦντι, κατακοσμουμένῳ· καὶ νεώχμωσιν τὴν νεοκίνησιν· καὶ νεοχμὸς, ἄπονος, ἄκοπος, νεωστὶ εἰργασμένος· συντάσσεται μετὰ γενικῆς· καὶ εἰς τὸ ἐνεώχμωσε.

Νερὸν, διὰ τὸ νεωστὶ ἀεὶ ῥέειν.

Νέστορεν, ὄνομα θηλυκὸν, δοτική· νεστόρεος, ἐπὶ τῶν διὰ τοῦ ειος κτητικῶν οἱ Ἴωνες ἀποβολὴν ποιοῦσι τῆς ει διφθόγγου, καὶ διὰ τοῦ εος προσφέρουσιν τὰ κτητικά· ἔστι τὰ εἰς ος κτητικὰ εἰς τὸ πατρῷος· τὸ ἀπὸ τοῦ χάλκεος, χρύσεος, νεστόρεος· νεστόρειος, διὰ τῆς ει διφθόγγου· τὰ διὰ τοῦ ειος ὀνόματα σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσιαστικὰ ἢ κτητικὰ ὑπάρχοντα, διὰ τῆς ει διφθόγγου γράφεται· μέρος σώματος, ἀνθρώπειος πούς. μετουσιαστικὸν ἀργύρειος, χρύσειος, κτητικὸν ἄντειος.

Νεῦρον, παρὰ τὸ νεῖσθαι δι' ὅλου τοῦ σώματος.

Νευστάζει, εἰς τὸ νυστάζει.

Νευστάζων, παρὰ τὸ νεύειν καὶ ὑπείκειν εἰς τοῦτο· ἢ διὰ τὴν ἐπειγομένην ἐκ τοῦ ὕπνου καταφοράν.

Νεοσοικὸν, τὸ καραβοστάσιν.

Νεφέλη, διατί τὰ νάματα ἀφελεῖν ἐκ τῆς θαλάσσης, ἢ ταῦτα φέρειν, ἢ ὑφελῶν, ἢ παρὰ τὸ νίφω τὸ χιονίζω· τὸ φε ψιλὸν διατί; τὰ διὰ τοῦ ιλη θηλυκά· εἰς τὸ κανών, καὶ εἰς τὸ γνόφος.

Νέφος, παρὰ τὸ νε στερητικὸν, ὅ ἐστι καινὸν φάους, οἱονεὶ νεόφαον, τὸ ἐστερημένον τοῦ φωτός· σημαίνει καὶ τὸ πλῆθος.

Νεφεληγερέταο, τοῦ τὰς νεφέλας ἀθροίζοντος.

Νεφθαλείμ, ὄνομα πόλεως, ἄκλιτον· γέγονε δὲ ἀπὸ τοῦ θάλλω τὸ αὐξάνω καὶ τοῦ εὖ μορίου, εὐθαλὴς καὶ ἐκ τούτου εὐθαλείμ, καὶ πλεονασμῷ τοῦ φ καὶ ἀποβολῇ τοῦ υ καὶ πλεονασμῷ τοῦ ν, Νεφθαλείμ· σημαίνει δὲ ἀντίληψιν.

Νεφρὸς, παρὰ τὸ νείφεσθαι, ὅ ἐστι βρέχεσθαι τῷ οὔρῳ· ἢ διὰ τὸ ἐν νώτῳ φέρεσθαι.

Νεωκόρος, ἐκ τοῦ νεὼς καὶ τοῦ κορῶ, τὸ καθαίρω καὶ ἐπιμελοῦμαι· καὶ σηκοκόρον λέγει Ὅμηρος τὸν τοῦ σηκοῦ ἐπιμελούμενον.

Νεωκόρος, παρὰ τὸ κορῶ, τὸ καθαρίζω, ἢ διὰ τὸ ἀκηρεῖν καὶ σαίρειν, καὶ κοσμεῖν τὸν νέον· καὶ εἰς τὸ κόρος.

Νεώρεον, τόπος, ἐν ᾧ αἱ νῆες φυλάσσονται.

---

1) Il. VIII, 352. 53. 2) Il. V. 885. 86. 3) L. συστολῇ. 4) νεμεσηθ. — παθητ. Corruptissime.

Νηγάτεον, τὸν νεωστὶ γεγονότα, λεπτῷ· παρὰ τὸ τείνομαι· γάτος καὶ νεήγατος· ὑπερθέσει τοῦ ε νηγάτεος [1]).

Νεώτερος, ὁ νεὸς τῇ ὁράσει, ἢ νεὸς ἔρως· καὶ εἰς τὸ νεός.

Νηγάτεον, ὥσπερ παρὰ τὸ τείνω γέγονε τάτος, οὕτω καὶ παρὰ τὸ γείνω γέγονε γάτος, καὶ τοῦ νεὸς, νεόγατος καὶ τροπῇ τοῦ ο εἰς η, ὡς θεοτόκος, θεητόκος καὶ πλεονασμῷ τοῦ ε νηγάτεος· ἢ παρὰ τὸ θέω τὸ θαυμάζω, θηεῦντο μέγα ἔργον [2]), καὶ τὸ νήθω τὸ κλώθω, γίνεται νηγάτεον, τὸ ἄγαν νενησμένον.

Νήδυμος, ὄνομα ἐκ τοῦ ἡδύς· οὐ γὰρ τὸ ν λέξεως δασυνομένης συντίθεται· ἀλλ' ἔστι ἐκ τοῦ νηδὺς, ὃ σημαίνει τὴν βαθείαν· ὧδε γὰρ τὸν βαθὺν ὕπνον ἐπιφέρει γὰρ ὕπνος, οὐ γάρ ἐστιν ἡδύς· τὸ νηδὺς παρὰ τὸ νῶ τὸ σωρεύω· καὶ πόθεν δῆλον, δὸς χρῆσιν· νηήσας εὐνῆας ἐπὴν ἅλα δέ περ ἐρύσω· τὴν βαθεῖαν γὰρ σημαίνει τὸ νηδὺς, παρὰ τὸ σεσωρεῦσθαι ἐν αὐτῇ τὰ βρώματα· τὸ δυ βραχύ· τὰ εἰς μος λήγοντα ὀνόματα, ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα, μὴ ὄντα σύνθετα, τῷ υ παραληγόμενα, συστέλλει τὸ υ, οἷον, ἔρυβος, ἔλυμος, δίδυμος, ἔσυμος· τὸ γὰρ πρόθυμον σύνθετον· ὁ δὲ Ἀππίων ἐτυμολογεῖται, φησὶν, ἄδυμος ὢν, οὐκ ἔστιν ἀποδύσασθαι διὰ τὸ βάθος· φασὶ δέ τινες κατὰ μεταφορικὴν, ὅτι τὸν βαθὺν σημαίνει, τὸν ἀπὸ τῆς νηδυὸς, ἥ ἐστι κοιλία. βαθύτατον δὲ ἔστιν ἐν ἡμῖν τοῦτο τὸ μέρος.

Νηδὺς, ἡ γαστὴρ, παρὰ τὸ νάειν· ἢ παρὰ τὸ νῶ τὸ σωρεύω· ἢ ἀπὸ τοῦ νάω τὸ ῥέω, διὰ τὸ ἐν αὐτῷ σεσωρεῦσθαι τὸ ἔμβρυον.

Νηδὺς, ἡ γαστὴρ, ἀπὸ τοῦ διανενῆσθαι τὰ τῆς τροφῆς, ὅ ἐστιν σεσωρεῦσθαι καὶ πεπληρῶσθαι· ἢ ὅτι ἐπάρδευσις τοῦ σώματος τῆς τροφῆς· ἀπὸ γὰρ τούτου γίνεται· νάειν γὰρ τὸ ῥεῖν.

Νῆες τῶν πλοίων διαφέρουσι· αἱ μὲν νῆες στρογγύλαι φορτιζόμεναι. τὸ δὲ πλοῖον στρατιωτικόν.

Νήϊον, τὸ νηϊ ἰῶτα διάτι; τὰ ἀπὸ τῶν εἰς αυς διὰ τοῦ ιος παραγόμενα, διὰ τοῦ ι γράφεται· οἷον, ναῦς, ναὸς, νάϊος καὶ τροπῇ νήϊος, καὶ νήϊον ξύλον τὸ πρὸς ναῦν ἐπιτήδειον· ὁμοίως καὶ τὸ γραῦς, γραὸς γράϊος καὶ γρήϊος καὶ γρηΐδιον εἶδος ἔχουσα· ἔστι καὶ ὄνομα ὄρους πλήσιον Ἰθάκης, ὡς καὶ Ὅμηρος ἡμεῖς δ' ἐξ Ἰθάκης, ὑπὸ Νηΐου [3]), τουτ' ἔστιν ὑπὸ Νηΐῳ ὄρει κειμένης· οὕτω καὶ Θήβη ὑποπλακίη, ἡ ὑπὸ Πλακίῳ ὄρει.

Νήϊσα καὶ νηΐσα, παρὰ τὸ διαφέρειν τῇ σημασίᾳ, καὶ ὁ τόνος ἤλλαται.

Νῆϊς, εἴδω ἔστι ῥῆμα, ὁ μέλλων εἴσω καὶ εἴσομαι, καὶ ἀποβολῇ τοῦ ο καὶ τοῦ ε, καὶ μετὰ τῆς νη στερήσεως, νῆϊς.

Νηκτὰ, τὰ ἔνυδρα, παρὰ τὸ νήχεσθαι ὅ ἐστι κολυμβᾶν.

Νηλέϊ χαλκῷ, ἡ εὐθεῖα νηλὶς, γίνεται ἐκ τοῦ ἐλεῶ ἐλεήσω, καὶ μετὰ τοῦ νη στερητικοῦ καὶ κατὰ συγκοπὴν νηλὶς, ὁ ἐστερημένος τοῦ ἐλέους· ἔστι δὲ καὶ νηλεὴς, δύο γὰρ εὐθεῖαι, ἐξ οὗ καὶ ἡ κλητικὴ, ὦ νήλεες οὐκ ἄρα.

Νήλεες ἦμαρ, σκληρὴ ἡμέρα.

Νήλυπος, ὁ ἀνυπόδητος.

Νημερτὲς, τροπῇ τοῦ α εἰς η, καὶ κατὰ στέρησιν τοῦ ἁμαρτεῖν ἐγένετο νημαρτὴς, καὶ τροπῇ τοῦ α εἰς ε, νημερτής. καὶ τὸ οὐδέτερον νημερτές.

Νηΐτης, πόθεν γίνεται; παρὰ τὸ ναῦς ναός. ὁ κανὼν, δύο μόνα εἰσὶν εἰς αυς θηλυκὰ περισπώμενα, ναῦς καὶ γραῦς. κέκλινται δὲ ἀμφότερα διὰ τοῦ ος. ἡ δὲ νηῒς εἶδος πλοίου, καὶ ἐξ αὐτοῦ νηΐτης. καὶ τὸ μὲν νηῒς σημαίνει τὴν νεάνιν.

Νημερτὲς, ἐπίῤῥημα, ἀπὸ τοῦ νημερτὴς ὀνόματος καὶ τὸ οὐδέτερον νημερτές· τοῦτο παρὰ τὸ ἁμαρτῶ τὸ ἀποτυγχάνω, καὶ μετὰ τοῦ στερητικοῦ νη νημερτὴς, οἱονεὶ ὁ μὴ ἀποτυγχάνων τοῦ σκόπου τῶν λόγων. τουτ' ἔστι ψευδόμενος.

Νηπενθὲς, ἀπένθητον μέγα, ἢ μεγαλοπενθὲς, προσφάτως πενθούμενον, ὡς τοῦ νη κατὰ στέρησιν καὶ ἐπίτασιν δηλοῦντος.

Νηπίαχος, παρὰ τὸ νη στερητικὸν, καὶ τὸ ἰάχω· τοῦτο ἐκ τοῦ ἴα ἡ ἐκπεμπομένη βοή· γίνεται δὲ τοῦτο παρὰ τὸ τὴν ἐπὶ πᾶσαν ἀκοὴν ἰέναι· λοιπὸν ἐκ τοῦ ἴα γίνεται ῥῆμα ἰάχω.

Νηνεμία, ἐπὶ ἀνέμων εὐδία, ἐπὶ ἀέρος γαλήνη ἐπὶ θαλάσσης.

Νηρίτης, σημαίνει τὸν κόγχον, ἤγουν κοχλίαν θαλάσσης, διὰ τοῦ ι γράφεται· καί τινες μὲν λέγουσιν, ὅτι παρὰ τὸ νηρεὺς ἔστιν· οὐ καλῶς δέ· ὅτι εἰ ἦν ἀπὸ τοῦ Νηρεὺς, διὰ τῆς ει διφθόγγου εἶχε γράφεσθαι, ὡς ἀταρνεὺς ἀταρνείτης· ὁ δὲ τεχνικὸς λέγει, ἀπὸ τοῦ Νηρηῒς ἐστι καὶ οὐδὲ οὕτως καλῶς εἶπεν. εἰ γὰρ ἀπὸ τοῦ Νηρηῒς, νηρηΐτης εἶχεν εἶναι διὰ τῆς ει διφθόγγου, ὥσπερ ἀπὸ τοῦ ὄρους ὀρεΐτος καὶ ἐν συναιρέσει ὄρειτος, οὕτω καὶ ἀπὸ τοῦ νηρηῒς νηρηΐτης, καὶ ἐν συναιρέσει νηρείτης· ἔστιν οὖν εἰπεῖν ὅτι ἀπὸ τοῦ νῶ τὸ κολυμβῶ, γίνεται ὁ μέλλων νήσω, καὶ ἐκ τούτου νηρός· οὕτως δὲ λέγεται ὁ ἰχθὺς, ἐκ τοῦ νήχεσθαι, ἔνθεν ἐστὶ τὸ γυρεύεσθαι [4]), ὁ νηχόμενος θεός. ἀπὸ τοῦ νηρὸς νηρίτης, διὰ τοῦ ἰῶτα· τὰ γὰρ ἀπὸ τῶν εἰς ος, διὰ τοῦ ιτης γινόμενα, διὰ τοῦ ι γράφεται· οἷον, τόπος τοπίτης.

Νηρείδας, καὶ Νηρηΐδας, κατὰ συγκοπὴν τοῦ ι, τὰς Νύμφας.

Νήστης, οὕτως εἴρηται παρὰ Σιμωνίδῃ· παρὰ τὸ ἔδω· καὶ ὡς παρὰ τὸ ψεύδω, οὗ παθητικὸν ψεύδομαι, ψεύστης, οὕτω καὶ παρὰ τὸ ἔδω τὸ ἐσθίω, οὗ ὁ μέλλων ἔσω, ἐστὴς καὶ μετὰ τοῦ νε στερητικοῦ νεέστης, οὗ παρώνυμον νήστης· οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς.

Νηστεία, ἀσιτία, ἔνδεια. τὸ νη η διάτι; τὰ παρὰ τὸ νη στερητικὸν, καὶ τὸ σεύω ῥῆμα, ὃ σημαίνει τὸ ὁρμῶ, διὰ τοῦ ἦτα γράφεται.

Νήπιος, παρὰ τὸ στέρησιν ἔχειν τοῦ εἰπεῖν· ἢ νεὸς πάνυ· ἢ πλεονάζει τὸ ν· ἢ ἤπια νοῶν· ἢ παρὰ τὸ νη στερητικὸν, κατὰ στέρησιν τοῦ εἰπεῖν καὶ λαλεῖν· ἢ νηέπιος, ὁ λέγειν μὴ δυνάμενος· οὕτω Φιλόξενος· ἢ παρὰ τὸ ἤπιος ὁ πρᾶος, ἢ νεὸς ἤπιος· ἢ νέον λιπαρόν.

Νηποινὴ, χωρὶς ποινῆς, ἀτιμωρητί· καὶ νηποινὸν τὸ ἀτιμώρητον ἀπὸ τοῦ νη στερητικοῦ, καὶ τοῦ ποινὴ, ὃ σημαίνει τὴν τιμωρίαν καὶ τὴν ἐκδίκησιν.

Νήσαντες, σωρεύσαντες· νῶ γὰρ τὸ σωρεύω, οὗ ὁ μέλλων νήσω ἐξ οὗ καὶ νῆσος καὶ νησσάριον καὶ ναῦς ἡ πᾶν μέρος ἐν τῇ θαλάσσῃ ἔχουσα, ὡς τὰ νηχόμενα σώματα. νῶ τὸ ῥέω, οὗ ὁ μέλλων νάσω, ἐξ οὗ καὶ

---

1) Corrupte. 2) Il. VII, 444. 3) Od. III, 81. 4) an Νηρεύς?

παρὰ τὸ ὑγρὸν, ὡς Φησὶ Σοφοκλῆς, Τρωΐλῳ, πρὸς παρὰ δὲ κρηναῖα χωροῦμεν ποτά· καὶ νῶ τὸ σωρεύω, οὗ ὁ μέλλων νήσω, ἐξ οὗ καὶ νῆμα.

Νῆσος, παρὰ τὸ νῶ, οὗ ὁ μέλλων νήσω τὸ νήχομαι· πᾶν γὰρ μέρος ἔχει ἐν τῇ θαλάσσῃ, ὥσπερ ἀεὶ τῶν σωμάτων τὰ νηχόμενα· ἢ τῶν ναμάτων ἕως, ἤγουν τῶν ὑδάτων τῆς θαλάσσης.

Νησσάριον, παρότι νήχεται, καὶ ἐν τῷ ἀέρι αἴρεται.

Νῆστις, ἔντερον οὕτω καλούμενον, οἱονεὶ νήσιτος, παρὰ τὸ κενὸν εἶναι σιτίων· καὶ ὁ νήστης ἄνθρωπος, παρὰ τὸ αὐτό· καὶ τὸ νηστεύειν παρὰ τὸ στερεῖσθαι σιτίων· τὸ γὰρ στερητικὸν μόριον ἔγκειται.

Νῆστις, ὁ ἄγευστος καὶ νῆστις ἔντερον· παρὰ τὸ ἐσθίω, οὗ ὁ μέλλων ἔσω, ἐστὶς καὶ μετὰ τοῦ νη νηστὶς, ὁ ἐστερημένος τῶν σιτίων· οὕτω καὶ ἡ παράδοσις· καὶ ἀνῆστις ὁ γεγευμένος· καὶ τὸ πληθυντικὸν ἀνήστιες· οὕτω καὶ γὰρ ἡ νῆστις.

Νηυσὶ, πλοίοις· τρεῖς εὐθείας ἔχει, ναῦς καὶ νηῦς καὶ νεῦς· καὶ γίνεται παρὰ τὸ νέω τὸ κολυμβῶ· καὶ Ὅμηρος, αὐτὰρ ὁ χερσὶ νέων ἐπεμαίετο νόστου· ἢ δοτικὴ νηΐ, ἐξ αὐτοῦ ὄνομα νηΐστης, ἐπαινῶ τὸν νηΐτην νόμον· ναῦς, ναὸς, ὁ καινὸν, δύο μόνα εἰσὶν εἰς αυς θηλυκὰ μονοσύλλαβα περισπώμενα, ναῦς καὶ γραῦς· κλίνονται δὲ ἀμφότερα διὰ τοῦ ος.

Νήφω, τὸ μεθύω, διὰ τοῦ η γράφεται, ὡς Φησὶν Ἀπολλώνιος, κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς ἦτα, ὡς ἀπὸ τοῦ νείφω τὸ βρέχω, τοὺς γὰρ λειποψυχοῦντας πολλάκις, ὕδατος ῥανίσι νείφειν ποιοῦμεν.

Νήφω, τὸ εὔχομαι, παρὰ τὸ νείφω, ἀπὸ τῆς τοῦ ὕδατος ἀποφορᾶς, οἱ γὰρ τοῦτο κεχρημένοι εἰσὶν ἐγρήγοροι καὶ νηφάλιοι· ἔνθεν καὶ νήφειν τὸ φρονεῖν· οὕτως ἡ παράδοσις.

Νήχω, τοῦ καὶ νέω, ὅ ἐστι κολυμβῶ· ὡς ὁ Ἀριστοφάνης Ἱππεῦσιν, ἔνεον ἐν ταῖς ἐμβάσεσι· ἐκτάσει τοῦ ε εἰς η, νήχω, οὕτω Φιλόξενος.

Νίκη, παρὰ τὸ ἐνὶ δοτικὴν, καὶ ἵκω τὸ σημαῖνον τὸ παραγίνομαι, γέγονε ἐνίκη, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι, εἰς ἰῶτα μακρὸν ἐνίκη· καὶ νίκη ἀποβολῇ τοῦ ε.

Νίκη, παρὰ τὴν ἐνὶ δοτικὴν καὶ τὸ εἴκω, ἢ ἐνὶ ὑποχωροῦντα· καὶ Ὅμηρος, ἑτεραλκέα νίκην· τουτ᾽ ἔστιν ἑτεροκλινῆ.

Νησίς, τῷ λόγῳ τοῦ ἀκτίς. σημαίνει δὲ τὴν μικρὰν νῆσον· ἰστέον, ὅτι τὸ νῆσος διὰ τοῦ η γράφεται, καὶ ἑνὸς σ κατὰ παράδοσιν· ἀπὸ τοῦ νησὶς νησσάριον δὲ διὰ τοῦ ἦτα, ὅθεν ἐστὶ κατὰ παράδοσιν.

Νησίδιον, διὰ τοῦ ι, ἀπὸ γὰρ τοῦ νῆσος νήσου, γέγονε νησίον, καὶ ἐκεῖθεν νησίδιον· οὕτω καὶ ἀπὸ τοῦ ὀψάριον ὀψαρίδιον, καὶ βιβλίον βιβλίδιον.

Νηρεὺς, παρὰ μὲν τῷ ποιητῇ διὰ τοῦ ι γράφεται· ἐπὶ δὲ τοῦ θαλαττίου καὶ τοῦ τεχνικοῦ διὰ τοῦ ἦτα γράφεται.

Νῖσος, ὄνομα κύριον· καὶ Νίσα ἐστὶν ὄνομα πόλεως.

Νήφω, νέφος γὰρ ὁ κενὸς φαοὺς, ὃ παρ᾽ Ἀριστοφάνῃ καὶ τὸ νεφέλη διδάσκει. Ἀπολλώνιος δὲ ὁ τοῦ Ἀρχιβίου τὸ νήφω κατὰ τροπὴν ἔλεγεν γεγεννῆσθαι· κυρίως γὰρ, Φησὶν, νήφειν εἴρηται, κατὰ τὴν τοῦ ὕδατος προφορὰν καὶ νηφαλέωσιν, ἢ καὶ ἐκπέπτωκεν ἀπ᾽ αὐτοῦ καὶ τὸ νειφὰς· τὸ δὲ νιφετὸς διὰ τοῦ ἰῶτα· καὶ οὐ θαῦμα· ὥσπερ γὰρ ἀπὸ τοῦ λείβω λίβας καὶ ἀπὸ τοῦ πείθω πιθανότης, καὶ ἀπὸ τοῦ ἀλείφω συναλιφὴ, οὕτω καὶ ἀπὸ τοῦ νείφω νιφετός.

Νικήτας, νικήτα· ὁ κανών· τὰ εἰς ας ὀνόματα, ἀπὸ φύσει μακρᾶς ἀρχόμενα, ἀποβολῇ τοῦ σ κλίνονται· οἷον, νικήτας νικήτα.

Νίσομαι, τὸ πορεύομαι· ὤφειλε δὲ διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ ἐν τῷ νέομαι· ἀλλ᾽ ἡ παράδοσις τὸ ι ἔχει θεματικόν. νίω ὁ μέλλων νίσω· τὸ νι μακρόν.

Νοερὸν, τὸ τὰ ἀόρατα νοήματα τηροῦν.

Νόσος, παρὰ τὸ ἐστερεῖσθαι τοῦ σώου.

Νομὴ, ἐκ τοῦ νέμω νομὴ καὶ σημαίνει τὴν τροφήν· γίνεται παρὰ τὸ νέμω τὸ βόσκω νομὴ, ὀξύνεται· τὰ εἰς η λήγοντα ἰαμβικὰ παραληγόμενα τῷ α ὀξύνεται, ὅποτε προϋπάρχει διὰ τοῦ ι, κατὰ τὴν παραλήγουσαν, οἷον, ἀνατολὴ, ἀνατομή· τὸ μέντοι εὐρυνόμη, καὶ ἀμφινόμη βαρύνεται.

Νόμισμα, παρὰ τὸ νομίζω, νομίσω, νόμισμα· ἢ διὰ τὸ νομιζόμενον μηδὲν εἶναι· καὶ διὰ τὸ νομίζεσθαι τὸ μηδὲν ὄν.

Νομίσματα, λέγεται ρκε.

Νόμος, σημαίνει ἕξ· νόμος ὁ γραπτὸς ὃν ἔχομεν· νόμος καὶ τὸ νόμισμα· νόμος ὁ τὴν γῆν μερίζων· Αἰγυπτιακὸς νόμος ἡ χώρα· καὶ νόμος ἡ συνήθεια· νόμος αἱ τάξεις· νόμος δὲ ἡ νομὴ τῆς βοσκῆς· γέγονε δὲ ἀμφότερον, παρὰ τὸ νέμω τὸ μερίζω, ὡς λέγω λόγος.

Νόθος, ὁ μὴ γνήσιος υἱὸς, ἀλλ᾽ ἐκ παλλακίδος ὤν· αἱ γὰρ παιδοποιΐαι παρὰ τῷ ποιητῇ λέγονται τετραχῶς· γνήσιος, νόθος, σκότιος, παρθένιος. γνήσιος μὲν καλεῖται, ὁ ἐκ νομίμων γάμων· νόθος δὲ ἐκ παλλακίδος· καὶ Φησὶ, νόθον καὶ γνήσιον ἄμφω εἰν ἑνὶ δίφρῳ ἐόντας· σκότιον δὲ ἐγείνατο μήτηρ [1]· παρθένιος δὲ ὁ ἐκ τῆς παρθένας ἔτι νομιζομένης γεννώμενος· ὡς τὸ, παρθένιος τὸν ἔτικτε χόρῳ καλὴ Πολυμήλη [2].

Νόσος, διὰ τὸ νοσεῖν τὸ σῶμα· ἢ παρὰ τὸ νω στερητικὸν, καὶ τὸ σῶος, ὁ ἐστερημένος τοῦ σώου, ἤγουν τῆς ὑγείας.

Νοσσία, παρὰ τὸ νεοσσὸς, ὁ νεωστὶ σευόμενος, καὶ ἐξορμῶν τῆς γαστρὸς, τοῦτο δὲ παρὰ τὸ νε στερητικὸν, καὶ τὸ σεύω τὸ ὁρμῶ· νοσσία δὲ ἡ καλία.

Νόστος, παρὰ μὲν τῇ συνηθείᾳ ὁ γλυκασμὸς λέγεται νόστος, μεταφορικῶς δὲ, καὶ ἡ εἰς τὸν οἶκον ἀνακομιδὴ, ἀπὸ τῶν ἐδεσμάτων, ὡς Φησὶν Ὅμηρος, οὐδὲν γλύκιον ἧς πατρίδος· γέγονε δὲ παρὰ τὸ νέω τὸ πορεύομαι, νέσω, νόστος καὶ νοστῶ νοστήσω. τὸ δὲ νέω σημαίνει πέντε· τρία διὰ τοῦ ε ψιλοῦ, τὰ μὲν δύο βαρύτονα, καὶ τὸ ἓν περισπώμενον· τὰ δὲ ἕτερα δύο διὰ τῆς αι διφθόγγου· καὶ εἰς τὸ νοσφισμός.

Νόσφι, χωρὶς κατ᾽ ἰδίαν· ἐπίῤῥημα χωριστικὸν, ἐκ τοῦ νόστος, νόστου, ἐπεκτάσει τῆς φι συλλαβῆς, γίνεται νόστουφι, καὶ ἐν συγκοπῇ νόσφι· καὶ ἶφι.

Νοσφιζοίμεθα, παρὰ τὸ νοσφίζω· τοῦτο ἐκ τοῦ νω στερητικοῦ καὶ τοῦ ἕπω τὸ ἀκολουθῶ, καὶ ἐξ αὐτοῦ νόεπι· καὶ ὥσπερ ἀπὸ τοῦ θεόφατον, κατ᾽ ἀποβολὴν τοῦ ο καὶ πλεονασμῷ τοῦ σ γίνεται θέσφατον, καὶ θεόπιν θέσπιν κατεβρόντισεν ὁ βλέπων ὄπα, οὕτως ἐκ τοῦ νοέπων, νοέπι ἀποβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ σ νόσφι, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ὁ μὴ ἀκολουθῶν, ἀλλὰ πόῤῥωθεν, καὶ χωρὶς ὑπάρχων· καὶ ἄλλως· νόσφι γίνεται ἐκ τοῦ νόστος νόστου, νοστόφι

---

1) Il. XI, 102, 103. 2) Il. XVI, 180. Schol.

καὶ κατὰ συγκοπὴν νόσφι. καὶ διάτι, γενόμενον ἀπὸ τῆς τοῦ νόστου γενικῆς οὐκ ἐγένετο νοστοῦφι, ἀλλ' ἀπέβαλε τὸ υ; καὶ λέγομεν ὅτι αἱ πτώσεις αἱ ἐπεκτεινόμεναι, διὰ τῆς φι συλλαβῆς [1]), εἰ μὲν ἔχοιεν ἓν φωνῆεν κατὰ τὴν λήγουσαν, φυλάττουσιν αὐτὸ, οἷον, οὐράνιος οὐρανίαφι. ἑτέρη ἑτέρηφι· εἰ δὲ ἔχουσι δύο φωνήεντα κατὰ τὴν λήγουσαν, τὸ τελευταῖον φωνῆεν ἀποβάλλουσι, νόστος, νόστου, νοστόφι καὶ συγκοπῇ νόσφι. ἰστέον ὅτι τῆς φι συλλαβῆς παραγωγὴ ἐν πάσῃ πτώσει γίνεται, ἀπὸ εὐθείας μὲν, ὡς ἑτέρη ἑτέρηφι· ὁδὸς δ' ἑτέρηφι παρέλθῃ [2])· ἀπὸ γενικῆς, οἷον, χαλκοῦς χαλκοῦ χαλκόφι, πλάγχθη δ' ἀπὸ χαλκόφι, χαλκός [3])· ἀπὸ δοτικῆς, βίῃ, βίηφι· Ἕκτορ ἶφι βίηφι [4]) ἀντὶ τοῦ ἐν βίᾳ· φρήτρη φρήτρηφιν ἀρήγῃ· ἀπὸ αἰτιατικῆς, οἷον, δεξιὸν δεξιόφιν, ὡς τὸ, εἴτ' ἐπὶ δεξιόφιν [5]) ἀντὶ τοῦ, ἐπὶ τὸ δεξιὸν πάντος στρατοῦ· ἀπὸ κλητικῆς, οἷον, οὐρανίαφι φίλη γα' εἴσομαι· αὗται δὲ αἱ τῆς φι συλλαβῆς ἐπεκτάσεις, τὸ αὐτὸ μέρος τοῦ λόγου φυλάττουσι, χωρὶς τοῦ νόσφι καὶ ἶφι· ταῦτα γὰρ ἐπῆλθον εἰς ἐπιῤῥηματικὴν σύνταξιν· βαρύνεται τὸ νόσφι· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ι λήγοντα ἐπιῤῥήματα, συνεσταλμένον ἔχοντα τὸ ἰῶτα βαρύνεσθαι θέλουσιν· οἷον, νόσφι, αὖθι, ἶφι, νέχι, ἦχι· ὅθεν καὶ τὸ πρωῒ ἀναλογώτερόν ἐστι παρὰ τῷ ποιητῇ βαρύνεσθαι, οἷον, πρωῒ δ' ὑπ' ἠοῖοι [6])· τὸ δὲ νόσφι σημαίνει τὸ χωρὶς, ἀποβολῇ τοῦ σ, διὰ τὸν κανόνα, καὶ βαρύνεται. πρόσκειται ἔχοντα τὰ ι συνεσταλμένον διὰ τὸ δευρὶ, νυνὶ, καὶ κοΐ, ἔστι δὲ μίμημα φωνῆς χοίρων. Ἀριστοφάνης ἐχρήσατο τῇ λέξει· τὸ ἄρι καὶ ἔρι ἐπιτατικὰ μόρια, συνεσταλμένον ἔχοντα τὸ ἰῶτα καὶ μὴ βαρυνόμενα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐδέποτε ταῦτα εὑρίσκεται αὐτὰ καθ' ἑαυτὰ, ἀλλ' ἀεὶ ἐν συνθέσει, ὡς τὸ ἐριβρεμέτης, καὶ ἀριδείκετος· τὸ δὲ οὐχὶ ὤφειλε βαρύνεσθαι· ἀλλ' ἐπειδὴ ἐκ τῆς οὐ ἀρνήσεως γέγονε, κατ' ἐπέκτασιν τῆς χι συλλαβῆς, τὸ δὲ οὐ παραλόγως ὠξύνθη, ὤφειλε γὰρ περισπᾶσθαι, ἐπειδὴ πᾶσα δίφθογγος τελικὴ εἰς ου [7]) λήγουσα, καὶ τὰ ἑξῆς· ἐπειδὴ οὖν παραλόγως ὠξύνθη πρὸ τῆς ἐπεκτάσεως, τούτου χάριν καὶ μετὰ τὴν ἐπέκτασιν παραλόγως ὠξύνθη [8]).

Νοῦσον, παρὰ τὸ σόον ὅπερ διὰ τοῦ ο γράφεται, καὶ τὸ νο στερητικὸν μόριον, καὶ πλεονασμῷ τοῦ υ νοῦσος, ὡς Ὄλυμπος Οὔλυμπος.

Νοῦς, παρὰ τὸ νέεσθαι πάντοτε, κινούμενος καὶ ἐπὶ πάντων προϊών· ὅ, τι γὰρ ὁρμητικώτερον νοῦ; Ὅμηρος, οὐδ' ὅταν ἀΐξῃ νόος ἀνέρος· καὶ ὡσεὶ πτερὸν ἠὲ νόημα [9]).

Νουνεχόντως, ἀπὸ τοῦ νοῦν καὶ ἔχων, σύνθετον νουνεχόντως· πολλάκις γὰρ ἀπὸ δύο διεστώτων τοῦ λόγου μερῶν γίνεται ἑνότης, οἷον, Ἄρειος πάγος, Ἀρεοπαγίτης, ἡ νέα πόλις, οἱ Νεαπολῖται, ταυτὸ ταυτότης, οὕτω νοῦν ἔχων, νουνεχόντως.

Νοσφισμὸς, χωρισμὸς, παρὰ τὸ νοσφίζω· τοῦτο παρὰ τὸ νόσφι, ὃ σημαίνει τὸ χωρὶς, τοῦτο παρὰ τὸ νόστος νοστόφι καὶ ἐν συγκοπῇ νόσφι. τὸ νόστος, ἔστι στῶ, καὶ μετὰ τοῦ νο στερητικοῦ νοστόφι, καὶ νόσφι καὶ νόστος, τὸ μὴ ἵστασθαι εἰς ἀλλότριον τόπον, ἀλλ' ἐν τοῖς οἰκείοις ἀπέρχεσθαι.

Νοτάριος, ὅτι νοῦν τηρεῖ· ἢ ὁ τὸν νοῦν τηρῶν· ἢ ὁ τὰ νοήματα· Ῥωμαϊκὴ δὲ ἡ λέξις, διὰ τὸ νότα τὰ γράμματα λέγειν.

Νότος, διότι νόθους ποιεῖ τοὺς καρπούς.

Νότος, τάχα διὰ τὸ νοτίζειν· ἢ τὴν νοτιαίαν αἴρειν.

Νότος, ὄνοτός τις ὢν κατ' ἀποβολὴν τοῦ ο. οὕτως εὗρον ἐν ὑπομνήματι Ἰλιάδος· ὀνῶ δὲ τὸ βλάπτω.

Νότος, ὁ ἄνεμος, παρὰ τὸ ὀνῶ τὸ βλάπτω, ὁ μέλλων ὀνήσω, ἐξ αὐτοῦ ὄνοτος καὶ κατ' ἀφαίρεσιν τοῦ ο νότος· οἱονεὶ ὁ βλαπτικὸς τῶν καρπῶν καὶ τῶν σωμάτων.

Νοῦς, παρὰ τὸ νέεσθαι καὶ ὁρμᾶν· τί γὰρ κινητικώτερον τοῦ νοός.

Νουθέτημα, συμβούλημα.

Νουνέχης, σοφὸς, συνετός.

Νυκτίβιος, ὁ ἐν νυκτὶ καὶ ὡς ἡμέρᾳ διάγων.

Νυμφαγωγὸς, τὰ παρὰ τὸ ἄγω συντιθέμενα διὰ τοῦ ἰῶτα γράφεται, νυμφαγωγὸς, μυσταγωγός.

Νυκτικόραξ, παρὰ τὸ νυκτὶ καὶ τὸ κόραξ· τοῦτο παρὰ τὸ κορὸν ὃ σημαίνει τὸ μέλαν· ἢ παρὰ τὸ κάραν μεγάλην ἔχειν.

Νοῦμμον, μιλιαρήσιον, Νουμμάς τις βασιλεὺς Ῥωμαίων ἐποίησε καὶ πρὸς τὸ ὄνομα αὐτοῦ ἐκλήθη.

Νύμη, ἐξανύμφευτος· ἐκ τούτου παράγωγον νυμφεύω καὶ ὄνομα ῥηματικὸν νυμφευτός· τὸ δὲ νύμφη παρὰ τὸ νῦν φαινομένη νέα· ἢ παρὰ τὸ νέαν φαίνεσθαι· ἢ παρὰ τὸ νεὸν φῶς ἔχειν· ἤγουν νεωστὶ φαίνεσθαι.

Νυμφίος, παρὰ τὸ νῦν ἠμφιᾶσθαι καλῶς· ἢ νῦν φιλῶν νύμφην· τὸ φι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιος ὀνόματα, κατὰ τὸν τόνον διφορούμενα, διὰ τοῦ ι γράφεται· τὸ δὲ νυ, ὅτι νυγμόν τινα ἔχει ἡ τούτου ἐκφώνησις.

Νῦν καὶ νυνὶ διαφέρει· τὸ μὲν γὰρ νῦν καθολικὸν ἐπίῤῥημά ἐστι· τάσσεται δὲ ἐπὶ τῶν τριῶν χρόνων, ἐνεστῶτος καὶ παρῳχημένου καὶ μέλλοντος· οἷον, νῦν ὁ ἀγών ἐστι· νῦν ὁ ἀγὼν διῆλθε, νῦν ὁ ἀγὼν ἔσται. τὸ δὲ νυνὶ ἐπὶ μόνου τοῦ ἐνεστῶτος.

Νῦν, δηλοῖ χρόνους τρεῖς, ἐνεστῶτα· νῦν γὰρ γένος ἐστὶ σιδήρεον· παρεληλυθότα· νῦν ὤλετο πᾶσα περιχθών· μέλλοντα, νῦν δὲ Αἰνείαο βίη πᾶσι Τρώεσσιν ἀνάξει [10]).

Νυνὶ, ἐπίῤῥημα χρόνου δηλωτικὸν, κατ' ἐπέκτασιν τοῦ ι, ἀπὸ γὰρ τοῦ νῦν γίνεται· ἡ διὰ τοῦ ἰῶτα ἐπέκτασις δίφθογγον οὐκ ἔχει, ὡδὶ, νυνὶ, δευρί.

Νὺξ, παρὰ τὸ νύσσω· νυσσόμεθα γὰρ προσκόπτοντες τῷ σκότει· ἢ παρὰ τὸ νύσσω τὸ κάμπτω, ἡ νύσσουσα ἡμᾶς πρὸς ὕπνον· καὶ κλίνεται νυκτός· ὁ κανών· πᾶν ὄνομα ἔχον ἐπὶ τῆς εὐθείας τὸ σύμφωνον τοῦ παρακειμένου, θέλει ἔχειν καὶ ἐπὶ τῆς γενικῆς πότε μὲν τὸ σύμφωνον τοῦ παρακειμένου, πότε δὲ τοῦ μέλλοντος· νὺξ σημαίνει τρία, τὴν σωματοειδῆ θεόν· εἰ μὴ νὺξ ἔλθοι· καὶ ἐπὶ τὸ τῆς συνηθείας ἡμῖν νοούμενον, νυκτός. νὺξ ἤδη τελέθει· καὶ ἐπὶ τῆς βαθείας καὶ σκοτεινῆς καὶ γνοφώδους· τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.

Νυὸς, νύμφη, ἡ τοῦ υἱοῦ γυνή· παρὰ τὸ νεὸς, τροπῇ τοῦ ε εἰς υ νυός· οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς.

Νύσσα, ὁδὸς καμπτὴ, ὁ καμπτὴρ, παρὰ τὸ ἐκεῖ νύσσεσθαι τοὺς ἵππους.

Νυστάζει, οἱονεὶ νευστάζει, παρὰ τὸ ἐπινεύειν, διὰ τὴν ἐπιγινομένην ἐκ τοῦ ὕπνου καταφοράν.

---

1) cf. Etym. M. p. 799. v. Φρήτρηφι. 2) Il. XI, 351. 3) Il. XXII, 107. 4) Il. II, 363. 5) Il. XIII, 308. 6) Il. VIII, 530. 7) L. εἰς υ. 8) Cf. sup. p. 223. v. ἐξ. 9) Od. VII, 36. 10) corr. ex Il. XX, 307.

Νωθὴς, ἡ εὐθεῖα, ὁ νωθὴς, τοῦ νωθοῦ, τῷ νωθεῖ, τὸν νωθῆν, ὦ νωθής· πληθυντικὰ, οἱ νωθεῖς, τῶν νωθῶν, τοῖς νώθεσι, τοὺς νωθεῖς, ὦ νωθεῖς· οὕτω κλίνεται καὶ ὁ νωδής.

Νῶε, κύριον ὄνομα, παρὰ τὸ νῶ τὸ κολυμβῶ.

Νωδὴς, ὁ μὴ ἔχων ὀδόντας.

Νωθὴς, ὁ βραδὺς, παρὰ τὸ μὴ θέειν αὐτόν.

Νωθρὸς, παρὰ τὸ νῶθος νωθερὸς καὶ νωθρὸς, ὁ ἐστερημένος τοῦ θορεῖν, ἤγουν ὀξέως κινεῖσθαι.

Νώροψ, ὁ μὴ ἐῶν εἰς ἑαυτὸν ἀφορᾷν τὴν ὄψιν· διὰ τὸ ἄγαν λαμπρόν· ἀμαυροῖ γὰρ τὴν ὄψιν τὰ πάνυ λυπηρά.

Νωθροκάρδιος, βραδὺς κατὰ τὸν λογισμόν.

Νωΐτερος, ἀπὸ τῆς νῶϊ δυϊκῆς ἀντωνυμίας, καὶ σημαίνει τὸν ἡμέτερον· οὕτω καὶ σφωΐτερος, ἀπὸ τῆς σφῶϊ δυϊκῆς ἀντωνυμίας, καὶ δευτέρου προσώπου καὶ σημαίνει τὸν ὑμέτερον· ὡς σφέτερος ἀπὸ τοῦ σφεῖς τρίτου προσώπου, καὶ σημαίνει τὸν ἀλλότριον.

Νώροπι χαλκῷ, τῷ λαμπρῷ σιδήρῳ.

Νωλεμέως, συνεχῶς, παρὰ τὸ νω στερητικὸν μόριον, καὶ τὸ λείπω τὸ καταλιμπάνω, γέγονε νωλεπέως καὶ τροπῇ τοῦ π εἰς μ νωλεμέως, οἱονεὶ τὸ μὴ λειπόμενον, ἀλλ' ἀδιαλείπτως ὄν.

Νωμῶ, εἰς τὸ πωλῶ.

Νώσκω εἰς τὸ γινώσκω.

Νῶτα, ὄνομα οὐδέτερον εὐθείας τῶν πληθυντικῶν· τὸ ἀρσενικὸν ὁ νῶτος· τὸ νω μέγα πρὸς ἀντιδιαστολὴν τοῦ νότου, τοῦ σημαίνοντος τὸν ἄνεμον· τὰ νῶτα· καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν οὐκ ἔχει, πλὴν μόνων τῶν πληθυντικῶν τὰ κέλευθα, οὕτω καὶ τὰ νῶτα.

Νῶτος, ὁ ῥαχὺς, ἐξ οὗ καὶ νωτὴρ, ὁ τὰ βαρὴ βαστάζων.

Νῶτα, τὰ μετάφρενα, ἐκ τοῦ οἴω τὸ κομίζω.

Νῶτος, σημαίνει τὴν ψυχήν· παρὰ τὸ νωτίζεσθαι αὐτὸν ἱδρῶτι· ἀντὶ δὲ τοῦ ο εἰς ω· ἢ παρὰ τὸ νῶος τίς ὃ σημαίνει τὴν ὑγρότητα κατ' ἐπαύξησιν τοῦ ο εἰς ω· ἢ παρὰ τὸ ὦ ῥῆμα, ὃ σημαίνει τὸ ὑπάρχω, ὦτος καὶ νῶτος.

Νωχελὴς, ὁ δυσκίνητος καὶ ἀργὸς, νωκελής τις ὤν· ὁ μὴ κέλλων· κέλλειν δὲ ἐστὶ τὸ ταχέως τρέχειν, ἀφ' οὗ κέλης, ὁ μονώνυξ ἵππος καὶ δρομικός.

Νῶτος, ἐπειδὴ τῶν ἄλλων νωτίζεται μᾶλλον, καὶ εἰς τοῦτον ὁ ἱδρὼς καταῤῥεῖ· ὡς τροπὴν εἶναι τοῦ ο εἰς ω. Ὅμηρος, κατὰ δὲ νότιος ῥέεν ἱδρὼς, ἀντὶ τοῦ κατὰ νώθεν ἐφέρετο ὁ ἱδρώς.

Νῶτα θαλάσσης, τὰ ἐπὶ φῶς τῆς θαλάσσης.

Νωτιαῖος, μυελός. Νωτιαῖον δέρμα. Νωτιαία ἡ θρίξ.

Τέλος τοῦ Ν στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ξ ΣΤΟΙΧΕΙΟΥ.

Ξανθὸς, ἐκ τοῦ ξαίνω, ξαντὸς ξανθός. διὰ τούτου γὰρ, φησὶν, αἰνίττεται, τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος· οἱ γὰρ ξανθόχολοι, τοιοῦτοι· ἢ παρὰ τὸ ἄνθος, πλεονασμῷ τοῦ ξ καὶ καταβιβασμῷ τοῦ τόνου.

Ξανθικὸς, ὁ μὴν, διὰ τοῦ ι δεῖ γράφειν, καὶ πάντας μῆνας Μακεδόνων· οὐδεὶς γὰρ αὐτῶν τὴν ει δίφθογγον γράφει.

Ξανθὸς, ποταμὸς Τροίας, παρὰ τὸ ξανθὰς τρίχας ποιεῖν τῶν λουομένων ἐκεῖσε.

Ξανθὸς, ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; αἰδιακοῦ· τὸ γενικὸν πῶς ἐστι; χολή· διαιρεῖται εἰς δύο, εἰς ἀτμῶδες καὶ ὠχρόν· γίνεται ἐκ τοῦ ξαίνω ξαντός· ἐγράφη.

Ξανθὴν, πυῤῥοειδῆ.

Ξανθίζεσθαι, κοσμεῖσθαι τὰς τρίχας.

Ξεινοδόκος, ἐκ τοῦ ξένος καὶ τοῦ δέχομαι, οὗ τινος ὁ μὲν χαρακτὴρ παθητικὸς, τὸ δὲ σημαινόμενον ἐνεργητικόν.

Ξεῖνος, ὥσπερ ἀπὸ τοῦ κενὸς κεινὸς κατὰ πλεονασμὸν τοῦ ἰῶτα, καὶ ἀπὸ τοῦ ξένος ξεῖνος. οὐδέποτε γαρ οἱ Αἰολεῖς τὸ ι ἀπὸ πλεονασμοῦ ἀποβάλλουσι· καὶ διπλασιάζουσι τὸ σύμφωνον, οἷον, τὸ κενὸς γὰρ κεινὸς κατὰ πλεονασμὸν τοῦ ι καὶ οὐ λέγουσι κεννός· ἀλλ' ἀπὸ τοῦ ξένος γέγονε ξέννος· καὶ γὰρ πολλάκις ἐπὶ βραχείας συλλαβῆς ποιοῦνται τοῦ συμφώνου διπλασιασμόν· Ἔνη καὶ Ἔννη, ἔστι δὲ ὄνομα πόλεως, ὡς θεράπων, θεράπων, καὶ ξένος ξέννος.

Ξεινοδόχος, καὶ Ἰωνικῶς τροπῇ τοῦ ψιλοῦ εἰς δασύ· ὡς τό· εἰ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐχί. πλεονασμῷ τοῦ ι ξεινοδόχος, ὁ τοὺς ξένους φιλοφρονῶν.

Ξεῖνος καὶ ξεινοῦσθαι ποιητικῶς, Αἰολικῶς δὲ ξέννος.

Ξενηκούσθησαν, ἔστι ξένος, ὃ σημαίνει τὸν θαυμαστὸν, καὶ τὸ ἀκούω, καὶ ἐκ τούτου κατὰ σύνθεσιν γέγονε ξενακούω, ξενηκούσω, ξενήκουκα, ξενήκουσμαι, ὁ ἀόριστος παθητικὸς ξενηκούσθην, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ξενηκούσθησαν.

Ξενοδόκος, ὁ μὲν Ὅμηρος τὸν τοὺς ξένους ὑποδεχόμενον, συνηθῶς ἡμῖν. Σιμωνίδης δὲ καὶ Πίνδαρος καὶ ἄλλοι τινὲς τὸν μάρτυρα ἐξεδέξαντο. Σιμωνίδης, ξεινοδόκησε Τελάμων, ἀντὶ τοῦ ἐμαρτύρησε· καὶ Πίνδαρος· ξεινοδοκῶν δ' ἄριστος χρυσὸς ἐν αἰθέρι λάμπων, ἀντὶ τοῦ μαρτυρῶν.

Ξέστης Ῥωμαϊκόν ἐστι τὸ ὄνομα· τὸν γὰρ παρ' ἡμῖν ἓξ ἀριθμὸν αὐτοὶ σὲξ· καὶ μέτρου τινὸς παρ' αὐτοῖς τὸ ἕκτον, σέκτον, διὰ δὲ εὐφωνίαν, τὸ σέξστης ἔλεγον ξέστης, μεταθέσει τοῦ ξ, οὕτω Φιλόξενος ἐν τῷ περὶ Ῥωμαίων διαλέξεως.

Ξένος, παρὰ τὸ ἔξω ἰέναι, ἢ παρὰ τὸ ἐκτὸς τῆς ἑνότητος· ἢ παρὰ τὸ ξέω, ὁ ἐξεσμένος καὶ ἀποκεχωρισμένος· λέγεται δὲ καὶ ξένος, ὁ ὑποδεχόμενος τὸν ξένον· καὶ ὁ ἀπὸ τῶν ἀλλοδαπούς ἥκων· καὶ πεποίηται τὸ ὄνομα παρὰ τὴν σκήνην, τουτέστιν ὁ παρέχων σκέπην, ἵν' ᾖ κένος [1]) καὶ ξένος, ὃν ἄγει τις εἰς ἑαυτὸν καὶ ὑποδέχεται, ἢ παρὰ τὸ ἴξω, ἴξενος καὶ ξένος ἡ ὅρασις.

Ξενία, δύο σημαίνει, τὴν κατοικίαν, καὶ τὴν μακρὰν ὁδόν.

---

1) F. σκένος.

Ξένος, σημαίνει τρία, τὸν φίλον, καὶ ἐν τῇ κοινῇ συνηθείᾳ λεγόμενον· τάσσεται καὶ ἐπὶ θαύματος· ὡς τὸ ξένον καὶ παράδοξον.

Ξένος, παρὰ τὸ ἔξω εἶναι· ἢ παρὰ τὸ ἐξεωσμένον εἶναι ἀπὸ τῶν ἰδίων· τὸ ξε ψιλὸν διατι; τὰ διὰ τοῦ ενος ὀνόματα βαρύτονα εἴτε ὀξύτονα, διὰ τοῦ ε γράφεται, οἷον, ξένος, σθένος ἡ δύναμις, ἔνος ὁ ἐνιαυτὸς, κενὸς ὁ μάταιος, πλὴν τοῦ αἶνος ὃ σημαίνει τὸν ἔπαινον.

Ξενοφῶν, ὁ ἐν τοῖς ξένοις νήφων, τουτέστιν εὐχόμενος· ἢ ὁ ἐν τοῖς ξένοις τόποις φονευόμενος.

Ξεστίον, διὰ τὸ ἀπεξεσμένον τοῦ εἴδους· ἢ διὰ τὸ ἀκριβὲς τοῦ μέτρου.

Ξηρὰ, ἐκ τοῦ ξηρὸς, τοῦτο παρὰ τὸ σκληρὸς, καὶ ἀποβολῇ τοῦ λ, καὶ κράσει τοῦ κσ εἰς ξ, ξηρὸς καὶ ξηρὰ θηλυκόν.

Ξηρὸν, παρὰ τὸ ξέω, ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων· τροπῇ τοῦ ε εἰς η, οὕτω Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων.

Ξηρὸς, ἐκ τοῦ σκληρὸς, ἀποβολῇ τοῦ λ γίνεται σκηρὸς, καὶ κατὰ συναίρεσιν τοῦ κσ εἰς ξ ξηρός· τὸ γὰρ ξ ἐκ τοῦ κ καὶ σ σύγκειται. τὸ ξη ἦτα· τὰ διὰ τοῦ ηρος ὀξύτονα ὀνόματα ἅπαντα διὰ τοῦ η γράφεται, οἷον, σκληρὸς, ξηρὸς, μηρὸς, πλὴν τοῦ καυστειρῆς ἀντιβολῆσαι [1]).

Ξίφος, παρὰ τὸ ξέειν· ἢ παρὰ τὸ ὀξύνεσθαι πρὸς φονόν· ἢ παρὰ τὸ ξύω ξύσω, ξύφος καὶ ξίφος· τὸ ξι ἰῶτα· τὰ εἰς φος ὀνόματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, ἔριφος, στέριφος καὶ ξίφος καὶ εἴ τι ὅμοιον· καὶ ἄλλως, τὸ ξι ἰῶτα διάτι; τὰ εἰς φος ὀνόματα οὐδέτερα διὰ τοῦ ι γράφεται· οἷον, ξίφος, ἀρσενικὸν στέριφος, ἔριφος.

Ξηνὸς καὶ ἐπίξηνος, ὁ κορμὸς διὰ τοῦ ἦτα· ἐν ᾧ τὰ κρέα ξαίνονται· λόγος· τὸ ξι δὲ ὅτι ἐν τῷ γράφεσθαι [2]), πλεῖον τῶν ἄλλων ξαίεσθαι τὸν χαρακτῆρα αὐτοῦ, ἔχει μακρὰν γραφήν· ἄλλοι δὲ ὅτι ἡ τούτου ἐκφώνησις, ὡσεὶ ξύσματός ἐστιν ἦχος, ἀπὸ σιδήρου γινόμενος.

Ξηραίνω, ἐκ τοῦ ξηρὸς, τοῦτο παρὰ τὸ σκληραίνω, τοῦτο παρὰ τὸ σκληρὸς, ἀποβολῇ τοῦ λ, καὶ κράσει τοῦ κσ εἰς ξ, ξηρός.

Ξίρις, διὰ τοῦ ἰῶτα. ἔστι δὲ εἶδος ἀρωματικοῦ φυτοῦ· ἰστέον δὲ ὅτι τινὲς μὲν τῶν λεξιγράφων, διὰ τοῦ ι γράφουσιν αὐτὸ, τινὲς δὲ διὰ τῆς ει διφθόγγου, λέγεται δὲ ξίρις, ἐξ οὗ καὶ τὰ ξιρία· ὁ μέντοι Ὧρος ἐν τῇ οἰκείᾳ ὀρθογραφίᾳ διὰ τῆς ει διφθόγγου γράφει, ἐν δὲ τῷ ὑπομνήματι τῆς ὀρθογραφίας τῶν ἡρώων ἐπικρον τὴν διὰ τοῦ ι γράφει. γράφεται δὲ διὰ τοῦ ἰῶτα, ἐπειδὴ τὰ εἰς ρος βαρύτονα οὐ παραλήγεται τῇ ει διφθόγγῳ, οἷον, ἔρις, θῆρις, ἶρις, Σίρις ὄνομα πόλεως Φοινίκης· κίρις ἔστι δὲ εἶδος ὀρνέου, Τίρις, Βούσιρις, Ὄσιρις, οὕτω καὶ ξίρις· πρόσκειται βαρύτονα, διὰ τὸ χειρὶς χειρίδος, σημαίνει δὲ τὸ χειρομάνοικον.

Ξόανον, παρὰ τὸ ξέω ξέανον καὶ ξόανον.

Ξόανον, καὶ βρέτας καὶ εἴδωλον διαφέρει· ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσμένον εἴδωλον, λίθινον ἢ ἐλεφάντινον ἢ ξύλινον· βρέτας δὲ τῷ βρότῳ ὅμοιον, ἤτοι χαλκοῦν, ἢ ἐξ εὐφεροῦς ὕλης πεποιημένον· ἄγαλμα δὲ τὸ παρὰ μηρὸν, ἢ ἐκ τινὸς ἑτέρου λίθου κατεσκευασμένον.

Ξύλον, ὅτι ξῦλος ὀλεῖ [3].

Ξύλον, παρὰ τὸν ξύσω μέλλοντα. διὰ τὸ ξύεσθαι αὐτό· η διὰ τὸ ξύνεσθαι καὶ λεαίνεσθαι, τουτέστι λεπίζεσθαι· ἢ διὰ τὸ ξηρὰν ὕλην ἔχειν.

Ξυναυλιζόμενοι, συναθροιζόμενοι, ἢ συνεσθίοντες παρὰ τὸ ἅλας ἐκ τοῦ ἅλς ἁλὸς ἁλίζω καὶ συναυλίζω· συναθροιζόμενοι δὲ παρὰ τὸ ἁλίζω, ἁλίσω γὰρ τὸ συνάγω καὶ συναθροίζω τροπῇ τοῦ σ εἰς ξ [3]).

Ξυνάρασθαι, συναρμόσασθαι, συγκαταθέσθαι, ἀπὸ τοῦ ἄρω, ὃ σημαίνει τὸ ἁρμόζω. ὁ μέλλων ἀρῶ, ὁ μέσος ἠράμην, καὶ τὸ ἀπαρέμφατον ἄρασθαι καὶ ξυνάρασθαι.

Ξυνεδέσαντο, συνδεδεμένοι ἦσαν· ἀπὸ τοῦ δέω, ὃ σημαίνει τὸ δεσμεύω, ὁ παθητικὸς ὑπερσυντελικὸς ἐδεδέμην καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐδέδεντο καὶ τὸ Ἰωνικὸν ἐδεδέσατο, τροπῇ τοῦ σ εἰς ξ· ξυνεδεδέατο· συντάσσεται μετὰ αἰτιατικῆς.

Ξυνέηκε, ῥῆμα, καὶ οἱ Ἀττικοὶ τὸ σ πῇ μὲν εἰς τ τρέπουσι, πῇ δὲ εἰς ξ· τὸ γὰρ σὺν ξὺν λέγουσι, τὸ δὲ σοὶ τοί· ὁμοίως δὲ καὶ τὴν σὺν πρόθεσιν ξὺν λέγουσι· τὴν γὰρ συμφορὰν ξυμφορὰν, καὶ τὸ σύμπαν ξύμπαν· ἔστι δὲ ἀόριστος πρῶτος· ἵημι τὸ γινώσκω καὶ αἰσθάνομαι, ἥσω, ἧκα, καὶ τὸ τρίτον ἧκε, καὶ πλεονασμῷ τοῦ ε, ἔηκε, καὶ μετὰ τῆς ξὺν προθέσεως ξυνέηκε.

Ξύτρα, χλανίς.

Ξυστίδια, περιβόλαια.

Ξυνήϊα, κοινὰ πράγματα.

Ξύνιον, ἐπείθοντο, ἡ μεταφορὰ ἀπὸ τῶν ἐπὶ σκοπὸν βαλλόντων, ξυνίειν γὰρ, τὸ ἐπὶ τὸ αὐτὰ, τῇ τοῦ συμβουλεύοντος φέρεσθαι γνώμῃ.

Ξύλον, παρὰ τὸν ξύσω μέλλοντα· οὐδεμία γὰρ ὕλη πρὸς τὸ ξύειν ἐπιτηδειοτέρα· ἔνθεν καὶ ξηρόν· πᾶν γὰρ τὸ ξυόμενον ξηρὸν γίνεται.

Ξυμβαίνων, συμβαίνων.

Ξυνεῤῥώγη, συνεῤῥάγη, διελύθη, ἀπὸ τοῦ ῥήσσω ὁ μέσος παρακείμενος ἔῤῥηγα, καὶ ὁ ὑπερσυντελικὸς ἐῤῥήγειν, καὶ τροπῇ τοῦ η εἰς ω, ἐῤῥώγειν καὶ συνεῤῥώγειν, κατὰ τροπὴν τοῦ σ εἰς ξ, ξυνεῤῥώγειν.

Ξυνθήματος, συνθήματος· ἔστι δὲ σημεῖον, ἢ πρόσφθεγμα διδόμενον ἐπὶ γνωρισμῷ τῶν οἰκείων ἐν πολέμῳ· ἢ ἑτέρᾳ τινὶ ἐπιβουλῇ.

Ξύνθακος, συγκάθεδρος.

Ξυνήϊα, ἐκ τοῦ κέω, κέεμαι, κεῖμαι, ἡ μετοχὴ κειμενος· ἀπὸ τῆς σὺν προθέσεως παρὰ Ἀττικοῖς λέγεται ξὺν, γίνεται ὄνομα ξυνός. ἐκ τούτου ξύνειος, καὶ τὸ οὐδέτερον ξύνειον, ὥσπερ κοινὸν κοινεῖον, καὶ διαιρέσει Ἰωνικῇ ξυνέϊον καὶ τροπῇ τοῦ ε εἰ η ξυνήϊον· καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ξυνήϊα.

Ξυνίστωρ, συμπράκτωρ, σύμβουλος, συγγνώστης· παρὰ τὸ εἴδω ῥῆμα τὸ σημαῖνον τὸ γινώσκω, ὁ μέλλων εἴσω· ἐκ τούτου ἵστωρ καὶ συνίστωρ.

Ξυνωρίδα, ζυγήν· κυρίως δὲ ἐπὶ τῶν ἡμιόνων· ὀρεὺς γὰρ ὁ ἡμίονος.

Ξυνὸς, κοινός, οἶμαι ὥσπερ τὶς συνὸς, ἢ συνὼν τινί· παρὰ τὴν ξὺν πρόθεσιν.

---

1) Il. XII, 516. 2) τὸ ξι etc. vid. Etymol. M. v. ξυ. 3) Forsan et ξύφος· τῷ λ. enim τὸ φ superinducta erat, vel contra, sic ℞. 3) Corrupte. 4) L. λεγομένης.

Ξυνωρὶς, σημαίνει τὴν δυάδα, καὶ τὴν ἀδελφότητα· γίνεται ἐκ τοῦ ξύνωρος, ὃ μετά τινος συναρμοζόμενος· τοῦτο ἐκ τῆς ξὺν Ἀττικῆς προθέσεως, καὶ τοῦ ἄρω τὸ ἁρμόζω· ἐκ τούτου οὖν ξυάορος, τὸ θηλυκὸν ἡ ξυνάορος, καὶ ξυνωορὶς, καὶ κράσει τοῦ α ο εἰς ω, ξυνωρίς.

Ξυνωρὶς, ἐπὶ δυσί· ζεῦγος ἐπὶ πλειόνων· οὕτω τὰ τέθριππα ζεύγη λέγουσι.

Ξυρὸν, παρὰ τὸ ξύειν ῥᾷον.

Ξυρὸν, παρὰ τὸ ξέω γίνεται ξυρόν.

Τέλος τοῦ Ξ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ο ΣΤΟΙΧΕΙΟΥ.

Ὅ, ἄρθρον, ὑποτακτικὸν, μεταχθὲν εἰς ἀντωνυμίαν ἀναφορικὴν ὅ· ἔθος γὰρ τῷ ποιητῇ τὰ ὑποτακτικὰ τῶν ἄρθρων εἰς ἀντωνυμίαν μετάγειν, ὅτε οὐκ ἔχει ὑποκείμενον εἰς ὃ συνταχθῇ· τὸ δὲ ἕνεκά σφιν, ἀντὶ τούτου χάριν· τῷ δ' ἐπετοξάζοντο [1]), ἀντὶ τοῦ ἐτοξάζοντο. τὸν δ' ἀπαμειβόμενος, ἀντὶ τοῦ, πρὸς τοῦτον δέ. σημαίνει τὸ ὁ ἕξ, ἄρθρον προτακτικὸν καὶ ὑποτακτικὸν, καὶ ἀντωνυμίαν τρίτου προσώπου ἀναφορικοῦ, ὁ γὰρ βασιλῆϊ, ἀντὶ τούτου, ὁ μὲν οὔτι τόσον τελέθει κακὸν, ἔνδοθι μίμνον, τουτέστι, νῦν δὲ τοῦτο μὲν ὑπάρχει κακόν· ἀντὶ τοῦ ὅτι· λεύσσετε γὰρ τόγε πάντες ὅ μοι γέρας· ἀντὶ τοῦ διὸ, τοίου γάρ κε πατρὸς ὃ καὶ πεπνυμένα βάζεις· καὶ εἰς τὸ ἀλλότι.

Ὀ, ὅτι κατὰ περίκλασιν φωνῆς ἐκφωνεῖται τὸ ὄνομα τοῦ στοιχείου, ἡ δὲ ἐκφώνησις ἐμφερής ἐστι τῷ χαρακτῆρι.

Ὄαροι, αἱ γαμεταὶ, παρὰ τὸ ὁμοῦ ἀρηρέναι, ὁμόαροι.

Ὀβελίσκος, παρὰ τὸ ὀφέλλειν, καὶ εἰς μῆκος αὔξεσθαι.

Ὀβελὸς, τὸ ο πλεονασμός ἐστι· ἔστι γὰρ ῥῆμα βάλλω, καὶ ἀπὸ τοῦ βάλλω ῥήματος, τρία γένη γεννῶνται· καὶ ἐκ τοῦ ἐκβάλλω γίνεται βολὴ καὶ βουλὴ θηλυκόν· καὶ βάλλω βελὸς ὀξύτονον, καὶ πλεονασμῷ τοῦ ο. τὸ βε ψιλόν.

Ὀβελὸς, παρὰ τὸ βελεῖ ἐοικέναι.

Ὀβελὸς ὀβολοῦ διαφέρει· ὀβελὸς μὲν γάρ ἐστιν εἰς ὃν ἀμπείρονται τὰ κρέα, μέλλοντα ὀπτᾶσθαι· ὀβολὸς δὲ μέρος δραχμῆς.

Ὀβολὸς, ὁ ἐξ ἀργυρίου ἄγει γράμματα τρία, ὁμοίως καὶ ὁ ἀπὸ σιδήρου· καὶ ἄλλως, ὀβολὸς καὶ αὐτὸς ἐν ἀργυρίοις ἐτύπωτο· ὄγδοον δὲ ἦν καὶ τοῦτο τῆς οὐγκίας, οὐκ ἐξ ἀργυρίου, ἀλλ' ἀπὸ σιδήρου πεποιημένος, ὀβολὸς δὲ οὗτος ἦν· ἦν δὲ καὶ ἕτερος ὀβολὸς ἐξ ἀργυρίου πεποιημένος, τυπτόμενος ὢν, ὃ ἦν λεπτότατον, ὀγδοηκοστὸν δέ ἐστι τῆς οὐγκίας· λέγεται γὰρ ἐν τῷ Λευϊτικῷ τόδε δίδραχμον εἴκοσιν ὀβολοί· ὅτι δὲ τέταρτόν ἐστι τῆς οὐγκίας· τὸ δὲ τέταρτον ἐνδείξαμεν.

Ὄβριμος, ὁ ἰσχυρός· τὸ βρι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιμος παράγωγα, ὑπὲρ δύο συλλαβὰς, μὴ ὄντα παρὰ τὸ σχῆμα καὶ σῆμα καὶ φήμη συγκείμενα, διὰ τοῦ ι γράφεται. γίνεται ἐκ τοῦ βρι ἐπιῤῥήματος, σημαίνει δὲ τὸ μεγάλως καὶ ἰσχυρῶς, βρίμος, καὶ πλεονασμῷ τοῦ ο ὄβριμος· ἐκ δὲ τοῦ βριμῶ ῥήματος, καὶ μετὰ τῆς ἐν προθέσεως ἐμβριμῶ, σημαίνει τὸ ἐπιτιμῶ.

Ὄβρυζος, παρὰ τὸ ἁβρὸν, ὃ σημαίνει τὸ τρυφερόν· καὶ εἰς τὸ βαιόν.

Ὀβριμοεργὸς, μεγαλοεργὸς, μεγαλοπράγμων.

Ὅγε, οὗτος, τὸ ὁ ἀντωνυμία, τὸ γὲ σύνδεσμος.

Ὅγε καὶ, ὅδε σύνδεσμοι, μετὰ τοῦ πρώτου τῆς πρωτοτύπου ἀντωνυμίας· ὁ μὲν γε ἐν συνθέσει ἐστὶ, ἔγωγε, σύγε, ὁ δὲ δε ἐν παραθέσει, ἐγώδε, σύδε, μετὰ τοῦ τρίτου ἀνάπαλιν. ὁ μὲν γε ἐν παραθέσει, ὅ γε· ὁ δὲ δε ἐν συνθέσει, ὅδε, ἥδε, τόδε.

Ὀγδοὰς, ἀπὸ τοῦ ἄγειν δύο τετράδας, ἢ ἀγοδυάς τις οὖσα· πολλὰς γὰρ ἄγει δυάδας.

Ὅγε, δύο μέρη λόγου εἰσὶν, ἢ ἕν; δύο· ὁ ἄρθρον, γε σύνδεσμος. ἐν συνθέσει ἐστὶν ἢ ἐν παραθέσει; παράλληλος σύνταξίς ἐστι λέξεως, ἑκάστης τὸν ἴδιον τόνον [2]) φυλαττούσης· τὰ ἐπεκτεινόμενα διὰ τῆς δε, διὰ τῆς γε οὐκ ἐπεκτείνονται, τοῖος τοιόσδε, τόσος τοσόσδε, τοσόσγε οὐ λέγεται. καὶ τὰ ἐπεκτεινόμενα διὰ τῆς γε, διὰ τῆς δε οὐκ ἐπεκτείνονται, οἷον, ἐγὼ ἔγωγε, ἐμοὶ ἔμοιγε.

Ὁ δεῖνα, αἱ ὑπὲρ μίαν συλλαβὴν μονοπρόσωποι ἀντωνυμίαι θέλουσιν ἔχειν δίφθογγον, αὐτὸς, ἐκεῖνος, οὗτος, μόνον τὸ ὅδε οὐκ ἔχει· τούτου χάριν τὸ ὁ δεῖνα ἔχει τὴν ει δίφθογγον· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ μὶν, καὶ σφίν· μονοπρόσωποι δὲ λέγονται αὗται, ἐπειδὴ οὐκ ἔχουσι πρῶτον καὶ δεύτερον πρόσωπον, κατὰ τὴν ἀκολουθίαν· τὸ γὰρ ἐγὼ, σὺ, οὐκ εἰσὶ τούτων ἀλλὰ τοῦ ἵ.

Ὁ δεῖνα, διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ τὸ νεάπολις δύο ὀνόματά εἰσι, καθ' ἓν ὑποκειμένου [3]· τινὲς δὲ λέγουσιν, ὅτι μία λέξις ἐστὶν, καὶ οὐ δύο, οἵ τινες κακῶς λέγουσιν· εἰ γὰρ ἦν μία λέξις, οὐκ ὤφειλε κατὰ πτῶσιν ἐναλλάττεσθαι ἡ ἄρχουσα. οἷον, ὁ δεῖνα τοῦ δείνατος, τῷ δείνατι· τῆς γὰρ μίας λέξεως ἐν τῇ κλίσει φυλάττεται ἡ ἄρχουσα, φιλάνθρωπος φιλανθρώπου, φιλανθρώπῳ· τοῦτο δὲ διὰ τῆς ει διφθόγγου γράφεται, ἐχούσης οὕτω τῆς παραδόσεως, καὶ ἴσως πλανηθείσης, ἐκ τοῦ, τινὰς λέγειν, ὅτι μία λέξις ἐστίν· οἱ γὰρ λέγοντες, ὅτι μία λέξις ἐστιν, λέγουσιν, ὅτι παρὰ τὴν ὅδε ἀντωνυμίαν γέγονε ὁ δεῖνα, καὶ ἐν συναιρέσει ὁ δεῖνα· ἄλλως τε δὲ, διὰ τῆς ει διφθόγγου γράφεται, ὅτι αἱ ὑπὲρ μίαν συλλαβὴν μονοπρόσωποι ἀντωνυμίαι, θέλουσιν ἔχειν δίφθογγον· οἷον, ἐκεῖνος, οὗτος, αὐτὸς, χωρὶς τοῦ ὅδε· τούτου χάριν καὶ τὸ ὁ δεῖνα διὰ τῆς ει διφθόγγου γράφεται.

Ὁ δεῖνα, ἀντωνυμία, τοῦ δεινοῦ, τὸν δεῖνα· λέγεται καὶ ὁ δεὶν τοῦ δεῖνος, τὸν δεῖνα.

Ὀγκάνος, ὁ ἐπικαμπὴς σίδηρος, ἐκ τοῦ κάμπτω, ἐξ οὗ λέγεται καὶ ὀγκινάριον καὶ διόγκινον καὶ τριόγκινον. Ὄγκιον δὲ τὸ ἀγγεῖον, ἐν ᾧ τὰ σίδηρα ἐκβάλλουσι. ὄγκοι γὰρ αἱ γωνίαι τῶν βελῶν, ἐξ οὗ καὶ οὐγκία τὸ μέτρον, καὶ ὄγκος ἡ ὑπερηφανία, καὶ τὸ μέγεθος τοῦ πόσου.

---

1) Il. III. 79. 2) an τόπον? 3) Suppl. ex Etym. M. h. v.

Ὀδαισμὸς, ὀδόντων τρισμός.

Ὅδε καὶ ὁδὶ διαφέρει· ὅδε μὲν γάρ ἐστιν ἀναφορικῶς, ὁδὶ δὲ δεικτικῶς, καὶ μόνον κατ' ἐπέκτασιν.

Ὀγδοὰς λέγεται οἱονεὶ ὀγδοδυὰς παρὰ τὸ δύο ἄγειν, διχοτομουμένη γὰρ, καὶ τὰ ταύτης μέρη εἰς μονάδας καταντᾷ. διαιρεῖται γὰρ εἰς τέσσαρα καὶ τέσσαρα· καὶ τὰ τέσσαρα εἰς δύο, καὶ τὸ δύο εἰς μία, καὶ μία· εἰ δέ τις εἴπῃ ὅτι τούτῳ τῷ λόγῳ, καὶ ἡ τετρὰς ὤφειλεν ὀγδοὰς λέγεσθαι, διότι καὶ αὐτὴ, διχοτομουμένη ἔρχεται ἄχρι τῆς μονάδος, διαιρεῖται γὰρ εἰς δύο, καὶ τὰ δύο εἰς μία καὶ μία, λέγομεν, ὅτι αἱ ἐτυμολογίαι οὐκ ἀντιστρέφουσιν. ἰδοὺ γὰρ λέγεται σῖτος παρὰ τὸ σείεσθαι, καὶ οὐ μόνον ὁ σῖτος σείεται, ἀλλὰ καὶ κριθὴ καὶ ἄλλοι καρποὶ, καὶ οὐ παρὰ τούτου λέγεται ἡ κριθὴ, ἢ ἄλλοι καρποὶ σῖτος.

Ὀδίτης, ὁ πολίτης, ἀμφότερον διὰ τοῦ ι, τῷ λόγῳ τοῦ λογχίτης.

Ὀδωδὸς, ὄδω καὶ ὄδωδα.

Ὀδὸς, παρὰ τὸ ἕω τὸ εἰσπέμπω, ἕω, ὀδὸς, ὡς σβέω σβοδὸς, καὶ μεταθέσει τοῦ β εἰς π σποδὸς, ἐκ δὲ τοῦ ἕω ἡ ὁδὸς δασύνεται.

Ὀδυνᾶται, παρὰ τὸ ἐσθίειν καὶ ἔδειν τὴν ψυχὴν, κατὰ τὸ σὴν ἔδεαι κραδίην.

Ὁδὸς σημαίνει τὸν βίον, τὴν ἔνεδραν, τὴν κοινῶς νοουμένην ὁδὸν, καὶ μέτρον ὁδοῦ.

Ὁδοπόρος καὶ ὁδοιπόρος, ὁδοιπορεῖν, ἐκ τοῦ ὁδὸς καὶ τοῦ περῶ, γίνεται ὁδοπορία, καὶ πλεονασμῷ τοῦ ι ὁδοιπορία.

Ὀθνεῖον, ὑπέρθεσις στοιχείων· ὡς ἄριστος ἀριστεῖον, κόταμος κοτταμεῖον. νόθος νοθεῖον, καὶ μεταθέσει τοῦ ν, ὀθνεῖον, τὸν νόθον.

Ὄζος, παρὰ τὸ ἄζω, ἄζειν καὶ ὄζειν, τὸ ἐγκαθήμενον τῷ περιπεπαρμένῳ ξύλῳ.

Ὀδύνη ὠδῖνος διαφέρει. ὀδύνη μὲν γὰρ ἐπὶ τοῦ ἐλαφρότερον πονεῖν λέγεται, καὶ κλίνεται ὀδύνη ὀδύνης· ἡ δὲ ὠδὶς ἐπὶ τοῦ δριμυτέρως καὶ βαρέως πονεῖν τὰς τικτούσας εἴρηται, καὶ κλίνεται ὠδὶς ὠδῖνος.

Ὀδύνη, παρὰ τὸ ἔδω, τὸ ἐσθίω, ἡ τὴν ψυχὴν καὶ τὸ σῶμα ἔδουσα, ἤγουν ἐσθίουσα.

Ὀδῶ, σημαίνει τέσσαρα· ὀδῶ τὸ ὄζω καὶ πνέω, καὶ ὠδία ἡ ὀσμὴ, καὶ μετὰ τοῦ δὺς μορίου, δυσωδία. ὀδῶ τὸ μερίζω, ἐξ οὗ καὶ ὠδία καὶ εὐωδία ἡ καλὴ ὀσμή. ὀδῶ τὸ ᾄδω ἐξ οὗ καὶ ὠδία ἡ ᾠδὴ, καὶ εὐωδία ἡ καλὴ ᾠδὴ, κατ' ἐπέκτασιν τοῦ ο βραχέος εἰς ω. ὀδῶ τὸ πορεύομαι, ἐξ οὗ καὶ ὀδία ἡ ὁδὸς, καὶ εὐοδία ἡ καλὴ ὁδὸς, διὰ τοῦ ο μικροῦ.

Ὀδύσσεια, διὰ τῆς ει διφθόγγου, πρῶτον μὲν ὅτι τὰ διὰ τοῦ εια προπαροξύτονα· πόθεν Ὀδυσσεύς; παρὰ τὸ ἐν τῇ ὁδῷ ὗσαι τὸν Δία.

Ὀδυσσῆα, Ὀδυσσεὺς δὲ εἴρηται ἀπὸ τῆς ἱστορίας. Ἀντίκλειαν γὰρ φησὶ τὴν Ὀδυσσέως μητέρα, ἐγκύμονον οὖσαν, ὁδεύουσαν τὸ ἤριστον ὄρος τῆς Ἰθάκης, ὕσαντος πολὺ τοῦ Διὸς, ὑπὸ ἀγωνίας τε καὶ φόβου καταπεσοῦσαν, ἀποτεκεῖν τὸν Ὀδυσσέα, καὶ διὰ τοῦτου αὐτὸς ταύτης τῆς ὀνομασίας ἔτυχεν· ἐπειδὴ κατὰ τὴν ὁδὸν ὗσεν ὁ Ζεύς.

Ὀδυσσῆος, παρὰ τὸ ὀδύσασθαι, ὅ ἐστι τὸ ὀργίζεσθαι.

Ὀδῶδα, πόθεν; ἔστι ῥῆμα ὀδῶ, ὁ μέλλων ὀδώσω. ὁ παρακείμενος ὤδωκα, ὁ μέσος ὦδα, καὶ Ἀττικῶς ὀδώδα, ἐξ οὗ καὶ ἀδυστηπὰς τὸ α.

Ὄζος, ὁ κλάδος, ἐκ τοῦ ἵζω τὸ καθέζομαι, οἱονεὶ τὸ ἐγκαθήμενον καὶ ἐμπεπαρμένον τῷ ξύλῳ λέγεται δὲ καὶ μεταφορικῶς, ἐπὶ τῆς γενεᾶς· ἢ εἰς ὃν κάθηνται οἱ νεοσσοὶ, ἐκ τοῦ νεωστὶ σέβεσθαι.

Ὄζω, καὶ περισπώμενον ὀζῶ, ὀζέσω, ὤζεσα, καὶ προσώζεσεν, ὥσπερ πιέζω πιεζῶ.

Ὄθεν ψιλούμενον, ἐπίῤῥημα εὐχῆς σημαντικὸν, πρὸς ἀντιδιαστολὴν τοῦ ὅθεν δασυνομένου, τοπικοῦ ἐπιῤῥήματος· ἐκ γὰρ τοῦ ἔθεν τοῦ γραφομένου διὰ τοῦ ε, ὅπερ καὶ πλεονασμῷ τοῦ ι, γίνεται εἴθε, γέγονε τοῦτο, οἷον ἔθεν, ὄθεν, ὥς τισι δοκεῖ.

Ὄθι, ὥσπερ ἀπὸ τοῦ ὑψόθεν ὑψόθι, οὕτω καὶ ἀπὸ τοῦ ὅθεν ὅθι· διαφέρειν τὸ ὅθεν τοῦ ὅθι· ὅτι τὸ μὲν ὅθι ἐπίῤῥημά ἐστι τοπικὸν, καὶ δηλοῖ τὴν εἰς τόπον σχέσιν· τὸ δὲ ὅθεν τὴν ἐκ τόπου.

Ὀθνεῖαν, σημαίνει τὴν ξένην καὶ θαυμαστήν· γέγονε δὲ παρὰ τὸ νόθος νοθεῖος, καὶ κατ' ὑπερβίβασιν ὀθνεῖος. καὶ τὸ θηλυκὸν ὀθνεία· ἢ παρὰ τὸ νόθος, νοθεύω, νοθεῖος, καὶ μεταθέσει τοῦ ν ὀθνεῖος.

Ὀθόνη, τὸ θο μικρὸν διάτι; γίνεται ἐκ τοῦ ὄθω, τὸ ἐπιστροφὴν ποιοῦμαι, οἱονεὶ τὸ μαλακὸν, καὶ εὐένδοτον, καὶ ἐπίστροφον.

Ὀθόνη, ἔστι θέω τὸ ἐλαύνω, τοῦτο καθ' ὑπερβιβασμὸν ἔθω τὸ καίω, καὶ ἐξ αὐτοῦ τοῦ ἐλαύνω ὀθόνη. οὐ λέγεται δὲ τὸ λευκὸν μόνον ὀθόνη, ἀλλὰ πᾶν λεπτὸν ὕφασμα, ὅθεν εὐχερῶς ὑπὸ ἀνέμου ἐλαύνεται.

Ὀθόνη, παρὰ τὸ ὄθω, δηλοῦν τὴν κίνησιν, ὅθεν τὸ, οὐδ' ὄθομαι κοτέοντος· ἀντὶ τοῦ οὐ κινοῦμαι, οὐκ ἐπιστρέφομαι· καὶ τὸ ψεδνὴ δ' ἐπενήνοθε λάχνη· γίνεται δὲ ἀπὸ τοῦ ἐνόθω, ἤνοθα, ἐνήνοθεν, ἀντὶ τοῦ ἐνέκειτο. ὀθόνη οὖν ἡ εὐκίνητος, διὰ τὴν λεπτότητα. δύναται δὲ ὀθόνη τὸ λεπτὸν καὶ διαφανὲς ἱμάτιον, καθ' ἀποβολὴν τοῦ μ, παρὰ τὸ ὄθμα, τὸ ὄμμα, ὀθμόνη καὶ ὀθόνη.

Οἱονεὶ, ἐκ τοῦ οἷον ἐπιῤῥήματος εἰκασμοῦ, καὶ τοῦ εἰ συνδέσμου.

Οἱ ἄρθρον, πόσα σημαίνει; τέσσαρα. ἄρθρον προτακτικὸν ἀρσενικὸν πληθυντικόν· οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο· καὶ τὸ ὑποτακτικὸν, ἀγχοῦ Κυκλώπων, οἵ σφέας σινέσκοντο [1]· καὶ ἀντὶ τῆς οὗτοι ἀντωνυμίας, ὡς τὸ, οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο· καὶ ἄρθρον ἀντωνυμικὸν καὶ συζυγοῦν τῇ ἐμῇ σοὶ, ἥτις ἐγκλιθεῖσα σημαίνει ἀντωνυμίαν, ἀντὶ τοῦ αὐτῷ· ἥδε δὲ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή· ὀρθοτονούμενον σημαίνει ἑαυτῷ, ἢ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς [2].

Οἷ αὐτῷ, ὥσπερ λέγεται σφεῖς αὐτοὶ καὶ σφῶν αὐτῶν, καὶ σφίσιν αὐτοῖς, καὶ σφᾶς αὐτοὺς, οὕτω καὶ ἐπὶ τῷ ἑνικῷ, οἷ αὐτῷ.

Οἷο κασιγνήτοιο, τοῦ ἰδίου ἀδελφοῦ.

Οἷο κατιγνήτοιο, ἡ εὐθεῖα ὃς, οὗ, καὶ Ἰωνικῶς οἷο. ὁ κανὼν, οἱ Ἴωνες καὶ οἱ Θετταλοὶ τὰς εἰς ου γενικὰς, τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προσφέρουσι.

Ὁ οἱ, δύο μέρη λόγου, ὁ ἄρθρον, καὶ οἱ ἀντωνυμία.

Οἴγω, ἀνοίγω· καὶ εἰς τὸ ὑπειγμένος.

Οἰδήσεις, φλεγμοναὶ φυσήσεις.

Οἰδαίνει, ὀγκοῦται, φλεγμαίνει.

Οἶδα, ἔστι ῥῆμα εἴδω βαρύτονον καὶ περισπώμενον, ὃ

---

1) Od. VI, 5. 2) Il. V, 800.

ἐπίσω τὸ ἐπίσταμαι· τοῦ εἴδω ὁ παρακείμενος εἶδα· τροπῇ τοῦ ε εἰς οἶδα κατὰ Αἰολεῖς.

Οἴαξ. ὁ κανὼν δι' οὗ τὸ πηδάλιον φέρεται· ἐκ τοῦ οἴω τὸ κομίζω.

Οἰδαίνειν, θυμοῦσθαι, ἐπαίρεσθαι, φυσᾶσθαι, ἀπὸ τοῦ οἰδαίνω. τοῦτο παρὰ τὸ φῶ, ὃ σημαίνει τὸ προΐω, γίνεται φοιτῶ. ἐκ τούτου δὲ φοιταίνω, καὶ ἀποβολῇ τοῦ φ καὶ τροπῇ τοῦ τ εἰς δ, οἰδαίνω, συντάσσεται μετὰ δοτικῆς.

Οἶδμα. τὸ κῦμα, ἐκ τοῦ οἰδῶ τὸ ἐξογκοῦμαι, οἰδήσω, οἴδημα, καὶ συγκοπῇ οἶδμα.

Ὀϊζυρός. μοχθηρὸς, ἐπίπονος, ταχύς· τὸ ζυ μακρόν· ἐπειδὴ τὰ εἰς ρος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς, ὅτε ἔχουσι τὴν τρίτην ἀπὸ τέλους μακρὰν φύσει ἢ θέσει, πάντοτε ἔχουσι καὶ τὴν πρὸ τέλους μακρὰν, οἷον ἐχυρὸς, ὀϊζυρὸς, ἰσχυρός· γίνεται παρὰ τὸ ὀϊζύς, τοῦτο παρὰ τὸ οἴ σχετλιαστικὸν ἐπίρρημα, ὅπερ πλεονασμῷ τῆς μοι συλλαβῆς, οἴμοι. καὶ οἰμώζω, κατὰ παραγωγὴν οἴζω, καὶ ἐξ αὐτοῦ οἰζύω κατὰ παραγωγὴν, ὡς πλήθω πληθύω, καὶ διαλύσει τῆς οι διφθόγγου, ὀϊζύω καὶ ὀϊζυρός.

Οἰκῆες καὶ οἰκεῖοι διαφέρουσι, οἰκεῖοι μὲν γὰρ, οἱ κατ' ἐπιγαμίαν προσήκοντες· οἰκῆες καὶ ἅπαντες, οἱ ἐν τῇ οἰκίᾳ τυγχάνοντες τῇ αὐτῇ. εἴτε οἰκέται, εἴτε ἐλεύθεροι· καὶ Ὅμηρος· ὄφρ' ἴδωμεν, οἰκῆας, ἄλοχόν τε φίλον καὶ νήπιον υἱόν.

Οἴμη. ἡ ᾠδὴ, παρὰ τὸ ἐν τοῖς οἴμοις, τουτέστιν ταῖς ὁδοῖς ᾄδεσθαι.

Οἰκτίρμων καὶ οἰκτιρμὸς διὰ τοῦ ι, ἐὰν γὰρ ἀπὸ τοῦ μρ ἀπαντᾷ, καὶ φωνῆεν βραχὺ, ὡς τὸ οἰκτιρμὸς, διὰ τοῦ ι γράφεται, ἐὰν γὰρ φωνῆεν μακρὸν ἀπαντᾷ, ὡς τὸ οἰκτείρησον, τὸ κτει δίφθογγος, ἐκ τοῦ οἰκτείρω δὲ γίνεται οἰκτιρμός, τὸ δὲ οἰκτίρμων ἐκ τοῦ οἶκτος.

Οἰμώζειν, παρὰ τὸ οἴμοι, ὁμοίως πέπονθα οἰμώζειν παρὰ τὸ οἴμοι, ὡς παρὰ τὸ αἰαὶ αἰάζω.

Οἴκαδε τοῦ οἴκοι διαφέρει· οἴκαδε τὸ εἰς τὴν οἰκείαν οἰκίαν πορεύεσθαι. οἴκοι δὲ τὸ εἰς ἑτέρου τινός.

Οἴκαδε, ἐπίρρημα τοπικόν· καὶ διατί ἐστι προτέρα ἡ ἐν τόπῳ τὴν εἰς τόπον; ἐπειδὴ εἰ μὴ ἐν τόπῳ ᾖς, εἰς τόπον οὐ δύνασαι ἀπελθεῖν.

Οἴκαδε τοῦ εἰς οἶκον διαφέρει· τὸ μὲν γὰρ εἰς τὴν οἰκείαν οἰκίαν βαδίζειν, οἴκαδε φαμὲν τὸ δὲ εἰς ἕτερον εἰς οἶκον· καὶ εἰς τὸ ἀγορεῖν.

Οἰκεῖοι καὶ οἰκιακοὶ διαφέρουσι. οἰκεῖοι μὲν γὰρ οἱ κατ' ἐπιγαμίαν προσήκοντες· οἰκιακοὶ δὲ πάντες ἐν τῇ αὐτῇ οἰκίᾳ ὄντες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι.

Οἰκονομία ἐστι πρᾶγμα μὴ ὀφεῖλον γενέσθαι· γίνεται δὲ διὰ συγκατάβασιν καὶ ὠφέλειαν τινῶν.

Οἰκονομία, ἑκούσιος μεγέθους συγκατάβασις, πρὸς σωτηρίαν τινῶν τελουμένη.

Οἰκέται, εἰς τὸ δοῦλοι.

Οἰκόπεδον, παρὰ τὸ οἶκος καὶ τὸ πέδον· τοῦτο παρὰ τὸ ἕζω τὸ καθέζομαι, ἕδον καὶ πεδόν.

Οἶκος, διὰ τὸ ὑπὸ τινῶν κοσμεῖσθαι· ἢ διὰ τὸ τὴν ὕλην κεῖσθαι· ἢ διότι οἰκεῖται· ἢ παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ, εἰς ὃν ὑποχωροῦμεν.

Οἰκοδομῶ, ἐκ τοῦ οἶκος καὶ τοῦ δέμω, τὸ οἰκοδομῶ.

Οἶκτος, σημαίνει τὸν θρῆνον· ἔστιν οἴχω τὸ πορεύομαι, καὶ ἡ μετοχὴ οἰχόμενος καὶ κατοιχόμενοι, οἱ κάτω πορευόμενοι, ἤγουν νεκροὶ, τούτου ὁ παρακείμενος ᾦχα, ὁ παθητικὸς ᾦγμαι, ᾦκται· ἐξ αὐτοῦ οἶκτος, ὁ ἀποθανών· οἶκτος δὲ βαρυτόνως, ὁ ἐπὶ θανάτῳ θρῆνος.

Οἶκτος καὶ οἰκτιρμὸς διαφέρει· οἶκτος [1] μὲν ὁ κτιζόμενος· οἰκτιρμὸς δὲ ὁ λόγος τοῦ οἰκτείροντος.

Οἰκτρῶς, ἐλεεινῶς, ἀθλίως.

Οἰκέτιν, θεραπαινίδα, δούλην.

Οἶμος. ἡ ὁδὸς, παρὰ τὸ οἰμῆσαι, ὅ ἐστιν ὁρμῆσαι.

Οἶμος οἴμης διαφέρει· οἶμος μὲν γὰρ ἀρσενικῶς ἡ ὁδός· οἴμη δὲ ἡ ᾠδὴ θηλυκῶς, ἐξ οὗ καὶ παροιμία, διὰ τὸ περὶ τὴν ὁδὸν λαλεῖσθαι.

Οἶμος, ὅρμημα, παρὰ τὸ ἐν τοῖς οἴμοις, τουτέστιν ἐν ταῖς ὁδοῖς ᾄδεσθαι. ἐξ οὗ καὶ παροιμία. καὶ εἰς τὸ ἑτοιμασία.

Οἰμώζω, στενάζω, ἐκ τοῦ ὤμοι σχετλιαστικοῦ ἐπιρρήματος, ἐξ οὗ καὶ ὤζω· ἐκ τοῦ οὖν τοῦ ὤμοι ἐπιρρήματος γίνεται καθ' ὑπερβίβασιν οἰμώζω, ὁ παρατατικὸς ᾤμωζον, καὶ ᾤμωξα, διφορεῖται· τὸ μω μέγα· εἰς τὸ ἁρμόζω.

Οἰμωγὴν, ἡσύχιον, θρῆνον, στεναγμόν.

Οἰμωσταὶ, θρῆνοι, ἡσύχιοι, μᾶλλον παρὰ τὸ οἴμοι, ὅ ἐστι θρηνῶδες ἐπίφθεγμα.

Οἶνος, παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ· ἔπειτα δὲ καὐτὸς ὀνήσεται αἴ κε πίησθα· ἢ παρὰ τὸ οἶς, ὃ σημαίνει τὸ πρόβατον· οἱ παλαιοὶ γὰρ ἐγαλακτοτρόφουν, πρὸ τοῦ εὑρεθῆναι τὸν οἶνον, καὶ τὸν διονυσιακὸν καρπόν.

Οἶνος, παρὰ τὸ οἰῆσαι ἡμᾶς πίνοντας· Ἀριστοφάνης· οἶνον ἐτόλμησαν εἰς ἐπίνοιαν λοιδορεῖν· καὶ ἄλλως, παρὰ τὸ οἶος οἶνος, ὁ οἰήσεως ἡμᾶς πληρῶν· ἢ παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ ὄνος καὶ οἶνος.

Οἶνος, παρότι πινόμενος οἴει τὸν νοῦν, τουτέστι φυσιεῖ καὶ ἀμβλυωπεῖ, καὶ ἐν ἡμέρᾳ ὡς ἐν νυκτὶ διάγειν ποιεῖ.

Οἰνοχοὸς, πιγκέρνης· ὁ τὸν οἶνον ἐγχέων· καὶ οἰνοχοὴ τὸ κύαθον.

Οἰκονομῶ, παρὰ τὸ οἰκονόμος· διαφέρει οἰκονόμος καὶ φείδωλος· οἰκονόμος μὲν γάρ ἐστιν, ὁ φρονήσει καὶ ἀγχινοίᾳ [2]) ποιούμενος τὴν ἔξοδον τῶν διαφερόντων αὐτοῦ χρημάτων. φείδωλος δὲ ὁ πολλὰ μὲν εἰσδεχόμενος διδόναι, ὀλίγα δὲ πάσχων.

Οἶος, ὁ μόνος· ἔστιν εἷς ἑνός· ἐκ τοῦ εἷς γίνεται εἶος, καὶ τροπῇ τοῦ ε εἰς ο γίνεται οἶος, καὶ ψιλοῦται· ἡ γὰρ οι δίφθογγος, ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται· εἰ μὴ τὸ μ ἐπάγοιτο· σημαίνει δὲ τὸ μόνος. οἷος δὲ τὸ ἀναφορικὸν δασύνεται· τὰ γὰρ εὑρισκόμενα κατ' ἀποβολὴν ψιλοῦται· ἢ γεννῶντα ψιλὸν ἐν τῇ ἀρχῇ δασύνεται· οἷον, ποῖος, οἷος, τόσος ὅσος, πηνίκα ἡνίκα· καὶ εἶ καὶ ὀρφανός.

Οἰμωγαὶ, θρῆνοι, ἥσυχοι μᾶλλον, παρὰ τὸ οἴμοι, ὅ ἐστι θρηνῶδες ἐπίφθεγμα.

Οἶος καὶ οἴς· καὶ εἰς τὸ οἶνος, καὶ ὤαν καὶ οἴων.

Οἱ ἀντωνυμία ὀρθοτονεῖται ἢ ἐγκλίνεται· ὀρθοτονεῖται. καί τι διαφέρει τὰ ἄρθρα τὰ προτακτικὰ τῶν ὑποτακτικῶν; τὸ γὰρ οἱ ἄρθρον ἦν, ἀλλ' ἔστιν ἀντωνυμία· τὰ γὰρ ἄρθρα μὴ ἐπαγόμενα ὀνόματα, πρὸς ἃ ὑποτάσσωσι μετάγονται εἰς ἀντωνυμίαν· διαφέρει δὲ ὅτι τὸ μὲν προτάσσεται καὶ δασύνεται μόνον· τὸ δὲ ὑποτάσσεται καὶ δασύνεται καὶ ὀξύνεται.

Οἴσετε, ῥῆμα προστακτικὸν πληθυντικὸν, ἐνεστῶτος

[1]) L. οἰκτὸς . . ὁ οἰκτισ.   [2]) Γ. ἀγχινοίᾳ.

καὶ παρατατικοῦ· ἔστι γὰρ οἴσω μέλλων, καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα· ὥσπερ ἔστι καὶ τὸ ἄγω ἄξω· ἄξετε Πριάμοιο βίην· οὕτως ἔστι καὶ τὸν οἴσω μέλλοντα τοῦ ἐνεστῶτος [1]), οὐκ ἔχει, καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα καὶ γίνεται οἴσω· τοῦτο μεταγόμενον μέλλοντα οὐκ ἔχει· τὰ γὰρ ἀπὸ μελλόντων μεταγόμενα εἰς ἐνεστῶτα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται. τοῦτο τὸ προστακτικόν.

Οἴχη, ἐπίῤῥημα σχετλιαστικὸν, καὶ ἀποδεκτικόν.

Οἶτος, ὁ θάνατος, παρὰ τὸ οι καὶ τὸ μοι στεναγμοῦ ἐπίῤῥημα, παρ' οἷς μὲν καὶ τὸν μόχθον δηλοῖ· παρέπεται γὰρ τοῖς μοχθοῦσι, τὸ οι λέγων.

Οἶσθα, εἰδῶ ῥῆμα ἔστι περισπώμενον, οὗ ὁ μέλλων εἰδήσω· Ὅμηρος· μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους εἰδήσειν. τὸ εἰδῶ παράγωγον εἴδημι, ὡς τιθῶ τίθημι, δεύτερον οὖν πρόσωπον εἴδης, ἐπεκτάσει εἴδησθα, καὶ τροπῇ τοῦ ε εἰς ο, κατὰ Αἰολεῖς οἴδησθα, καὶ συγκοπῇ οἶσθα· καὶ ἀπὸ μὲν τοῦ εἰδήσω μέλλοντος εἰδήμων· ἀπὸ δὲ τοῦ εἴσω εἴδω, ἀποβολῇ τοῦ ε.

Ὀϊστὸς καὶ βέλος καὶ ἴος καὶ βιὸς διαφέρει· εἴρηται δὲ τόξον, ὅταν τείνηται ἐν τῇ νευρᾷ, παρὰ τὸ τάζω τὸ τανύω, τάζον καὶ τόξον· οἰστὸς δὲ ὅταν φέρηται καὶ βαστάζηται τὸ τόξον· ἐκ τοῦ οἴω τὸ κομίζω, καὶ φέρω, καὶ διαλύσει ὀϊστός. βέλος δὲ τὸ συστάδην καὶ οὐ μακρόθεν, ἀλλ' ἐγγύθεν βαλλόμενον, καὶ οἷον κρατούμενον τοῦ βέλους ἐν τῇ χειρί. ἴος δὲ παρὰ τὸ ἵημι τὸ πέμπω, ὅταν μακρὰν που πέμπηται ἀπὸ τῆς νευρᾶς· βιὸς δὲ ἀπ' αὐτῆς τῆς βίας, ἤτοι συντονίας καὶ στάσεως εἴρηται· ἢ ὅτι οἱ ἀρχαῖοι δι' αὐτοῦ τὰ πρὸς τὸν βίον εἶχον, ἤγουν τὰ πρὸς ζωὴν ἐκέκτηντο, θηρῶντες ἢ κυνηγοῦντες.

Ὀΐομαι, διὰ τοῦ ἰῶτα. ὥσπερ γὰρ ἀπὸ τοῦ ὀΐομαι γίνεται οἴομαι κατὰ συναίρεσιν, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ οἴομαι γίνεται κατὰ διάλυσιν τοῦ οι ὀΐομαι.

Οἶστρος, ὁ λεγόμενος μύωψ· ἔστι δὲ ζῶον ὑπόχαλκον τὴν μορφὴν, ὅπερ ἐὰν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν, ἐξοιστρεῖν ἀναγκάζει τοὺς βοάς· καὶ Καλλίμαχος· βοῦς σόον ὄντε μύωπα βοῶν καλέουσιν ἀμορβή [2])·

Οἴχομαι, παρὰ τὸ ἔχω, τὸ ἐλαύνω, οἴχω· ἢ παρὰ τὸ εἴκω οἰκῶ, ἐξ οὗ καὶ οἰκουμένη, οἰκοῦμαι, καὶ τροπῇ τοῦ κ εἰς χ, καὶ ἀποβολῇ τοῦ υ οἴχομαι.

Οἴχεται, περιπατεῖ, τρέχει, καὶ οἰχήσω.

Οἴχω, τὸ πορεύομαι, καὶ οἰχῶ τὸ περισσεύομαι.

Οἴω, εἰς τὸ ἀνύποιστος καὶ ἑλκύω, καὶ αἶα.

Οἴων, ὁ μὲν ποιητὴς ἀεὶ καὶ ἐν διαστάσει χρῆται μολοῖεσθαι, καὶ αἶγες· ὁμοίως δὲ καὶ ἐπ' εὐθείας ἐνικῶν· τοῖσι δ' οἶς λάσιος. Ἀρίσταρχος καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης, ὁ μὲν ἐν διαστάσει, ὁ δὲ ἐν συλλήψει· ἀναλογωτέρως δὲ ἐν διαστάσει· καθότι πολλά εἰσιν ὀνόματα, ἐπ' εὐθείας εἰς ις λήγοντα δισύλλαβα· οὐδὲν εἰς υς, πλὴν τοῦ ὗς [3]), ὃ σημαίνει τὸν χοῖρον.

Οἰοπόλοισι, ἢ ἐρήμοις, ἐν οἷς ἔστι μόνον πολεῖσθαι, ὅ ἐστιν ἀνατρέφεσθαι· ἢ ἱμέροις, ἐν οἷς ἂν τις πορεύοιτο δισσήμερον· ἢ ἐν οἷς οἶες ἀνατρέφονται, οἷον ὅπου νέμονται τὰ πρόβατα.

Ὄϊς, ἰστέον δὲ ὅτι τὸ ὄϊς ἡ εὐθεῖα τῶν πληθυντικῶν διὰ τοῦ ι γράφεται· ἀπὸ γὰρ τοῦ ὄϊες γέγονε, κράσει τοῦ ι καὶ ε εἰς ἰῶτα μακρόν [4]).

Οἰονοπόλοι, εἰς τὸ ὀνειροπόλοι.

Οἰωνοῖσι, σαρκοφάγοις ὀρνέοις· τὸ νοι διφθόγγῳ· αἱ εἰς σι πληθυντικαὶ δοτικαὶ, ἐπεκτάσει Ἰωνικῇ γίνονται· οἰωνὸς, ὥσπερ παρὰ τὸ κοινῶ, κοινώσω, κοινωνὸς, οὕτω καὶ ἀπὸ τοῦ οἰῶ, τὸ μονῶ, ὁ μέλλων οἰώσω, καὶ ἐξ αὐτοῦ οἰωνὸς, μόνον γὰρ τὸ ζῶον αὐλίζεται. ὁ παρακείμενος οἴωκα, ὁ παθητικὸς οἴωμαι, ὁ ἀόριστος οἰώθην, τὸ ἐμονώθην· τὸ οι δίφθογγος, παρὰ τὸ οἶος, ὃ σημαίνει τὸν μόνον· καὶ εἰς τὸ γελοῖος.

Οἴοις, δοτικὴ τῶν πληθυντικῶν, παρὰ τὸ οἶος, ὃ δηλοῖ τὸ μόνον· τὸ δὲ οἶος ἐκ τοῦ μία, ἀποβολῇ τοῦ μ, ἴα, ἴος, πλεονασμῷ τοῦ οι οἶος· ἐξ οὗ ἐπίῤῥημα χρονικὸν δηλωτικὸν οἶος.

Ὀκλάσαι, παρὰ τὸ κλάσαι, κατὰ πλεονασμὸν τοῦ ο, ὅ ἐστι κλάσαι, διὰ τὸ ὥσπερ κλάσειν [5]) ὑπομένειν τὰ γόνατα.

Ὀκλαδιᾶν καὶ ὀκλάζειν, παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα ἐν τῷ καθέζεσθαι· ὅθεν καὶ κλὰξ ἐπίῤῥημα.

Οἴουλος, τὸ γένειον, ὅταν ἐκφύειν ἄρχηται, ἡ πρώτη βλάστησις τῶν τριχῶν.

Οἰωνὸς, ὄρνις, γὺψ, ὅτι καὶ χωρὶς μίξεως πέφυκε πολλάκις τίκτειν ἐξ ἀνέμου· οὕτω φασὶ κυρίως ἐπὶ τῶν γύπων οἰωνούς, οὕτω γὰρ κατὰ φύσιν ποιοῦσιν τὸ ἐξ ἀνέμου τίκτειν· λέγεται δὲ καὶ οἰωνὸς ὄρνις μαντευτικὸς, δι' ὧν ἔλεγον τὰ συμβησόμενα, βλέποντες ἃ ἐποίουν σημεῖα· εἴρηται οἰωνιστικὴ, παρὰ τὴν τῶν ἀνθρώπων οἴησιν ἤγουν νόμισιν.

Ὄκνος, ἔστι κινῶ καὶ μετὰ τοῦ στερητικοῦ α ἄκινος, καὶ κατὰ συγκοπὴν ἄκνος, καὶ τροπῇ τοῦ α εἰς ο ὄκνος, ὁ μὴ κινεῖσθαι ἡμᾶς ποιῶν· ἢ παρὰ τὸ καίνω τὸ κόπτω· ὁ γὰρ κόπος κόπτει τὴν δύναμιν· καὶ εἰς τὸ φόβος.

Ὄκνος, ὁ ποιῶν ἀκινήτους· τροπῇ τοῦ α εἰς ο.

Ὀκρυόεις, οὐδέπου ὀκρυόεντος ἀνέπνεον, ἀντὶ φόβιος, ἤτοι παρὰ τὸ ἄκρον, ἀκρυόεις καὶ ὀκρυόεις, ὁ ἀκρότατος καὶ ἄκρατος φόβος· ὁ κρυους καὶ φόβου ποιητικός· καὶ πλεονασμῷ τοῦ ο.

Ὀκέλλει, προσορμᾶται, ἐκρίπτεται· εἴρηται ἐπὶ τῶν νηῶν.

Ὁλοκαύτωσις, παρὰ ὁλοκαυτῶ· ἐτυμολογεῖται δὲ παρὰ τὸ ὅλον καίεσθαι τὸ ἱερεῖον.

Ὀκρίβαντες, ἐφ' ὧν ἄκρων ἕστασιν, οἱ ὑποκριταί· ἀκρίβαντές τινες ὄντες· ὁ δὲ ἀκρίβας παρὰ τὸ ἄκρον διὰ τοῦ ἰῶτα συνετέθη, ὡς καὶ παρὰ τὸ ἄργον ἀργικέραυνος.

Ὀκτὼ, γράφεται διὰ τοῦ ω· ἐπειδὴ οὐδέποτε λέξις Ἑλληνικὴ ἁπλῆ ὀξύτονος εἰς ο λήγει, πλὴν τῆς ὑπὸ προθέσεως.

Ὀλβιόδαιμον, ὁ τόνος· καὶ τὰ εἰς ων σύνθετα [6]), τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, χωρὶς τοῦ Λακεδαῖμον, καὶ παλαῖμον· σημαίνει δὲ τὸν ἔμπειρον τῆς παλαιστικῆς· γίνεται δὲ ἐκ τοῦ πάλειν καὶ τοῦ αἴμων, ὃ σημαίνει τὸν ἔμπειρον· ἡ εὐθεῖα ὁ Λακεδαίμων, ὁμοίως καὶ ὀλβιοδαίμων· ἡ γενικὴ ὀλβιοδαίμονος· τὰ σύνθετα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν· τὸ ἁπλοῦν δαίμονος· τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο μικροῦ, ὁ δαίμων γὰρ καὶ ἡ δαίμων· τί διαφέρει πλούσιος, εὔπορος, ἀφνειὸς, ὄλβιος, εὐδαίμων, εὐτυχὴς, μακάριου;

---

1) Corr.
2) vid. Fr. 46. p. 431.
3) οὐδὲν — ὗς nihil ad rem. cf. Etymolog. M.
4) vid. Koen. ad Gregor. de dial. p. 225. 78.
5) an κλάειν?
6) cf. Etym. M. v. Ἀπόλλων.

διαφέρει· πλούσιος μὲν γάρ ἐστιν, ὁ πολλὴν οὐσίαν ἔχων· εὔπορος ὁ εἰς τὰς ἐπιβαλλούσας χρείας ὑπάρχων ἀνενδεής· ἀφνειὸς ὁ ἀπὸ ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων ἔνος γὰρ ὁ ἐνιαυτός· ὄλβιος δὲ ὁ τέλειαν τὴν εὐδαιμονίαν ἔχων, οἷον. ὀλόβιος· εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως. σημαίνει δὲ ὄλβιος τὸν εὐδαίμονα καὶ πλούσιον· καὶ εἰς τὸ πλούσιος. μακάριος δὲ, ὁ πάντοτε ἐν ἀγαθοῖς ὤν.

Οὖλον, τὸ ὑγιὲς, οὖλέ τε καὶ μέγα χαῖρε, ἀντὶ τοῦ ὑγίαινε.

Ὄλβιος εὐδαίμονος διαφέρει· εὐδαίμων γάρ ἐστιν ὁ πλούσιος καὶ εὐτυχής· πταίων δὲ κατά τινας καιροὺς περὶ τὴν τύχην· καὶ εἰς τὸ πλούσιος.

Ὄλβιος, ὀλόβιός τις ὤν, ὁ ὅλον βίον ἔχων, τουτέστιν ὁλόκληρον. καὶ εἰς τὸ πανόλβιος.

Ὀλετῆρες, φονεῖς, ἀφανισταί.

Ὄλη, παρὰ τὸ ὅλος· τοῦτο παρὰ τὸ ἐλῶ τὸ πληρῶ· διατί δασύνεται; τὸ ο πρὸ τοῦ λ ψιλοῦται πλὴν τοῦ ὅλος. τοῦτο δὲ δείκνυται ἐκ τῆς συναλοιφῆς δασυνομένου ἐφ' ὅλην τὴν οἰκουμένην.

Ὄλεθρος, ὁ θάνατος, παρὰ τὸ ὀλῶ τὸ συστρέφω, ὀλέσω, ὤλεκα, ὤλεσμαι, καὶ ἐξ αὐτοῦ ὄλεθρος· καὶ γράφεται ἐν μὲν τῇ ἁπλότητι διὰ τοῦ ο, ἐν δὲ τῇ συνθέσει διὰ τοῦ ω. οἷον, πανώλεθρος. ἐτυμολογεῖται δὲ παρὰ τὸ ὅλους θραύειν.

Ὀλέκοντο, ἐκ τοῦ ὀλῶ ὀλέσκω, κατ' ἔνδειαν τοῦ σ ὀλέκω ῥῆμα· καὶ τὸ παθητικὸν ὀλέκομαι, ὀλέκοντο ἀπώλλοντο· παρατατικὸς Ἰωνικῶς ἄρχεται ἀπὸ τοῦ ο, καὶ γίνεται ἄκλιτον· τὰ δὲ τοιαῦτα μέλλοντα οὐκ ἔχουσιν, ἐπειδὴ ἀπὸ μελλόντων μετήχθησαν· οἷον, ὄρσεο Λαομέδον· ἄξετε Πριάμοιο βίην· γέγονε δὲ ὥσπερ ἀπὸ τοῦ ἀρέσω, πλεονασμῷ τοῦ κ ἀρέσκω, καὶ ἀπὸ τοῦ μεθύω, μεθύσω, μεθύσκω, οὕτω καὶ ἀπὸ τοῦ ὀλῶ ὀλέσω ὀλέσκω, καὶ κατ' ἔνδειαν τοῦ σ ὀλέκω· διὸ καὶ οὐ κλίνεται.

Ὀλίγον καὶ μικρὸν διαφέρει. τὸ μὲν γὰρ ὀλίγον ἐπ' ἀριθμοῦ, τὸ δὲ μικρὸν ἐπὶ μεγέθους τάσσεται· Ὅμηρος· δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν.

Ὀλιγωρία, παρὰ τὸ ὀλίγον καὶ τὸ ὤρα, ὃ σημαίνει τὴν φροντίδα, ἡ συντελοῦσα πρὸς τὸ ζῆν· τὸ δὲ ὀλίγου καὶ ἀντὶ τοῦ οὐδαμῶς εἴρηται· Ὅμηρος· ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεὺς, ἀντὶ τοῦ οὐδαμῶς· καὶ εἰς τὸ ὤρα.

Ὀλίσθημα, ἐκ τοῦ ὀλισθῶ· τοῦτο δὲ ἐκ τοῦ ὄλισθος· τοῦτο παρὰ τὸ ὀλοθεῖν, ἤγουν μὴ τρέχειν.

Ὄλισθος, σημαίνει τὸν συμποδισμόν· γίνεται παρὰ τὸ ὅλως ἴεσθαι, ὅ ἐστι πορεύεσθαι· ἢ παρὰ τὸ ὅλως θέειν κατ' ἀντίφρασιν.

Ὄλμος, ἐν ᾧ τύπτουσι τὰς κριθὰς, καὶ τὸ τῶν μυρεψῶν, ἐν ᾧ καταλεαίνουσι τὰ παχύτερα τῶν παχυτέρων· ὕστερον δὲ λέγεται τὸ κόπανον.

Ὄλμος, στόμβος, ἢ ἴδυς, παρὰ τὸ λύω λύομος, καὶ ἐκβολῇ τοῦ υ λόμος, καὶ καθ' ὑπερβιβασμὸν τοῦ ο ὄλμος· ἢ παρὰ τὸ ἄλλω τὸ πηδῶ.

Ὄλμος ὅρμου διαφέρει· ὅρμος μὲν γάρ ἐστι λιμήν· ὄλμος δὲ μυρεψικόν τι σκεῦος εἰς ὃ κόπτονται τὰ εἴδη τὰ μυρεψικά· τὸ ἴγδιον λεγόμενον παρ' Ἰταλοῖς.

Ὄλκος, παρὰ τὸ ἕλκω, ἕλκος, ὄλκος· ἢ παρὰ τὸ ἔχω ὄχος· σημαίνει δὲ πολλά. τὸ πλῆθος, τὴν ἔκτασιν τοῦ πλοίου, τὸν ναύσταθμον, τὸν ὁρμὸν, τὸν ἀγωγὸν τοῦ ὕδατος καὶ τὴν στάθμην ἢ τὸν ζυγὸν καὶ τὸ μέτρον, καὶ τὸ μῆκος τοῦ ὄφεως, καὶ τὴν δύναμιν.

Ὁλκάδες, πλοῖα.

Ὁλκὴ, ἄγει γράμματα τέσσαρα.

Ὀλιγοστος, ἐκ τοῦ ὀλίγος ὀλιγοστός· ἐπὶ πηλικότητος τάσσεται.

Ὄλμος δὲ ἐκλήθη διὰ τὸ ὀλλύειν καὶ φθείρειν τὰ ἐμβαλλόμενα· ὕστερον δὲ τὸ κόπανον.

Ὁλοκαυτώματα, ἐκ τοῦ καίω καὶ τοῦ ὅλος γίνεται ὁλοκαυτῶ ῥῆμα, καὶ ἐξ αὐτοῦ ὁλοκαύτωμα· τὸ δὲ ὁλοκαύτωμα πάλιν ἐκ τοῦ ὁλοκαυτῶ, τοῦτο παρὰ τὸ ὅλος καὶ τὸ καίω, ἢ παρὰ τὸ ὀλῶ τὸ φθείρω, καὶ τὸ καίω.

Ὅλος τοῦ πᾶς διαφέρει· ὅλος ἐφ' ἑνὸς τάσσεται. οἷον, ὅλος κατατέτρωται ὁ ἄνθρωπος· πᾶς δὲ ἐπὶ πλειόνων· οἷον ὁ πᾶς ἄνθρωπος κατατέτρωται.

Ὀλοφυρόμενος, κυρίως τὸ μετὰ τιλμοῦ τῶν τριχῶν κλαίειν. Καλλίμαχος· ὀλόψατο χαίτας [1]· ἀντὶ τοῦ ἔτιλλε.

Ὄμβρος, παρὰ τὸ βάρος. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἄβαρος ὁ πάνυ βαρὺς, καὶ τροπῇ τοῦ α εἰς ο ὄβαρος, καὶ ἐκβολῇ τοῦ α, καὶ πλεονασμῷ τοῦ μ ὄμβρος· ἐτυμολογεῖται παρὰ τὸ ὁμοῦ ῥεῖν.

Ὄλυμπος ὁ οὐρανος, θεοῦ οἰκητήριον, οἱονεὶ ὁλολαμπής τις ὤν, καὶ σελήνης καὶ ἄστρων.

Ὁμῆλιξ, ὁ ἴσην ἡλικίαν ἔχων· γίνεται δὲ ἐκ τοῦ ὁμοῦ, καὶ τοῦ ἧλιξ· τοῦτο ἐκ τοῦ πάλλω τὸ κινῶ πάλιξ· καὶ ἀποβολῇ τοῦ π καὶ τροπῇ τοῦ α εἰς η ἧλιξ.

Ὀλυμπία καὶ Ὀλυμπιὰς διαφέρει. Ὀλυμπία χωρίον ἐστὶ τῆς Ἠλιακῆς μοίρας, ἐν ᾧ τὰ Ὀλύμπια ἐτελοῦντο· Ὀλυμπιὰς δὲ σημαίνει τὴν πανήγυριν· ἐκ τοῦ χωρίου τῆς Ὀλυμπίας τοίνυν, ἐν ᾧ χώρῳ οἱ ἀθληταὶ ἠγωνίζοντο, ὀλυμπιὰς ὠνομάσθη ἡ πανήγυρις, ἡ τῆς Ὀλυμπίας ἑορτή.

Ὀλοφώϊος θὴρ, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω.

Ὀλύρα, ἡ κριθή· καὶ ὀλυρίτης ἄρτος ὁ τῆς κριθῆς.

Ὀλύρα, εἶδος κριθώδους καρποῦ, ζειά· ἡ γὰρ κριθὴ ἑξάστιχος, ὁ σῖτος τετράστιχος· ἡ δὲ ὀλύρα δύστιχος καὶ ὄψιμος.

Ὅλος, παρὰ τὸ ἔω τὸ πληρῶ ἔλος καὶ ὅλος· καὶ εἰς τὸ χήρα.

Ὀλοῦσθαι, εἰς τὸ λευκώλενος, καὶ ὠλέναι.

Ὀλοὴ, ἡ ὀλεθρία, καὶ ὀλοῆς.

Ὀλοώτερος, ἐκ τοῦ ὀλοος γίνεται· ἔστι συγκριτικὸν καὶ ἀντὶ τοῦ ἁπλοῦ λαμβάνεται· τὸ γὰρ δικαιότατος καὶ ὀλοώτερος παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ ἁπλοῦ λαμβάνεται.

Ὀλυμπία, σημαίνει δύο, τὸν οὐρανον καὶ τὸ ὄρος, παρὰ τὸ ὁλόλαμπος εἶναι τοῖς ἄστροις· ἢ παρὰ τὸ ὀλλύειν τοὺς ὦπας. καὶ ἡ μὲν πρώτη ἐτυμολογία μόνον ἐπὶ τοῦ οὐρανοῦ ἁρμόζει· ἡ δὲ δευτέρα καὶ τῷ ὄρει, ὡς τῷ ἀγχινεφεῖ, καὶ οὐρανομήκει ὄντι.

Ὀλῶ, εἰς τὸ οὐλομένην.

Ὁμαδὸς, θορυβὸς, κραυγὴ, παρὰ τὸ ὁμοῦ αὐδᾶν.

Ὅμαιμος, ὁ ἀδελφὸς ὁμόαιμος.

Ὄλωλα, ἀπωλέσθην, πόθεν; ἔστι ῥῆμα ὀλῶ, ὅ ἐστι ἀπολύω, οὗ ὁ μέλλων ὀλέσω, ὁ παρακείμενος ὤλεκα, ὁ μέσος ὦλα, ὁ ἀττικὸς ὄλωλα.

---

1) Porf. ex H. in Dian. 76. 77.

Ὀμαιχμία, συμμαχία, παρὰ τὸ αἰχμὴ καὶ τὸ ὁμοῦ, γίνεται ὁμοαιχμία. καὶ συγκοπῇ ὁμαιχμία. σημαίνει δὲ τὴν εἰρήνην· συμβαίνει γὰρ εἰρηνευόντων τινῶν ὁμοῦ τὰς αἰχμὰς ἔχειν.

Ὁμαρτῶ, παρὰ τὸ ὁμοῦ ἐπίῤῥημα, καὶ τὸ ἄρω ῥῆμα βαρύτονον, οἱονεὶ ὁμοῦ ἁρμόττω· καὶ εἰς τὸ παρομαρτοῦντες.

Ὀμβροβλυτεῖς, ἔστιν ὄμβρος καὶ βλύω, καὶ ἐξ αὐτοῦ ὀμβροβλυτῶ, ὀμβροβλυτεῖς· τὸ δὲ βλύω παρὰ τὸ βρύω, ἐξ οὗ γίνεται βρύα τὰ τῆς θαλάσσης· τοῦτο παρὰ τὸ ῥέω· τοῦτο παρὰ τὸ ὕω τὸ βρέχω· ἐκ τοῦ βλύω γίνεται βλύζω.

Ὀμβρήματα, ἐκ τοῦ ὀμβρῶ, ὀμβρήσω· τὸ δὲ ὀμβρῶ παρὰ τὸ ὄμβρος· ἢ παρὰ τὸ βάρος, καθ' ὑπερβιβασμὸν ἄβρος, τροπῇ τοῦ α εἰς ο καὶ πλεονασμῷ τοῦ μ ὄμβρος, ὁ βαρέως φερόμενος· ἢ παρὰ τὸ ὁμοῦ καὶ τὸ ῥόος, ὅμορος καὶ ὄμβρος, ἐπειδὴ τὸ ο οὐ δύναται εἶναι πρὸ τοῦ ρ, εἴτε κατὰ διάστασιν, πλεονασμῷ τοῦ μ· καὶ γίνεται ὄμβρος.

Ὁμηγερέες, ἐπίῤῥημα ἀθροίσεως, ὁμοῦ συνηγμένοι· γέγονε παρὰ τὸ ὁμοῦ, καὶ τὸ ἀγείρω τὸ συναθροίζω, ὁμοάγειρος, ὁμοαγείρεος, ὁμηγερεῦς.

Ὁμοέστιος, ὁμόοικος· ἑστία γὰρ ἡ οἰκία.

Ὁμηρία, ἡ ἀντιπρόσωψις, καὶ ἡ φελία καὶ ἡ λέξις.

Ὁμήγυρις, σύνοδος, συνάθροισμα, συνέλευσις πλήθους.

Ὁμηλικία, ὁμῆλιξ ὁμήλικος, σημαίνει δὲ τὴν ἴσην ἡλικίαν ἔχοντα· γίνεται ἐκ τοῦ ὁμοῦ καὶ τοῦ ἧλιξ· τοῦτο ἐκ τοῦ πάλλω τὸ κινῶ πάλιξ, καὶ ἀποβολῇ τοῦ πι καὶ τροπῇ ἧλιξ.

Ὅμηροι, παρὰ τὸ ἄρω τὸ ἁρμόζω, οἱ ἐπὶ εἰρήνης καὶ ὁμονοίας διδόμενοι παῖδες ἐνέχυρα· τὸ μη ἦτα διάτι; παρὰ τὸ ἄρω τὸ ἁρμόζω.

Ὁμιλεῖν, ἐπὶ τοῦ πολεμεῖν, παρὰ τὸ ὁμοῦ καὶ τὴν εἴλησιν τῶν νεφῶν· τὸ μι ἰῶτα. τὰ παρὰ τὸ εἰλῶ μὴ κατὰ τὸ ἄρχον μέρος λόγου συντιθέμενα, διὰ τοῦ ι γράφεται· οἷον, ὅμιλος, ὁμίχλη· πρόσκειται, μὴ κατὰ τὸ ἄρχον μέρος λόγου συντιθέμενα διὰ τὸ εἰλίπους ὁ ὄφις· ἰστέον δὲ ὅτι τὸ ὁμιλία ὄνομα τριχῇ λαμβάνεται· ἐπὶ τοῦ συνεῖναι καὶ συμπολιτεύεσθαι, καὶ διαλέγεσθαι κατὰ τὴν φωνὴν, καὶ τρίτον ἐπὶ τοῦ πολεμεῖν· χρῆσις δὲ τοῦ μὲν πρώτου· τὸ πιστὸν ὑμῶν ὦ Λακεδαιμόνιοι, τῆς καθ' ἡμᾶς αὐτοὺς πολίτας τε καὶ ὁμιλίας· οὕτω γὰρ φησὶ Θουκιδίδης, τῇ δημηγορίᾳ τῶν Κορινθίων, πολιορκουμένης τῆς πολιδαιας, ὑπὸ Ἀθηναίων· τοῦ δὲ δευτέρου, τοῦ καθ' ἑκάστου μὲν τῇ ὁμιλίᾳ καλεῖν Ἕλληνος μᾶλλον· τοῦ δὲ τρίτου, τὸ πρὸς Ἕκτορα παρὰ τῷ Ὁμήρῳ εἰρημένον· ἡμεῖς δ' ἐνθάδε ὄντες ὁμιλέομεν Δαναοῖσιν, ἀντὶ τοῦ πολεμοῦμεν αὐτούς.

Ὁ μὲν καὶ ὁ δὲ, σύνδεσμοι, ἀρσενικοῦ ὀνόματος, ἔναρθρος· ἡ μὲν καὶ ἡ δὲ, θηλυκοῦ ὀνόματος, ἐνάρθρου ὁμοίως.

Ὅμιλος, ἡ ἄθροισις, τὸ πλῆθος, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι· λέγεται δὲ καὶ ὁ θόρυβος, ἀπὸ τῆς παρακολουθησάσης ἐν ὄχλῳ ὁμιλίας.

Ὀμιχῶ, σημαίνει τὸ οὐρῶ· διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς χω οὐ παραλήγεται τῇ ει, πλὴν τοῦ στείχω.

Ὀμίχλη, παρὰ τὸ μὴ ἔχειν τὴν εἴλησιν τῶν νεφῶν· ἢ παρὰ τὸ τοῖς ὄμμασιν παρέχειν ἀχλύν. δασύνεται· τὸ ο γὰρ πρὸ τοῦ ἑνὸς μ δασύνεται· καὶ πῶς παρὰ τῷ ποιητῇ λέγεται, ἠΰτ' ὀμίχλη· εἰ γὰρ ἐδασύνθη, τραπεῖν εἶχε τὸ ψιλὸν εἰς δασύ· ἐροῦμεν οὖν ὅτι κατὰ διάλεκτον Ἰωνικήν· οἱ γὰρ Ἴωνες τοῖς δασέσι ἀντὶ ψιλῶν χρῶνται· τὸ ἀφικόμεθα γὰρ ἀπικόμεθα, καὶ τὸ οὐχὶ οὐκί. οὕτω καὶ τὸ ἠΰθ' ὁμίχλη, ἠΰτ' ὀμίχλη.

Ὁμοίωμα εἰδώλου διαφέρει· τὸ μὲν ὁμοίωμά τινός ἐστιν ἴνδαλμα καὶ ἀπείκασμα· τὸ δὲ εἴδωλον οὐδεμίαν ὑπόστασιν ἔχει.

Ὁμόδουλος συνδούλου διαφέρει· ὁμόδουλοι γάρ εἰσιν, οἱ μετασχόντες ὁμοίας τύχης δουλικῆς· σύνδουλοι δὲ οἱ ἀλλήλοις δουλεύοντες.

Ὁμὴν, κατὰ τὸ ὄνομα τῆς σελήνης λέγεται· μήνη γὰρ αὕτη ἑρμηνεύεται τῇ Ἑλλάδι φωνῇ, διὰ τὸ μὴ μένειν ἐν ταὐτῷ.

Ὀμφῶες, δύο ὦτα ἔχοντες.

Ὀμφαλος, κυρίως ἐπὶ τοῦ ἡμετέρου σώματος τὸ μέσον· καὶ εἴρηται παρὰ τὸ ὀμπνεῖν, ὅ ἐστιν ἀναμπνεῖν, παρ' ὃ καὶ ὄμπνος ὁ δημητριακὸς καρπός· τὸ δὲ βρέφος κατὰ γαστρὸς ὂν διὰ τοῦ ὀμφάλου ἀναπνεῖ καὶ τρέφεται· μεταφορικῶς καὶ ἐπὶ τοῦ ζυγοῦ καὶ ἐπὶ τῆς ἀσπίδος, καὶ ἐπὶ τῶν ἄλλων τὸ μέσον. ἄλλως· ὀμφαλὸς, οἱ μὲν παρὰ τὸ φάλλῳ ἐοικέναι, ὅ ἐστι μηρίον· ἀπαρεμφὴς γάρ ἐστιν ἐν ἀρχῇ, πρὸ τῆς ἀποτομῆς· οἱ δὲ ἀπὸ τοῦ περὶ αὐτὸν εἰλεῖσθαι τὸ γεννώμενον· οἱ δὲ ἀπὸ τῆς ἐμβρύων ἐμφύσεως· οἱ δὲ οἷον ὁπαλὸν καὶ ὀμπαλὸν, δι' οὗ τοῖς ὁμμορίοις ἡ ὀμπνὴ ἐπιχορηγεῖται, τουτέστιν ἡ τροφή· διὸ καὶ τὴν Δήμητραν τὴν τρόφον οὖσαν, κυρίως Ὀμπνεῖαν Αἰολεῖς ὀνομάζουσι· καταχρηστικῶς δὲ καὶ ἐπὶ τῆς ἀσπίδος, καὶ ἐπὶ τῶν ἄλλων τὸ μέσον, ἀπὸ μεταφορᾶς τοῦ ἡμετέρου σώματος.

Ὁμοκλήσασκε, γίνεται παρὰ τὸ ὁμοκλὴ, ὃ σημαίνει τὴν ἀπειλήν. παρὰ τὸ κέλλω, τὸ προστάσσω, καὶ τὸ ὁμοῦ, γίνεται ὁμοκέλλη καὶ συγκοπῇ ὁμοκλή· ἢ ἀπὸ τοῦ καλῶ καὶ ῥῆμα ὁμοκλῶ, ὁ μέλλων ὁμοκλήσω, ὁ ἀόριστος ὡμόκλησα, καὶ τὸ τρίτον ὡμόκλησεν καὶ ὡμοκλήσασκεν· ἔλθωμεν δὲ καὶ διαλάβωμεν περὶ αὐτῶν· ἰστέον, ὅτι ταῦτα Ἰωνικὰ, καὶ γίνεται διὰ τοῦ σκ. τὸ τρίτον πρόσωπον ἀπὸ μὲν βαρυτόνων ὄντα, ἔχουσι φωνῆεν πρὸ τοῦ σκ, τὸ ε, οἷον, τύπτεσκε, λάβεσκε, λέγεσκε, ὑπεσταλμένου τοῦ πρώτου ἀορίστου, περὶ οὗ μετ' ὀλίγον εἴρηται· καὶ τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων καὶ τὰ τῆς πρώτης τῶν εἰς μι ὁμοίως τὸ ε ἔχουσι πρὸ τοῦ σκ. οἷον, μυκῶ, μυκᾷς, ἔμυκον, μύκεσκε· τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν εἰς μι καὶ ἐν τῷ παρατατικῷ καὶ ἐν τῷ β ἀορίστῳ, διὰ τοῦ α ἐκφέρεται, πτώσει τοῦ σκ. οἷον, ἵστημι, ἵστην, στάσκεν· τὰ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων καὶ τῶν εἰς μι, διὰ τοῦ ο ἐκφέρεται πρὸ τοῦ σκ, οἷον, ἐχρύσουν, ἐχρύσοσκεν· τὰ δὲ τῆς τετάρτης συζυγίας τῶν εἰς μι, συστέλλει τὸ δίχρονον μόνον πρὸ τοῦ σκ· οἷον ζεύγνυμι, ἐζεύγνυν, ἐζεύγνυς, ἐζεύγνυ, ζεύγνυσκεν· ἔδυν ἔδυς ἔδυ, δύσκεν· ὁ δὲ ἀόριστος πρῶτος ἐπὶ τῶν βαρυτόνων καὶ ἐπὶ τῶν περισπωμένων καὶ ἐπὶ τῶν εἰς μι, τὸ α ἔχουσι πρὸ τοῦ σκ, οἷον, πλάσκε, γράψασκε· τὸ γὰρ κεχρεωστημένον α τοῦ τρίτου προσώπου ἀνεδέξατο ἐνταῦθα· τὸ γὰρ τρίτον πρόσωπον τοῦ ἀορίστου πρώτου, ὡς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν διὰ τοῦ α· καὶ ὤφειλεν, ἔτυψα, ἔτυψας, ἔτυψεν [1]) ἐκεῖνος, κατ' ἀποβολὴν τοῦ σ· ἀλλ' ἐπειδὴ ὡς εἴρηται, οὐκ ἠδύναντο τὰ τρίτα πρόσωπα ὁμοφωνεῖν κατὰ τὸν αὐτὸν ἀριθμὸν, καὶ κατὰ τὴν αὐτὴν διάλεξιν, καὶ τροπῇ παρηκολούθησε τὸ α εἰς ε, καὶ

---

1) L. ἔτυψα.

γέγονεν ἔτυψεν ἐκεῖνος. ἐνταῦθα δὲ ἐπειδὴ προσερχομένου τοῦ σκ, οὐκ ἔστι ὁμοφωνία τοῦ τρίτου προσώπου πρὸς τὸ πρῶτον πρόσωπον, προσῆλθε τὸ κεχρεωστημένον α, οἷον, τύψασκε, ποιήσασκε· ταῦτα δὲ οἱ Ἴωνες· οἱ δὲ ποιηταὶ κατὰ μίμησιν τῶν Ἰώνων πολλάκις καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον πρόσωπον ποιοῦσιν· οἷον, τύπτεσκον, χαίρεσκον, τύπτεσκε, χαίρεσκε· λέγει δὲ καὶ ὁ Ἄμβρων, ὅτι τὰ προσλαμβάνοντα ταῦτα κατὰ τὸ τέλος, ἀποβάλλουσι κατὰ τὴν ἀρχοῦσαν, καὶ γὰρ τὸ ἔτυπτε ποιοῦσιν οἱ Ἴωνες τύπτεσκεν, ἀποβάλλοντες ἐκ τῆς ἀρχούσης συλλαβῆς, καὶ προστιθέντες κατὰ τὸ τέλος· διὰ τοῦτο τὸ ἔτυπτεν ἐν τῷ τύπτεσκεν ἀποβάλλει τὸ ε τῆς ἀρχούσης. ἐπειδὴ τὰ ποιητικὰ Ἰωνικὰ, ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι, οἷον, ἔτυπτε, τύπτε δ' ἐπιστροφάδην, πρὸς τὴν τύπτων μετοχήν· ἧψατο· ἅψατο δ' ἡμιόνου ταλαεργοῦ, πρὸς τὴν ἅψας μετοχήν· ἤκουσα, ἤκουσαν· διότι δὲ εἶπον ταῖς ἰδίαις μετοχαῖς, καὶ οὐ τοῖς ἰδίοις ἐνεστῶσι; διὰ τὸ εἴπεσκεν· τοῦτο γὰρ τῇ εἰπὼν μετοχῇ συνάρχεται, οὐ μὴν τῷ ἐνεστῶτι· ἔπω γάρ ἐστιν ὁ ἐνεστὼς, ἐξ οὗ καὶ τὸ ἐννέπω, ταῦτα μὲν ἐν τούτοις.

Ὀμόργνυ, εἰς τὸ ἀπομόρξατο.

Ὀμόζυγος, γαμετὴ, σύμβιος.

Ὀμοφροσύνη, ὁμόνοια.

Ὀμφάλα, στρογγύλον.

Ὀμπνία, ἡ Δημήτηρ, παρὰ τὸ ὁμοῦ πνέω. Λυκόφρων [1]) καὶ κτῆσιν ἄλλην, ὀμπνίαν κειμηλίων.

Ὄμφαξ, οἷον, ὠμόφαξ, ἡ ὠμὴ εἰς τὸ φαγεῖν.

Ὀμόσφυρος, ὁ ἀδελφὸς, διὰ τὸ περὶ τὰ αὐτὰ τὰ σφυρὰ τῆς μητέρος πεσεῖν γεννηθέντα.

Ὀμφὴν, φωνὴν, κληδόνα, φήμην θείαν, ἢ ὀνείρου φάντασμα.

Ὁμώνυμόν ἐστιν, ὅταν δύο πράγματα μόνον ὀνόματι κοινωσιν [2]), ὡς ἐπὶ εἰκόνος καὶ τοῦ Παύλου· τὰ γὰρ ἀμφότερα λέγεις ἄνθρωπον, ἀλλὰ μόνῳ τῷ ὀνόματι κοινωνοῦσι· τῷ δὲ πράγματι διαφέρουσιν.

Ὁμοσπόνδους, φίλους.

Ὁμόροφοι, ὁμόσκηνοι, σύσκηνοι.

Ὁμολόγως, συμφώνως.

Ὀνείατα, βρώματα, τὰ ὄνησιν παρέχοντα.

Ὄνειδος, παρὰ τὸ ὀνῶ, τὸ μέμφομαι, καὶ τὸ εἶδος· τὸ κατὰ τὸ εἶδος μεμπτόν· τινὲς δὲ παρὰ τὸ ὀνήσασθαι· ἴσως δὲ πᾶν τὸ ὂν πλημμελὲς τότε φαίνεται, ὡς ἔγκειται τὸ εἴδεται, ὅ ἐστι φαίνεται.

Ὄνειρος καὶ ὄναρ, παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ καὶ τὸ εἴρω τὸ λέγω· πολλοὺς μὲν ὠφελοῦσι, πολλοὺς δὲ βλάπτουσι· τὸ νει διφθόγγῳ· τὰ διὰ τοῦ ειρος ῥηματικὰ δίφθογγον ἔχει.

Ὀνῶ, σημαίνει τέσσαρα. ὀνῶ τὸ ὠφελῶ, ἐξ οὗ καὶ ὄνησις ἡ ὠφέλεια· ἔπειτα δὲ κ'αὐτὸς ὀνήσεται· καὶ τὸ μέμφομαι, ἐξ οὗ καὶ ὁ μέλλων ονόσω, ὡς τὸ ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών· σημαίνει δὲ καὶ τὸ βλάπτω· σημαίνει καὶ τὸ ἀγοράζω, ὡς τὸ ὠνησάμην δούλην· καὶ ὀνῶ τὸ ἀπολαύω.

Ὄνειρος, ἤτοι παρὰ τὴν ὄνησιν, οἷον, παρὰ τὸ ὀνῶ τὸ ὠφελοῦμαι, ὄνειρος, ὡς παρὰ τὸ πέπω πέπειρος· ἢ παρὰ τὸ ὀνείρειν καὶ λέγειν, ἢ κατὰ μετάθεσιν τοῦ ο, νόειρός τις ὤν.

Ὀνείρωξις, ἡ διὰ τῶν ὀνείρων φαντασία· ἡ ὄψις ἡ ἐν τοῖς ἐνυπνίοις· ὀνειρώττω γὰρ τὸ ῥῆμα, ἀντὶ τοῦ δι' ὀνείρων βλέπω· τὸ δὲ ὀνειροπολεῖν ἐγρηγορήτως ἐπὶ ἐνύπνιον· τὸ γὰρ τοῖς πολλοῖς ἀπὸ τοῦ φαντάζεσθαι σημαινομένου, τοῦτο παρὰ τοῖς πεπαιδευμένοις τὸ ὀνειροπολεῖν δηλοῖ· φαντάζεσθαι δὲ κυρίως ἐστὶ τὸ φαίνεσθαι.

Ὀνειρώττειν, ὀνειρῶ, ὁ μέλλων ὀνειρώσω, τὸ δι' ὀνείρων βλέπω· διὰ τῆς ει διφθόγγου· πᾶν γὰρ (παρὰ) τὸ ὄνειρος γέγονεν.

Ὀνειροπόλος, ὥσπερ γὰρ οἰωνοπόλος λέγεται, ὁ μάντης, ὁ περὶ τοὺς οἰωνοὺς ἀναστρεφόμενος, καὶ αἰγοπόλος, ὁ περὶ τὰς αἶγας, καὶ συγκοπῇ αἰπόλος καὶ θυηπόλος, ὁ περὶ τὰς θυσίας ἀναστρεφόμενος, οὕτω καὶ ὁ περὶ τοὺς ὀνείρους πολῶν. καὶ ἀναστρεφόμενος ὀνειροπόλος.

Ὄνυξ, παρὰ τὸ νύσσειν, πλεονασμῷ τοῦ ο, οἷον, ἄνυξ, ὁ ἀνοίγων τὴν σάρκα ἐν τῷ φύεσθαι, ἤγουν προκύπτων.

Ὄντως, ἀληθῶς, κατὰ ἀλήθειαν· ἡ τοῦ ὄντος ἀκριβὴς κατανόησις. τὸ πρῶτον ἐπίρρημα, τὸ δεύτερον μετοχή.

Ὀνομήνω, ῥῆμα ὑποτακτικὸν, ἐκ τοῦ ὀνομαίνω· ὥσπερ παρὰ τὸ πῆμα γίνεται πημαίνω, καὶ κάρα καραίνω, καὶ ἐν συγκοπῇ κραίνω, οὕτω καὶ παρὰ τὸ ὄνομα γίνεται ὀνομαίνω.

Ὄνος, τὸ ζῶον, διὰ τοῦ οὐ νοεῖν· ἢ ὤνιον εἶναι· ἢ παρὰ τὴν ὄνησιν τὴν ἐξ αὐτοῦ γινομένην ἐν τοῖς ἔργοις.

Ὄνος, παρότι ὀνητὸν, ἤτοι ὠφέλιμον ἐν τῷ βαστάζειν· ἢ διὰ τὸ νωθρὸν ὑπάρχειν.

Ὀνῶ, εἰς τὸ ἀπώνασθαι, καὶ οἶνος, καὶ ὄνειρος, καὶ ὀνοτάζων ἐκφαυλίζων.

Ὄνομα, ἀπὸ τοῦ νέμω τὸ μερίζω γίνεται ῥηματικὸν, ὄνομα, οἷον νόμα, καὶ πλεονασμῷ τοῦ ο ὄνομα.

Ὄναγρος, παρὰ τὸ ὄνος καὶ τὸ ἄγρος· τὸ δὲ ὄνος παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ· πόσα σημαίνει ὄνος; δύο· τὸ ζῶον, ὡς τὸ, ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν [3])· καὶ τὴν τιμὴν τοῦ ἀγοραζομένου· ὡς τὸ, υἱὸς δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε [4])· καὶ γράφεται διὰ τοῦ ω.

Ὀξεῖα, διὰ τῆς ει διφθόγγου, ὅτι τὰ ἀπὸ τῶν εἰς υς διὰ τοῦ εια γινόμενα θηλυκὰ, διὰ τῆς ει διφθόγγου γράφεται, οἷον ὀξὺς ὀξεῖα, δεύτερον δὲ ὅτι ἀνεφάνη τὸ ε χωρὶς τοῦ ι, λεγομένου αὐτοῦ· τρίτον, ὅτι ὀξεῖα λέγουσιν οἱ Δωριεῖς διὰ τοῦ ἦτα· ἔθος δὲ ἔχουσι τὸ ἦτα εἰς ει τρέπειν.

Ὀξυδέρκεια, ἐκ τοῦ ὀξὺς καὶ τοῦ δέρκω τὸ βλέπω· ὀξυδορκία δὲ ἐκ τοῦ ὀξυδορκῶ.

Ὄξος, παρὰ τὸ ὀξύνειν τὰς αἰσθήσεις ἐν τῷ γεύεσθαι· σημαίνει δὲ καὶ ὄνομα ποταμοῦ, καὶ γράφεται διὰ τοῦ ω.

Ὀξέως, σφοδρῶς, ταχέως.

Ὀξύρροπον, ταχέως ῥέποντα, ὀξύτερον βλέποντα.

Ὀξυσκέστερον, ὀξύτερον βλέποντα.

Ὀξύω, ἐκ τοῦ ὀξὺς, τοῦτο δὲ, ὡς παρὰ τὸ χέω χοὸς χοῦς, καὶ πλέω πλατὸς πλατὺς, οὕτω ξέω ξοὸς ξοῦς, καὶ ἐν ὑπερβιβασμῷ ὀξύς· τὸ ἀντιδιαστελλόμενον τῷ ἀμβλεῖ.

Ὄου, οὗτινος, ἄρθρον ὑποτακτικὸν τὸ ὃ, τὸ δὲ οὐ λέγεται πλεονασμός. λέγει δὲ Ἡρωδιανὸς, ὅτι ὁ πλεονασμὸς

---

1) vs. 1264. 2) μόνον etc. Corr. ex sequentibus. 3) Il. XI, 557. 4) Il. XXIII, 746.

τὸν οἰκεῖον τόνον φυλάττει, οἷον, ἥνδανεν, ἑήνδανεν, ὥρακα ἑώρακα, εἰ δὲ οὖν καὶ τὸ ὁ κατὰ πλεονασμὸν ἐγένετο, ὤφειλεν εἶναι ὀοῦ περισπωμένως· οὐκ ἔστι δὲ πλεονασμὸς ἀλλὰ διαίρεσις· καί τι διαφέρει διαίρεσις πλεονασμοῦ; διαφέρει, ὅτι ὁ μὲν πλεονασμὸς τὸν αὐτὸν τόνον φυλάττει, οἷον, εἴκοσιν, ἐείκοσιν· ἡ δὲ διαίρεσις διαλλάττει τὸν τόνον, οἷον ἧς ὃ σημαίνει τὴν ἰδίαν, γίνεται ἕης· ἕης τὸ πρίν γ' ἐράασθε [1]). ἀγορῶντο ἠγορόωντο [2])· οὕτως οὖν οὐ ὅου· τὸ πνεῦμα εἰς ὁ δασὺ λέγει ὁ Ἡρωδιανὸς, ὅτι τὰ πλεονάζοντα φωνήεντι ἐν λέξεσιν ἀπὸ φωνήεντος δασυνωμένου ἀρχομέναις, μεταληπτικὰ γίνονται τοῦ δασέος πνεύματος, οἷον, ἥνδανεν ἑήνδανεν, ὥρακα ἑώρακα· οὕτω καὶ οὗ ὅου.

Ὀπάζειν, κατόπιν διώκειν, ἢ τὸ περιποιεῖν, ἢ τὸ καταφέρεσθαι, ἢ τὸ ἐπιλέγεσθαι.

Ὀπιπτεύω, διὰ τοῦ ἰῶτα· παρὰ τὸ ὄπτω, τὸ θεωρῶ, γίνεται ὀπτεύω καὶ ὀπιπτεύω· καὶ λοιπὸν εὐλόγως διὰ τοῦ ι γράφεται, ἐπειδὴ ἀπὸ πλεονασμοῦ ἐστιν· οὐδέποτε διὰ τῆς ει διφθόγγου διπλασιασμὸς γίνεται· οἷον, θῶ τιθῶ, πλῶ πιπλῶ.

Ὄπα, γένους θηλυκοῦ, ἐκ τοῦ ἔπω τὸ λέγω, ὁ μέλλων ἕψω, ἀποβολῇ τοῦ ω, ἒψ, καὶ τροπῇ τοῦ ε εἰς ο ὄψ. τὸ ο διάτι; τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν, ἔχουσι τὸ ο, ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν· ἔστι δὲ πτώσεως αἰτιατικῆς· ἡ εὐθεῖα ὄψ, καὶ κλίνεται τῆς ὀπός· καὶ Ὅμηρος, ἀκούουσαι ὄπα ἀρνῶν· τὸ δὲ ὂψ σημαίνει τρία· τὸν ὀφθαλμὸν, καὶ κύριον ὄνομα, καὶ τὴν φωνὴν, καὶ γράφεται διὰ τοῦ ω· καὶ σημαίνει τὸν ὀφθαλμὸν, καὶ διὰ τοῦ ο τὴν φωνήν· ζήτει ἐν τοῖς ἐπιμερισμοῖς.

Ὁ πᾶς, καὶ θηλυκὸν ἡ πᾶσα· διάτι ἐστὶ φύσει μακρὰ ἡ παραλήγουσα; αἱ διὰ τοῦ ντ κλινόμεναι ἀρσενικαὶ γενικαὶ, εἰ μὲν ἐπὶ μετοχῶν ὑπάρχουσι, φύσει μακρὰν ποιοῦσι τὴν παραλήγουσαν ἐπὶ τῶν θηλυκῶν, οἷον, τύπτων τύπτοντος τύπτουσα, τυφθεὶς τυφθέντος τυφθεῖσα· εἰ δὲ ἐπὶ ὀνομάτων ἀρσενικῶν, θέσει· οἷον, χαρίεντος χαρίεσσα, καιρόεντος καιρόεσσα· ἔνθεν καὶ τὸ καιροσέων δ' ὀθονέων [3]), καθ' ὑπερβιβασμόν· καὶ τὸ οὐδέτερον τὸ πᾶν· καὶ ὤφειλε βραχύνεσθαι· ἀλλ' ἐπειδὴ ἑτέρῳ λόγῳ ὑπέπεσε τῷ λέγοντι, ὅτι πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον μὴ ἐπι τέλους τονούμενον, τὸν ἐκείνου τόνου ἔχει, καὶ κατὰ τὴν λήγουσαν συστέλλει. οἷον εὐσεβὴς τὸ εὐσεβὲς, ὁ χρυσοῦς καὶ τὸ χρυσοῦν· σεσημείωται τοῦτο μόνον τοῦ ἀρσενικοῦ περισπωμένου ὄντος· διὰ τοῦτο ἠναγκάσθη τὸ πᾶν μακροκατάληκτον, ἵνα ὁμοτονήσει τῷ ἀρσενικῷ.

Ὀπή. κυρίως τόπος τετρημένος, ἀφ' οὗ τις δύναται ὀπίσασθαι· οὕτως Ἀριστόνικος ἐν τοῖς σημείοις.

Ὀπηνίκος. ἔστιν ἔνος ὁ ἐνιαυτός· ἐκ τούτου γίνεται ἐνίκα καὶ τροπῇ τοῦ ε εἰς η ἡνίκα καὶ πηνίκα· ἄλλως τε καὶ τὰ ἀναφορικὰ φυλάττουσι τὸ ἦτα· ἡλίκος, πηλίκος, κατὰ πλεονασμὸν τοῦ ς.

Ὀπισθότονος. παρὰ τὸ τὰ ὀπίσθια τείνειν.

Ὀπίσω. ἐπίῤῥημα τοπικὸν, παρὰ τὸ ὀπίζω τὸ ἐπιστρέφομαι· ἔστι δὲ καὶ ἐπίῤῥημα τοπικόν· καὶ ποίας σχέσεως τῶν τοπικῶν; τῶν ἐν τόπῳ· καὶ πόσαι σχέσεις τῶν τοπικῶν; ἐξ. ἄνω. κάτω. ἔμπροσθεν, ὄπισθεν, δεξιὰ ἀριστερά· γίνεται οὖν τὸ ὀπίσω ἐκ τοῦ ὀπίζω τὸ ἀκολουθῶ, καὶ τὸ κατόπιν διώκω· τὸ δὲ ὀπίζω ἐκ τοῦ ὄπις, ὃ σημαίνει τὴν ἐπιστροφήν· θεῶν ὄπιν οὐκ ἀλέγων· τὸ ω μεγα· τὰ εἰς ω λήγοντα ἐπιῤῥήματα διὰ τοῦ ω γράφεται. πλὴν τοῦ δεῦρο καὶ ἄπο.

Ὀπλὰς, ἡ εὐθεῖα ἡ ὀπλὴ, παρὰ τὸ ἕπω, τὸ ἀκολουθῶ, γίνεται ὀπλή.

Ὁπλοτέρων, ἀντὶ τοῦ νεωτέρων· ποίου εἴδους τῶν παραγώγων; συγκριτικοῦ· τῇ δὲ φωνῇ ἀντὶ τοῦ ἁπλοῦ παραλαμβάνεται· καὶ γίνεται παρὰ τὸ ὅπλον, ὁ μᾶλλον ὅπλα φέρειν δυνάμενος, ὡς καὶ τὸν γέροντα.

Ὁπλὴ, ὁ κυκλοειδὴς ποὺς τῶν κτηνῶν, οἷον, βοῶν, προβάτων καὶ τῶν λοιπῶν τῶν ἐχόντων μικρὰς ὄνυχας, ἐν τοῖς τῶν ὀπισθίων ποδῶν.

Ὀπὸς, σημαίνει τὴν ποτίαν τὴν λεγομένην τάπησον, τὸ τῆς συκῆς γάλα· τὸ τῶν δένδρων δάκρυον, τὸ σκαμώνιν, τὸ κνίκον.

Ὄπιθεν, ἄνευ τοῦ σ, δεῖ λέγειν μετὰ τοῦ ς ὄπισθεν· ἔστι γὰρ τὸ πλῆρες ὀπίσοθεν· ἐγκεῖσθαι δεῖ οὖν τὸ σ. Ὅμηρος δὲ ἀνάγκῃ τοῦ μέτρου ἔφη, ὄπιθεν σάκος βάλε· λεκτέον μόνως ὄπισθεν.

Ὀπωροφυλάκιον, ἐκ τοῦ ὀπώρα καὶ τοῦ φυλακή· τὸ δὲ φυλακὴ παρὰ τὸ φυλή· τοῦτο παρὰ τὸ φυλάσσω· τοῦτο παρὰ τὸ πυλή· τοῦτο παρὰ τὸ πτύσσω, τὸ ἀσφαλίζω. τὸ κι ἰῶτα διάτι; τὰ παρὰ τὸ φυλακὴ συντιθέμενα διὰ τοῦ ι γράφεται· οἷον χαρτοφυλάκιον, ὀπωροφυλάκιον.

Ὀπτανεῖον, σημαίνει τὸ μαγειρεῖον, διὰ τῆς ει διφθόγγου· παρὰ Ἀττικοῖς ὀπτάνιον.

Ὁπότερος, τὸ ἐρωτηματικὸν πότερος· καὶ τὸ ἀναφορικὸν πλεονασμῷ τοῦ ο, ὁπότερος· δασύνεται· τὰ ἀπὸ τοῦ ο ἀρχόμενα, τὸ δὲ π, ποιητικῶς πλεονάζει· σχῆμα σύνθετον, ἐκ τοῦ ὁποῖος καὶ τοῦ ἕτερος, ὁποιέτερος, καὶ ὁποιότερος, καὶ ὁπότερος, ὁ ἕτερος τῶν δύο· πλεονάζει δὲ τοῦ π, ὥσπερ καὶ τὸ ὅπῃ ὅππῃ· ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος [4])· καὶ ὁποῖος ὁπποῖος. καὶ ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο [5]).

Ὄπωπα, εἶδον, ἐθεασάμην, πόθεν; ἔστι ῥῆμα ὄπτω, ὃ ἐστι βλέπω, ὁ μέλλων ὄψω, ὁ παρακείμενος ὦφα, ὁ μέσος ὦπα, καὶ Ἀττικῶς ὄπωπα.

Ὀπώρα, παρὰ τὸ τῇ ὥρᾳ ἕπεσθαι ἤγουν ἐπακολουθεῖν.

Ὀπωρινὸς, διὰ τοῦ ἰῶτα. τὰ γὰρ εἰς νος ὀξύτονα ἐπὶ καιροῦ λαμβανόμενα διὰ τοῦ ι γράφεται.

Ὀπωπὴ, κατὰ Ὅμηρον ὁ ὀφθαλμός.

Ὅπως ἀντὶ τοῦ πῶς· τὸ ο κατὰ πλεονασμόν.

Ὀργάδα, γῆν, παρὰ τὸ ἀργήτις εἶναι, καὶ ἀνέργαστος· ἢ διὰ τὰ ἐν αὐτῇ φυτὰ πρὸς αὔξησιν ὀργάνων· τάχα δὲ βέλτιον παρὰ τὸ τῆς κατεργασίας εἰρῆσθαι, ὡς φύγω φυγὰς, ἔθω ἐθὰς, ἔργω ἐργάς· ἔλεγον γὰρ καὶ χωρὶς τοῦ ἰῶτα, τὸ εἴργειν. κῶ μανὸς [6] δὲ ὀργάδα λέγεσθαι, τὴν μεγαλάγγειον καὶ ἔνυδρον γῆν· καὶ γὰρ ὀργάσαι ἐστὶ τὸ πηλοποιῆσαι, καὶ ὑγρῷ ξηρὸν μῖξαι· Σοφοκλῆς· θέλοιμι πηλὸν ὀργάσασθαι· καὶ Ἀριστοφάνης ὄρνισιν ἀποδὺς ὀργάδα [7])· ἔστι δὲ γῆ ἐν Μεγάροις οὕτω καλουμένη ὀργάς.

Ὀρέστης, ὁ ἐν ὄρεσι τὴν δίαιταν ἔχων.

Ὀρεοκόμος, ὁ τὰς ἡμιόνους τρέφων.

Ὁρᾶν τοῦ ὑπερορᾶν διαφέρει· ὁρᾶν μὲν γὰρ ἐστι τὸ θεωρεῖν· ὑπερορᾶν δὲ τὸ καταφρονεῖν.

---

1) Il. XVI, 208. 2) Il. IV, 1. 3) Od. VII, 107. 4) Od. X, 190. 5) Od. I, 171. 6) cf. Ern. ad Callim. Fr. p. 551. 7) Scr. πηλὸν διαδὺς ὄργαζον. Arist. Av. 840.

Ὄργανον, παρὰ τὸ ὀρέγω, τὸ ἐπιθυμῶ, γίνεται ὀρέγανον, καὶ κατὰ συγκοπὴν ὄργανον· καὶ γὰρ ἐκείνου αὐλοῦντος, πολλοὶ εἰς ἐπιθυμίαν κινοῦνται· ἢ παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἐξ οὗ καὶ ἅρμα, γίνεται ἀργάγανον καὶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ α εἰς ο ὄργανον. τὸ ἐν ποικιλίᾳ συνηρμοσμένον.

Ὀργὴ, παρὰ τὸ ὀρέγεσθαι τὸν ὀργιζόμενον καὶ ἀμύνασθαι τὸν ἐχθρόν· καὶ εἰς τὸ θυμός· ἢ παρὰ τὸ ῥέζω τὸ πράττω· ἢ παρὰ τὸ εἴργω τὸ κωλύω.

Ὄργια, σημαίνει τὰ μυστήρια, παρὰ τὸ ὀρέγειν τὸ ἐπιθυμεῖν· δύο γὰρ σημαίνει, τό, τε ἐκτείνω τὰς χεῖρας, καὶ τὸ ἐπιθυμῶ· ὀρέγω ὀργύια καὶ ὄργια· τοῖς γὰρ ἐπιθυμοῦσι μυστήρια οἱ θεοὶ μυοῦνται.

Ὀργυία, παρὰ τὸ ὀρέγειν καὶ ἐκτείνειν τὰ γυῖα, ἤγουν τὰς χεῖρας.

Ὀργῶντας, ἐπιτεταμένους, ἐπιθυμοῦντας, ἀπὸ τοῦ ὀργῶ. ὃ σημαίνει τὸ ἀκμάζω· τοῦτο ἀπὸ τοῦ ὀρέγω τὸ ἐπιθυμῶ, καὶ συγκοπῇ ὀργῶ· συντάσσεται μετὰ γενικῆς.

Ὀρέγω βροτὸν, συντάσσεται δοτικῇ· τὸ δὲ ἐπιθυμῶ γενικῇ.

Ὀρεφώσας, ἐκ τοῦ ὄρος καὶ τοῦ φῶ τὸ φαίνω.

Ὀρείτης, ὁ ἀπὸ τοῦ ὄρους· ἐκ τοῦ ὄρις ὄρεως, ὅτι ἀπὸ πρωτοτύπου ἔχει τὸ ε, καὶ ὀρείτης ὄνομα.

Ὅρασις, ἀπὸ τοῦ ὅρισίς τις εἶναι, καὶ τοῦ ὅρου τῶν σωμάτων καταλαμβάνειν· τουτέστι τὰ πέρατα.

Ὀρεκτὸν, παρὰ τὸ ὀρέγω τὸ ἐπιθυμῶ, ὁ μέλλων ὀρέξω, ὁ παρακείμενος ὤρεχα, ὁ παθητικὸς ὤρεγμαι, τὸ τρίτον ὤρεκται, καὶ ἐξ αὐτοῦ ὀρεκτὸς, ἤγουν ἐπιθυμητικὸς, ἢ χαριστικός. καὶ τὸ οὐδέτερον ὀρεκτόν· τὸ δὲ ὀρέγω γράφεται διὰ τοῦ ο μικροῦ· πλὴν τοῦ ὠρύομαι, ὤθω τὸ πρώθω, καὶ ὠνῶ τὸ ἀγοράζω, καὶ ὠφελῶ.

Ὀρεῦσιν, ἡμιόνοις, παρὰ τὸ ἐν ὄρεσι πλεῖον τῶν ἄλλων ζώων δύνασθαι ἐργάζεσθαι· ἢ παρὰ τὸ οὐρώδη γόνον ἔχειν, ὅθεν ἐν ταῖς συνουσίαις οὐ συλλαμβάνουσιν, οὐδὲ τεκνογονοῦσιν.

Ὀρθογοὴ, ἡ χελιδὼν, ἡ ὑπὸ τὸν ὄρθρον γεννῶσα· καὶ οὐκ ὀρθοβοὴν ὥς τινές.

Ὄρη, φυσικῶς ὑψώματα, ἐκ θεοῦ κατεσκευασμένα, διὰ λίθων πεπυκνωμένα.

Ὀρθὸς, ἔστιν ὄῤῥω τὸ διεγείρω καὶ θέω τὸ βλέπω, γίνεται ὄροθος, καὶ κατὰ συγκοπὴν ὀρθὸς, ὁ διεγειρόμενος καὶ πρὸς τὰ ἄνω βλέπων.

Ὄρθρος, παρὰ τὸ ὀρῶ τὸ διεγείρομαι, ἐξ οὗ καὶ Αἰολικῶς ὄρσω, ὄνομα ὀρτὸς, καὶ μεταθέσει τοῦ τ εἰς θ ὀρθός· καὶ ἄλλως, ὀρῶ, ὄρσω, ὄνομα ὀρτὸς καὶ ὀρθὸς, μεταθέσει τοῦ τ εἰς θ.

Ὄρθρος καὶ πρωῒ διαφέρει· ὄρθρος μὲν γὰρ ἡ πρὸς ἀνατολὴν ὥρα, καθ' ἣν ἐξ ὕπνου ἀναστάντες ὄρθριοι γενόμεθα· πρωῒ ἡ μετὰ τὴν ἀνατολὴν ἐπίλαμψις.

Ὀρίγανον, ὤφειλε διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τούτου δοτικῇ καὶ τὸ γάνος, τὸ σημαῖνον τὴν χαρὰν γέγονε· τὸ γὰρ ὀρίγανον τῷ ὄρει χαίρει. ἢ παρὰ τὸ ὁρᾶν καὶ τὸ γάνα, τὸ σημαῖνον τὸ λαμπρύνω γέγονεν, οἱονεὶ ὁ λαμπρύνων τὴν ὅρασιν· ὁρᾶν γὰρ καλῶς ποιεῖ τὴν ὅρασιν τὸ ὀρίγανον· ἀλλὰ κατὰ Θεοδώρητον ἀπὸ τοῦ ῥιγῶ γέγονεν.

Ὀρίγανον, παρὰ τὸ ῥιγῶ ῥίγανον, καὶ πλεονασμῷ τοῦ ο ὀρίγανον, οἱονεὶ τὸ ψύχον τινὰ κατ' ἀντίφρασιν· θερμαίνει γὰρ τοῦτο· διὰ τοῦ ἰῶτα γράφεται· τριγενές ἐστιν, ἀρσενικὸν, θηλυκὸν καὶ οὐδέτερον [1])· ἢ παρὰ τὸ ἐν τοῖς ὄρεσι χαίρειν.

Ὀρίνω, διεγείρω· τὸ ρι ἰῶτα· τὰ διὰ τοῦ ινω ῥήματα ὑπὲρ δύο συλλαβὰς μὴ ἔχοντα ἀναφαινόμενον τὸ ε, ἐν τῷ μέλλοντι διὰ τοῦ ι γράφεται. ἢ ὅτι εὕρηται κλινόμενον ἄχρι τοῦ μέλλοντος· τὰ γὰρ διὰ τοῦ εινω ῥήματα ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ἄχρι τοῦ παρατατικοῦ κλίνεται· τοῦτο δὲ εὑρέθη διὰ τοῦ ἰῶτα γραφόμενον ὀρίνω καὶ ὀδίνω, τούτου χάριν καὶ ἐπὶ μέλλοντος κλίνεται· τὸ δὲ ὀρίνω, ἐκ τοῦ ὄῤῥω τὸ διεγείρω, ὄρνω καὶ ὀρνύω· καὶ τρέπεται τὸ υ εἰς ι, ὡς κυνῶ κινῶ· κανὼν γάρ ἐστι ὁ λέγων, ὅτι τὰ εἰς ω λήγοντα ῥήματα, εἴτε βαρύτονα εἴτε περισπώμενα, διὰ τοῦ υ βραχυνομένου ἐπεκτείνεται παρὰ τοῖς Ἴωσιν· οἷον, κινῶ κινύω, παρὰ τὸ κίω κυνῶ, φορῶ φορύω, ἐξ οὗ καὶ κατὰ παρένθεσιν Δωρικὴν τοῦ ν γίνεται φορύνω.

Ὁρισμὸς, πόθεν γίνεται; ἐκ μεταφορᾶς τῶν ἐν τοῖς γηδίοις ὁροθεσίων· καὶ γὰρ οἱ ἀρχαῖοι ἑκατέραν ἀμετρίαν ἐκφεύγοντες, τήν τε πλεονεξίαν, ἐφεῦρον τὰ ὁροθέσια, ἵνα διὰ τούτων, τῶν μὲν ἰδίων ἀπολαύσωσι, τῶν δὲ ἀλλοτρίων ἀπέχωνται. μάλιστα τοῦτο κατὰ τὴν Αἴγυπτον ἀναγκαῖον ἐγένετο· πάλαι γὰρ τοῦ Νείλου ἀνιόντος, καὶ τὰς ἀρούρας συγχέοντος, μετὰ τὴν ἀπόβασιν αὐτοῦ, πόλεμοι ἐγένοντο καὶ φόνοι, περὶ τὴν διανομὴν τῆς γῆς· ἐπενόησαν οὖν ὁροθέσιά τινα, πρὸς δήλωσιν τῶν τόπων, καὶ ἐπαύσαντο τοῦ πολεμεῖν· διὸ καὶ πρὸς τοῦτο ἐπινοηθὲν μέτρον ἃ καινὰ καλεῖται παρ' αὐταῖς παρὰ τὴν στέρησιν τοῦ φόνου· καίνειν γὰρ τὸ φονεύειν.

Ὅρκια, τὸ κι ἰῶτα διάτι; τὰ ἀπὸ τῶν εἰς ος, διὰ τοῦ ιος, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα δασύνεται· ὁ Ἡρωδιανὸς, ἐκ τοῦ ὅρος, ἐξ αὐτοῦ ὅρκος, οἱ γὰρ ὀμνύοντες, ὁρίζονται καὶ ὀμνύουσιν. ἢ παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ, ὥσπερ γὰρ βοηθήματι αὐτοῦ ἐχρῶντο οἱ ἀδικούμενοι· ἢ παρὰ τὸ εἴργω τὸ κωλύω, ἐπισχετικὸν γάρ ἐστι, τῶν παραβῆναι βουλομένων· προπαροξύνεται· τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικὰ ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα, ἢ κατὰ σύλληψιν, ἢ κατὰ διάστασιν προπαροξύνεσθαι θέλουσι. ὁπότε δὲ πρὸ τοῦ ἰῶτα οὐκ ἔστιν ἀμετάβολον παροξύνεται, οἷον, ἱστίον, κυμβίον, ἰσχίον, ἐρκίον· τὸ μέντοι ὅρκιον προπαροξύνεται κτητικῷ τύπῳ ἐχόμενον· ἐπεὶ δὲ αὐτόσημόν ἐστι τὸ ὅρκῳ, παρωνύμῳ εἴδει ὑποπεπτωκέναι φαμέν· ὡς τὸ κιτάλιος, κάπριος, αἰζήϊος· εἶπεν, ὁπότε πρὸ τοῦ ἰῶτα οὐκ ἔστιν ἀμετάβολον, διὰ τοῦ ἴκριον καὶ ἴχνιον.

Ὅρμος, σημαίνει δύο, τὸν λιμένα καὶ τὸ ἀσφάλισμα.

Ὁρμὸν, περιτραχήλιον κόσμον, διαφέρει δὲ ἰθμοῦ· ὁ μὲν γὰρ προσέρχεται τῷ τραχήλῳ· ὁ δὲ ὁρμὸς κεχάλασται· ἰθμὸς δὲ ὁ τράχηλος, ἀπὸ τοῦ εἰσιέναι δι' αὐτοῦ τὴν τροφήν· ἔνθεν καὶ παρίθμια· σημαίνει δὲ ὁ ὅρμος τὸν λιμένα καὶ τὸ κοσμίδ . . .

Ὅρκις, παρὰ τὸ εἴργω τὸ κωλύω ὀργὸς καὶ ὀρκὸς, ἐπισχετικὸν γὰρ τῶν παραβαινόντων· ἢ παρὰ τὸ ἀρκεῖν καὶ βοηθεῖν, ὡς γὰρ βοηθήματι αὐτῷ χρῶνται οἱ ἀδικούμενοι, ἄρκος καὶ ὅρκος· ἢ παρὰ τὸ ὅρος πλεονασμῷ τοῦ κ ὅρκος.

---

[1]) τριγενές ἐστιν etc. vid. Eustath. p. 1118. 26.

Ὄρκιος, διὰ τὸ ο λῆγον εἰς ρ, ἐπιφερωμένου συμφώνου μὴ τοῦ μ ψιλοῦται· οἷον, ὀργὴ, ὀρχιστὴς, ὀρσίλοχος· σεσημείωται δύο, τὰ ὅρσια καὶ ὅρκος· ἐπίορκος δὲ διάτι ἀναβιβάζει τὸν τόνον; τὰ εἰς ος ὑπὲρ μίαν συλλαβὴν πρὸ μίας τὸν τόνον ἔχοντα, ἐν τῇ συνθέσει προπαροξύνεται· χωρὶς εἰ μὴ σύνθετα ὑπάρχουσιν ἕνεκα ἐνεργείας παροξύνεται· οἷον, ποικίλος παμποίκιλος, ὅρκος, ἐπίορκος.

Ὅρκος, παρὰ τὸ εἴργειν καὶ κωλύειν τὸ παραβαίνειν, τροπῇ τοῦ γ εἰς κ· ἢ παρὰ τὸ ὅρος εἶναι καὶ ἀσφάλεια· τὸ δὲ κ πλεονάζει· ἢ παρὰ τὸ κωλύειν ἡμᾶς παραβαίνειν τὴν ἀλήθειαν· διάτι βαρύνεται; τὰ εἰς κος λήγοντα δισύλλαβα προσηγορικὰ μὴ παρασχηματιζόμενα εἰς θηλυκὸν γένος, εἰ ἔχει τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, μὴ τὸ λ βαρύνεται· οἷον, λάκκος, σάκκος, ὅρκος καὶ εἴ τι ὅμοιον.

Ὅρκιον, σκῆπτρον, καθ' ὃ ὤμνυον, βασιλικὴ ῥάβδος.

Ὅρμος, παρὰ τὸ εἴρω τὸ συμπλέκω ἢ φυλάσσω· ἐξ οὗ καὶ εἱρμὸς γίνεται ὅρμος, ὁ λιμὴν, καὶ γὰρ κυκλοειδής ἐστι. διάτι δασύνεται; πᾶν φωνῆεν πρὸ τοῦ ρ ἐπιφερομένου τοῦ μ, δασύνεται· πλὴν τοῦ ἄρμενον καὶ ἀρμένιος.

Ὅρμος, ὁ λιμὴν, παρὰ τὸ ὁρμᾷν, καὶ ἵστασθαι ἐν αὐτῷ τὰς ναῦς.

Ὁρμίσκος, εἶδος κόσμου· περιδέρη· περιδέρη δέ ἐστι περὶ τὸν τράχηλον κόσμος, παρὰ τὸ ἐμπλέκεσθαι περὶ τὸν τράχηλον, ὁ μανιάκις.

Ὅρμινος, ὄσπριον.

Ὁρμῶ, ἔρχομαι· εἰ μὲν ἔστι πρώτης συζυγίας τῶν περισπωμένων, γίνεται ἀπὸ τοῦ ὅρμος· σημαίνει δὲ δύο· τὸν τοῦ λιμένος ὅρμον καὶ κόσμον περιτραχήλιον, ὡς Ἡσίοδος, ὅρμους χρυσοὺς θέσαν· διαφέρει τὸ ὁρμεῖς καὶ ὁρμᾷς· τὸ μὲν ὁρμεῖς ἐπὶ τοῦ πλοίου λέγεται· οἷον, ὁρμεῖ τὸ πλοῖον· τὸ δὲ ὁρμᾷς τὸ ἁπλῶς ἐπερχόμενον.

Ὄρνεον, παρὰ τὸ νέειν, ἤγουν διώκειν· ἢ διὰ τὸ εἰς ὄρην νέειν, ἤγουν οἰκεῖν.

Ὁρμώμενος, προθυμούμενος. λέγεται δὲ καὶ ὁ ἀναλογούμενος.

Ὀρνιθευτὴς καὶ ὀρνιθοσκόπος διαφέρει· ὀρνιθευτὴς μὲν ὁ θηρεύων ὀρνίθας· ὀρνιθοσκόπος δὲ, ὁ μάντις ὁ οἰωνοσκόπος.

Ὄρνις, παρὰ τὸ ὄρω τὸ διεγείρω, οὐδὲν γὰρ ἄλλο ὁρμητικώτερον τούτου τοῦ ζώου· κλίνεται δὲ ὄρνις ὄρνιθος· ὁ κανών· τὰ εἰς ις λήγοντα ἔχοντα πρὸ τοῦ ἰῶτα δύο ἀμετάβολα διὰ τοῦ θος κλίνεται, οἷον, δέλλις δέλλιθος, ἔστι δὲ εἶδος ζώου ὁμοίου μελίσσῃ, μέρμις μέρμιθος, σημαίνει δὲ τὸ σχοινίον· ἕλμις ἕλμιθος, οὕτω καὶ ὄρνις ὄρνιθος· πλὴν τοῦ Τράλλις τράλλεος, ἔστι δὲ ὄνομα πόλεως, τοῦτο γὰρ διὰ καθαροῦ τοῦ ε κλίνεται.

Ὄρνιθος, παρὰ τὸ ὀρούειν καὶ ὀρνίσθαι τί γὰρ ὁρμητικώτερον τῶν πετωμένων· ἢ παρὰ τὸ ὄρω τὸ ὁρμῶ, ὄρις καὶ ὄρνις.

Ὀρνύω καὶ ὄρνυμι· ἐκ τοῦ ὄρω, τὸ διεγείρω, ὀρύω καὶ πλεονασμῷ τοῦ ν ὀρύνω καὶ ἐν ὑπερβιβασμῷ ὀρνύω, ὄρνυμι καὶ ὄρνυτος. καὶ εἰς τὸ ὀρίνω.

Ὀρῆ, διὰ τὸ δι' αὐτῶν ὁρᾷν πάντα τὰ ὄντα.

Ὄρος, τὸ βουνίον, παρὰ τὸ αἴρω τὸ ἐπαίρω· οἱονεὶ ἡ ἐπηρμένη καὶ ἀνατεταμένη γῆ· ἢ παρὰ τὸ ὁρῶ, τὸ βλέπω γίνεται ὄρος ὁ εὔοπτος τόπος, ἢ ἀφ' οὗ ἐστὶ καθ' εὐθεῖαν ὁρᾷν.

Ὄρος βουνοῦ διαφέρει· ὄρος μὲν ὁ πετρώδης καὶ ὑλώδης τόπος. βουνὸς δὲ ὁ καθαρὸς τόπος ἐκ χώματος ὑψηλοῦ.

Ὄρη, ὑδατώδης καὶ διεφθαρμένη ὑποστάθμησις τοῦ γάλακτος· ἢ τὸ ἄπηκτον γάλα· ὀρὸς γὰρ λέγεται, ἡ τοῦ γάλακτος ὑδατώδης ὑπόστασις.

Ὄρουσεν, ὥρμησεν· ἔστι ῥῆμα ὀρούω τὸ ὁρμῶ· ὄρω τὸ διεγείρω· καὶ ὥσπερ ἀπὸ τοῦ πλήθω πληθύω, οὕτω καὶ ἀπὸ τοῦ ὄρω ὀρύω. καὶ πέφηνε τὸ ν πλεονάζειν ἐν τοῖς ῥήμασι, καὶ γίνεται ὀρύνω καὶ πλεονασμῷ τοῦ τ ὀτρύνω· ἔστιν οὖν ὀρύω, καὶ πλεονασμῷ τοῦ ο Βοιωτικῶς ὀρούω· οἱ γὰρ Βοιωτοὶ τότε πλεονάζουσι τὸ υ στοιχεῖον μετὰ τοῦ ο, ἡνίκα τὸ υ οὐχ ὑποτάσσεται φωνήεντι· οἷον, κύνες κοῦνες, καὶ τὸ κῦμα κοῦμα· οὕτω καὶ τὸ εἰλήλυθα καὶ εἰλήλουθα, τὸ πληθυντικὸν εἰληλούθαμεν, καὶ ἐν συγκοπῇ εἰλήλουθμεν· ἡνίκα δὲ οὐχ ὑποτάσσεται τὸ φωνῆεν, οὐ πλεονάζει τὸ ο, εὐχὴ, αὐλή.

Ὄρπηξ, ὁ κλάδος, παρὰ τὸ ἕρπειν καὶ αὔξειν.

Ὀῤῥωδῶ, φοβοῦμαι, δέδοικα· παρὰ τὸ ῥῶ ῥάζω ῥαδῶ, ὡς χῶ χάζω χαδῶ· καὶ ἀπὸ τοῦ ἀῤῥωδῶ ὀῤῥωδῶ, παρὰ τὸ μὴ ἐῤῥῶσθαι τὴν ψυχήν· καὶ εἰς τὸ ἀῤῥωδεῖν καὶ κατωῤῥωδηκότες.

Ὄρσεο, διεγείρου, ῥῆμα προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ· ὁ κανών· οἱ Ἴωνες τὴν ου δίφθογγον εἰς ε καὶ ο λύουσιν, ὡς ἐν τῷ ἐμοῦ ἐμέο. ὅρτου ὄρτεο, τὸ ῥῆμα ὄρσω, καὶ μετάγεται εἰς ἐνεστῶτα· καὶ κλίνεται ἄχρι τοῦ παρατατικοῦ.

Ὄρσεο πόθεν; φαμὲν ὅτι ἀπὸ τοῦ ὄρω, καὶ Αἰολικῶς ὄρσω, ὡς κέρω κέρσω, καὶ μετῆλθεν ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ ἐγένετο ὄρσω ὁ ἐνεστὼς, τὸ παθητικὸν ὄρσομαι καὶ ὁ παρατατικὸς ὠρσόμην, τὸ τρίτον ὤρσετο. ὡς ἐτυπτόμην ἐτύπτετο, οὕτως ὠρσόμην ὤρσεο, πρὸ τῆς συσταλείσης τῆς ἀρχούσης· ὥσπερ ἐτύπτετο, τὸ δεύτερον ὄρσου· καὶ τὸ προστακτικὸν ὄρσου καὶ Ἰωνικῶς ὄρσεο.

Ὀρταλίζεις, ἔστι ὄρω ῥῆμα βαρύτονον, ἔνθεν τὸ, ὅτε τ' ὤρετο μητίετα Ζεύς [1]· ὄνομα ῥηματικὸν ὀρτός· τὸ δὲ ὀρτὸς ποιεῖ ῥῆμα ὀρτίζω, καὶ προσελθόντος τοῦ α λ ι, ἐποίησεν ὀρταλίζω, δηλοῖ δὲ τὸ ἀναῤῥίπτειν τὰ νήπια τῶν παιδίων, οἷον, ὀρούειν ποιεῖν ἐχρῶντο· χρῶντο δὲ καὶ ἐπὶ τοῦ ἄλλην ἥντιναοῦν ποιεῖσθαι κίνησιν· τὸ δὲ ἀμορτάλιζες παρὰ Ἀριστοφάνῃ οἷον ἐκουφίσθης.

Ὀρτάλιχος, παρὰ τὸ γλύχεσθαι καὶ τὸ ὀρούειν καὶ πέτεσθαι, ὀρτάλιχος, ὅ ἐστιν ὁ ὁρμητικός· παράγωγον ὄρταλις καὶ Αἰολικῶς ὀρτάλιχος.

Ὀρσοθύρη, θυρὶς, δι' ἧς εἰς ὑπερῷον ὑπάρχει ἀνάβασις· παρὰ τὸ ὄρω ὃ σημαίνει τὸ διεγείρω, ὁ μέλλων Αἰολικῶς ὄρσω, καὶ τὸ θύρα, ἐξ αὐτοῦ ὀρσοθύρη.

Ὀρχείδιον, μέρος σώματος.

Ὄρχατος, ἡ ἐπιευθεῖα φυτεία· παρὰ τὸ δι' αὐτῆς ἡμᾶς ἔρχεσθαι.

Ὀρχὸς, ὅπου ἐντίθεται τὸ φυτὸν, ὀρυχός τις ὤν.

Ὀρτυγομήτρα, παρὰ τὸ ὄρτυξ ὄρτυγος· τὸ δὲ ὄρτυξ, παρὰ τὸ ὄρω τὸ διεγείρομαι.

Ὀρυγμαδὸς, ὁ ἐκ τοῦ πλήθους γινόμενος ἄσημος ἦχος.

---

1) Il. XII, 279.

Ὀρφανός, ὁ ῥιφθεὶς ἀπό τινος, ἢ ἀπὸ πατρὸς ἢ ἀπὸ μητρός· ἢ παρὰ τὸ οἶος, ὃ σημαίνει τὸν μόνον καὶ τοῦ φαίνω, γίνεται οἰοφανὸς καὶ ὀρφανὸς, ὁ μόνος φαινόμενος, καὶ γονεῖς μὴ ἔχων· ἢ παρὰ τὸ ὄροφος, ὀροφανὸς καὶ συγκοπῇ ὀρφανός· ἢ παρὰ τὸ ὀρφνὸν ὃ σημαίνει τὸ σκοτεινόν· ἢ παρὰ τὸ ἁρπάζω, ἁρπανὸς καὶ ὀρφανὸς, οὗ τινος οἱ γονεῖς ἡρπάγησαν.

Ὀρφνή, νὺξ, σκοτία, παρὰ τὸ ἐρέφω τὸ σκέπω, ὀροφὴ ἡ σκέπουσα τὸ φῶς.

Ὀρφὸς, διὰ τὸ ὁρώμενος φεύγειν, ἢ ῥᾷον φεύγει· ἢ τὸ μὲν ρ ἔχει διὰ τὸ ὁρᾶσθαι, τὸ δὲ φ, διὰ τὸ φεύγειν.

Ὄρχις, ἀπὸ τῆς κατὰ τὴν μίξιν ὀρέξεως.

Ὄρχος, τὸ μεταξὺ τῶν ἀμπέλων· ἢ ὅπου τίθεται τὸ φυτὸν παρὰ τὸ διέρχεσθαι δι' αὐτῶν· ἢ τὸ μεταξὺ τῶν φυτῶν ἐπὶ κήπου.

Ὀρχήσασθαι, παρὰ τὸ ὀρέγειν καὶ ἐκτείνειν τὰς ἑαυτοῦ χεῖρας· ἢ παρὰ τὸ τοὺς ὀρχοὺς ἐν οἷς ἐχόρευον· καὶ ὁ χόρος ὀρχός τις ἐστι· κατὰ μετάθεσιν τοῦ στοιχείου.

Ὄρχεις, παρὰ τὸ πρὸς ἀφροδίσια παρέχειν ὄρεξιν· ἢ παρὰ τὸ ὀρούειν τὸ μόριον· ἢ οἷον ἔρχυς, εἰς οὓς ἔρχεται ἡ γονή.

Ὁρῶ, παρὰ τὸ χέω τὸ χωρῶ, καὶ κατ' ἀποβολὴν τοῦ χ ὁρῶ· καί τι μετέχει; χεόμενον γὰρ τὸ ὀπτικὸν πνεῦμα τὴν ὅρασιν ἀποτελεῖ· δασύνεται· ἀναχωρήσαντος οὖν τοῦ χ, ἔμεινεν ἡ ἀναλογοῦσα τοῦ χ δασεῖα· ἢ ὅτι τὸ ο πρὸ τοῦ ρ ψιλοῦται, ὀρέγω Ὀρέστης, πλὴν τοῦ ὁρῶ, ὅρος καὶ ὅρος ἀρσενικὸν, καὶ ὁρίζω.

Ὁρῶ, ὁ παρατατικὸς ὥραον ὥραν, ὥραες ὥρας, ὥραε ὥρα· καὶ τὸ προστακτικὸν ὅραε ὅρα, ἐξ οὗ καὶ κόρη ἡ τοῦ ὀφθαλμοῦ.

Ὄρωρα, ἦλθον ἢ εἶδον, πόθεν; ἔστι ῥῆμα ὁρῶ, ὁ μέλλων ὁρήσω, ὁ παρακείμενος ἐνεργητικὸς ὥρηκα, ὁ μέσος ὧρα· εἴπομεν γὰρ ὡς τὰ περισπώμενα ῥήματα εἰς τὸν μέσον παρακείμενον μίαν ἐνδέουσι τοῦ ἐνεργητικοῦ· ἔστω οὖν ἀπὸ τοῦ ὁρῶ ῥήματος ὧρα καὶ Ἀττικῶς ὄρωρα.

Ὃς, ὅστις· ὁ ποιητὴς ποίῳ χρᾶται, τῷ προστακτικῷ ἢ τῷ ὑποτακτικῷ; πάντοτε τῷ προστακτικῷ, χωρὶς εἰ μὴ διὰ τὸ μέτρον πολλάκις τῷ ὑποτακτικῷ· ἐξ οὗ καὶ τὸ ὅσφιν εὖ φρονέων.

Ὃς, οὐκ ἐπερεύθη· τὸ ὃς ἄρθρον ὑποτακτικόν· τὰ δὲ ἄρθρα μὴ ἐπαγομένου ὀνόματος ᾧ συνταγῶσι, μετάγονται εἰς ἀντωνυμικὴν σημασίαν ὁ δὲ ποιητὴς καταχρηστικῶς ἦν ὃ δὲ δωρεὰν ἀγαθὸς ὑπάρχει. καὶ εἰς τὸ ὅστις.

Ὅσιος, ἁγνὸς, ὁ τὰ θεμιτὰ πρὸς θεὸν πράσσων· τὸ ὅσιον λέγουσί τινες ἐπίτασίς ἐστι τοῦ δικαίου· κρεῖττον δὲ εἰπεῖν, ὅτι διαφέρει ὅσιον δικαίου· καὶ γὰρ δίκαιος μὲν λέγεται ὁ τὴν ἰσότητα τοῖς ὁμοειδέσι φυλάττων· ὅσιος δὲ ὁ περὶ τὰ θεῖα ἐσπουδακώς.

Ὁσιός ἐστιν, ὁ ἑαυτὸν διὰ πίστεως καθωσιώσας θεῷ.

Ὁσία, ἀνακειμένη θεῷ, καθαρά.

Ὁσημέραι, πάντοτε, καθ' ἡμέραν, ὅσαι ἡμέραι.

Ὄσπριον, καθ' ὑπέρθεσιν τοῦ ο, παρὰ τὸ σπείρω σπερῶ, σπόρεν τι ὄν. καὶ ἐν ὑπερβιβασμῷ τοῦ ο ὄσπριον, ὄσπριον δὲ ουχ εὕρηται.

Ὄσσε, οὐδέτερον, εὐθείας τῶν δυϊκῶν· σημαίνει δὲ τοὺς ὀφθαλμοὺς δυϊκῶς· κλίνεται τὸ ὄσσος τοῦ ὄσσεος καὶ ὄσσους· ἡ εὐθεῖα τῶν δυϊκῶν ὄσσεε, ἀφαιρέσει τοῦ ἑνὸς ὄσσε· γέγονε δὲ παρὰ τὸ ὄπτω, τὸ βλέπω, Αἰολικῶς ὄσσω, ὡς κόπτω κόσσω καὶ πέττω πέσσω· κλίνεται δὲ ἀρσενικῶς, ὁ ὄσσος ὥσπερ ὁ κότος.

Ὄσσε, οἱ ὀφθαλμοὶ, παρὰ τὴν ἔσον καὶ βουλὴν τῆς ὄψεως.

Ὄσσω, τὸ μαντεύομαι, ἐκ τοῦ ὄπτω, παρὰ τὸ εἶναι κενὰ ὄσσα, τουτέστι τὰ ὄμματα· πόθεν τὸ ὀσσόμενος; ἀπὸ τοῦ ὄπτω· καὶ οἱ Αἰολεῖς τὰ εἰς πτω ῥήματα εἰς δύο σσ τρέπουσι, γέγονε δὲ ὄσσω, τὸ παθητικὸν ὄσσομαι, καὶ ἡ μετοχὴ ὀσσόμενος.

Ὀσπήτιον, παρὰ τὸ ὀπὰς ἐκποιεῖν.

Ὄστρεον, μυάκιον θαλάσσιον.

Ὀστέον, παρὰ τὸ τῆς στάσεως αἴτιον εἶναι· τὸ δὲ ο πλεονάζει· ἢ παρὰ τὸ στῶ, στέος, στέον, τὸ αἴτιον τῆς στάσεως καὶ τοῦ σώματος.

Ὅστις, ὄνομα ἀναφορικόν. συνετέθη δὲ, ἐκ τοῦ ὃς ἄρθρου ὑποτακτικοῦ, καὶ τοῦ τις ὀνόματος ἀορίστου· τὸ γὰρ ἐρωτηματικὸν βούλεται τὸν αὐτὸν τόνον φυλάττειν· ἢ οὐδέτερον ἔγκλιται· ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; ἀναφορικοῦ.

Ὄστερον, ὄστρειον ἐν πλεονασμῷ τοῦ ἰῶτα· τὸ ὀπτοῦν τοῦ ῥεῖθρου.

Ὄστρακον, παρὰ τὸ στερεὰν ἀκὴν ἔχειν ἤγουν ὀξύτητα.

Ὀσφὺς λέγεται τὸ τρίτον μέρος τῆς ῥάχεως· ἡ γὰρ ῥάχις τρεῖς ἐπωνυμίας ἔχει· ἡ πρώτη καλεῖται αὐχὴν, ἡ δὲ δευτέρα ἰξὶν, ἡ δὲ τρίτη ὀσφύς· οἱονεὶ ὀστοφυὴς, ὀστώδης γὰρ τόπος ἐστί· γίνεται παρὰ τὸ ἶσος καὶ τὸ φύω, ἰσοφύς τις οὖσα· ἢ ὀστοφυὴς ὅτι ὀστώδης, κατὰ συναίρεσιν.

Ὀσφὺς, ἡ ζώνη, κατὰ δὲ Πλάτωνα ὀσφὺς λέγεται ἡ ψύα, παρὰ τὸ φύειν τὰ παιδία, ἀπὸ τῆς κατιούσης ἐκεῖθεν γονῆς.

Ὄσφρησις, ἐκ τοῦ ὀσφρῶ ὀσφρήσω, ἐξ οὗ καὶ ὀσφραδόν.

Ὅταν, δύο μέρη λόγου εἰσὶ, ἐκ τοῦ ὅτε καὶ τοῦ ἄν. καὶ τὸ ὅτε ἐπίρρημα ἀναφορικὸν, τὸ ἂν σύνδεσμος παραπληρωματικός.

Ὅτι τοῦ διότι διαφέρει· τὸ μὲν γὰρ διότι αἰτίαν δηλοῖ· τὸ δὲ ὅτι, ὅτε μὲν αἰτίαν, ὅτε δὲ βεβαίωσιν· τὸ δὲ διότι αἰτίαν μόνον· αὐτίκα γοῦν ὅτι μὲν ἐκλείπει ἡ σελήνη, πάντες ἴσμεν· διότι δὲ οὐκέτι

Ὅστις ἐπίορκον [1]· ἀόριστον ὄνομα, πόθεν συνετέθη; ἐκ τοῦ ὃς ἄρθρου προτακτικοῦ, καὶ τοῦ τις· σημαίνει δὲ ὅστις· ἀεὶ γὰρ ὁ ποιητὴς τὰ προστακτικὰ ἄρθρα ἀντὶ ὑποτακτικῶν χρᾶται, χωρὶς εἰ μὴ μέτρον κωλύσῃ· Σίσυφος Αἰολίδης, ὃς κέρδιστος γένετ' ἀνδρῶν [2], καὶ αἰδοῖος, νεμεσητὸς, ὅ με προέηκε πύθεσθαι [3]. πότε δὲ διὰ τὸ μέτρον προσλαμβάνει τὸ σ, ὃς κακὰ πόλλ' ἔδεσκεν [4].

Ὀτραλέως, ὀξέως, ἐνεργῶς· ἔστι ῥῆμα τρῶ τὸ φοβοῦμαι· ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν τρεὺς, μετὰ τοῦ στερητικοῦ α ἀτρεὺς ὁ ἄφοβος, καὶ τροπῇ ὀτρεὺς καὶ Ἰωνικῶς ὀτρῆος, ἡ γενικὴ τῶν πληθυντικῶν ὀτρέων, καὶ τὸ ἐπίρρημα ὀτρέως· ἢ ὥσπερ παρὰ τὸ κάρπιμος πλεονάζει ἡ αλ συλλαβὴ, καὶ γίνεται καρπάλιμος οὕτω καὶ ὧδε.

Ὀτρηρὸς, ὁ γενναῖος καὶ ἄφοβος, παρὰ τὸ τρέω τὸ φοβοῦμαι. τρέω τρετὸς καὶ τρηρὸς, ὁ φοβούμενος, μετὰ τοῦ στερητικοῦ α.

---

1) Il. III, 279. 2) Il. VI, 153, 154. 3) Il. XI, 648. 4) Il. IX, 536.

Ὀτρυγιᾶς, ἔστι τρῶ, ἐκ τούτου γίνεται τρύω, καὶ ἐξ αὐτοῦ τρύγω, καὶ ὁ μέλλων τρύξω, ὁ παρακείμενος τέτρυγα, καὶ ἐξ αὐτοῦ τρύγη, ἐκ τοῦ τρυγῶ τρυγᾶς καὶ τὸ τρυγῶ καὶ εἰς τὸ τρυγίας.

Οὐδαμῶς, ἐπίῤῥημα μεσότητος· γίνεται παρὰ τὸ οὐδαμὸς ὄνομα, παρ' ὃ καὶ τὸ οὐδαμόθεν ἐγένετο· ἐκ τοῦ οὖν οὐδαμὸς ἀρσενικοῦ μετήχθη εἰς ἐπίῤῥημα, καὶ γίνεται οὐδαμῶς διὰ τοῦ ω· τὸ δὲ οὐδαμῇ ἀπὸ θηλυκοῦ, ὡς ἄλλος ἄλλη, ἐκεῖνος ἐκείνῃ, ὅθεν ἔχει τὸ ἰῶτα· ἀπὸ δὲ δοτικῆς τὰ τοιαῦτα ἐπιῤῥήματά ἐστι, καὶ δηλοῖ ἀπὸ τοῦ ταύτῃ ἐπιέναι· καὶ οὐχὶ αὐτῇ λέγομεν.

Οὐδὲν, διὰ τοῦ δ καὶ οὐθὲν πα τοῦ θ διαφέρει. οὐδὲν μὲν γὰρ λέγεται τὸ ἐν τῷ καθόλου, ὅταν λέγομεν, οὐδὲν ἐν κόσμῳ καινόν· τὸ δὲ διὰ τοῦ θ λεγόμενον, ἀνείληπται ἐκ τοῦ οὔτε καὶ τοῦ ἕν, οἷον, οὔτε ἓν οὔτε δύο.

Οὐθὲν (δ), ὄνομα οὐδέτερον, τὸ ἀρσενικὸν οὐδεὶς, σχήματος συνθέτου· καὶ πόθεν συνετέθη; ἐκ τῆς οὐ ἀρνήσεως καὶ τοῦ εἷς γίνεται οὐεὶς καὶ πλεονασμῷ τοῦ δ οὐδεὶς, οὐδενός· ὁ κανών· τὰ εἰς εις μονοσύλλαβα ἀρσενικὰ διὰ τοῦ νος κλίνεται, οἷον κτεὶς κτενὸς, δεὶς δενός· κτεὶς δὲ σημαίνει τὸ κτένιον· λοιπὸν καὶ ἐν τῇ συνθέσει τὸν αὐτὸν κανόνα φυλάττουσι, καὶ ἐκ τοῦ τε καὶ τοῦ θεν οὔτε ἕν, οὐθέν. καὶ τροπῇ τοῦ θ εἰς δ, οὐδέν· ἀκινδυνότερόν ἐστι διὰ τοῦ θ.

Οὐδὲν[1]), ἐκ τῆς οὐ ἀρνήσεως, καὶ τῆς ἔθεν ἀντωνυμίας οὐέθεν· ἰστέον ὅτι τὸ οὐέθεν χωρὶς τοῦ κ εὑρέθη, διὰ τοῦ ὅτι ἐγκλίνεται· τὰ δὲ ἐγκλινόμενα οὐδέποτε προσλαμβάνουσιν· ἐμοῦ, ἤκουσέ μου· ἄλλως δὲ, αἰτία μέν ἐστιν ἡ ἄρνησις τοῦ πλεονασμοῦ, ἀλλ' οὐ δύναται λήγειν εἰς κ, οὐδέποτε γὰρ λέξις Ἑλληνικὴ εἰς ἄφωνον λήγει· δεῖ οὖν αὐτὸ ἐπιφέρειν τῇ ἑτέρᾳ λέξει· εἰ οὖν ἔλαβεν αὐτὸ ἐν τῷ ἔθεν ἔμελλε φυλάττειν ἐν πλεονασμῷ καὶ οὐκέτι ἐνεγκλίνετο.

Οὐδενόσωρα, οὐδεμίας φροντίδος ἀξία· ἀπὸ τοῦ ὤρα· ὤρα γὰρ ἡ φροντίς.

Οὐ, ἐπίῤῥημα ἀρνήσεως.

Οὐδὲν, διὰ τοῦ δ, καὶ οὐθὲν διὰ τοῦ θ, διαφέρει ὡς ἔφαμεν· οὐδὲν ἐν κόσμῳ καινόν, πᾶσα γὰρ καινοῦ φύσις βαστάζεται. οὐθὲν ἀναλυθὲν εἰς τὸ ἴδιον ἀντίστοιχον, σημαίνει τὴν τοῦ ἑνὸς ἄρσιν καὶ ἐπιφορὰν ἑτέρας ἀρχῆς, οὐθ' ἓν, οὔτε δύο· τὸ δὲ διὰ τοῦ δ ἀπαρτίζει, διὸ καὶ Ὅμηρός φησιν· οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο [3]).

Οὐ θήν μιν, οὐδαμῶς δὴ αὐτόν· πόσοι τόνοι; δύο· διατί; ἡνίκα εὑρεθῶσιν ἐγκλιτικὰ ἐφεξῆς ἀλλήλων κείμενα, πολλαὶ ἔσονται καὶ παράλληλοι ὀξεῖαι· ἦ ῥά νύ μοί τι πίθοιο Λυκάονος υἱὲ δαΐφρον [2]).

Οὐκ ἀπόχρη, οὐκ ἀρκεῖ.

Οὐκ ἐφίενται, οὐκ ἐπιθυμοῦσιν.

Οὐκ ἄμοιρος, οὐκ ἀμέτοχος, οὐκ ἐκτός.

Οὐκ ἐφάτην, οὐκ εἶπον, δυϊκῶς.

Οὐκ ἐπιλήσομαι, οὐκ ἐπιλάθομαι.

Οὐκ ἦν, οὐκ ὑπῆρχον, ἐκ τοῦ ἔω τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦον, ἦες, ἦε· καὶ κατὰ κρᾶσιν τοῦ ε εἰς η μακρὸν, καὶ πλεονασμῷ τοῦ ν ἦν.

Οὐκὶ, οὐχὶ, ἐπίῤῥημα ἀρνήσεως· καὶ οἱ Ἴωνες ἀντὶ τῶν δασέων τοῖς ψιλοῖς χρῶνται· τὸ γὰρ ἀφικόμεθα, ἀπικόμεθα ἐκεῖνοι, καὶ τὸ εἴληφα, ἀπείληφα, ἐκεῖνοι ἀπείληπα λέγουσιν· οὕτω καὶ τὸ οὐχὶ, ἐκεῖνοι οὐκὶ λέγουσιν.

Οὔκουν, ἐπίῤῥημα ἀρνήσεως ἀντὶ τοῦ οὐδαμῶς.

Οὔκουν καὶ οὐκοῦν διαφέρει· οὔκουν μὲν ἀποφαντικῶς ἀντὶ τοῦ οὐδαμῶς· περισπώμενον δὲ συλλογιστικὸς σύνδεσμος καὶ σημαίνει ἀπόφασιν.

Οὐλὴ παρὰ τὸ οὖλετε, ἀντὶ τοῦ ὑγίαινε, καὶ μέγα χαῖρε, θεοὶ δέ τε ὄλβια δοῖεν.

Οὐλαὶ καὶ οὐλοχῦται, παρὰ τὸ ὅλον, ὡς πρὸς τὰς ἀλημεσμένας κριθάς.

Οὐλαμὸν, τάξιν στρατιωτικὴν ἢ ἄθροισμα, παρὰ τὸ θορυβεῖν καὶ λαβεῖν, κατ' ἀντίφρασιν, οὐλαμὸς ὁ πολλὰ λαλῶν· καὶ οὐκάλαμος καὶ σιωπητικός.

Οὐλὴ, τὸ ὑγιασθὲν τραῦμα καὶ φαινόμενον· ἄλλοι δὲ ἐπιπόναιον ἕλκος.

Οὐλὴ καὶ ὠτειλὴ διαφέρει· οὐλὴ μὲν γάρ ἐστιν, ἡ ἐκ παλαιοῦ τραύματος ὑγιασμένη πληγή· ὠτειλὴ δὲ τὸ πρόσφατον τραῦμα· καὶ Ὅμηρος δὲ τετήρηκε τὴν διαφορὰν εἰπών· οὐλὴν δ' αὐτὴν ἔρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς [4]).

Οὐλομένην, ὀλεθρίαν, ὄνομα μετοχικὸν, ἀπὸ τοῦ παθητικοῦ τοῦ οὐλομένου· ἡ αἰτιατικὴ οὐλομένην· γίνεται ἀπὸ τοῦ ὀλῶ, ὀλέσω, ὀλουμένην καὶ ἐν ὑπερβιβασμῷ οὐλομένην· οὐκ ἀπὸ τοῦ οὔλω, καθώς τινες φασίν· οὐδὲν γὰρ διὰ τὸ ουλω βαρύτονον, πλὴν τοῦ βούλω· ἢ παρὰ τὸ ὄλω τὸ ἀπολλύω, κατὰ πλεονασμὸν τοῦ υ· εἶπε δὲ ἀντὶ τοῦ ἐπιθετικοῦ ὀνόματος τὸ οὐλομένην· ὡς γὰρ τοὐναντίον ἐπὶ τῆς ψάμμου κυανέην, ὃ καὶ χωρὶς τοῦ ἰῶτα γράφονται, σημαίνει γὰρ ψάμμον κυανίζουσαν· γέγονε δὲ ἀπὸ μετοχικοῦ ὀνόματος, ὥσπερ καὶ τὸ ἡγμένοι καὶ τὸ ἐρώμενον, ὑπὸ δίωνος ἀπολύτως δὲ λεγόμενα λαμβάνει ὀνόματα σύνθετα· καὶ ἄλλως. ἔστιν ὄλλω τὸ ἀπόλλω· τοῦτο γὰρ ὀλῶ ὀλεῖς, ὀλεῖ, πρώτης συζυγίας τῶν περισπωμένων· ἢ παρὰ τὸ ἐλῶ τὸ φονεύω, ὀλῶ, ὡς πέλω τὸ ὑπάρχω, πολῶ, μένω μονῶ, πέτω ποτῶ, ὀλῶ οὗ ὁ μέλλων ὀλέσω καὶ ἡ μετοχὴ παθητικὴ τὸ θηλικὸν ὀλουμένη· καὶ ἔστιν ἡ μετοχὴ ἀντὶ ὀνόματος, καὶ τοὐναντίον εὑρεῖν ἀντὶ μετοχῆς, οἷον ψάμμῳ κυανέῃ, ἀντὶ τοῦ κυανίζουσα.

Οὐλομένην, παρὰ τὸ ὄλλω τὸ φθείρω, ὀλέσω, ὤλεσα, ὁ β ἀόριστος ὦλον, ὁ παθητικὸς ὤλην, ὁ μέσος ὠλόμην, ἡ μετοχὴ ὀλούμενος καὶ ὑπερθέσει τοῦ διχρόνου οὐλομένην.

Οὖλος, σημαίνει τὸν ὑγιῆ καὶ ὁλόκληρον, καὶ τὴν κριθὴν καὶ τὴν τρίχα· καὶ οὐλὴ ὀξυτόνως, τὸ ὑγιασθὲν τραῦμα καὶ φαινόμενον· καὶ οὖλον ἡ συνέχουσα τοὺς ὀδόντας σάρξ· καὶ οὖλον τὸ ἁπαλόν.

Οὐλοχύτας, τὰς πεφρυγμένας κριθὰς καὶ ἐπιχεομένας, ἐκ τοῦ οὐλὴ βαρυτόνου, ὃ σημαίνει τὴν κριθήν· τοῦτο ἐκ τοῦ οὖλος, σημαίνει δὲ τὸν ὁλόκληρον, ὥσπερ ἄρτον οὖλον ἑλών· καὶ ἐξ αὐτοῦ οὐλή· πρὸ τοῦ εὑρεθῆναι γὰρ τὸν δημητριακὸν καρπὸν, τὸν σῖτον, ὁλοκλήρους τὰς κριθὰς ἤσθιον· γίνεται δὲ οὖλος, ἐκ τοῦ ὅλος πλεονασμῷ τοῦ υ, ὅλος γὰρ ὁ ὁλόκληρος. καὶ οὐλὴ βαρύτονον ἐπὶ τῆς κριθῆς· οὐλὴ δὲ ὀξύτονον τὸ ὑγιασθὲν τραῦμα καὶ φαινόμενον· καὶ λοιπὸν ἐκ τοῦ ὅλω καὶ τοῦ χύω γίνεται ὁλοχύτης· τὸ λο μικρὸν, ὡς ἔστι κανὼν ἐν τῷ βουληφόρος.

---

1) Legend. οὐ ἔθεν. 2) Od. XVIII, 129. 3) Il. IV, 93. 4) F. ex Il. IV, 140. ubi v. Schol.

Οὐ μέν πως, τὸ μὲν ὀξύτονον, ἐπειδὴ αἱ ὀξυνόμεναι λέξεις αἱ διὰ τὴν συνέτειαν, τρέπουσι τὴν ὀξεῖαν εἰς βαρεῖαν· ἐπιφερομένου ἐγκλιτικοῦ μορίου τὴν ἰδίαν φυλάττουσι τάσιν· Ζεὺς δ' ἐπεὶ οὖν· Ζεύς με μέγα Κρονίδης· καὶ οὐ μέν πως πάντες βασιλῆες, τὴν γὰρ βαρεῖαν πάλιν εἰς ὀξεῖαν μετήνεγκε.

Οὐ μὴ ἀναστήσωσι· πολλάκις εἰρήκαμεν, ἡ οὐ ἄρνησις μετὰ τῆς μὴ εὑρισκομένης, ὑποτάσσει. ὡς τὸ οὐ μή μου νίψης τοὺς πόδας, καὶ οὐ μὴ ἀναστήσωσι.

Οὕνεκα, σύνδεσμος αἰτιολογικὸς, ποίου σχήματος; ἁπλοῦ· ἔχει δὲ ἔννοιαν συνθέτου, ἀντὶ τοῦ οὗ τινος εἵνεκα· ἀλλὰ κανών ἐστιν ὁ λέγων, τὰ ἐν ἀνταποδόσει παραλαμβανόμενα ἁπλᾶ καθεστήκασι, οἷον, τέως ἕως, τόσος ὅσος· τὸ οὖν οὕνεκα ἐν ἀνταποδόσει τούτου παραλαμβανόμενον λέγομεν τοὔνεκα, τούτου χάριν ἐν ἁπλότητι καθεστήκασι· τὸ δὲ τοὔνεκά ἐστι σύνδεσμος ἀνταποδοτικός.

Οὐνεγούνδουρος, ὄνομα, κουντουρος· κουντουρίζω δὲ ὅλως ἠλιγάλιθος, κάκοσμος, δυσθέωρος, πολύορκος, βουλευτοτόλμηρος, σύντομος, τρεπτὸς, μικρώτατος, αἰσχρότατος, ἕτοιμος εἰς ἔφοδον.

Οὔπω, ἐπίῤῥημα ἀρνήσεως, συνετέθη ἐκ τῆς οὐ ἀρνήσεως καὶ τοῦ πω παραπληρωματικοῦ συνδέσμου. διάτι ὀξύνεται; μακρὰ πρὸ μακρᾶς οὐ περισπᾶται· οὔπω, ποίου μέρους λόγου ἐστίν; συνδέσμου· συντάσσεται δὲ τῇ οὐ ἀποφάσει, καὶ τῇ μὴ ἀπαγορεύσει, οἷον ἔφαγον, οὔπω ἐδείπνησα· μέλλων γάρ τις δείπνειν τοῦτο αὐτὸ ἀποφαίνεται· οὐ δειπνῶ, ἀπόφασιν ποιεῖται τελείαν· τὸ δὲ μήπω περιπατεῖν τῶν προσκαίρων ἀπαγόρευσιν, οὐ πράγματος δηλοῖ· ὑπισχνεῖται δὲ μέλλων ἔσεσθαι· σεσημείωται παρέλκων ἐνταῦθα κείμενον· σὺ δ' οὔπω πάντες μάκαρες θεοὶ λελάθοντο.

Οὐρανόθι, ἐκ τοῦ οὐρανοῦ· ἔστιν ἐπίῤῥημα τοπικὸν, τὸ νο μικρόν· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς θι ἐπιῤῥήματα, τὴν παραλήγουσαν θέλουσι φυλάττειν τῶν εἰς θεν ἐπιῤῥημάτων· οἷον Ἰλιόθεν, Ἰλιόθι, ἀβυδόθεν, ἀβυδόθι· κανὼν ἐστὶν ὁ λέγων· τὰ εἰς θεν ἐπιῤῥήματα παράγωγα τὴν τῶν πρωτοτύπων φυλάττουσι γραφήν· οἷον, ἔστιν ἠὼς, καὶ σημαίνει τὴν ἡμέραν, καὶ γράφεται διὰ τοῦ ω, καὶ κατὰ παραγωγὴν γίνεται ἠῶθεν, καὶ φυλάττει ἡ παραγωγὴ τὴν τοῦ πρωτοτύπου· καὶ Ὅμηρος· ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας [1]). πάλιν ἔστιν ἕως, καὶ κατὰ παραγωγὴν γίνεται ἑῶθεν καὶ γὰρ τὸ ω ἐκ τοῦ πρωτοτύπου· καὶ πάλιν, ἔστιν Ἴλιος... καὶ γράφεται τὸ ο μικρὸν, καὶ κατὰ παραγωγὴν Ἰλιόθεν, καὶ φυλάττει τὴν τοῦ πρωτοτύπου γραφήν· οὕτω καὶ οὐρανὸς, οὐρανόθεν καὶ ἐξ αὐτοῦ οὐρανόθι· διάτι προπαροξύνεται; τὰ εἰς θεν ἐπιῤῥήματα, τῷ ο παραληγόμενα, πρὸ μιᾶς συλλαβῆς τὸν τόνον ἔχουσιν· οἷον κυκλόθεν, ἀβυδόθεν, οὐρανόθεν, Ἰλιόθεν· χωρὶς τῶν ἐπιμεριζομένων, οἷον ἑκάστοθεν, ἑκάτοθεν, ἔνδοθεν· τούτοις συνεξηκολούθησε καὶ τὸ προπάροιθεν, κατὰ πλεονασμὸν τοῦ ι γενόμενον.

Οὐρανὸς, ὁρᾶται νοερῶς· ἢ παρὰ τὸ ὀρῶ τὸ φυλάσσω· ἢ οὐρανὸς τουτέστιν ὅρασις νοῦ· ἢ διὰ τὸ ὁρᾶσθαι ἄνω, ἡ ὅρασις ἄνω κειμένη· ἢ παρὰ τὸ ὁρῶ τὸ βλέπω, ὁ πᾶσιν ὁρώμενος ἤτοι φαινόμενος, ὁρανὸς καὶ ἐν πλεονασμῷ τοῦ υ οὐρανός· καὶ ὤφειλε δασύνεσθαι, ἐπεὶ ἀπὸ τοῦ ὁρῶ γίνεται· ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι τὸ υ πλεόναζον ψιλοῦται τὰ πρὸ ἑαυτοῦ φωνήεντα, οἷον ὅρος, οὖρος ἕκηλος, εὔκηλος, ἕαδε εὔαδε.

Οὐρανὸς, παρὰ τὸ ἄνω φέρειν τὸν νοῦν· ἢ παρὰ τὸ ἄνω ὁρᾶσθαι τὸν νοῦν.

Οὐρῆας, ἡμιόνους, παρὰ τὸ ὄρος ὀρεὺς, ἡνίοχος ἡνιοχεύς· λέγεται γὰρ ἐν ὄρεσι μᾶλλον δύνασθαι ἐργάζεσθαι, κατὰ πλεονασμὸν τοῦ υ οὐρεὺς καὶ ἡ γενικὴ οὐρέος καὶ Ἰωνικῶς οὐρῆος· καὶ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν οὐρῆας, παρὰ τὸ οὐρώδη σπόρον ἔχειν, ἣν καὶ Ἀριστοτέλης ἱστορεῖ τεκεῖν.

Οὐριοδρομήσαντες, εὐφόρου ἀνέμου πλεύσαντες· οὖρος γὰρ ὁ εὔφορος ἄνεμος, καὶ ἡ διὰ θαλάσσης ὁδός· λέγεται δὲ οὖρος καὶ ὁ φύλαξ καὶ εὐθυντήρ.

Οὖρος, ὁ ἄνεμος, παρὰ τὸ ὀρούειν, καὶ ὁρμῆς αἴτιον εἶναι· οὖρος δὲ ὁ φύλαξ, παρὰ τὸ οὐρῶ τὸ φυλάσσω, ὁ ἐπὶ τῶν ὀρείων τεταγμένος καὶ προορῶν· λέγεται δὲ φρουρὸς οἷον πρόορός τις ὢν, καὶ συναιρέσει προυρὸς καὶ φρουρός.

Οὖρος, τὸ τοῦ ἀνθρώπου, καὶ οὖρος τὸ ὅρος τῆς γῆς, ἀμφότερα δὲ οὐδέτερα.

Οὐροὺς, τὰ νεώρια, ἤγουν οἱ ὁλκοὶ, παρὰ τὸ ὀρούω ὀρούσω καὶ κατ' ἀποβολὴν τοῦ ω ὀροὺς, καὶ πλεονασμῷ τοῦ υ οὐρούς· δι' αὐτῶν γὰρ ἐγείρονται καὶ καθέλκονται αἱ νῆες εἰς τὴν θάλασσαν· καὶ Ὅμηρος· οὐροὺς ἐξεκάθαιρον νηῶν.

Οὖς, διάτι οὐ κλίνεται; οὐδέποτε ὄνομα οὐδέτερον εἰς ους λῆγον πλὴν τοῦ οὖς· τοῦτο δὲ ὡς μονῆρες ὂν, καὶ μὴ ἔχον τι μιμήσασθαι, ἔμεινεν ἄκλιτον.

Οὐρανιῶνες, φυλάττει ὥσπερ ὄνομα καὶ ἔστιν εὐθείας τῶν πληθυντικῶν.

Οὐκ ᾔδειν· εἴδω ὁ μέλλων εἴσω, ὁ παρακείμενος οἶδα, ὁ ὑπερσυντελικὸς ᾔδειν καὶ διαιρέσει τῆς οι εἰς ἦτα ᾔδειν.

Οὖσα, ὑπάρχουσα [2]), παρὰ τὸ οἴσω τὸ κομίζω, οἶσον οὐδετέρως, καὶ τροπῇ τοῦ ι εἰς υ οὖσον, ἐν ᾧ κομίζεται ἡ ναῦς· οἱ δ' οὖσα γρώνης εὐγάληνα χερμάδος [3]).

Οὐσία, ὡς οὖσα κάλλιστος, τοῦ τυχόντος ὕπαρξις· ἢ ὡς ἀδιάπτωτος μένουσα· ἢ παρὰ τὸ ὦ μονοσύλλαβον ῥῆμα, τὸ σημαῖνον τὸ ὑπάρχω, οὗ ἡ μετοχὴ ὢν ὄντος, καὶ τὸ θηλυκὸν οὖσα, καὶ πλεονασμῷ τοῦ ἰῶτα οὐσία, ἡ οὖσα ἀεὶ καὶ ὑπάρχουσα, ὥσπερ παρὰ τὸ γέρων γέροντος, γερουσία ἡ ἐντιμοτής, καὶ γερούσιος ὁ ἔντιμος· τὸ σι ἰῶτα διάτι; τὰ διὰ τοῦ ια παροξύτονα θηλυκὰ, διὰ τοῦ ἰῶτα γράφεται· οἷον μετουσία, γερουσία, παῤῥησία, παρουσία, ἀφθαρσία.

Οὖσον, τὸ σχοινίον, τὸ ἐξ οἴας πλακέν. τινὲς οὖσα ἐκάλεσαν, τὰ τὴν ναῦν οὐκ ἐῶντα σείεσθαι.

Οὐχ ἥκιστα, λίαν, πάνυ, ἢ μάλιστα.

Οὐτιδανοῖσιν, ἀσθενέσιν, οὐδένος λόγου ἀξίοις· δύο εἰσὶν εἰς ος σύνθετα, οὐτιδανὸς οὐτιδανή, καὶ μηδαμινὸς, μηδαμινή· καὶ τὸ μὲν οὐτιδανὸς γέγονε παρὰ τὸ οὔτις οὔτιδος, συγκειμένου τοῦ ὃς καὶ τοῦ τίς· τὸ δὲ μηδαμινὸς γέγονεν ἀπὸ τοῦ μηδαμοῦ, ὅπερ σύγκειται ἀπὸ τῆς μὴ ἀπαγορεύσεως, καὶ τοῦ δαμὸς, τῷ ἰσοδυναμοῦντι τῷ τίς· ἐξ οὗ καὶ τὸ ἐπίῤῥημα μηδαμῶς· διότι ἀπολογούμεθα ὑπὲρ αὐτοῦ, ὅτι παρασύνθετά εἰσι τὸ μηδαμινὸς καὶ οὐτιδανός· καὶ διὰ τοῦτο καὶ τῷ θηλυκῷ

1) Il. VII, 372. 2) nihil ad rem. Cf. Etym. M. 3) Lycophr. vs. 20.

ἐνήλλαξε καὶ γέγονεν εἰς δύο· τὰ κοινὰ τῷ γένει σύνθετά εἰσι.

Οὔτις, οὐδείς. τὸ οὐ ἐπίῤῥημα ἀρνήσεως. τὸ τὶς ὄνομα. τὸ δὲ Οὖτις ἐπὶ τοῦ Ὀδυσσέως ἀντὶ ὀνόματος κυρίου παραλαμβάνεται, καὶ ἔστω ἓν μέρος λόγου, καὶ προπερισπᾶται.

Οὗτος, ἀντωνυμία μονοπρόσωπος· τέσσαρες γὰρ εἰσὶ μονοπρόσωποι ἀντωνυμίαι, οὗτος, αὐτὸς, ἐκεῖνος καὶ ὅδε· καὶ ὁ δεῖνα κατὰ παραγωγήν· τὸ δὲ δεικτικὸν οὑτοσί· τὸ γὰρ οὑτοσὶ, ἐκεινοσὶ καὶ ὡδὶ γίνεται κατ' ἐπέκτασιν τοῦ ἰῶτα πρὸς ἐμφανισμὸν πλείονος δείξεως· ἡ δὲ αὐτὸς στερηθεῖσα τῆς δείξεως, ἐστερήθη καὶ τῆς διὰ τοῦ ἰῶτα ἐπεκτάσεως· οὕτω καὶ ἡ κλητικὴ ὦ οὗτος Ἀττικῶς· ὁμοίως καὶ τὸ ἐκεῖνος· ἡ δὲ αὐτὸς κλητικὴν οὐκ ἔχει· ἡ δὲ οὗτοι καὶ ἐκεῖνοι ἀντιδεικτικοί εἰσιν, ἡ δὲ αὐτὸς ἀναφορὰν δηλοῖ· ἐναντία δέ ἐστιν ἡ δεῖξις τῆς ἀναφορᾶς.

Οὗτος καὶ οὑτοσὶ διαφέρει, τὸ μὲν γὰρ σὺν τῷ ἰῶτα δεικτικὸν μόνον· τὸ δὲ οὗτος δεικτικὸν καὶ ἀναφορικόν· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦτον καὶ ἐπὶ τουτονί.

Οὕτω, ἐπίῤῥημα μεσότητος· τοῦτο οὐκ ἔστιν ἀπὸ τῆς γενικῆς· σεσημείωται γὰρ τοῦτο ἀπ' εὐθείας γίνεσθαι· εἰ γὰρ ἀπὸ τῆς γενικῆς, ὤφειλεν εἶναι τούτως, ἐκ τοῦ εἰπεῖν τὸν τεχνικόν· τὸ δὲ ὥς ὀξύνεται, ἐπειδὴ ἀπὸ τοῦ ὅς γέγονε· καὶ τὰ ὅμοια· καὶ ὅτε ἐπιφέρεται σύμφωνον ἐξέρχεται τὸ σ, καὶ ὅτε φωνῆεν φυλάττει. οὐδέποτε δὲ ἐπιφερομένου φωνήεντος ἐκβέβληται τὸ σ. ποῖον ἐστιν ἀναλογώτερον, τὸ οὕτως ἢ τὸ οὕτω; καὶ λέγομεν τὸ οὕτως· ἐπειδὴ τὰ ἀπὸ τριγενῶν ὀνομάτων γινόμενα μεσότητος ἐπιῤῥήματα, εἰς ως λήγειν ὠφείλουσιν, οἷον καλὸς καλὴ καλὸν, καλῶς, ὅταν δὲ μὴ τριγενὲς ᾖ εἰς ω λήγουσιν, οἷον κύκλος κύκλῳ, πρὸς πρόσω· εἴδομεν οὖν εἰ τοῦτο τριγενὲς, οὗτος οὗτοι αὗται, ταῦτα οὕτως ἄρα τὸ ἀνάλογον· τὸ δὲ οὕτω κατ' ἔλλειψιν τοῦ σ κατὰ δεύτερον λόγον· ὅτι τὰ εἰς ω λήγοντα ἐπιῤῥήματα οὐδέποτε φύσει μακρᾷ παραλήγεται, οἷον ἄνω κάτω πρόσω, ἔξω, ἄφνω, πλὴν τοῦ εἴσω· οὕτως ἄρα τὸ οὕτω κατὰ πάθος.

Οὐτῶ, τὸ ἐγγύθεν τῷ δόρατι βάλλω.

Οὐχ ἧττους, οὐκ ἐλάττονας.

Οὐχ ἁπλῶς, οὐχ ὡς ἔτυχεν, οὐκ ἀκόρως.

Οὐχ ὅπως, οὐχ ἵνα, οὐδαμῶς.

Ὀφείλω, τὸ χρεωστῶ, ἐπὶ ἐνεστῶτος διὰ δίφθογγον· ὁ μέλλων ὀφελῶ, ὁ β ἀόριστος ὤφελον καὶ ὁ πρῶτος ὤφειλα· ἐκ τούτου δὲ κατὰ συγκοπὴν ὀφλῶ ὀφλήσω, ὤφληκα, ὤφλημαι, ὄφλημα.

Ὀφείλημα χρεοὺς διαφέρει· ὀφείλημα ἔστι δημόσιον χρεὸς θεῷ ὀφειλόμενον ἢ βασιλεῖ· χρεὸς δὲ τὸ ὀφειλόμενον ἰδιωτικῷ· ἢ τὸ ἰδιωτικὸν δάνειον.

Ὄφλημα καὶ χρεὸς διαφέρει· ὄφλημα μὲν γὰρ καὶ ὀφείλημα τὸ ἐκ καταδίκης τῷ δήμῳ ὀφειλόμενον· χρεὸς δὲ τὸ ἰδιωτικὸν δάνειον.

Ὀφείλημα, παρὰ τὸ ὀφέλλειν, ὅ ἐστιν αὔξεσθαι, τὸ δάνειον τὸ αὐξανόμενον τόκῳ· ὀφέλλω σημαίνει τὸ αὐξάνω.

Ὀφειλὴ, διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸ ὀφειλόμενον. παρὰ γὰρ τὸ ὀφείλω γέγονε.

Ὄφελος, ποίᾳ ἐγκλίσει συντάσσεται; καὶ λέγω ὅτι ἀπαρεμφάτῳ· κανὼν γὰρ ἐστὶν ὁ λέγων, ὅτι τὸ ὄφελος ἄπτωτόν ἐστι· σημαίνει δὲ δύο· ἔστιν εὐχῆς σημαντικὸν, καὶ ῥῆμα· οὐ κλίνεται δέ· ἐπειδὴ δύο κανόνες εἰσὶν οἱ μαχόμενοι ἀλλήλοις· ὁ μὲν εἷς λέγει, ὅτι τὰ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς οὐκ εἰσὶν οὐδέτερα· ὁ δὲ ἕτερος λέγει τὰ διὰ τοῦ ελος οὐδέτερα δισύλλαβά εἰσιν, οἷον σκέλος, βέλος, μέλος, τέλος· τοῦτο δὲ ὡς ὑπερβὰν τὴν δισυλλαβίαν, καὶ μὴ ἔχον τι μιμήσασθαι, ἔμεινεν ἄκλιτον.

Ὀφθαλμὸς, ὅρασις θολουμένη, τομῶς ἤγουν χαλεπῶς· ἢ παρὰ τὸ ὦφθαι λίαν καὶ τόμως· ἢ διὰ τὸ ὁρᾷν φῶς.

Ὄφις, παρὰ τὸ ὄπτω, ὀπτικὸν γὰρ τὸ ζῶον· ἢ παρὰ τὸ ἰὸς καὶ ἐν ὑπερθέσει ὄϊς καὶ πλεονασμῷ τοῦ φ ὄφις· ὁ γὰρ ὄφις ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς· ἢ ὡς ἂν εἴπῃς ὁ φήσας, ἤγουν τῇ γυναικὶ λαλήσας· ἐλάλησε γὰρ τῇ εὔᾳ.

Ὀφλεῖν καὶ ὀφείλειν διαφέρει· ὀφλεῖ μὲν γάρ τις ἐπὶ τῇ καταδίκῃ· ὀφείλει δὲ τὶς, ὡς καὶ ἡμεῖς φαμὲν ἐκδεχόμενοι.

Ὀφιόδηκτος, ἐν τοῦ ὄφις καὶ τοῦ δήκω τὸ δάκνω.

Ὀφλῶ, χρεωστῶ, παρὰ τὸ ὀφείλω συγκόπτεται.

Ὀφρυάζοντο, ὀφρυάζειν λέγεται τὸ ταῖς ὄφρυσι νεύειν, ἀπὸ τοῦ ὀφρυάζω· τοῦτο παρὰ τὸ ὀφρύς· δηλοῖ δὲ τὴν προσβολὴν ὅτου δήποτε τόπου καὶ τῶν ὀρέων καὶ ἡμῶν τῶν ὀψέων· συντάσσεται μετὰ δοτικῆς.

Ὀφρύες λέγονται, ἤτοι ὠπόρυες, παρὰ τὸ φρουρεῖν τὰς ὦπας, ἀπό τε τῶν ὄμβρων καὶ τῶν ὕπερθεν ἱδρώτων, ὡς μὴ ἐπ' αὐτοὺς φέρεσθαι· ἢ παρὰ τὸ φέρω καὶ κατὰ συγκοπὴν φρῶ· ὅθεν καὶ τὸ εἰσφρῶ· ὅπερ γέγονεν ἀπὸ τοῦ πρωΐω, φρῶ, φρῦς καὶ ὀφρῦς· δηλοῖ δὲ καὶ τὴν προβολὴν ὅτου δήποτε τόπου καὶ τῶν ὀρέων ἡμῶν τῶν ὀψέων· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ὀρύς· τοῦ φ πλεονάσαντος· οἱ δὲ παρὰ τὸ ὄπτω ὀφῦς καὶ πλεονασμῷ τοῦ ρ ὀφρῦς.

Ὀφρῦς, παρὰ τὸ τοὺς ὦπας ῥύεσθαι ἤγουν φυλάττειν· ἢ παρὰ τὸ φέρω φορῦς καὶ ὀφρῦς· ψιλοῦται· πᾶν φωνῆεν πρὸ δασέος καὶ τοῦ ρ ψιλοῦται, ἀφρὸς, ὀφρῦς, ὄφρα· ἢ παρὰ τὸ ὀρ[illegible]ω τὸ φυλάττω, καὶ τὸ ὢψ ὠπός. καὶ τὸ ὄροφος, ὀπωρόφοι τινὲς ὄντες, ὄροφοι γὰρ τῶν ὠπῶν· οἱ δὲ φασὶ παρὰ τὸ ὄπτω τὸ βλέπω, ὀπρῦς καὶ ὀφρῦς· τὸ ο μικρόν· τὸ ο εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον, ἔχον μεθ' ἑαυτοῦ δύο σύμφωνα ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει, διὰ τοῦ ο μικροῦ γράφεται.

Ὀφώλια, εἰς τὸ ἀποφώλια.

Ὄχα, ἐπίῤῥημα μεσότητος, ὄχα καὶ ἔξοχα· σημαίνει τὸ ἔξοχον καὶ ἔνδοξον· γέγονε δὲ παρὰ τὸ ἔχω ἔξοχος, καὶ τὸ οὐδέτερον ἔξοχον καὶ ἔξοχα καὶ ἀφαιρέσει τῆς ἐξ προθέσεως ὄχα· ἔστι δὲ ἐπίῤῥημα ὀνομαστικόν.

Ὄχ' ἄριστε, πάνυ ἔνδοξε· παρὰ τὸ ἔχεσθαι.

Ὄχανον, ὁ δεσμὸς καὶ ὁ λῶρος, ἐξ οὗ καὶ ἀποκρέμαται ἡ ἀσπίς· γίνεται δὲ παρὰ τὸ ἔχω, ὃ σημαίνει τὸ κρατῶ καὶ ἐξ αὐτοῦ ῥηματικὸν ἔχανον καὶ ὄχανον.

Ὀχέων, ἐξοχέων, ἁρμάτων· ἔστι γὰρ τὸ ὄχος, καὶ σημαίνει τὸ ἅρμα, καὶ γίνεται ἐκ τοῦ ἔχω τοῦ σημαίνοντος τὸ ἐλαύνω, καὶ ἐξ αὐτοῦ ῥῆμα ὀχῶ, ὁ μέλλων ὀχήσω, ὄνομα ῥηματικὸν ὄχημα· σημαίνει δὲ τὸ ἅρμα.

Ὀχεὺς, εἰς τὸ τοκεύς· ἤτοι ὁ συνέχων καὶ σφίγγων τὴν περικεφαλαίαν.

Ὀχεῖα, μίξις, συνουσία.

Ὀχῆας, ὀχεῦς. κατὰ τροπὴν τοῦ ε εἰς ἦτα.

Ὀχθήσας, ἀγανακτήσας, παρὰ τὸ ἄχω βαρύτονον ἀχθῶ, ἀχθήσω, ἀχθήσας καὶ ὀχθήσας.

Ὄχθος, τοῦ ποταμοῦ τὸ τεῖχος, ἢ τῆς θαλάσσης· παρὰ τὸ ἔχω ὄχος ὁ ἔξοχος καὶ ὄχθη.

Ὄχλος, παρὰ τὸ εἵλλω τὸ συστρέφω, εἷλος καὶ ὄχλος· ἢ παρὰ τὴν ὄχλησιν· ἢ παρὰ τὸ ἀχλὺς ἄχλος καὶ ὄχλος, κατὰ τροπὴν τοῦ α εἰς ο. καὶ εἰς τὸ πλῆθος.

Ὀχλάζει, κινεῖ, ἔνθεν καὶ ὁ μόχλος, ὁ μὴ ἐῶν κινεῖσθαι τὰς θύρας.

Ὀχμάζω, κρατῶ, ἐκ τοῦ ἔχω τὸ κατέχω παράγωγον ἐχάζω, ὡς κύπτω κυπτάζω, ἔνθα ἐπενθέσει τοῦ μ, ἐχμάζω καὶ τροπῇ τοῦ βραχέος εἰς βραχὺ ὀχμάζω· ὡς ἀλκὴν Ἀλκμάν.

Ὄχνη, εἶδος δένδρου, καστάνου, κοστομήνου μήλου ἀπιοῦ .... [1]).

Ὀχμάσας, σημαίνει τὸ κρατήσας καὶ κόψας· ἔστιν ἔχω τὸ κρατῶ ὁ μέλλων ἕξω, ὁ παθητικὸς παρακείμενος ἧγμαι. ἐξ αὐτοῦ ὄνομα ἐχμὰς ἐχμάδος, καὶ τροπῇ τοῦ ε εἰς ο ὀχμάδος, καὶ ἐκ τούτου γίνεται ὀχμάζω. ὁ μέλλων ὀχμάσω, ὁ ἀόριστος ὤχμασα· ἡ μετοχὴ ὀχμάσας.

Ὀχμὸν, παρὰ τὸ ἔχεσθαι ἄλλο ἄλλου φυτοῦ.

Ὀχυρὸς, παρὰ τὸ ἔχω ἐχυρὸς, καὶ τροπῇ τοῦ ε εἰς ο ὀχυρός.

Ὄχθοι, αἱ τραχεῖαι καὶ δύσβατοι πέτραι.

Ὄχθοι καὶ ὄχθαι διαφέρει. ὄχθαι μέν εἰσι χειλῆ ποταμῶν, ὄχθοι δὲ γῆς ἐπαρμάματα.

Ὄχνη, ἡ ἀχνὰς, οἷον ἀχοὴ, διὰ τὸ μὴ ποτίζεσθαι, ξηρᾷ γὰρ ἥδεται γῇ ἡ ὀπώρα αὕτη· καὶ ἀπίος, ἡ ἦκιστα πινοῦσα.

Ὀψάριον, παρὰ τὸ ὄψον αἱρεσθαι ἐκ τῆς θαλάσσης, ἢ ὄψον τοῦ ῥείθρου, ἤγουν βρῶσις ὕδατος· ἢ ὅτι ψαῦον αἵρεται, ἤτοι ἐγγίζον τῷ δελέατι.

Ὀψὲ, βραδέως, παρὰ τὸ τὴν ὥραν ἐπιτήδειαν εἶναι πρὸς ἑσπέραν.

Ὀψὲ καὶ ἑσπέρα διαφέρει· ἑσπέρα μὲν ἡ μετὰ τὴν δύσιν τοῦ ἡλίου κατάστασις· ὀψὲ δὲ τὸ μετὰ πολὺ τῆς δύσεως καὶ καθόλου μετὰ πολὺν χρόνον· καὶ ὀψαρότης ὁ μετὰ πολὺ τοῦ καθήκοντος χρόνου ἀροτριῶν· καὶ εἰς τὸ ὀψιτέλεστος.

Ὀψείω, διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸ ἐπιθυμίαν ἔχειν θεωρῆσαι.

Ὄψις, παρὰ τὸ ὄπτω, ὄψω, ὄψις.

Ὀψία, ἀψία ἦν, παρὰ τὸ ἂψ ἰέναι ἀπὸ τῶν ἔργων· καὶ τὸ ἐναντίον κατάστημα πρωΐα δὲ λέγεται, παρὰ τὸ προϊέναι ἐπὶ τὰ ἔργα· Σαπφὼ, Φέσπερε πάντα φέρω ὅσα φαινότερα ἐσκέδασ' ἠώς.

Ὀψιτέλεστον, ὄνομα οὐδέτερον. ἐκ τοῦ ὀψὲ καὶ τοῦ τελεστόν· τὸ δὲ ὀψὲ ἐκ τοῦ ἂψ, ὃ σημαίνει τὸ εἰς τοὐπίσω ἐπαναστρέψαι, ἤγουν πρὸς τὸν οἶκον· ἢ τὸ πάλιν, ἀμφότερα δὲ ἐκ τοῦ ἂψ [2]), ὥσπερ πρωΐα λέγεται, παρὰ τὸ εἰς τὸν οἶκον προϊέναι· οὕτω καὶ ὀψὲ τὸ βραδὺ γίνεται ἐκ τοῦ ἂψ, ὁ εἰς τοὐπίσω ἐπαναστρέφων, ἤγουν πρὸς τὸν οἶκον. τὸ δὲ ὀψὲ ὃ σημαίνει τὸν τῆς ἑσπέρας καιρὸν, ἀλλὰ τὸ βραδὺ τοῦ χρόνου ἤγουν τοῦ ὄρθρου· λοιπὸν ἐκ τοῦ ἂψ ὃ σημαίνει τὸ πάλιν, τροπῇ τοῦ α εἰς ο γίνεται ὀψὲ καὶ ἐξ αὐτοῦ γίνεται κατὰ πλασμὸν [3]) ὄψι βαρύτονον· ἐπειδὴ κανών ἐστιν ὁ λέγων, τὰ εἰς ἰῶτα λήγοντα ἐπιῤῥήματα συνεσταλμένον ἔχοντα τὸ ι, βαρύνεσθαι θέλουσιν, οἷον, ὄφι αὖθι, νόσφι, κεῖθι, μέχρι, ἄχρι, ἄρτι· ὅθεν τὸ χωρὶς ἀποβάλλων τὸ σ, διὰ τὸν κανόνα τοῦτον βαρύνεται, χῶρι γὰρ λέγεται, οὕτως οὖν καὶ ὄψι· πρόσκειται συνεσταλμένον ἔχοντα τὸ ἰῶτα, διὰ τὸ δευρὶ καὶ νυνὶ, ταῦτα γὰρ μακρὸν ἔχει τὸ ἰῶτα, ὁ δὲ κανὼν περὶ τοῦ βραχέος ἐστί. σεσημείωται τὸ οὐχί· τοῦτο δὲ ὅτι παραλόγως ἐστὶν, ὥσπερ γὰρ ἀπὸ τοῦ ᾗ, ὃ σημαίνει τὸ ὅπου, ἐπεκτάσει τῆς χι συλλαβῆς γίνεται ἧχι βαρυτόνως· οὕτω καὶ περὶ τὴν οὐ ἄρνησιν, ἐπεκτάσει τῆς χι συλλαβῆς, ὤφειλεν εἶναι οὐχὶ βαρυτόνως· ἀλλ' ἐπειδὴ παραλόγως ὠξύνθη τὸ οὐ, εἰκότως καὶ μετὰ τῆς χι ἐπεκτάσεως ἡ αὐτὴ παραλογία ἐφυλάχθη· λοιπὸν ἐκ τοῦ ὄψι καὶ τοῦ τέλος γίνεται ὀψιτέλεστος· καὶ ἀναβιβάζει τὸν τόνον· τὰ γὰρ εἰς ος ὀξύτονα ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ κωλύθῃ· διὰ τὸ λοιγὸς βροτολοιγός· ἔστι γὰρ ὁ φθείρων τοὺς ἄνδρας.

Ὄψον, σημαίνει τὸ προσφάγιον, ἐκ τοῦ ὀπτῶ γίνεται ὄπτον καὶ τροπῇ τοῦ τ εἰς σ, καὶ κράσει τοῦ πσ εἰς ψ ὄψον· τὸ δὲ ὀπτῶ παρὰ τὸ ὄπτω τὸ βλέπω, δεῖ γὰρ βλέπειν συνεχῶς πρὸς τὸ μὴ καίεσθαι τὰ ὀπτόμενα.

Ὀψώνιον, διὰ τὸ ὄψιν ἤγουν βρῶμα ὠνεῖσθαι.

Ὄψον, κυρίως λέγεται πᾶν τὸ τῷ πυρὶ κατασκευασμένον, παρὰ τὸ ἑψόν τι ὄν· ἢ παρὰ τὸ ὀπτῆσαι ὠνομασμένον.

Τέλος τοῦ Ο στοιχείου.

ΑΡΧΗ ΤΟΥ Π ΣΤΟΙΧΕΙΟΥ.

Παγγενῆ, ἐπίῤῥημα μεσότητος· ἐξεβλήθη ἐξ αἰτιατικῆς πτώσεως εἰς ἐπίῤῥημα· ὁ παγγενὴς, τοῦ παγγένεος, καὶ παγγενοῦς, τῷ παγγένεϊ καὶ παγγενεῖ τὸν παγγενέα καὶ παγγενῆ, παρὰ τὸ πᾶν καὶ τὸ γένος, ὅλον τὸν Ἀδὰμ πεπτωκότα.

Παγιωθεῖσα, ἑδραιωθεῖσα, βεβαιωθεῖσα, πιστωθεῖσα, ἀπὸ τοῦ παγιῶ, τοῦτο παρὰ τὸ πάγος, τοῦτο παρὰ τὸ πήσσω, ὁ δεύτερος ἀόριστος ἔπαγον, καὶ ἐξ αὐτοῦ πάγιος, ὁ πεπηγμένος.

Πάγνως, εἰς τὸ ἐκπάγνως.

Πάγος, κρυὸς, πεπηγὸς, παρὰ τὸ πεπῆχθαι εἰς ὕψος.

Παγὶς, ἐκ τοῦ πήσσω, πηγὶς καὶ παγίς.

Πάγουρος, παρὰ τὸ ἐν πάγοις ὀρούειν, ὅ ἐστι φυλάττειν καὶ διατρίβειν.

Παίανες, παρὰ τὸ παύσω παύων καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι. καὶ οὕτω ὁ Δίδυμος.

Παιπάνεια, ἡ κενοδοξία.

Παιδνὸς, παρὰ τὸ παίζω· παιδνὸς διφθόγγῳ.

---

1) cf. mox infra.   2) Corruptissima pleraque.   3) L. κατὰ μεταπλασμόν.

Πάγχυ, παρὰ τὸ πάνυ, καὶ πλεονασμῷ τοῦ χ καὶ τροπῇ τοῦ υ εἰς γ, διὰ τὴν σύνταξιν.

Πάγουροι, παρὰ τὸ οὐρεῖν, ὅ ἐστι φυλάττειν, ἐν τοῖς πάγοις· πάγοι δέ εἰσι κρημνώδεις τόποι.

Παῖς καὶ ἀντίπαις διαφέρει, παῖς ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ· ἀντίπαις δὲ ὁ ἐκβεβληκὼς τοῦ παιδὸς τὴν ἡλικίαν· καὶ ἤδη πρόσηβος, βούπαις δὲ ὁ μέγας παῖς.

Παίδευσις καὶ παιδεία διαφέρει. παιδεία μὲν γάρ ἐστι δύναμις θεραπευτικὴ ψυχῆς· παίδευσις δὲ παιδείας καὶ ἀρετῆς παράδοσις· καὶ ἐκ παιδὸς ἀρετὴ ἐπ' ἀρετῆς ὁδηγηθεῖσα.

Παιδεία, διὰ τῆς ει διφθόγγου, ὥσπερ παρὰ τὸ μοιχεύω μοιχεία, οὕτω καὶ παρὰ τὸ παιδεύω παιδεία· ἰστέον, ὅτι τὸ παιδεία πολλὰ σημαίνει· σημαίνει γὰρ τὴν παίδευσιν, καὶ τὴν παιδικὴν ἡλικίαν, καὶ τὴν ἀναστροφὴν, καὶ τὴν μίξιν· τὸ γὰρ σημαῖνον παιγνίον διὰ τοῦ ι γράφεται, καὶ παρ' ἡμῖν ὀξύνεται, οἷον παιδιὰ, παρὰ τοῖς Ἀθηναίοις βαρύνεται, οἷον, παιδία.

Παῖδα, θηλυκῶς κλίνεται, ἡ παῖς.

Παιδίον καὶ παιδάριον, καὶ παιδίσκος καὶ παῖς διαφέρει· παιδίον μὲν γάρ ἐστι τὸ τρεφόμενον ὑπὸ τιθήν. παιδάριον δὲ τὸ ἤδη περιπατοῦν καὶ λέξεως ἀντεχόμενον· παιδίσκος δὲ ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ ὤν· παῖς δὲ ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι.

Παιδίον, διὰ τὸ παιδείας δέεσθαι· καὶ εἰς τὸ γέρων.

Παίσατε, πλήξατε, τύψατε, Ἀττικῶς χορεύσατε, ἢ παίξατε.

Παιδίον, ὅτι τοῦ πατρός ἐστιν ἴδιον.

Παῖδα, παρὰ τὸ παῖς παῖς παιδὸς, παιδίζω καὶ παίζω· τὸ παι διφθόγγῳ διάτι; ἐκ τοῦ παίζω, ἐξ οὗ καὶ παιδίον· ἢ παρὰ τὸ παίω τὸ τύπτω· τοῖς γὰρ παισὶν ἁρμόζει δαρμός· ἢ παρὰ τὸ παίζειν, παρεπόμενον γάρ ἐστι τοῖς παισί.

Παιδίσκη, καὶ παῖς, παρὰ Ἀττικοῖς θεράπαινα· διαφέρει δὲ, παιδίσκη μὲν γάρ ἐστιν ἡ ἐλευθέρα, παῖς δὲ ἡ δούλη.

Παιδίσκης, δούλης, παρὰ τὸ παῖς παιδὸς· τοῦτο παρὰ τὸ παῖς.

Παῖς, ὁ ἐπιτήδειος εἰς τὸ παίεσθαι· καὶ παιδίσκη ἀπὸ τούτου, ἡ τὴν αὐτὴν ἡλικίαν ἔχουσα.

Παίζω, παρὰ τὸ παῖς παιδὸς γίνεται παιδίζω, καὶ συγκοπῇ παίζω· τοῖς γὰρ παισὶν εἴωθεν ἀεὶ τὸ παίζειν.

Παιπάλη, ἄλευρον κριθῆς, εἰς τὸ παληνομένης.

Παλαιὸς, ὁ ἀρχαῖος· πάλεος δὲ ὁ ἄφρων· τίθεται καὶ ἐπὶ τοῦ σκώπτοντος.

Παῖς, παρὰ τὸ βαιὸς βαῖς καὶ παῖς· τρία δέ εἰσι σεσημειώμενα, παῖς, δαῖς, σταῖς, ἅτινα κλίσιν μὲν ἀνεδέξαντο, κανόνι δὲ οὐχ ὑπέπεσον, ἀρσενικὸν ὁ παῖς, θηλυκὸν ἡ δαῖς, σημαίνει δὲ τὴν εὐωχίαν· οὐδέτερον τὸ σταῖς, σημαίνει δὲ τὸ ἄλευρον, καὶ εἰς τὸ γέρων καὶ παιδίσκος.

Παίων, εἴτε ὁ μετρικὸς ποὺς, εἴτε τὸ ἔθνος· οὕτως ἡ παράδοσις. ἐντεῦθεν παρήχθη καὶ τὸ ἐν τῇ κοινῇ λεγόμενον, παρὰ τὸ παίδων.

Παίονες καὶ Κάρες, ἀγκυλότοξοι.

Παιωνίσαντες, ἀλαλάξαντες, εὐφημήσαντες τὸν παίωνα ἐπικαλεσάμενον· ἦν δὲ ἔθνος, καὶ ἐπὶ ἔργου ἀρχόμενον, καὶ ἐπὶ τῇ νίκῃ τοῦτο λέγεται.

Πάκται, παρὰ τὸ τὰ πάντα κτᾶσθαι.

Πάλαι, ἐπίρρημα χρόνου δηλωτικόν· ποτὲ ἀρχηθῆ, ὅπερ καὶ βαρύνεται· καὶ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τονον, οἷον πρόπαλαι.

Πάθος, παρὰ τὸ πήθω τὸ πανθάνω, ὁ δεύτερος ἀόριστος ἔπαθον καὶ ἐξ αὐτοῦ πάθος.

Παλαίμων, εἰς τὸ Λακεδαίμων.

Παλαιὸς, ἐκ τοῦ πάλαι εἶναι· ἢ διὰ τὸ παλαίαν ἤγουν ἐκ χρόνων πολλῶν εἶναι.

Παλαιστὰς, ἀντὶ τοῦ μετρητάς· γίνεται δὲ ἐκ τοῦ πάλλω τὸ κινῶ, ὁ μέλλων παλῶ, ὁ παρακείμενος πέπαλκα, ὁ παθητικὸς πέπαλμαι καὶ ἐξ αὐτοῦ πάλμη, δι' ἧς ἡ χεὶρ κινεῖται, καὶ ἐκ τούτου γίνεται παλάμη· καὶ ἐξ αὐτοῦ πεπάλακα ὁ παρακείμενος, ὁ παθητικὸς πεπάλαμαι, τὸ τρίτον πεπάλασται, καὶ ἐξ αὐτοῦ παλαιστὸς, καὶ τὸ θηλυκὸν παλαιστή· σημαίνει δὲ τὴν τῶν δακτύλων ὀρδινιαῖαν σύνθεσιν, πελαστή τις οὖσα, ὅτι πέλας συνάγει τὰ ὀστᾶ, τουτέστι πλησίον τοὺς δακτύλους, παλαστὴ καὶ πλεονασμῷ τοῦ ι παλαιστή· συνάγομεν γὰρ ποιοῦντες αὐτὴν τοῖς δακτύλοις· ἡ αὐτὴ καὶ δογμή.

Παλαιστίνη, ἡ χώρα τοῦ Φιλιστιείμ, διὰ τοῦ ἰῶτα γράφεται· ἰστέον ὅτι ἀπὸ τοῦ Παλαιστίνη λέγεται ὁ πολίτης Παλαιστῖνος, ὡς Ἀκραγαντῖνος.

Παλαιστὴ, παρὰ τὸ πελάζειν τὰ ὀστᾶ· ἔστι δὲ τετραδάκτυλον μέτρον.

Παλαμάων, πολεμικῶν, αὐτοχείρων· ἡ εὐθεῖα παλάμη παρὰ τὸ πάλλω τὸ κινῶ· ἐτυμολογεῖται παρὰ τὸ πολλοὺς ἀμᾶν, ἐξ οὗ καὶ παλαμαῖος καὶ πλεονασμῷ τοῦ ν παλαμναῖος· σημαίνει δὲ δύο, ὁ τοὺς αὐτοχειροφονεύσαντας τιμωρούμενος καὶ ὁ ἐπὶ τινὶ βιάσματι κατεχόμενος.

Παλάμη, παρὰ τὸ παλαιὸν ἤγουν μέτρον τῆς χειρὸς εἶναι.

Παλάμαι, παρὰ τὸ πάλλειν· ἢ παρὰ τὸ πάλλω τὸ κινῶ.

Παλάμηφιν, προσγεγραμμένον τὸ ἰῶτα ἐκ παραδόσεως· ἔχει δὲ καὶ κανόνα· αἱ διὰ τῆς φι συλλαβῆς γινόμεναι ἐπεκτάσεις, προσερχόμεναι ταῖς πτώσεσιν, εἰ μὲν φυλάττουσιν τὴν αὐτὴν φωνὴν, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσι· φρήτρῃ φρήτρηφιν· εἰ δὲ οὐ φυλάττει τὴν αὐτὴν φωνὴν οὐδὲ τὴν αὐτὴν γραφὴν φυλάττουσι· οἷον χαλκὸς, χαλκοῦ χάλκοφιν· χωρὶς τοῦ νόσφι καὶ ἶφι· ποίου μέρους λόγου ἐστίν; ὀνόματος· αἱ διὰ τῆς φι συλλαβῆς γινόμεναι ἐπεκτάσεις, τὸ αὐτὸ μέρος τοῦ λόγου φυλάττουσι, χωρὶς τοῦ νόσφι καὶ ἶφι· ταῦτα γὰρ ἀπὸ ὀνόματος μετήχθη, εἰς ἐπιρρηματικὴν σύνταξιν.

Παλαιστὴ, θηλυκῶς, ὅτι συνάγονται οἱ τέσσαρες δάκτυλοι, οἷον πελαστή τις οὖσα, ὅτι πέλας συνήγαγε τὰ ὀστᾶ, οἷον τοὺς δακτύλους ἡ αὐτὴ καὶ δογμὴ λέγεται, ὅτι πλατείᾳ τῇ χειρὶ μετροῦμεν· ποιεῖ δὲ ἀπὸ τοῦ μεγάλου δακτύλου πρὸς τὸν λίχανον ἄκρον δακτύλους δέκα καὶ δογμὴ τὸ πλάγιον, ὡς λέγει Σωρανός· ἡ δὲ σπιθαμὴ ἔχει δογμὰς τρεῖς, οἷον παλαιστὰς, δακτύλους δὲ δώδεκα, ἀπὸ τοῦ μικροῦ δακτύλου διεστamένων τῶν δακτύλων ἕως τῆς ἀντίχειρος λέγεται σπιθαμή. παρὰ τὸ ἀποσπασμὸν ποιεῖν· ὡς γράφει δὲ καὶ Χρύσιππος, διὰ τὸ σπᾶσθαι τὴν ὅλην χεῖρα, ποιεῖ σπιθαμὴν, δακτύλους δὲ δώδεκα. τὸ δὲ ἀπὸ τῆς ὀλοκράνου πρὸς μὲν τὸ τοῦ μέσου δακτύλου, πήχεως μέτρον, πρὸς δὲ τοῦ μικροῦ, μετακονδύλιον, ὅ ἐστι κατὰ τὸ μέσον κονδύλιον· τῶν γὰρ δακτύλων ὁ μὲν πρῶτος κόνδυλος λέγεται προκόνδυλος καὶ ῥιζοδάκτυλος· ὁ δὲ μετὰ τοῦτον μεσοκόνδυλος· ἀπὸ δὲ τοῦ

ρέγραπτος, παρὰ τὴν παρὰ πρόθεσιν καὶ τὸ γρά-
γίνεται, παρέγραφος καὶ ἐν παρέγγραφος· λέγεται
καὶ παράγραπτος ὁ παρὰ τὸ προσῆκον γεγραφὼς τῷ
αρχικῷ γραμματείῳ, ἤγουν ὁ νόθος.
αθήνη, τὸ ἐπὶ παραφυλακῇ τινι δεδομένον.
αιτεῖται, ἀποβάλλεται.
ράκλητον, ἐκ τοῦ παρακαλῶ γίνεται παράκλητον,
παρακεκλημένον.
ρεμβολὴ, ὄνομα σύνθετον, παρὰ τὴν παρὰ πρό-
σιν, καὶ τὸ ἐμβολὴ, ὃ σημαίνει τὴν εἴσοδον καὶ ὁρ-
μήν· σημαίνει δὲ τὸ στρατόπεδον.
ρειὰ, ἡ σιαγὼν, ὄνομα οὐδέτερον, ἡ εὐθεῖα τῶν
πληθυντικῶν, ἡ γὰρ τῶν ἑνικῶν οὐκ ἔχει· ὅτι τὰ ἀρ-
σενικὰ ἢ θηλυκά· οὕτως αἱ παρειαὶ τὰ παρειά· τὸ
ει διφθόγγῳ κατὰ διάλεκτον· οἱ γὰρ Αἰολεῖς παρηὰ
λέγουσιν, διὰ τοῦ ἦτα, ἐξ οὗ καὶ τὸ παρήϊον· τὴν
ει δίφθογγον εἰς η τρέπουσι, τὸ γὰρ πλείων διὰ
ει διφθόγγου, πλήων δὲ διὰ τοῦ η λέγουσι· πα-
ρειὰς δὲ εἶδος ὄφεως, ἔχων τὰς παρειὰς ἐπηρμένας.
ρειαὶ, παραιαὶ, λέξις, οἱ Αἰολεῖς τρέψαντες τὸ
ε υ, καὶ τὸ ε εἰς α.
ρεκτικὸν, ὄνομα οὐδέτερον· τὸ ἀρσενικὸν ὁ πα-
ρεκτικὸς, τοῦτο παρὰ τὸ παρέχω, παρέξω, ὁ παρα-
κείμενος παρῆχα, ὁ παθητικὸς παρῆγμαι, παρῆκται, καὶ
αὐτοῦ παρεκτος, τὸ κτητικὸν παρεκτικόν.
ρεσο, ἐλθὲ, παραγενοῦ· ἔστιν εἶμι τὸ πορεύομαι,
παθητικὸς ἐνεστὼς ἔμαι, ὁ παρατατικὸς ἥμην, ἧσο·
προστακτικὸν ἔσω, καὶ μετὰ τῆς παρὰ προθέσεως
πάρεσο.
ρεστε, παρίστασθε, ἐκ τοῦ ἔμι, ὅπερ οὐκ ἔστιν ἐν
χρήσει, ἀλλὰ εἰμὶ, τὸ πληθυντικὸν ἔμεν, καὶ πλεο-
νασμῷ τοῦ σ ἐσμὲν, τὸ δεύτερόν ἐστε, καὶ μετὰ τῆς
προθέσεως πάρεστε· καὶ ἀναβιβάζει τὸν τόνον
πᾶν γὰρ ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει ἀνα-
βιβάζει τὸν τόνον· καὶ εἰ μὲν δισύλλαβον εἴη τὸ
τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν ἐν τῇ συν-
θέσει, οἷον ἐστὲ πάρεστε, φημὶ ἀπόφημι καὶ σύμφημι,
σύνειμι. εἰ δὲ μονοσύλλαβον πρὸ τέλους, οἷον
ἀπόσχου· θοῦ ἀπόθου, δοῦ ἀπόδου, χρὴ
ἀπόχρη.
ρεξ, παρὰ τὴν παρὰ πρόθεσιν, καὶ τὴν ἐξ, πάρεξ
νεκύεσσιν, ἀντὶ τοῦ ἐκτός· πάρεξ ἅλα φῦκος
ἀντὶ τοῦ παρὰ μόνον.
τὸ χωριστικὸν ἐπίρρημα· εἴρηται παρὰ τὴν ἐξ
ιν, ἥτις δηλοῖ τὸ ἐκτός· καὶ τὸ μὲν ὀξύνεται,
βαρύνεται, πρὸς διάφορον σημαινόμενον· καὶ τὸ
νόμενον χώραν σημαίνει, καὶ συντάσσεται γε-
τὸ δὲ ὀξυνόμενον, ἰσοδυναμεῖ τῇ παρὰ, ἢ τῇ
σημαίνει τὴν ἔξω σχέσιν.
ιν καὶ παρέχεσθαι διαφέρει· παρέχει μέν τις
παρέχεται δὲ προθυμία καὶ εὔνοια· ὅπερ ἐπὶ
ψυχῆς διαθέσεως παραλαμβάνεται.
ν, ἀντὶ τοῦ ἐπλήρωσαν, ἐκ τοῦ παρεῖμι, πα-
ρῆκα.
σαι, τὰ περὶ τὸν φάρυγγα, παρὰ τὸ ἰσθμόν·
ἐστι, τόπος στενός, δι' οὗ ἐστιν εἰσιέναι τὰ
καὶ πινόμενα.
ημμένος τὸ σῶμα, τουτέστι παρεκλε-
νῦν δὲ ἀντὶ τοῦ μέγας, καὶ εἰς μῆ-

μένην, ἀποκεχωρισμένην, καὶ
αἱρῶ, ὃ σημαίνει τὸ κατα-
α, ὁ παθητικὸς ᾕρημαι,

ἡ μετοχὴ, ὁ ᾑρημένος, τὸ θηλυκὸν ᾑρημένη, ἡ αἰτια-
τικὴ ᾑρημένην, καὶ μετὰ τῆς μετὰ προθέσεως μετῃρη-
μένην.

Παρθενία, ὅτι παρὰ θεοῦ ἐδόθη. φησὶ γὰρ, ἔλαβε Καῒν ἑαυτῷ γυναῖκα· τουτέστιν οὐκ ἐκ τοῦ θεοῦ.

Παρθένος, σύνθετον, παρὰ τὴν παρὰ πρόθεσιν, καὶ τὸ θήνη, ὃ σημαίνει τὸν μαζὸν· οἱονεὶ ἐγγὺς οὖσα τοῦ μαζοῦ, τουτέστιν σχεδὸν ὑπομάζιος· παρὰ τὸ θέειν καὶ παρατρέχειν τῇ μητρί· τουτέστιν ἥτις ἐστὶ μικρὸς καὶ νήπιος.

Παρθενία σωφροσύνης διαφέρει, καὶ παρθένου σώφρων· καθὸ ἡ μὲν παρθένος σώφρων ἐστὶ πάντως· ἡ δὲ σώφρων οὐ πάντως παρθένος.

Παρθένος, παρὰ τὸ παραθέειν ῥᾳδίως αὐτὴν τὴν ἀκμήν· ἢ παρὰ τὸ παρεῖναι αὐτῇ τὸ θένεσθαι καὶ γαμεῖσθαι.

Παρθένος, παρὰ τὸ παραθέειν τὴν παιδικὴν ἡλικίαν· ἢ παρὰ τὸ θείνω τὸ φονεύω, θένος, καὶ μετὰ τῆς παρὰ προθέσεως παράθενος, καὶ ἐν συγκοπῇ παρθένος, ἢ τὸ πῦρ τῆς πυρώσεως θανατοῦσα. ἢ παρὰ τὸν θήσω μέλλοντα, τὸν δηλοῦντα τὸ θηλάσω, γυναῖκα με θήσατο μαζῷ. ῥηματικὸν ὄνομα θήνη, καὶ ἐν συγκοπῇ καὶ τροπῇ παρθένος· ἡ περὶ ταύτην τὴν ἡλικίαν γεννηθεῖσα, καθ' ἣν ὥραν ἔχει ἐκτρίψαι τὸ καὶ κεκτῆσθαι μαζοὺς οὓς ἡ φύσις ἔταξε· τὰς γοῦν μικρὰς παῖδας οὐ προσαγορεύομαι παρθένους, ἀλλὰ τὰς ἤδη ἐπὶ τὸ γυναῖκας εἶναι, οὔσας· οἱ δὲ φασὶ, ἡ παρ' οὐδενὸς οὐδὲν λαβοῦσα εἰς ἕδνον· σημαίνει δὲ δύο· τὴν παρθενίαν γυναῖκα, καὶ τὸ ζώδιον· καὶ εἰς τὸ γυνή.

Παρθενοπίπα, ἐκ τοῦ παρθένος καὶ τοῦ πιπῶ, ὃ σημαίνει τὸ ἀπατῶ, γράφεται δὲ διὰ τοῦ ἰῶτα, οἷον, παιδοπίπης, γυναικοπίπης, πυριπίπης, οὕτως οὖν καὶ παρθενοπίπης διὰ τοῦ ἰῶτα· σημαίνει δὲ τὸν παραβλεπόμενον τὰς παρθένους.

Πάρις, Πάριδος, ὁ υἱὸς Ἑκάβης ἐκλήθη Ἀλέξανδρος, ὁ καὶ Πάρις. παρὰ τὸ πῦρ καὶ τὴν Ἴδην. ἐν ὁράματι γὰρ ἡ Ἑκάβη ἐνόμισε δαλὸν τίκτειν, ὅστις κατέφλεγε τὴν πόλιν, καὶ τὴν ἐν τῇ Ἴδῃ ὕλην· καὶ τούτου χάριν τεχθέντα ἐν τῇ Ἴδῃ ἀπέρριψεν.

Παροιμία, ἐκ τῆς παρὰ προθέσεως, καὶ τοῦ οἶμος, ὃ σημαίνει τὴν ὁδὸν, γίνεται παραοιμία καὶ παροιμία. κέκληται δὲ παροιμία, τὸ παραδικὸν διήγημα· διὰ τὸ περὶ τὴν ὁδὸν λαλεῖσθαι· καὶ εἰς τὸ αἶνος.

Παροιμία μὲν κυρίως ἀπόκρυφος λόγος· καταχρηστικῶς δὲ πᾶν παραδικὸν διήγημα· οἶμος γὰρ ἡ ὁδός. καὶ ἄλλως, παροιμία λόγος ὠφέλιμος, ἤτοι βιωφελής, παρὰ τὴν ὁδὸν λεγόμενος.

Παραμαρτοῦντες, παρακολουθοῦντες, ἢ συντυχόντες, ἀπὸ τοῦ ὁμαρτῶ, καὶ ὁμαρτήσαντες, οἱονεὶ ὁμοῦ ἁρμοσάμενοι.

Παρὸς, ἐκ τῆς πρὸς προθέσεως· καὶ μικρὸν τὸ πρὸς, ἀντὶ τοῦ ἔμπροσθεν ἤγουν πρότερον.

Πᾶσι μέλλους, ἐπίθετον τοῦ Ἄργους· ἀπὸ τοῦ ἐν ἐπιμελείᾳ εἶναι, διὰ τὸ κλεός.

Πάσσε, τὸ ἐποίκιλλε. καὶ πόθεν δῆλον ὅτι σημαίνει τὸ ἐποίκιλλεν· ἐπειδὴ κατὰ ποικιλλίαν παραπετάσματα παστοὶ καλέονται.

Πάσσαλος, ξύλον ἐπίμηκες, ἐμπηγνύμενον τῇ γῇ, πρὸς τὸ κρατεῖν τὴν τένδραν· ἢ πρὸς τὸ κρεμᾶν τι.

Παρώνυμον, παρὰ τὴν παρὰ πρόθεσιν, καὶ τὸ ὄνομα, γίνεται παραώνυμον καὶ παρώνυμον· οἱονεὶ ἐκ τοῦ συμβεβηκότος καλούμενον ὄνομα.

τοῦτο κλίνεται ὁ πᾶς τοῦ πᾶ, τὸ ἐπίθετον ὁ πᾶς, τοῦ πάντος.

Πάντοτε, ἐπίῤῥημα χρόνου δηλωτικὸν, ἐκ τοῦ πᾶν καὶ τοῦ τότε.

Πανδῶρα, ἡ γῆ, ὅτι τὰ πρὸς τὸ ζῆν δωρεῖται· ἔστιν ὄνομα κύριον παρ' Ἡσιόδῳ· ἢ ὅτι πάντων δωρεὰς ἔλαβε· ἢ ὅτι δῶρα πάντων θεῶν.

Πάντοσε, πανταχοῦ· διάτι προπαροξύνεται; τὰ εἰς ε λήγοντα ἐπιῤῥήματα, τὴν εἰς τόπον σχέσιν δηλοῦντα ὁμότονα καθεστήκασι τοῖς εἰς θεν λήγουσιν ἐπιῤῥήμασιν· οἷον, ἑκασταχόθεν, ἑκασταχόσε, πάντοθεν πάντοσε· τὸ το μικρὸν διάτι; τὰ εἰς θεν λήγοντα ἐπιῤῥήματα παραλήγοντα φωνήεντι, ᾧ καὶ τὸ τέλος τῆς γενικῆς τοῦ ὀνόματος· εἰ δὲ ἀπὸ ῥήματος εἴη, τὸ αὐτὸ παραλήγεται, δεῖ οὖν τὸ λῆγον τοῦ πρωτοτύπου· εἰ δὲ διὰ διφθόγγου εἴη, καθὼς πρόκειται, ὑποπίπτει τὸ ἐπὶ τοῦ τέλους φωνῆεν· ἀρχῆς ἀρχῆθεν, θύρας θύραθεν, οὐρανοῦ οὐρανόθεν.

Παπαί, ἐπίῤῥημα σχετλιαστικὸν, ἀπὸ τοῦ πήθω τὸ πανθάνω, ὁ β ἀόριστος ἔπαθον· παπαὶ τὸ πάθος τῆς λύπης· πάντα τὰ εἰς αι λήγοντα ἐπιῤῥήματα, ἐπὶ τέλους ἔχοντα τὸν τόνον περισπῶνται, πλὴν τοῦ βαβαί, καὶ τοῦ ναί· τὸ δὲ ἰοὺ ἀναφώνημα λύπης.

Πάπας, παρὰ Ἀττικοῖς λέγεται ὁ πατήρ.

Πάππα φίλ', εἴρηκεν Ὅμηρος [1])· οὕτω δὲ ἐλέγετο παρὰ Συρακουσίοις ὁ πατήρ· πᾶς λέγεται, καὶ κατ' ἀναδιπλασιασμὸν πάπας, καὶ πλεονασμῷ τοῦ π, πάππα φίλε.

Παπταίνειν σημαίνει τὸ βλέπειν, καὶ περισκοπεῖν τῇδε κἀκεῖσε, παρὰ τὸ πανταχοῦ τὰ φαὴ μεταννύειν.

Παπταίνων, περιβλεπόμενος παρατηρῶν· παρὰ τὸ τὰ φαὴ μεταννύειν, γίνεται φαπταίνων καὶ παπταίνων.

Παραβλήδην, παραβλητικῶς, παραβοτικῶς· ἔστιν ἐπίῤῥημα ποιότητος· καὶ ἐκ πόσων μερῶν τοῦ λόγου παράγονται τὰ εἰς δην ἐπιῤῥήματα; ἐκ δύο· ἐξ ὀνόματος καὶ ῥήματος· καὶ εἰ μὲν ἀπὸ ὀνομάτων παράγονται τὰ εἰς δην ἐπιῤῥήματα, τῷ α παραλήγονται· οἷον λόγος λογάδην, σπόρος σποράδην, τρόχος τροχάδην· εἰ δὲ ἀπὸ ῥήματος γίνεται, τῷ β παραλήγεται· οἷον γράφω γράβδην, λείβω λείβδην, ὡς τὸ ἄκρον ἐπιλείβδην· κρύπτω κρύβδην· εἰ δὲ ἀπὸ τῶν εἰς ω μελλόντων τῷ γ παραλήγεται, οἷον μίξω μίγδην, λήξω λήγδην· εἰ δὲ ἀπὸ τῶν περισπωμένων. τῷ ἦτα παραλήγεται, οἷον ῥῶ ῥήσω, ῥήδην· σημαίνει δὲ τὸ φανερῶς· τμῶ τμήσω τμήδην· εἰ δὲ ἀπὸ τῶν εἰς μι, εἰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας, τῷ ε παραλήγεται, οἷον ἀνίημι ἀνήσω ἀνέδην· σημαίνει δὲ τὸ διαλελυμένον· εἰ δὲ ἀπὸ τῆς δευτέρας, τῷ α παραλήγεται, οἷον βῆμι βήσω βάδην· τοῦ δὲ βάδην ἀπιόντος.

Παραβολή, πραγμάτων ὁμοίωσις· ἢ μέλλει οὐ δύναται γενέσθαι ἐπὶ πράγματος ἐπὶ πράγματος· παράδειγμα δὲ παραγεγονότος πράγματος.

Παραβολὴ παραδείγματος διαφέρει· ἡ μὲν γὰρ παραβολὴ ἀπὸ ἀλόγων ἢ καὶ ἀψύχων λαμβάνεται· ἀπὸ μὲν ἀλόγων, οἷον ὥσπέρ τις ὀξύτατος ἵππος· ἀπὸ δὲ ἀψύχων, ὥσπέρ τις οἰκία μεγίστη· τὸ δὲ παράδειγμα ἀπὸ ἐμψύχων, ὥσπερ ἀνήρ τις· ἀπὸ δὲ γεγονότος π άγματος, ὥσπερ τὸ συμβεβηκος πολέμου.

Παραβολή ἐστι λόγος παραβάλλων τὰ νοητὰ τοῖς αἰσθητοῖς, καὶ παριστῶν, ἐκ τῶν ἐγκοσμίων καὶ ὁρατῶν, τὰ ὑπερκόσμια καὶ ἀόρατα. παράδειγμα δὲ λόγος ἀπὸ τοῦ καθ' ἕκαστα ἄγων ἐπὶ τοῦ καθόλου· ἢ δεῖξις πιστουμένη. τὸ μερικὸν διὰ μερικοῦ καὶ ὁμοίου.

Παράδεισσος, διὰ δύο σσ, ἐκ τῆς παρὰ προθέσεως, καὶ τοῦ δεῖσσα ἡ ὑγρασία. τὰ διὰ τοῦ εισσα θηλυκὰ διὰ τῆς ει διφθόγγου γράφεται· πλὴν τοῦ μαρπίσσα, Τέκμησσα, βῆσσα. ἡ βάσιμος καὶ βῆσσα ἡ τροφός· ταῦτα γὰρ διὰ τοῦ ἦτα γράφεται.

Παράδεισος [2]), πρώτη δρόσος, ἡ διάδροσις· ἢ παρὰ τὴν ὑγρασίαν, δεῖσσα γὰρ ἡ ὑγρασία· παράδεισος γὰρ κυρίως λέγεται τόπος ἔνυδρος καὶ ἔνδενδρος, ἐν ᾧ περιπατεῖ ἡ βασιλέως κατάλυσις.

Παρὰ θῖνα, παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, ὃς οὕτω κέκληται, ἀπὸ τοῦ θείνεσθαι, ὅ ἐστι τύπτεσθαι τῇ προσρήξει τῶν κυμάτων.

Παρὰ θῖνα, ἢ παρὰ τὸ ἔξω δηλοῖ, ὥσπερ καὶ παραπλεῖν τὸ ἔξω πλεῖν· αἰγιαλὸς μὲν οὖν κοινῷ εἴρηται ὀνόματι, καί ἐστι παρὰ τὴν αἶαν ἐγγὺς ἁλὸς ἔχειν· ἔχει δὲ διαφορᾶς τρεῖς ἀκτῖνα καὶ θῖνα καὶ ῥηγμῖνα· ἀκτῖνα μὲν οὖν εἴρηται ὁ πετρώδης αἰγιαλὸς παρὰ τὸ ἄγνυσθαι καὶ κλᾶσθαι ἐκεῖ τὰ κύματα [3]).

Παραί, πλεονασμῷ τοῦ ἰῶτα, ποιητικῶς· παραὶ ποσὶ καὶ κάππεσε θυμός.

Παραίνεσις, συμβουλή.

Παραπλήσιον, λέξις συνθέτη, ἐκ τῆς παρὰ προθέσεως καὶ τοῦ πλησίον γίνεται παραπλήσιος καὶ παραπλήσιον· καὶ σημαίνει τὸ ἐμφερὲς καὶ ὅμοιον, ὁ ἐγγὺς τοῦ ὁμοίου καὶ ἴσου.

Παραβάται, οἱ ἐπὶ τῶν δίφρων ἢ ἁρμάτων ἑστῶτες.

Παρασάγγης, τὰ λ στάδια παρὰ Πέρσαις· παρὰ Αἰγυπτίοις δὲ ξ. παρὰ Σοφοκλεῖ ἐν Ἀνδρομάχῳ ἐπὶ τοῦ ἀγγέλου λέλεκται· καὶ εἰς τὸ σχοινοφόρος.

Παράσημα, ἀδόκιμα, τὰ κίβδηλα τῶν νομισμάτων λέγεται.

Παρατατικὸς, ὁ παρεκτείνων χρόνος· τείνω τανῶ ὁ παρακείμενος τέτακα, καὶ ἐξ αὐτοῦ τατικὸς καὶ παρατατικός.

Παραχρῆμα, ἐπίῤῥημα χρόνου δηλωτικόν.

Πόρδαλις, ὁ ἄρσην, ἡ πάρδαλις ἡ θήλεια. ὁ μὲν ἀπὸ τοῦ προάλλεσθαι, ἡ δὲ ἀπὸ τοῦ προάλλεσθαι.

Πάρδαλις, παρὰ τὸ ὀξέως τρέχειν· ἢ διὰ τὸ εἶναι ποικίλη.

Παρδαλέην, παρδάλεος, δορᾶς ὄνομα· ἡ εὐθεῖα παρδαλέη, ὥσπερ ἡ λεοντέη· καὶ τὸ ἀρσενικὸν πάρδαλις· τὸ λε ψιλὸν διάτι; ἐπειδὴ οἱ Ἴωνες, τὰ δι' αὐτοῦ εἰς ης μετουσιαστικὰ, ἀποβάλλοντες τὸ ι τῆς ει διφθόγγου, διὰ τοῦ εος προσφέρουσιν, Ἑκτόρειος Ἑκτόρεος, παρδάλειος, παρδάλεος· καὶ πότε λέγουσι πάρδαλις καὶ πότε πόρδαλις· παραφυλακτέον ὅτι ἐπὶ μὲν τοῦ ζώου, διὰ τοῦ ο δεῖ προσφέρειν· ἐπὶ δὲ τοῦ δέρματος διὰ τοῦ α. καὶ γίνεται πόρδαλις τὸ ζῶον, παρὰ τὸ προάλλεσθαι καὶ ἀτάκτως κινεῖσθαι, πρόαλις καὶ πλεονασμῷ τοῦ δ καὶ ἐν ὑπερβιβασμῷ πόρδαλις· καὶ τὸ δέρμα λέγεται παρδάλειος καὶ Ἰωνικῶς παρδάλεος καὶ τὸ Ἰωνικὸν θηλυκὸν παρδαλέη παρδαλῆ, περισπωμένως, ὡς λεοντέη λεοντῆ.

Πάρει, ἦλθες· εἰμὶ τὸ ὑπάρχω, τὸ δεύτερον εἶς, ἀποβολῇ τοῦ σ εἶ. ἔστι δὲ δεύτερον πρόσωπον, σημαίνει δὲ τὸ ὑπάρχω, καὶ μετὰ τῆς παρὰ προθέσεως πάρει. καὶ πάρειμι πάρεστι, καὶ πάρειμι πάρειτε.

---

[1]) Od. VI, 57.

[2]) v. Reland. diss. misc. p. 2. p. 210.

[3]) Reliqua omissa sunt. v. Etym. M. v. παρά.

Παρέγραπτος, παρὰ τὴν παρὰ πρόθεσιν καὶ τὸ γράφω γίνεται, παρέγραφος καὶ ἐν παρέγγραφος· λέγεται δὲ καὶ παράγραπτος ὁ παρὰ τὸ προσῆκον γεγραφὼς τῷ ληξιαρχικῷ γραμματείῳ, ἤγουν ὁ νόθος.

Παραθήνη, τὸ ἐπὶ παραφυλακῇ τινι δεδομένον.

Παραιτεῖται, ἀποβάλλεται.

Παράκλητον, ἐκ τοῦ παρακαλῶ γίνεται παράκλητον, τὸ παρακεκλημένον.

Παρεμβολὴ, ὄνομα σύνθετον, παρὰ τὴν παρὰ πρόθεσιν, καὶ τὸ ἐμβολὴ, ὃ σημαίνει τὴν εἴσοδον καὶ ὁρμήν· σημαίνει δὲ τὸ στρατόπεδον.

Παρειὰ, ἡ σιαγὼν, ὄνομα οὐδέτερον, ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἡ γὰρ τῶν ἑνικῶν οὐκ ἔχει· ὅτι τὰ ἀρσενικὰ ἢ θηλυκά· οὕτως αἱ παρειαὶ τὰ παρειά· τὸ ρει διφθόγγῳ κατὰ διάλεκτον· οἱ γὰρ Αἰολεῖς παρηὰ λέγουσιν, διὰ τοῦ ἦτα, ἐξ οὗ καὶ τὸ παρήϊον· τὴν γὰρ ει δίφθογγον εἰς η τρέπουσι, τὸ γὰρ πλείων διὰ τῆς ει διφθόγγου, πλήων δὲ διὰ τοῦ η λέγουσι· παρειὰς δὲ εἶδος ὄφεως, ἔχων τὰς παρειὰς ἐπηρμένας.

Παρειαὶ, παραιαὶ, λέξις, οἱ Αἰολεῖς τρέψαντες τὸ ι εἰς υ, καὶ τὸ ε εἰς α.

Παρεκτικὸν, ὄνομα οὐδέτερον· τὸ ἀρσενικὸν ὁ παρεκτικὸς, τοῦτο παρὰ τὸ παρέχω, παρέξω, ὁ παρακείμενος παρῆχα, ὁ παθητικὸς παρῆγμαι, παρῆκται, καὶ ἐξ αὐτοῦ παρεκτος, τὸ κτητικὸν παρεκτικόν.

Πάρεσο, ἐλθὲ, παραγενοῦ· ἔστιν εἶμι τὸ πορεύομαι, ὁ παθητικὸς ἐνεστὼς ἔμαι, ὁ παρατατικὸς ἤμην, ἦσο· τὸ προστακτικὸν ἔσω, καὶ μετὰ τῆς παρὰ προθέσεως πάρεσο.

Πάρεστε, παρίστασθε, ἐκ τοῦ ἔμι, ὅπερ οὐκ ἔστιν ἐν χρήσει, ἀλλὰ εἰμὶ, τὸ πληθυντικὸν ἔμεν, καὶ πλεονασμῷ τοῦ σ ἐσμὲν, τὸ δεύτερόν ἐστε, καὶ μετὰ τῆς παρὰ προθέσεως πάρεστε· καὶ ἀναβιβάζει τὸν τόνον διότι; πᾶν γὰρ ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον· καὶ εἰ μὲν δισύλλαβον εἴη τὸ ἁπλοῦν τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν ἐν τῇ συνθέσει, οἷον ἐστὲ πάρεστε, φημὶ ἀπόφημι καὶ σύμφημι, εἰμὶ σύνειμι. εἰ δὲ μονοσύλλαβον πρὸ τέλους, οἷον σχοῦ ἀπόσχου· θοῦ ἀπόθου, δοῦ ἀπόδου, χρὴ ἀπόχρη.

Πάρεξ, παρὰ τὴν παρὰ πρόθεσιν, καὶ τὴν ἐξ, πάρεξ ὁδοῦ ἐν νεκύεσσιν, ἀντὶ τοῦ ἐκτός· πάρεξ ἅλα φῦκος ἔχευαν ἀντὶ τοῦ παρὰ μόνον.

Παρεξ, τὸ χωριστικὸν ἐπίῤῥημα· εἴρηται παρὰ τὴν ἐξ πρόθεσιν, ἥτις δηλοῖ τὸ ἐκτός· καὶ τὸ μὲν ὀξύνεται, τὸ δὲ βαρύνεται, πρὸς διάφορον σημαινόμενον· καὶ τὸ μὲν βαρυνόμενον χώραν σημαίνει, καὶ συντάσσεται γενικῇ· τὸ δὲ ὀξυνόμενον, ἰσοδυναμεῖ τῇ παρὰ, ἢ τῇ ἐξ· ἥτις σημαίνει τὴν ἔξω σχέσιν.

Παρέχειν καὶ παρέχεσθαι διαφέρει· παρέχει μέν τις ἐσθῆτας, παρέχεται δὲ προθυμία καὶ εὔνοια· ὅπερ ἐπὶ τῆς τῆς ψυχῆς διαθέσεως παραλαμβάνεται.

Παρῆκον, ἀντὶ τοῦ ἐπλήρωσαν, ἐκ τοῦ παρεῖμι, παρέσω, παρῆκα.

Παρίσθμια, τὰ περὶ τὸν φάρυγγα, παρὰ τὸ ἰσθμόν· ἰσθμὸς δέ ἐστι, τόπος στενὸς, δι' οὗ ἔστιν εἰσιέναι τὰ ἐσθιόμενα καὶ πινόμενα.

Παρήορος, παρῃωρημένος τὸ σῶμα, τουτέστι παρεκλελυμένος ἐν ἄλλῳ· νῦν δὲ ἀντὶ τοῦ μέγας, καὶ εἰς μῆκος ἐκτεταμένος.

Παρῃρημένην, ἐκβεβλημένην, ἀποκεχωρισμένην, καὶ οἱονεὶ καθῃρημένην, ἀπὸ τοῦ αἱρῶ, ὃ σημαίνει τὸ καταβάλλω, ὁ παρακείμενος ἤρηκα, ὁ παθητικὸς ἤρημαι, ἡ μετοχὴ, ὁ ἠρημένος, τὸ θηλυκὸν ἠρημένη, ἡ αἰτιατικὴ ἠρημένην, καὶ μετὰ τῆς μετὰ προθέσεως μετηρημένην.

Παρθενία, ὅτι παρὰ θεοῦ ἐδόθη. φησὶ γὰρ, ἔλαβε Κάϊν ἑαυτῷ γυναῖκα· τουτέστιν οὐκ ἐκ τοῦ θεοῦ.

Παρθένος, σύνθετον, παρὰ τὴν παρὰ πρόθεσιν, καὶ τὸ θήνη, ὃ σημαίνει τὸν μαζόν· οἱονεὶ ἐγγὺς οὖσα τοῦ μαζοῦ, τουτέστιν σχεδὸν ὑπομάζιος· παρὰ τὸ θέειν καὶ παρατρέχειν τῇ μητρί· τουτέστιν ἥτις ἐστὶ μικρὸς καὶ νήπιος.

Παρθενία σωφροσύνης διαφέρει, καὶ παρθένου σώφρων· καθὸ ἡ μὲν παρθένος σώφρων ἐστὶ πάντως· ἡ δὲ σώφρων οὐ πάντως παρθένος.

Παρθένος, παρὰ τὸ παραθέειν ῥᾳδίως αὐτὴν τὴν ἀκμήν· ἢ παρὰ τὸ παρεῖναι αὐτῇ τὸ θένεσθαι καὶ γαμεῖσθαι.

Παρθένος, παρὰ τὸ παραθέειν τὴν παιδικὴν ἡλικίαν· ἢ παρὰ τὸ θείνω τὸ φονεύω, θένος, καὶ μετὰ τῆς παρὰ προθέσεως παράθενος, καὶ ἐν συγκοπῇ παρθένος, ἡ τὸ πῦρ τῆς πυρώσεως θανατοῦσα. ἢ παρὰ τὸν θήσω μέλλοντα, τὸν δηλοῦντα τὸ θηλάσω, γυναῖκα με θήσατο μαζῷ. ῥηματικὸν ὄνομα θήνη, καὶ ἐν συγκοπῇ καὶ τροπῇ παρθένος· ἡ περὶ ταύτην τὴν ἡλικίαν γεννηθεῖσα, καθ' ἣν ὥραν ἔχει ἐκτρίψαι τὸ καὶ κεκτῆσθαι μαζοὺς οὓς ἡ φύσις ἔταξε· τὰς γοῦν μικρὰς παῖδας οὐ προσαγορεύομαι παρθένους, ἀλλὰ τὰς ἤδη ἐπὶ τὸ γυναῖκας εἶναι, οὔσας· οἱ δὲ φασὶ, ἡ παρ' οὐδενὸς οὐδὲν λαβοῦσα εἰς ἕδνον· σημαίνει δὲ δύο· τὴν παρθενίαν γυναῖκα, καὶ τὸ ζῴδιον· καὶ εἰς τὸ γυνή.

Παρθενοπίπα, ἐκ τοῦ παρθένος καὶ τοῦ πιπῶ, ὃ σημαίνει τὸ ἀπατῶ, γράφεται δὲ διὰ τοῦ ἰῶτα, οἷον, παιδοπίπης, γυναικοπίπης, πυριπίπης, οὕτως οὖν καὶ παρθενοπίπης διὰ τοῦ ἰῶτα· σημαίνει δὲ τὸν παραβλεπόμενον τὰς παρθένους.

Πάρις, Πάριδος, ὁ υἱὸς Ἑκάβης ἐκλήθη Ἀλέξανδρος, ὁ καὶ Πάρις. παρὰ τὸ πῦρ καὶ τὴν Ἴδην. ἐν ὁράματι γὰρ ἡ Ἑκάβη ἐνόμισε δαλὸν τίκτειν, ὅστις κατέφλεγε τὴν πόλιν, καὶ τὴν ἐν τῇ Ἴδῃ ὕλην· καὶ τούτου χάριν τεχθέντα ἐν τῇ Ἴδῃ ἀπέῤῥιψεν.

Παροιμία, ἐκ τῆς παρὰ προθέσεως, καὶ τοῦ οἶμος, ὃ σημαίνει τὴν ὁδὸν, γίνεται παραοιμία καὶ παροιμία. κέκληται δὲ παροιμία, τὸ παροδικὸν διήγημα· διὰ τὸ περὶ τὴν ὁδὸν λαλεῖσθαι· καὶ εἰς τὸ αἶνος.

Παροιμία μὲν κυρίως ἀπόκρυφος λόγος· καταχρηστικῶς δὲ πᾶν παραδικὸν διήγημα· οἶμος γὰρ ἡ ὁδός. καὶ ἄλλως, παροιμία λόγος ὠφέλιμος, ἤτοι βιωφελὴς, παρὰ τὴν ὁδὸν λεγόμενος.

Παραμαρτοῦντες, παρακολουθοῦντες, ἢ συντυχόντες, ἀπὸ τοῦ ὁμαρτῶ, καὶ ὁμαρτήσαντες, οἱονεὶ ὁμοῦ ἁρμοσάμενοι.

Παρὸς, ἐκ τῆς πρὸς προθέσεως· καὶ μικρὸν τὸ πρὸς, ἀντὶ τοῦ ἔμπροσθεν ἤγουν πρότερον.

Πᾶσι μέλλους, ἐπίθετον τοῦ Ἄργους· ἀπὸ τοῦ ἐν ἐπιμελείᾳ εἶναι, διὰ τὸ κλεός.

Πάσσε, τὸ ἐποίκιλλε. καὶ πόθεν δῆλον ὅτι σημαίνει τὸ ἐποίκιλλεν· ἐπειδὴ κατὰ ποικιλλίαν παραπετάσματα παστοὶ καλέονται.

Πάσσαλος, ξύλον ἐπίμηκες, ἐμπηγνύμενον τῇ γῇ, πρὸς τὸ κρατεῖν τὴν τένδραν· ἢ πρὸς τὸ κρεμᾶν τι.

Παρώνυμον, παρὰ τὴν παρὰ πρόθεσιν, καὶ τὸ ὄνομα, γίνεται παραώνυμον καὶ παρώνυμον· οἱονεὶ ἐκ τοῦ συμβεβηκότος καλούμενον ὄνομα.

Παστὸς, παρὰ τὸ πάσσω τὸ ποικίλλω.

Πάσχω, μέλλοντα οὐκ ἔχει· τὰ εἰς χω λήγοντα ῥήματα μέλλοντας οὐκ ἔχουσιν, οἷον ἐρέχθω, ἄχθω, πάσχω, καὶ τὸ βαρυνόμενον.

Πάσχειν καὶ συμπάσχειν διαφέρει, καὶ ὁ πάσχων τοῦ συμπάσχοντος. ὁ μὲν γὰρ πάσχων ἀλγεῖ, ὁ δὲ συμπάσχων λυπεῖται μὲν ἐπὶ τῷ τοῦ συμπάσχοντος πάθει· ὁ μέντοι συμπάσχων ἀλγεῖ καθάπερ ὁ πάσχων, οἷον πυρέττει τις τῶν φίλων σφόδρα συμπάσχομεν τούτῳ πυρέττοντι· οὐ μέντοι καὶ πυρέττομεν.

Πατάσσω, παρὰ τὸ πτῶ τὸ φοβοῦμαι πτήσσω, ὁ μέλλων, καὶ συστολῇ τοῦ η εἰς α, πτάσω, καὶ ἐν πλεονασμῷ τοῦ ἑτέρου σ, πτάσσω, πατάζω· ἢ παρὰ τὸ ἲς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν.

Πατραλοίας, ὁ τὸν πατέρα ἀτιμάζων, τουτέστι τύπτων· ἀλλοίειν γὰρ τὸ συντρίβειν. ὡσαύτως δὲ καὶ μητραλοίας, ὁ τὴν μητέρα ἀτιμάζων.

Πατὴρ καὶ πάππος λέγεται, παρὰ τὸν ἦχον τὸν γινόμενον ἐν τῷ καταφιλεῖν τὰ παιδία, ἢ ἀπὸ τῆς τῶν παίδων τῶν μικρῶν προσφωνήσεως.

Πατὴρ, ἐπὶ μὲν τοῦ θεοῦ, ὁ τὰ πάντα τηρῶν καὶ καταχρηστικῶς, ἐπὶ δὲ ἀνθρώπου κυρίως, ὁ τοὺς ἰδίους παῖδας τηρῶν.

Πατὴρ, ἀπὸ τοῦ σπείρω, ὁ παθητικὸς παρακείμενος ἔσπαρμαι· τὸ τρίτον ἔσπαρται, καὶ ἐξ αὐτοῦ σπατὴρ καὶ πατὴρ ἀποβολῇ τοῦ σ. ἢ παρὰ τὸ παίειν ἐν τῇ συνουσίᾳ· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀλόγων ζώων.

Πατρακούστης πατρακόστου, ὄνομα μετοχικὸν, τὸ θέμα ἀκούω, ὁ μέλλων ἀκούσω, ὁ παρακείμενος ἤκουκα, ὁ παθητικὸς παρακείμενος ἤκουσμαι, τὸ τρίτον ἤκουσται, ἠκούστης, καὶ μετὰ τοῦ πατὴρ πατέρος καὶ κατὰ συγκοπὴν πατρὸς πατρακούστης, ὁ τοῦ πατρὸς ἀκούσας.

Πατρίκιοι, οἱονεὶ πατὴρ τοῦ κοινοῦ.

Πατρῷα, καὶ πατρικοὶ καὶ πάτρια διαφέρει· πατρῷα μὲν γὰρ τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα· πατρικοὶ δὲ οἱ φίλοι καὶ ξένοι· πάτρια δὲ τὰ τῆς πατρίδος ἔθη.

Πατρῷος, ἔστι πατὴρ πατέρος πατρός· καὶ τὸ κτητικὸν πατρώϊος, καὶ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω πατρῶος· ἔχει δὲ καὶ τὸ ἰῶτα. τὰ γὰρ κτητικὰ τῷ ἰῶτα θέλουσι παραλήγεσθαι, ἢ ἐκφωνουμένῳ, ὡς τὸ θέϊον καὶ θεῖον καὶ τὸ ἅγιον· ἢ ἀνεκφωνήτῳ, ὡς τὸ πατρῷος μητρῷος.

Πατρώϊον, ὄνομα κτητικὸν, πόθεν παράγεται; τὰ εἰς κος κτητικὰ ἀπὸ τῶν γενικῶν τῶν ὀνομάτων, πλὴν τριῶν, ἁλυκὸς, Λιβυκὸς, ἁλμυρὸς, ἐξ οὗ καὶ τὰ ἁλμυρὰ νάματα τῆς θαλάσσης· τί διαφέρει πατρωὸς καὶ πάτρῷος; πατρωὸς λέγεται, ὁ παρὰ τὴν συνήθειαν λεγόμενος πάτριος· πατρῷος δὲ τὸ κτητικόν· πατρῷος δοῦλος, πατρῷον κτῆμα· καὶ διαλύσει πατρώϊον.

Πατρωνυμικὸν, εἰς τὸ Ἀτρείδης.

Παῦρα, εὐαρίθμητα, ὀλίγα, τὸ ἀρσενικὸν παῦρος, καὶ σημαίνει τὸ ὀλίγον, παρὰ τὸ παύω παύσω παῦρος, ὁ μέχρι πολλοῦ διήκων, ἀλλὰ ταχέως παύων· τὸ γὰρ ὀλίγον ταχέως παύεται· τὸ συγκριτικὸν παυρότερος, καὶ εἰς τὸ ἀφαυρά.

Παυσωλὴ, ἡ κατάπαυσις.

Παῦλα, ἀνάπαυσις, ἔνδοσις.

Πειρίθους, διὰ ἱστορίας τοῦτο μάνθανε. ὁ Ζεὺς ὁμοιωθεὶς ἵππῳ, περιέτρεχε τὴν μητέρα αὐτοῦ, καὶ οὕτω συνεγένετο αὐτῇ καὶ ἐκεῖθεν οὗτος ἐτέχθη· παρὰ οὖν τὸ παραθέειν γέγονε περίθους καὶ πλεονασμῷ τοῦ ι Πειρίθους. ἄλλως τε καὶ οἱ Δωριεῖς παρὰ τὸ Πηρίθους λέγουσι διὰ τοῦ ἦτα. ἔθος δὲ ἔχουσι τὴν ει δίφθογγον εἰς η τρέπειν, ὡς πολλάκις εἴρηται· ἰστέον δὲ ὅτι κατὰ δεύτερον τρόπον Πειρίθους ἡμάρτηται· πρῶτον μὲν ὅτι ἀπὸ πλεονασμοῦ ἔχει τὸ ἰῶτα· οὐδέποτε δὲ περὶ πρόθεσις πλεονάζει. δεύτερον δὲ διὰ τοῦ ἦτα παρὰ τοῖς Δωριεῦσιν· οὐδέποτε δὲ οἱ Δωριεῖς τρέπουσι τὴν ει δίφθογγον εἰς η, ἀλλ' ἔχουσιν ἀπὸ πλεονασμοῦ τοῦ ἰῶτα· οἷον ξένος, ξεῖνος, οὐ λέγουσι δὲ διὰ τοῦ ἦτα· εἰ οὖν τὸ Πειρίθους ἀπὸ πλεονασμοῦ ἔχει τὸ ἰῶτα, δῆλον ὅτι παραλόγως παρὰ τοῖς Δωριεῦσιν διὰ τοῦ ἦτα γράφεται.

Παφλάζω, ἀναβλάζω, ἐκ τοῦ φλῶ, κατὰ παραγωγὴν φλάζω, καὶ κατ' ἀναδιπλασιασμὸν παφλάζω, τὸ θηλυκὸν ἡ μετοχὴ παφλάζουσα, ἐκβράζουσα πυρὶ καὶ καχλάζουσα· τί διαφέρει παφλάζω καὶ καχλάζω; παφλάζω μὲν ἐπὶ πυρὸς, καχλάζω δὲ ἐπὶ κακοῦ.

Πάχνη, παρὰ τὸ πήσσω τὸ πηγνύω· τὰ δὲ παρὰ τὸ πήσσω ἅπαντα, διὰ τοῦ ἦτα γράφεται.

Πάχνη, παρὰ τὴν πῆξιν, πάγη τις οὖσα· ἔστι δὲ ἄνεμος ψυχρὸς, παγώδης.

Πείκειν, σημαίνει τὸ ξαίνειν· διὰ τῆς ει διφθόγγου· πρῶτον ὅτι τὸ πείκειν σημαίνει τὸ κτενίζειν, ἐξ οὗ καὶ παρὰ τῷ ποιητῇ, πεξαμένη χειρὶ πλοκαμοὺς ἔπλεξε φαεινοὺς [1], γέγονε πέκειν, καὶ πλεονασμῷ τοῦ ἰῶτα πείκειν· δεύτερον δὲ διὰ τῆς ει διφθόγγου γράφεται, ὅτι ἀντιπαράκειται αὐτῷ τὸ πόκος, τὰ δὲ ἔχοντα τὸ ε ἀντιπαρακείμενον ἔχουσι τὸ ο ἐγκείμενον· οἷον λείβω λοιβή· πείκω πόκος.

Παχὺς, ἐκ τοῦ πάχης· τοῦτο ἐκ τοῦ πήσσω τὸ πηγνύω.

Πέδη, ἡ δέσμη, παρὰ τὸ πεδῶ, τὸ δεσμῶ, πεδήσω· τοῦτο παρὰ τὸ πους ποδὸς, γίνεται ποδῶ, καὶ τροπῇ τοῦ ο εἰς ε πεδῶ πεδήσω· πεδῆσαι γὰρ κυρίως τὸ τοὺς πόδας δεσμῆσαι.

Πέδη. παρὰ τὸ πιέζειν τοὺς πόδας.

Πέδιλα, ποδείλά τινα ὄντα, παρὰ τὸ ἐν τοῖς ποσὶν εἰλεῖσθαι· καὶ ἔδει διὰ διφθόγγου γράφεσθαι· ἀλλὰ οὐ πάντως τὰ ῥηματικὰ τῶν ὀνομάτων, φυλάσσει τὴν γραφὴν τοῦ ῥήματος· ἰδοὺ γὰρ παρὰ εἴρω ἶρις, νείφω νιφάς, λείβω λιβάς.

Πέδιλα, τὰ ὑποδήματα, οἱονεὶ ποδόειλα· τὰ περὶ τοὺς πόδας εἰλούμενα.

Πεδίον, τὸ δι ἰῶτα, ἐκ τοῦ πέδον, καὶ τρέπεται τὸ βραχὺ εἰς βραχὺ καὶ γίνεται πεδίον· τὸ πε ψιλὸν διάτι; ἐκ τοῦ πέδον, ὃ σημαίνει τὴν γῆν.

Πέδον καὶ πεδίον διαφέρει· πέδον τάσσεται ἐπὶ οἰκήματος· πεδίον δὲ ἐπὶ ἀναπεπταμένου καὶ μακροῦ ἐπιμήκους τόπου· διάτι οὐ προπαροξύνεται ὡς ὑποκοριστικόν; τὰ γὰρ διὰ τοῦ ιον ὑποκοριστικὰ τριβράχεα προπαροξύνεται· τοῦτο δὲ οὐκ ἔστιν ὑποκοριστικόν. ὑποκοριστικὸν γάρ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν· διαφέρει δὲ πέδιον καὶ πεδίον· πέδιον λέγεται προπαροξυτόνως τὸ ὑποκοριστικὸν τῆς πέδης. ὁ μικρὸς δεσμός· πεδίον λέγεται ἡ γῆ· τὸ δὲ πεδίον μεῖζόν ἐστιν ἐν σημαινομένῳ τοῦ πέδου.

Πεδινὸς, τόπος ὁμαλὸς ἐκ τοῦ πέδου.

---

1) Il. XIV, 176.

Πεζῇ. ἡ πεζεύουσα, πέζη δὲ τὸ ἱμάτιον· αὐτικ' ἀνασχόμεναι λευκοῖς ἐπὶ γούνασι πέζας.

Πέζα. ὁ τοὺς παρὰ τὸ πέζω, πέζεσθαι· καὶ εἰς τὸ περιπέζια.

Πειθήνιος, ὁ πειθόμενος τοῖς ἡνίοις.

Πείθοντο καὶ πειθοίατο· εἰς τὸ Φρασαίατο.

Πείθω, τὸ καταπείθω, ὁ μέλλων πείσω, ἐξ οὗ καὶ ἀμετάπιστος, καὶ ἀπιθῶ καὶ ἐπιθον.

Πείθω, τὸ ἐλπίζω, ἐξ οὗ καὶ πίστις, ἀμφότερον διὰ τῆς ει διφθόγγου· πήθω τὸ πανθάνω, ἐξ οὗ καὶ πήσεσθαι· πιθῶ δὲ τὸ παραπείσαι· ἐξ οὗ καὶ τὸ ἀπεγράψατο πιθήσας· καὶ εἰς τὸ πήθω.

Πεῖνα, παρὰ τὸ πένω τὸ ἐνεργῶ· τὸ πει διφθόγγῳ διότι; τὰ διὰ τοῦ ινα θηλυκά, διὰ τοῦ ι γράφεται, πλὴν τοῦ πεῖνα.

Πειρατής, παρὰ τὸ πείρειν, ἀλεγεινά τε κύματα πείρων [1]· ἢ παρὰ τὴν πεῖραν, ὃ δηλοῖ τὴν ἔφοδον.

Πείνη καὶ πεῖνα ἐπὶ ἄρτου ὁ λιμός, ἀπὸ γὰρ τοῦ πεῖνα πείνη λέγουσιν οἱ Ἴωνες.

Πεῖρα πήρας διαφέρει· πεῖρα μέν ἐστιν ἡ ἐπιστήμη καὶ ἐμπειρία· πήρα δὲ τὸ ἰατρικὸν ἐγχειρίδιον καὶ δερμάτιον ἀρτοφόρον, ὃ ἐπὶ τῶν ὤμων φέρουσιν οἱ ποιμένες.

Πειραιεύς, διὰ διφθόγγου, ὄνομα κύριον καὶ Ἀττικῶς ὁ λιμήν· ἐκ τοῦ περῶ περαίω, περαιεύς, καὶ πλεονασμῷ τοῦ ἰῶτα Πειραιεύς· ἢ ἐκ τοῦ πεῖρα Πειραεὺς καὶ Πειραιεύς· πυραιεὺς ὁ μετὰ πυρὸς ἁλιεύων, διὰ τοῦ υ ψιλοῦ.

Πειρασμός, παρὰ τὸ πειράζω, ὃ σημαίνει τὸ καταλαμβάνω καὶ πολεμῶ.

Πειρήνη, ἐστι πηγὴ ἐν Κορίνθῳ, καὶ γράφεται διὰ διφθόγγου· παρὰ γὰρ τὸ πέρας γέγονεν ἄπερος, καὶ πλεονασμῷ τοῦ ι ἄπειρος, καὶ ἐκεῖθεν ἀπειρήνη, οἱονεὶ πολλή, καὶ κατ' ἀποβολὴν τοῦ α, πειρήνη· ἢ ἀπὸ Πειρῆνος τινὸς ὠνομάσθη· ὅπερ ἀπὸ τοῦ πέρας γέγονε περήν, καὶ πλεονασμῷ τοῦ ἰῶτα Πειρήν· ἢ ὅτι παρὰ τὸ πεῖρα γέγονε Πειρήνη· τὸ δὲ πεῖρα δέδεικται διὰ διφθόγγου.

Πειρατήριον, ἀπὸ τοῦ πεῖρα ὃ σημαίνει τὴν ἐμπειρίαν· τοῦτο παρὰ τὸ πείθω· ἢ παρὰ τὸ περῶ τὸ τελειῶ.

Πεῖσμα, τὸ σχοινίον, παρὰ τὸ πείθω· ἔστι τὸ πρυμνήσιον, ᾧ πείθεται ἡ ναῦς καὶ ἵσταται, ἃ καὶ ὑπείκειν τὴν ναῦν ποιοῦσι.

Πείρω, ῥῆμα βαρύτονον, καὶ σημαίνει διάφορα. ἔστι γὰρ πείρω τὸ σουβλίζω καὶ κεντῶ, ἐξ οὗ καὶ πεῖρος καὶ πεῖρα καὶ πειρία· πείρω τὸ τελειῶ, ἐξ οὗ καὶ πέρας τὸ τέλος· πείρω τὸ περῶ ἐξ οὗ καὶ πόρος καὶ πέραμα· πειρῶ δὲ περισπωμένως σημαίνει τὸ νικῶ· πειρῶ τὸ δοκιμάζω, ἐξ οὗ καὶ πεῖρα ἡ δοκιμή· πειρῶ τὸ μεθοδεύω, ἐξ οὗ καὶ πεῖρα ἡ τέχνη, πειρῶ τὸ γινώσκω, ἐξ οὗ καὶ πεῖρα ἡ γνῶσις· πειρῶ τὸ πειράζω, ἐξ οὗ καὶ πειρατής, ὁ ἐν θαλάσσῃ λῃστής, καὶ πειρασμός· πειρῶ τὸ διαφθείρω, ἐξ οὗ καὶ πεῖρα ἡ φθορά· πειρῶ τὸ σπουδάζω. ἐξ οὗ καὶ πεῖρα ἡ σπουδή· πειρῶ τὸ βούλομαι, ἐξ οὗ καὶ πεῖρα ἡ βουλή· καὶ πηρῶ τὸ ἐκτυφλῶ.

Πεζός, ὁ ἐκ ποδὸς μαχόμενος, πέζα γὰρ ὁ πούς, διὸ καὶ ἀργυρόπεζα.

Πείρασαι καὶ πείρησαι, παρὰ τὸ πειράζω, ἢ παρὰ τὸ πειρῶ πειρᾷς, ἐπείρασα, καὶ τὸ προστακτικὸν πείρασαι, καὶ τροπῇ τοῦ α εἰς η πείρησαι.

Πείρινθον, σημαίνει τὸ τετράγωνόν τι τιθέμενον ἐπάνω τῆς ἁμάξης· παρὰ τὸ παραθέειν γέγονε πέρινθος, καὶ πλεονασμῷ τοῦ ἰῶτα πείρινθος· καὶ σκεπτέον, ὅτι οὐ μόνον ἐπὶ τοῦ πειρίνθου, ἡ περὶ πρόθεσις ἐπλεόνασε τὸ ἰῶτα, ἐπεὶ καὶ ἐπὶ τοῦ πειρίθους.

Πειρῶ, τὸ ἀπόπειραν ποιοῦμαι· πείρω τὸ σουβλίζω, καὶ διαπερῶ τὸ κεντῶ καὶ τιτρώσκω· ἐξ οὗ καὶ περιέπιον.

Πελαργός, παρὰ τὸ πέλη ἀργός.

Πέλας, ποιμενικὰς σταφίδας, ἀμολγοὺς γάλακτος, ἢ φυάλαι· πέλας σημαίνει δύο, τὰ ἀγγεῖα καὶ τὸ πλησίον· σημαίνει δὲ καὶ ξύλινα ἀγγεῖα, παρὰ τὸ πεπελεκῆσθαι.

Πελάζειν, πλησιάζειν.

Πελαστής καὶ πενεστής διαφέρει· πελαστὴς μέν ἐστι πρόσφυξ, καὶ εἰς τὸ ἀπειλῶ, πενεστὴς δὲ παρὰ Θεσσαλοῖς, ὁ πραθεὶς ἄλλοις· ἢ κατὰ πόλεμον δωρηθείς.

Πέλεια, πελιάδες.

Πέλεια καὶ κίρκος εἰσὶ γένη ἱεράκων, ὡς φησὶ Καλλίμαχος ἐν τοῖς περὶ ὀρνέων. πέλειαν δὲ ἄλλοι φασὶ περιστερᾶς εἶδος, οἷον φάσσαν· ἐτυμολογεῖται παρὰ τὸ πέλαν ὃ σημαίνει τὸ μέλας· πέλειαι περιστεραὶ λέγονται καὶ μαντεῖαι.

Πελίωμα, τὸ μελανὸν χρῶμα.

Πελεκᾶν, παρὰ τὸ πέλειν ὠκύς· τοῦτο παρὰ τὸ πέλω τὸ ὑπάρχω καὶ τὸ ὠκύς, γίνεται πελωκύς, καὶ ἐκ τούτου πέλεκυς, καὶ ἐξ αὐτοῦ πελεκῶ πελεκᾶν, ὡς Ἀλκμᾶν Ἀλκμᾶνος· κλίνεται πελεκᾶς πελεκάντος, ὡς ἀνδριὰς ἀνδριάντος.

Πέλαγος, τὸ μὴ πέλας τῆς γῆς ὄν.

Πέλαγος, παρὰ τὸ πέλω τὸ ὑπάρχω, καὶ τὸ ἄγος, τὸ σημαῖνον τὴν ἔκπληξιν· τὸ ἔχον ἔκπληξιν, καὶ τὸ ἄπειρον βάθος τοῦ ὕδατος.

Πελέκει, ἡ εὐθεῖα πέλεκυς· καὶ γίνεται παρὰ τὸ πέλειν ὠκύς.

Πέλωρα, ὄνομα οὐδέτερον, τὸ ἀρσενικὸν ὁ πέλωρ, τὸ σημαῖνον τὸ ἐξαίσιον καὶ φοβερόν. καὶ γίνεται παρὰ τὸ πέλω τὸ ὑπάρχω, καὶ τὸ ὥρα ἡ φροντίς· καὶ ἐτυμολογεῖται διὰ τὸ μέγεθος οὕτως· παράγεται δὲ παρὰ τὸ προσπελάζειν τῷ Ὠρίωνι, ὡς λέγει ὁ ποιητὴς ἐν τῷ Χ, ὅτε οἶδεν ὁ Πρίαμος τὸν Ἀχιλλέα, ὥστ' ἀστέρ' ἐπεσσύμενον πεδίοιο, ὅς ῥά τ' ὀπώρης εἶσιν· ἀρίζηλοι δὲ οἱ αὐγαὶ φαίνονται πολλοῖσι μετ' ἄστρασι νυκτὸς ἀμολγῷ, ὄντε κύν' Ὠρίωνος ἐπίκλησιν [2]· λοιπὸν πέλωρ πέλωρος, καὶ τὸ οὐδέτερον πέλωρον.

Πελώριος, ὁ μέγας· τὸ ρι ἰῶτα· τὰ ἀπὸ τῶν εἰς ωρ, εἰ μὲν τρέπει τὸ ω, διὰ τῆς ει διφθόγγου γράφεται· τὰ διὰ τοῦ ειος κτητικά Νέστωρ, Νέστορος Νεστόρειος, Νέστορ εἰ παρὰ νηΐ· εἰ δὲ φυλάσσει τὸ ω διὰ τοῦ ἰῶτα, πέλωρ πέλωρος πελώριος· ἕλωρ ἕλωρος ἑλώριος.

Πελωρίς, παρὰ τὸ πέλωρον, μεῖζον γάρ ἐστι τῆς χείμης καὶ τῶν ἄλλων ὁμοίων ὁ στρέφων· οὕτως Ἡρωδιανὸς ἐν τῷ συμποσίῳ.

Πέμματα, πλακούντια.

Πέμπελος, ἡ γραῦς, παρὰ τὸ εἶναι πλήσιον θανάτου· ἢ παρὰ τὸ πέμπεσθαι εἰς Ἅδην.

---

1) Il. XXIV, 8. 2) vs. 26 sq. Il. XXII.

Πεντηκοστὸς, τὸ τη, ἦτα διάτι; ἐκ τοῦ πεντήκοντα· τὰ εἰς κοντα λήγοντα ἀριθμητικὰ, ἢ τῷ α παραλήγεται, οἷον τριάκοντα, ἢ τῷ ἦτα οἷον πεντήκοντα.

Πένης πένητος· ἡ δὲ εὐθεῖα ἐστὶν ἀπὸ τοῦ πονῶ πόνης καὶ πένης τοῦ ο εἰς ε τραπέντος, κατὰ Δωρικὴν διάλεκτον.

Πένης, ὁ διὰ τὸ πονεῖν καὶ ἐργάζεσθαι πορίζομενος τὸν βίον· ἢ ὁ πονῶν καὶ ἐνεργῶν διὰ τὴν ζωὴν, ἢ διὰ τὸν πόνον τὸν πρόσσοντα τὴν γονήν.

Πένης καὶ πτωχὸς διαφέρει· πένης μὲν γὰρ ὁ ἀπὸ τοῦ πονεῖν καὶ ἐργάζεσθαι πορίζόμενος τὸν βίον· πτωχὸς δὲ ὁ ἐπαίτης, ἢ ὁ ἐκ πλούτου πεσὼν, ἢ τοῦ ἔχειν ἐκπεπτωκός· ἢ ἀπὸ τοῦ πτώσσειν.

Πένης καὶ πτωχὸς διαφέρει· πένης μὲν γὰρ ὁ διὰ τῶν χειρῶν πονῶν καὶ πορίζων τὴν τροφήν· πένεσθαι γὰρ τὸ ἐνεργεῖν, ὡς Ὅμηρος, οἱ μὲν πενέονται· πτωχὸς δὲ ὁ δι᾽ ἐνδείαν τροφῶν [1]) προσαιτῶν, ὡς Ὅμηρος· ἀλλ᾽ ἐπειδὴ οὖν ἔργα κακ᾽ ἔμαθες, οὐκ ἐθελήσεις ἔργων ἐπισχέσθαι, ἀλλὰ τὴν σὴν κατὰ δῆμον βούλει ἀτίζων βόσκειν γαστέρα ἄναλτον.

Πένθερος, πένθος καὶ ἔρως, ἢ δι᾽ ἔρωτα πένθερος εὕρων· ἢ ὅτι τὸ πένθος αἴρων· ἢ ὅτι τὸν παῖδα ἐρῶν.

Πένθος, παρὰ τὸ βένθος· ἀπὸ βάθους γὰρ τῆς ψυχῆς ἐξέρχεται.

Πέντε, παρὰ τὸ ἓν καὶ πάντα αὐτὸν εἶναι. λέγεται δὲ καὶ ἡ δίκη παρὰ τοῖς Πυθαγορίοις, καὶ τὸ κρέμις μέσον τῆς μονάδος, καὶ ἐφ᾽ ἑκατέρων μερῶν τῶν δυάδων.

Πεντήκοντα, ἐκ τοῦ πέντε.

Πεντὰς, οἱονεὶ ἓν καὶ πᾶς· ὁ γὰρ πέντε ἀριθμὸς, ἀπὸ τῆς μονάδος σύγκειται καὶ τῆς τετράδος· ἡ δὲ τετρὰς πᾶς λέγεται· ἢ ἐπειδὴ τὰ στοιχεῖα ἐξ ὧν πάντα τὰ σώματα σύγκειντα· ἢ ἐπειδὴ ὁ τέταρτος ἀριθμὸς μετὰ τῶν προς συντιθεμένων τοῦ τρίτου δευτέρου, πρώτου, τὴν δεκάδα ἀποτελεῖ· ὁ δὲ δέκατος ἀριθμὸς πάντα ἐστὶ δεκτικὸς, διὸ καὶ δεκὰς λέγεται, οἱονεὶ δεκάς τις ὤν.

Πεπάλακτο, συνετέτραυστο· παρὰ τὸ παλάσσω τὸ βρέχω τὸν νοῦν.

Πέπειρος, ὁ ὡριμός.

Πεπήσμεθα, εἰς τὸ πέποσθε.

Πεπίθοιμεν, ἐπείσθημεν, εὐκτικὸν δευτέρου ἀορίστου, τὸ θέμα πείθω, ὁ ἀόριστος β ἔπαθον, καὶ Ἀττικῷ ἀναδιπλασιασμῷ ἐπέπιθον, ἐξ οὗ καὶ τὸ, σπουδῇ παρπεπιθόντες [2])· καὶ τὸ ἀπαρέμφατον· ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο [3]).

Πεπιλημένος, συνεσφιγμένος· ἀπὸ μεταφορᾶς τοῦ πίλου, ὅπερ ἐν τῇ ἐργασίᾳ ἀπὸ τῶν τεχνίτων κατασφίγγεται.

Πειόλης, ὁ πόρνος διὰ διφθόγγου, τὸν διὰ τὸ πεὸς ἀπολλύμενον· παρὰ γὰρ τὸ πεὸς καὶ τὸ ὀλῶ γέγονε πεόλης καὶ πλεονασμῷ τοῦ ἰῶτα πειόλης.

Πείκω καὶ πέκω τὸ ξαίνω καὶ διαλύω· ἐκ τοῦ οὖν πείκω κατὰ διάλυσιν πείκω καὶ πέκω, ἐξ οὗ καὶ πικραίνω, καὶ πικρία, καὶ πικρόν· πικρία δὲ εἴρηται, παρὰ τὸ πείκειν ἤγουν διαλύειν, καὶ διαχεῖν τὴν καρδίαν, ἀπὸ τοῦ ἐνήδονον εἶναι εἰς ἀνήδονον. σημαίνει δὲ ἡ πικρία καὶ τὴν ἔριν καὶ φιλονεικίαν, ἐξ οὗ καὶ τὸ παρεπίκρανον· σημαίνει πικρία καὶ τὴν θηριωδίαν.

Πελειὰς, ἡ περιστερὰ, ἀπὸ τοῦ εἶναι αὐτὴν λευκὴν, καὶ κατ᾽ ἀντίφρασιν λέγεται μελανὸν τὸ πελιδνόν.

Πελματίσατε, ἤγουν ξέσατε τὰ ὑποκάτω τῶν ποδῶν αὐτοῦ· ἔστι πέλμα, καὶ σημαίνει τὸ ὑποκάτω τῶν ποδῶν μέρος, ἐκ τούτου πελματίζω, ὁ μέλλων πελματίσω.

Πεπληγὼς, πλήξας· πλήσσω, πλήξω ἔπληξα, ὁ β ἀόριστος ἔπλαγον· ἐπὶ τοῦ ψυχικοῦ πάθους διὰ τοῦ α, ἐπὶ δὲ τοῦ σωματικοῦ διὰ τοῦ ἦτα· ὁ δὲ ποιητὴς εἰπὼν, κατεπλήγη, ἵνα μὴ νομίσωμεν, ὅτι ἐπὶ τοῦ σωματικοῦ λέγει, εἶπε φίλον ἦτορ· ἤγουν τὴν ψυχὴν, διὰ τὸ μέτρον.

Πέπλος, καὶ μετὰ τοῦ τανύω, τανύπεπλος· πέπλος γίνεται ἐκ τοῦ πρέπω ῥήματος, πρέπαλος, καὶ ἀποβολῇ τοῦ ρ, πέπαλος, καὶ συγκοπῇ πέπλος· διαφέρει πέπλος καὶ χιτών; χιτὼν λέγεται τὸ ἁπλοῦν καὶ λινοῦν περιβόλαιον· πέπλος δὲ τὸ ποικίλον καὶ γυναίκιον ἱμάτιον, παρὰ τὸ πέπελον, ὥσπερ εἰς τὸν φοροῦντα περιπελόμενον· καὶ εἰς τὸ χιτών.

Πέπονες, μαλακοὶ, εὔκολοι, ἀσθενεῖς, ἔκλυτοι, ἀπὸ μεταφορᾶς τῶν πεπόνων, ἢ πεπείρων καρπῶν καὶ σεσημμένων, ἃ τῇ μὲν γεύσει ἐστὶν ἡδέα, καὶ τῇ ἀφῇ μαλακὰ καὶ εὐένδοτα· καὶ σημαίνει δύο, τοὺς γενναίους καὶ τοὺς γερόντας· καὶ ὅταν σημαίνει τοὺς γενναίους, γίνεται ἐκ τοῦ φόνος· φόνους γὰρ ἔλεγον οἱ Δωριεῖς τοὺς ἐπονειδίστους, ἤγουν τοὺς ἄξια φόνου δεδρακότας· καὶ παρὰ Φρυγικῷ ἔθει καὶ κατ᾽ ἀναδιπλασιασμὸν πέφονες, καὶ τροπῇ πέπονες· συστέλλει δὲ τὰ κοινὰ τῷ γένει· τοὺς δὲ γέροντας ὡς ἐκλύτους, ἢ μεταφορὰ ἀπὸ τῶν πεπόνων.

Πέπονθα, ζητεῖται, ποῖος ἄρα ὁ ἐνεστώς; καὶ λέγομεν, ὅτι ἀπὸ τοῦ πεινῶ ῥήματος κατὰ ἀναλογίαν πέπονα ὁ μέσος παρακείμενος, καὶ πλεονασμῷ τοῦ θ πέπονθα· εἰ δέ τις εἴπῃ, διάτι μὴ ἄλλο σύμφωνον ἐπλεόνασε, οἷον γ, ἢ κ, ἢ ἄλλό τι; εἴπομεν, ὡς φίλον τῷ μέσῳ παρακειμένῳ συνάπτεσθαι τὸ θ, ὡς τὸ πέπονθα καὶ τὰ ὅμοια· κανονίζεται δὲ οὕτω, πονῶ πονήσω, πεπόνηκα, ὁ μέσος παρακείμενος πέπονα, ἐνδεῖ γὰρ μίαν συλλαβὴν ἀπὸ τῶν περισπωμένων, οἷον βεβόηκα, βέβοα, καὶ ἐπενθέσει τοῦ θ πρὸ τοῦ α πέπονθα. ἢ πένω τὸ ἐνεργῶ, ἐξ οὗ καὶ πένης, ὁ μέλλων πενῶ, ὁ μέσος παρακείμενος πέπονκα, καὶ τροπῇ τοῦ κ εἰς θ πέπονθα· ἢ παρὰ τὸ πήθω τὸ πάσχω, ὁ μέσος παρακείμενος πέπηθα, καὶ τροπῇ τοῦ η εἰς ο, καὶ πλεονασμῷ τοῦ ν, πέπονθα.

Πέποσθε, ὁ μὲν Ἡρωδιανὸς λέγει, ὅτι ἀπὸ τοῦ πήθω τὸ πανθάνω, ὁ μέλλων πήσω, ὁ παρακείμενος πέπηκα, ὁ παθητικὸς πέπησμαι, πέπησαι, πέπησθαι, τὸ πληθυντικὸν πεπήσμεθα, πέπησθε καὶ τροπῇ τοῦ ἦτα εἰς ο· ἢ ἀπὸ τοῦ πονῶ πονήσω, πεπόνηκα, πεπόνημαι, πεπόνησθε, καὶ συγκοπῇ τῆς νη συλλαβῆς, πέποσθε, ἀντὶ τοῦ πεπόνθατε.

Πεποτήαται, πετῶνται, παρὰ τὸ ποτῶ ποτήσω πεπότηκα, πεπότημαι· καὶ τὸ Ἰωνικὸν πεποτήαται.

Πέπρακα, ἀπὸ τοῦ περῶ περάσω, πεπάρακα, καὶ συγκοπῇ πέπρακα.

Πεπρωμένην εἱμαρμένην, διὰ τὸ περατῶσθαι πάντα, καὶ μηδὲν ἐν τοῖς οὖσιν ἄπειρον εἶναι· ἢ πεπερασμένην καὶ συντετελεσμένην διοίκησιν· ἢ περὰ τοῦ βίου ἐπιζητοῦσα.

---

1) Emend. ex Od. XVII, 226 sq. 2) Od. XXIV, 119. 3) Il. IX, 184.

Πεπρωμένον, ἀπὸ μετοχῆς μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν, ὥσπερ καὶ τὸ εἱμαρμένον· ἡ δὲ μετοχὴ πεπερατωμένον γίνεται παρὰ τὸ περατώσω· τοῦτο ἐκ τοῦ πέρας, πέρατος· τί δὲ σημαίνει τὸ πεπρωμένον; τὸ προωρισμένον καὶ εἱμαρμένον· εἱμαρμένη δέ ἐστι παρ' Ἕλλησιν ἡ λεγομένη παρ' ἡμῖν πρόνοια· τὴν δὲ αὐτὴν εἱμαρμένην ἔλεγον καὶ ἀδράστειαν, διὰ τὸ μὴ ἀποδιδράσκειν ἅπαντα τὰ προωρισθέντα.

Πελίωμα, τὸ μελανὸν χρῶμα, καὶ γὰρ πέλην λέγομεν βοῦν, τὸ τοιοῦτον χρῶμα ἔχοντα· καὶ Πέλλη πόλις Μακεδονίας, ὅτι βοῦς αὐτὴν εὗρε· πέλλη τὸ χρῶμα, καὶ ὁ πελίας ἄνθρωπος.

Πεποιθὼς, τὰ γὰρ ἀπὸ τῶν εἰς ος συνθέτων, διὰ τοῦ ια παραγόμενα, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τοῦ ἰῶτα γράφεται, οἷον, ἄτεχνος ἀτεχνία, ῥάθυμος ῥαθυμία, ὑπερήφανος ὑπερηφανία, εὔκαιρος εὐκαιρία· πρόσκειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ εὔερος εὐέρεια, σημαίνει δὲ τὴν καλὸν ἔριον ἔχουσαν, καὶ βοηθὸς βοήθεια, καὶ τοῦτο γὰρ σύνθετον, παρὰ τὸ βοὴ καὶ τὸ θοὸς, οἱονεὶ ὁ κατὰ τὴν βοὴν ταχύς· ἡ γὰρ βοήθεια τοῖς βοῶσι ταχὺς θέλει γνωρίζεσθαι· καὶ ἐκ τούτου βοήθεια.

Περίπαθος, ἡ περὶ σχέσιν κυκλοτερῆ δηλοῖ· ὥστε περιέχεσθαι κάμπτειν, οὕτω καὶ περίπατος· πάτος γὰρ τὸ πατούμενον· ἐξ οὗ καὶ τὸ κατὰ κυκλοτέρειαν περίπατος λέγεται.

Πέρδιξ, παρότι περισσῶς ᾄδει· ἐν τῷ γὰρ ἀπόλλειν τὰ ἴδια τέκνα ᾄδει· καὶ ταῦτα συνάγει· Ῥωμαϊστὶ γὰρ πέρδειν τὸ ἀπόλλειν λέγεται, καὶ τὸ ᾄδειν τὸ δίκειν [1]), λέγειν.

Πεπτωκὼς, μετοχή· ἔστι πετῶ, πετεῖς πετεῖ, πετήσω, πεπέτηκα, καὶ κατὰ συγκοπὴν πέπτηκα, καὶ τροπῇ τοῦ η εἰς ω πέπτωκα. ἢ παρὰ τὸ πεδῶ πεδήσω πεπέδηκα, καὶ κατὰ τροπὴν τοῦ δ εἰς τ, καὶ τοῦ η εἰς ω, πέπτωκα· ὁ γὰρ πίπτων εἰς γῆν πεδεῖται.

Πεπαροινικὼς, ἀτάκτως ὑβρίσας.

Πεπύσμεθα, ἀκηκόαμεν.

Πέπομφα, ἔπεμψα.

Πέρα, πλέον, ὑπερβολικῶς, ὅτε παροξύνεται· περᾶ δὲ ὅτε διαβαίνει, περισπᾶται.

Περαίνω, παρὰ τὸ περαίω, καὶ πλεονασμῷ τοῦ ν, περαίνω· ἐξ οὗ καὶ νέον περαίνεις· καὶ εἰς τὸ πταίω.

Περάνας, πληρώσας, τὸ θέμα περαίνω περανῶ, ἐπέρανα, καὶ ἡ μετοχὴ περάνας· τὸ δὲ περαίνω παρὰ τὸ πέρας· τοῦτο παρὰ τὸ πείρω, ἐξ οὗ καὶ πόρος.

Πέρθαι, πορθῆναι, ἀπὸ τοῦ πέρθω πέρσω, ὡς νήθω νήσω, ἔπειτα πέπερκα, πέπερμαι, ὡς νένησμαι. καὶ τὸ ἀπαρέμφατον πεπέρθαι, καὶ ἀποβολῇ τοῦ διπλασιασμοῦ πέρθαι, ὡς βέβλητο, βλῆτο δὲ μηρῷ· εἰ δέ τις εἴπῃ, διάτι μὴ καὶ τὸ σ, ἔχῃ ὡς τὸ νένησθαι; λέγομεν ὅτι πρῶτον μὲν διὰ τὴν κακοφωνίαν τὸ σ ἀπέβαλεν· ἄλλως τε καὶ ἐνομίσθη εἶναι τῆς πέμπτης συζυγίας, ὡς ἔχων τὸ ρ, αὐτὴ γὰρ οὐ προσλαμβάνει τὸ σ, ἐν βαρυτόνοις, κέκαρμαι τέτιλμαι, κέκαρται τέτιλται· νῦν δέ με χαλεπῷ θανάτῳ ἡ μαντο ἕμαυει [2]).

Περάτη, τὸ πλησίον τοῦ ὠκεανοῦ.

Περιεκτικὸν, γενικὸν, πάντα περιλαμβάνον ἢ κατέχον.

Περινοστεῖ, περιοδεύει, περιέρχεται.

Περίοπον, μέγα, ὑψηλόν.

Περιαυτίζεται, περὶ αὐτοῦ μέγα φρονεῖ, ἢ ἐν τῇ αὐτοῦ λέξει διατρίβειν.

Περιεπτυσμένον, περιεξεσμένον, περικεκαθαρμένον.

Περιφρὺς, περιπλακείς.

Περιέπων, περιφυλάττων.

Περιφορὰ, κίνησις, μεταβολή.

Περιορισθῆναι, περιληφθῆναι, ἐξορισθῆναι.

Περιόπη, ἀκρωρία, τόπος ὑψηλός.

Περιτευξόμεθα, περιτύχομεν.

Περισκέλη, φημινὰ, βρακία.

Περκάζει, πεπαίνει, μελαίνεται.

Πέρισυ, ἐπὶ τοῦ παρελθόντος.

Περιπέτεια, προπέτεια, σύμπτωμα, σύμβασις.

Περιαγνύμενος, περιτριβόμενος, περικλώμενος, ἀπὸ τοῦ ἄγνυμι ὅπερ ἔσχε τὴν γένεσιν, ἀπὸ τοῦ ἄγω, ὃ σημαίνει τὸ κλάνω· πλεονασμῷ τοῦ ν ἀγνῶ, ἐκ τούτου οὖν ἀγνύω, καὶ κατὰ παραγωγὴν ἄγνυμι.

Περιδέξιον, ἀντὶ τοῦ πολλὰ δεξιὸν καὶ ἄριστον.

Περιούσιος, ἢ ἀπὸ τοῦ περισσῶς εἴρηται, ἢ ἀπὸ τοῦ πλεονάζειν ταῖς ἀρεταῖς, καὶ περιουσίαν ἔχειν πλεονεκτημάτων, καὶ πλῆθος ἀγαθῶν ἔργων.

Περιδείλην ὥραν, παρὰ τὸ ἐνδεῖ, κατὰ τὴν εἵλην, ὃ σημαίνει τὴν θερμασίαν.

Περιπέζια, τὰ πρὸς τὴν γῆν προσπελάζοντα· πέζα γὰρ οὐ μόνον ὁ πούς, ἀλλὰ καὶ ἡ γῆ, παρὰ τὸ ἕζω, τοῦτο παρὰ τὸ ἕω, ὃ σημαίνει τὸ καθέζομαι· τὸ γὰρ ἔδω οὐ μόνον τὸ ἐσθίω σημαίνει, ἀλλὰ καὶ τὸ καθέζομαι.

Περιπολεῖν, περιέχεσθαι, κυκλεύειν.

Περισκοπὼς, ἄνωθεν σκέπων.

Περισσὼς, παρὰ τὴν περὶ πρόθεσιν, καὶ τὸ σεύω τὸ ὁρμῶ.

Περιστερὰ, ἢ διὰ τὸ πέτεσθαι στεῤῥῶς, ἢ διὰ τὸ πέτεσθαι ῥᾷον· ἢ διὰ τὸ περιστατικὸν τοῦ ἐρᾶσθαι· ἢ αἴρεσθαι τὰ νοσσία ἑαυτῆς.

Περιεχέθη, τὸ θέμα χεύω, χεύσω, ὁ παθητικὸς ἀόριστος ἐχέθην· ἐξῆλθε δὲ τὸ υ, διὰ τὴν κακοφωνίαν· ἔστι δὲ ὁ ἐνεργητικὸς ἀόριστος ἔχευα καὶ ἔχεα, ὅθεν καὶ ἐπιχέατε.

Περιοχὴ, περιπέτεια, καὶ ὑπόθεσις, ἢ συνοχὴ, ἢ θλίψις.

Περίψημα, καταπάτημα, ὑπὸ τὰ ἴχνη τῶν ποδῶν.

Περιφερὲς, στρογγύλον.

Περίπατος, διακίνητον, ἢ αὐτὸ τὸ βάδισμα.

Περίπυστον, ἐξάκουστον, διαβόητον.

Περισκηπτεύσαντες, παρατάξαντες.

Περίβλεπτος, ἔξοχος, μέγιστος.

Περιουσιασμὸς, ἐκ τοῦ περιουσιάζω, τοῦτο ἐκ τοῦ περιουσία, τοῦτο παρὰ τὸ ἴσος, ἰσία, τοῦ ἰῶτα τραπέντος συνηθῶς εἰς υ, καὶ πλεονασμῷ τοῦ ο.

Περκνὸν, μέλαν, ἔνθεν περκάζειν λέγεται, ἢ μελαινομένη συλλ' [3]).

Πέρπερος, ὁ φλυαρὸς, ἀπὸ τοῦ περιφέρω γίνεται περίφερος, καὶ τροπῇ τοῦ φ εἰς π, πέρπερος, ἢ ὁ τοῖς λόγοις περιφερόμενος, ἀπὸ τοῦ τοῖς λόγοις περιφέρεσθαι.

Περσεφόνη, κύριον ὄνομα, παρὰ τὸ τοὺς ἀποθνήσκοντας πρὸς αὐτὴν φέρεσθαι, ἤτοι τοὺς φονευθέντας· καὶ ἄλλως· περσεὺς καλεῖται ὁ ἥλιος, καὶ ἐξ αὐτοῦ

---

1) δίκειν i. e. dicere. 2) Sine dubio ex Il. XXI, 281. 3) (Sic.) cf. Etym. M. [illegible]

περσεφόνεια, ἡ ἀνάδοσις τοῦ σίτου, ἡ ἀπὸ τοῦ ἡλίου γινομένη.

Περισσῶς, ἐπίῤῥημα μεσότητος, ἐκ τῆς περὶ προθέσεως, καὶ τοῦ σεύω τὸ ὁρμῶ.

Περγάμου, ἄκρης τῆς ἀκροπόλεως τῆς Ἰλίου, ἡ ἐκαλεῖτο Πέργαμος.

Πέκος [1]), τὸ δέρμα, κατὰ περισσότητα τοῦ σ, παρὰ γὰρ τὸ πείκω πεῖκος· ἔστι καὶ πέκος.

Πεστωρ, σημαίνει τὸν συρφετόν. ἤγουν τὸν ἐσφαλμένον· ἔστι πέτω καὶ σημαίνει τὸ πίπτω.

Πέρσης, ἐθνικὸν, στέρησις, ἐστηρήθη γὰρ τῆς Φοινικ . . μητέρος τῇ ἑαυτοῦ κινήσει· ἐτέχθη ἐκ τῆς παρὰ φύσιν φύσεως· στερήσεως γὰρ τοῦ ἐρωμένου Λὼτ, τῷ πλήθει τοῦ οἴνου, ἐπιβουλῇ τῶν θυγατέρων αὐτοῦ, πρὸς αὐτὸν συγγινομένων, ἐγένετο Πέρσης, στέρησις.

Περσία, χώρα ὠνόμασται, ἀπὸ Πέρσεως βασιλεύσαντος ἐν αὐτῇ.

Πεσσόντων, σημαίνει δὲ τῶν ἀναιρεθέντων καὶ φονευθέντων· μετοχὴ ἀορίστου δευτέρου, τὸ ῥῆμα πεύω· γίνεται δὲ παρὰ τὸ πέδον, ὃ σημαίνει τὴν γῆν· κυρίως γὰρ τὸ πεσεῖν ἐστι τὸ ἀπὸ ὕψους εἰς γῆν κατενεχθῆναι.

Πεσσέμεν, σημαίνει τὸ χωνεῦσαι· ἐξ αὐτοῦ τὸ καταπέψει, ἀντὶ τοῦ χωνεύσει, κατάσχει, καταδαπανήσει, τουτέστιν ἐγκρατὴς γίνεται τῆς ὁρμῆς· ἔστι δὲ ἀπαρέμφατον τὸ πεσσέμεν ἐνεργητικόν· οἱ Δωριεῖς τὰ εἰς ειν ἀπαρέμφατα, διὰ τοῦ εμεν προσφέρουσι· ἔστι ῥῆμα πέσσω· ὁ κανὼν, οἱ Αἰολεῖς βαρύτονοι ὄντες τὸ πτ εἰς δύο σσ μετατιθέασι, τὸ γὰρ νίπτω νίσσω λέγουσιν, καὶ τὸ ὄπτω ὄσσω· οὕτω καὶ τοῦτο εἴρηται μεταφορικῶς ἀπὸ τοῦ ἐν γαστρὶ πλείονα χρόνον κατεχομένων σιτίων· καὶ γὰρ αὐτοῦ ἂν μὴ κρατηθῇ τὸν ὡρισμένον καιρὸν ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, οὐ πέττεται. εἰσὶ δὲ τοῦ θρεπτικοῦ δυνάμεις τέσσαρες, ἑλκυστική, καθεκτική, ἀλλοιωτικὴ καὶ κριτική· ἑλκυστική ἐστιν, ὅτε ἐπιθυμεῖ τις τοῦ φαγεῖν· καθεκτικὴ ἡ κατέχουσα τὴν τροφὴν, καὶ μὴ ἐαυτὴν ἐῶσα ἐκριθῆναι· ἀλλοιωτικὴ ἡ ἀλλοιοῦσα τὴν τροφὴν εἰς τοὺς χυμούς· ἀποκριτικὴ ἡ τὸ περίττωμα διὰ τοῦ ἀφεδρῶνος ἐκκρίνουσα καὶ ἐκβάλλουσα.

Πετάλοις, τοῖς φύλλοις, παρὰ τὸ πέτω τὸ πίπτω, πίπτουσι γάρ.

Πέταυρον, παγὶς, ἢ βάρος.

Πετεηνῶν, ὄνομα γενικῆς τῶν πληθυντικῶν· τὸ πετεηνὸν γάρ ἐστιν ἡ εὐθεῖα, ἐκ τοῦ πετῶ πετήσω, πετηνὸς καὶ πλεονασμῷ τοῦ ε ποιητικῶς, ἐξ οὗ ἔχει τὸ ἦτα· πάντοτε δὲ ὁ ποιητὴς διὰ τοῦ ε καὶ η προσφέρει· ἔστι γὰρ καὶ τοῦτο γενικόν.

Πετεινὸν, παρότι πετᾶται τεινόμενον.

Πέτονται, τὸ θέμα πέτω, ὁ παθητικὸς ἐνεστὼς πέτομαι, τὸ τρίτον τῶν πληθυντικῶν πέτονται. ἐκ τούτου γίνεται πετ καὶ σημαίνει τὸ ὕψος· ἐκ τούτου πετῶ πετᾷς, καὶ τροπῇ τοῦ ε εἰς ο ποτῶ, ὁ παθητικὸς ἐνεστὼς ποτῶμαι, καὶ ὁ παρατατικὸς ἐποτώμην, καὶ τὸ τρίτον ἐποτᾶτο, καὶ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα.

Πέτρα, διὰ τὸ πέτεσθαι ῥᾳδίως, κατ' ἀντίφρασιν.

Πεττεύειν, μεταφέρειν, ἀπὸ τῶν πέττων, τουτέστι τῶν κύκλων· πεττεύειν δὲ καὶ ταυλίζειν· γίνεται ἀπὸ τοῦ πέττος, πεττεύω καὶ πέττεια. τὸ δὲ πέττος ἀπὸ τοῦ πέττω, ὃ σημαίνει τὸ καταπίπτω, ὁ μέλλων πέσσω, πεσσὸς, καὶ τροπῇ πεττος· καὶ συντάσσεται μετὰ πτώσεως γενικῆς καὶ αἰτιατικῆς.

Πευκαλίμη, ἡ φρόνησις· πευκαλίμῃσι.

Πεύσομαι, ἐπερωτήσω, μάθω.

Πεύθω, τὸ ἀκούω, εἰς τὸ ἔκπυστα.

Πευκαλίμας φρένας, τὰς συνετὰς, παρὰ τὰς πεύκας, παρὰ τὸ δριμείας αὐτὰς εἶναι, καὶ συνετὰς, οἱονεὶ δριμεῖαι καὶ σώφρονες.

Πέφαμμαι, δύο μμ· πᾶσα συλλαβὴ εἰς ν λήγουσα, ἐὰν συντεθῇ μεθ' ἑτέρας συλλαβῆς· πέφακα πέφαμμαι, ὁ ἐνεστὼς φαίνω, ὃ σημαίνει τὸ φονεύω, καὶ φανεροποιῶ, καὶ τροπῇ Ἰωνικῇ ἔφηνα.

Πέφνη καὶ κατέπεφνη. ῥῆμά ἐστιν ἀορίστου δευτέρου, τὸ ῥῆμα φένω, γίνεται ἐκ τοῦ φῶ, τὸ φονεύω, φένω, ἐξ οὗ καὶ φόνος, ὁ μέλλων φενῶ, ὁ β ἀόριστος ἔφενον, καὶ μετὰ τῆς ἐπὶ προθέσεως καὶ συγκοπῇ ἔπεφνον, καὶ ἡ μετοχὴ ὁ πέφνων, βαρύνεται· αἱ εἰς ων λήγουσαι μετοχαὶ, ἔχουσαι πρὸ τοῦ ἀμεταβόλου σύμφωνον, κατ' ἐπιπλοκὴν, οὐδέποτε ὀξύνονται, οἷον, κάμνων, δάκνων, τέμνων· τούτοις συνεξηκολούθησε τὸ πέφνων καὶ συνεβαρύνθη· χερείονά περ καταπέφνων [2]).

Πέφυγμένος, εἰς τὸ ἐτύχθη.

Πεφυκὼς, ἐκ τοῦ φῦμι τὸ ὑπάρχω· φύω παράγωγον, ὁ μέλλων φύσω, ὁ παρακείμενος πέφυκα, ἡ μετοχὴ πεφυκὼς, τὸ θηλυκὸν πεφυκυῖα.

Πεφηνὸς, τὸ δὴ λεγόμενον· παρακείμενος μετοχῆς τῶν εἰς μι.

Πεφόραται, τιθέαται, κατείληπται· φοράσαι γὰρ τὸ θεάσασθαι.

Πεφοινιγμένην, ἠπατωμένην, πεπηρωμένην, ἐκ τοῦ φόνος· ἢ ἐκ τοῦ φοινικὸς ἤγουν πυῤῥός.

Πεφαινακισμὸς, ἐξηπατισμός.

Πεφρικὼς, φρίττων, πεφοβημένος.

Πεφυραμένος, ὁ μεμιγμένος.

Πεφραγμένην, τὰ εἰς τὴν χεῖραν λεπτυνόμενα νέου σίτου ἢ κριθῆς.

Πῆ, ἐπίῤῥημα πευστικὸν ἀντὶ τοῦ ποῦ, ἢ πότε· οἷον, μὴ μὲν σύνδεσμος αἰτιολογικὸς, πῇ δὲ σύνδεσμος ἐναντιωματικός· οἱ γὰρ Δωριεῖς, διὰ τοῦ α, ἀντὶ τοῦ ποῦ ἢ πότε.

Πῆ, ἐπίῤῥημα ἐρωτήσεως, ἀντὶ τοῦ ποῦ· καί ἐστιν ἀόριστον· ὅτε δὲ ἐρωτήσεως περισπᾶται· τί διαφέρει τὸ πῇ τοῦ ποῦ καὶ ποί; διαφέρει· ὅτι τὸ μὲν πῇ, τὴν εἰς τόπον σχέσιν σημαίνει· ὡς Ὅμηρος· πῇ ἔβη Ἀνδρομάχη· τὸ δὲ ποῦ τὴν ἐν τόπῳ· ποῦ νῦν δεῦρο κίων λίπες Ἕκτορα, ὅθεν οὐ δεῖν λέγειν ποῦ ἀπέρχῃ, ἀλλὰ πῇ, προσγραφομένου τοῦ ἰῶτα· καὶ εἰς τὸ ποῖς.

Πῆ, ποῖ, πῇ εἰς τινὰ τόπον· πῇ δὴ τόνδε μολοβρὸν ἄγεις [3])· ἔστι δὲ Ἰωνικόν· τὸ δὲ ποι Ἀττικὸν βαρυτονήθεν· τὸ δὲ πῆ ἀόριστον γίνεται· νῦν δ' οὔτ' ἄρ πη θέσθαι ἐπίσταμαι [4]), ἀντὶ τοῦ, εἰς οὐδένα τόπον ἐπίσταμαι θέσθαι τὰ δῶρα.

Πήγανον, τὸ πη ἦτα· εἴρηται δὲ παρὰ τὸ πήσσω, οἱονεὶ ἡ πήσσουσα τὴν γονήν· ἢ παρὰ τὸ παύειν γονὸν παῦγνον καὶ πήγανον.

---

1) L. πέσκος. 2) Il. XVII, 539. 3) Od. XVII, 219. 4) Od. XIII, 207.

Πηγεσιμάλλῳ, ἡ εὐθεῖα πηγεσιμάλλος· σημαίνει δὲ τὸν μελανὰς μαλλοὺς ἔχοντα· ὁ γὰρ τοιοῦτος Φοβερὸς Φαίνεται ἐν πλήθει λευκῶν προβάτων, ἐκ τοῦ πηγὸς καὶ τοῦ μαλλὸς γίνεται πηγόμαλλος τῆς τετάρτης συζυγίας. καὶ τροπῇ τοῦ βραχέος ἤγουν τοῦ ο εἰς ε, πηγεσίμαλλος, ἐκ τοῦ εἰρηκέναι τὸν ποιητὴν, ὅς τ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων.

Πηγὴ, ἐκ τοῦ πηδῶ γίνεται πηδὴ, καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς γ· ἢ τόπου [1]) γέννησις.

Πηγὴ, τὰ δύο ηη· Δωριεῖς γὰρ παγὰς λέγουσι· καὶ ἡμεῖς τὰ τῶν Δωριέων αα εἰς ἦτα τρέπομεν.

Πηδάλια, οἱ κύβερνοι τοῦ πλοίου, ἐκ τοῦ πηδῶ· πηδῶν μῦ ἐν πηδαλίῳ, οὐ γὰρ ἔχουσι πηδάλια ἀλλὰ κώπας, παρὰ τὸ πλεῖν τὴν θάλασσαν· πηδὸς γὰρ εἶδος ξύλου, τὸ πλάτος τῆς κώπης.

Πηδάλιον καὶ πλήεργον διαφέρει, πηδάλιον ἡ λέγεται, πλήεργον δὲ σχεδιάς, τὸ αὐτὸ δὲ καὶ πλήθριον.

Πῆκτις, τὸ τῆς κιθάρας ξύλον.

Πηληϊάδεω, ὁ κανών· οἱ Ἴωνες καὶ οἱ ποιηταὶ, τὰς εἰς ος ληγούσας γενικὰς, τὰς ἀπὸ τῶν εἰς ης εὐθείων γινομένας, διὰ τοῦ εω προσφέρουσιν, ἐπὶ γενικῆς, οἷον, Ξέρξης, Ξέρξου Ξέρξεω, Ἀτρείδης Ἀτρείδου Ἀτρείδεω, ἐναντίως τοῖς Βοιωτικοῖς καὶ Αἰολεῦσι· ἐκεῖνοι γὰρ διὰ τοῦ αο ποιοῦσι, τοῦ α ἐκτεινομένου· πᾶσα γὰρ γενικὰ ὀνόματα εἰς φωνῆεν λήγοντα καὶ περιττοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας, ἢ ἐκτείνει τὴν παραλήγουσαν, καὶ συστέλλει τὴν λήγουσαν, οἷον καλὸς καλοῦ καλοῖο, σοφὸς σοφοῦ σοφοῖο· ἢ ἐκτείνει τὴν λήγουσαν καὶ συστέλλει τὴν παραλήγουσαν, οἷον, Ἀτρείδεω, Πριαμίδεω, Πηληϊάδεω.

Πηληϊάδεω, ὄνομα πτώσεως γενικῆς· δεῖ γινώσκειν ὅτι ἔστι Πηλεὺς τὸ πρωτότυπον καὶ τὸ πατρωνυμικὸν αὐτοῦ Πηλείδης καὶ κατὰ διάλυσιν Πηλεΐδης, καὶ τροπῇ τοῦ ε εἰς ἦτα καὶ πλεονασμῷ τοῦ α, διὰ τὴν κακοφωνίαν, ἢ διὰ τὴν συνέμπτωσιν Πηληϊάδης, ἡ γενικὴ Πηληϊάδου κοινῶς, Δωρικῶς δὲ Πηληϊάδαο καὶ Ἰωνικῶς, καθὼς χρῶνται, Πηληϊάδεω· ἰστέον ὅτι τὰ εἰς δης πατρωνυμικὰ, ἢ τῷ ι παραλήγεται μόνῳ, ἢ ἕν, ἢ τῷ α· εἰ μὲν οὖν ἀπὸ τῆς γενικῆς γίνεται ἡ πατρωνυμία, τῷ ἰῶτα μόνῳ παραλήγεται, ἐν βραχεῖ ὁποίας ἂν εἴη καταλήξεως· χωρὶς τῶν ἀπὸ τῶν εἰς ευς καὶ ἀπὸ τῶν εἰς ης, οἷον Ἀγαμέμνονος Ἀγαμεμνονίδης, Βίαντος Βιαντίδης· τὸ γὰρ Βιαντίδης πλεονασμῷ τοῦ α· καὶ παρὰ τὴν Δευκαλίωνος γενικὴν, καὶ Ἀνθεμίωνος ὤφειλεν εἶναι Δευκαλιωνίδης καὶ Ἀνθεμιωνίδης, ἀλλὰ συγκοπὴν πέπονθεν ἐν τῷ Δευκαλίδης καὶ Ἀνθεμίδης· καὶ τὸ Χαλκοδοντιάδης καὶ Τελαμωνιάδης πλεονασμὸν ἔχουσι τοῦ α· ὁμοίως δὲ ἀπὸ τῶν εἰς ου γενικῶν, διὰ τοῦ ειδης γίνεται ἡ παραγωγὴ, οἷον Ἡρακλῆς Ἡρακλείδης καὶ Ἡρακλείδης· καὶ ἀπὸ τῶν εἰς ευς εὐθειῶν διὰ τοῦ ειδης γίνεται· οἷον Πηλείδης Πηλείδης, ἐν τούτοις γὰρ συναίρεσις γίνεται εἰς τὴν ει δίφθογγον, ἐπείπερ ἀνεφάνη τὸ α ἐν τῇ γενικῇ τῶν πρωτοτύπων· εἰ δὲ ἀπὸ τῶν εἰς ος εὐθείων ἔστιν εἰ μὲν καθαρῶν ὄντων, διὰ τοῦ α, ἐκφέρονται, οἷον ἥλιος ἡλιάδης, Θυέστιος Θυεστιάδης· τὸ Πάνθοος Πανθοΐδης ἡμάρτηται· εἰ δὲ μὴ καθαρεύουσι, διὰ τοῦ ἰῶτα, οἷον Ὕλλος Ὑλλίδης, κέδρος κεδρίδης· εἰ δὲ ἀπὸ τῶν εἰς ας ἢ εἰς ης, ὧν ἡ γενικὴ εἰς ου, διὰ τοῦ αδης ποιεῖ τὸ πατρωνυμικὸν, βορέας βορέου βορεάδης, ἱππότης ἱππότου ἱπποτάδης· τὰ εἰς δης πατρωνυμικὰ εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν· ἐκ τοῦ Πηλείδης πατρωνυμικοῦ πλεονασμῷ τοῦ α Πηλειάδης, καὶ οἱ Ἴωνες χαίρουσι τῇ διαλύσει· καὶ διαλύεται ἡ ει δίφθογγος καὶ γίνεται Πηλεϊάδης καὶ τροπῇ τοῦ ε εἰς η Πηληϊάδης, Πηληϊάδου· τὰς εἰς ου γενικὰς, τὰς ἀπὸ τῶν εἰς ης εὐθείων γινομένας, οἱ Ἴωνες διὰ τοῦ αο καὶ διὰ τοῦ εω προσφέρουσιν καὶ ἢ ἐκτείνουσι τὴν λήγουσαν καὶ συστέλλουσι τὴν παραλήγουσαν· ἢ ἐκτείνουσι τὴν παραλήγουσαν, καὶ συστέλλουσι τὴν λήγουσαν.

Πήληξ, ἡ περικεφαλαία, ἀπὸ τοῦ πάλλειν καὶ κινεῖν τὸν φοροῦντα, ἐκ τοῦ φάλος γίνεται.

Πηλὸς, ὁ οἶνος, παρὰ τὸ πάλλειν, ὅ ἐστι πηδᾷν καὶ ταράσσειν τοὺς πίνοντας.

Πηλὸς, ὁ οἶνος, παρὰ τὸ πάλλω τὸ σείω, οἱ γὰρ πίνοντες αὐτὸν σείονται, ὅθεν καὶ κραιπάλη ἡ μέθη.

Πηλὸς, παρὰ τὸ παλάσσω τὸ μολύνω, ἡ βεβρεγμένη γῆ· καὶ Ὅμηρος παλάσσετο δ' αἵματι θώρηξ.

Πηλὸς, ὁ βόρβορος, οἱ μὲν διὰ τοῦ ἰῶτα γράφουσιν· παρὰ γὰρ τὸν πίεσω μέλλοντα πιελὸν αὐτὸν εἰρήκασι καὶ πιλὸν, ἐπεὶ συμπεπίεσται· Ἀπολλώνιος δὲ παρὰ τὸ πιλνῶ ῥῆμα, ἐπεὶ πιλνᾶται, φησὶ, καὶ συνάπτεται, ἡνίκα κατασκευάζεται· οἱ δὲ παρὰ τὸ πέλας καὶ πελάζω ἐτυμολογοῦσιν, ἐπὶ πελάζεται ἀλλήλοις τὰ ἔρια, οἷς μάχεται ἡ ὀρθογραφία καὶ ἡ χρῆσις· καὶ τὸ ῥῆμα πηλῶ.

Πηλούσιον, ὄρος, παρὰ τὸ πήλεα.

Πῆμα, βλάβος, πένθος, παρὰ τὸ πήθω, τὸ πανθάνω, γίνεται πῆμα καὶ ἐξ αὐτοῦ πημαίνω καὶ δεῖγμα δειγμαίνω· ἐκ τοῦ πήθω γίνεται πηλός.

Πήματα, παρὰ τὸ πήθω τὸ πάσχω· τὸ δὲ πείθω σημαίνει τρία· πείθω τὸ καταπείθω, τὸ πει διφθόγγῳ· πήθω τὸ πάσχω, ἐξ οὗ καὶ ὁ β ἀόριστος ἔπαθον· πίθω δὲ διὰ τοῦ ἰῶτα ἐξ οὗ καὶ πίθηξ.

Πήματα, ἁμαρτήματα, βλάβαι, κακώσεις.

Πηνακίζω, τὸ πάνυ αἰκίζω.

Πηνίκα, ἐπίρρημα ἐρωτήσεως πότε; ἡ ἐν πρόθεσις προσλαμβάνει τὸ ἰῶτα· καὶ γίνεται ῥῆμα ἐξ αὐτοῦ ἔνι ἀντὶ τοῦ ἦν, καὶ οὐκ ἔνι, ἀντὶ τοῦ οὐκ ἔστι· καὶ ἐκ τοῦ ἔνι γίνεται ἐνίκα καὶ ἡνίκα καὶ πηνίκα.

Πηνελόπη, κύριον.

Πηὸς, ὁ συγγενής· τὸ πη ἦτα, ἢ ὅτι κατὰ διάλεκτον εὑρέθη παὸς, ἢ ἐκ τῆς παραγωγῆς αὐτοῦ· ἔστι γὰρ πῶ ῥῆμα σημαῖνον τὸ κτῶμαι, οὗ ὁ μέλλων πάσω, ἐξ οὗ καὶ πάμων καὶ πολυπάμων γίνεται οὖν παὸς καὶ τροπῇ τοῦ α εἰς η πηός· διαφέρει δὲ πηὸς φίλου· φίλοι μὲν λέγονται οἱ μηδὲν τῷ γένει προσήκοντες· πηοὶ δὲ οἱ κατ' ἐπιγαμίαν συγγενεῖς.

Πηκτὶς, πάνδουρος, ἢ ὄργανον μουσικόν.

Πηγὸς, εὐτραφὴς καὶ ἰσχυρός.

Πήρα, ἤτοι φέρα τὶς οὖσα, παρὰ τὸ φέρειν ἢ παρὰ τὸ παρηρτῆσθαι, ἢ τροπῇ τοῦ τ εἰς π, οἷον τίσυρες, πίσυρες, οἷον τήρα τὶς οὖσα, παρὰ τὸ τηρεῖν, ἡ ἐν τῷ τηρεῖν εἰργασμένη.

Πήρα, σημαίνει τὸ σακκοπάθνιον, ἐκ τοῦ πήθω, οὗ ὁ μέλλων πήσω, ὁ μέσος παρακείμενος πέπηθα, καὶ κατ' ἀφαίρεσιν τῆς πε συλλαβῆς καὶ τροπῇ τοῦ θ εἰς ρ, πήρα· ταύτην γὰρ οἱ πάσχοντες ὑπὸ τῆς ἐνδείας

[1]) F. ἢ ποταμοῦ.

βαστάζουσι· γράφεται δὲ διὰ τοῦ ἦτα, διότι ἀνεφάνη τὸ α· καὶ εἰς τὸ πεῖρα.

Πήσσω, δηλοῖ τὸ πηγνύω, ὁ β ἀόριστος ὁ παθητικὸς ἐπάγην· καὶ εἰς τὸ αἴτνη καὶ παχὺς καὶ εἰς τὸ πέποσθε.

Πῆχυς, παρὰ τὸ πεπηγέναι ἄκρῳ τῷ βραχίονι· καὶ ἐξ αὐτοῦ πηχυαῖος.

Πιαίνω, παρὰ τὸ πίον, ὃ σημαίνει τὸ λιπαρόν· ἐξ οὗ καὶ τὸ πιανάτω προστακτικόν.

Πιαλέα, κάθυγρος, λιμάδα ἔχουσα, παρὰ τὸν πιάλαι, 10 τοῦτο παρὰ τὸ πίω ῥῆμα, ὃ σημαίνει τὸ ποτίζω.

Πίδαξ, ἡ μικρὰ πηγή, ἐκ τοῦ πίειν, ὡς ὁ κώνωψ.

Πιερία, ὄνομα τόπου, ὅπου ἐγεννήθησαν αἱ Μοῦσαι.

Πίθος, παρὰ τὸ πίω, ἐξ οὗ καὶ ἔστι πιεῖν.

Πίθι, ἐκ τοῦ πίω, ὁ β ἀόριστος ἔπιον, ἡ μετοχὴ ὁ πίων τοῦ πιόντος, καὶ τὸ προστακτικὸν πίεθι καὶ κατὰ συγκοπὴν πίθι.

Πίθηκος, παρὰ τὸν πιθήσω μέλλοντα, ἀπὸ τοῦ πιθῶ περισπωμένου· πείθει γὰρ ἡμᾶς τὸ ζῶον, εἰδεχθὲς ὄν, προσέχειν αὐτῷ· οὕτω Φιλόξενος ἐν τῷ περὶ περισπω- 20 μένων ῥημάτων.

Πίηρ, ἔθνικος Μακεδόνιος.

Πιλάτος, ἐκ τοῦ σπίλος, ὃ σημαίνει τὸν ῥύπον, σπιλάτος καὶ Πιλάτος· τὸ λα μακρὸν φύσει· τὸ πι ἰῶτα διάτι; Τρώϊλος.

Πίλος, καὶ πίλον τὸ κέντουκλον, παρὰ τὸν πίσω μέλλοντα, ἐπειδὴ καὶ συμπεπίαται καὶ εἰς τὸ πεπλημένοι· γράφεται δὲ διὰ τοῦ ἰῶτα, ἐπειδὴ παρὰ τὸ πιέζω πιέσω γέγονε πίελος, καὶ κράσει τοῦ ι καὶ ε εἰς ι μακρὸν πῖλος, ὡς ἱερὸς ἱρός.

30 Πίμπραται, καίεται, ἐμπυρίζεται.

Πιμπλάντος, ἐκ τοῦ πιμπλῶ, πίμπλημι παράγωγον.

Πιμπλῶ, ἔστι πλῶ, καὶ σημαίνει τὸ πληρῶ καὶ μετὰ ἀναδιπλασιασμὸν πιμπλῶ, ὅταν δὲ γένηται σύμφωνον [1]), ἀποβολῇ τοῦ μ, οἷον ἐμπιπλῶ.

Πινάκιον, πεῖναν κινεῖν, ἢ πείνης ἄκος, ἤγουν θεραπεία· ἢ διὰ τὸ πείνῃ ψαύειν, ἤγουν ὑπουργεῖν.

Πῖνα, ὁ λίθος, διὰ τοῦ ι δὲ γράφεται τῷ λόγῳ τῶν διὰ τοῦ ινα. 40

Πινητὸς, ὁ φρόνιμος, παρὰ τὸ πονῶ πονύω, πονυτὸς καὶ τροπῇ τοῦ ο εἰς ι, πινητὸς, ὁ διεγηγερμένος.

Πίδαξ, ὁ κώνωψ, παρὰ τὸ πίειν, τινὲς δὲ παρὰ τὸ πηδᾶν, κατὰ μεταβολὴν τοῦ η εἰς ι Βοιωτικῶς.

Πῖον, τὸ λιπαρὸν, ὄνομα οὐδέτερον· ἔστι πίω ἐξ οὗ καὶ πίνω, ὁ β ἀόριστος ἔπιον· καὶ λοιπὸν ἐκ τοῦ πίω γίνεται πίων τοῦ πίονος καὶ ἡ πίων καὶ τὸ πίον, ὁ γὰρ λιπαρὸς πιότητα πάλιν ἔχει· ἐξ αὐτοῦ δὲ γίνεται πιόλης καὶ πιαίνω, καὶ πῖον τὸ οὐδέτερον, καὶ εἰς τὸ λῖπος. 50

Πίπτω, διὰ τοῦ ἰῶτα, ἐπειδὴ παρὰ τὸ πτῶ γίνεται πίπτω κατ' ἀναδιπλασιασμὸν, ὡς χρῶ κιχρῶ, στῶ ἱστῶ, δῶ διδῶ, πλῶ πιπλῶ, τρώσκω, τιτρώσκω· ἢ ἀπὸ τοῦ πίσσω Αἰολικῶς γίνεται πίπτω· τὸ γὰρ ττ εἰς δύο σσ τρέπουσι.

Πίσα, ὁ βοτανώδης τόπος, καὶ ὁ δίυγρος· σημαίνει δὲ ὄνομα πόλεως· διὰ τοῦ ι γράφεται, παρὰ τὸν πίω πίσω μέλλοντα γέγονε Πίσα, εἰονεὶ ἡ ἔχουσα πολὺ ὕδωρ.

Πίμπλαντο, πλέω, πλῶ, πιμπλῶ, πίμπλημι, δευ- 60 τέρας συζυγίας τῶν εἰς μι, ὁ παρατατικός· καὶ τὸ τρίτον τῶν πληθυντικῶν πίμπλαντο.

Πίσυνος, πεπιστευκὼς τεθαῤῥηκὼς, πεποιθώς· παρὰ τὸ πιστὸς πιστόσυνος, ὡς δοῦλος δουλόσυνος οὕτω πιστὸς πιστόσυνος, καὶ κατὰ συγκοπὴν πίσυνος.

Πίστις, πίστιος κοινῶς καὶ πίστεος Ἰωνικῶς καὶ πίστεως Ἀττικῶς, ἐκ τοῦ πείθω· ἔστι δὲ γνώμη βέβαια.

Πίτυρον, ἔστι πτίσσω, καὶ σημαίνει τὸ κοπανίζω καὶ 10 ἐκ τούτου γίνεται πίσυρον καὶ τροπῇ τοῦ σ εἰς τ πίτυρον, τὸ κοπανισμένον τῆς κριθῆς· τοῦτο γὰρ τὸ πτίσσω διὰ τοῦ ἰῶτα γράφεται, καὶ πτισσάνη τὸ κόπανον· πτήσσω δὲ τὸ φοβοῦμαι διὰ τοῦ ἦτα· ἐξ οὗ καὶ πτὼξ ὁ λαγῳός.

Πιτύνη, κύκλος ὁ τὸν τυρὸν πηγνύων.

Πιτυάνη, ἀσκὸς μικρός.

Πιέτω, πίω, ἐν χρήσει οὐχ εὕρηται ῥῆμα· ἔστι δὲ ὁ δεύτερος ἀόριστος ἔπιον, καὶ τὸ προστακτικὸν πίε πιέτω.

20 Πίειρα, ἡ γῆ, ἡ λιπαρά· κατὰ μὲν τὴν ἄρχουσαν διὰ τοῦ ἰῶτα γράφεται, παρὰ γὰρ τὸ πῖον γέγονε· κατὰ δὲ τὴν παραλήγουσαν διὰ τῆς ει διφθόγγου.

Πικρὸς, ὁ χολώδης, ἐκ τοῦ πικραίνω, παρὰ τὸ πέκος, ὃ σημαίνει τὴν πεύκην καὶ πλεονασμῷ τοῦ ρ πεκρός· καὶ τὸ ε ἡνίκα πλεονάσῃ σύμφωνον, τρέπεται εἰς ἰῶτα· οἷον ἔχω ἴσχω, πέκος πικρὸς καὶ σημαίνει τὸν ὑπέρχολον.

Πικρία, χολὴ, παρὰ τὸ πικρός· ἡ μεταφορὰ δὲ ἔστιν ἀπὸ τῆς πεύκης.

30 Πίφιγξ, εἶδος ὀρνέου· γράφεται δὲ διὰ τοῦ ἰῶτα, κατὰ μὲν τὴν λήγουσαν τῷ λόγῳ τοῦ πέρδιξ· κατὰ δὲ τὴν ἄρχουσαν, ὅτι παρὰ τὸ πίω γέγονε· χαίρει γὰρ τοῦτο τὸ ὄρνεον, ἐν τοῖς ὕδασι.

Πίων, ὁ λιπαρὸς, ἐκ τοῦ πίω· τὸ πι μακρὸν διάτι; κανὼν ἔστιν ὁ λέγων, τὰ εἰς ων δισύλλαβα τῷ ι παραληγόμενα μὴ ὄντα κύρια, ἐκτείνει αὐτὸ, οἷον, κίων πρίων οὕτως οὖν καὶ πίων· οἱ δὲ παρὰ τὴν πόαν.

Πλάζουσι, πλανοῦσι, τὸ πλάζω ἐκ τοῦ πλανῶ, τοῦτο ἐκ τοῦ πλάνη· τὸ πλάνη ἐκ τοῦ ἄλη· τοῦτο ἐκ τοῦ 40 λῶ τὸ θέλω καὶ μετὰ τοῦ στερητικοῦ α, ἀλῶ, ὁ γὰρ πλανώμενος, οὐχ ὅπη θέλων πορεύεται.

Πλαδαρὸν, χαῦνον, ὑγρόν.

Πλάκες, διὰ τὸ πλατέως, ἤγουν πλαγίως κεῖσθαι.

Πλάνη, παρὰ τὸ πελάζω ὅπερ κατὰ συγκοπὴν πλάγω, οἱ γὰρ πελαζόμενοι πρόδηλον ὅτι ἐπλανήθησαν· ἢ παρὰ τὸ πλαγιάζειν τὸν νοῦν· ἢ ἐκ τοῦ ἀλῶ τὸ πλάνω, ἄλη καὶ πλάνη· δύο σημαίνει τὸ πλανῶ, τὸ ἀπατῶ καὶ τὸ γυρεύω.

Πλατυσμὸς, παρὰ τὸ πλατύνω, τοῦτο παρὰ τὸ πλα- 50 τύς· τοῦτο παρὰ τὸ πολύς· καὶ τὸ ἄτη, ὃ σημαίνει τὸ εὖρος.

Πλανῆτιν, ἐκ τοῦ πλανῆτις ἀρσενικοῦ· τοῦτο ἐκ τοῦ πελάζω.

Πλάστιγξ, ἡ ζύγη, παρὰ τὸ πλατεῖα εἶναι.

Πλάστης, παρὰ τὸ πλάσσω, τὸ ταῖς χερσὶ κατασκευάζω, πλάσω πέπλασμαι, πέπλασται, πλάστης καὶ σημαίνει τὸν δημιουργόν.

Πλαστουργὸς, παρὰ τὸ πλάσσω, πλάσω, πέπλακα, πέπλασμαι, πέπλασται, πλάστης, καὶ τὸ ἔργον, πλα- 60 στοεργός καὶ ἐν συναιρέσει πλαστουργός· ὀξύνεται· τὰ

---

[1]) L. σύνθετον.

παρὰ τὸ ἔργον συντιθέμενα, εἰ μὲν μετὰ πτωτικοῦ συντέθῃ, ὀξύνεται, οἷον πλαστουργὸς, ξυλουργός· εἰ δὲ μετὰ ἀπτώτων προπερισπᾶται, οἷον πανοῦργος, πλὴν τοῦ ἐπίεργος· σεσημείωται τὸ συνεργὸς ὀξυνόμενον.

Πλατάνιστον, εἰς τὸ πρὸς ῥὰ πλατάνιστον καὶ πρώτιστον.

Πλέας, ὄνομα πλέον καὶ πλέας, ὥσπερ ἐστὶ χερίων ἡ αἰτιατικὴ τὸν χερείονα καὶ ἐν συγκοπῇ χέρεια καὶ τὸ οὐδέτερον τὸ χερεῖον, καὶ χερείονα καὶ συγκοπῇ χέρεια· χέρεια δὲ χειρονίδος, οὕτως ἔστι πλείων, Ἀττικῶς ἐκβολῇ τοῦ ἰῶτα πλέων καὶ τὸ πληθυντικὸν πλείονες καὶ πλέες, ἡ αἰτιατικὴ πλέονας καὶ ἐν συγκοπῇ πλέας.

Πλείων, ἐνιαυτὸς, διὰ τῆς ει διφθόγγου, παρὰ γὰρ τὸ πλεῖον γέγονε, τὸ σημαῖνον τὸ πλῆρες, οἱονεὶ ὁ πλήρης χρόνων· ὅπερ πλείονος δέδεικται διὰ τῆς ει διφθόγγου γράφεται· ὀξύνεται δὲ ἐπειδὴ δοκεῖ περιεκτικὸν εἶναι· πλείων γὰρ ὁ ἐνιαυτὸς παρὰ τὸ περιέχειν πλήρεις χρόνους· τὰ εἰς ων περιεκτικὰ ὀξύνεσθαι θέλουσιν· ἄλλως τε, διὰ τῆς ει διφθόγγου γράφεται, ἐπειδὴ παρὰ τὸ Πλείας γέγονε· καὶ γὰρ αἱ Πλειάδες σημαντικαί εἰσι τοῦ ἐνιαυτοῦ δύνουσαι μὲν γὰρ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ δηλοῦσιν, ἀνατέλλουσαι δὲ τὸ τέλος· τὸ δὲ Πλείας διὰ τῆς ει διφθόγγου γράφεται ἐπειδὴ εἴρηται διὰ τῆς ει διφθόγγου κατὰ διάστασιν, καὶ ἐκτάσει τοῦ ε εἰς η Πληΐας.

Πλειαί, ἐκ τοῦ πλείων, καὶ κατὰ μεταπλασμὸν γίνεται πλεῖος καὶ πλεῖα, τὸ πληθυντικὸν πλεῖαι· πλειαί τοι χαλκοῦ κλισίαι.

Πλεῖν, διὰ τῆς ει διφθόγγου· ἔστι ῥῆμα πλέω πλῶ, πλέεις πλεῖς, πλέει πλεῖ καὶ τὸ ἀπαρέμφατον πλέειν πλεῖν, ὡς ῥέειν ῥεῖν καὶ νέειν νεῖν.

Πλεῖν τοῦ ἀποπλεῖν καὶ παραπλεῖν καὶ περιπλεῖν διαφέρει· πλεῖν μὲν γὰρ ἐστὶ τὸ κατ' εὐθὺ πλέειν, ἀποπλεῖν δὲ τὸ ἐκ τόπου τινὸς ἀπαίρειν, παραπλεῖν δὲ τὸ τόπον τινὰ πλῷ διέρχεσθαι· περιπλεῖν δὲ τὸ ἐπὶ σκάφους ἀναστρέφεσθαι ἐπὶ τὸν αὐτὸν τόπον.

Πλεῖον, παρὰ τὸ πολὺς πόλεος καὶ ἐν συγκοπῇ πλέος, καὶ μετὰ τοῦ ἰῶτα πλεῖος, καὶ ὁ πλείων καὶ τὸ πλεῖον συγκριτικόν.

Πλευρὸν, παρὰ τὸ πέλειν εὐρὺ, ἤγουν πλατύ· λέγεται θηλυκῶς ἡ πλευρὰ, παρὰ τὸ πεπληρῶσθαι πνεύματος καὶ πλευμῶδες.

Πλείων, ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ τὰ πάντα πεπληρῶσθαι· ἢ ἀπὸ τῶν Πληϊάδων, ἐξ αὐτῶν γὰρ οἱ στοχασμοὶ, τοῦ πότε δεῖ καὶ σπεῖραι καὶ θερίσαι.

Πλεῖστος, ἐκ τοῦ πλείων πλεῖστος τὸ συγκριτικὸν, ἐξ οὗ λέγεται τὰ εἰς ων συγκριτικὰ μεταβάντα εἰς ὑπερθετικά· τὸ δὲ πλειόνων, ἐκ τοῦ πολύς· ὁ πρῶτος τύπος τῶν συγκριτικῶν πολύτερος, ὁ δεύτερος πολείων, καὶ συγκοπῇ πλείων.

Πλευρά, ὄνομα οὐδέτερον, εὐθεῖα τῶν πληθυντικῶν· τὰ γὰρ ἀρσενικὰ ἢ θηλυκὰ, εἰς οὐδέτερον γένος μεταπλαττόμενα τοῦ αὐτοῦ σημαινομένου ὄντα, τὸν αὐτὸν τόνον φυλάττει, οἷον δεσμοὶ τὰ δεσμὰ, αἱ πλευραὶ τὰ πλευρά· γίνεται δὲ παρὰ τὸ πολύευρά τινα ὄντα, τουτέστι πλατέα· τοῦτο παρὰ τὸ πολὺς καὶ τὸ εὖρος, ὃ σημαίνει τὸ πλάτος, εὐρὰ καὶ πλευρά.

Πλέκω, ἐκ τοῦ πέλκω, τοῦτο παρὰ τὸ ἕλκω· καὶ γὰρ ἐν τῷ πλέκειν σύρομεν, καὶ ἐν ὑπερβιβασμῷ πλέκω.

Πλεονεξία, ἐκ τοῦ πλέον καὶ τοῦ ἔχω ἕξω.

Πλεονάκις, ἐκ τοῦ πλεονάζω· τὸ κις ἰῶτα διάτι; τὰ εἰς κις ἐπιῤῥήματα διὰ τοῦ ι γράφεται, οἷον, ἑξάκις, ἑπτάκις, ὀλιγάκις, πολλάκις, πλεονάκις.

Πληγὴ, διὰ τὸ ἐν πηλῷ γίνεσθαι, ἤγουν ἐν τῷ σώματι· πηλὸς γὰρ τὸ σῶμα.

Πλῆθος, καὶ ὄχλος διαφέρει· ὄχλος μὲν ἐστὶ κυρίως ἡ ὄχλησις, πλῆθος δὲ σύστημα τινῶν· καὶ ἄλλως ὄχλος μὲν τὸ πολὺ καὶ ἀναρίθμητον πλῆθος· πλῆθος δὲ τὸ εὐαρίθμητον καὶ μεμετρημένον.

Πλύνω, τὸ καθαίρω, παρὰ τὸ ἐν τοῖς πλυνοῖς καθαίρειν τὰ ἱμάτια· πλυνοὶ δὲ εἰσι δοχεῖα τοῦ πλύματος, διὰ τοῦ υ· ἐκ τοῦ πλένω πλύνω, τοῦ ε τραπέντος εἰς υ· τὸ δὲ πλένω ἐκ τοῦ πλέω ἀποβολῇ τοῦ ν· τὸ πλύνω σημαίνει τέσσαρα· τὰ ἀποσμίχω καὶ ἀπονίπτω, καὶ τὸ λοιδορῶ καὶ ὑβρίζω.

Πλόκαμοι, ἀπὸ τοῦ φυσικῶς πλέκεσθαι, οἱ εἰς πλοκὴν ἐπιτήδειοι.

Πλημμελῶ, ἐκ τοῦ πάλιν καὶ τοῦ μέλλω τὸ βραδύνω, πάλιν μελῶ καὶ συγκοπῇ πλημμελῶ.

Πλημμέλεια, ἡ ἁμαρτία, παρὰ τὸ πλημμελής· τοῦτο παρὰ τὸ πλημμελῶ, τὸ ἐκ δευτέρου τὰ αὐτὰ φροντίζειν τοῦ λέγειν, ἢ ἐπαναλαμβάνειν.

Πλῆμναι, αἱ σχοινικίδες, αἱ περιέχουσαι τὸν ἄξονα, παρὰ τὸ πληροῦσθαι αὐτὰς ὑπὸ τοῦ ἄξονος.

Πλῆμναι, αἱ συρίγγες, αἱ τροχοὶ, ἃς ἔνιοι σχοινικίδας καλοῦσι, εἰς ἃς ὁ ἄξων ἐνστρέφεται· παρὰ τὸ πληροῦσθαι ὑπ' αὐτοῦ· ἢ παρὰ τὸ πλήθω.

Πλὴν, ἐπίῤῥημα χωριστικὸν, κατ' ἀντίφρασιν ἀπὸ τοῦ πλῶ τὸ πλησιάζω· καὶ ὅμως ἔστι καὶ ἐπίῤῥημα τάξεως, καὶ σημαίνει τὸ χωρίς.

Πλήρης, παρὰ τὸ πλῶ τὸ πληρῶ, τοῦτο παρὰ τὸ πλήθω· καὶ κλίνεται ὁ πλήρης τοῦ πλήρεος καὶ πλήρους καὶ τὸ θηλυκὸν ἡ πλήρης, καὶ τὸ οὐδέτερον τὸ πλῆρες· ἢ ἐκ τοῦ πλείων πλειήρης καὶ πλήρης.

Πλήρης, ὅτε ἔχει εὐθεῖαν τῶν ἑνικῶν ἔμπροσθεν, διὰ τοῦ ἦτα γράφεται, οἷον πλήρης ἡ γῆ ἀγαθῶν· ὅτε δὲ εὐθεῖαν τῶν πληθυντικῶν, διὰ τῆς ει διφθόγγου, οἷον πλήρεις αἱ ἅλωνες σίτου· καὶ τὸ οὐδέτερον τὸ πλῆρες· ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ πλήρεα καὶ πλήρη.

Πληροφορία, ἀπαλλαγὴ, ἀμφιβολία.

Πληροφαὴς, πληροσέληνος ἡμέρα.

Πληρῶ, τὸ γεμίζω, τοῦτο ἐκ τοῦ πλῶ τὸ πληρῶ· ὥσπερ ἀπὸ τοῦ φρὴν φρενὸς γίνεται φρενήρης, καὶ ἀπὸ τοῦ ξίφος ξιφήρης, οὕτω καὶ ἀπὸ τοῦ πόλος πολήρης, καὶ κατὰ συγκοπὴν πλήρης.

Πλησίον, ὄνομα μετήχθη εἰς ἐπίῤῥημα· καὶ ἔστι μονόπτωτον, καὶ γίνεται ἐκ τοῦ πλητὸς πλητίος καὶ τροπῇ τοῦ τ εἰς σ, πλησίος, ἡ αἰτιατικὴ τὸν πλησίον.

Πλησμονὴ, ἐκ τοῦ πλήθω.

Πλήσσω, τὸ τύπτω, ἀπὸ μεταφορᾶς τῶν πληγῶν.

Πλίνθος, παρὰ τὸ πήλινον θέσιν ἔχειν.

Πλήσσοντο, διέβαινον· πλήσσειν γὰρ ἐστὶ μεταφέρειν σκέλος πρὸς σκέλος καὶ Ἱπποκράτης πλῆγμα τὸ μεταξὺ τῶν μηρῶν.

Πλούσιος, παρὰ τὸ πολὺ καὶ τὸ οὐσία, πολυούσιός τις ὢν, καὶ ἐν συγκοπῇ πλούσιος· διαφέρει δὲ πλούσιος, εὔπορος, ἀφνειὸς, ὄλβιος καὶ εὐτυχής· πλούσιος μὲν ὁ πολλὴν οὐσίαν ἔχων· εὔπορος δὲ ὁ πρὸς τὰς ἐπιβαλλούσας χρείας ἀνενδεής· ἀφνειὸς δὲ ὁ ἀφ' ἑνὸς ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων, ὄλβιος ὁ τελέως τὴν εὐδαιμονίαν ἔχων· εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Πλοῖον, ὡς ἐκ πολλῶν σανίδων ὄν· καὶ εἰς τὸ νῆες.

Πλόκαμος, ὁ πλεκόμενος βόστρυχος σειροπλόκως.

Πλῶ, εἰς τὸ πιμπλῶ, καὶ πίπτω, καὶ πλὴν, καὶ πλήρης.

Πλωτῆρες, ναῦται, ναυτιλλόμενοι.

Πνεῖν τοῦ ἀποπνεῖν διαφέρει· πνεῖν μὲν γάρ ἐστι τὸ ζῆν τε καὶ πνέειν, ἀποπνεῖν δὲ τὸ ἀποθνήσκειν.

Πνεῦμα, παρὰ τὸν πνεύσω μέλλοντα, ἢ παρὰ τὸ πᾶν νεῦμα· σημαίνει δὲ τέσσαρα· πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι δεῖ προσκυνεῖν· πνεῦμα ὁ ἄγγελος· ὡς τὸ, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· ἡ ψυχή· ὡς τὸ ζήσεται τὸ πνεῦμα αὐτῶν· καὶ ὁ ἄνεμος, ὡς τὸ πνεῦμα βίαιον.

Πλινθίον, τὸ τεταχημένον· ἢ πηλὸς ὠπτημένος.

Πνευματέμφορον, τὸ ὑπὸ τοῦ πνεύματος πεπληρωμένον· γίνεται παρὰ τὸ πνεῦμα καὶ τὸ ἐμφορῶ ὃ σημαίνει τὸ πληρῶ.

Πνεύμων, ἀναλόγως διὰ τοῦ πνεύματος· ταμιὰς γὰρ τοῦ πνεύματος.

Πνιγέα, ἔστι χρῆσις, παρὰ τὸν πνιγέα εἰσάγεσθαι· παρὰ τοῖς κωμικοῖς ὁ Φοῦρνος πνιγεὺς λέγεται· ἔστι δὲ καὶ ὑδραυλικοῦ ὀργάνου μέρος τι· σημαίνει καὶ τὸν φιμόν· γίνεται δὲ παρὰ τὸ πνίγω.

Πόα, εἰς τὸ ποικίλος.

Ποδάγρα, διὰ τὴν πολλὴν ἀγριότητα.

Ποδαλείριος, οἱ μὲν παρὰ τὸν πόδα, καὶ τὸ ἀλείριος, τουτέστι τοὺς πόδας κληροὺς ἔχειν· οἱ δὲ παρὰ τοῖς ποσὶ λείρια ἐπιτιθέναι, ἅ ἐστιν ἄνθη· καὶ εἰς τὸ δαΐφρων.

Ποδαλείριος, κύριον, διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ λείριον γέγονεν, ὅπερ δέδεικται. διαφόρως δὲ τοῦτο σχηματίζουσιν· οἱ μὲν γὰρ λέγουσιν ὅτι Ποδαλείριος λέγεται, ὁ ἔχων τὸν πόδα λείριον ἤγουν ἁπαλὸν, ἄτοπον δέ ἐστιν ἥρωος πόδα λέγειν ἁπαλόν· ἕτεροι δὲ λέγουσιν, ὅτι παρὰ τὸ λείριον τὸ ἁπαλὸν γέγονεν ἀλείριον, τῆς α στερήσεως προσελθούσης, καὶ ἐκεῖθεν τὸ Ποδαλείριος, παρὰ τὸ ἔχειν τὸν πόδα παρὰ τὰ λείρια, ἤγουν παρὰ τὰ ἄνθη, βοτανικὸν γὰρ καὶ ἰατρικὸν τοῦτο.

Ποδάρκης, ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος, διὰ τὸ ὀξὺ τοῦ δρόμου· ὤφειλε δὲ εἶναι ποδαρκὴς ὀξυτόνως, ὡς ἐπίθετον, ἀλλὰ σεσημείωται τὰ παρὰ τὸ ἀντῶ καὶ ἀρκῶ καὶ αὐθάδης· γίνεται δὲ ἡ κλητικὴ ποδάρκες, ὡς αὔταρκες· καὶ τὸ οὐδέτερον ποδαρκὲς ὀξυτόνως, τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ.

Πολυέτος, πολύετός τις ὤν· ἐκ τοῦ πολὺς καὶ τοῦ ἔτος, ὁ ἐκ πολλῶν ἐτῶν συναγόμενος.

Πνίγω, διὰ τοῦ ἰῶτα, ἐπειδὴ πέπνιγά ἐστιν ὁ μέσος παρακείμενος· εἰ δὲ ἐγράφετο διὰ τῆς οι διφθόγγου, πέπνοιγα ἂν ἦν. καὶ γὰρ ἡνίκα εὑρεθῇ τὸ ε· ἐν δισυλλάβῳ μέλλοντι, ἢ μόνον ἢ μετὰ τοῦ ἰῶτα, εἰς ο τρέπεται ἐν τῷ μέσῳ.

Πλῆμαι καὶ πλῆμναι διαφέρουσι· πλῆμαι αἱ πλημμυρίδες τῶν ποταμῶν· πλῆμναι δὲ αἱ τῶν τριχῶν σύριγγες.

Ποιότης, ἀπὸ τοῦ ποιεῖν τι περὶ τὴν αἴσθησιν.

Ποδάρκης, ὁ ἐπαρκεῖν δυνάμενος δι' ὀξύτητα τῶν ποδῶν, διώκων καὶ ἀποφεύγων τοὺς πολεμίους.

Ποθεινὸς, διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ τοῦ ἀπεινὸς, ἢ ὅτι οἱ Αἰολεῖς ποθενὸς λέγουσι.

Πόδας, παρὰ τὸ παύσω μέλλοντα γίνεται παῦς, καὶ τροπῇ τοῦ α εἰς ο ποῦς· ἐκεῖ γὰρ παύεται τὸ σῶμα, τῇ καταλήξει· ἢ ἀπὸ τοῦ πορὸς ὀξυτόνως, τοῦ σημαίνοντος τὸν ἐνεργοῦντα, ἐκθλίψει τοῦ ρ καὶ κράσει ποῦς.

Πόδες, διὰ τὸ βαδίζειν περὶ τὰς πλατείας· ἢ διὰ τὸ παίειν τὸ ἔδαφος, καὶ παίειν τὴν ὁδόν.

Ποδοστράκη, ἐκ τοῦ ποδὸς καὶ τοῦ ὀστράκη εἴρηται.

Ποδοκάκη, ποδῶν κάκωσις, ὁ λεγόμενος κοῦσπος· ἔστι δὲ ξύλον, ἐν ᾧ οἱ κακοῦργοι δεσμεύονται, οἷον ποδοκατοχή τις οὖσα, ἐν ᾗ πόδες κατέχονται.

Ποδοστράβη, τὸ γινόμενον πρὸς τὰ στρέμματα τῶν ποδῶν ξύλον, στενοφῶν τὴν τοῖς ἐλάφοις ἱσταμένην παγήν· παρὰ τὸ ποῦς καὶ τὸ στρέφω.

Πόθεν, ἐκ τοῦ ποῦ, κατ' ἐπέκτασιν ποῦθεν καὶ πόθεν.

Πόθος, παρὰ τὸ πήθω τὸ πάσχω, ὁ β ἀόριστος ἔπαθον, καὶ ἐξ αὐτοῦ πόθος, ὁ γὰρ ποθῶν τινὰ προαιρεῖταί τι παθεῖν ὑπὲρ αὐτοῦ· ἢ παρὰ τὸ πάνυ θεῖν ἤγουν τρέχειν, ὁ γὰρ ποθῶν τινὰ πρὸς αὐτὸν καὶ συντρέχει.

Ποῖα, ὁ ἐνιαυτὸς, Καλλίμαχος. Αἴγυπτος προπάροιθεν ἐπ' ἐννέα κάρφετο ποίας· εἴρηται παρὰ τὴν ποιότητα, διὰ τὸ ἅπαξ καὶ μόνον ἐν τῷ ἐνιαυτῷ τὴν βοτάνην φύεσθαι.

Ποιεῖν τοῦ περιποιεῖν διαφέρει· ποιεῖν μὲν γάρ ἐστι τὸ κατασκευάζειν τί· περιποιεῖν δὲ τὸ περικτᾶσθαι ἢ κοσμεῖν.

Ποιήσειας, τὰ εἰς μι εὐκτικὰ ἀόριστα ὄντα, οἱ Αἰολεῖς διὰ τοῦ ειας προσφέρουσιν, οἷον τύψαιμι τύψειας, γράψαιμι γράψειας· ζήσαιμι ζήσειας δὲ οὐ λέγουσι, διότι τῇ εὐκτικῇ εὐχὴν δηλοῦσι πράγματος, ὀφείλοντος πληρωθῆναι· ὁ γὰρ λέγων γράψειας εὔχεται ὅπως εἰς τέλος ἔλθῃ τοῦ γράψαι· ὁμοίως καὶ τὰ λοιπὰ πληρωθῆναι, ὅπερ οὐ δεῖ λέγειν ζήσειας· ὁ γὰρ τοῦτο λέγων εὔχεται, ἵνα ἔλθῃ εἰς τέλος τῆς ζωῆς· καὶ λοιπὸν εὑρίσκεται καταρώμενος ἑαυτῷ· δεῖ δὲ λέγειν ζώοιν, ζώοις, ζώοι.

Ποίησις ποιήματος διαφέρει, ὡς διήγησις διηγήματος διαφέρει· καὶ ποίησις μὲν ἔστιν ἡ πολλὰ πράγματα ἐν ἑαυτῷ περιέχουσα, ποίημα δὲ διήγημα ἓν μόνον πρόσωπον ἔχον, ὡς τὸ παρὰ Φυλλίδι.

Ποιητὴς δημιουργοῦ διαφέρει· ποιητὴς μὲν γάρ ἐστιν ὁ ἐξ ὑποκειμένης ὕλης τὶ ποιῶν· δημιουργὸς δ', ὁ ἐκ μὴ ὄντων παραγαγών.

Ποικίλον, ἐκ τοῦ πέλω τὸ ὑπάρχω, γίνεται πεκίλος, καὶ τροπῇ τοῦ ε εἰς ο καὶ πλεονασμῷ τοῦ ι ποικίλος.

Ποιμὴν, ὁ ἐπὶ πόαν τὰ θρέμματα νέμων, ποαμὴν καὶ ποιμήν· διαφέρει δὲ ποιμὴν βοσκοῦ.

Ποκὰς, παρὰ τὸ πείκω ἡ ἐξαμμένη ἔρια.

Ποιναίῳ, τιμωρητικῷ· ἀπὸ τοῦ ποινὴ γέγονε ποιναῖος, ὡς ἀπὸ τοῦ Ῥώμη Ῥωμαῖος· τὸ δὲ ποινὴ ἀπὸ τοῦ πόνος πονὴ καὶ ποινή· τὸ δὲ πόνος σημαίνει τρία τὸ γυμνάσιον, ὡς παρὰ Ἱπποκράτει, ἄσκησις ὑγιείης, ἀκορίη τροφῆς, ἀοκνίη, πόνου ἀντὶ τοῦ γυμνάσιον· σημαίνει δὲ καὶ τὴν ὀδύνην, ὡς παρὰ τῷ αὐτῷ πάλιν· ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει θανάσιμον, ἀντὶ τοῦ βλάβην· καὶ τὸ ποίημα καὶ διήγημα.

Ποινὴ, ἀντέκτησις, ἡ ἀπὸ φόνου τιμωρία· γίνεται οὖν ἐκ τοῦ φάνος φονὴ, ὡς ὁ ποιητὴς ἐν ἀργαλέῃσι φονῆσι· καὶ πλεονασμῷ τοῦ ἰῶτα καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν ποινή· ἐξ οὗ καὶ μετὰ τοῦ στερητικοῦ α ἄποινον· ὡς τὸ, ἄποινον ὁ θεόπτης· σημαίνει δὲ τὸ ὑπὲρ τῆς ἀπολυτρώσεως τοῦ φόνου προσαγόμενον δῶρον· καθ' ὃν Μωϋσῆς ᾖσεν ᾠδὴν τῷ θεῷ· ᾄσωμεν τῷ κυρίῳ· καὶ εἰς τὸ ἄποινον, καὶ νηπηνή.

Ποιπνύειν, τὸ μετὰ σπουδῆς τι ποιεῖν· σύγκειται οὖν τὸ ποιπνύειν παρὰ τὸ ποιεῖν καὶ τὸ πνεῦσαι, ἀπὸ

τοῦ ποιῶ ποιύω, καὶ ἐν συγκοπῇ πνύω καὶ πέπνυκα.

Ποῖς, καὶ ποῖ, καὶ πῇ, καὶ ποῦ, καὶ πῶ, καὶ τούτου διαφέρει· τὸ μὲν γὰρ ποῖς καὶ πῇ τὴν εἰς τόπον σημασίαν δηλοῖ, τὸ δὲ ποῖ καὶ ποῦ τὴν ἐν τόπῳ, τὸ δὲ πῶ καὶ τούτου, τὴν ἐκ τόπου.

Πολιορκία, ἡ πρὸ τῶν τείχων τῆς πόλεως πόρθωσις καὶ χαράκωσις, ἐκ τοῦ πόλις τοῦ σημαίνοντος τὸν ὄχλον, καὶ τοῦ ἕρκος ὃ σημαίνει τὸ τεῖχος πολιερκία καὶ πολιορκία.

Ποῖος καὶ πόσος διαφέρει· ὅτι ὁ μὲν ποῖος ἐπὶ ποιότητος τάσσεται· τὸ δὲ πόσος ἐπὶ ποσότητος.

Πολίχνη, πολίχνης, ἡ μικρὰ πόλις.

Πόκος, παρὰ τὸ πέκω τὸ ξαίνω, καὶ σημαίνει τὸ ποκάριον· καὶ γὰρ ὁ πόκος ἐκ τοῦ προβάτου κείρεται· ἔστι δὲ τὸ κεκομμένον ἔριον.

Πολεῖν, οἰκεῖν, παρὰ τὸ ἀναστρέφεσθαι εἰς αὐτὸν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας.

Πολεμησείω, πολεμικῶς (ἔχω) ἀπὸ τοῦ πολεμῶ πολεμήσω καὶ κατὰ παραγωγὴν πολεμησείω, ὡς βρώσω βρωσείω καὶ ἡ μετοχὴ ὁ πολεμησείων πολεμησείοντος, τὸ πληθυντικὸν πολεμησείοντες· κλίνεται δὲ μέχρι τοῦ παρατατικοῦ· τὰ γὰρ ἀπὸ ἐνεστώτων ἢ μελλόντων παρηγμένα ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Πολεμικὸν σάκος, ἀπὸ τοῦ πάλλειν τὸ σάκος, ἤγουν κινεῖν τὴν ἀσπίδα· εἴρηται δὲ σάκος ἐπειδὴ πρῶτον παρὰ σάκεσιν εὑρέθη· σάκες δέ εἰσιν, οἱ τῆς Θρᾴκης.

Πολεμικὸς καὶ αἰχμητὴς διαφέρει· πολεμικὸς μὲν γάρ ἐστιν ὁ ἔμπειρος τοῦ πολέμου· αἰχμητὴς δὲ ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

Πόλεμος, παρὰ πολλοὺς ἀμᾶν ἤγουν κόπτειν· ἢ παρὰ τὸ τὰς πόλεις μειοῦν ἤγουν ἐλαττοῦν· οἱονεὶ πολύαιμός τις ὤν· ἢ παρὰ τὸ πολλοὺς κόπτειν, καὶ ἀπολλύειν.

Πολιοφάγος, ὁ πολιὰς τρώγων.

Πόλις, παρὰ τὸ πολῶ τὸ ἀναστρέφομαι· ἢ παρὰ τὸ πολίζω τὸ οἰκῶ· ἢ παρὰ τὸ ἐκ πολλῶν συνίστασθαι.

Πόλις καὶ ἄστυ διαφέρει· πόλις μὲν λέγεται τὸ οἰκοδόμημα, ἄστυ δὲ ἡ κατασκευὴ τῆς πόλεως. πόλις λέγεται τὸ πολίτευμα, ἄστυ δὲ τὸ τεῖχος.

Πόλις καὶ ἄστυ διαφέρει· πόλις μὲν ὁ τόπος καὶ οἱ κατοικοῦντες, ἤγουν τῶν συναμφοτέρων· ἄστυ δὲ μόνον ὁ τόπος. Ὅμηρος· Φράζεο νῦν ὅπως πόλιν καὶ ἄστυ σαώσῃς.

Πολιά, ἡ λευκὴ θρίξ, παρὰ τὸ παλαιοῦσθαι παλαιὰ καὶ πολιά.

Πόλις πατρίδος διαφέρει· καθὸ ἡ μὲν πατρὶς πόλιν περιέχει· ἡ πόλις δὲ πατρίδα οὐκέτι.

Πολιοῦχος, ὁ τῆς πόλεως ἄρχων.

Πολίτης, καὶ πατριώτης διαφέρει· πολίτης μὲν ὁ τῆς αὐτῆς πόλεως μετέχων· πατριώτης δὲ, ὁ μὴ κατὰ νόμον ἑαυτῷ ὤν.

Πολήων, τῶν πόλεων, ἡ πόλις τῆς πόλιος, ποικίλλεται δὲ ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν πόλεων κοινῶς, τῶν πόλιων διὰ τοῦ ἰῶτα Ἰωνικῶς, τῶν πολήων διὰ τοῦ ἦτα Ἀττικῶς.

Πολλάκις, ἐκ τοῦ πολλὸς πολλοῦ πολλάκις, ἐπίῤῥημα ὥσπερ ὀλιγάκις.

Πολλὸς, καὶ πολὺς διαφέρει· ὅτι τὸ μὲν πολὺς δι' ἑνὸς λ ἐκ τοῦ πέλω τὸ δὲ πολλὸς διὰ δύο λλ, πρὸς ἀντιδιαστολήν· ἀμφότερον δὲ γίνεται ἐκ τοῦ πέλω τὸ ἀναστρέφομαι· ὡσαύτως καὶ τὸ πολλιστός.

Πολλοῦ γε δεῖ, πολλὰ χρή; οὐδαμῶς πάνυ κατὰ πολύ.

Πολιτεία, κατὰ μὲν τὴν παραλήγουσαν διὰ τῆς ει διφθόγγου γράφεται· ὡς γὰρ ἀπὸ τοῦ μοιχεύω μοιχεία, οὕτως ἀπὸ τοῦ πολιτεύω πολιτεία· κατὰ δὲ τὴν παραλήγουσαν διὰ τοῦ ἰῶτα· ἀπὸ γὰρ τοῦ πολίτης γέγονε πολιτεία.

Πολιοῦχος, ὁ σώζων τὴν πόλιν, ἢ τοὺς ἄρχοντας.

Πόλος, ὁ οὐρανὸς, ἀπὸ τοῦ ἕλω τὸ ἔρχομαι, ὅλος καὶ πλεονασμῷ τοῦ π, πόλος.

Πόλος, ὁ οὐρανὸς, παρὰ τὸ ἀναστρέφεσθαι τὸν κόσμον περὶ αὐτόν· ἢ ἐκ τοῦ πέλω τὸ ὑπάρχω.

Πολυβοτείρη, πολλοὺς τρεφούση, ἡ εὐθεῖα πολυβότειρα· τὸ τει διφθόγγῳ διάτι; τὰ εἰς ρα θηλυκὰ βαρύτονα, ἐὰν ἔχωσι τὸ ἰῶτα· γίνεται ἀπὸ τοῦ πολυβότειρον· τοῦτο παρὰ τὸ πόλυς καὶ τὸ βοτὴρ, τοῦτο παρὰ τὸν βήσω μέλλοντα, οὗ ὁ ἐνεστὼς βῶ· βοτὴρ σημαίνει τὸν βόσκοντα, ἐξ οὗ καὶ μηλοβοτῆρες, οἱ τὰ πρόβατα βόσκοντες.

Πολυθρύλλητος, διαβεβοημένος, ὀνομαστός.

Πολύϊδος, οὕτω καὶ Ἀπολλώνιος· καὶ ἔστι φασὶ, πολυΐδμων μάντις ὤν [1]· οὕτω καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνῃ· μαρτυρεῖ δὲ καὶ Φιλόξενος καὶ Σοφοκλῆς, δῶ μάντεσι συνεστίων, ὃ ῥᾳ πρόχειρον· καὶ πολυΐδου τοῦ μάντεως· καὶ πάλιν οὐκ ἔστιν εἰ μὴ πολυΐδην τῷ τυράννῳ.

Πολυπάμμονος, πολυπλασίου, πάμματα γὰρ καλοῦνται παρὰ τοῖς Δωριεῦσι τὰ κτήματα, καὶ πάσασθαι τὸ κτήσασθαι, ἐκτεινομένου τοῦ α.

Πολυκάθεδρος, ζυγὸς, ἣν αὐτ. καθέδρα.

Πολύζυγος, ἐκ τοῦ πολὺς καὶ τοῦ ζυγός· τὸ δὲ ζυγὸς σημαίνει τέσσαρα, τὸ ἅρμα τῶν ἵππων, ὡς τὸ ἱππείου δὲ ζυγοῦ θεὰ ἥψατο· καὶ τὸ τῆς κιθάρας πῆχυν, εἰς ὃν οἱ κάλαμοι ἐμπεπληγμένοι εἰσίν· ὡς τὸ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν· καὶ τὰς τῶν ἐρεσσόντων καθέδρας, ὡς τὸ νηῒ πολυζύγος· διάτι προπαροξύνεται; ὅσα τὸ πολὺ ἔχει ἐν τῇ συνθέσει, κατὰ τὸ ἄρχον μέρος, ὀνόματος ἐπιφερομένου ἢ ῥήματος ἐν τέλει προπαροξύνεται· οἷον πολύκαρπος, πολύμηλος, πολύϊδος, πολύβουλος, πολύολβος· σεσημείωται τὸ πολυφάγος, ποηφάγος, ὠμοφάγος, παμφάγος, σαρκοφάγος.

Πολύμητις. πολύβουλος· ἔστι μῆτις καὶ ἐν συνθέσει πολύμητις ἀναβιβάζει τὸν τόνον, καὶ κλίνεται πολυμήτιδος καὶ τὸ Ἰωνικὸν πολυμήτιος, διὰ καθαροῦ τοῦ ος, οἷον Πάριδος, Πάριος, Θέτιδος, Θέτιος ἐξαίσιον ἄρην.

Πολυμήχανος, ἐκ τοῦ μηχανὴ, τοῦτο παρὰ τὸ μήδω τὸ βουλεύομαι, ὁ μέλλων μήσω, μηχανὴ καὶ μετὰ τοῦ πολὺ γίνεται πολυμήχανος.

Πολὺς, ἐν λ· καὶ διὰ τοῦ εος κλίνεται· ὁ πολὺς τοῦ πολέος, ὡς ὀξὺς τοῦ ὀξέος, ἡ δὲ δοτικὴ τῷ πολεῖ, ὡς τὸ ὀξεῖ· ἡ αἰτιατικὴ τὸν πολὺν, τὸ πληθυντικὸν οἱ πολεῖς, τῶν πολέων, τοῖς πολέσι, τοὺς πολεῖς· ἡ δὲ πολλοῦ γενικὴ οὐκ ἔστιν ἀπὸ τῆς εὐθείας τοῦ πολὺς, ἀλλ' ἀπὸ τοῦ πολλὸς πολλοῦ, ὡς σκυλλὸς σκυλλοῦ, ὥσπερ καὶ ἡ μεγάλου γενικὴ οὐκ ἀπὸ τῆς μέγας εὐθείας, ἀλλ' ἀπὸ τοῦ μέγαλος· ὁ μέγαλος, τοῦ μεγάλου

---

1) Valcken. diatrib. ad Eurip. fragm. p. 200.

καὶ τὸ οὐδέτερον τὸ μέγαλον καὶ τὸ μέγα· καὶ εἰς τὸ πολλά.

Πολυπίδακα, πολλὰς πηγὰς ἔχουσα.

Πολυκοιρανία, πολυαρχία.

Πολύχουν, πολύφορον.

Πολύστονος, πολυστένακτος, παρὰ τὸ πολὺς καὶ τὸ στόνος, ὃ σημαίνει τὸν στεναγμόν· τοῦτο δὲ παρὰ τὸ στείνω τὸ στενάζω· τὸ στο μικρὸν διάτι; τὰ ἔχοντα τὸ ε.

Πολυωρήσεις με, φυλάξεις με· ἔστιν ὠρῶ τὸ φυλάσσω, καὶ ἐξ αὐτοῦ καὶ τοῦ πολὺ γίνεται πολυωρῶ πολυωρήσω, ἤγουν ἐπὶ πολὺ φυλάξω.

Πολῶ, τὸ οἰκῶ καὶ ἀναστρέφομαι, ἐξ οὗ καὶ πολίτης ὁ κατοικὸς, καὶ εἰς τὸ πυρπολούμενος.

Πόμα, καὶ πῶμα διχῶς λέγεται· τὸ ἁπλοῦν διὰ τοῦ ο μικροῦ· ἐν τῇ συνθέσει διὰ τοῦ ω μέγα.

Πομφόλυγες, αἱ ἐκ τῶν ὄμβρων ἢ ἄλλων καταφερομένων ὑδάτων κυρτώσεις, ἤγουν φυσήματα· ὅθεν καὶ ἐπὶ τῶν διὰ κενῆς φυσιουμένων, ἢ ἄλλως ἐπαιρομένων λαμβάνεται ἡ λέξις.

Πομπὴ καὶ πομπεία διαφέρει· πομπὴ μὲν γάρ ἐστιν, ἣν τοῖς θεοῖς πέμπουσι· πομπεία δὲ ἡ λοιδορία.

Πομάριον, παράδεισος, Ῥωμαΐα ἡ λέξις· ποῦμα γὰρ λέγουσι τὴν ὀπώραν.

Πονέσω τοῦ πονήσω διαφέρει· ὁ μὲν γὰρ πονέσω ἐπὶ σώματος, τὸ δὲ πονήσω ἐπὶ ψυχῆς.

Πονηρὸς, ἐκ τοῦ πονῶ πονήσω πονηρός· πόνηρος κυρίως ὁ μώλωπας ἔχων, ὡς ἐκ τοῦ πονεῖν.

Πόνηρος, ὁ κατὰ ψυχὴν φαῦλος· πονηρὸς δὲ ὁ ἐπίπονος καὶ ὑπομονητικός· ἐξ οὗ ἐστὶ καὶ πονήρῳ ἕλκει.

Πονηρὸς, παρὰ τὸ πονεῖν κατὰ τὸν νοῦν· ἀπὸ δὲ τοῦ σώματος ἡ μεταφορά.

Πονηρία, διὰ τὸ τὸν πόνον εἰσαγαγεῖν καὶ μόχθον αὐτῷ τῷ κεκτημένῳ· διὸ καὶ ἡ σοφία λέγει· ἐὰν κακὸς γένῃ, μόνος ἀντλήσεις τὰ κακά.

Πόντος, παρὰ τὸ πένω τὸ ἐνεργῶ καὶ κάμνω ἀφ' οὗ καὶ πόνος καὶ πόντος, καθὸ πεπόνηται τὸ τῶν ἀνθρώπων γένος περὶ τὸν ἁπλοῦν· πόνῳ οὖν ἐπώνυμον ὁ πόντος· ἢ παρὰ τὸ πνέω πνότος καὶ μεταθέσει πόντος, ἐξ οὗ αἱ πνοαί. Ὅμηρος αἶψα δὲ πόντον ἵκανον ἀήμεναι.

Πόντος, ἡ θάλασσα, ἀπὸ τοῦ πνέω, ἐν ᾗ αἱ πνοαὶ καὶ ἄνεμοι φέρονται· ἐκ τούτου καὶ πόντιον θηρίον τὸ θαλάσσιον.

Πο..πύσματα, ποῖα λέξις ἐστι; σημαίνει τὸν ἠθικὸν λόγον· ὡς ὅταν ἐστιν ἵππος ἄγριος καὶ θέλομεν αὐτὸν ἡμερῶσαι· τοῦτον τὸν λόγον λέγομεν.

Πορδὴ, παρὰ τὸ πόῤῥω διέρχεσθαι, ἢ παρὰ τοῦ πέρα τοῦ δέοντος εἶναι· ἢ διὰ τὸ περᾶν ἤγουν πηδᾶν.

Ποιεῖν τοῦ πράττειν καὶ θεωρεῖν διαφέρει· ποιεῖν λέγεται ἐπὶ τῶν ποιητικῶν τεχνῶν, τεκτονικῆς καὶ τῶν τοιούτων· πράττειν δὲ ἐφ' ᾧ οὐ διαμένει τὸ τέλος, ἤγουν τὸ ἀποτέλεσμα, ὡς ἐπὶ τῆς αὐλιστικῆς, ὀρχιστικῆς· θεωρεῖν δὲ ἐπὶ τοῦ ἀστρονομεῖν, γεωμετρεῖν, νοεῖν καὶ τῶν τοιούτων.

Πορθμὸς, στενὴ θάλασσα, ὑπὸ γῆς περιεχομένη· ἰσθμὸς δὲ στενὴ γῆ ὑπὸ θαλάσσης περιεχομένη.

Πόρνη, παρὰ τὸ πόῤῥω ἐκ τῆς εὐνῆς ποιεῖσθαι· ἢ παρὰ τὸ πεπωρωμένον τὸν νοῦν ἔχειν.

Πορνεία, ἀπὸ τοῦ πορεύεσθαι, αὐτὸ δὲ τὸ πορεύεσθαι, ἀπὸ τοῦ εἰς πέραν ἔρχεσθαι· ἢ παρὰ τὸ πόῤῥω νεύειν.

Πορθμεῖον καὶ πορθμίον διαφέρει· πορθμεῖον δὲ διὰ τῆς ει διφθόγγου λέγεται τὸ πλοῖον· πορθμίον δὲ διὰ τοῦ ἰῶτα, τὸ ναῦλον· τὸ μι ἰῶτα διάτι; τὰ διὰ τοῦ ων δακτυλικὰ τρισύλλαβα διὰ τοῦ ι γράφεται· οἷον, σκαμνίον, βιβλίον, πορθμίον.

Πορίζω, παρέχω, ἐκ τοῦ πόρος πορίζω· τοῦτο παρὰ τὸ περῶ τὸ διαβαίνω.

Πορίζω, ποιῶ, ἐκ τοῦ πόρος, ὃ σημαίνει τὴν ὁδόν· τοῦτο δὲ παρὰ τὸ περῶ· διαφέρει πόρος καὶ πορός· πόρος μὲν λέγεται ὁ ἀδιάβατος τόπος, πορὸς δὲ ὁ περάτης· ἐξ αὐτοῦ ῥῆμα πορίζω, διὰ τοῦ ἰῶτα.

Πόρκις, ὁ δακτύλιος, ὁ συνέχων τὴν ἐπιδορατίδα πρὸς τὸ ξύλον.

Πόρνος, διὰ τὸ πονηρὸν ἔργον ποιεῖν· ἢ παρὰ τὸ πῶρος καὶ τὸν νοῦν πώρονος καὶ πόρνος κατὰ συγκοπὴν, ὁ ἔχων πόρωσιν τοῦ νοῦ· ἢ παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν, τουτέστιν ἐσκοτισμένον· ἢ παρὰ τὸ πόῤῥω νοὸς εἶναι.

Πόρπη, φίβλα, περόνη, παρὰ τὸ πείρω τὸ ἐκβάλλω, πόρη καὶ πόρπη, πλεονασμῷ τοῦ π.

Πόῤῥω, ἔξω, μακρὰν, ἀπὸ τῆς πρὸς προθέσεως, πρόσω καὶ ἐν ὑπερβιβασμῷ πόρσω, τὸ ἀκολουθῶ, καὶ τροπῇ τοῦ σ εἰς ρ, πόῤῥω.

Πορσανεύουσα, μετοχὴ, τὸ θέμα πορσαίνω, ὁ μέλλον πορσανῶ, ἡ μετοχὴ πορσανῶν, πορσανοῦσα, καὶ Ἰωνικῇ διαλύσει πορσανέουσα, ὡς τὸ πλυνέουσα· τὸ πορσαίνω ἐκ τοῦ ὄῤῥω τὸ διεγείρω, ὁ μέλλων ὀρῶ Αἰολικῶς ὄρσω. καὶ κατὰ παραγωγὴν ὀρσαίνω, καὶ πλεονασμῷ τοῦ π πορσαίνω· ἢ ἐκ τοῦ πόῤῥω τὸ παρέχω, ὁ μέλλων πορῶ καὶ Αἰολικῶς πόρσω, καὶ ἐξ αὐτοῦ πορσαίνω, οἱονεὶ ἑτοιμάζουσα δωρουμένη.

Πόρος, ἡ διάβασις.

Πορσύνω, παρασκευάζω, εὐτρεπίζω, ἑτοιμάζω, διεγείρω, ἢ παρέχω.

Πόρτις, καὶ πόρταξις, ἡ δάμαλις· παρὰ τὸ ἄρτι εἰς πορείαν καὶ νομὴν ἰέναι.

Πόρτακι, μόσχῳ, νεογνῷ βοΐ, οἱονεὶ πόροιο, παρὰ τὸ νεωστὶ πορεύεσθαι καὶ βαίνειν.

Πόρωσις, ἀπολίθωσις, σκότωσις.

Ποσειδάων, ὁ Ποσειδῶν, κλίνεται Ποσειδάωνος, ὡς παρώνυμον φυλάσσει τὸ ω, ὡς περισπώμενον μὴ συνεξακολούθησε τοῖς περισπωμένοις ὡς παρώνυμον· σεσημείωται γὰρ τὸ Ποσειδῶν καὶ περισπᾶται· διάτι ἐσημειώθη; ἐροῦμεν· ὅτι τὰ εἰς ων περισπώμενα, οὐδέποτε εἰσὶ παρώνυμα· ἐπειδὴ δὲ εὑρέθη τοῦτο παρώνυμον, τούτου χάριν σεσημείωται· ἔστι γὰρ ὄνομα Ποσειδέης καὶ ἐξ αὐτοῦ Ποσειδέων, καὶ τροπῇ Δωρικῇ τοῦ ε εἰς α, ὡς ἐπὶ ἄλλων πολλῶν, γίνεται Ποσειδάων Ποσειδάωνος, καὶ ὡς παρώνυμον φυλάσσει τὸ ω, ὡς Θέων καὶ Ἱέρων· ἐτυμολογεῖται οὖν Ποσειδῶν, παρὰ τὸ τῇ πόσει ἐνδεῖν· οὐδεὶς γὰρ γεύεται θαλαττίου ὕδατος· ἢ παρὰ τὸ τοὺς πόδας δεῖν· ἐκεῖσε γὰρ ἀφικόμενοι, βαδίζειν οὐ δυνάμεθα· ἢ παρὰ τὸ πέδον σεύειν, ὁ αὐτὸς γάρ ἐστι καὶ Ἐνοσίχθων· ἢ παρὰ τὸ πόσιν τῷ δάει, τουτέστι τῷ ἡλίῳ ανατέμπειν· φασὶ γὰρ τὸν ἥλιον, ἐκ τῆς θαλάσσης ἀνιμᾶσθαι τὴν ὑγρότητα.

Ποσειδῶν, ἰστέον, ὅτι τὸ Ποσειδῶν παρ' ἡμῖν καὶ Ἀθηναίοις διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ τοῖς Ἴωσι δὲ διὰ τοῦ ι μακροῦ· καὶ παρὰ τοῖς Αἰολεῦσι καὶ Δωριεῦσι ἔστι διὰ τοῦ ι γραφόμενον· ἀλλ' οἱ μὲν Αἰολεῖς βαρύνουσι, τρέποντες τὸ σ εἰς τ, καὶ τὴν τελευταίαν εἰς αν, οἷον, Ποτιδάν· καὶ ἡ διὰ τῆς ει διφθόγγου γραφὴ, καὶ ἡ διὰ τοῦ ι γραφὴ, ἔχει λόγον·

μὲν διὰ τῆς ει διφθόγγου γράφεται, γίνεται παρὰ τὸ πέδον σείειν· ἀπὸ οὖν τοῦ πέδον σείειν, γέγονε πεδιάων καὶ ἐν ὑπερβιβασμῷ Ποσειδάων καὶ Ποσειδῶν· ἡ διὰ τοῦ ι γραφὴ ἔχει λόγον, ὅτι Ποσιδῶν λέγεται παρὰ τὸ τοὺς πόδας δεῖν, ἤγουν δεσμεῖν· ἐν θαλάσσῃ γὰρ ἀφικόμενοι βαδίζειν οὐ δυνάμεθα.

Πολλαχῶς, πλειστάκις.

Πόσις, ὁ ἀνὴρ, παρὰ τὸ τὴν πόσιν τοῦ ὕδατος· ἐπειδὴ τὸ ὕδωρ καὶ αὐτὸ μιγνύμενον τῇ γῇ γεννητικὸν γίνεται· ὁμοίως καὶ ὁ ἀνὴρ τῇ γυναικὶ μιγνύμενος, γενέσεως αἴτιος γίνεται.

Πόσις, δύο σημαίνει, τό τε πόμα καὶ τὸν ἄνδρα· λέγεται δὲ ἀπὸ μεταφορᾶς τοῦ ὕδατος ὁ ἀνὴρ πόσις, καὶ κλίνεται πόσιος.

Ποστιμόριον, τῶν δύο δρακῶν τῆς χειρὸς τὸ μέτρον.

Πόσθη, τὸ αἰδοῖον, παρὰ τὸ προκεῖσθαι καὶ προτεθεῖσθαι.

Ποταμηδὸν, δίκην ποταμοῦ.

Ποταμὸς, παρὰ τὸ ποτιμὸν ὕδωρ ἔχειν· ἢ παρὰ τὸ ποτάζω ποτάσω ποταμὸς, οὕτως Ἡρωδιανός.

Ποταμὸς, ὁ ἔχων ποτὸν καὶ ἄμμον· ἢ διὰ τὸ ποτάμον· ἢ παρὰ τὸ ποτιμὸν ὕδωρ ἔχειν· ἢ ὁ ἔχων ποτιμὸν ἐνεργείαν· ὅτε μέν ἐστιν ἐπὶ χρόνου, τότε δὲ ἐπὶ ὥρας.

Ποτήριον, διότι τὸ πόμα τηρεῖ.

Ποτήριον, παρὰ τὸ τὴν πόσιν τηρεῖν· σημαίνει δὲ τέσσαρα· τὴν τιμωρίαν, ὡς τὸ ποτήριον ἐν χειρὶ κυρίου· καὶ ὡς τὸ ποτήριον σωτηρίου λήψομαι· καὶ τὸν θάνατον· ὡς τὸ, πάτερ εἰ δυνατὸν ἀπελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· καὶ τὸ ἀγγεῖον, ἐν ᾧ πίνομεν.

Ποτιδέγμεναι, μετοχή· τὸ τι ἰῶτα διάτι; ἔστι γὰρ πρὸς καὶ Δωρικῶς τρέπεται τὸ σ εἰς τ· καὶ ἐπεὶ οὐδέποτε λέξις Ἑλληνικὴ εἰς ψιλὸν σύμφωνον καταλήγεται, τὸ τ καταλῆγον προσλαμβάνει τὸ ι· καὶ ἀποβολῇ τοῦ ρ γίνεται ποτὶ καὶ ἔστι δεδέγμεναι· συντιθέμεναι γὰρ αἱ προθέσεις τὸν τόνον ἀναπέμπουσιν. ἄλλως· ἔστι πρὸ, ἐξ αὐτοῦ κατ' ἐπέκτασιν τῆς σι συλλαβῆς προσί· ἀναλόγως ἢ παραλόγως; ἀναλόγως· ἐπειδὴ παρέπεται ταῖς προθέσεσι, τὸ μέχρι τῆς δι συλλαβῆς ἐκτείνεσθαι, καὶ τροπῇ δωρικῇ τοῦ σ εἰς τ· ὡς περσὸς περτὸς, οὕτω καὶ προσὶ, προτὶ, καὶ ποτὶ κατ' ἀποβολὴν τοῦ ρ.

Ποτίζω, παρὰ τὸ πῶ, πῶμι, πέπωκα, πέπωμαι, καὶ ἐξ αὐτοῦ ῥῆμα παράγωγον ποτίζω.

Πότμος, παρὰ τὸ πετῶ ποτῶ γίνεται πότος καὶ πλεονασμῷ τοῦ μ πότμος· σημαίνει δὲ δύο, τὸν θάνατον καὶ τὴν ἐσχάτην σύμπτωσιν τοῦ βίου, ἀπὸ τοῦ πεσεῖν καὶ ἐπὶ τῆς ψυχῆς τὸ μεταπίπτειν· ἢ ὑπὸ τὴν γένεσιν τοῦ βρέφους ἐπιμεριζομένη τύχη· γίνεται δὲ παρὰ τὸ πτῶ, ὅπερ ἐστὶ κατὰ συγκοπὴν τοῦ πίπτω.

Ποτνιᾶται, κυριώτερον ἄν τις φήσειεν ἐπὶ γυναικῶν, ὅταν γυνὴ κακόν τι πάσχῃ καὶ θέλει ἱκετεύειν θεὸν, ὦ πότνια λέγουσα· ποτνιᾶσθαι δὲ ὅταν εἴπῃ τις ἄνδρα, προφανῶς ἁμαρτάνει· ποτνιᾶσθαι δὲ ἐστὶ ἐλεεινολογεῖσθαι, καὶ μετὰ δακρύων τι λέγειν καὶ ὀδυρμῶν· πότνια δὲ ἡ σεμνὴ, ἄλλο γὰρ τὸ ῥῆμα σημαίνει, καὶ ἄλλο τὸ ὄνομα.

Ποτνιῶ, σημαίνει τὸ δυσφορῶ καὶ μετὰ λύπης ἱκετεύω τὸν θεὸν, παρὰ τὸ ποτῶ, ἐξ οὗ καὶ τὸ μήτηρ δ' ἀμφιπεποτᾶτο, κατὰ παραγωγὴν ποτιῶ, καὶ πλεονασμῷ τοῦ ν ποτνιῶ.

Πότος, τὸ συμπόσιον, παρὰ τὸ πῶ τὸ πίνω· διαφέρει δὲ πότος καὶ ποτός· πότος βαρυτόνως λέγεται ὁ ἄριστος· καὶ ἐποίησεν Ἰακὼβ πότον μέγα τοῖς υἱοῖς αὐτοῦ· ποτὸς δὲ ὀξυτόνως τὸ πινόμενον πόμα.

Ποὺς, παρὰ τὸ πεπῦσθαι ἀπὸ τοῦ ὅλου σώματος, παρὰ τὸ παίω ῥῆμα, ὁ μέλλων παίσω, καὶ τροπῇ τοῦ ι εἰς υ παύσω, καὶ ἐξ αὐτοῦ ποῦς, τὸ κατώτερον μέρος τοῦ σώματος.

Ποὺς, παρὰ τὸ πόρος, ὁ διαπερώμενος τόπος· τὰ εἰς ος ὀνόματα δισύλλαβα ῥηματικὰ, ἡνίκα μὲν παθητικὸν ἐστι τὸ σημαινόμενον βαρύνεται· ἡνίκα δὲ ἐνεργητικὸν, ὀξύνεται· ἐκ τοῦ πόρος γίνεται κατὰ συγκοπὴν πρὸς, ἐκβολῇ τοῦ ρ πὸς, καὶ ἐπειδὴ οὐδέποτε ὀνόματα μονοσύλλαβον βραχυκαταλήγειν θέλει, πλὴν τοῦ τὶς, πλεονάζει τὸ υ καὶ γίνεται πούς· καὶ λοιπὸν ἐκ τοῦ περῶ πορὸς ὀξύτονον, τὸν ἐνεργοῦντα, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον· ὠκύπους.

Πραιτώριον, παρὰ τὸ πράττω, πρατώριον, ὅπου τὰ πραττόμενα ὡροῦνται, ἤγουν φυλάσσονται, καὶ ἐξανύονται· πλεονασμῷ τοῦ ἰῶτα.

Πραΐδα, ἐκ τῆς παρὰ προθέσεως, καὶ τοῦ αἴθω τὸ καίω.

Πρανὲς, καταντὲς, καταφερὲς καὶ πρανίζει τὸ καταφέρει, πρανὲς οὖν τὸ προνενευκός· καὶ εἰς τὸ πρηνής.

Πρασία, ἡ τετράγωνος καὶ πεφυτευμένη γῆ, ἐν ᾗ φυτεύονται κρόμμυα· Πρασία καὶ πόλις Πελοποννήσου.

Πρᾶσις, παρὰ τὸ πέρασις εἶναι, πέρασίς τις οὖσα· μεταβαίνει ἐξ ἑτέρου εἰς ἕτερον τὸ πιπρασκόμενον.

Πράσον, παρὰ τὸ πρίσκειν, ἢ παρὰ τὸ σαίνειν αὐτὸ ἐν τῷ σπείρειν, καὶ φυτεύειν· ἢ παρὰ τὸ ποιρέσσειν ποιεῖν.

Πρᾶος, παρὰ τὸ ῥᾷον, ὃ σημαίνει τὸ εὔκολον· ἔχει δὲ τὸ ἰῶτα· τὰ εἰς ον καθαρὰ δισύλλαβα, διφθόγγῳ παραληγόμενα τέσσαρά εἰσι· καὶ τὰ μὲν δύο ἐκφωνοῦσι τὸ ἰῶτα, οἷον πλεῖον δεῖον, τὰ δὲ δύο οὐχὶ, οἷον ῥᾷον πρᾷον.

Πραίκων, κήρυξ.

Πραγμάτιον, τῶν πραγμάτων δε̄ ἢ τοῖς πράγμασι.

Πρέμνον, τὸ ὑπὸ τῶν γηρασκόντων στελεχῶν.

Πρέμνα, τὰ ἰσχυρὰ στελέχη, καὶ οἱ βλαστοὶ οἱ γεγηρακότες.

Πρεσβεύεσθαι καὶ πρεσβεύειν διαφέρει· πρεσβεύειν μὲν τὸ πέμπειν πρέσβεις· πρεσβεύεσθαι δὲ τὸ πεμπεσθαι πρεσβευτάς.

Πρέσβυς, ὁ γέρων παρὰ τὸ προβεβηκέναι τὴν ἥβην, διὰ τοῦ υ ψιλοῦ· καὶ πρέσβις ὁ παρακλήτωρ, ὁ πεμπόμενος πρὸς τὸν βασιλέα διὰ τοῦ ἰῶτα· ἀπὸ τοῦ πρεσβεύειν καὶ μεσιτεύειν.

Πρεσβευτὴς, ὁ ἱκετεύων καὶ παρακαλῶν, ἱκέτης· ἀπὸ τοῦ πρεσβεύειν· ἐκ τούτου καὶ πρέσβις.

Πρέσβειρα, διὰ τῆς ει διφθόγγου, σημαίνει τὴν γεγηρακυῖαν· τῷ τῶν διὰ τοῦ ειρα.

Πρέσβυς, παρὰ τὸ προβεβηκέναι τὴν ἥβην· καὶ πρεσβεὺς παρὰ τὸ πρεσβεύω πρεσβεὺς, ὡς ἱππεύσω ἱππεύς· καὶ ὡς βασιλῆες καὶ πρεσβῆες ἔσαν· παρὰ δὲ τὸ πρεσβεύω πρεσβευτής.

Πρηγορέων, ὁ λαιμὸς, ἐκ τοῦ προάγω.

Πρήθω, τὸ καίω, ἐξ οὗ καὶ ἐμπρησμός.

Πρησμῶ, τὸ φυσῶ καὶ πληρῶ ἐξ οὗ καὶ ἔπρησα ἀσμόν.

Πρίθω, τὸ σχίζω, ἐξ οὗ καὶ πρίων.

Πρήθω, σημαίνει τὸ φυσῶ· ἔστι καὶ ἕτερον τὸ ἐμπυρίζω.

Πρήθω, πρῶ πρήσω, ὁ ἀόριστος ἔπρησα, τὸ δεύτερον ἔπρησας· ἔστι καὶ πρῶ τὸ πιπράσκω· εἴρηται περῶ περάσω πεπέρακα καὶ συγκοπῇ πέπρακα, τὸ πρη ἦτα διάτι; τὰ διὰ τοῦ η ῥήματα μὴ ἐν κινήσεσιν εὑρισκόμενα γεννῶντα τὸ ο, διὰ τοῦ η γράφεται, ἐπὶ βαρυτόνων καὶ περισπωμένων· ἔστιν οὖν πρῶ τὸ περῶ, πρήθω, ὁ παθητικὸς παρακείμενος ἐμπέπρησμαι καὶ ἐξ αὐτοῦ ἐμπρησμός.

Πρηκτῆρος, πρακτικὸς, ἀπαιτητής· ῥῆξαι πράξαι, ἐκ τοῦ πράσσω, ἐξ οὗ καὶ ἔπρηξας.

Πρηνὲς, ἐπίῤῥημα τοπικὸν, ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν, ἔστι γὰρ πρηνής· τὸ πρη ἦτα, διότι ἀνεφάνη τὸ α ἐν τῷ πρανὲς, ὃ σημαίνει τὸ κατωφερές· λοιπὸν ἔστι πρηνὴς, καὶ τὸ οὐδέτερον πρηνὲς, παρὰ τὸ προνενευκέναι, ἢ ἀπὸ τοῦ πρόσω νενευκέναι.

Πρηνὴς, παρὰ τὸ προνενευκέναι, τουτέστι πεσεῖν ἐπὶ πρόσωπον.

Πρίαμος, ὄνομα κύριον· ἐκ τοῦ πρίημι τὸ ἀγοράζω, πρίαμαι, Πρίαμος· ἐπράθη γὰρ καὶ διὰ τοῦτο καὶ ταύτης τῆς ἐπωνυμίας ἔτυχεν, ὡς ἱστορεῖ Λυκόφρων· ἀνητὸς αἰθαλωτὸν εἰς πάτραν μολὼν [1]· διάτι προπαροξύνεται; τὰ διὰ τοῦ αμος ὀνόματα, εἰ μὲν ὦσι κύρια, βαρύνονται, οἷον Πρίαμος, Σίσαμος· εἰ δὲ μὴ οὕτως ἔχῃ, ὀξύνονται, οἷον Φωριαμὸς, χηραμός.

Πρῖνος, εἶδος δένδρου, διὰ τοῦ ἰῶτα, τῷ λόγῳ τοῦ ἀκραγαντῖνος· ἰστέον δὲ ὅτι εὕρηται καὶ ὁ πρῖνος ἀρσενικὸν, καὶ ἡ πρῖνος θηλυκόν· γίνεται δὲ παρὰ τὸ πριονῶ τὰ ἔχοντα τὸ φυλλόν.

Πριβάτα, τὰ τῇ βασιλείᾳ ἰδιαζόντως διαφέροντα· ἄλλα δὲ ἔστι τὰ δημόσια, ὅσα τελ' ὑπὸ τὸν κόμητα τῶν λαργιτιόνων ταῖς δημοσίαις ὑπουργοῦντα χρείαις· λαργιτίονες δὲ εἰσὶ δύο, τὰ σάκρα καὶ τὰ πριβάτα· δύο γὰρ εἰσὶ βασιλικοὶ θησαυροί· οἱ ἰδιάζοντες τῆς βασιλείας, οἷον ὁ τῶν λαργιτιόνων, καὶ ὁ δημόσιος ὁ τοῦ φίσκου.

Πρίημι, εἰς τὸ ἀπριάτην.

Πρὶν, χρόνου δηλωτικὸν ἐπίῤῥημα· γίνεται ἐκ τοῦ πάρος πάριν καὶ συγκοπῇ πρίν· τὸ πάρος ἐκ τοῦ πρὸς μικρόν· τὸ πρὸς; ἀντὶ τοῦ ἔμπροσθεν.

Πρίων, παρὰ τὸ πρίζω, ἰστέον ὅτι τὸ πρίζω [2] ἀρσενικῶς λέγεται καὶ παροξύνεται, καὶ διὰ τοῦ ἰῶτα γράφεται, τῷ λόγῳ τοῦ Ἀμφίων.

Προπέτεια, ἡ ἀχαλίνωτος γλῶσσα.

Προαίρεσις, ἐκ τοῦ αἱρῶ τὸ βούλομαι, καὶ προαιροῦμαι, ἐξ οὗ καὶ προαίρεσις.

Πρόβατα, πάντα τὰ τετράποδα ἐκάλουν οἱ παλαιοὶ πρόβατα διὰ τοῦ πρὸ τῶν ὀπισθίων βάσεων ἑτέρας ἐμπροσθίους ἔχειν, καθὸ καὶ Ἡσίοδος φησὶ, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις [3]).

Πρόβατα, λέγεται τὰ τετράποδα πάντα, διὰ τὸ προβαίνειν νεμόμενα, ἢ διὰ τὸ πρὸ πάντων βατεύεσθαι αὐτά.

Πρόβατον, παρότι πᾶν τ' ἔστιν αἱρετόν· καὶ βοτὸν ἤγουν ἐπιθυμητικόν· ἢ διότι προβατεύει τῷ καιρῷ πρὸ τῶν τετραπόδων· ἢ παρὰ τὸ πρῶτως βαίνειν τὸν ἔμπροσθεν πόδα τοῦ ὀπισθίου· πᾶν γὰρ τετράποδον πρόβατον ἐκάλουν.

Πρόβλημα, παρὰ τὸ βλῆμι· ἢ παρὰ τὸ βλῶ βλήσω βλῆμα καὶ πρόβλημα.

Πρόβλημα προτάσεως διαφέρει· πρόβλημα λέγεται ἡ ἑκατέρωθεν ἀμφισβητουμένη ζήτησις· πρότασις δὲ ἡ ἐρώτησις· ὡσαύτως καὶ παραβολὴ καὶ παράδειγμα διαφέρει, ὅτι ἡ μεν παραβολὴ ἀπὸ ἀψυχῶν λαμβάνεται· τὸ δὲ παράδειγμα ἀπὸ ἐμψυχῶν ἢ γεγονότων.

Προβλῆτι, ὄνομα ἀρσενικὸν, πτώσεως δοτικῆς, ἡ εὐθεῖα προβλὴς προβλῆτος, προβλῆτι [4]· ὁ κανὼν, τὰ εἰς σ λήγοντα ὀξύτονα σύνθετα ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, διὰ καθαροῦ τοῦ τος κλίνεται, εἴτε εἰς ας ὦσιν, εἴτε εἰς ης, εἴτε εἰς ως, οἷον κέκραται χαλκοκρὰς, χαλκοκράτος, νεοκρὰς νεοκράτος· χαλκοκρὰς δὲ ἐστὶν ὁ χαλκῷ κεκραμένος· βέβληται, αβλὴς ἀβλῆτος, τέτρωται ἀτρὼς ἀτρῶτος, πέπτωκα, ἀπτὼς ἀπτῶτος, ὁ μὴ πέσων· ἔγνωται ἀγνὼς ἀγνῶτος, ὁ ἀμαθής· τέθνηκα ἡμιθνὴς, ἡμιθνῆτος· ταῦτα δὲ φησὶ, τὸ πέπτωκα καὶ τέθνηκα τῇ μὲν φωνῇ ἐνεργητικά εἰσι, τῷ δὲ σημαινομένῳ παθητικά.

Προβλῆτας, τοὺς θεμελίους λίθους, παρὰ τὸ προβεβλῆσθαι.

Προβάλλομαι, τιθῶ, προβάλλομαι ἐρωτῶ.

Προβάδην, κινούμενον.

Προβιβάσαντες, προάξαντες.

Πρόδηλον, τὸ πάνυ φανερόν.

Προαστεῖον, τὸ ἔξω τοῦ ἄστεως.

Προβόλιον, τὸ κυνηγητικὸν δόρυ.

Προὲς, πρόπεμψον, ἀορίστου δευτέρου προστακτικοῦ· ἀπὸ τοῦ ἵημι ὁ β ἀόριστος ἦν, καὶ τὸ προστακτικὸν ἓς, καὶ ἐν συνθέσει πρόες· ὅθεν καὶ τὸ σύνες, ἄφες, ἄνες, ποικιλλομένης τῆς προθέσεως.

Πρόσχωμεν, πᾶς ὁριστικὸς ἢ ὑποτακτικὸς μονοσύλλαβος εἰς ω λήγων, ἔχων τὴν μετοχὴν εἰς σ ὀξύτονον, τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει· οἷον, βῶ ἀναβῶ, θῶ καταθῶ, δῶ ἀναδῶ· εἰ δὲ μὴ εἰς σ ὀξύτονον ἔχει τὴν μετοχὴν ἀναβιβάζει τὸν τόνον, οἷον σχῶ κατάσχω, καὶ ἐξ οὗ τὸ πληθυντικὸν κατάσχωμεν καὶ πρόσχωμεν.

Προοίμιον, πρόλογος, ἀρχὴ λόγου, τὸ λεγόμενον πρὸ τῆς οἴμης· οἴμη ἔστιν ἡ ᾠδή.

Προειλόμην, προέκρινα, ἐπιλεξάμην.

Προθέλυμνος, πρόριζος, παρὰ τὸ τέλος τέλαμνος καὶ θέλυμνος.

Προθεσμία, ἐκ τοῦ θεσμὸς, ὃ σημαίνει τὸν νόμον· τοῦτο ἐκ τοῦ τίθημι, τίθεμαι, θεμὸς καὶ θεσμὸς ὁ νόμος· ἢ ἀπὸ τοῦ προτεθῆναι τὴν ἡμέραν, ἐν ᾗ τόδε γενέσθαι χρή· οὐκ ἀπὸ τοῦ θεσπίζειν, ἐὰν ἡμῖν προτιθῶμεν προθεσμίαν τινά· εἰ δ' ὁ θεὸς ὁ προτιθεὶς, καὶ ἀπὸ τοῦ προθεσπίζειν εἴρηται τὸ ὄνομα, προθεσπίζοντος τοῦ θεοῦ καὶ προνομοθετοῦντος περὶ τῆς ἡμέρας ἐν ᾗ τυχὸν τόνδε δεῖ τῆς ζωῆς ταύτης ὑπεξελθεῖν, ἢ τόνδε καταλυθῆναι τὸν ὑλικὸν σύμπαντα κόσμον· καὶ θεσπίζειν μὲν ἐπὶ θεοῦ κυρίως· καταχρηστικῶς δὲ καὶ ἐπὶ βασιλέως.

Προΐαψεν, ἐκ τοῦ ἰάπτω τὸ πέμπω.

Προσήκατο, προέδωκεν, εἴασεν.

Προῖκα χρηστὸς ἦν, ἤγουν δωρεὰν ἀγαθὸς ὑπῆρχε· τὸ δὲ προῖκα ἐπίῤῥημα ποιότητος.

Προικόνησος, ὄνομα νήσου, ἡ λεγομένη πρόκος, ἐν ᾗ τὰ μάρμαρα τὰ πλεῖω εἰσί· γίνεται δὲ ἐκ τοῦ προὶξ προικὸς καὶ τὸ νῆσος· ἡ πάσαις ταῖς νήσοις προῖκα μαρμάρων διδοῦσα.

---

1) vs. 338. et Schol. 2) L. πρίων. 3) Ἔργ. vs. 558. 4) Cf. Etym. M. v. Ἀβλῆτα.

Προῖξ, παρὰ τὸ προϊκνεῖσθαι τῆς γάμου· προῖξ ἐκ τοῦ πρόϊξ.

Προικίζω, γαμίζω καὶ Φερνίζω.

Προμαχίζειν, τὸ σχῆμα ἐστὶ πτώσεως δοτικῆς ἀντὶ γενικῆς, ὡς τὸ ἄρχευ Ἀργείοισιν, ἀντὶ τοῦ ἄρχον τῶν Ἑλλήνων, οὕτω καὶ τοῦτο, Τρώων προεμάχει· τὸ δὲ προμαχίζω, ἐκ τοῦ πρόμαχος· τοῦτο ἐκ τῆς πρὸ προθέσεως καὶ τοῦ μάχη, πρόμαχος, προμαχίζω· καὶ τὸ πρόμαχος γίνεται κατὰ συγκοπὴν πρόχος.

Προμήθεια, ἡ πρόνοια, ἐκ τοῦ προμηθής· τοῦτο ἐκ τοῦ μήδω, τροπῇ τοῦ δ εἰς θ, μῆθος καὶ προμηθής· ὀξύνεται καὶ κλίνεται τοῦ προμηθοῦς· ὁ κανὼν, ὡς τὸ εὐσεβοῦς· καὶ τὸ θηλυκὸν προμήθεια· τὰ γὰρ παρὰ τὸ μαθεῖν ἅπαντα διφοροῦνται, πλὴν τοῦ ἀμαθία· τὸ δὲ προμηθὴς ἐκ τοῦ μήθω τὸ μανθάνω, μήθεια καὶ προμήθεια· τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γινόμενα θηλυκὰ διὰ τοῦ ειa, ἀπολύτως μὲν λεγόμενα προπαροξύνονται· ἐπὶ οὐσίας τιθέμενα παροξύνονται.

Πρὸ μοίρας, καὶ πρὸ ὥρας διαφέρει· πρὸ μοίρας μὲν τὸ βιαίως ἀποθανεῖν, πρὸ ὥρας δὲ τὸ νέον ἀποθανεῖν.

Πρόμαχος, ὁ ἀντίδικος, παρὰ τὸ βῶ, πρόβατος ὁ προβαίνων· ἢ παρὰ τὸ πρόμαχος.

Πρόνοια, ἡ θρικὴ ἐπιμέλεια· διότι πρὸς τὸ συμφέρον καὶ χρήσιμον οἰκονομεῖν ἕκαστα· ἢ πρόνοια λέγεται τὸ ἀγαθὸν, ὡς πρὸ τοῦ νοῦ ὄν.

Πρόνοια, σημαίνει τέσσαρα· τὴν Φροντίδα, καὶ τὴν ἡγεμονικὴν τοῦ παντὸς δόσιν· τὴν προαίρεσιν καὶ τὴν πρόγνωσιν.

Πρόξενος, καὶ ἰδιόξενος καὶ δορύξενος διαφέρει· πρόξενος μὲν γὰρ πόλεως· ὁ δ' αὐτὸς καὶ ἰδιόξενος· οὐκ ὀρθῶς οὖν Εὐριπίδης· πρόξενος διαφέρει τοῦ ἰδιόξενος· πακῶς τίς ἐστι προξένους σοι χραμεν.. δορύξενος δὲ, ὁ κατὰ πόλεμον γινόμενος Φίλος· ἁλοὺς γὰρ εἰ ξενίων τυχὼν ἀφέθη παρὰ τοῦ πολεμίου λίτρας λαβόντα, μνᾶ δὲ ἦν ἡ τεταγμένη· κομίσας δὲ καὶ Φυλάξας τὴν πίστιν ἐγένετο ξένος, καὶ δορύξενος ἐκαλεῖτο.

Προοῦ, πρόπεμψον· ἔστιν ἵημι τὸ πέμπω, ὁ μέλλων ἥσω ὁ δεύτερος ἀόριστος ἦν, ὁ παρακείμενος ἧκα· ὁ παθητικὸς ἕμαι, ὁ μέσος ἀόριστος ἕμην, τὸ τρίτον ἕτο, καὶ τὸ δεύτερον αὐτοῦ πρόσωπον γίνεται κατ' ἀποβολὴν τοῦ τ, ἕο καὶ οὗ, καὶ ἐν συνθέσει προοῦ· κατὰ τροπὴν τοῦ τ εἰς σ ἕσο· ἡνίκα γὰρ συντεθῇ μετὰ μονοσυλλάβου προθέσεως περισπᾶται, οἷον προοῦ, ἤγουν πρόπεμψον· ἡνίκα δὲ μετὰ δισυλλάβου βαρύνεται, οἷον, σύνθου, ἀπόθου.

Προπάροιθεν, ἔμπροσθεν, ἐπίῤῥημα δέ ἐστι τοπικὸν, ἐκ τῆς πρὸ προθέσεως, καὶ τοῦ πάροιθεν· τοῦτο ἐκ τοῦ πάρος πάροθεν, καὶ πλεονασμῷ τοῦ ἰῶτα πάροιθεν· καὶ κατ' ἀναδιπλασιασμὸν προπάροιθεν· διάτι προπαροξύνεται; ἔστιν εἰς τὸ οὐρανόθι.

Προπετὴς, ὁ ἄγαν ἐκπίπτων τοῦ δέοντος, ἔμφρασιν δηλοῖ ἡ πρὸ πρόθεσις.

Πρόσωπον, τουτέστιν ἀπὸ τοῦ πρόσω ἔμπροσθεν, ἀλλ' οὐκ ἐκ πλαγίου τοὺς ὦπας ἔχειν· διὸ καὶ μόνοις ἀνθρώποις ἐπικατηγορεῖται.

Προπηλακισθέντες, ἀδικηθέντες, ὑβρισθέντες, διασυρέντες· προπηλακισμὸς γὰρ λέγεται ἡ ὕβρις, κατὰ προσαφῆς τοῦ σώματος, ἀπὸ τοῦ πηλακίζω· τοῦτο δὲ παρὰ τὸ πάλλω τὸ κινῶ· ἢ παρὰ τὸ παλλάκις, ἢ παρὰ τὸ πηλὸς ὃ καὶ βέλτιον· οἱ γὰρ Ἀττικοὶ τὸν ἐπί τινι ἁλόντα πηλῷ χρίοντες ἐδημοσίευον.

Πρότερος, καὶ πρῶτος διαφέρει· ὁ μὲν γὰρ πρῶτος ἐπὶ δυοῖν τάσσεται, ὡς Ὅμηρος ἐπὶ τοῦ Πτολεμαίου καὶ Σαρπηδόνος· καὶ τοῦ Πτολαιμίου πρότερον· τὸ δὲ πρῶτος ἐπὶ πολλῶν, ὡς Ὅμηρος ἐπὶ τῶν ἐννέα ἀριστόνων, τὸ πολὺ μὲν πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

Προσδοκάσθω, προστακτικόν· τὸ θέμα προσδοκῶ, δευτέρας συζυγίας τῶν περισπωμένων.

Πρόσχες, ἐκ τοῦ σχῶ τὸ κρατῶ, παράγωγον ῥῆμα εἰς μι σχῆμι, σχήσω, ὁ δεύτερος ἀόριστος ἔσχην, ἡ μετοχὴ σχεὶς σχέντος, καὶ τὸ προστακτικὸν σχὲς καὶ πρόσχες.

Πρὸς, ἡ πρὸς πολλάκις ἀντὶ τῆς παρὰ παραλαμβάνεται· καὶ εἰς τὸ πρὸς ῥὰ καὶ προσῆκον, καὶ πρόσφιν.

Προσευχὴ, ἔντευξις καὶ δέησις διαφέρει· προσευχὴ περὶ τῶν συμφερόντων· ἔντευξις κατὰ τῶν πλημμελησάντων· δέησις δὲ εἰς ἐκδίκησιν, καὶ εἰς τὴν εὐχήν.

Προσέχειν, εἰς τὸ ἀπροσεξία.

Προσήκατο, σημαίνει τὸ προσελάβετο· ἔστιν ἵημι, καὶ μετὰ τῆς πρὸς προθέσεως προσίημι, οἷον προσίεμαι, τουτέστι προσλαμβάνω σε· μετὰ δὲ τῆς πρὸ προθέσεως σημαίνει τὸ προδιδῶ· καὶ λοιπὸν ἐκ τούτου ἐνεστὼς προσίημι, ὁ μέλλων προσήσω, καὶ ὁ πρῶτος ἀόριστος προσῆκα, ὁ μέσος προσηκάμην προσήκατο· μετὰ δὲ τῆς πρὸ προθέσεως σημαίνει τὸ προδιδῶ, οἷον, οὐ προΐημι τὴν ψυχήν μου· τουτέστιν οὐ προδιδῶ.

Προσδοκῶσι, δευτέρας συζυγίας τῶν περισπωμένων· διαφέρει δοκῶ καὶ προσδοκῶ, ὅτι τὸ μὲν δοκῶ πρώτης συζυγίας τῶν περισπωμένων ἐστί· ἔστι δὲ τὸ προσδοκῶ δευτέρας.

Προσῆκον, τὸ πρεπὸν, ἐκ τοῦ ἥκω τὸ ἔρχομαι, καὶ μετὰ τῆς πρὸς προθέσεως προσῆκον· ἡ γὰρ πρὸς πρόθεσις τὸ πλησιάζον καὶ προσεγγίζον σημαίνει· τὸ γὰρ πρεπὸν, καὶ ἁρμόζον πλησιάζει, ὡς τὸ ἀπαρέσκον, πόῤῥω καθίσταται.

Προσνέμει, προσκυροῖ.

Προσήγορα, Φίλα, προσηνῆ.

Προσήλυτος, ἐκ τοῦ ἐλεύθω, ἐλεύσω, ἤλευκα, ἤλευσμαι, ἤλευσαι, ἤλευσται, ἠλυτὸς καὶ προσήλυτος, ὁ μέτοικος καὶ Φυγάς.

Προσηνὴς, ἐκ τοῦ ἡνίον, ὃ σημαίνει τὸ χαλινοτήριον· σημαίνει δὲ τὸν πρᾶον· παρὰ τὸ αἶνος αἰνὴς καὶ προσηνὴς, ὁ ἐγγὺς ὢν τοῦ αἰνεῖσθαι· καὶ εἰς τὸ ἀπηνής.

Προσίεμαι, εἰς τὸ προσήκατο.

Προσκορίας, προτιμήσεως, προκαθεδρίας.

Προσκόπτω, τὸ προσκρούω, ἐξ οὗ καὶ πρόσκομμα τὸ πταῖσμα, ὡς τὸ προσκόπτεις τῇ σαρκὶ κυρίως ἐστὶ καταχρηστικῶς, ἐπειδὴ ἡ πρὸς ἐπὶ τῶν ἐμψυχῶν τάσσεται, ἡ δὲ εἰς ἐπὶ τῶν ἀψυχῶν· καὶ ὤφειλεν εἰπεῖν, εἰς ῥα πλατάνιστον, ἀλλ' ἔταξεν αὐτὴν καταχρηστικῶς· τὸ πλατάνιστος ὄνομα παρώνυμον· τὸ γὰρ πλατάνιστος καὶ πρώτιστος τῇ μὲν Φωνῇ εἰσιν ὑπερθετικὰ, τῷ δὲ σημαινομένῳ καὶ χαρακτῆρι ἀντὶ ἁπλῶν εἰσί· καὶ ἔστι παρώνυμον ἐκ τοῦ πλάτος· λέγουσι γὰρ αὐτὴν πλατόφυλλον εἶναι.

Πρόσφατος, ἡ πρὸς τὸ ἀρτὶ σημαίνει· καὶ γέγονεν ἀπὸ τοῦ σφάζω σφατὸς καὶ πρόσφατος, ὁ ἀρτίως σφαγεὶς, καὶ τὸ οὐδέτερον πρόσφατον· ἢ ἀπὸ τοῦ Φένω τὸ Φονεύω· ἢ παρὰ τὸ Φαίνω τὸ δεικνύω, ὁ πρὸ μικροῦ Φανεὶς καὶ δειχθείς· ἢ παρὰ τὸ Φήγω ἔφαγον, πρόσφατον τὸ ἔμπροσθεν τρωγόμενον· καὶ εἰς τὸ νεκροί.

Προσφυῶς, ἐπίῤῥημα ἐκ τῆς πρὸς προθέσεως καὶ τοῦ Φῦς, ὃ σημαίνει τὸ πλέκειν καὶ Φιλεῖν, γίνεται προσφυῶς ἤγουν προσφιλῶς.

Πρόσφυγξ πρόσφυγος, ὁ ἱκέτης.

Προσφάγιον, τὸ προσφάτως ἐσθιόμενον.

Προτέρημα, ἡ προτίμησις.

Προσπτύσσομαι, εἰ μὲν σημαίνει τὸ προσκαλοῦμαι, μετὰ δοτικῆς συντάσσεται· εἰ δὲ ἀσπάζομαι, αἰτιατικῇ.

Προτέλεια, εὐχὴ, ἐκ τῆς πρὸ προθέσεως καὶ τοῦ τέλους, ὃ σημαίνει τὴν ἑορτὴν, ἢ πρὸ τῆς τελειώσεως· αὕτη δὲ ἐστιν ἡ περὶ νοσούντων καὶ ἀποδημούντων προςφερομένη παρ' ἡμῖν θυσία ἐκ καρπῶν.

Προτέρω, ἐκ τοῦ πορρωτέρω κατὰ συγκοπήν.

Προτέρα καὶ προτεραῖα διαφέρει· προτέρα μὲν ἐπὶ τάξεως· προτεραῖα δὲ ἐπὶ μονῆς ἡμέρας.

Προτόνοισι, οὐδέτερον πληθυντικῶν, τὰ πρότονα, τοῖς προτόνοις καὶ προτόνοισι· καὶ προτόνια.

Πρότμησις, ἡ πρώτη τομὴ τοῦ ὀμφαλοῦ, παρὰ τὸ πρῶτον τῶν ἄλλων τέμνεσθαι.

Προυργιαίτερον, τὸ πρὸ τοῦ ἔργουν αἱρετώτερον.

Πρόφρων, πρὸς τὰ θεῖα φρόνιμος.

Προφήτεια, τὸ φη, ἦτα διάτι; ἐκ τοῦ φῶ φήσω· τοῦ τει διφθόγγῳ διάτι; τὰ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων.

Πρόφθασον, ἐκ τοῦ προφθάζω· τοῦτο ἐκ τῆς πρὸ προθέσεως καὶ τοῦ φθῶ τὸ φθάζω· τοῦτο ἐκ τοῦ θέω τὸ τρέχω, καὶ κατὰ συναίρεσιν θῶ, καὶ πλεονασμῷ τοῦ φ, φθῶ.

Προφήτης, παρὰ τὸ φῶ τὸ λέγω· τοῦ προφήτης ὁ κανών· τὰ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, καὶ τὰ εἰς της ῥηματικὰ, εἰς ου ἔχει τὴν γενικήν· καὶ εἰς τὸ βασιλικόν.

Προφητικὸν, ἰστέον ὅτι ἡ νὺξ εἰς τέσσαρας διαιρεῖται φυλακὰς, ἑκάστη τρεῖς ὥρας ἔχουσα.

Προχοῷ, ἀγγείῳ προχευτικῷ, τινὲς ἀπὸ τοῦ χέειν τὸ ὕδωρ, τὸ καθ' ἡμᾶς λεγόμενον ξέστον.

Πρόφρων, ἔστι καὶ ὄνομα ὁ πρόφρων τριγενές· ἔστι δὲ καὶ ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ προθυμώς.

Πρόχνυ, ἐπὶ γονάτων, παρὰ τὸ ἐπὶ γόνυ, πρόθεσις ἀντὶ προθέσεως.

Πρύμνη, πᾶν τὸ τελευταῖον, τὸ συνορίζον τινὶ, περίμνον τι ὄν· παρὰ τὸ πέρας.

Πρύμναντες, πάντες ἐκρούοντο· πρύμναν ἀνακρούεσθαι [1]) κυρίως ἔστι τὸ κατ' ὀλίγον ὑπαναχωρεῖν, μὴ στρέψαντες τὸ πλοῖον· ὁ γὰρ ὄντως ἀναχώρων, ἐπὶ τὴν πρύμναν κωπηλατεῖ· τοῦτο δὲ ποιοῦσιν, ἵνα μὴ δόξωσι φεύγειν φανερῶς, κατ' ὀλίγον ὑπακρόντες [2])· ἢ ἵνα μὴ τὰ νῶτα τοῖς πολεμίοις δόντες τιτρώσκονται.

Προύνεικος, ὁ ὑβριστὴς, ἐκ τοῦ νεῖκος γενόμενος· ἢ προύνικος ὁ εὐκίνητος καὶ δρομεύς· καὶ ὁ νικηφόρος.

Προύνεικος, καὶ προυνείκους σημαίνει τοὺς ὑβριστὰς καὶ τοὺς ἄνδρας, τοὺς ἱσταμένους ἐν τῇ ἀγορᾷ καὶ φέροντας τὰ ὤνια καὶ λαμβάνοντας ὑπὲρ τούτου μισθόν· ἐφ' ἑκατέρων δὲ τῶν σημαινομένων τούτων, διφθόγγῳ γράφεται· καὶ εἰ μὲν τοὺς ὑβριστὰς σημαίνει, διὰ τῆς ει διφθόγγου γράφεται, ἐπειδὴ παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ νεῖκος γέγονε πρόνεικος, καὶ πλεονασμῷ τοῦ υ προύνεικος· εἰ δὲ τοὺς ἄλλους σημαίνει, διὰ τῆς ει διφθόγγου, ἐπειδὴ παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ ἐνεικέως Βοιώτιου γέγονε, καὶ κράσει τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον, προύνεικος, ὥσπερ τὸ ἐμὸν, τοὐμόν· τὸ δὲ ἐνείκως ἐμάθομεν τοῦ ε στοιχείου διὰ τῆς ει διφθόγγου.

Πρυμνώρεια, τὸ τελευταῖον τοῦ ὄρους.

Πρύμνη, τὸ ἔσχατον τῆς νηός, παρὰ τὸ πέρας εἶναι, οἷον, περιμνόν τι ὄν· περύμνητις οὖσα καὶ πρύμνη· ἢ παρὰ τὸ εἰς πέρας μένειν.

Πρυτανεῖον, τὸ κελλάριον· πρυτανεῖα τὰ καταβαλλόμενα.

Πρυτανεῦσαι, διοικῆσαι, προστατεῦσαι, φυλάξαι, βασιλεῦσαι, ταμιεῦσαι· κυρίως γὰρ ἐπὶ τούτου τοῦ σημαινομένου τάσσεται ἡ λέξις· πρύτανις γὰρ λέγεται ὁ σιτοφύλαξ, οἱονεὶ πυροταμίστης ὢν, καὶ συγκοπῇ πρύταμις, καὶ τροπῇ τοῦ μ εἰς ν, πρύτανις καὶ πρυτάνιος.

Πρῶ, σημαίνει τέσσαρα· τὸ προϊῶ, τὸ πράττω, τὸ πέπραγμαι καὶ τὸ ἐμπυρίζω.

Πρωΐ, ἐπίῤῥημα καιροῦ παραστατικόν· γίνεται δὲ παρὰ τὴν πρὸ πρόθεσιν, κατ' ἐπέκτασιν τοῦ ο εἰς ω. καὶ τὸ ῑ· ἐξ οὗ καὶ κατὰ παραγωγὴν πρωΐος, τὸ θηλυκὸν πρωΐα, ὥσπερ ὀψὲ ὄψιος ὀψία· καὶ ἡ αἰτιατικὴ πρωΐαν καὶ Ἰωνικῶς πρωΐην καὶ κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς ω πρώην· τὸ ι ἰῶτα διάτι; τὰ καθαρευοντα ἐπιῤῥήματα, ἤγουν χωρὶς συμφώνου ὄντα, διὰ τῆς ει διφθόγγου γράφονται, οἷον, ἀθεεὶ, αὐτοβοεὶ, ἀεὶ, χωρὶς τοῦ πρωΐ· διάτι; ὀξύνεται; τὰ εἰς ἰῶτα λήγοντα ἐπιῤῥήματα δισύλλαβα συνεσταλμένα, ἔχοντα τὸ ἰῶτα βαρύνεται, οἷον, ἔφι, νόσφι, ἄθι, μέχρι, ἄγχι· σεσημείωται τὸ πρωΐ.

Πρωτόλεια, τὰ πρῶτα τῆς λείας, ἤτοι τῆς πραίδας· καὶ πρωτόλειον, ἡ ἀπαρχή· τοῦτο δὲ ἐξ ἀπολείποντος καὶ τελείου.

Πρώονες, οἱ προβεβλημένοι καὶ προνενευκότες τῶν ὀρῶν, καὶ ὑψηλοὶ τόποι, παρὰ τὸ ἐξέχειν.

Πρωΐα, ἀπὸ τοῦ προϊέναι ἡμᾶς· ἢ ἀπὸ τοῦ πρωΐ κινεῖσθαι τὴν ἡμέραν, τὸν καιρὸν τοῦτον.

Πρωΐας, παρὰ τὴν πρὸ πρόθεσιν χρόνον δηλοῦσαν, παρὰ τὸ προϊέναι, καθὸ ταύτης εὐεπιφανείσης προϊδωσιν οἱ ἄνθρωποι.

Πρωὼν, πρωνὸς, τὸ ἤδη πρωϊνόν· πρωὼν ἡ μετοχὴ ὀξύνεται, κατὰ πλεονασμὸν τοῦ ο, πρώονες.

Πρωτεῖον, παρὰ τὸ πρωτεύω.

Πρωθήβων, ἐκ τοῦ πρῶτος καὶ τοῦ ἥβη.

Πρωΐα, ἡ πρώην κατάστασις.

Πρῶρα, δισύλλαβον, παρὰ τὸ προορῶ, ἀφ' οὗ ἐστι προορᾶν καὶ βλέπειν τὰ ἔμπροσθεν· ἢ παρὰ τὸ προέχειν τοῦ σκάφους· ἢ παρὰ τὸ πρώτην ἰέναι· ἢ παρὰ τὸ προορῶ γίνεται προόρα, καὶ κράσει τῶν δύο οο εἰς ω, πρῶρα.

Πρῶτα, ἐπίῤῥημα χρόνου δηλωτικόν, μετάχθεν ἀπὸ τοῦ οὐδετέρου· ἰστέον, ὅτι τὰ ἀπὸ οὐδετέρων μεταγόμενα ἐπιῤῥήματα τὸν αὐτὸν τόνον φυλάττειν θέλουσιν, ὡς τὸ σάφα, παρὰ τὸ σαφέα, συγκοπῇ τοῦ ε, καὶ τὸ ὦκα ἀπὸ τοῦ ὠκέα, σημαίνει κατὰ τὸν τόνον τὸ σφόδρα, οὗ τὸ ὄνομα ὀξύνεται, καὶ τὸ ἐπίῤῥημα βαρύνεται.

Πρωτότοκος, ἐκ τοῦ πρῶτος καὶ τοῦ τόκος· διαφέρει δὲ πρωτότοκος καὶ πρωτοτόκος· πρωτότοκος μὲν ὁ πρῶτος γεννηθεὶς, πρωτοτόκος δὲ ἡ πρώτη γεννήσασα.

Πρωτίστω, ὄνομα οὐδέτερον· ὑπερθετικόν ἐστιν, ἢ χαρακτηριστικὸν, ἢ σημαινόμενον· τινὰ γὰρ αὐτῶν εἰσὶ καὶ χαρακτηριστικὰ καὶ σημαινόμενα, τινὰ δὲ οὐχί·

---

1) πρύμναν κρουσάμενοι Lucian. Ver. Hist.

2) Aristoph. Vesp. 398. Schol.

ἀλλὰ χαρακτηριστικὰ μὲν, σημαινόμενα δὲ οὐχί· τό, τε κράτιστος καὶ πλατάνιστος ἀντὶ τοῦ πρῶτος καὶ πλάτανος, ἀντὶ ἁπλῶν εἰσι· πρῶτος τὸ συγκριτικὸν οὐκ ἔχει. τὸ ὑπερθετικὸν χαρακτῆρι μόνον, καὶ ἡ αἰτία ἐστιν αὕτη· ἐπειδὴ τὰ ὑπερθετικὰ τριγενῆ εἰσι· καί τι διαφέρει τὰ ὑπερθετικὰ τῶν συγκριτικῶν; διαφέρει, ὅτι τὰ μὲν ὑπερθετικὰ τὴν ἀπηρτισμένην καὶ ἀκροτάτην ἐπίτασιν ἔχοντα, οὐκ ἐπιδέχονται ἐπιτατικὰ ἐπιῤῥήματα. οἷον, τὸ μᾶλλον ἢ ἧττον, ἢ ἄγαν, ἢ λίαν, ἢ πάνυ, ἢ μάλιστα.

Πταίω, ἐκ τοῦ πτῶ τὸ πίπτω, κατὰ παραγωγὴν πταίω, ὥσπερ ἐκ τοῦ περῶ, τὸ τελειῶ, περαίω, καὶ πλεονασμῷ τοῦ ν περαίνω, ἐξ οὗ καὶ τὸ νέον περαίνει, καὶ ἀπὸ τοῦ βῶ βαίω, καὶ γῶ γαίω, τὸ γαυριῶ. κύδεϊ γαίων.

Πτέρνα, παρὰ τὸ ἐκπεπτωκέναι αὐτῇ ὅλον τὸ σῶμα· ἢ παρὰ τὸ πατεῖν τὴν ἔραν· ἢ παρὰ τὸ πατῶ πατέρνα, καὶ πτέρνα.

Πτέρυξ, παρὰ τὸ πτερύσσω, πτερύξω, πτέρυξ· τὸ δὲ πτερύσσω παρὰ τὸ πετῶ πετήσω, τοῦτο δὲ παρὰ τὸ πτῶ πτήσω· τί διαφέρει πτέρυξ καὶ πτερὺξ; πτέρυξ λέγεται τὸ ὅλον μέρος τοῦ σώματος, πτερὺξ δὲ τὸ ἄκρον· τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν [1]).

Πτερόεντα, οὐδέτερον, τὸ ἀρσενικὸν πτερόεις καὶ πτερόεν καὶ πτερόεντα· τὸ δὲ πτερόεις τὸ ρο μακρόν.

Πτερωτὸν, παρὰ τὸ πτερῶ πτερώσω, πτερωτόν· τοῦτο παρὰ τὸ πετῶ πέτομαι.

Πτερὺξ, ἡ σὰρξ, ἧ ἐκφύονται τὰ πτερά· πτέρυξ δὲ τὰ πτερύγια δι' ὧν πέτονται· καὶ κλίνεται πτέρυγος, καὶ παροξύνεται, καὶ γίνεται ἐκ τοῦ πτερύσσω, τοῦτο ἐκ τοῦ πετερὸν καὶ πτερὸν, τοῦτο δὲ παρὰ τὸ ἐρύκειν τὸ πίπτειν· διάτι λέγεται ὧδε πτερὺξ ὀξυτόνως; ὅτι διαφορὰν ἔχει· πτερὺξ γὰρ ὀξυνομένη, περιεκτικήν τινα ἔννοιαν σημαίνει, ἤγουν ὅλην· βαρυνομένη δὲ μέρος τοῦ πτεροῦ τι.

Πτήσσω, σημαίνει τρία· τὸ φοβοῦμαι διὰ τοῦ ἦτα, ἐξ οὗ καὶ κατεπτήσσετο φόβῳ· τὸ τύπτω διὰ τοῦ ἰῶτα, ἐξ οὗ καὶ τὸ πτισσόμεναι κριθαὶ, καὶ πτισσάνη τὸ πίτυρον· καὶ πτύσσω τὸ ἀσφαλίζω, διὰ τοῦ υ ψιλοῦ.

Πτίλα, τὰ μικρὰ πτερὰ, παρὰ τὸ τίλλω.

Πτισσόμενος, ἐκ τοῦ πτίσσω, τὸ τύπτω, ἐξ οὗ καὶ πτισάνιον.

Πτισσάνη, ἡ λελεπτισμένη κριθὴ, παρὰ τὸ πτίσσω τὸ καθαίρω, καὶ ἐπτισμένον τὸ κεκαθαρμένον.

Πτύον, παρὰ τὸ πτύω, τὸ ἀπόπτυον καὶ ἀπόῤῥιπτον τῶν καρπῶν, τὰ ἄχυρα.

Πτηνὸν, τὸ ὄρνεον, ἐκ τοῦ πτῶ, τὸ φοβοῦμαι, ὁ μέλλων πτήσω, καὶ ἐξ αὐτοῦ πτηνόν.

Πτίλα, τὰ ἅρμενα, παρὰ τὸ τίλλω τίλλα, καὶ πλεονασμῷ τοῦ π πτίλα.

Πτοῖαι, δειλίαι, καὶ πτώσεις, παράλογοι φόβοι, ἢ ἐκπλήξεις· ἄλλοι κίνδυνον, οἱ δὲ ταραχήν· ἀπὸ τοῦ πτῶ ῥήματος γίνεται πτόα, καὶ πλεονασμῷ τοῦ ἰῶτα πτοία.

Πτολίεθρον, ἐκ τοῦ πτόλις κατὰ ποιητικὸν ἔθος γίνεται πτολίεθρον· καὶ διαφέρει, ὅτι πόλις καὶ χωρὶς τοῦ τ, τὸ δὲ πτολίεθρον ἄνευ τοῦ τ οὐ λέγεται· γράφεται δὲ διὰ τοῦ ε· τὰ εἰς ρον οὐδέτερα μετ' ἐπιπλοκῆς συμφώνου, ὑπὲρ δύο συλλαβὰς ὄντα, ἑνὶ φωνήεντι παραλήγεται, οἷον, πέλεθρον, φέρετρον, καὶ τὰ φέλτρα, βέρεθρον, θέρετρον, θύρετρον· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ ῥεῖθρον καὶ κλεῖθραν, ταῦτα γὰρ δισύλλαβά εἰσι· παρὰ τὸ θύρα γὰρ θύρετρον, ἐκ τοῦ θύω ἐστὶ, δι' ἧς ὁρμῶμεν.

Πτολίπορθος, πόλις πορθοῦσα, πολεμικὴ, γίνεται ἐκ τοῦ πέρθω, παρὰ τὸ περιθέειν τουτέστι περιτρέχειν τὴν γῆν καὶ τὴν πόλιν· καὶ διάτι τὸ καλλιγράφος ἐκ τοῦ γράφω ῥήματος συντεθὲν πρὸ μιᾶς ἔχει τὸν τόνον; ἐπειδὴ τὰ εἰς ος ὀνόματα ἀπὸ ῥημάτων δισυλλάβων, τῶν ἀπὸ μακρᾶς ἀρχομένων, συντιθέμενα προπαροξύνεται· οἷον, συλῶ ἱερόσυλος, μυκῶ ἐρίμυκος, οὕτω καὶ πορθῶ πτολίπορθος.

Πτύσμα, πτύσις ἤτοι ῥίψις τοῦ ἐσμοῦ, τουτέστι τῶν ὑγρῶν.

Πτοηθήσονται, ἐκ τοῦ πτόω· τοῦτο ἐκ τοῦ πετῶ, ποτῶ, καὶ ὑπερθέσει τοῦ τ πτόω πτοήσω· τὸ πτο μικρόν· ἐκ τοῦ πτόω, τὸ φοβοῦμαι καὶ καταπίπτω.

Πτύσσω, εἰς τὸ πυκνὸν καὶ πυκνὰ καὶ πτύξ.

Πτωσκαζέμεν, εὐλαβεῖσθαι, ἢ καταπτήσσειν, παρὰ τὸ πτῶ τὸ σημαῖνον τὸ φοβοῦμαι, καὶ τὸ σκάζω, ὃ σημαίνει τὸ ἐκκλίνω, ἐξ οὗ καὶ σκαιός.

Πτωχὸς, παρὰ τὸ πτήσσω, πτηχός τις ὤν· πτωχὸς γὰρ οὐχ ὑφίσταται ἀπειλήν· ἢ παρὰ τὸ πτώσσω, πτώξω, πέπτωχα, καὶ ἐξ αὐτοῦ πτωχός· τοῦτο γὰρ παρὰ τὸ πτήσσω· ἢ διὰ τὸ πτῶμα πλούτου ἔχειν· καὶ εἰς τὸ πένης.

Πυγμαῖος, παρὰ τὸ πυγμὴ, ὃ σημαίνει τὴν πῆχυν, γίνεται πυγημαῖος, καὶ συγκοπῇ πυγμαῖος· ἢ ἐκ τοῦ πυγμὴ, ὅ ἐστιν εἶδος ἀγῶνος, παρὰ τὸ πτύσσω, πτύξω, πτυγμὴ καὶ ἀποβολῇ τοῦ τ πυγμή· σημαίνει γὰρ ὅτι κλείνοντες τοὺς δακτύλους πλήσσομεν· σημαίνει δὲ καὶ τὸν γρόνθον· λοιπὸν ἐκ τοῦ πυγμὴ, γίνεται ὄνομα παρώνυμον πυγμαῖος· τὸ μαι διφθόγγῳ διάτι; τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν.

Πυγμὴ, σημαίνει τὸν γρόνθον τῆς χειρός· γέγονε δὲ παρὰ τὸ πτυγμὴ πυγμὴ, ἐξ οὗ καὶ πτυχία, τὰ ἀσφαλιζόμενα, ἡ γενικὴ τῶν πληθυντικῶν πτυχῶν· ἐκ δὲ τοῦ πυγμὴ γίνεται πυγμαῖος· ἀνδράσι πυγμαίοισιν, ἤγουν ἴσοις γρόνθρον.

Πυέλους, σκαφίδας, ἐν αἷς λούονται, παρὰ τὸ πεπυθὸς, ἤγουν τὸ σεσηπὸς ἐλαῖν· κυρίως δὲ ὅπου τοὺς πυροὺς πλύνουσιν, οἱονεὶ πυρέλους τινὰς ὄντας, ἐκβολῇ τοῦ ρ, πυέλους· οὕτως εὗρον ἐν ὑπομνήματι τῆς Ὀδυσσείας.

Πυθέσθαι, αἰσθέσθαι, ἐρωτᾶν, μαθεῖν, ὁ ἐνεστὼς πεύθω, πεύσω, ἐπυθόμην, πυθέσθαι ἀπαρέμφατον· πᾶν εἰς σθαι λῆγον ἀπαρέμφατον, ὁμοτονεῖ τῷ ἰδίῳ ὁριστικῷ, πλὴν τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ μέσου ἀορίστου δευτέρου· σεσημείωται τὸ ἔρεσθαι, ὁ β ἀόριστος ὤν, ἀλλ' ἐθέλω σὲ φέριστε περὶ ξείνοιο ἔρεσθαι· διαφέρει πύθεσθαι καὶ πυθέσθαι· πύθεσθαι μὲν σημαίνει τὸ σήπεσθαι· πυθέσθαι δὲ τὸ ἀκοῦσαι καὶ μαθεῖν.

Πυγοστόλος, πυγοστόλον, οἱ μὲν τὴν μαστροπὸν λεγομένην, ἤγουν τὴν προαγωγόν· οἱ δὲ αὐτὴν τὴν γυναῖκα τὴν ἑταιρίδα, τὴν περὶ τὴν πυγὴν στολιζομένην, τουτέστι κοσμοῦσαν ἐκεῖνα τὰ μέρη πανούργως τοῖς ἱματίοις· στέλλειν γὰρ τὸ κοσμεῖν.

Πτῶξ, πτωκὸς, ἡ ἔλαφος, παρὰ τὸ πτήσσεσθαι.

[1]) Il. II. 316. et Schol.

Πτὼξ, ἐπίθετον τοῦ λαγώου, παρὰ τὸ πτήσσειν καὶ δειλιᾷν, δειλὸν γὰρ τὸ ζῶον, ἢ παρὰ τὸ πτώσσω.

Πύθω, σημαίνει δύο, τὸ σήπω καὶ τὸ ἐρωτῶ καὶ ἀκούω.

Πυκινὴν, πυκνὴν, συνετὴν, ἀσφαλῆ· τὸ κι ἰῶτα διάτι; τὰ εἰς νος ὀνόματα, ἀπὸ ἐπιῤῥημάτων γινόμενα, διὰ τοῦ ἰῶτα γράφεται· οἷον, ἄληθες ἀληθινὸς, πέδον πεδινὸς, πύκα πυκινὸς, ταχὰ ταχινός· τὸ πυ βραχὺ παρὰ τὸ πετύω πετύσω, καὶ συγκοπῇ πτύσσω· ἄλλο γὰρ οὐ σημαίνει τὸ πτύσω, εἰ μὴ τὸ ἐπιπίπτειν ἕτερον πρὸς ἕτερον· τὸ κι βραχὺ διάτι; τὰ εἰς νος ὀξύτονα, μὴ ὄντα παρώνυμα, διὰ τοῦ ἰῶτα βραχέος ἐκφέρονται, οἷον, ἀδινὸς, πεδινὸς, πυκινὸς, ταχινὸς, ἀληθινός· σεσημείωται τὸ χαλινός· τὸ μὲν χαλινὸς ἐπειδὴ εὕρηται οὐδέτερον, λέγεται γὰρ τὰ χαλινά· καὶ λοιπὸν ὡς διήλλαξε κατὰ τὰ ἄλλα, διήλλαξε καὶ κατὰ τὸν χρόνον.

Πυκνὰ, ὄνομα οὐδέτερον πληθυντικόν· σημαίνει δὲ τὰ συνεχῆ καὶ συνετά· ἡ γὰρ φρόνιμος διάνοια πεπυκνωμένη ἐστίν· ὥσπερ τουναντίον ἡ ἔξοχος ἠραιωμένη· τὸ ἀρσενικὸν ὁ πυκνός· τοῦτο ἐκ τοῦ πυκινός· τοῦτο ἐκ τοῦ πύκα ἐπιῤῥήματος· τὸ δὲ πύκα παρὰ τὸ πτύσσω τὸ ἀσφαλίζω πτύκα, καὶ ἀποβολῇ τοῦ τ, πύκα· πύκα θωρηκτάων· τὸ δὲ πτύσσω παρὰ τὸ πέτω πετύσω, καὶ πτύσσω· τὸ γὰρ πτύσσειν οὐδὲν ἄλλο ἔστιν, ἢ τὸ ἐπιπίπτειν ἕτερον πρὸς ἕτερον.

Πύλη, ἐκ τοῦ πυλάσσω· πᾶν γὰρ τηρούμενον ἐν πύλαις τηρεῖται· ἡ γενικὴ τῶν πληθυντικῶν πυλῶν· καὶ μετὰ τῆς ἐκ προθέσεως ἐκ πυλῶν.

Πύματον, ἔσχατον, παρὰ τὸ πυθμὴν· καὶ αὐτὸ γὰρ ἐν τῷ ἐσχάτῳ μέρει τοῦ ἀγγείου ἔστι· καὶ εἰς τὸ ἔσχατον.

Πὺξ, ἐπίῤῥημα ποιότητος, γίνεται ἐκ τοῦ πτύσσω τὸ ἀσφαλίζω, ὁ μέλλων πτύξω καὶ πτὺξ, καὶ ἀποβολῇ τοῦ τ καὶ τοῦ ω, πύξ· κατακλείοντες γὰρ τοὺς δακτύλους ἐν τῇ πυγομαχίᾳ ἐπάλαιον· πὺξ δ' αὖτε κλυτομήδεα δῖον· λέγεται γὰρ ὁ γρόνθος· ἐξ οὗ καὶ πυξίον τὸ δίπτυχον, ὃ σημαίνει τὴν δέλτον· πυξίδες αἱ δέλτοι· καὶ αἱ ὅπλαι τῶν κτηνῶν.

Πτὺξ, ἡ ἐξοχὴ, πτυχὸς τὸ ἀσφάλισμα, πτύξιν δίπλωσιν, πτύχας τὰ ἐλάσματα τῆς ἀσπίδος.

Πύματα, ἐλλείψει τοῦ θ, παρὰ τὸ πυθμὴν, ὄνομα, ἀπὸ μεταφορᾶς τῶν ἀγγείων, ὁ γὰρ πυθμὴν ἔσχατος, εἰ καὶ τὴν ἀρχὴν ἔχει· πυθμὴν οὖν πύθματα, καὶ ἀποβολῇ τοῦ θ πύματα.

Πυκτεῖον, τὸ τῶν πύκτων· πυκτίον δὲ τὸ πινακίδιον· ὁμοίως καὶ πυκτὶς ἡ βίβλος πᾶσα.

Πῦρ, φῦρ τί ἔστιν, ὅτι φυσώμενον ἐξάπτεται· ἢ παρὰ τὸ φύω. φῦρ· τί γὰρ ἐμφυέστερον πυρὸς, φύσει λαβόμενον ὕλης.

Πυτίνη, τῷ λόγῳ τοῦ αἰητίνη· πυτίνη δὲ σημαίνει τὸ λεγόμενον φλασκίον.

Πῦον, τὸ ἕλκος, τὸ ἔμπυον· τὸ σεσηπὸς αἷμα τῶν ὀστέων, παρὰ τὸ πύθεσθαι ὅ ἐστι σήπεσθαι. Ὅμηρος· σέο δ' ὀστέα πύσει ἄρουρα [1]· πῦον οὖν τὸ σεσηπὸς αἷμα, τὸ βεβλημένον. καὶ τὸ γάλα ὁμοίως, οὕτως Ἀριστοφάνης, πῦος ἡμῖν ἔνδον, τὸ πεπηγὸς γάλα· διὰ τὸ καὶ αὐτὸ βεβλημένον καὶ ἔμπυον τὸ γαλακτῶδες τῇ ὁμοιότητι ὑγρόν.

Πυραὶ, πυρκαϊαὶ, τὸ γὰρ παλαιὸν, τὰ σώματα τῶν θνησκόντων πρότερον ἔκαιον, διὰ τὸ ἀπέριττα γενέσθαι, καὶ εἶθ' οὕτω τὴν τέφραν σὺν τοῖς ὀστέοις ὑπὸ γῆν ἔθαπτον.

Πυραμὶς, σχῆμα οἰκοδομῆς γεωμετρικὸν, παρὰ τὸ συμβαῖνον αὐτῇ σχῆμα, πλατέως κάτωθεν καὶ ὀξυλῆγον, ὅ ἐστιν οἶκος φλογὶ ἀναφερομένη.

Πυρὰ, παρὰ τὸ πῦρ, τοῦτο παρὰ τὸ φύρω ἢ φύω.

Πυραυνος, ὁ χυτρόπους, τὸ λεγόμενον φουκὶν, παρὰ τὸ πῦρ ἐνιαύειν ἐν ἑαυτῷ.

Πυρετὸς, πῦρ ἐντὸς, ἐκ τοῦ ῥέω [2]· κυρίως δὲ πυρετὸς, ὡς ἡμεῖς λέγομεν ἡ τοῦ θέρους ἔκκαυσις.

Πυργοβαρεσί σου, ἐκ τοῦ πῦργος καὶ τοῦ βάρος, ὃ σημαίνει τὸ φορτίον γίνεται πυργόβαρις πυργοβάρεως. τὸ Ἀττικὸν ἢ τὰ φορτία βαστάζουσα· ἔστι δὲ κάβαρος.

Πῦργος, παρὰ τὸ ὑπὲρ ἄνω γῆς ἵστασθαι· ἢ διὰ τὸ ὑπὲρ γῆν ἐπάνω ἕπεσθαι.

Πῦργος, σημαίνει δύο, τὸ τεῖχος τῆς πόλεως καὶ τὴν στρατιωτικὴν τάξιν.

Πυργουμένη, σημαίνει τὸ πύργου ποιουμένη· εἴρηται δὲ παρὰ τὸ πῦργος καὶ τὸ μένω τὸ ἐπιμένω.

Πυρπολούμενος, ἐμπυριζόμενος, παρὰ τὸ πέλειν ἐν τῷ πυρί· ἢ ἐκ τοῦ πῦρ πυρὸς, καὶ τοῦ πολῶ τὸ ἀναστρέφομαι· τὸ δὲ πολῶ παρὰ τὸ πέλω, ἐξ οὗ καὶ πόλος ὁ οὐρανός· τὸ δὲ πῦρ παρὰ τὸ φύω· τὸ φύω σημαίνει τρία, τὸ ὑπάρχω ἐξ οὗ καὶ τὸ θεὸς πεφυκώς· καὶ τὸ ἀναβλαστάνω, ἐξ οὗ καὶ τὸ, ὃς ἀνδρῶν γενεῇ· καὶ τὸ τῇ χειρὶ καταθῶ, ἔνθ' ἄρα ὑφῆ χειρί.

Πυραμὶς, ἡ ἐκ πυρῶν, ὡς σησαμὶς, ἡ ἐκ σησάμων καὶ μέλιτος· τινὲς δὲ ἀπὸ τοῦ συμβαίνοντος αὐτῇ σχήματος, ποιεῖν πλάτος κάτωθεν, καὶ εἰς ὀξὺ λήγοντας, ὅ ἐστιν ἐοικὸς φλογὶ ἀναφερόμενον· τοιοῦτο δέ ἐστι, καὶ ὁ πύραμος, καὶ ὁ πῦργος· οὕτως Ἡρακλείδης.

Πυρσεύει, λαμπαδουχεῖ, διὰ πυρὸς σημαίνει πύριον, θυμιαθήριον πυροφόρον, λαμπροφόρον.

Πυρπολουμένη, ἐμπυριζομένη, πυρπολῶ γὰρ τὸ καίω.

Πυῤῥίχην, τὴν σύντονον ὄρχησιν, ἀπὸ πύῤῥου ἢ πυῤῥίχου· ἢ παρὰ τὸ διάπτεσθαι τῶν ὀρχουμένων.

Πυρῶδες, ἦχος· ἔστι πῦρ πυρὸς, ἐξ οὗ καὶ πυρώδης, καὶ τὸ οὐδέτερον πυρῶδες· καὶ ἔστιν ὁ ἦχος ἀρσενικὸν, καὶ τὸ ἦχος οὐδέτερον.

Πυρσὸς, φῶς· πυρσὸς δὲ ἔστι τὸ ἐκ φρυγανώδους ὕλης ἀναπτώμενον πῦρ· καὶ πυρὸς ὁ σῖτος.

Πυράκτων, σφόδρως καίων.

Πυθεία, πανήγυρις, ἑορτὴ Ἑλληνική.

Πίστις, εἰς τὸ ἐρώτησις.

Πώγων, παρὰ τὸ εἰπεῖν ἄγειν· ἔστι γὰρ ἔπω τὸ λέγω, καὶ ἄγω τὸ φέρω, καὶ ἐκ τούτων γίνεται ἐπώγων, καὶ ἀποβολῇ τοῦ ε πώγων· ὁ ἐπὶ τοῦ εἰπεῖν ἄγων.

Πώγων, παρὰ τὸ ἐν τῷ εἰπεῖν ἄγεσθαι· ἢ παρὰ τὸ πήσσω τὸ πηγνύω πήγων καὶ πώγων, ὁ ἐν τῷ εἰπεῖν ἑδραῖος καὶ ἀμετακίνητος ὤν.

Πωλοδαμνεῖν, παρὰ τὸ πῶλος, καὶ τὸ δαμνῶ, δαμνᾶς· τοῦτο παρὰ τὸ ἐν τῇ πόᾳ ἄλλεσθαι.

Πῶλος, ὁ ὄνος, διὰ τὸ τῇ πόᾳ πελάζειν· καὶ εἰς τὸ πόλος.

Πῶλοι, οἱ νέοι ἵπποι καὶ ὄνοι, πόαλοί τινες ὄντες, παράγωγον ὡς ἵππος ἵππαλος, οἱ περὶ τὴν πόαν ἀλλόμενοι.

---

1) Il. IV, 174. 2) v. Sch. Soph. Oed. T. 27.

Πωλία, τὰ στρουθία.

Πωλῶ. τὸ πω μέγα· ἐξ οὗ καὶ πωλήτης ὁ πράτης· καταχρηστικῶς δὲ γράφεται τὸ πωλεῖν διὰ τοῦ ω, διὰ τοῦ πώλου· διότι τὰ ἀπὸ βαρυτόνων ποιητικῷ ἔθει μεταγόμενα εἰς περισπώμενα, διὰ τοῦ ω γράφεται, οἷον νέμω, νωμῶ, νώμησαι κινῆ βῶν ἐξαλεαν βύρσαν ξηράν [1]· στρέφω στρωφῶ· Ἕκτωρ δ' ἀμφιπεριστρώφα [2]· οὕτω καὶ πέλω πωλῶ, πλὴν τοῦ πέτω ποτῶ, μήτηρ δ' ἀμφεποτᾶτο· καὶ εἰς τὸ ἀλλαντοπώλων.

Πωλοδάμνης, ὁ τοὺς πώλους γυμνάζων, παιδευτὴς ἵππων.

Πῶμι, ὁ μέλλων πώσω, πέπωκα, πέπομαι, ἐπόθην, κατεπόθη, οἱονεὶ ἐβυθίσθην.

Πώποτε, οἱ μὲν ἀπὸ τοῦ πούποθεν, καὶ τροπῇ τῆς θεν συλλαβῆς εἰς τε, πώποτε ἐπεκτάσει τοῦ ο εἰς ω. ἢ τῆς ου εἰς ω· οἱ γὰρ Δωριεῖς τὴν ου εἰς ω τρέπουσιν· οἱ δὲ ἀπὸ συνδέσμου.

Πῶυ, τὸ ποίμνιον, παρὰ τὴν πόαν, ᾗ νέμεται· ἢ ὅτι ποτῷ ἥδεται.

Πωρὸς, ὁ τυφλός· Πῶρος δὲ ὄνομα κύριον.

Πῶρος, πενθὸς σκληροῦν καὶ λίθος, πωρὸς δὲ ὁ τυφλός.

Πωσαπλῶς, ἐπίῤῥημα μεσότητος.

Πῶρος, κύριον μέγα· πόρος δὲ ἡ διάβασις μικρόν.

Πῶυ, τὸ ποίμνιον, παρὰ τὸ πῶ τὸ κτῶμαι, τὰ γὰρ κτήματα ἀπὸ τῶν θρεμμάτων λέγεται· ἢ παρὰ τὴν πόαν ἣν νέμεται· ἢ ὅτι ποτῷ ἥδεται καὶ εὐφραίνεται.

Πῶ, τὸ πίνω· ὁ δὲ Φιλόξενος πῶ, φησὶν, ἔστι τὸ κτῶμαι, καὶ πάσασθαι τὸ κτήσασθαι κυρίως θρέμματα, καταχρηστικῶς δὲ πᾶν ὁτιοῦν, Τρῶες δ' ὥστ' ὄϊες πολυπάμμονος ἀνδρὸς [3]), ἀντὶ τοῦ πολλὰ θρέμματα ἔχοντος· καὶ πασάμενος ἀντὶ τοῦ κτησάμενος. Θεόκριτος πασάμενος ποτιτάσσε, Συρακοσίοις ἐπιτάσσεις [4]), ἀντὶ τοῦ κτησάμενος· πάω γὰρ τὸ κτῶμαι, καὶ πάσω· ὄνομα ῥηματικὸν πάμμων καὶ πολυπάμμων.

Πώρωσις, ἡ τύφλωσις.

Τέλος τοῦ Π στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ρ ΣΤΟΙΧΕΙΟΥ.

Ῥάας, ῥεῦμα.

Ῥᾷβδος, παρὰ τὸ ῥάω τὸ φθείρω, ἐκβολῇ τοῦ ι ῥᾶβδος, προσγραφομένου τοῦ ἰῶτα.

Ῥᾷβδος, παρὰ τὸ ῥᾷον εἰς ὁδόν· ἢ παρὰ τὸ ῥᾷον βαδίζειν· καὶ οὐδέτερον ῥαβδίον· διαφέρει ῥᾷβδος καὶ βακτηρία· ῥᾷβδος μὲν ἐστιν ἡ ποιμαντική· βακτηρία ἡ τοῦ γέροντος ἀνάπαυσις.

Ῥαβὸς, ὁ πλάγιος, παρὰ τὸ ῥᾷον βαίνειν, κατ' ἀντίφρασιν.

Ῥάγα, ῥόγα.

Ῥαγδαῖος, σφοδρός.

Ῥάδαμνος, κλαδὸς, βλαστὸς, παραφυάδιον, ἢ ἄνθος δένδρου.

Ῥαδινὸν, κοῦφον, ἐλαφρὸν, παρὰ τὸ δαμάζεσθαι ῥᾷον.

Ῥᾴδιον, τὸ ἰῶτα προσγεγραμμένον εὑρέθη· κατὰ διάστασιν ῥηΐδιον.

Ῥᾳδίως, εὐχερῶς, εὐκόλως.

Ῥᾳδιουργὸς, πλαστογράφος, πανοῦργος.

Ῥαθάμιγγες, ῥανίδες, σταγόνες, καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτός.

Ῥᾴθυμος, ἐκ τοῦ ῥᾷ καὶ τοῦ θυμὸς, ὁ εὐκόλως μεταστρεφόμενος· ἢ παρὰ τὸ ῥᾴδιος, καὶ ἀποβολῇ τοῦ δ, ῥᾷος, καὶ συγκοπῇ ῥᾷος, καὶ μὲν τὸ ι προσγεγραμμένον· καὶ μετὰ τοῦ θυμὸς τοῦ σημαίνοντος τὴν ψυχὴν ῥᾴθυμος.

Ῥάθυμος, ὁ μετὰ εὐχερείας ἐπιπίπτων τῇ ῥαθυμίᾳ, καὶ ἀγανάκτων ἐκ τοῦ κόσμου τῆς περιστάσεως· κυρίως δὲ ῥαθυμία, ἡ ἀμέλεια καὶ ὀλιγοψυχία.

Ῥαίνω, ῥαντίζω· τὸ ραι δίφθογγος, καὶ τὸ νω μέγα· τὰ εἰς νω λήγοντα ῥήματα δισύλλαβα βαρύτονα, τῇ αι διφθόγγῳ παραλήγεται· σαίνω, χαίνω, καίνω, φαίνω, μαίνω, ξαίνω, δραίνω τὸ ἰσχύω, πλὴν τοῦ σθένω τὸ δύναμαι, μένω τὸ ἐπιμένω, καὶ γένω.

Ῥαιστὴρ, ἡ σφύρα, ἡ σιδηρᾶ, παρὰ τὸ ῥάσσαι καὶ συντρίψαι, ῥαιστὴρ καὶ ῥαιστήρ.

Ῥάκιον, βαρύτονον, ὡς ὑποκοριστικόν· καὶ γίνεται ἐκ τοῦ ῥάκος· τοῦτο ἐκ τοῦ ῥῶ ῥήσω, ῥήξω, καὶ ῥάκος, τὸ διεῤῥαγὸς ἱμάτιον.

Ῥάμνος, εἶδος φυτοῦ ἀκανθώδους, γίνεται παρὰ τὸ ῥάπτω, ὃ σημαίνει δύο· τό, τε πλήττω, καὶ τὸ τὰ διεστῶτα συνάπτω· ἐκ τοῦ οὖν ῥάπτω τὸ πλήττω, ὁ παθητικὸς παρακείμενος ἔῤῥαμμαι, τὸ πεπληγμαι, καὶ ῥάμμος, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ῥάμνος, ἡ πλήσσουσα.

Ῥαβεννήσιος, τῇ στολῇ συνᾴδει Βενετικῷ οὐ συμπολίτευται δὲ αὐτῷ τῇ ἀχρήστῳ γνώμῃ, καὶ τῇ οἰκήσει· ἐπεὶ πολιτεύεται ἀχρηστῶς, Φιλαδελφίαν ἔχων ὡς συμπάροικος τῆς παλαιᾶς Ῥώμης.

Ῥάμφος, ῥάγχος καὶ πρόσωπον διαφέρει· πρόσωπον μὲν ἐπὶ ἀνθρώπων, ῥάγχος ἐπὶ τετραπόδων, ῥάμφος δὲ ἐπὶ πτηνῶν.

Ῥανθίζω, ἐκ τοῦ ῥαίνω, ῥανῶ, ῥανίζω, καὶ πλεονασμῷ τοῦ τ, ῥαντίζω, τὸ δὲ ῥαντίζω τοῦ πλύνω διαφέρει.

Ῥᾷον, σημαίνει τὸ εὐχερές· καὶ γέγονεν ἀπὸ τοῦ ῥᾳδίως κατὰ συγκοπήν· καὶ οἱ Αἰολεῖς ἀποβάλλουσι τὸ ἰῶτα πολλάκις· τὸ δὲ ῥᾷον ἔχει τὸ ἰῶτα προσγεγραμμένον· ἐπειδὴ τὰ εἰς ον καθαρὰ δισύλλαβα, διφθόγγῳ θέλουσι παραλήγεσθαι· τέσσαρα δέ εἰσι ταῦτα, καὶ τὰ μὲν δύο ἐκφωνοῦσι τὸ ἰῶτα, τὸ μεῖον, πλεῖον· τὰ δὲ δύο ἀνεκφώνητον αὐτὸ ἔχουσιν, οἷον, ῥᾷον, λῷον.

Ῥᾷον, σημαίνει τὸ εὔκολον, παρὰ τὸ ῥέω· καί τι μετέχει ἐκ τοῦ ῥέω; τὸ γὰρ εὐχερῶς γινόμενον ῥεύσει ἔοικε· καὶ εἰς τὸ πραῦς.

Ῥανὶς, ἐκ τοῦ ῥαίνω.

Ῥᾳστώνη, ῥᾳθυμία, τρυφὴ, τέρψις, εὐκολία, ἀργία. ἀνάπαυσις, περίστασις, ἡσυχία πάντοθεν· παρὰ τὸ ῥᾷον, ὃ σημαίνει τὸ εὔκολον· ῥαστώνη ἡ ἡδυπάθεια, καὶ ἡ εὐκολία.

Ῥᾷστα, εὐχερῆ, εὔκολα.

Ῥάφανον, εἰς τὸ ῥέφανον.

Ῥάφις, ῥαφίδος, παρὰ τὸ ῥάπτω.

---

1) Il. VII, 238. 2) Il. VIII, 348. 3) Il. IV, 433. 4) Id. XV, 90.

Ῥαχίας, κυρίως μὲν πᾶς πετρώδης αἰγιαλὸς ῥαχίας καλεῖται· καὶ γῆ δέ τις ἐν τοῖς μετάλλοις οὕτω καλουμένη· παρὰ δὲ Σοφοκλεῖ ῥαχία λέγεται ἡ τοῦ ὄρους· παρ᾽ ἑτέροις δὲ ὁ σύνδενδρος τόπος λέγεται.

Ῥάχις, παρὰ τὸ διαχωρίζειν τὰς ψιὰς ἀπ᾽ ἀλλήλων, τὸ νωτίδες μέρος, ἢ ὀσφὺς, ἢ ἄκανθοι τοῦ νώτου, παρὰ τὸ ἐν αὐτῇ τῇ ῥάχει προσράσσειν πάντα τὰ πλευρά.

Ῥάψαι, παρὰ τὸ σκευάσαι, συνθεῖναι.

Ῥαψῳδία, λόγων συναφὴ, φλυαρία.

Ῥέα, κατ᾽ ἐναλλαγὴν ἔρα, ὄνομα θεᾶς.

Ῥέζω, σημαίνει τρία, τὸ πράττω, ὡς τὸ, νῦν δὲ τόδε μέγ᾽ ἄριστον ἐν Ἀργείοισιν ἔρεξε [1]· τὸ θύω, ἄλλος δ᾽ ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων· καὶ τὸ τῇ χειρὶ καταψῶ· χειρί τέ μιν κατέρεξε· καὶ εἰς τὸ ἔργον.

Ῥέξας, παρὰ τὸ ἔρδω τὸ θύω, ἐν ὑπερβιβασμῷ ῥέδω, καὶ τροπῇ τοῦ δ εἰς ζ, ῥέζω.

Ῥέθη, τὰ πρόσωπα, διὰ τὸ φαίνεσθαι τὰ ἤθη δι᾽ αὐτῶν.

Ῥέθη, σημαίνει τὰ μέλη· ψυχὴ δ᾽ ἐκ ῥεθέων, διὰ τὸ φαίνεσθαι τὰ ἤθη δι᾽ αὐτῶν· καὶ γὰρ ἐκ τῆς ποίας αὐτῶν συστάσεως τὰ πάθη τῆς ψυχῆς θεωροῦμεν, χαιρούσης, ἢ λυπουμένης, ἢ ὀργιζομένης· ἐτυμολογεῖται δὲ παρὰ τὸ ῥέειν τὰ ἤθη τῆς ψυχῆς· Αἰολεῖς δὲ ῥέθος λέγουσί τι πρόσωπον· ῥέεθρα ῥεῖθρα.

Ῥεῖα, δὲ ῥαδίως· ἐκ τοῦ ῥέω, ῥέα ἢ ῥεῖα, πλεονασμῷ τοῦ ἰῶτα· ῥεῖα μὲν βριάει, παρὰ τὸ ῥέω· τὸ γὰρ εὐχερῶς γινόμενον ῥεύσει ὑπόκειται, ὡς παρὰ τὸ ἠρεμῶ, ἠρέμα· καὶ εἰς τὸ εἶεν.

Ῥεῖθρον, τὸ ῥέον ὕδωρ, παρὰ τὸ ῥέω γέγονε ῥέεθρον καὶ κατὰ κρᾶσιν τῶν δύο ε ε εἰς τὴν ει δίφθογγον ῥεῖθρον, διὰ τὸ ῥέειν· ἰστέον ὅτι τὰ εἰς ον λήγοντα ῥηματικὰ οὐδέτερα, ἔχοντα τὸ ρ ἐν τῇ τελευταίᾳ συλλαβῇ, ἰσοσυλλαβεῖ τῷ ῥήματι.

Ῥεῖθρον, καὶ ῥεῦμα διαφέρει· ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος δι᾽ οὗ φέρεται τὸ ῥεῦμα· ῥεῦμα δὲ αὐτὸ τὸ ὕδωρ.

Ῥεῖν, τὸ ῥέειν, ὡς τὸ πνέειν, πνεῖν.

Ῥέξας, πράξας, παρὰ τὸ ἔρδω τὸ θύω, καὶ ἐν ὑπερβιβασμῷ ῥέδω, τροπῇ τοῦ δ εἰς ζ, Δωρικῶς ῥέζω, ἔρεξα ἡ μετοχὴ ὁ ῥέξας· καὶ εἰς τὸ ῥῆγος.

Ῥεόντων, παρερχομένων.

Ῥεῦμα, τοῦ ῥέοντος τὸ νεῦμα· καὶ εἰς τὸ ῥεῖθρον.

Ῥέφανον, καὶ ῥάφανον διαφέρει· παρὰ τοῖς Ἴωσι καὶ Ἀττικοῖς ῥέφανον μὲν γάρ ἐστιν, ὃ καὶ ἡμεῖς φαμὲν, ῥάφανον δὲ τὴν κράμβην.

Ῥέχθεν, πράχθεν.

Ῥέψας, στεγάσας, κλίνας.

Ῥήγιον, ἀπὸ τῆς ῥήξεως, ῥαγείσης τότε τῆς χθονός.

Ῥῆγμα, σχίσμα, τάσις ἀνέμου ἢ τραύματος.

Ῥηγμίν, ὁ αἰγιαλὸς διὰ τοῦ ἰῶτα, τῷ λόγῳ τῶν δικαταλήκτων· ῥὶν ὁμοίως διὰ τοῦ ἰῶτα.

Ῥῆγος, τὸ πορφυροῦν ἱμάτιον, ἢ περιβόλαιον, ῥῆξαι γὰρ τὸ βάψαι, καὶ οἱονεὶ μεταποιῆσαι, ὅτι ῥαγεῖς ἐλέγοντο οἱ βαφεῖς, καὶ ῥῆγος τὸ βάμμα σαφὲς Ἀνακρέων ποιεῖ, ἁλιπόρφυρον ῥῆγος.

Ῥήδην, εἰς τὸ διαῤῥήδην καὶ παραβλήδην.

Ῥηΐτερος, εὐχερέστερος, εὐκολώτερος.

Ῥηξήνορα, τὸν ῥηγνῦντα τὴν ἠνορέην, τουτέστι τὴν ἀνδρείαν· ἢ τὸν ῥέξαί τι καὶ πρᾶξαι τῇ ἠνορέῃ δυνάμενον.

Ῥήξω, καὶ ῥήσω· εἰς τὸ ἀριστίνδην, καὶ εἰς τὸ διαῤῥήδην καὶ παραβλήδην.

Ῥηϊδίως, ῥαδίως, εὐκόλως.

Ῥητορικὴ, διὰ τὸ ῥεῖν τὸν λόγον ἀφθόνως.

Ῥήτρα, συνθήκη, ὁμολογία· Ταραντίνοις δὲ νόμος, οἷον ψήφισμα, οἱ δὲ σύγγραμμα· καὶ ῥητροφύλακας τοὺς συγγραμματοφύλακας, παρὰ τὸ ῥῶ ὃ σημαίνει τὸ λέγω.

Ῥηξίφλοια, ἐκ τοῦ ῥήσσω τὸ ῥηγνύω γίνεται ῥήξω.

Ῥῆμα, παρὰ τὸν ῥήσω μέλλοντα.

Ῥίγος, διὰ τοῦ ἰῶτα, ἐκ τοῦ φρίσσω φρίγος, καὶ ἀποβολῇ τοῦ φ, ῥίγος.

Ῥήγια, βάπτα ἱμάτια καὶ περιβόλαια· ῥῆξαι γὰρ ἔλεγον οἱ ἀρχαῖοι τὸ βάψαι.

Ῥῆγος, τὸ πορφυροῦν περιβόλαιον, ῥῆξαι γὰρ τὸ βάψαι, καὶ οἱονεὶ μεταποιῆσαι· ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς, καὶ ῥῆγος τὸ βάμμα, σαφὲς Ἀνακρέων ποιεῖ, ἁλιπόρφυρον ῥῆγος· ἄλλοι δὲ ῥῆγος τὸ βαπτὸν μαλλίον ἔλεγον.

Ῥητῶν, ὡρισμένων, φανερῶν λέξεων.

Ῥινὴ, ὀξυτόνως λέγεται, τὸ ἐν τῇ συνηθείᾳ ῥινίον.

Ῥησείδιον, τὸ σει δίφθογγος· καὶ εἰ μὲν ἀπὸ τῆς ῥήσεως γενικῆς, γράφεται διὰ διφθόγγου, ὡς λέξεως λεξείδιον· εἰ δὲ ἀπὸ τοῦ ῥήσιος διὰ τοῦ ἰῶτα, ὡς λέξιος λεξίδιον.

Ῥιγῶ, ὁ μέλλων ῥιγήσω· τὸ γη ἦτα διάτι; καὶ τὰ δίχρονα παραληγόμενα διὰ τοῦ ἦτα ἔχει τὸν μέλλοντα· ὁ μέσος παρακείμενος ἔῤῥιγα· ἐνδεῖ τοῦ ἐνεργητικοῦ παρακειμένου διάτι; ὅτε γὰρ ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου συλλ᾽ . . . [2]) τότε καὶ ὁ μέσος παρακείμενος ἐνδεῖ τοῦ ἐνεργητικοῦ· ἔστιν οὖν ὁ δεύτερος ἀόριστος ἔῤῥιγον· δὸς χρῆσιν· χρῆσις τοῦ ἔῤῥιγα, ὅτι ἐγὼ ἔῤῥιγον μάχης, τὸ ὑποτακτικὸν ἐὰν ἐῤῥιγῶ, ἐῤῥιγῇς, ἐῤῥιγῇ, καὶ κατ᾽ ἐπέκτασιν ἐῤῥίγησιν· ὡς τὸ, δῶοι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι· Τρῶες δ᾽ ἐῤῥίγησαν.

Ῥιγῶ, σημαίνει δύο· τὸ ῥιγῶ ἐκ τοῦ ῥίγος, ὃ σημαίνει τὸν φόβον, τὸ ρι μακρόν· τὰ γὰρ θεματικὰ, ἡνίκα ἀποβάλλουσι σύμφωνον, εἰς φύσει μακρὸν ἀποβαίνουσιν, οἷον γιγνώσκω, γινώσκω· καὶ ἕτερόν ἐστι ῥῆμα ῥιγῶ ἐπὶ τοῦ ψύχους, καί ἐστι τρίτης συζυγίας τῶν περισπωμένων, οὗ ὁ μέλλων ῥιγώσω· καὶ ὁ ποιητής, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν ἔμπης [3])· ἀντὶ τοῦ οὐχ ὑπέλαβον· ὅμως ῥιγῶσαι· ἀμφότερον ἐκ τοῦ ῥίγος.

Ῥίζα, δι᾽ ἧς ῥέει τὸ ζῆν ἄνω τοῖς δένδροις· ἢ διὰ τὸ ῥᾷον ζῆν· ἢ παρὰ τὸ ἕζω τὸ καθέζομαι, ἴζα καὶ ῥίζα· τὸ ζα βραχὺ διάτι; τὰ εἰς α λήγοντα θηλυκὰ, παραληγόμενα ἑνὶ τῶν διπλῶν, ἢ διὰ δύο σσ ἐκφερόμενα, συστέλλει τὸ α.

Ῥίζα, παρὰ τὸ εἶναι αὐτὴν ἐν τῇ γῇ καὶ ζῆν· ῥίζην γὰρ ὁ Ὅμηρος τὴν ὑποκάτω γῆς λέγει· ἐξερχομένης γὰρ αὐτῆς ἐκ γῆς ἀποθνήσκει, ἤγουν ξηραίνεται.

Ῥίνας, ἡ εὐθεῖα ῥίν, διὰ τὸ ῥέεσθαι δι᾽ αὐτῆς τὰ ὑγρὰ, παρὰ τὸ ῥεῖν ἄνωθεν· ἤγουν τὰ τῆς κεφαλῆς ὑγρά.

Ῥίμφα, σημαίνει τὸ ταχέως, παρὰ τὸ ῥίπτειν ἑαυτὸν διὰ τάχους· ὡς παρὰ τὸ κρύπτω κρύφα, καὶ πλεονασμῷ τοῦ μ, ῥίμφα.

Ῥῖνος, σημαίνει τὸ δέρμα, καὶ γράφεται διὰ τοῦ ἰῶτα, καὶ γίνεται παρὰ τὸ ῥίνη, ὅπερ δέδεικται διὰ τοῦ ἰῶτα

---

1) Il. II. 400. 2) an συλλαβῆς? 3) Od. XIV, 481.

γραφόμενον· ἢ παρὰ τὸ ῥίον, τὸ σημαῖνον τὸ ἄκρον, γέγονε· καὶ γὰρ τὸ δέρμα ἄκρον ἐστὶ καὶ ἐπιφάνεια τῆς σαρκός.

Ῥιπὴ, ἄνεμος, βλεφάρων ὁρμή.

Ῥιπὶς, ἐκ τοῦ ῥίπτω, ἔῤῥιπτον, παράγωγον.

Ῥίον, τὸ ἄκρον τοῦ ὄρους· ἢ ὄρους ἀκρωτήριον, ἀπὸ τοῦ περιῤῥεῖσθαι τοῖς ὄμβροις· καὶ ἀπὸ τοῦ ῥαίζειν καὶ λήγειν ὀξύ.

Ῥίπτασκον, οὐκ ἔστιν Ἰωνικὸν, οὐ γὰρ τῷ ε παραλήγεται· καὶ τινὲς μὲν φασὶν ἀπὸ ἐνεστῶτος αὐτὸ εἶναι· παρῆκται γὰρ ἀπὸ τοῦ ῥιπτάζω ῥιπτάσκω, ὡς παρὰ τὸ φάζω φάσκω· καὶ συγκοπῇ Ἰωνικῇ ῥιπτάζεσκον ῥίπτασκον· ἢ ὁ ἐν πολέμῳ ῥίψας τὰ ὅπλα.

Ῥίπτω, τὸ τετάζω βαρυτόνως, ῥιπτῶ δὲ τὸ ἐξουτενῶ περισπωμένως· ἐξ οὗ καὶ τὸ ἐξελεξάμην παραῤῥιπτεῖσθαι.

Ῥὶς, καὶ ῥύγχος διαφέρει· ῥὶς ἐπὶ ἀνθρώπου, ῥύγχος δὲ ἐπὶ ἀλόγου ζώου.

Ῥὶς, καὶ μυκτὴρ διαφέρει· ῥὶς μὲν ἡ ἀπὸ μέσου φρύγου κατάγουσα μέχρι τοῦ χείλους, μυκτῆρες δὲ, αἱ τῶν ῥινῶν καταῤῥύσεις, δι' ὧν τὸ ὑγρὸν ἐξέρχεται.

Ῥιπὴ, ἔστι κατὰ μὲν τὸν νόμον ἡ ὥρα, κατὰ δὲ ἀστρονόμους τοῦ ὀφθαλμοῦ τὸ κάμμισμα· ξ οὖν ῥιπαὶ ποιοῦσι μίαν στιγμὴν, καὶ ἑξ στιγμαὶ λεπτὸν ἓν, καὶ πέντε λεπτὰ ὥραν μίαν· ὥστε οὖν τὸ χιλιοστὸν ὀκτακοσιοστὸν τῆς ὥρας ἐστὶ στιγμή.

Ῥίψασπις, δειλὸς ἐν πολέμῳ, ὁ τὰ ὅπλα ῥίπτων καὶ φεύγων· καὶ εἰς τὸ κληΐς.

Ῥιψοκίνδυνος, παράβολος, τολμηρὸς, ἐπὶ κίνδυνος ῥίπτων καὶ φεύγων· καὶ εἰς τὸ κληΐς.

Ῥοάων, ῥοῶν· γενικὴ τῶν πληθυντικῶν, ἡ εὐθεῖα ἡ ῥοὴ, αἱ ῥοαὶ, τῶν ῥοῶν· οἱ Αἰολεῖς τὰς εἰς ων ληγούσας γενικὰς, τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γινομένας, διὰ τοῦ αων προσφέρουσι· μοῦσαι, μουσάων· οἱ δὲ Δωριεῖς διὰ τοῦ εων, πύλαι πυλέων, ὡς εἰπὼν, πυλέων ἐξέσσυτο.

Ῥοαῖς, τοῖς ῥέουσιν ὕδατι ῥεύματα· καὶ ῥοῖα τὸ δένδρον βαρυτόνως.

Ῥοδοδάκτυλος, ῥοδόχρους, ῥουσιοδάκτυλος.

Ῥοδίεντα, πυῤῥά.

Ῥοδωνία, τόπος ἐν ᾧ εἰσι ῥοδά.

Ῥοδὸν, τὸ ἄνθος, παρὰ τὸ ζώοδον, καὶ ῥοδὸν, τὸ τὴν ζωὴν διαρρούμενον, διὰ τῆς εὐωδίας· καὶ ῥοδὸν κατ' ἀντίφρασιν, τὸ μὴ ὄζον ἀλλ' εὔοσμον ὄν.

Ῥοῖα, σὺν τῷ ἰῶτα τὸ δένδρον· ῥόα δὲ χωρὶς τοῦ ἰῶτα ὁ καρπός.

Ῥοῖζος, ἐπὶ ἀνέμου κτυποῦντος, βρόμος δὲ ἐπὶ πυρὸς καίοντος καὶ κτυποῦντος.

Ῥομφαῖα, τὸ ξίφος, παρὰ τὸ ῥομφῶ ὃ σημαίνει τὸ κτυπῶ· ἢ παρὰ τὸ ῥέπω ῥοπὸν, ῥοπαία καὶ ῥομφαία.

Ῥόπαλον, ξύλον, βάκλον, βακτηρία, ἀπὸ τοῦ ῥαπίζειν, ἢ ἀπὸ τοῦ συντρίβειν, ἢ ἀπὸ τοῦ τῇ ῥοπῇ, ὅ ἐστι τῇ φορᾷ, ἀλοᾶν καὶ συντρίβειν.

Ῥόπτρον, ῥόπαλον, παγὶς, ἡ τιμωρία.

Ῥόθιον, σημαίνει τὸ ὁρμητικόν· τὸ ρο μικρὸν ἀπὸ παραδόσεως.

Ῥόθος, τὸ ῥόθον, οἱ μὲν ἤκουσαν τὸν ψόφον, ὅθεν καὶ ῥόθιος καλεῖται τὸ κτυποῦν κῦμα καὶ ῥεῦμα· Πλούταρχος δὲ Βοιωτὸς ὢν, τὰς ὀρεινὰς ὁδοὺς τὰς στενὰς καὶ δυσαντεῖς ῥόθους ὀνομάζεσθαι φησί.

Ῥοιζηδὸν, παρὰ τὸ ῥοῖζος· ῥοῖζος δὲ λέγεται ὁ τοῦ πυρὸς κτύπος· γίνεται ἀπὸ τοῦ πῦρ πυρὸς πυρίζω καὶ ῥοίζω· ἢ παρὰ τὸ τρύζω τρύζος καὶ ῥοῖζος· τὸ δον μικρὸν διατί; τὰ εἰς ον ἐπιῤῥήματα διὰ τοῦ ο γράφεται, πλὴν τοῦ χρεὼν, ἐμποδὼν ἐκδεξιών.

Ῥύβδην, ὁμοῦ, ἢ μετ' ἤχου σφοδροῦ· καὶ ῥυβδῶ τὸ ἠχῶ.

Ῥύεται, σκέπει, φυλάττει, σώζει.

Ῥυηφένεια, σημαίνει ἡ λέξις τὸν πλοῦτον, παρὰ τὸ ῥύω καὶ ἄφενος· τουτέστι τοῦ πλούτου ῥύσις, ῥυηφόνεια δὲ παρὰ τὸ ῥύω καὶ τὸ φένω τὸ φονεύω.

Ῥύεο, ῥῦσαι, ἐκ τοῦ ῥύω, ὁ παθητικὸς ῥύομαι, ὁ παρατατικὸς ἐρυόμην, τὸ δεύτερον ἐρύου καὶ τὸ προστακτικὸν ῥύου, καὶ Ἰωνικῶς ῥύεο· εἰώθασι γὰρ οἱ Ἴωνες τὰ εἰς ου προστακτικὰ εἰς εο διαιρεῖν, οἷον ποιοῦ ποίεο, ἄρχου ἄρχεο, οὕτως οὖν καὶ ῥύου ῥύεο.

Ῥύεσθαι, καὶ ἐῤῥύεσθαι διαφέρει· ῥύεσθαι μὲν τὸ ἐκ θανάτου ἕλκειν· ἐῤῥύεσθαι δὲ τὸ φυλάσσειν.

Ῥυθμὸς, ἀκολουθ.. τάξις, τύπος· ἐκ τοῦ ἐρύω, τὸ ἑλκύω, ἐρυσμὸς, καὶ κατ' ἀφαίρεσιν τοῦ ε, ῥυσμὸς, καὶ τροπῇ τοῦ σ εἰς θ, ῥυθμός· ἢ παρὰ τὸ ὀρούω τὸ ὁρμῶ, γίνεται οὐρμὸς, καὶ ἀποβολῇ τοῦ ο, καὶ πλεονασμῷ τοῦ θ, ῥυθμός.

Ῥύτειον, ἰστέον, ὅτι δύο ἀκρώρειαί εἰσι τῆς Τροίας· καὶ ἡ μὲν πρώτη, ῥύτειον λέγεται, ἡ δὲ ἑτέρα, τὸ σίγειον· εἶχε δὲ τὸ μὲν Σίγειον ὁ Ἀχιλλεὺς, τὸ δὲ Ῥύτειον Αἴας, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ ειον τρισύλλαβα, ἅπαντα διὰ τῆς ει διφθόγγου γράφεται.

Ῥῦπος, παρὰ τὸ λύω λῦσος καὶ ῥῦπος, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, καὶ τοῦ συμφώνου εἰς σύμφωνον.

Ῥυπτικὸν, σημαίνει τὸ καθαρτικὸν, τὸ θέμα ῥύπτω, ἐξ οὗ καὶ ῥύπος· ὁ μέλλων ῥύψω, ὁ παρακείμενος ἔῤῥυφα, ὁ παθητικὸς ἔῤῥυμμαι, τὸ τρίτον ἔῤῥυπται· ῥύπτης ἢ καθαρὸς, καὶ τὸ κτητικὸν ῥυπτικόν.

Ῥῦσαί με, εἰς τὸ σῶσον με.

Ῥύμη, ἡ ὁρμὴ, ἔκβολον λαῦρα.

Ῥύμματα, τρίμματα, σίγματα.

Ῥυσία, λύτρα, ἐνέχυρα.

Ῥυσίον, τὸ ἕνεκεν ἐνεχύρου κατεχόμενον.

Ῥυτήματα, τὰ ἐπὶ τῶν ὄψεων τῶν γεγηρακότων σπιλώματα.

Ῥυτῆρες, χαλινοὶ, ἡνίαι, ἱμάντες.

Ῥύω, παρὰ τὸ λύω, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον· καὶ εἰς τὸ ἐρυμνώσας.

Ῥῶ, εἰς τὸ ἀριστίνδην, καὶ ἄριστος καὶ ἄῤῥωστος, καὶ διαῤῥήδην καὶ εἰρήσεσθαι, καὶ ῥήτρα καὶ σῆραξ ὁλογ' τοῦ ρ.

Ῥωγαλαῖον, ἰσχυρὸν, ἀνδρεῖον.

Ῥώμη, ἡ ὑγεία, παρὰ τὸ ῥῶ τὸ ὑγιαίνω, ὁ μέλλων ῥώσω, ὁ παρακείμενος ἔῤῥωκα, ὁ παθητικὸς ἔῤῥωμαι, καὶ ἐξ αὐτοῦ ῥώμη ἡ ὑγεία· σημαίνει δὲ καὶ τὴν πόλιν· καὶ εἰς τὸ ἀνδρεία.

Ῥώμαις, ἰσχύσι, δυνάμεσι.

Ῥῶπος, μίγματα, χρώματα, ὅσα ζωγράφοις καὶ γραφεῦσι καὶ μυρεψοῖς χρησιμεύει, ὅθεν καὶ ῥώπαλον· τινὲς δὲ καὶ τῶν παντοδαπῶν φόρτων ῥώπαλον.

Ῥῶσις, ἡ ὑγεία, ἔστι ἐκ τοῦ ἀῤῥωστία, κατὰ στέρησιν ὑγείας· καὶ ἡ δύναμις καὶ τὸ ῥωμαλέον.

Ῥώθων, ἐκ τοῦ ῥοῦς ῥοὸς, καὶ τοῦ ὤθω.

Ῥωννύω, τὸ δύναμιν παρέχω· ὁ μέλλων οὐκ ἔχει· ποιεῖ δὲ τὸ παράγωγον εἰς μι, καὶ ἄχρι τοῦ παρατατικοῦ κλίνεται, ἐξ οὗ καὶ ἐπιρωννύω.

Ῥωϊκὸν, λέγεται τὸ ἱππικόν.

Ῥωμαῖος, ὡραῖος, κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐξεχύθη γὰρ χάρις ἐν χείλεσιν αὐτοῦ· διὰ τοῦτο εὐλόγησεν αὐτὸν εἰς τὸν αἰῶνα· περιζώννυται τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ, ὡς δυνατὸς τῇ ὡραιότητι, καὶ τῷ κάλλει αὐτοῦ· ἐντενεῖται καὶ κατευοδοῦται, καὶ βασιλεύει ἐκ θεοῦ.

Ῥωγχάζειν, παρὰ τὸ ῥοχεῖν παρῆρται· ἢ παρὰ τὸ ῥέγχω.

Ῥωφεῖν, ὕδωρ.

Τέλος τοῦ Ρ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Σ ΣΤΟΙΧΕΙΟΥ.

Σαβέλ.

Σαγήνη, ἀπὸ τοῦ ἔσω ἄγειν γίνεται ἐσαγήνη, καὶ ἀποβολῇ τοῦ ε, σαγήνη· γράφεται γὰρ διὰ τοῦ ἦτα.

Σαγήνη, περιβόλαιον, στάγμα, σκέπασμα.

Σαγάριος, ποταμὸς Φρυγίας καὶ Λυδίας.

Σαγηνεύει, περιλαμβάνει.

Σαθρὸς, χαῦνος, ἀσθενὴς, κεκλασμένος, παρὰ τὸ σταθῆναι, σαθὸς καὶ σαθρὸς, κατ' ἀντίφρασιν· ἢ παρὰ τὸ σείεσθαι ῥᾳδίως· ἢ ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα· καὶ εἰς τὸ σαπρόν.

Σαθρὸς, παρὰ τὸ σεσημένα ἔχειν τὰ ἄρθρα.

Σαβανδιὸς, ἐπώνυμον Διονύσου.

Σαβιθὰ, τοῦτο συριακὸν ἐστὶν ὄνομα, ὃ ἑρμηνεύεται λινιαῖον ἄντλημα, παρὰ τὸ ἀσκαλωνίτῃ· ἔστι δὲ ξεστῶν κβ· καὶ τὶ ἀρέστισι, καὶ παρ' ἄλλοις ιη· τὸ δὲ ἓν δ.

Σαίρειν, εἰς τὸ σάκορος.

Σαίνει, κολακεύει.

Σακελλάριος, συριστὶ ἐπιδέχεσθαι· σάκελλα γὰρ τὸ δέχεσθαι εἴρηται.

Σάκκος, ἀπὸ τοῦ σάσσω, ὃ σημαίνει τὸ στρωννύω, γίνεται ὁ μέλλων σάξω, καὶ τοῦ παθητικοῦ παρακειμένου σέσακται τὸ τρίτον, καὶ ἐξ αὐτοῦ σάκτος καὶ τοῦ τ εἰς κ, σάκκος.

Σάκος, ἡ ἀσπὶς τῶν ὅπλων, ἀπὸ μεταφορᾶς τοῦ σάκεσι· Σάκες γὰρ ἔθνος Θράκης, οἱ ταύτην ἐφεῦρον· καὶ εἰς τὸ πολεμικὸν ἰλημ' [1]).

Σάλος, παρὰ τὸ ἅλς, ἁλὸς καὶ σάλος.

Σάλπιγξ, σαλπίζω, τοῦτο παρὰ τὸ ἔπω τὸ λέγω, ὁ μέλλων ἔψω, ἀποβολῇ τοῦ ω ἔψ, καὶ τροπῇ τοῦ ε εἰς ο, ὂψ ὀπὸς, ὀπίζω, καὶ μετὰ τοῦ σέλας, ὃ σημαίνει τὴν λαμπηδόνα γίνεται σελαπίζω, καὶ ἐν συγκοπῇ καὶ ὑπερβιβασμῷ σαλπίζω.

Σάκρον, τὸ τῷ δημοσίῳ ἀφιερωθὲν, εἴτε ἐν πόλει, εἴτε ἐν ἀγρῷ.

Σαλὴμ, εἰς τὸ Ἱερουσαλήμ.

Σανὶς, παρὰ τὸ τείνω, τὸ τανύω, τανὶς καὶ σανὶς, τὸ ἐπίμηκες ξύλον.

Σαλαμίνη, ὅτε εὐθεῖα ἐστὶ, διὰ τοῦ ἦτα· ἐπὶ δὲ τῶν λοιπῶν πτώσεων τὰ δύο ἰῶτα.

Σαλαμῖνος γὰρ δικατάληκτον ἐν σαλαμίνῃ· φησὶ δὲ Σαλαμίς· Σαλαμὶς δὲ ἦν πρὸ τῆς Ἀττικῆς, ὅθεν ἦν Αἴας ὁ Τελαμώνιος· Σαλαμὶν Σαλαμῖνος ὄνομα νήσου.

Σάλπιγξ, παρὰ τὸ σαλπίζω· τοῦτο παρὰ τὸ σέλας καὶ τὸ ὀπίζω· οἱ γὰρ ἀρχαῖοι μήπω σάλπιγξι χρώμενοι, πολεμίων περιστοιχησάντων ἄφνω τὴν πόλιν αὐτῶν, διὰ φλογὸς καὶ καπνοῦ τοὺς ἐπικούρους ἐκάλουν.

Σάνδυξ, χρῶμα κόκκινον.

Σάξαι, καὶ σάττειν, τὸ στρῶσαι καὶ στρωννύειν.

Σαμβύκη, εἶδος ὀργάνου.

Σάκος, εἰς τὸ δόρυ, ἀπὸ Σάκων τῶν πρῶτον εὑρόντων· ἢ ἀσπὶς τὸ ὅπλον.

Σαπρὸν, δυσῶδες, σηπτικόν· ἔστι σήπω, σήψω, ὁ β ἀόριστος ἔσαπον, καὶ ἐκεῖθεν σαπρὸν, κατὰ πλεονασμὸν τοῦ ρ καὶ πάλιν τροπῇ τοῦ π εἰς θ, σαθρὸν γίνεται.

Σαράβαρα, ἐσθὴς Περσική· ἔνιοι δὲ λέγουσι βρακία· ἄλλοι δὲ περὶ τὰ σκέλη ἐνδύματα.

Σάρδις, ἡ πόλις, ὥσπερ γὰρ παρὰ τὸ πόλιες καὶ ὄφιες γίνεται πόλις καὶ ὄφις, κατὰ κρᾶσιν τοῦ ι καὶ ε, εἰς ἰῶτα, οὕτω καὶ παρὰ τὸ σάρδιες γίνεται σάρδις κατὰ κρᾶσιν τοῦ ι καὶ ε· δηλονότι μακρόν.

Σάρδις, ἡ πόλις καὶ οἱ πολῖται, καὶ λέγουσί τινες· τί συν καὶ οἱ πολῖται Σάρδις λέγονται καὶ ἡ πόλις, καὶ μὲν Σαρδανοὶ λέγονται καὶ καλέονται, πῶς οὖν φησὶ καὶ οἱ πολῖται καὶ ἡ πόλις, ἔστιν οὖν εἰπεῖν, ὅτι οὐκ εἶπε, Σάρδις λέγονται οἱ πολῖται καὶ ἡ πόλις· ἀλλότι διὰ τοῦ ἰῶτα ἐστὶν ἡ γραφή.

Σάρωσις, ἡ φιλοκάλησις.

Σαρωνὶς, ἡ δρῦς, διὰ τὸ σεσηρέναι· ἢ σαρωνὶς διὰ τὸ ἐξ αὐτῶν σωροὺς γίνεσθαι.

Σάτον μόδιον κουλομάτ'.. ὡς εἶναι ξέστων κβ, ὑγροῦ δὲ ξέστων ν· καὶ ἄλλως· σάτον καλεῖται ἐξ αὐτῆς τῆς ἑβραΐδος διαλέκτου μεταφρασθὲν, θηλυκῶς μὲν ἐκφωνούμενον, ἐν δὲ τῇ Ἑλλάδι οὐδετέρως· τὸ γὰρ σάτον οὐχ ἡ σάτος· τὸ σάτον δὲ μόδιόν ἐστι κουλουματ'.. ὡς εἶναι μόδιον, καὶ διὰ τοῦτο ὀβολ'.. τὸ σετρ'..· ἔστι τοῦ μοδίου τὸ ὑπέργυμα· κέκληται δὲ σάτον, κατὰ τὴν αὐτὴν διάλεκτον ἐκφωνούμενον· ἐν δὲ τῇ Ἑλληνίδι σύρως· τὸ γὰρ σάτον μόδιόν ἐστι βουλλατ'...

Σαρδόνιος γέλως, καθ' ὑπόκρισιν, ἀπὸ τοῦ σεσυρέναι τοὺς ὀδόντας.

Σάρδιον, βοτάνη δηλητρ' ἥτις ἅπαν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν, σπασμῷ ὑποβάλλει, ὡς καὶ τῶν χειλέων συσταλέντων, γυμνοῦσθαι τοὺς ὀδόντας, καὶ γέλωτος φαντασίαν παρέχειν τοῖς ὁρῶσι· ἔστι δὲ καὶ λίθος.

Σάρισσα, εἶδος ἀκοντίου Ἑλληνικοῦ.

Σαρδάζων, μετὰ πικρίας καὶ θυμοῦ γελῶν.

Σάτυρος δαίμονος ὄνομα χορευτικοῦ.

Σαρακηνὸς, σαπρὸς, κενὸς, διὰ παντὸς γὰρ τῇ σαπρίᾳ νέος εὑρίσκεται, οὐ τελευτ'.. γὰρ αὐτοῦ ἡ πονηρία, σαπρᾶς γὰρ μήτρος τῆς δούλης γέγονε· σαπρὸς ἦν τῷ

---

1) ἰλημ' (Sic.) an Ἱερουσαλήμ?

πάλαι δικαίῳ γνωρίᾳ, τὴν δούλην καὶ τεχθῆναι παρ' αὐτῆς· ἐξ ἐπιτροπῆς γὰρ τῆς Σάῤῥας πρὸς τὸν Ἀβραὰμ τοῦ γενέσθαι μετὰ δούλης καὶ κύησιν βρέφους ἐτέχθη ὁ Ἰσμαήλ· ὁ ἀεὶ σαπρὸς τῇ ἀμεταβλήτῳ πονηρίᾳ ἄκοσμον καθιστῶν τὸν κοσμόν· ἡ δὲ Σάῤῥα ἐξ ἐπαγγελίας τμήδος συνέλαβε, καὶ εὐλογήθη καὶ αὐτή· καὶ τὸ ἐξ αὐτῆς τεχθὲν, πρὸ τῆς κυήσεως αὐτῆς ἐν τῇ ἐπαγγελίᾳ τῆς συλλήψεως αὐτοῦ.

Σαυρωτὴρ, ξυστὸν δόρυ, ἢ ὁ στύραξ, ὃν ἔνιοι οὐρίαχον καὶ σαυρωτῆρα καλοῦσι, ὅπου ἐμπήσσεται τὸ σίδηρον τοῦ δόρατος, παρὰ τὸ σταυροῦσθαι καὶ ὀρθοῦσθαι ἔπαν. σταυρωτήρ τις ὤν· οἱ δὲ αὐτὸ τοῦτο τὸ σιδήρειον στύρακα καλοῦσιν· ἔστι δὲ εἶδος δένδρου. ὁ στύραξ, οὗ ὁ καρπὸς ὁμωνύμως λέγεται στύραξ· λέγεται δὲ σαυρωτὴρ καὶ ἡ τοῦ δόρατος ἀρχὴ, ἐφ' ἧς στηρίζεται.

Σαφὰ, σαφῶς, ἐπίῤῥημα μεσότητος, διάτι βαρύνεται; ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε, πληθυντικοῖς βαρυτόνων ὀνομάτων, ταῦτα βαρύνεται καὶ μετάγονται εἰς ἐπιῤῥηματικὴν σύνταξιν, καὶ βαρύνεται, οἷον ταχεῶς τάχα, σαφέα, ὠκέα, ὦκα πλὴν τοῦ θαμέα θαμά· καὶ εἰς πρῶτα.

Σαφῶς, ἐκ τοῦ σαφὴς, τοῦτο ἐκ τοῦ σαφῶ τὸ ἑρμηνεύω, τοῦτο ἐκ τοῦ σοφὸς, τοῦτο ἐκ τοῦ σέβω σοβὸς καὶ σοφός· τὸν γὰρ σοφὸν πάντες σεβόμεθα.

Σαφηνιεῖ, ἑρμηνεύει, διατρανεῖ.

Σαώτερος, παρὰ τὸ σάος, σαώτερος τὸ συγκριτικόν.

Σαώτερος, ὁ σῶος καὶ ὑγιής· ἔστι ῥῆμα σῶ τὸ ὑγιαίνω, καὶ παράγωγον σάω, ἐξ οὗ ὄνομα σάος, ἐξ αὐτοῦ σαώτερος· τὸ δὲ σῶος εἴρηται, παρὰ τὸ σεύειν τὸ ὁρμᾶν, καὶ κινεῖσθαι.

Σέβας, τιμὴ, προσκύνησις.

Σεβαστὸς, προσκυνητὸς, σεπτός.

Σεδὲκ, εἰς τὸ Μελχισεδέκ.

Σειλινὸς, ὁ γέρων, παρὰ τὸ εἴρω, ὃ σημαίνει τὸ λέγω σειρηνὸς, καὶ κατὰ μετάθεσιν τοῦ ρ εἰς, λ καὶ τοῦ η εἰς ι, σειλινός· ἢ παρὰ τὸ σείεσθαι λίαν· σειληνὸς ὁ διόνυσος, παρὰ τὸ σείεσθαι ἐν τῷ ληνῷ· σιληνὸς δὲ ὁ μωρὸς, ἐκ τοῦ σιλαίνειν τὸ μωραίνειν, καὶ φλυαρεῖν.

Σειλινὸς, σειλινοὶ λέγονται οἱ γέροντες τῶν σατύρων· γράφεται δὲ διὰ τῆς ει διφθόγγου· ἢ γὰρ παρὰ τὸ σείεσθαι αὐτοὺς, περὶ τὸν ληνόν· ἢ παρὰ τὸ σεσυρέναι καὶ χαίρειν γέγονε σέριος καὶ προσθέσει τοῦ ἰῶτα, καὶ τροπῇ τοῦ ρ εἰς λ· σειλινός.

Σειρὰ, ἡ πλοκὴ, διὰ τῆς ει διφθόγγου, τοῦτο παρὰ τὸ εἴρω τὸ συμπλέκω, γέγονεν εἱρὰ, καὶ πλεονασμῷ τοῦ σ, σειρά· οἱ δὲ Δωριεῖς διὰ τοῦ ἦτα γράφουσιν αὐτὸ, σηρὰ, καὶ ἐκ τούτου γνωρίζεται, ὅτι δίφθογγον ἔχει, τρέποντες ἐκεῖνοι πάντοτε τὴν ει δίφθογγον εἰς ἦτα.

Σείριος, ὁ ἥλιος, οἱονεὶ τείριος, κατὰ τροπὴν τοῦ τ εἰς σ, ἐπειδὴ τείρει καὶ καταπονεῖ ἡμᾶς τῷ καύματι· καὶ ὅτι ἀποτείει ἡμᾶς καὶ κενοῖ ἐκ τοῦ ἱδρῶτος, οἱονεὶ σείριος ὁ ἐκζέων ἡμᾶς καὶ θερμαίνων ταῖς ἀκτῖσιν· ἢ ὁ σείων καὶ ἐκπέμπων τὰς ἀκτῖνας· ἢ ἐπειδὴ σειρικοῦν λέγεται τὸ ἐρυθρὸν χρῶμα· ἡ δὲ χροιὰ τοῦ ἡλίου ἀνατέλλοντος τοιαύτη ἐστί· Σείριος καλεῖται οἱονεὶ εἴριος, ὁ εἴρων καὶ προλέγων τοῖς γεωργοῖς ἰδιότητα.

Σειρὴν, παρὰ τὸ εἴρω τὸ λέγω γέγονεν εἰρὴν καὶ πλεονασμῷ τοῦ σ, σειρήν.

Σειρομάστης, ἐκ τοῦ σεῖρα καὶ τοῦ μαστίζω· ἔστι δὲ σκεῦος λογχοειδὲς, ἔχον ὀγκίνα τινὰ συνηγμένον αὐτῷ, ᾧ χρῶνται μάλιστα τελῶναι, εἰς τὸ ἐρευνᾶν δι' αὐτοῦ τὰς πήρας τῶν φορτίων τῶν ἐμπόρων, τοῦ γνῶναι τινά ἐστι τὰ ἐναποκείμενα τοῖς φορτίοις· ἔνθεν γὰρ καὶ σειρομάστης ὠνόμασται, ἐκ τοῦ τὰ φορτία ὡς εἴρηται τῶν ἐμπόρων μαστίζειν δι' αὐτοῦ, τουτέστιν ἐρευνᾶν.

Σεία, παρὰ τὸ σέω γέγονε, σεία γὰρ προσθέσει τοῦ ἰῶτα· καὶ εἰς τὸ σισσειὸν καὶ τιμή.

Σέβας, ἐκ τοῦ σέβω.

Σεισάχθεια, χρέων ἀποκοπή· οἱ Ἀθηναίων παῖδες δανεισάμενοι ποτὲ παρὰ τῶν πλουσίων, καὶ ἀποροῦντες ἠναγκάσθησαν μισθοῖς αὐτοὶ διαπελάζειν καὶ ἀγωνίαν.

Σέλας, φῶς, λαμπηδὼν, λαμπρότερον τὸ φῶς τῆς σελήνης, παρὰ τὸ σαλεύεσθαι τῇ πνοῇ.

Σέλας, παρὰ τὸ σεύω τὸ ὁρμῶ καὶ σέλη ἡ λαμπεδὼν, παρὰ τὸ σεύεσθαι ἐξ αὐτῆς τὴν ἕλην καὶ ὁρμᾶν, ἢ παρὰ τὸ ἕλη ἡ λαμπηδὼν ἕλας καὶ σέλας· καὶ εἰς τὸ ἥλιος, καὶ λάμπω, καὶ σάλπιγξ, καὶ σεμελή.

Σελήνη ἡ Ἄρτεμις, σέλας νέον, εἴρηται παρὰ τὸ σέλας ἀένναον ἔχειν, ὅθεν καὶ ἐνιαυτὸς, ὁ ἔνος ὁ ἀεὶ νεάζων, οὕτως Ἡρακλείδης.

Σελήνη, παρὰ τὸ ἐν νυκτὶ φαίνειν, σέλας γὰρ οἱ παλαιοὶ τὸ φῶς ἐκάλουν· ἔστι δὲ καὶ ὄνομα βασιλίσσης Σκυθῶν.

Σέλινον, διὰ τὸ ἐν ἕλει σεύεσθαι ἤγουν ὁρμᾶν, ἕλινον καὶ σέλινον.

Σελευκὶς, εἶδος ὀρνέου.

Σελμὼν, ὄνομα βάρβαρον, ἀπὸ τοῦ ἕλκω τὸ ἑλκύω, ὁ παρακείμενος εἷλκα, ὁ παθητικὸς εἷλκαι καὶ ἐξ αὐτοῦ εἷλμος καὶ ἀποβολῇ τοῦ ἰῶτα ἑλμὸς, ἑλμών· ἢ ἀπὸ τοῦ ἐλεύθω ἑλμὼν καὶ σελμών.

Σεκοῦνδος, κύριον· σημαίνει δὲ καὶ τὸν δεύτερον.

Σεμέλη, κύριον, παρὰ τὸ σέλας μέλειν, ἤγουν φροντίζειν· σέλας γὰρ τὴν ἀστραπήν· παρὰ τοῦ Διὸς ᾐτήσατο μετὰ ἀστραπῆς καὶ βροντῶν συγγενέσθαι αὐτῇ.

Σεμέλη, θεὸς, θεμελὶς, θεμελιῶτις οὖσα. θέμελις ἡ γῆ προσαγορεύεται· διὰ τὸ ἐν αὐτῇ πάντα καταθεμελιοῦσθαι· καὶ κατ' ἐναλλαγὴν τοῦ θ εἰς σ, Σεμέλη.

Σεμίδαλις, ἐκ τοῦ σέλας ὃ σημαίνει τὸ λευκὸν, σελίδαμίς τις οὖσα, ἡ λευκὴ ἄλευρος.

Σεμνὸς, ἔντιμος, ἔνδοξος.

Σεμνῶς, ἐπίῤῥημα ἀπὸ τοῦ σεμνὸς, ὅπερ γέγονεν ἀπὸ τοῦ σέβω, σεβνὸς, καὶ τροπῇ τοῦ β εἰς μ σεμνός· σημαίνει δὲ τὸν θαυμαστὸν καὶ ἄξιον ἐν τροποῖς· καὶ τὰ ἄῤῥητα καὶ τὰ ἀνεξέταστα σεμνὰ λέγεται· καὶ παρὰ Λυκόφρωνι δὲ, σεμνῶς κασσωρεύουσα κοιλανεῖ δόμους [1]· καὶ εἰς τὸ ἄσεμνος καὶ γυμνός.

Σενάτωρ, ἀξίωμά τι ἐν Ῥώμῃ μέγιστον.

Σέσηπεν, ἐκ τοῦ σήπω, ἢ ἔσαπον· ἢ παρὰ τὸ σὴς σητὸς, ὅ ἐστιν εἶδος σκώληκος· καὶ κλίνεται σητός, ὁ κανών· τὰ εἰς ης ὀνόματα μονοσύλλαβα, εἰ μὲν ὀξύνεται, διὰ τοῦ τος κλίνεται· Κρὴς Κρητὸς, Κρῆτες Κρητῶν· ἀμφὶ δέ μιν Κρητῶν ἀγοί. θὴς θητὸς, βλὴς βλητὸς, βλῆτα καὶ ἄβλητα πτερόεντα· εἰ δὲ περισπῶνται ἀποβολῇ τοῦ σ, κλίνεται· οἷον δρῆς δρῇ· ἀπὸ γοῦν τοῦ σὴς σητὸς, σήσω καὶ σήπω.

---

[1]) vs. 772.

Σηδὼρ, ὄνομα τόπου, ἐκ παραδόσεως διὰ τοῦ ἦτα, κατὰ δὲ τὴν ἐτυμολογίαν διὰ τοῦ ἰῶτα· καὶ γὰρ ἑρμηνεύεται μικρὰ ἢ ταπεινή· καὶ γίνεται παρὰ τὸ σιγῶ, ὁ γὰρ ταπεινὸς, ὁ μὴ δυνάμενος καθ' ἑαυτὸν σῖγος.

Σῆμα, σημεῖον· καὶ εἰς τὸ σῶμα.

Σημεῖον, τὸ ἀγνοούμενον πρᾶγμα σημαίνει.

Σημεῖον, τέρατος διαφέρει· ὅτι τὰ μὲν παρωχηκότα σημεῖα πιστοῦσθαι δεῖ, τὰ μέλλοντα τεκμηρίοις· καὶ εἰς τὸ τέρας.

Σημεῖον, τὸ σῶον μὴ ἦν, ἀλλ' ὑπόμνημα, σύσσημον ὂν τοῦ τιθέντος.

Σῆμα, σημαίνει τρία· τὸ σημεῖον, καὶ τὸν τάφον, καὶ τὴν σφραγίδα.

Σηπεδὼν, ἡ σῆψις, τὸ σέσηπος πρᾶγμα· καὶ νόσος οὕτω καλουμένη.

Σηκὸς, ὁ ἐνδότατος τόπος τοῦ ἱεροῦ· ναὸς καὶ οἶκος· σημαίνει δὲ καὶ τὸν τάφον.

Σηκὸς, οἱονεὶ στηκὸς τίς ἐστιν, πρὸς ὃν στήκουσιν εὐωχούμενοι, παρὰ τὸ ἵστημι, στήκω, στηκὸς καὶ σταθμός· παρὰ αὐτοῦ γάρ ἐστι τὸ ἑστάναι.

Σηλικὰς[1]), Ῥωμαϊκὴ ἡ λέξις, σημαίνει δὲ πέτρας μαρμαρώδεις.

Σήμαντρα, σφραγίδες.

Σημαντικὴ, δηλωτική.

Σημάντορας, ἐπιτάκτορας.

Σήμερον, ἐπίρρημα καιροῦ παραστατικὸν, οἷον σήμερον, αὔριον, γίνεται δὲ ἐκ τοῦ ἡμέρα ἥμερον καὶ σήμερον· ἢ ὅτι οἱ Δωριεῖς σάμερον λέγουσι· τὰ δὲ ἔχοντα ἀναφαινόμενον τὸ α, διὰ τοῦ η γράφεται, οἷον μηχανὰ, ἅλιος, σᾶμα· τὸ ρον μικρὸν διάτι; τὰ εἰς ον ἐπιρρήματα· τὸ με ψιλὸν διάτι; κατὰ παράδοσιν· κατὰ ποῖον κάνονα τῆς ὀρθογραφίας; κατὰ ἱστορίαν· καὶ πόσοι κάνονες; τέσσαρες· ἀναλογία, ἐτυμολογία, διάλεκτος, ἱστορία· τί ἐστιν ἀναλογία; ἡνίκα κατορθῶμεν γραφὴν, ἢ ὅταν κανόνα ἀποδῶμεν· διάτι βαρύνεται; ἐπειδὴ τὰ εἰς ον λήγοντα ἐπιρρήματα, παραληγόμενα τῷ ι, ἢ τῷ ε, βαρύνεται· οἷον αὔριον, σήμερον, χωρὶς τοῦ αὐθημερὸν, καὶ ἐξὸν, ὑπεσταλμένων τῶν ὀνομάτων· τὸ αὐθημερὸν παρώνυμον· τὸ ἐξὸν μετοχή.

Σῆρες, ὄνομα ἔθνους, ὅθεν ὁλοσηρικὸν ἔρχεται μεταξωτόν.

Σῆρες, ζῶα, νήθον τὰ μετάξην.

Σήραγγες, αἱ ὑπὸ γῆν ὑπομήκεις ἐκρήξεις, οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς, ἃς ὑποτρέχον τὸ ὕδωρ, ζητεῖ διέξοδον· ἐντεῦθεν σηραγγῶδες τόπος εἴρηται, ὁ διατετρημένος ἀπὸ τοῦ σεσηρέναι καὶ διαστρέφεσθαι.

Σήραγξ, χάσμα, κοιλὰς ὕφαλος πετρ..[2]) ... ῥῆγμα ἔχουσα.

Σήραγξ, ὁ βαθὺς καὶ κρημνώδης τόπος· γίνεται δὲ παρὰ τὸ διαρήσσω τὸ διακόπτω ῥήσαγξ, καὶ ἐν ὑπερβιβασμῷ σήραγξ· τοῦτο δὲ ἐκ τοῦ ῥῶ τὸ φθείρω.

Σὴς, ὁ σκώληξ, παρὰ τὸ σῶ τὸ κινῶ, ὁ μέλλων σήσω, ἀποβολῇ τοῦ ω, σὴς, σητὸς ὁ κανὼν εἴρηται· διαφέρει δὲ θρὶψ, σὴς, ἴψ· θρὶψ μέν ἐστι σκώληξ ἐσθίων τὸ ξύλον, σὴς δὲ τὸ ἱμάτιον, ἶψ ὁ τὰ κέρατα καὶ τὰς ἀμπέλους βλάπτων.

Σησάμενος, ἐκ τοῦ σήθω, τὸ κοσκινίζω, ἐξ οὗ καὶ σῆσις ἡ κοσκίνησις καὶ σητάνιος ἄρτος ὁ καθαρός.

Σῇσι, ταῖς σαῖς· διάτι ἐπεκτείνεται διὰ τοῦ ἰῶτα; πᾶσα δοτικὴ πληθυντικῶν πρὸ τοῦ ι ἔχει τὸ σ, ἢ δυνάμει, ἢ ἐνεργείᾳ· ἐνεργείᾳ μὲν λέβητι λέβησι· δυνάμει δὲ κόρακι κόραξι, Πέλοπι Πέλοψι· ὅθεν τὸ Ἀθρείδαις, καὶ καλοῖς καὶ σαφοῖς, μὴ ἔχοντα πρὸ τοῦ ι τὸ σ, ἢ δυνάμει ἢ ἐνεργείᾳ, διὰ τοῦτο ἐπεκτάνθεν διὰ τοῦ ἰῶτα· ἔτρεψαν δὲ τὸ α εἰς ἦτα, αἱ τοιαῦται δοτικαὶ, ἵνα εὑρεθῇ τὸ σ πρὸ τοῦ ἰῶτα, εἴτε ἐπεκτεταμέναι εἰσὶν, εἴτε ἀνεπέκτατοι.

Σιαγόνες, παρὰ τὸ σείεσθαι αὐτὰς ἄγαν ἄνω καὶ κάτω, ἢ ὅτι σείονται περιαγόμεναι, καὶ συνάγονται αἳ εἰσιν ὑποκάτω τοῦ γενείου· οἱ δὲ παρὰ τὸ σιγὼν σιαγὼν, ἀπὸ τοῦ τὰ σιτία ἄγνυσθαι δι' αὐτῶν.

Σιγῶ, διὰ τοῦ ἰῶτα, ἐπειδὴ παρὰ τὸ σιγή ἐστιν, ὡς τιμὴ τιμῶ· καὶ ἄλλως τὸ σι ἰῶτα διάτι; τὰ εἰς γη οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, οἷον πηγὴ, καυγή.

Σίγειον, ἀκρωτήριον τῆς Τροίας· γράφεται δὲ διὰ τῆς ει διφθόγγου κατὰ τὴν παραλήγουσαν, τῷ λόγῳ τοῦ ῥότειον· κατὰ δὲ τὴν ἄρχουσαν διὰ τοῦ ἰῶτα, ἐπειδὴ παρὰ τῇ σιγῇ παρῆκται, κατ' ἀντίφρασιν· πολύηχος γάρ ἐστιν ὁ τόπος, ὑπὸ τῶν κυμάτων.

Σιγῇ, ἐπίρρημα μεσότητος, προσγράφεται τὸ ἰῶτα· τὰ γὰρ παρὰ τὴν δοτικὴν γινόμενα ἐπιρρήματα, ἔχουσι τὸ ἰῶτα προσγεγραμμένον.

Σίδηρος, ἀπὸ τοῦ ῥαδίως τὸν ἰὸν ἐφέλκεσθαι· ἄμεινον δὲ εἰς ἰῶν χρῆσιν ἐπιτήδειον ὂν, ὅπερ ἐστὶ βελῶν· σίδαρος δὲ λέγουσιν οἱ Δωριεῖς.

Σίδαι, λέγονται αἱ ῥοαὶ, ἐξ οὗ καὶ σίδειος καρπός.

Σικελὸς, Σικελιώτου διαφέρει· Σικελοὶ μέν εἰσιν οἱ ἐν τῇ Σικελίᾳ οἰκοῦντες βάρβαροι· Σικελιῶται δὲ οἱ ἀπ' Ἑλλήνων πόλεως μετοικήσαντες.

Σίκημα, ὄνομα τόπου· γράφεται δὲ ἀπὸ παραδόσεως τὰ δύο ιι.

Σίκερα, εἶδος πόματος σκευαστοῦ.

Σικάριαι, μάχαιραι λῃστρικαί.

Σίκινον, εἶδος ὀρχήσεως, παρὰ τὸ σείεσθαι καὶ κινεῖσθαι.

Σίκλος, εὗρον τὸν σίκλον τὸν ἅγιον ἐν τοῖς ἀριθμοῖς· οὕτω φησὶ, λυτρώσῃ τὸν πρωτότοκόν σου πέντε σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον· καὶ εἰς τὸ κοδράτης· τὸ σίκλον ἐστὶ τὸ τέταρτον τῆς οὐγκίας.

Σίμβλα, παρὰ τὸ τὰ σῖτα βάλλειν.

Σίμβλοι, τὰ ἀγγεῖα ἐν οἷς βάλλουσι τὰ κηρία αἱ μέλισσαι, οἷον, σίμελοι ὄντες, σιμαὶ γὰρ αἱ μέλισσαι· καὶ εἰς τὸ Αἰσχύλος.

Σίμβλας, τὰς τῶν μελισσῶν θήκας.

Σιμὸς, ὁ πατζὸς καὶ μικρόμυττος· καὶ πᾶν κολακὸν σιμὸν λέγεται καὶ διὰ τοῦ ἰῶτα γράφεται.

Σινὰ, ὄνομα ὄρους, ἀπὸ τοῦ ἴς, ὃ σημαίνει τὴν γνῶσιν, ἵνα, ὅτι ἐκεῖ εἶδεν ὁ Μωσῆς τὸν θεόν· ἢ ἀπὸ τοῦ ἶς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν, ἶνα καὶ πλεονασμῷ τοῦ σ, Σινὰ, ὅτι ἐκεῖ ἦν ἡ τοῦ νόμου δύναμις.

Σίνηπι, παρὰ τὸ σίνειν τοὺς ὦπας, ἤγουν βλάπτειν τοὺς ὀφθαλμοὺς, τὸ βλάπτον τοὺς ὀφθαλμούς.

Σίντιες, οἱ λίμνιοι σκώληκες, ἀπὸ τοῦ σίνεσθαι ἢ βλάπτεσθαι.

Σίνω, εἰς τὸ ἐρυσίβη, καὶ ζιζάνιον.

Σισύρα, ἡ γοῦνα, αἴγειον στέγαστρον· τετυχωμένον τουτέστιν ἄκος, ὅ ἐστι δέρμα· πολλάκις δὲ καὶ τὸ

---

1) Silices. 2) an πετρώδης?

τραχὺ καὶ ἄγναπτον ἱμάτιον, ὡς καὶ Ἀριστοφάνης, ἐν πέντε σεσύραις.

Σισύρα, καὶ σίσυρμα διαφέρει· σισύρα μὲν γάρ ἐστι τὸ ἐξ αἰγείων δερμάτων τετριχωμένον στέγαστρον· σίσυρμα δὲ τὸ ἐκ τῶν κιρκυδίων κώδιον, ῥαπτόμενον ἀπεγχώνιον.

Σίτλα, σκύφος, κρατὴρ, κισσύβιον.

Σίσυφος, εἴρηται οἱονεὶ σιόσυφος, ὁ ἔχων ἐκ τῶν σίων τουτέστι τῶν θεῶν τὴν σοφίαν· σισύφους τοὺς θεοὺς λέγουσιν οἱ Λάκωνες, ὁ οὖν ὑπὸ τῶν σίων τουτέστι τῶν θεῶν σοφὸς, σιόσοφος εἴρηται, καὶ κατ' ἀποβολὴν τοῦ ο, καὶ μεταθέσει τοῦ ἄλλου ο εἰς υ, Σίσυφος.

Σίγμα, σιμάτιον τὸ ὂν, ὑπόσιμον, τὰ γὰρ σίγματα δὴ ὑπόσιγμα· ἢ παρὰ τὸ σιγμὸν τινὰ ποιεῖν τῇ φωνῇ, καὶ ὅτι πυρωθεὶς ὁ σίδηρος, ἐπὰν εἰς ὕδωρ βληθεὶς ἀπήχησιν ὁμοίαν τῇ ἐκφωνήσει τοῦ γράμματος δηλοῖ· ὁ δὲ τοῦ στοιχείου φθόγγος τοιοῦτόν ἐστι· λέγουσι γὰρ κατ' εἰκόνα τῆς σελήνης· σιγματοειδὴς γὰρ ἡ σελήνη.

Σιτοδεία, σημαίνει τὴν λίμον, παρὰ τὸ σῖτος καὶ τὸ ἔνδεια, ὃ σημαίνει τὴν λεῖψιν, σιτοένδεια καὶ σιτοδεία, ἡ τοῦ σίτου ἔνδεια, κατὰ συγκοπὴν σιτοδεία.

Σῖτος, εἶδος τῶν παραγώγων ῥηματικῶν, παρὰ γὰρ τὸ σείω γίνεται σειστὸς καὶ σῖτος, ἡ γὰρ ἀποβολὴ τοῦ σ ἀνατρέπει τὸν τόνον· τὸ σι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιω ῥήματα, μὴ παρ' ἐνεστώτων· τὸ σι μακρὸν διάτι; κατὰ ποιητικὴν ἄδειαν· σῖτος διάτι βαρύνεται; ἐπειδὴ τὰ εἰς τος δισύλλαβα μονογενῆ, παραληγόμενα τῷ ἰῶτα ἐκτεταμένῳ βαρύνεται, οἷον κρῖτος, μῖτος, τρῖτος· οὕτως οὖν καὶ σῖτος· τὸ μέντοι λιτὸς τριγενὲς ὂν ὀξύνεται.

Σιτώνης, ὁ ἀγοράζων τὸν σῖτον, κλίνεται σιτώνου· ὁ κανών· τὰ διὰ τοῦ ωνης ὀνόματα καὶ ωλης μονογενῆ εἰς ου ἔχουσι τὴν γενικὴν πανώλης, σιτώνης· μονογενῆ εἶπε, διὰ τὰ ἔχοντα οὐδέτερον παρασχηματισμόν.

Σιρὸς, ὁ λάκκος, ἐκ τοῦ σύρω, κατὰ τροπὴν τοῦ υ εἰς ι, ὡς ἀφροδύτη, Ἀφροδίτη.

Σιρὸς, τὸ ἐπιτήδειον ἀγγεῖον εἰς ἀπόθεσιν τυρῶν καὶ ἄλλων ὀσπρίων· καὶ ὁ λάκκος.

Σκαρδαμύττειν, πυκνὰ τοὺς ὀφθαλμοὺς κλείειν καὶ ἀνοίγειν· ἢ παρὰ τὸ σκαίρειν τὸ κινεῖν, τὴν συνεχῆ κίνησιν τῶν βλεφάρων· ἢ παρὰ τὸ μύω τὸ καμμύω.

Σιφλώσειεν, ἡ λέξις νεωτέρων καὶ οἱ μὲν κακώσειεν, οἱ δὲ μωμητὸν ποιήσειεν, οἱ δὲ γέλωτα ποιήσειεν· φλῶ γάρ ἐστι τὸ ὁρμῶ, ὅθεν καὶ οἰνόφλυξ· οἱ δὲ παλαιοὶ τὸν σιφλεχθῇ.

Σίφων, διὰ τοῦ ἰῶτα· παρὰ γὰρ τὸ σίζω, τὸ ἦχον ἀποτελῶ, γέγονε σίζων καὶ σίφων, τροπῇ τοῦ ζ εἰς φ· τὸ δὲ σίζω διὰ τοῦ ἰῶτα γράφεται· τῷ λόγῳ τῶν διὰ τοῦ ιζω.

Σιὼν, τὸ ὄνομα τῆς πόλεως διὰ τοῦ ἰῶτα· Σηὼν δὲ τὸ ὄνομα τοῦ βασιλέως διὰ τοῦ ἦτα.

Σιωπῶ, ἐκ τοῦ ὂψ, ὃ σημαίνει τὴν φωνὴν καὶ τοῦ σιγῶ· τὸ δὲ σιγῶ παρὰ τὸ σίζω τὸ κτυπῶ κατ' ἀντίφρασιν· καὶ τὸ ω διάτι; τὰ παρὰ τὸ ωχη καὶ ωπη γινόμενα ὀνόματα ἅπαντα διὰ τοῦ ω γράφεται.

Σιωπὴ, ἀκὴν ἐγένετο σιωπή· καί ἐστιν ἐπίῤῥημα μεσότητος· σιωπὴ τὸ ω διάτι; τὰ ἀπὸ ἐνεστώτων καὶ μελλόντων γινόμενα.

Σιωπῶ, τὸ ω μέγα ἐκ τοῦ σιωπή· τοῦτο ἐκ τοῦ σιγωπή, καὶ ἐκβολῇ τοῦ γ γίνεται σιωπή· καί ἐστιν ὁ κανὼν τοῦ ω μεγάλου, ὥσπερ τὸ θαλπωρὴ καὶ τὰ ὅμοια· τὸ δὲ σιωπὴ γίνεται παρὰ τὸ σιγῶ καὶ τὸ ὄπα, ὃ σημαίνει τὴν φωνήν· καί ἐστι τοῦ σιγὴ τὸ σι μακρὸν, ὡς παρὰ τῷ ποιητῇ· βῆ δὲ καλυψαμένη ἑανῷ ἀργῆτι φαεινῷ σιγῇ· τὸ δὲ σιωπὴ καὶ τὸ σιωπῶ ῥῆμα, οὐκ ἀπὸ τοῦ σιγῇ καὶ τοῦ ὄπα, γράφεται τὸ ο μικρόν· ἀλλ' ἀπὸ τοῦ σιγῶ ἐφυλάχθη τὸ ω· οὕτως ἡ παράδοσις.

Σκαιὸς, ὁ ἐπαχθής· τὸ σκαι διφθόγγῳ διάτι; τὰ διὰ τοῦ αιος ὀνόματα δισύλλαβα τριγενῆ διὰ τῆς αι διφθόγγου γράφεται, οἷον φαιὸς, λαιὸς, σκαιὸς, πλὴν τοῦ θεὸς· γίνεται ἐκ τοῦ σκάζω τὸ χωλαίνω· ἢ σκάζω τὸ μὴ ὀρθῶς βαδίζω, ἐξ οὗ καὶ σκάμβος, ὁ μὴ ὀρθῶς βαδίζων, σκαὸς καὶ σκαιός· σκαιῶς γὰρ ἔχει ἡ ἀριστέρα χεὶρ πρὸς τὰς πράξεις· κατὰ δὲ τρεῖς τρόπους λέγεται σκαιόν· σκαιαὶ πύλαι αἱ τοῦ Ἰλίου· αὗται δὲ σκανδάνιοι προσαγορεύονται, δι' ὧν ἐξίεσαν οἱ Τρῶες· σκαιαὶ δὲ εἴρηνται, ἢ ἀπὸ σκαιοῦ τοῦ δημιουργήσαντος αὐτὰς, ἤγουν κατασκευάσαντος· ἢ ὅτι ἐν τοῖς σκαιοῖς, ἤγουν τοῖς ἀριστεροῖς μέρεσι κεῖνται, σκαιὰ γὰρ τὰ ἀριστέρα ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν, εἰπών· εἴτ' ἐπὶ δέξι' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε, εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα [1])· ἢ παρὰ τὸ σκαιῶς βεβουλεῦσθαι τοὺς Τρῶας· τὸν γὰρ δούριον ἵππον κατ' αὐτὰς ἐδέξαντο τὰς πύλας.

Σκαιὸς, ὁ ἀμαθὴς, παρὰ τὸ σκάζειν τῇ μαθήσει πρὸς τὸν διδάσκαλον.

Σκρινιάριοι, οἱ χαρτοφύλακες τῶν βασιλέων· σκρινίαι γὰρ αἱ ἄρκραι· σκρινίον γὰρ δρυφαντικὸν λάρνακα καλοῦσι Ῥωμαῖοι.

Σκαίρω, χορεύω, ὀρχοῦμαι, ὅτι ἀνεφάνη τὸ α ἐν τῷ μέλλοντι σκαρῶ· τοῦτο ἐκ τοῦ σπέρω, τοῦτο ἐκ τοῦ σπῶ· καὶ εἰς τὸ κάρις.

Σκαλμοῖσι, τοῖς σκαρθμοῖς· ἀπὸ τοῦ σκαίρω γίνεται σκαρμὸς καὶ πλεονασμῷ τοῦ θ σκαρθμός· ἐκ δὲ τοῦ σκαρμὸς γίνεται τὸ ὑποκοριστικὸν σκαρμὶς καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον σκαλμίς.

Σκαμάνδριος πηγή [2])· τὸ δρι ἰῶτα, ὡς κάπριος· ἐκ τοῦ Σκάμανδρος, ὃν Ξάνθον καλοῦσι· δίψῃ γάρ ποτε κατασχεθεὶς ὁ Ἡρακλῆς ηὔξατο τῷ Διῒ πατρὶ, δεῖξαι αὐτῷ μικρὰν λιβάδα· ὁ δὲ μὴ θέλων αὐτὸν κατατρύχεσθαι, ῥίψας κεραυνὸν, ἀνέδωκε μικρὰν λιβάδα, ἣν θεασάμενος ὁ Ἡρακλῆς, καὶ σκάψας εἰς τὸ πλουσιώτερον ἐποίησεν ἐκφέρεσθαι· καὶ διὰ τοῦτο Σκάμανδρος ἐκλήθη, διὰ τὸ κάματος καὶ κόπου παραίτιον· ἤγουν διὰ τὸ ἐσκάφθαι ὑπὸ ἀνδρός· Ξάνθος δὲ ἐπειδὴ ἐκεῖ λουσάμεναι αἱ θεαὶ, ξανθὰς ἔσχον τὰς πόλεις, ὁπότε πρὸς Ἀλέξανδρον ἧκον, ἕνεκα κάλλους κριθησόμεναι.

Σκαμβὴ, ἡ διεστραμμένη, παρὰ τὸ σκαιῶς βαίνειν· ἢ παρὰ τὸ σκάπτω τὸ κατορύσσω, σκαμβὴ, ὁ γὰρ διεστραμμένος πολλὰ κατορύσσει κατὰ τοῦ πλησίον.

Σκαμβὸς, ἄνθρωπος στρεβλὸς, διεστραμμένος, ὁ μὴ ὀρθῶς βαδίζων.

Σκάνδαλον, παρὰ τὸ σκάζω τὸ χωλαίνω· λέγεται δὲ καὶ σκάνδαλον ἡ διαστροφή.

Σκάνδαλον, παρὰ τὸ σκάζειν τὴν ἀλήθειαν.

---

1) Il. XII, 239. 40.

2) Sine dubio leg. σκαμάνδριον πεδίον ex Il. II, 465. Cfr. Il. XX, 74.

Σκάρος, ὁ ἰχθὺς, παρὰ τὸ σκίζεσθαι ῥᾳδίως· ἢ διὰ τὸ σκαρίζειν τῷ δρόμῳ.

Σκάφος, παρὰ τὸ σκάπτω, σκάψω, ἔσκαφα, καὶ ἐξ αὐτοῦ σκάφος· ἀπὸ μεταφορᾶς τῶν σκαπτομένων καὶ γενομένων βαθέων.

Σκαφίδιον, τὸ πλοῖον, ἰῶτα, ὅτι σκάπτειν ἐκάλουν τὸ πλεῖν· ἢ διὰ τὴν κοιλότητα· σκαφείδιον δὲ διὰ διφθόγγου ἐκ τοῦ σκαφεὺς σκαφέως, σκαφείδιον· σημαίνει δὲ τὸ λιγγάριον· σκαφείδιον δὲ τὸ γεωργικὸν ἐργαλεῖον· καὶ γὰρ σκαφεὺς ὁ ἐργάτης.

Σκελίζω, τοῦτο παρὰ τὸ σκέλος, τοῦτο παρὰ τὸ κέλευθος, ὃ σημαίνει τὴν ὁδὸν, πλεονασμῷ τοῦ σ, σκέλευθος, καὶ ἐν συγκοπῇ σκέλος· δι' αὐτοῦ γὰρ τὴν ὁδὸν τελειοῦμεν, ὅ ἐστι βαδίζομεν· ἢ παρὰ τὸ σχίζω σχέλος καὶ σκέλος· ἀπεσχισμένα γάρ εἰσιν ἀπ' ἀλλήλων τὰ σκέλη, ἐξ οὗ καὶ κατασκελίζω.

Σκεδάζω, ἐκ τοῦ σχεδιάζω· τοῦτο ἐκ τοῦ παραχρῆμά τι ποιῶ· ἢ παρὰ τὸ σχίζω τὸ χωρίζω, πλεονασμῷ τῆς δα συλλαβῆς σχεδάζω καὶ σκεδάζω· τὸ γὰρ σκεδαζόμενον εἰς πολλὰ διαιρεῖται.

Σκεπαστὴς, ἐκ τοῦ σκεπάζω· τοῦτο παρὰ τὸ σκέπω, τοῦτο παρὰ τὸ σκέπτω, τοῦτο παρὰ τὸ σκέσθω τὸ κωλύω.

Σκέλω, σημαίνει τὸ ξηραίνω· μὴ πρὶν μένος ἠελίοιο σκήλῃ· καὶ σκέλετ' ἀποξηραμμένος· καὶ εἰς τὸ σκληρός.

Σκέπω, παρὰ τὸ σχέθω τὸ κωλύω καὶ τροπῇ τοῦ χ εἰς κ, καὶ τοῦ θ. εἰς π, σκέπω.

Σκευωρία, κατασκευὴ, ἐπιβουλή.

Σκηνὴ, διὰ τοῦ ἦτα. διάφορα σημαίνει· κάστρον, παρεμβολὴν, καὶ τὴν ἀπὸ ξύλων καὶ περιβολαίων οἰκίαν, τὸ θεάτρον, τὴν ὑπόκρισιν, ἤγουν τὸ πλάσμα, τὴν ὀρχηστρίαν, καὶ τὸ σῶμα τοῦ ἀνθρώπου· σκινὴ δὲ διὰ τοῦ ἰῶτα, ἡ κλίνη· καὶ εἰς τὸ προσκήνιον· καὶ οἱ Δωριεῖς σκανὴ λέγουσι.

Σκῆνος, οἰκητήριον, σῶμα, παρὰ το σκηνὴν εἶναι τῆς ψυχῆς καὶ οἰκητήριον.

Σκήπτεσθαι, καὶ σκέπτεσθαι, τινὲς μὲν ταὐτὸ ἐνόμισαν εἶναι, ἀλλὰ διαφέρουσιν αἱ λέξεις· σκήπτεσθαι μὲν γὰρ ἐστι τὸ προφασίζεσθαι· σκέπτεσθαι δὲ τὸ συμβουλεύεσθαί τι.

Σκῆψις, πρόφασις, ἀναβολὴ, ἀπὸ τοῦ σκέψασθαι τὸν προφασιζόμενον.

Σκῆπτρον, ἔστιν ἡ βακτηρία, παρὰ τὸ σκηρίπτεσθαι καὶ ἐπερείδεσθαι ἐν αὐτῇ.

Σκηπτοῦχοι, σκηπτροφόροι βασιλεῖς· τὰ παρὰ τὸ ἔχω συντιθέμενα, εἰ μὲν διφθόγγῳ παραλήγεται, πρὸ μιᾶς ἔχει τὸν τόνον, λαμπαδοῦχος, ὀφιοῦχος· εἰ δὲ ἑνὶ φωνήεντι παραλήγεται προπαροξύνεται· ἔνοχος, πάροχος, μέτοχος.

Σκῆπτρον, γίνεται ἐκ τοῦ σκήπτω, τὸ ἐπικουμβίζω, καὶ σημαίνει δύο, τὸ ἐπικουμβίζω καὶ προφασίζομαι, ἐξ οὗ καὶ σκῆψις ἡ πρόφασις.

Σκίμποδος, μικρὸν κλινάριον.

Σκῆψις, ἡ ἐκ μελέτης ψευδομαρτυρία, παρὰ τὸ σκήπτω τὸ προφασίζομαι· καὶ εἰς τὸ ἐπέσκηψε.

Σκιὰ, παρὰ τὸ κίω τὸ πορεύομαι, κια, καὶ πλεονασμῷ τοῦ σ σκιά· ἐκ τῆς σὺν προθέσεως καὶ τοῦ κίω τὸ πορεύομαι, ἡ συμπορευομένη καὶ μὴ ἐῶσα ἡμᾶς.

Σκίμπους, παρὰ τὸ σκινὴ καὶ τὸ πούς ποδὸς σκινόπους, καὶ κατὰ συγκοπὴν σκίμπους· ἔστι δὲ μέρος τι τοῦ κραββάτου, μεταφορικῶς δὲ λέγεται ὅλος ὁ κράββατος σκίπους, χωρὶς τοῦ μ, ὡς ἀρτίπους.

Σκιδράμενος, σκορπιζόμενος.

Σκνίπος, καὶ σκνιφὸς, ὁ μικρολέγος, παρὰ τοὺς σκνίπας, διὰ τὴν τούτων σμικρότητα.

Σκνίπες, εἶδος μικροῦ κώνωπος πετομένου· ἔστιν ἡ εὐθεῖα σκνὶψ, σκνίπος, σκνίπες· καὶ ἐκ τούτου γίνεται σκνιπὸς, ὁ μήδε μικρόν τι θέλων ἀπολέσθαι· τὸ σκνι ἰῶτα διάτι; οὐδέποτε δίφθογγος εἰς διπλοῦν λήγει· οἷον, σκνὶψ, θρὶψ, πλὴν τοῦ προίξ· καὶ εἰς τὸ στίξ.

Σκληραγωγία, ἄσκησις στενοτάτη, θλίψις· παρὰ τὸ στενῶς καὶ σκληρῶς ἄγεσθαι.

Σκολία, παρὰ τὸ σκολιὸς, ἢ παρὰ τὸ σκάζω τὸ χωλαίνω, ὁ περὶ τὴν συνείδησιν χωλαίνων, ὁ μὴ εὐθεῖαν ὁδὸν πορευόμενος, ἀλλὰ διεστραμμένην· ἢ παρὰ τὸ σκαιόν· ἢ παρὰ τὸ σκόλοπα, ὃ σημαίνει τὸ ἀπεξυσμένον ξύλον.

Σκόλοψ, ξύλον ὀξύ· καὶ εἰς τὸ ἀνασκολοπισθῆναι.

Σκόλοψ, παρὰ τὸ κολάπτω κόλαψ· ἢ παρὰ τὸ σχίζω σχόλοψ καὶ σκόλοψ, τὸ ἐξυσμένον καὶ ἐσχισμένον ξύλον, ἢ ἄκανθα.

Σκόπελος, ἀπὸ τοῦ σκοπῶ, ἀφ' οὗ ἔστι τὰ κύκλῳ περισκοπεῖν· σημαίνει δὲ τὸ ἀκρωτήριον.

Σκοπιαὶ, ὑψηλοὶ τόποι.

Σκορπίζω, ἐκ τοῦ σκορπιὸς, τοῦτο παρὰ τὸ ἰόν· σημαίνει δὲ τὸ ἄστρον ἀπὸ τῆς ὁμοιότητος, ὁ πανταχοῦ σκορπίζων· ὁ σκορπιὸς δὲ σημαίνει τρία, τὸν χερσαῖον, καὶ γίνεται παρὰ τὸ σκορπίζειν τὸν ἰόν· τὸ ἄστρον, καὶ οὗτος ἀπὸ τῆς ὁμοιότητος τοῦ χερσαίου δείκνυται· ἐπειδὴ ὁ ἥλιος ἐν αὐτῷ ἐστιν, τότε τὰ σπέρματα ἐπὶ τῆς γῆς σκορπίζομεν· σημαίνει δὲ καὶ τὸν θαλάσσιον, καὶ γίνεται παρὰ τὸ πλήττειν καὶ τὸν ἰὸν ἐπιβάλλειν· ἢ παρὰ τὸ σκαιῶς ἕρπειν· τὸ δὲ σκορπίζω γίνεται παρὰ τὸ σκαρπὸν σκαρπίζω, καὶ τροπῇ τοῦ α εἰς ο, καὶ πλεονασμῷ τοῦ σ, σκορπίζω.

Σκορπιὸς, διὰ τὸ σκοπεῖν τὴν οὐρὰν, ἢ παίειν ἤγουν κρούειν.

Σκόροδα, παρὰ τὸ τὰς κόρας οἰδαίνειν.

Σκοπὸς, ἡ ἔννοια, καὶ ὁ νοῦς, παρὰ τὸ σκέπτεσθαι· σημαίνει δὲ τέσσαρα, τὸν σκοπὸν, τὸν νοῦν, τὸν κατάσκοπον ἄνθρωπον, καὶ τὸ σημεῖον καὶ τὸν τόπον, ᾧ πάντες στοιχοῦσι καὶ ἀκολουθοῦσι· σκοπὸς γὰρ ὁ ὑψηλὸς καὶ δύσβατος τόπος· ἐξ οὗ καὶ σκοπία.

Σκορακισμὸς, ὕβρις, ἐξουδένωσις.

Σκότος, παρὰ τὸ ἐντὸς φωτὸς εἶναι, σκιά.

Σκότος ἔστιν ἀὴρ, ἐστερημένος φωτός.

Σκοτόμαινα, νὺξ, ἐν ᾗ μαίνεται, καὶ ἀκαταστατεῖ τὰ οὐράνια.

Σκοτόμαινα, σκότος, σελήνη, μήνη γὰρ ἡ σελήνη.

Σκοτομήνη, παρὰ τὸ σκότος καὶ τὸ μήνη ἡ σελήνη· τὸ δὲ σκότος παρὰ τὸ σχέθω τὸ κωλύω· καὶ τὸ μήνη παρὰ τὸ μειοῦσθαι καὶ ἐλλείπειν· ἢ παρὰ τὸ μὴν μηνός· τοῦτο παρὰ τὸ μένω τὸ ἐπιμένω.

Σκιάδιον, τὸ καμηλαύκιον.

Σκιρτῶ, παρὰ τὸ σκαίρω τὸ πηδῶ.

Σκότος, παρὰ τὸ σχέθω τὸ κωλύω, κωλυτικὸν γὰρ τοῦ φωτός· καὶ εἰς τὸ αὐγή.

Σκυθία χώρα, ὅτι ἐν Σκυθίᾳ, καὶ εἰς τὸ ἀρκτῷα μέρη οὐδ' ὅλως κεραυνὸς ἐκπίπτει· φυλάττεται δὲ ἀπήμαντος ἀπὸ κεραυνοῦ, ἐν μὲν φυτοῖς δάφνη καὶ συκῆ, καὶ γὰρ ἡλίῳ ταῦτα· ἐν δὲ πετεινοῖς ἀετὸς, Διὸς γὰρ εἶναι νενόμισται· ἐν δὲ ὑγροῖς φώκη, ἡ φώκη δὲ ὡς ἀπήμαντος ἐπιβουλῇ, μάρτυς ἡ πεῖρα παραδέδωκε·

τῶν γὰρ νηῶν τὰ ἱστία, ἐν οἷς οἱ βασιλεῖς πλέουσι, Φοινικίοις εἴθισται διφθεροῦσθαι δέρμασι.

Σκουτάριον, σκοῦτον καλοῦσι οἱ Ῥωμαῖοι τὸ ἰσχυρὸν ἅμα καὶ ἰσχνόν· ἀβαρὶς μέν ἐστιν ὡς ἰσχνή· καρτερωτατ' δὲ καὶ ταῖς πληγαῖς οὐκ ἐνδιδοῦσα, ὡς ἰσχυρά.

Σκύβαλον, τὸ δι' ἐντέρων ἐκδιδόμενον ἡ κόπρος, οἷον κυσίβαλόν τι ὄν, ἢ κευθίβαλον· κυσίβαλον τὸ τοῖς κυσὶ βαλλόμενον καὶ διδόμενον.

Σκύβαλα, τὰ τῆς καλάμης γόνατα.

Σκυδμαίνειν, τὸ σκυθρωπάζειν καὶ ὀργίζεσθαι· κυρίως ἐπὶ λεόντων καὶ λεαίνων, τῶν ἐπὶ τοῖς ἀφαιρουμένοις σκύμνοις ὀργιζομένων· ἀπὸ οὖν τοῦ σκύμνος καὶ τοῦ μαίνειν γίνεται σκυδμαίνειν· ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον συστολῆς τοῦ σκυνίου, τῆς ὀφρυὸς τοῦ ὀφθαλμοῦ, ὅ ἐστι δέρμα, ὃ σημαίνει ἐπὶ τῶν ὀργιζομένων.

Σκυθρωπὸς, στυγνὸς, ἔνθεν καὶ σκυθωπάζαι καὶ πλεονασμῷ τοῦ ρ, σκυθρωπάσαι, παρὰ τοῖς Σκύθοις, οἵτινες ὀργιλώτατοι ὄντες, τὸ ἐπισκύνιον, ὅ ἐστι δέρμα τοῦ προσώπου καθέλκουσι, τουτέστι συστέλλουσι.

Σκυθίζειν, σπαράττειν, ἐκ τοῦ Σκύθης, ὁ σπαρακτικὸς καὶ ὀργίλος· οἱ γὰρ Σκύθαι ἀνδραποδισταὶ ὄντες καὶ λησταὶ ἠνδραπόδιζον καὶ ἠχμαλώτιζον [1]).

Σκυθρωπὸς, παρὰ τὸ χύτρα καὶ τὸ ὢψ, ὃ σημαίνει τὸν ὀφθαλμον, γίνεται χυτρωπὸς, καὶ πλεονασμῷ τοῦ σ, καὶ τροπῇ τοῦ χ εἰς κ, σκυτρωπὸς, ὁ ἀφανὲς πρόσωπον ἔχων· ἢ παρὰ τὸ σκύζω τὸ ὀργίζομαι· ἢ παρὰ τὸ Σκυθικοὺς ὦπας ἔχειν.

Σκῦλον, καὶ σῦλον σημαίνει τὸ ἀπὸ πολέμου συναγόμενον λήϊον· παρὰ τὸ συλῶ σύλον καὶ σκῦλον· τὸ σκυμαρόν.

Σκύμνος, παρὰ τὸ σκύζω τὸ ὀργίζομαι· τὸ δὲ σκύζω πόθεν· σκύνιον λέγεται ἡ ὀφρύς, καὶ ἐξ αὐτοῦ σκυνίζω καὶ σκύζω.

Σκύμνος, καὶ σκυμνὸς διαφέρει· σκύμνος λέγεται τὸ τοῦ λέοντος γέννημα, σκυμνὸς δὲ τῶν ἄλλων ζώων.

Σκυταλωτοὺς, τροχούς, ῥαβδωτούς· παρὰ τοῖς Ἀττικοῖς ἡ σκυτάλη βακτηρίαν σημαίνει· καὶ ὄφεως δὲ τὸ εἶδος οὕτω καλούμενον· καὶ παρὰ Λακεδαίμονας ἐπὶ βακτηρίας τάσσεται· καὶ σκυταλίδες καμπῶν εἶδος, ὅ ἐστι ζῶόν τι· παρὰ τοῖς Ἀλεξανδρεῦσι καὶ εἶδος καρείδων, καὶ σκεῦος τι ἐν τῇ νηΐ· καὶ σκυταλουμένη ξύλῳ τυπτομένη.

Σκῶλος, παρὰ τὸ σκέλλω, τὸ ξηραίνω. σκῶλος λέγεται ὁ ὑπόπυρος ἐξηραμένος, καὶ σκωλετὸς ὁ ἀπεξηραμένος.

Σκύλαξ, ἐκ τοῦ σκύλω τὸ ὀργίζομαι.

Σκῦτος, δὲ λέγεται, τὸ μεταξὺ τῶν τενόντων τοῦ τραχήλου δέρμα· ὡς Πετρώνιος φησί· τινές φασι σκῦτα λέγεσθαι τὸν νωτιαῖον μυελὸν, οἱ δὲ τὸ ἴνιον, οἱ δὲ τὸ μεταξὺ τῶν ὀφρύων καὶ τοῦ μετώπου τόπον, ὅπερ ἐπισκύνιον καλοῦμεν· ἄλλοι δὲ τὸ τῆς κεφαλῆς δέρμα, παρὸ καὶ σκῦτος εἴρηται, τουτέστιν ἡ κεφαλή.

Σκοτόμαινα, ἡ νύξ.

Σκῶμμα, γελοίου, εὐτραπελισμοῦ καὶ γεφυρισμοῦ διαφέρει· σκῶμμα γάρ ἐστι, τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον, οἱονεὶ εἰς σκέμμα, γελοῖον δὲ τὸ ἐπὶ διαχύσει τῶν ἀκροωμένων, χωρίς τινος ὕβρεως· εὐτραπελισμὸς δὲ τὸ μετὰ σεμνότητα χαριέντως λεγόμενον, εἴρηται γὰρ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον, γεφυρισμὸς δὲ ἀπὸ ταῖς Ἀθήνησιν, ἐπιγράφειν τινὰ ἐπὶ τῶν γεφύρων μετὰ διασυρμούς τινων περιέχοντ' . . .

Σκώληξ, παρὰ τὸ κῶλον ὃ σημαίνει τὸ ὀστοῦν, ὁ ἔχων ὀστοῦν κατ' ἀντίφρασιν, ὁ μὴ ἔχων ὀστοῦν.

Σμαραγῶ, ἐκ τοῦ σμάραγος ὃ σημαίνει τὸν ψόφον καὶ ἦχον· γίνεται δὲ ἀπὸ τοῦ σπαράσσω σπάραγος, καὶ τροπῇ τοῦ π εἰς μ σμάραγος· κυρίως δὲ λέγεται σμάραγος, ὁ ἀπὸ σπαραγμοῦ ἦχος· λοιπὸν ἐκ τοῦ σμάραγος γίνεται σμαραγῶ καὶ περισπᾶται· κανὼν γάρ ἐστιν ὁ λέγων. ὅτι τὰ εἰς γω λήγοντα ῥήματα, τῷ α παραληγόμενα περισπᾶται. χωρὶς εἰ μὴ παρὰ προθέσεως συντεθῶσιν, οἷον σφαραγῶ σφαραγεῦντο δὲ οἱ πυρὶ [2])· πλαταγῶ, χερσί τε συμπλατάγησεν [3])· ἀγῶ τὸ θαυμάζω, τὸ θηλυκὸν ἄγη, ἄγη μ' ἔχει ὄρχαμε λαῶν· οὕτως οὖν καὶ σμαραγῶ, σμαραγεῖ δέ τε λειμὼν, ἀντὶ τοῦ ψοφεῖ καὶ κτυπεῖ. πρόσκειται χωρὶς εἰ μὴ ἀπὸ προθέσεως συντεθῶσι, διὰ τὸ συνάγω καὶ προσάγω· ἔστι δὲ καὶ ἕτερον σμαραγῶ καὶ σημαίνει τὸ λάμπω, ἐξ οὗ καὶ σμάραγδος ὁ λαμπρότατος λίθος· τοῦτο παρὰ τὸ μαίρω τὸ λάμπω, ὁ μέλλων μαρῶ, καὶ ἐξ αὐτοῦ κατὰ παραγωγὴν μαράσσω, καὶ πλεονασμῷ τοῦ σ, σμαράσσω, καὶ ὄνομα ῥηματικὸν σμάραγδος ὁ λαμπρότατος, καὶ τὸ ῥῆμα σμαραγῶ τὸ λάμπω· γίνεται δὲ καὶ ἄλλο ῥῆμα ἐκ τοῦ μέλλοντος· ἔστι γὰρ ῥῆμα μαρῶ, καὶ κατὰ παραγωγὴν μαρύσσω, καὶ κατ' ἀναδιπλασιασμὸν μαρμαρύσσω, καὶ ῥηματικὸν ὄνομα μαρμαρυγή· καὶ Ὅμηρος, μαρμαρυγὰς θηῆτο ποδῶν· σημαίνει δὲ καὶ ἄλλο ῥῆμα, ἀμαρύσσω καὶ ἀμάρυγμα.

Σμερδαλέος, γίνεται παρὰ τὸ σμέρδη· τοῦτο ἐκ τοῦ μερίζω, μεριδνὸς καὶ κατὰ συγκοπὴν σμερδνός, καὶ ἐξ αὐτοῦ σμερδναλέος, καὶ ἀποβολῇ τοῦ ν, σμερδαλέος, μερίζεται γὰρ ἡ ψυχὴ τῶν ὁρώντων τῷ φόβῳ, καὶ οὐκ ἐᾷ ἐν τῷ αὐτῷ μένειν· δηλοῖ δὲ καὶ τὸ καταπληκτικόν· διάτι προπαροξύνεται; τὰ διὰ τοῦ αλεος ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον, ὀργαλέος, γηραλέος, σμερδαλέος, πλὴν τούτων, κονισσάλεος, δαιδάλεος, ἀτασθάλεος, αἰθάλεος.

Σμῶδιξ, σπορά. παράγωγον τοῦ σπῶ, ἅμα γὰρ τὸ κατακληθῆναι τὴν σπορὰν δείξει τὸ πλῆγμα, ἐκ τοῦ σμῶ τοῦ σημαίνοντος τὸ πλήσσω, ἐξ οὗ καὶ σμήχω κατὰ παραγωγὴν τοῦ μακροῦ εἰς μακρὸν, σμώγω, σμώξω, καὶ σμῶδιξ· ἢ ἐκ τοῦ σμῶ σμήσω, σμῶδιξ ὄνομα ῥηματικόν· ἔστι δὲ τὸ διξ βραχὺ, ἐπειδὴ οὐδέποτε τὸ ι καὶ υ, πρὸ τοῦ ξ. εὑρίσκονται φύσει μακρὰ, εἰ μὴ λόγῳ ἀρχούσης παράγονται, ὡς τὸ ἰξεύω ἴξευον.

Σμῆνος, τὸ πλῆθος, καὶ τὸ σύστημα τῶν μελίσσων, ἐκ τοῦ σμῶ τὸ πορεύω.

Σμῆνος, παρὰ τὸ σμῶ, ὃ σημαίνει τὸ συνάγω, ὁ μέλλων νήσω, καὶ πλεονασμῷ τοῦ ἦτα, νηήσω, ἐξ οὗ καὶ τὸ νηήσας· ἐκ δὲ τοῦ νήσας γίνεται νῆσος καὶ πλεονασμῷ τοῦ σ, καὶ τροπῇ τοῦ ν εἰς μ, σμῆνος [4]).

Σμήχω, παρὰ τὸν σμήσω μέλλοντα, σημαίνει δὲ τὸ καθαίρω, ἐξ οὗ καὶ τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων.

Σμίνθιον, τόπος τῆς Τρῳάδος, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος.

Σμινθεὺς, ἐπίθετον Ἀπόλλωνος· οὕτω καλοῦσι Κρῆται τοὺς μύας, κλίνεται Σμίνθιος καὶ Σμινθεύς.

Σμινθοί, σπαρτὰ ἢ λεπτὰ σχοινία.

---

1) ἀνδραπ. — ἠχμαλ. Etym. M. v. σκύζεσθαι. 2) Od. IX, 390. 3) Il. XXIII, 102. 4) Corruptissime.

Σμιλὴ, σημαίνει τὸ σμιλίον καὶ ὀξύνεται καὶ διὰ τοῦ ἰῶτα γράφεται· τὰ γὰρ εἰς λη μονογενῆ οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον σμιλὴ μαρίλη, σημαίνει τὴν κόνιν, ἴλη ἡ τάξις, σπατίλη, σημαίνει δὲ τῶν δερμάτων τὰ ξύσματα, ὕλη, πάλη, πύλη, στύλη, ἀγέλη καὶ τὰ ὅμοια· χωρὶς τοῦ δείλη, εἰλὴ, ὀφειλὴ, ὠτειλὴ, ἀπειλή· πρόσκειται μονογενῆ διὰ τὸ δειλὸς δειλή.

Σμύρνα, παρὰ τὸ μύρα, καὶ πλεονασμῷ τοῦ ν καὶ προσθέσει τοῦ σ, σμύρνα. ἢ παρὰ τὸ μυρίζειν, μύρνα καὶ σμύρνα· τὸ δὲ ὄνομα τῆς πόλεως ἡ Σμύρνη λέγεται.

Σμῶδιξ, ὑφ' αἵματος μώλωψ, παρὰ τὸ σμῶξαι, ὅ ἐστι παρατάξαι· οὕτω γὰρ λέγεται τὸ πατάξαι.

Σπύτος 1), εἰ μὲν διὰ τοῦ π, διὰ τὸ σπᾶν τὰ ὑγρὰ εἰ δὲ διὰ τοῦ φ, παρὰ τὸ σφίγγειν κατὰ τὰς ἐκθλίψεις· οὕτως Ἡρωδιανός.

Σοβαρὸς, ὁ ὑπερηφάνως ἐπαινόμενος πλούσιος· τοὺς γὰρ σοβαρίτας ἔδοξεν ἐξ ἀρχῆς ὑπερέχειν πλούτῳ καὶ τρυφῇ, ἐκ τοῦ σοβαρίτης.

Σοβαρὸς, ἔστι σέβω τὸ τιμῶ, ἐξ αὐτοῦ σέβαρος καὶ σοβαρὸς, ὁ ὑπὲρ τιμὴν ἑαυτὸν κρατῶν.

Σοῖο καὶ σεῖο διαφέρει, κατὰ τοὺς ἀκριβῶς γινώσκοντας· σοῖο γάρ ἐστι σύναρθρος ἀντωνυμία ἀντὶ τοῦ σοῦ· σεῖο ἀσύναρθρον ἀντὶ τοῦ σύ.

Σολοικισμὸς, ὁ τοῦ σώου λόγου αἰκισμὸς εἴρηται· ἢ παρὰ τὴν τοῦ Σόλωνος ἐξιστορίαν καὶ τὴν Κιλίκων ὁμιλίαν.

Σολοικίζειν, οὐ μόνον κατὰ λέξιν καὶ φωνὴν ἰδιωτεύειν, ἀλλὰ καὶ ἐπὶ φορεσμάτων, ὅταν τις χωρικῶς ἐκδύεται ἢ ἀτάκτως ἐσθίει, ἢ ἀκοσμῶς περιπατεῖ.

Σολομῶν, σελομῶν λέγεται ἡ εἰρήτη, καὶ ἐκ τῆς τούτου τροπῆς τοῦ ε εἰς ο σολομῶν· σολομῶν δὲ κλίνεται σολόμωνος, ὁ κανὼν, τὰ εἰς μων βαρύτονα κύρια φυλάσσει τὸ ω, Σίμωνος, Τίμωνος.

Σόλος, δίσκος, παρὰ τὸ σῶ τὸ ὁρμῶ καὶ κινῶ.

Σόλων, ὄνομά τινος Ἕλληνος σοφιστοῦ, ἀπὸ τοῦ σιάλος· πάνυ γὰρ σοφὸς ἦν ἐν τῷ λέγειν.

Σορὸς, κιβωτὸς, λάρναξ, ἐν ᾧ τὸ σῶμα ῥεῖ, ἤγουν καταῤῥεῖ· ἢ παρὰ τὸ ἔσω ῥεῖν τὰ τῶν νεκρῶν σώματα· καὶ εἰς τὸ ἀκτὶς καὶ σωρός.

Σόφισμά ἐστι λόγος σοφιστικὸς, καὶ λόγος δολερὸς, ἢ συλλογισμὸς αἱρετικός.

Σοφία, παρὰ τὸ σοφός· τοῦτο παρὰ τὸ σέβω, ἢ ἡ τὸ φῶς σώζουσα τῆς οἰκείας φύσεως· ἢ διὰ τὸ σῶα φῆν, ἤγουν λαλεῖν.

Σοφὸς, συνετοῦ διαφέρει, καθὸ ὁ μὲν σοφὸς καὶ συνετὸς πάντως, ὁ δὲ συνετὸς οὐ πάντως σοφός.

Σοφὸς, παρὰ τὸ σῶα φάσκειν· καὶ εἰς τὸ βασιλεὺς καὶ γνῶσις.

Σοφίζω, ἐκ τοῦ σοφὸς τοῦτο ἐκ τοῦ σέβω· τὸν γὰρ σοφὸν πάντες σεβόμεθα.

Σπλάγχνα, ὅτι σπληνίου τόπον ἐπίκειται ἡμῶν τῇ σαρκὶ ἤγουν τῇ γαστρί· καθάπερ γὰρ καὶ τὸ σπληνίον ἰώμενον ἱλαρίας τῆς ψυχῆς, παρέχει τὸ πάθος· ἐπιτεθὲν δὲ λύπην.

Σπαίρω, τὸ ἀσπαίρω· τὸ ἀσπαίρω ἐκ τοῦ σπαίρω, τοῦτο ἐκ τοῦ σπάῤῥω· καὶ κατὰ πόσους τρόπους διαφέρει τὸ σκαίρω τοῦ σπαίρω; λέγεται μετὰ τοῦ α κατὰ Ἀττικὴν συνήθειαν ὡς τὸ, ἢ ῥα οἱ ἀσπαίρουσα καὶ σύριχχον 2)· καὶ ὁ δ' ἑσπόμενος περὶ δουρὶ ἤσπαιρ' 3)· διότι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄμουσόν τινα κίνησιν δηλοῦσιν· ὅθεν παράγονται σκάρος καὶ σπάρος ἰχθυόθεν· τὸ σκάρος εὔμουσόν τινα καὶ εὔρυθμον ἀποτελεῖ κίνησιν, ἐξ οὗ καὶ τὸ σκιρτᾷν παράγεται.

Σπῶ. σημαίνει ἕπτα· σπῶ τὸ σπείρω, σπῶ τὸ κατασπῶ, σπῶ τὸ σπεύδω, σπῶ τὸ διαχωρίζω, σπῶ τὸ ἐκτείνω, σπῶ τὸ στάζω καὶ ἀσπάζομαι.

Σπάδων, ὁ εὐνοῦχος, παρὰ τὸ ἀποσπᾶσθαι τὸ μέρος ἐξ αὐτοῦ, οὕτως Ἡρακλείδης.

Σπάνιον, τὸ ὀλίγον, ἐκ τοῦ σπάνις, τοῦτο ἐκ τοῦ σπανίζω ὃ σημαίνει τὸ ἐλαττῶ καὶ φθείρω· τὸ δὲ σπάνις παρὰ τὸ σπῶ, σπένω καὶ σπάνις· ἢ παρὰ τὸ πένω, καὶ κατὰ παρασχηματισμὸν, πάνις, καὶ πλεονασμῷ τοῦ σ σπάνις.

Σπάργανον, παρὰ τὸ σπαράσσω, σπαράγανον καὶ σπάργανον κατὰ συγκοπήν.

Σπάρτον, σπαρτίον, ἐκ τοῦ σπείρω τὸ ἑλίσσω ἐξ οὗ καὶ σπείραμα τὸ τοῦ ὄφεως εἴλιγμα· ἐκ τοῦ σπαρτίον γέγονε σπάρτον· καὶ ὥσπερ μυρία μῦρα, οὕτω καὶ σπαρτία σπάρτα· συνεκόπη δὲ ὡς ὑποκοριστικόν.

Σπείρω, τὸ εἰλίσσω ἐξ οὗ καὶ σπείραμα τὸ τοῦ ὄφεως εἴλιγμα καὶ ἐκ τούτου σπατίον καὶ σπαρτίον ἀπὸ τοῦ ἐνσπείρεσθαι καὶ ἐγκεῖσθαι ἐν τοῖς μέλεσι.

Σπείρας νῦν οἱ μεγάλοι καλοὶ, παρὰ τὸ συνσπειρεσθαι καὶ κεῖσθαι· ἢ σπεῖραι δι' ὧν ἕλκονται αἱ νῆες.

Σπέρμα, παρὰ τὸ ἐν τῇ σπορίμῃ γῇ πεσεῖν· ἢ καὶ γεγονέναι παρὰ τὴν γῆν.

Σπάθη, τὸ ἐκφαντικὸν ἐργαλεῖον, ἀπὸ τοῦ κατασπᾶν τὴν κρόκην.

Σπεῖρος, τὸ ἱμάτιον, ἀπὸ τοῦ ἐνσπείρεσθαι καὶ συστρέφεσθαι ἐν αὐτῷ, καὶ ἐγκεῖσθαι τοῖς μέλεσι· σημειωτέον ὅτι σπεῖρα σημαίνει δύο, τὸν ὁλκὸν τὸν δράκοντα, τὸν ἐπισυρόμενον τῆς γαστρὸς ἐν τῇ γῇ· καὶ σύνταγμα στρατιωτικὸν ἀνδρῶν τριακοσίων· ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος ὡς πού φησιν, οὐχὶ πάντας εἶχεν ὁ χιλίαρχος τοῦ οἰκείου τάγματος, ἀλλὰ τοὺς τὸ τ μόνους, ἤκουν γὰρ οὗτοι· καὶ σπεῖρα τὸ ταχὺ σχοινίον τοῦ πλοίου· γράφεται δὲ διὰ διφθόγγου.

Σπείρω, σπερῶ, ὅσα γεννῶσι τὸ ε, τὴν τοῦ ε ἔχουσι γραφὴν, κατὰ τὸ ἐνεργητικόν.

Σπατίλη, τὸ ἀπόξυσμα τῶν δερμάτων.

Σπένδακος, ξύλον, σπινθὴρ καὶ σπέρμα.

Σπέος, τὸ σπήλαιον, ἀφώτιστόν τι οἴκημα, παρὰ τὸ σβῶ σβέσω, σβέος καὶ τροπῇ τοῦ β εἰς π, σπέος, ὁ ἐπὶ πολὺ τοῦ φωτὸς ἐστέρηται· καὶ σπέος, οἱονεὶ ὁ κατεσβεσμένος καὶ τετρυπημένος λίθος, παρὰ τὴν σβέσιν τοῦ φωτός.

Σπεύδω, ἔστι σπείζω τὸ ἀκολουθῶ καὶ τροπῇ τοῦ ι εἰς υ, σπεύζω, καὶ τροπῇ τοῦ ζ εἰς δ σπεύδω· παρὰ τὸ σπένδω τὸ θύω, παρὰ γὰρ τῷ πυρὶ ἔθυον 4).

Σπερμολόγος, ὁ τὰ σπέρματα συστέλλων, ἀτελής.

Σπέζω, σπληνίον, εἰς τὸ ἀσπὶς, καὶ σπιθαμὴ, καὶ ὑπερασπιστής.

Σπιλάδες, αἱ διεσχισμέναι καὶ κεκοιλωμέναι πέτραι ὑπὸ τῆς τῶν κυμάτων πλήξεως.

Σπιλάδες, αἱ παράλιαι πέτραι, παρὰ ἐσπιλῶσθαι,

---

1) cf. Etym. M. v. σπόγγος. 2) Il. XIII, 443. 3) Il. XIII, 570. 4) cf. infra v. [illegible]

ἢ παρὰ ταῖς κατὰ θάλασσαν περιειλημμέναις ἐν ὀλίγῳ ὕδατι· ἢ σπιλάδες αἱ ὕφαλοι πέτραι· ἢ παρὰ τὸ σπῖλος ὃ σημαίνει τὸν ῥύπον.

Σπιθαμή, παρὰ τὸ σπίζω τὸ ἐκτείνω· τινὲς δὲ διὰ τοῦ ἦτα γράφουσιν αὐτὸ, ἐτυμολογοῦντες ἐκ τοῦ σπῶ τὸ κατασπῶ.

Σπὴν, οἷον σπὴν, ἀπὸ τοῦ ἑαυτῷ ἐπισπᾶσθαι τὰ φαυλισθέντα τῶν ὑγρῶν.

Σπλάγχνον, εἰς τὸ εὔσπλαγχνον· σπλάγχνον σημαίνει τὸ ἐντόσθιον μέρος, τὸ ἔντερον, τὸ στῆθος.

Σπόγγος, διὰ τὸ σπουδῇ γομοῦσθαι· ἢ διὰ τὸ ἐπισπᾶσθαι τὸ ὑγρόν.

Σποδὸς, παρὰ τὸ σβέω, σβέσω, σβεδός· ἢ παρὰ τὸ πούς ποδὸς, καὶ πλεονασμῷ τοῦ σ, σποδὸς, τὸ ἐν τοῖς ποσὶ κείμενον· ἢ παρὰ τὸ σπένδω τὸ θύω, παρὰ γὰρ τῷ πυρὶ ἔθυον [1]).

Σπονδὴ, παρὰ τὸ σπένδω, τὸ διὰ θυσιῶν φιλιοῦμαι· καὶ καταλλάσσομαι, καὶ θεῷ καὶ ἀνθρώποις.

Σπονδεῖος, παρὰ τὸ σπένδω σπονδή· καὶ ἐξ αὐτοῦ σπονδεῖος.

Σπορὰ, παράγωγον τοῦ σπῶ, ὅτι σπῶν ῥεῖ, ἤγουν ἐκρεῖ, ἅμα γὰρ τῷ βληθῆναι τὴν σπορὰν, σπᾶται ἀπὸ τῆς γῆς, οὐ χωρεῖται εἰς αὐτὴν, οὕτω Φιλόξενος· ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν θηλειῶν, ὅτι δέχονται τὸ σπέρμα.

Σπουδῇ, ἐπίῤῥημα μεσότητος, ἢ ἀθροίσεως· τὸ δη ἦτα διάτι; τὰ παρὰ δοτικῇ γινόμενα ἐπιῤῥήματα, καὶ τὴν αὐτὴν γραφὴν φυλάσσουσιν, οἷον σιωπή· ἄκην ἐγένοντο σιωπῇ.

Σπονδὰς, συνθήκας ὅρκους.

Στάδιος, καὶ στάδιον μέτρον ὁδοῦ, παρὰ τὸ ἵστασθαι τὸν ὁδεύοντα.

Σταθμὸς, παρὰ τὴν στάσιν τὴν ἐν αὐτῷ τῶν ζώων.

Σταγὼν, παρὰ τὸ στάγω στάξω, ὁ μέσος παρακείμενος ἔσταγα, καὶ ἐξ αὐτοῦ σταγών.

Σταθμὴ, ἡ τρυτάνη, ἢ κανόνη· εἴρηται δὲ σταθμὴ ἀπὸ τοῦ σταθμᾶσθαι καὶ στοχάζεσθαι· σημαίνει δὲ τὸ σπάρτον, ᾧ ὁ οἰκοδόμος ἰσάζει δόμον, ἢ τέκτων ξύλον· μύρινθος δὲ ἐπὶ τῶν σπαρτίων· τὸ οὐδέτερον στάθμιον· καὶ σταθμὴ τὰ ἐκβαλλόμενα ταῖς πλάστιγξι τοῦ ζυγοῦ· μέτρα δὲ οἷς ἔλαιον μετρεῖται, καὶ οἶνος καὶ τὰ τοιαῦτα.

Σταθμῶ, παρὰ τὸ σταθμὴ, τοῦτο παρὰ τὸ ἵστασθαι.

Στακτὴ, παρὰ τὸ στάζω, στάξω, ἔσταχα, ἔσταγμαι, ἔστακται, στακτή.

Σταυρὸς, παρὰ τὴν στάσιν καὶ τὸ εὖρος, ὃ σημαίνει τὸ πλάτος· οἱονεὶ τὸ μῆκος καὶ πλάτος ἔχων· παρὰ δὲ τῷ ποιητῇ σταυροὶ λέγονται τὰ ἀπεξυσμένα ξύλα, οὕσπερ σκώλοπας καλεῖ· σταυροῖσιν πυκινοῖσι [2]).

Σταφυλὴ, παρὰ τὸ σήπω σαπυλὴ καὶ σταφυλὴ, πεπανθείσης γὰρ τῆς ἀμπέλου τότε καὶ ἡ σταφυλὴ γίνεται στατὶς καὶ ἀστατὶς καὶ ἀσταφίς.

Σταφυλὴ, καὶ σταφύλη διαφέρει· τὸ μὲν ὀξύτονον ἐπὶ τῆς ὀπώρας· τὸ δὲ βαρύτονον ἐπὶ τῆς καθιεμένης μολυβίδος, παρὰ τοῖς ἀρχιτέκτοσι τεθειμένοις.

Στέφυλον, κόκκος σταφυλίου, ἢ φύλλον ἀμπέλου.

Στέαρ, ἐκ τοῦ ἵστημι στήσω, στέαρ, ἢ παρὰ τὸ στάζω, ἢ παρὰ τὸ στάσιν καὶ πῆξιν ἔχειν· τὸ στε ψιλόν· τὰ εἰς αρ οὐδέτερα· σημαίνει δὲ λίπασμα.

Στεγανὸς, ὁ ἐστεγασμένος καὶ ἐσκεπασμένος, παρὰ τὴν στέγην· λέγεται δὲ καὶ στεγανὸν τὸ στεγνότερον, καὶ στεγανόποδες ὄρνιθες οἱ ἐν ὕδατι διατρίβοντες, καὶ τοὺς πόδας ἔχοντες στεγνοὺς, οἷς αἱ μεταξὺ τῶν δακτύλων εὐρυχωρίαι δέρματί εἰσιν εἰλημμέναι· καὶ στεγανώματα, οἱ ἐν τοῖς τοίχοις ἔνδεσμοι.

Σταχὺς, παρὰ τὸ ἵστασθαι, καὶ ἔχειν ἐν ἑαυτῷ τὸν σῖτον ἢ τὴν κριθήν.

Σταθμίζω, καὶ ἐστάθμισα, σημαίνει τὸ ἐζυγοστάτησα· διὰ τοῦ ἰῶτα· ἐστάθμησα δὲ τὸ ἐμέτρησα καὶ ἠρίθμησα, ἦτα.

Στέγη, διὰ τὸ στάζειν ἐπὶ τῆς γῆς τὸ ὕδωρ· ἢ διὰ τὸ βαστάζειν.

Στεγάζω, παρὰ τὸ στέγη· τοῦτο παρὰ τὸ στεγῶ τὸ ὑπομένω.

Στεῖνος, τὸ σῶμα, διάτι βαρύνεται; ἐὰν ἀρσενικὸν βαρύτονον εἰς οὐδέτερον γένος πίπτει, ὁμότονόν ἐστιν, οἷον, ὁ σκότος, τὸ σκότος, ὁ ἔλεγχος, τὸ ἔλεγχος, εἰ μέντοι ὀξύνεται τὰ ἀρσενικὰ, οὐκέτι βούλεται ὁμοτονεῖν, ἀλλὰ φεύγουσι τὴν ὀξεῖαν, ὁ στενὸς τὸ στεῖνος, ὁ μακρὸς τὸ μάκρος.

Στείχω, τὸ πορεύομαι, ἐξ οὗ καὶ στίχος ἡ τάξις διὰ τοῦ ἰῶτα, καὶ στοῖχος ἡ πρᾶξις.

Στείνω, εἰς τὸ πολύστονος.

Στείρα, σημαίνει τὴν μὴ τίκτουσαν· καὶ τὸν ἱστὸν τοῦ πλοίου, διὰ τῆς ει διφθόγγου· ἐπὶ μὲν τῆς τρόπεως ἀπὸ τοῦ στερεὸν γέγονε στέρα, καὶ πλεονασμῷ τοῦ ι στεῖρα· ἐπὶ δὲ τῆς τικτούσης ἀπὸ τοῦ στερεῖσθαι γέγονε στέρα καὶ στεῖρα, οἱονεὶ ἡ ἐστερημένη τοῦ τίκτειν.

Στείρα, ἡ ἄτεκνος καὶ ἄγονος γυνὴ, παρὰ τὸ στερεὰ εἶναι τῶν ἄλλων γυναικῶν· ἢ παρὰ τὸ στῶ, στεία, καὶ πλεονασμῷ τοῦ ρ στεῖρα, ἢ τοῦ κυῆσαι στάσιν ἔχουσα.

Στείρα, παρὰ τὸ τείρω τὸ καταπονῶ, ἢ κατ' ἀντίφρασιν, ἡ μὴ τειρομένη τῶν ἄλλων, ἀλλ' ἀκμάζουσα.

Στεινωπὸς, ὁ στενὸς τόπος, διὰ τῆς ει διφθόγγου, παρὰ τὸ στένος γέγονε στεινός.

Στειριεύς, ὁ στεῖρος.

Σπερμολόγος, ὅτι μὲν τὸ κυρίως πτηνόν ἐστι, κολοιῶδες ζῶον τὸ ὄνομα λαβὼν παρὰ τὸ τὰ καταβαλλόμενα σπέρματα ἐκλέγειν, δῆλον, παρὸ καὶ οἱ σπείροντες ἐπαμῶνται τὴν γῆν τοῖς σπέρμασι· ἐκ μεταφορᾶς δὲ ἔλεγον τοὺς παρὰ τὰς ἀγορὰς καὶ τοὺς λιμένας διατρίβονταςς· ἢ τὰ ὁπωσοῦν ἐκ τῶν σάκκων πίπτοντα ὄσπρια, κάρια καὶ ἰσχάδας ἐκλέγοντες· περὶ δὲ τοῦ ὀρνέου ὁ Ἀριστοτέλης ἔφησε, καὶ οἱ μιώδιοι ἐν δευτ.. λέγουσι τὸν σπερμολόγον κολούρης.

Στεροπὴν, ἀστρχπὴν, παρὰ τὸ στερεῖσθαι τοῦ βλέπειν.

Στέρεμνον, τὸ πυκνὸν καὶ στερεὸν καὶ ἰσχυρότατον.

Στέλεχος, εἰ μὲν ὁ κορμὸς ἤγουν ἡ ῥίζα, παρὰ τὸ στέλεχος ἔχειν, ἢ παρὰ τὸ στερεόν· εἰ δὲ οἱ ἄνω τῆς κορυφῆς κλάδοι, παρὰ τὸ εἰς τέλος ἔχειν, τουτ' ἔχειν ἔχεσθαι.

Στέλλω, εἰς τὸ ἀγγελίας, σημαίνει τέσσαρα. τὸ ἐπιστέλλω ἐξ οὗ καὶ ἐπιστολὴ, τὸ πλέω, ἐξ οὗ καὶ στόλος, τὸ κοσμῶ, ἐξ οὗ καὶ στολὴ, καὶ τὸ κρύβω ἐξ οὗ καὶ συστόλη.

Στέργω, εἰ μὲν συντάσσεται δοτικῇ, σημαίνει τὸ ἀρκοῦμαι, εἰ δὲ αἰτιατικῇ, τὸ ἀγαπῶ, οἷον, στέργειν μὲν

1) cf. supr. v. σπεύδω. 2) Il. XXIV, 453.

ἡμᾶς· γίνεται δὲ παρὰ τὸ στῶ, τὸ σημαῖνον τὸ ἱστῶ, κατὰ παραγωγὴν στέχω καὶ πλεονασμῷ τοῦ ρ, στέργω, ὁ γὰρ ἀγαπῶν τινα, διΐσταται εἰς αὐτόν.

Στέργων, ἀγαπῶν, φιλῶν, ἀπὸ τοῦ στέργω· τοῦτο παρὰ τὸ στέγω, τὸ ὑπομένω· τοῦτο παρὰ τὸ στῶ ῥῆμα, τὸ σημαῖνον τὸ ἱστῶ καὶ ἑδραιῶ καὶ βεβαιῶ· καὶ εἰς τὸ ἔστεργον.

Στερέωμα, παρὰ τὸ εἶναι κατ' ὑπερβολὴν ἰσχυρόν· ἐπὶ γὰρ τῶν κατ' ἰσχὺν ὑπερβαλλόντων τέταται· καὶ γὰρ τὸ κραταιὸν καὶ ἀνένδοτον στερέωμα εἴρηται.

Στερέωμα, εἴρηται παρὰ τὸ στερεῶ, τοῦτο παρὰ τὸ ἵστημι, στήσω, ὁ β ἀόριστος ἔστην, καὶ τὸ ἀπαρέμφατον στῆναι· τὰ εἰς ναι λήγοντα ἀπαρέμφατα ποιοῦσιν εἰς ρος ὄνομα ἰσοσύλλαβον· οἷον, δῖναι διερὸς, μιῆναι μιαρὸς, σταθῆναι σταθηρός· οὕτω καὶ ἀπὸ τοῦ στῆναι, στερός.

Στέρνον, παρὰ τὸ στῶ, στείω· τὸ ἐντελὲς στέον, στερόν· καὶ πλεονασμῷ τοῦ ν, στέρνον.

Στῆθος, ἐκ τοῦ στῶ στήσω, καὶ ἐξ αὐτοῦ γίνεται στῆθος. τὸ ἱστάμενον ἀσάλευτον καὶ μὴ κλινόμενον, ἐπειδὴ ὅλα τὰ μέρη τοῦ σώματος κλίνεται, τὸ δὲ στῆθος οὐ κλίνεται· ἢ παρὰ τὴν στεῤῥότητα· ἢ παρὰ τὸ στερεὸν εἶναι στέρνον.

Στέρνοις, στήθεσι, διότι ἔστηκεν ἀσάλευτον.

Στεφάνη, εἶδος περικεφαλαίας.

Στέφανος βραβείου διαφέρει· στέφανος γυναικεῖος κόσμος, ἐπὶ τῆς κεφαλῆς, βραβεῖον δὲ ἐπινίκιος ἀμοιβή.

Στῆθος, ἀπὸ τοῦ ἑστάναι· ἢ παρὰ τὸ σιτίον καὶ τὸ ὤθω τὸ πρώθω, σιτιώθιόν τι ὂν, παρὰ τὸ τὰ σιτία δι' αὐτοῦ ὠθεῖσθαι, κατὰ συγκοπὴν στῶθος, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν στῆθος· ἢ παρὰ τὸ ἵστημι, στήσω, τὸ ὀρθῶς ἱστάμενον καὶ μὴ ἐπικεκραμμένον· τὸ στη, ἦτα διάτι; τὸ διὰ τοῦ ηθος δισύλλαβα μονογενῆ διὰ τοῦ η, γράφεται, οἷον, πλῆθος στῆθος, πλὴν τοῦ λίθος καὶ πίθος.

Στηθίνιον δὲ μέρος τι τοῦ στήθους· καὶ ἐκ τοῦ στήθους ὑποκοριστικὸν στηθίνιον.

Στηλιτεύσας, δημοσιεύσας, παραδειγματίσας, ὡς ἐπιστήλων τῶν δημοσίᾳ προτιθεμένων.

Στήριγμα. ἐκ τοῦ στηρίζω, τοῦτο παρὰ τὸ στὴρ, τοῦτο παρὰ τὸ στῶ, ἵστημι, στήσω καὶ στήξω.

Στηλιτεύω. τὸ θριαμβεύω, ἐκ τούτου γίνεται στηλίτης, τοῦτο παρὰ τὸ στήλη, ὃ σημαίνει τὸν λίθον, τὸν ἐν τῇ κεφαλῇ κείμενον τοῦ τεθνεῶτος, ὡς ἐκ τοῦ πολίτης πολιτεύω.

Στήλας, ὀρθοὺς λίθους, παρὰ τὸ ἵστασθαι.

Στήμων, παρὰ τὸν στήσω μέλλοντα· σημαίνει δὲ τοῦ ἱστοῦ τὸ στημόνιον.

Σταθῆναι, στῆναι διαφέρει· τὸ μὲν γὰρ στῆναι κατὰ προαίρεσιν ἰδίαν γίνεται· τὸ δὲ σταθῆναι ἐκ τῆς ἄλλου προαιρέσεως, οἷον, ἔστη ὁ ἄνθρωπος δι' αὐτοῦ· ὁ ἀνδριὰς ἐστάθη ὑφ' ἕτερον. ἢ ὁ νοσῶν.

Στιβαρὸν, γίνεται ἐκ τοῦ στείβω τὸ περιπατῶ· καί τι μετέχει τὸ στιβαρὸν, πρὸς τὸ στείβω, οἱονεὶ τὸ πεπιλημένον καὶ συνημμένον. καὶ ἠσφαλισμένον, ἤγουν τὸ μὴ ἔχον ἔξοχον, μηδὲ ὀπήν· τὸ στι ἰῶτα διάτι; πολλὰ γάρ εἰσιν ὀνόματα ἐκ τοῦ στείβω. ὁ β ἀόριστος ἔστιβον, ἐστίβην, καὶ τὸ ἀπαρέμφατον στιβῆναι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, τοῖς εἰς ναι λήγουσιν ἀπαρεμφάτοις εἰώθασιν ἀντιπαρακεῖσθαι ὀνόματα εἰς ρος, οἷον, μιῆναι μιαρὸς, λιπᾶναι λιπαρὸς, οὕτως οὖν στιβῆναι, καὶ Δωρικῶς τρέπεται τὸ ἦτα εἰς α, στιβᾶναι, καὶ ἐξ αὐτοῦ στιβαρός.

Στιβίζουσι, ῥυθμῷ δὲ στυβίζουσι τὸ ψεῦδος, δραπετεύουσι, διαφεύγουσι, καὶ στείβειν ἐπὶ τοῦ πατεῖν, καὶ στιβεύειν τὸ ἰχνεύειν.

Στιβασία, ἡ χαμαίστρωτος εὐνὴ, καὶ οἱ τῶν δένδρων ἀκρέμονες στιβάδες, καὶ ἡ τράπεζα· καὶ ἡ ἀπὸ ῥάβδων στρῶσις.

Στίγμα, πληγὴ, δαρμὸς, παρὰ τὸ στίζω τὸ κεντῶ· σημαίνει δὲ δύο, τὴν πληγὴν καὶ τὴν στιγμὴν τῶν γραφῶν.

Στίλβω, παρὰ τὸ σέλας καὶ τὸ βῶ τὸ βαίνω· ἢ παρὰ τὸ τῆλε, ὃ σημαίνει τὴν μακρὰν, τὸ πόῤῥωθεν λάμπω καὶ αὐγάζω.

Στὶξ, ἡ τάξις, τὸ στι ἰῶτα, οὐδέποτε δίφθογγος εἰς διπλοῦν λήγει, λὶψ, θρὶψ, κνὶψ, πλὴν τοῦ προὶξ· τί διαφέρει σκνὶψ καὶ κνὶψ; οὐδὲν διαφέρει, ἢ μόνον κατὰ κλίσιν· τὸ μέντοι σκνὶψ κλίνεται σκνιπὸς καὶ σκνιφὸς. τὸ δὲ κνὶψ κνιπὸς μόνον· ἀπὸ μεταφορᾶς τοῦ ζώου· μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, λέγεται δὲ καὶ ὁ μικρὸς ἄνθρωπος κνιπός· τὸ δὲ στὶξ γίνεται παρὰ τὸ στείχω, τὸ στι ἰῶτα· τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασι· τὸ στείχω σημαίνει τὸ ἐν τάξει πορεύομαι. ἡ γενικὴ στιχὸς· καὶ Ὅμηρος, τῆς δὲ ἰῆς στιχὸς ἦρχε.

Στρόβιλος, ἡ πόλις καὶ Στρόβηλος ἡ νῆσος.

Στίφος, ὁ ὄχλος, ἄθροισμα, τὸ πλῆθος, καὶ ἡ στρατιωτικὴ τάξις τῶν ἀνδρῶν· εἰσὶ δὲ ἄνδρες ἐνενήκοντα ἕξ· γίνεται δὲ παρὰ τὸ στὶξ, στιχὸς, ὃ σημαίνει τὴν τάξιν, καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ βαρύνεται, αἱ γὰρ γενικαὶ βαρυνόμεναι· καὶ γίνεται στίχος καὶ στίφος, κατὰ τροπὴν τοῦ χ εἰς φ, καὶ προπερισπᾶται· τὸ στι ἰῶτα, τὰ εἰς φος δισύλλαβα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, οἷον, δέλφος λέμφος, σημαίνει δὲ τὸν μυξώδη, κοῦφος, ῥοῦφος, λαῖφος, οὕτως οὖν καὶ στῖφος, σημαίνει δὲ τὴν τάξιν.

Στροβίλιον, ὁ καρπός.

Στράβηλος, ὁ ἄνεμος, ἐκ τοῦ στρέφω καὶ τοῦ ἠλῶ, καὶ γράφεται διὰ τοῦ ἦτα.

Στιχῶ, καὶ ἐστιχόωντο, ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ θέμα στιχάω στιχῶ, στιχάεις στιχᾶς, στιχάει στιχᾷ· οἱ μὲν ἐν πρωτῇσι καὶ ὑστατίῃσι βόεσσιν, αἰὲν ὁμοστιχάει· γίνεται ἐκ τοῦ στὶξ, στιχὸς, ὃ σημαίνει τὴν τάξιν, στιχῶ ῥῆμα· τὸ στι ἰῶτα ἐκ τοῦ στὶξ, τὸ δὲ στὶξ ἐκ τοῦ στείχω, στείξω, στίξ.

Στοαὶ, αἱ καμάραι, καὶ ἐξ αὐτοῦ Στωϊκοὶ οἱ φιλόσοφοι· ἐκεῖ γὰρ ἦν αὐτῶν τὸ διδασκαλεῖον.

Στοὰ, πόρτικος, καμάρα, τὸ στο μικρὸν, τὸ λεγόμενον πρόσκλητον, στωικὸς δὲ μέγα.

Στοιχεῖα, ὅτι συστοιχοῦσιν ἀλλήλοις· καὶ εἰς τὸ γράμμα.

Στόμα, παρὰ τὸ τέμνω, τέτομα, τόμα καὶ στόμα. ἐτυμολογεῖται δὲ παρὰ τὸ τὰ σιτία τέμνειν· τὸ στο μικρὸν διάτι; πᾶσα λέξις, ἀπὸ τῆς στο συλλαβῆς ἀρχομένη, διὰ τοῦ ο γράφεται, πλὴν τοῦ στωμύλος, καὶ στωμυλία, καὶ στωϊκός.

Στόμαχος, σημαίνει τὸν φάρυγγα· ἐτυμολογεῖται δὲ, ἢ ὅτι σιτομάχος τις ὢν, ὁ τοῖς σιτίοις μαχόμενος· ἢ ὅτι στόμα ἐστὶ τῶν χεομένων· ἢ ἐκ τοῦ στόμου καὶ τοῦ μῆχος, ὃ σημαίνει τὴν μηχάνην· ἢ παρὰ τὸ στόμα καὶ τὸ χέω· δι' αὐτοῦ γὰρ ἥ τε ὑγρὰ καὶ ξηρὰ τροφὴ, πρὸς τὴν γαστέρα χεῖται.

Στοχάζομαι, ἐκ τοῦ στείχω, τὸ κατὰ σύνταξιν σκοπῶ καὶ βλέπω, καὶ βαδίζω· στοχάζειν γὰρ λέγεται, τὸ πρὸς εὐθεῖαν ὁδὸν τοὺς λόγους ἀπευθύνειν.

Στοιχείωσις, ἡ πρώτη μάθησις, καὶ δοτικῇ στοιχῶ τὸ συμφωνῶ, αἰτιατικῇ δὲ στοιχίζω τὸ περικυκλῶ καὶ ἐθηρία καὶ ἡ διατύπωσις.

Στοιχείωσις, ἀκριβεστάτη ἐπιτομή.

Στραγγαλία, παρὰ τὸ στραγγαλιῶ· ἔστι στράγξ, στραγγὸς, ἐκ τούτου γίνεται στραγγαλίζω, καὶ ἐξ αὐτοῦ στραγγαλιῶ, στραγγαλιᾶς, ἡ στραγγαλία.

Στρατεία, τὸ ἀξίωμα, ἐκ τοῦ στρατεύομαι στρατεία· στρατία δὲ τὸ στράτευμα, ἤτοι τὸ πλῆθος τὸ πολεμικὸν, ἐκ τοῦ στρατὸς στρατία.

Στρατόπεδον, στρατεύματος καὶ στρατοῦ διαφέρει· στρατόπεδον μὲν γάρ ἐστιν ὁ τόπος, ἐν ᾧ ὁ στρατὸς ἵσταται, τὸ δὲ στράτευμα ὁ στρατὸς, τὸ πλῆθος τὸ στρατευόμενον.

Στρατὸς, γίνεται παρὰ τὸ στεῤῥῶς ἄττειν, ἤγουν ἐφάλλεσθαι, ἢ παρὰ τὸ στρέφω, ἔστραμμαι, στραπτὸς, ὡς γέγραπται γραπτὸς, καὶ στρατὸς ὁ εὐπερίτρεπτος, ἢ παρὰ τὸ στεῤῥῶς ἵστασθαι, στρατὸς ὁ συνεστραμμένος καὶ συνδεδεμένος ὄχλος.

Στρατηγὸς, ἄρχων· τὰ παρὰ τὸ ἄγος συντιθέμενα ἅπαντα διὰ τοῦ η γράφεται, ὁδηγὸς, αἰληγὸς, οἰνηγὸς, ἀρχηγὸς, κυνηγός.

Στρεβλὸς, παρὰ τὸ ἐστραμμένα τὰ βλέμματα ἔχειν· ἢ παρὰ τὸ διαστρέφω τὸ συστρέφω.

Στρηνιᾶν, παρὰ τὸ στερεῖν, καὶ ἀποσπᾶν τὰς ἡνίας, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων, μάλιστα τῶν ὑποζυγίων.

Στρουθίον, παρὰ τὸ στρουθὸς, διὰ τὸ στεῤῥῶς θέειν ἤγουν τρέχειν, ἢ καὶ διὰ τὸ τρέχειν τὸν ἀέρα.

Στρουθὸς, ὀξύνεται· βαρύνεσθαι ὤφειλε· τὰ γὰρ εἰς θος δισύλλαβα μονογενῆ, φύσει μακρᾷ παραλήγεται [1]· οἷον Ξοῦθος ὄνομα κύριον, μῦθος, κῶθος, ζῆθος· τοῦτο δὲ ὀξύνεται ἐκ τῆς ἐτυμολογίας, παρὰ τὸ μετὰ οἴστρου θέειν· τὰ δὲ παρὰ τὸ θέω γινόμενα ἅπαντα, ὀξύνονται· οἷον, ἀγαθὸς, βοηθός· τούτοις δὲ συνεξηκολούθησε καὶ τὸ στρουθός.

Στρουθὸς, παρὰ τὸ στεῤῥῶς θέειν, κατ' ἀντίφρασιν, τὸ μὴ στεῤῥῶς θέειν, ἀλλ' ἀργῶς· καὶ παρὰ τὸ στερεῖσθαι τοῦ θέειν· ἐκ δὲ τοῦ στρουθὸς γίνεται στρουθίον· τὸ τι ἰῶτα· ὁ κανὼν, τὰ ἀπὸ τῶν εἰς ος ὀνομάτων διὰ τοῦ ιον γινόμενα οὐδέτερα, μακρῷ παραλήγεται, καὶ διὰ τοῦ ἰῶτα γράφεται, οἷον, σταυρὸς σταυρίον, στρουθὸς στρουθίον.

Στρουμεντάριος, χαρτοφύλαξ.

Στρόφος, εἴρηται ἀρσενικῶς· ἀπὸ τοῦ στρέφεσθαι στρόφος.

Στυγνὸς, μισητὸς, στύζω, στύξω, ἀποβολῇ τοῦ ω στύξ· ἢ παρὰ τὸ στυγῶ στυγήσω, ἐξ οὗ καὶ στυγητὸς ὁ μισητὸς, καὶ στυγνὸς ἐξ αὐτοῦ· καὶ ἔστιν ἀπὸ μεταφορᾶς τῆς στυγὸς, ἥτις ἔστιν ἐν ᾅδου κρήνη.

Στυγερὴν, ἐκ τοῦ στυγῶ, τοῦ σημαίνοντος τὸ φοβοῦμαι καὶ τὸ μισῶ, τοῦτο ἐκ τοῦ Στυγὸς, ἥτις ψυχρότατον ὕδωρ ἔχει. καὶ τί μετέχει τὸ στυγῶ πρὸς τὸ στυγές; μυθεύονται οἱ ἀρχαῖοι, ὅτι τὰ μὲν ἀηδῆ καὶ λυπηρὰ ἐκ τῶν ψυχρῶν καθέστηκε, τὰ ἡδέα καὶ τερπνὰ ἐκ τῶν θερμῶν· Στυγὸς ὕδωρ, ἐπειδὴ ἡ Στὺξ κατὰ Ἡσίοδόν ἐστιν ἱερὰ πηγὴ, θυγάτηρ Ὠκεανοῦ· ἢ ὥς τινες φασὶν, ὅτι ὁμώνυμος ταύτῃ ἐστὶν ἡ πηγὴ ἐν ᾅδου, ὅρκον φρικτὸν αὐτὸν οἱ θεοὶ πεποίηνται, βουλήσει Διός.

Στύλος, στήκει ὅλος.

Στυπεῖον, τὸ τῆς ἐλαίας ὀστοῦν, παρὰ τὸ τύπτω τυπεῖον καὶ στυπεῖον· λέγεται δὲ καὶ στύπιον· ἢ παρὰ τὸ τύπος τυπεῖον καὶ στυπεῖον.

Στωμύλος, λάλος, πέρπερος, καὶ στωμύλλεσθαι τὸ τρανῶς λέγειν, καὶ στωμύγματα, τὰ περιλαλήματα.

Συγγράμματα, συντάγματος διαφέρει· σύγγραμμα μέν ἐστιν ὁ δίχα μέτρου λόγος προσαγορευόμενος πεζὸς, σύνταγμα δὲ πολεμικὸν τὸ σύστημα, ἀφ' οὗ καὶ συνταγματάρχης ὁ τοῦ συστήματος αὐτῶν ἄρχων.

Συγγραφεὺς, ἱστοριογράφος.

Συκάμινον, εἶδος ὀπώρας, οὐδετέρως μὲν ὁ καρπὸς, ἀρσενικῶς δὲ τὸ δένδρον.

Συκάμινον, διὰ τὸ συγκάμνεσθαι τὸν σκώληκα λέγεται· δίχα γὰρ τοῦ σκώληκος οὐδέν ἐστι.

Συκῆ, συκέα, συγχέουσά τις οὖσα, καὶ τραχέα· σῦκον δὲ ὁ καρπός.

Συκοφαντεῖν, τὸ ψευδῶς τινος κατηγορεῖν· κεκλῆσθαι δὲ τοῦτο φασὶ, παρὰ Ἀθηναίοις, πρῶτον γὰρ ἐκεῖσε εὑρεθέντος φυτοῦ συκῆς τῆς ἐφημέρου τροφῆς· καλλίστων δὲ ὄντων, τῶν παρ' Ἀθήνησι σύκων, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σῦκα ἔκλεπτον αὐτά τινες, καὶ ἐξῆγον ἔξω· τοὺς δὲ μηνύοντας καὶ φαίνοντας τοὺς ἐξάγοντας ἀπεδέχοντο μέν· ἐξ ὧν δὲ ἔπραττον, συκοφάντας ὠνόμασαν.

Συκοφαντία, λέγεται ἡ ψευδοκατηγορία.

Συκοφάντης, συκοφάντου, ὁ κανών· τὰ εἰς ης ὀνόματα, μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ, ἢ κράτος, οὐδέτερον μὴ ἔχοντα, εἰς ου ἔχει τὴν γενικήν.

Συβώτης, ὁ χοιροβοσκὸς, ὁ τοὺς σύας βόσκων, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω, συβώτιον· διαφέρει δὲ συβώτης βουκόλου, ἱπποφόρβου, οἷον, αἰγοπόλου, ὀνοπόλου.

Συλλήβδην, ἐκ τοῦ λήβω, λήψω, συλλήβδην τὸ ὁμοῦ· παρὰ τὸ λήβω λήψω, καὶ ἐξ αὐτοῦ ἐπίῤῥημα λήβδην, ὥσπερ λείχω λίγδην, ἄκρον ἐπιλίγδην, ὡς καὶ Ὅμηρος, οὕτω παρὰ τὸ λήβω λήβδην καὶ συλλήβδην· ὁ παθητικὸς λήψομαι· λήβδην ἐπίῤῥημα μεσότητος καὶ συλλήβδην.

Σύμβασις, ἡ φιλία, παρὰ τὸ συνθέσθαι καὶ συνελθεῖν.

Συναινῶ, ἐκ τῆς σὺν προθέσεως, καὶ τοῦ αἰνῶ τὸ λέγω, ὃ σημαίνει τὸ συλλαλῶ, καὶ συμβουλεύω.

Συμβαλλομάχος, μάχιμος πρὸς φιλονεικίαν.

Σύμβολον, τὸ σημεῖον καὶ τὸ συμπόσιον.

Σύμβολον, διὰ τὸ συμβάλλεσθαι αἰσθητόν τι ἀντὶ τοῦ νοητοῦ, οἷον ἄρτος καὶ οἶνος.

Συμβουλὴ, παραινέσεως διαφέρει· συμβουλὴ μὲν γάρ ἐστιν εἰσήγησις ἀντιλογίαν ἐπιδεχομένη, διὰ τὸ ἄδηλον τοῦ ἐκβησομένου [2]· καὶ γὰρ ἐάν τις συμβουλεύσῃ πόλεμον ἀμφίβολον εἰσφέρει, διὸ καὶ ἔχει τὸν ἐνιστάμενον· παραίνεσις δέ ἐστι συμβουλὴ ἀντίῤῥησιν οὐκ ἐπιδεχομένη, διὰ τὸ ἐξ αὐτῆς λεγόμενον πάντως ὁμολογεῖσθαι ἀγαθὸν, ὡς οἷον τις παραινέσει σωφρονεῖν, ὥσπερ ἐστὶν ὁμολογούμενον ἀγαθὸν, οὐδεὶς γὰρ

---

1) Lege: sine dubio: παραληγόμενα βαρύνεται.

2) cf. Epist. Phalar. et Bruti, edit. Commel. 1597. 8°. p. 4.

τῶν νῦν ἐχόντων ἐναντιοῦται τῇ παραινέσει, ταῦτα λέγων, ὡς ἀγαθὸν τὸ σοφόν.

Συμβιβῶ. ἐκ τοῦ βῶ τὸ βαίνω, καὶ κατ' ἀναδιπλασιασμὸν βιβῶ, καὶ μετὰ τῆς σὺν προθέσεως συμβιβῶ.

Σύνθεσις συντάξεως διαφέρει· σύνθεσις μὲν γάρ ἐστι λόγος ἔμμετρος· σύνταξις δὲ λόγος πεζός.

Συμμαχεῖν, καὶ ἐπιμαχεῖν διαφέρει· συμμαχεῖν μὲν γάρ ἐστι τὸ σὺν αὐτοῖς εἶναι· ἐπιμαχεῖν δὲ, εἴτε τοῖς αὐτοῖς, εἴτε αὐτοὶ ἑτέροις ἐπιστρατεύοιεν.

Συμμορία, πλῆθος ἢ φρατρία, ἀπὸ τοῦ μέρους, ἤγουν οἱ τῆς αὐτῆς μερίδος.

Συμφορὰ, παρὰ τὸ φορά· φορὰν γὰρ λέγουσιν Ἕλληνες τὴν τυχήν· συμφορὰ οὖν ἐστιν ἡ ἀπό τινος τύχης συμβεβηκυῖα.

Συναμησάμενος, σωρεύσας, συνάξας, ἢ θερίσας, καὶ ἀμησάμενος[1]) τέμοντες, συναγαγόντες, ἢ ἐπαντλησάμενοι, ἀπὸ τοῦ ἀμῶ ἀμήσω, τοῦτο παρὰ τὸ ἅμα, καὶ τὸ ἔω τὸ πορεύομαι.

Συνασμένιζε, συνευφραίνου· ἔστι δὲ ἥδω τὸ εὐφραίνομαι, ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸν ἧσμαι, ἡσμένος, καὶ τροπῇ τοῦ η εἰς α, καὶ ἐν ἐπιθέσει τῆς νος, ἄσμενος, καὶ ἐξ αὐτοῦ ἀσμενίζω.

Συνδυάζω, παρὰ τὸ δύω δυάζω· διαφέρει δυάζω καὶ συνδυάζω· τὸ διὰ ψιλοῦ γραφόμενον σημαίνει τὸ μεθ' ἑτέρου διαλέγομαι, καὶ προσομιλῶ· τὸ δὲ ἐνδοιάζω διὰ τῆς οι διφθόγγου γράφεται, τὸ διχοστατῶ, διχογνωμῶ.

Συνεδρία, παρὰ τὸ σύνεδρος γίνεται συνεδρία, ἐξ οὗ καὶ συνέδριον καὶ συνεδριάζω· τοῦτο παρὰ τὴν σὺν πρόθεσιν καὶ τοῦ ἕδρον· τοῦτο παρὰ τὸ ἕζω τὸ καθέζομαι.

Συναινῶν, συμφερόμενος, ἀκολουθῶν.

Συνέτισον, ἐκ τοῦ συνετίζω.

Συνάορος, ἡ γαμετὴ, παρὰ τὸ συναρηρέναι, ἢ συνάορός τίς ἐστι, καὶ συνόμιλος.

Συνέξει, ἀπὸ τοῦ συνέχω, ὁ μέλλων συνέξω, καὶ τὸ τρίτον συνέξει, σημαίνει δὲ τὸ συγκρατήσει.

Συνετῶς, ἐκ τοῦ συνιεῖν· ῥῆμα συνιῶ, συνιεῖς, συνιεῖ, καὶ τὸ ἀπαρέμφατον συνιεῖν.

Συνήγορος, παρὰ τὸ ἀγορεύω, πάντως διὰ τοῦ ἦτα γράφεται, οὕτως οὖν καὶ παρήγορος καὶ ἀλλήγορος.

Συνῆκα, ἐκ τοῦ συνίημι, ὁ μέλλων συνήσω, ὁ ἀόριστος συνῆκα καὶ ὤφειλεν εἶναι σύνηκα· ἀλλὰ πᾶς παρωχημένος ἐνεργητικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει, οἷον ἧκα συνῆκα· πλὴν τοῦ οἶδα σύνοιδα· τοῦτο γὰρ ἀπὸ φωνήεντος καὶ ἀπὸ φύσει μακρᾶς ἀρξάμενον, ἐν τῇ συνθέτει ἀναπέμπει τὸν τόνον.

Συνηρεφὴς, ἐκ τοῦ ἐρέφω τὸ στεγάζω, ἐξ οὗ καὶ ὀροφὴ, ὁ κατάσκοπος τόπος.

Συνημμένον, μετοχή· τὸ θέμα συνάπτω, ὁ μέλλων συνάψω, ὁ παρακείμενος σύνηφα, ὁ παθητικὸς σύνημμαι, ἡ μετοχὴ ὁ συνημμένος, καὶ τὸ οὐδέτερον συνημμένον.

Σύνθεο, προστακτικὸν μέσου ἀορίστου δευτέρου, ἐκ τοῦ θοῦ προστακτικὸν ἔθου, καὶ διαλύσει τῆς ου διφθόγγου ἔθεο, καὶ τὸ προστακτικὸν θέο καὶ σύνθεο.

Σύνθετον, τὸ ἐξ ἑτεροειδῶν πραγμάτων συγκείμενον.

Συντέθηκα, παρὰ τὸ ἐκ τῆς σὺν προθέσεως καὶ τοῦ τίθημι, θήσω γίνεται συντεθῶ, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσυντεθῶ, ἀσυντεθήσω.

Συνήθης, καὶ σύνηθος, συνειθισμένος δέ· ἔστι δὲ συνίημι.

Συνιεῖς, τὸ θέμα συνιῶ, ὁ μέλλων συνήσω, ὁ β ἀόριστος σύνιον, καὶ ὁ β μέλλων συνιῶ· καὶ τὸ δεύτερον συνιεῖς.

Συνομόται, συμφατριασταὶ παρὰ τὸν ὅρκον.

Σύνεργος, καὶ συνεργὸς διαφέρει· συνεργὸς μὲν ὀξυτόνως ὁ περὶ τὸ ἔργον συμπονῶν· σύνεργος δὲ ὁ ὁμότεχνος καὶ σύντεχνος.

Συνουσίαν, τὴν ἐν λόγῳ, ἀφροδισίαν δὲ τὴν μίξιν.

Συνοχεὺς, ὁ συνέχων τὸν κόσμον· ἢ ὁ τὸν οἶκον ἐπικρατῶν, φύλαξ, δεσπότης.

Συνοχωκότες, συμπεπτωκότες, μετοχὴ πρώτης συζυγίας τῶν περισπωμένων· καὶ τὸ πρῶτον ο μικρὸν, ποιητικῶς· ἔστι γὰρ συνόχωκα, καί ἐστι παρασύνθετον· τὸ σύνθετον σύνοχος, τοῦτο ἐκ τοῦ συνέχω· συνεχέω, συνεχῶ ῥῆμα, ὁ μέλλων συνοχήσω, ὁ παρακείμενος συνώχηκα· τὸ νω μέγα διότι; τὸ δὲ ο εἰς ω, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν γίνεται συνώχωκα, καὶ ἡ μετοχὴ συνωχωκὼς, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν συνωχωκότε, καὶ συστολῇ ποιητικῇ τοῦ πρώτου ω εἰς ο, ὡς εἴρηται συνοχωκότες.

Συνομορία, παρὰ τὸ ὅρος, ὃ σημαίνει τὸν ὁρισμόν.

Σύνταξις, εἰς τὸ ἅπτω καὶ σύγγραμμα καὶ σύνθετον.

Συνώνυμον, παρὰ τὴν σὺν πρόθεσιν καὶ τὸ ὄνομα, γίνεται συνώνυμον· ἔστι δὲ ὄνομα τὸ ἐν διαφόροις πράγμασι τὸ αὐτὸ δηλοῦν· οἷον, ξίφος, μάχαιρα.

Συνωρὶς, τὸ συνεζευγμένον τῶν ἵππων ὄχημα.

Σύριγξ, σημαίνει τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν, καὶ τὸ πάθος, καὶ τὴν δορατοθήκην· ἐκ δ' ἄρα σύριγγος.

Σύρος, σύλος, σύρων συριεῖ· ὅ, τε μὲν τῷ ἤθει τοῦ συλῆσαι, πρὸς πάντα ἀπεργάζεται· ὅ, τε δὲ τῇ πενίᾳ οὐδὲν δωρεῖται, ἀλλ' εἰς ἑαυτὸν σύρει πάντα, ὅπου πώποτε συλῶν, συλεῖ ἐκ μνημείων, εἰ μὴ τάχιστον εὕρῃ τῷ εἰθισμένῳ κλέμματι.

Συοφορβία, ἀγέλαι χοίρων.

Σῦς, ὁ χοῖρος, παρὰ τὸ ὕω τὸ βρέχω, φιλεῖ γὰρ τὸ ζῶον ἐν βορβόρῳ κυλίεσθαι.

Συρία, κέκληται ἀπὸ Σύρου τινὸς ὀνόματος Κύρου, βασιλεύσαντος Συρίας.

Συρία, παρὰ τὸ τοῦ σύρεσθαι ἀπὸ τοῦ κατακλυσμοῦ· ὡς ἐκ τοῦ ἐναντίου Ἀσσυρία, παρὰ τὸ μὴ σύρεσθαι, καὶ πλεονασμῷ τοῦ σ· εἰσὶ δὲ οἱ Πέρσαι [2]), ἐκεῖσε δὲ οὐκ ἔστι θάλασσα.

Συῤῥείσης, συῤῥευσάσης.

Συρφετοὺς, φρυγανώδεις, κοπρώδεις λόγους.

Σύριγγες, πανδούρια ἐκ καλάμων.

Σύστρεμμα, στασιαστῶν πλῆθος.

Σύφιος, τόπος, ἐν ᾧ οἱ σύφες τρέφονται.

Συχνὰ, συνεχῆ, πυκνά.

Σφαδάζοντες, μετοχή ἐστι, ἀπὸ τοῦ σφαδάζω, ὃ σημαίνει τὸ βράζω, ὅπερ Ἀττικοὶ ἐπὶ τοῦ χαλεπῶς λέγουσι φέρειν, καὶ σχετλιάζειν. Ξενοφῶν ἐπὶ τοῦ ἀλγεῖν· ἔνιοι δὲ τὸ σπερειν ἐκδέχονται, οἱ δὲ τὸ χαλεπῶς φέροντι πηδᾶν, οἱ δὲ ἁπλῶς τὸ δυσφορεῖν· γίνεται δὲ παρὰ τὸ σπῶ σπεύδω, καὶ ἐκ τούτου σπευδάζω· ἀποβολῇ τοῦ υ καὶ τροπῇ τοῦ ε εἰς α καὶ τοῦ π εἰς φ, σφαδάζω· καὶ εἰς τὸ κεκληγώς.

Σφάλλω, εἰς τὸ ἀσφάλεια.

---

1) vos [illegible] ιοι. 2) Live πέρας.

Σφαῖρα, παρὰ τὸ αἶρα, οἱονεὶ εἰς ὕψος πετωμένη.

Σφαιρωτὴρ, τὸ λεγόμενον χωρίον· σφαιρωτὴρ δὲ λέγεται, ἐπειδὴ τὸ δέρμα πολλάκις κυκλοτερὲς ἀπεργαζόμενος ὁ τεχνίτης τούτου τέμνει.

Σφακελλίζοντες, διασπῶντες, πηδῶντες.

Σφάκελλος, σφιγμὸς καὶ παλμὸς, καὶ ἡ τοῦ μυελοῦ σῆψις σφακελίσκος λέγεται.

Σφαλερὰ, ἐπικίνδυνος.

Σφέας, ἑαυτούς· ἆρα τὸ σφέας κατὰ πλεονασμόν ἐστι τοῦ ε, ἢ τὸ σφᾶς κατὰ συναίρεσιν; καὶ λέγομεν, ὅτι τὸ σφέας κατὰ πλεονασμὸν γίνεται τοῦ ε, διὰ τὸν κανόνα τὸν λέγοντα, καθόλου ἐν τοῖς πληθυντικοῖς ἀριθμοῖς ἡ τοῦ τρίτου προσώπου ἀντωνυμία ἀρχομένη ἀπὸ τοῦ σφ, ἐν δισυλλάβου [1]) κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τοῦ πρώτου καὶ δευτέρου προσώπου, οἷον ἡμεῖς, ὑμεῖς, σφεῖς, ἡμῶν ὑμῶν σφῶν, ἡμῖν ὑμῖν σφίν· οὕτω καὶ ἡμᾶς ὑμᾶς σφάς· ὥστε κατὰ πλεονασμόν ἐστι τοῦ ε, ἐπὶ τοῦ σφέας, ἀπὸ τοῦ σφὰς γεγονότος.

Σφέλας, τὸ ὑποπόδιον, παρὰ τὸ σφλάσθαι εἰς αὐτὸ τὰ γόνατα, ὅ ἐστι θλᾶσθαι καὶ κάμπτεσθαι ἐν τῷ καθέζεσθαι.

Σφέτερος, οἰκεῖος, ἴδιος ἢ ἀλλότριος.

Σφενδόνη, παρὰ τὸ σπένδω τὸ ἀναιρῶ καὶ θυσιάζω, ἐγὼ γὰρ ἤδη σπένδομαι, σπενδόνη καὶ σφενδόνη· ἢ παρὰ τὸ σφάζω, ἢ παρὰ τὸ σπένδω.

Σφηνοπώγων, ὁ σπάνος, ἐκ τοῦ σφήσω, κατὰ τροπὴν τοῦ π εἰς φ.

Σφετεριζόμενος, ἰδιοποιούμενος τὸ ἀλλότριον, ἐκ τοῦ σφέτερος σφετερίζω· τὸ δὲ σφέτερος ἐκ τοῦ σφῶν γενικῆς τοῦ πρωτοτύπου, καὶ ἐκ τούτου σφετερίζω.

Σφήκωμα, παρὰ τὸ σφηκῶ σφηκώσω· τοῦτο παρὰ τὸ σφῶ σφήσω, σημαίνει δὲ τὸ κρατῶ, οὗ ὁ παρακείμενος ἔσφηκα, ἔσφημαι, καὶ κατὰ πλεονασμὸν τοῦ κ σφηκῶ, κατὰ συστολὴν τῆς ἀρχούσης.

Σφηνοῦται, σφάττεται, στρεβλοῦται.

Σφῆγγα, ὑψὶς, κρικελλ΄.

Σφόδρα, ἐπίρρημα ἐπιτάσεως, ἀπὸ τοῦ σχῶ τὸ κρατῶ, καὶ τοῦ ἐρῶ τὸ ποιῶ, σχόδρα καὶ σφόδρα· σημαίνει δὲ τὸ πολύ· ἢ ἀπὸ τὸ σπῶ τὸ κατασπῶ, σπόδρα καὶ σφόδρα· καὶ εἰς τὸ πρῶτα.

Σφόδρος, ὄνομα ἀρσενικὸν, ἐξ οὗ παρήχθη καὶ τὸ σφοδρῶς ἐπίρρημα.

Σφραγίζω, ἐκ τοῦ σφραγὶς, τοῦτο δὲ ἐκ τοῦ ἀσφαλὶς καὶ κατ' ἀφαίρεσιν σφαλὶς, καὶ μεταθέσει τοῦ λ εἰς ρ, καὶ πλεονασμῷ τοῦ γ, σφραγίς· τὸ δὲ ἀσφαλὴς ἐκ τοῦ σφάλλω, σφαλὴς καὶ ἀσφαλὴς, μετὰ τοῦ στερητικοῦ α, ὁ μὴ ἐσφαλμένος.

Σφραγίζω, ἐκ τοῦ σφραγὶς, τοῦτο δὲ ἐκ τοῦ σφαλής.

Σφριγοῦσιν, ἀκμάζουσι, καὶ ὥσπερ διεσφινωμένοι εἰσὶν ὑπὸ πικρότητος καὶ ἀκμῆς· καὶ παρ' Ἱπποκράτει δὲ τὸ σφριγᾶν τὸ ἀκμάζειν λέγεται· δηλοῖ δὲ καὶ τὸ περιτέτανται, ἢ περιτείνονται· καὶ μάλιστα ἐπισφαλῆς, καὶ οἷον εὐσωματοῦσιν· ἔνιοι τὸ σφρίζουσιν, ὑγιεῖς τυγχάνουσι.

Σφαραγεῦντο, ἦχον προΐοντο, ὀνοματοπεποίηται ἡ λέξις· ἔνθα καὶ ὁ βρόχος ὁ τὴν φωνὴν ἀσφάραγος καλεῖται.

Σφυγμὸς, παρὰ τὸ σφύζω, τὸ σημαῖνον τὸ ἅλλομαι.

Σφυρηλατῶ, καὶ ῥινηλατῶ, φυρήλατος, σφυρ' ἐληλαμένος, χωνευτής.

[1] L. ἐνδεῖ συλλαβῆς.

Σφυρὸν, τὸ ἐπάνω τῶν ἀστραγάλων ἐν κύκλῳ πέλμα· παρὰ τὸ συνεσφίχθαι τὰ ἄρθρα, τῇ συνηθ΄.. καὶ τοῖς νευροῖς.

Σφυρὰ, τὰ ἀπολήγοντα μέρη πρὸς τὰ ἀστράγαλα καὶ ἐκ πλαγίων ἐξέχονται τῆς κνήμης καὶ τῆς περόνης· εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῶν χαλκευτικῶν σφυρῶν.

Σφύριον, καὶ ἐπισφύριον κτητικὸν, καὶ γίνεται ἐκ τοῦ σφυρὸν σφύριον, καὶ ὁ ποιητὴς, ἀμφὶ δέ μιν σφυρὰ τύπτε· διάτι προπαροξύνεται; τὰ διὰ τοῦ ιον ὑποκοριστικὰ, εἰ μὲν ὦσι δικατάληκτα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· εἰ δὲ τριβραχέα προπαροξύνονται, οἷον, θρόνιον, τόπιον, οὕτω καὶ σφύριον· τὸ ρι ἰῶτα διάτι; τὰ διὰ τοῦ ιον οὐδέτερα τριβραχέα καὶ προπαροξύνεται, καὶ διὰ τοῦ ἰῶτα γράφεται.

Σφῶε, αὐτοὺς, ἤγουν τοὺς δύο· ἀντωνυμία δυϊκὴ τρίτου προσώπου πτώσεως αἰτιατικῆς μόνης· διάτι οὐκ ἔστιν ὀρθὴ καὶ αἰτιατικὴ, ἀλλὰ μόνη αἰτιατική; διότι ὀρθὴ πτῶσις οὐδέποτε ἀναδίδωσι τὸν τόνον· οἷον, νῶϊ, σφῶϊ· τοῦτο δὲ ὀξύνεται καὶ ἀναδίδωσι τὸν τόνον, διὸ ἀπέλειψεν ἡ εὐθεῖα, καί ἐστι μόνης αἰτιατικῆς.

Σχέδιον, τὸ ἐξ ἑτοίμου καὶ πρόχειρου γινόμενον.

Σχέδιος, ἐκ τοῦ σχεδὸν ἐπιρρήματος· καὶ γράφεται διὰ τοῦ ι· ὡς τὸ μινυνθάδιος· τὰ γὰρ διὰ τοῦ ιος προπαροξύτονα, παρ' ἐπιρρημάτων γινόμενα, διὰ τοῦ ἰῶτα γράφεται, σχεδὸν, σχέδιος, σχεδιάζω.

Σχεδὸν, παρὰ τὸ σχέθω, τὸ κωλύω, σχεθὸν καὶ σχεδόν· σημαίνει δὲ τὸ ἐγγύς· ἐτυμολογεῖται δὲ παρὰ τὸ σχέσιν ἔχων ἄλλη πρὸς ἄλλον.

Σχεδία, εἶδος πλοίου, τῆς αὐτοσχεδίου πλησθείσης· σχεδία γὰρ οὐκ ἔχει πηδάλιον.

Σχέσει, φιλίᾳ, ἐγγύτητι, παρὰ τὸ σχεῖν ἐκεῖθεν καὶ προσχεῖν· παρὰ τὸ ἐγγὺς εἶναι.

Σχετλιαστικὸν, ἀπὸ τοῦ σχῶ τὸ κρατῶ· καὶ τὸ τλῶ τὸ ὑπομένω.

Σχέτλιος, ἀγνώμων, ἄδικος· παρὰ τὸ σχέθω τὸ κωλύω, καὶ τὸ λίαν· ὁ ἐπισχέσεως ἄξια ἔργα ποιῶν.

Σχετικὸν, τὸ πρός τινα σχέσιν ἔχον καὶ ἐγγύτητα· τὰ δὲ σχετικὰ τῶν πρός τι λέγεται.

Σχέσις, μετουσία, συνάφεια· σχέσιν δὲ λέγομεν τὴν πρὸς τόδε διάθεσιν καὶ συνήθειαν· σχέσις δὲ καὶ ἡ ἐκ τόπου, καὶ ἡ εἰς τόπον. καὶ ἡ ἐν τόπῳ· ἰστέον, ὅτι σχέσεις ἀνθρώπων εἰσὶν ἕξ· τοῦ πρώτου, πρὸς τοὺς τρεῖς· ὡς εἶναι τρεῖς τέως σχέσεις· τοῦ δευτέρου πρὸς τοὺς δύο, ὡς εἶναι πέντε τοὺς τρεῖς πρὸς τὸν ἕνα· καὶ συμβαίνει τῶν δ, ἓξ εἶναι τὰς σχέσεις, τῶν δὲ ε, ἀνθρώπων εἶναι τὰς σχέσεις.

Σχῆμα, παρὰ τὸν σχήσω μέλλοντα· καὶ εἰς τὸ μορφή.

Σχοίατο, ὡς τὸ δευείατο.

Σχοῖτο, ἀπόσχοιτο, διάτι ἀνεβίβασε τὸν τόνον; τὰ τοῦ δευτέρου μέσου ἀορίστου δισύλλαβα ὑπάρχοντα, κατὰ τὸ δεύτερον πρόσωπον διὰ τοῦ οιο ἐκφερόμενα, οἷς ἀκολουθοῦσι καὶ τὰ τρίτα πρόσωπα, ἀναδίδωσι τὸν τόνον, οἷον θοῖτο ἀπόθοιτο, σχοῖτο ἀπόσχοιτο· καὶ τὰ ἀνακόλουθα ἐσχηματισμένα, τό,τε πρόοιτο καὶ κάθοιτο· καὶ εἰς τὸ δευοίατο.

Σχοῖνος, ὄνομα, παρὰ τὸ σχῶ, τὸ κρατῶ, καὶ ἐκ τούτου σχόνος καὶ πλεονασμῷ τοῦ ἰῶτα σχοῖνος, καὶ ἐκ τούτου ὄνομα σχοινίον, σημαίνει δὲ τὸ βοῦλλον.

Σχοίνισμα, ὁ κλῆρος, καὶ μέτρον ἰδοὺ παλαιὸν, παρὰ τὸ σχοινίω, καὶ μετρεῖται τὴν γῆν.

Σχοῖνος, μέτρον γεωργικὸν, ἑξήκοντα σταδίων.

Σχοινοφόρος, ἐκ τοῦ σχοῖνος καὶ τοῦ φέρω· τὸ δὲ σχοῖνος, παρὰ τὸ σχῶ σχήσω· σημαίνει δὲ τρία, τὴν πόαν· Ἄσωπον δ' ἵκοντο βαθύσχοινον· καὶ μέτρον γεωμετρικὸν Περσικὸν, ὃ καὶ παρὰ Πέρσαις παρασάγγης καλούμενος [1]· λέγεται δὲ ἀπὸ μεταφορᾶς καὶ ἡ κατευθυντηρία, καθὼς καὶ ὁ ψαλμῳδὸς φησὶ, τὴν τρίβον μου, καὶ τὴν σχοῖνον μου, σὺ ἐξιχνίασας· τὸ σχοι διφθόγγῳ διάτι; τὰ διὰ τοῦ οινος δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφεται, οἷον, Φρύνος, θρῆνος, πλὴν 10 τοῦ σχοῖνος.

Σχολάζω, παρὰ τὸ σχῶ τὸ κρατῶ, σχάζω, καὶ ἐξ αὐτοῦ γίνεται σχαλάζω, καὶ τροπῇ τοῦ α εἰς ο, σχολάζω, τὸ ἐν τῇ διακρατήσει διάγω· ἐκ τούτου δὲ γίνεται σχολὴ καὶ σχολαστικός.

Σχολαιότερον, κρεμαιότερον, ἀπὸ τοῦ σχολὴ σχολαῖος, ῥώμη ῥωμαῖος, ἀπὸ δὲ τοῦ σχολαῖος σχολαιότερος· τὸ δὲ σχολὴ παρὰ τὸ σχῶ, συντάσσεται μετὰ αἰτιατικῆς· ἔστι δὲ ἐπίῤῥημα, ἀντὶ τοῦ ἠρέμα.

Σχολαστικὸς, διὰ τὸ σχολάζειν τοῖς ἀστικοῖς, ἢ τῷ 20 δικαίῳ.

Σχολὴ, οὐχ ὁ τόπος, ἐν ᾧ σχολάζονται παρὰ παίδευσιν, οὐδ' αὐτὴ ἡ ἐν λόγοις εὐμουσία καὶ διατριβή· ἀλλ' ἣν οἱ πολλοὶ καλοῦσιν εὐκαίρειαν· βάρβαρον· καὶ γὰρ ἀντὶ τοῦ σχολεῖν λέγομεν εὐκαιρεῖν· σχόλη ἡ ἀργία.

Σχολεῖον, διὰ τὸ σχολάζειν τῇ διδαχῇ.

Σχόλιον, διὰ τὸ κατὰ σχολὴν παρατίθεσθαι πρὸς σαφεστέραν ἑρμήνειαν τῶν δυσνοήτων ὀνομάτων ἢ ῥημάτων ἐπὶ τοῖς λογίοις.

Σωφρόνως, δικαίως.

Σχόμενος, καὶ ἀνασχόμενος, τὸ θέμα σχῶ· μέσου παρακείμενον οὐκ ἔχει· τὰ γὰρ μονοσύλλαβα ῥήματα, μέσου παρακείμενον οὐκ ἔχουσι.

Σωκράτης, ἀπὸ τοῦ σῶω, ὃ σημαίνει τὸ ὑγιαίνω, καὶ τὸ κρατῶ.

Σῶμα, παρὰ τὸ σῆμα, ὃ σημαίνει τὸν τάφον, τάφος γάρ ἐστι τὸ σῶμα τῆς ψυχῆς, τροπῇ τοῦ η εἰς ω, οἱονεὶ σῆμα καὶ τάφος τῆς ψυχῆς. Ἀρίσταρχος δὲ σημειοῦται τοῦτο τῇ διπλῇ, ὅτι σῶμα οὐδέποτε λέγει ὧδε 40 ἐπὶ ζώντων, ἀλλ' ἐπὶ νεκρῶν· σῶμα δ' οἴκαδ' ἐμὸν δόμεναι πάλιν. καὶ ὡς λέων ἐχάρη ἐπὶ σώματι κύρσας· τὸ δὲ τοῦ ζῶντος δέμας, δεῖται γυναικὶ, παρὰ τὸ συνδεδέσθαι αὐτό· ὅθεν καὶ σκήνωμα.

Σῶμα, διὰ τὸ σῶον αἷμα καὶ ἅμα· ἢ παρὰ τὸ σῆμα, ὃ σημαίνει τὸν τάφον, κατὰ τὸν Πλάτωνα, τάφος γάρ ἐστι τὸ σῶμα τῆς ψυχῆς· δίκην γὰρ τάφου ἐνθάπτεται ἡ ψυχὴ τῷ σώματι· τροπῇ τοῦ μακροῦ εἰς μακρὸν γίνεται σῶμα· δέμας λέγεται ἐπὶ ἐμψύχων, σῶμα δὲ ἐπὶ ἀψύχων· ὁ δὲ ποιητὴς εἰπὼν, ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας, τὸ δὲ ἐναντίον εἴρηκε, καὶ εἶπε τὸ σῶμα ἐπὶ ἐμψύχων, φασὶ γὰρ τὸν λέοντα νεκροῦ σώματος μὴ ἅπτεσθαι· τὸ δὲ μεγάλῳ ἐπὶ σώματι κύρσας, ἐστὶν ὁ τρόπος ἀντίπτωσις, ἀντὶ τοῦ μεγάλου σώματος ἐπιτυχὼν· καὶ εἰς τὸ δέμας.

Σῶμα, οἱονεὶ δόμα τῆς ψυχῆς, ὅθεν καὶ σκήνωμα.

Σῶμα, διὰ τὸ σῶον ἅμα σὺν αἵματι ὄν· σῶον αἷμα· ἐν τῷ ἅμα εἶναι τὰ μέρη.

Σωρὸς, ἀπὸ τοῦ ἐν αὐτῇ σωρεύεσθαι τὰ σώματα· ἢ παρὰ τὸ ἔσω ὠρεῖν, ὅ ἐστι φυλάττειν, σωρεύω, σωρὸς, ὡς φωλεύω φωλεὸς, σορὸς ἡ τῶν λειψάνων, ἢ παρὰ τὸ σεσηρέναι τὰ σώματα ἐν αὐτῇ· ἢ παρὰ τὸ εἴργω τὸ κωλύω· σορὸς ἡ κωλυτική.

Σωρεία, ἐκ τοῦ σῶ καὶ τοῦ ὠρῶ, τὸ φυλάσσω.

Σῶσον με, τοῦ ῥῦσαι με διαφέρει· σῶσον νόσων καὶ πειρασμῶν· ῥῦσαι αἰχμαλωσίων καὶ τῶν δαιμόνων.

Σωκὸς, βροχὸς ἰσχυρός.

Σωρηδὼν (ὸν), ἀναριθμήτων ἐπὶ τὸ αὐτό.

Σωρὸς, ἐπὶ τῶν λίθων καὶ σίτων, καὶ λοιπῶν τῶν 30 συναγομένων· τὸ σω μέγα, ἐπὶ δὲ τοῦ τάφου τὸ σο μικρὸν, πρὸς ἀντιδιαστολὴν τοῦ ἐπὶ τῶν λίθων, καὶ ἐκεῖνο διὰ τούτου· καὶ εἰς τὸ ἀκτίς.

Σωτηρία, διὰ τὸ σῶον τηρηθῆναι.

Σωφροσύνη, διὰ τὸ σῶα φρονεῖν· ἢ παρὰ τὸ σῶμα φρουρεῖν ἀπὸ ῥύπου· καὶ εἰς τὸ παρθενίαν.

Σώφρων, ὁ ἀπαθής· πορνὸς δὲ ὁ ἡδονῆς ἁλισκόμενος, τοῖς δὲ λογισμοῖς ὑπεραγωνιζόμενος.

Σῶ, σημαίνει ἕξ· σῶ τὸ κινῶ, σῶ τὸ ἕλκω, σῶ τὸ ὑγιαίνω· σῶ τὸ σείω· σῶ τὸ σεύω, σεύονται· σῶ σῶος.

Τέλος τοῦ Σ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Τ ΣΤΟΙΧΕΙΟΥ.

Τᾶ, εἰς τὸ ἧττον.

Τάζω, εἰς τὸ οἰστοί.

Ταίγε, ἄρθρον, ἡ εὐθεῖα τῶν πληθυντικῶν Δωρικῶς· καὶ λέγομεν ὅτι τὰ σύμφωνα ἅπερ ἔχει ἡ εὐθεῖα τῶν δυϊκῶν, θέλει ἔχειν καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἷον, Αἴαντε ἔχει τὸ ντ, καὶ Αἴαντες, λάχητε, λάχητες· ὁμοίως καὶ ἐπὶ τῶν ἄρθρων, τὼ ξύλω τὰ ξύλα, οὕτω καὶ τὰ Μοῦσα ταὶ Μοῦσαι, καὶ τὰ ταί· τὸ γε σύνδεσμος παραπληρωματικός.

Τάγανον, τήγανον.

Τακείς, ἐκ τοῦ τήκω, ὁ β ἀόριστος ἔτακον, ὁ παθητικὸς ἐτάκην, ἡ μετοχὴ ὁ τακείς.

Ταβερνεῖα, καπηλεῖα.

Ταινίον, Ἀττικῶς τὴν στηθοδέσμην, τουτέστι περιτραχήλιον δέσμιον, κόσκιον· παρὰ τὸ ταίνω ῥῆμα, ὅπερ διπλασιαζόμενον γίνεται τιταίνω.

Ταινία, διάδημα κεφαλῆς ἱερέων· τὸ ῥῆμα ταινιῶ ταινιοῖς.

Ταλαίμοχθος, ταλαίπωρος ὁ ἐπίπονος εἴρηται, ὡς Διογενιανὸς, παρὰ τὸ τάλας καὶ τὴν ὥραν ταλάωρος καὶ ταλαίπωρος.

Ταλαίπωρος, ἐκ τοῦ τάλας καὶ τοῦ τάλας καὶ τοῦ 50 πῶρος, ὁ λίθος, γίνεται ταλάπωρος καὶ ταλαίπωρος, ὁ κακοπαθῶν περὶ τὴν ἐργασίαν τῶν πώρων.

Τάλαντον, τὸ ὑπερβάλλον, πᾶν σταθμιζόμενον μέτρον, κατὰ δὲ τὸν λίτρισμὸν ρκε λιτρῶν ὑπάρχει· τοῦ δὲ ταλάντου τὸ ἑκατοστὸν εἰκοστὸν ε, λίτρα μία· ἡ δὲ μία λίτρα ιβ οὐγκιῶν ὑπῆρχε· ἡ δὲ οὐγκία εἶχε

1) cf. Reland. diss. misc. P. 2. p. 235.

στατῆρας δύο· ὁ δὲ στατὴρ ἥμισυ μέν ἐστιν ὀγκίας, ἔχει δὲ δύο δίδραγμα· τάλαντον σημαίνει τέσσαρα· τὸ ζύγιον, τὸν σταθμὸν, τὸ βάρος, καὶ τὸ χάρισμα.

Τάλαντον, τὸν ζυγὸν παρὰ τὸ ταίνω ῥῆμα, ὅπερ κατὰ διπλασιασμὸν τιταίνω· καὶ ὡς φαίνω φαντὸς καὶ ἄφαντος, χραίνω χραντὸς, οὕτω καὶ ταίνω ταντὸς, καὶ οὐδέτερον ταντὸν, καὶ πλεονασμῷ τῆς α λ συλλαβῆς τάλαντον, καὶ συνθέσει ἀτάλαντον, ἀντὶ τοῦ ὁμοτάλαντον.

Τάλας, τάλαντος, ὁ κανών· τὰ εἰς ας ὀνόματα περιττοσυλλάβως κλινόμενα, τριγενῆ διὰ τοῦ ντ κλίνεται· οἷον, μέλας μέλαντος, οὕτως οὖν καὶ τάλας τάλαντος· ἡ δὲ συνήθεια ἐκράτησε, διὰ τοῦ ν μόνου ἐκφέρεσθαι· πρόσκειται περιττοσυλλάβως, διὰ τὸ μέγας μέγα, λάας λάα· τὸ θηλυκὸν τάλαινα· τὰ διὰ τοῦ αινα ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται· θηλυκὸν διὰ τῆς αι διφθόγγου γράφεται· οἷον μέλαινα, θεράπαινα, θέαινα, λέαινα.

Ταλαπείριος, διὰ τῆς ει διφθόγγου γράφεται· ὁ ταλαίπωρος· ἢ παρὰ τὸ τηλόθεν πεπειρακέναι ἐστὶ ταλάπερος, καὶ πλεονασμῷ τοῦ ι ταλάπειρος· ἢ παρὰ τὸ τλῆναι καὶ τὴν πεῖραν γέγονε ταλαπείριος, οἱονεὶ ὁ πολλὴν πεῖραν ὑπομείνας, τουτέστι πολύπειρος ὤν.

Ταλθύβιος, ὄνομα κύριον, κῆρυξ Ἑλλήνων· τὸ βι ἰῶτα διατί; τὰ διὰ τοῦ ιος κύρια ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνονται, καὶ διὰ τοῦ ἰῶτα γράφονται, χωρὶς τῶν παρὰ τὸ κλεὸς, καὶ τῶν ἀπὸ τῶν εἰς ευς, οἷον Προκόπιος, Γεώργιος· πρόσκειται ὑπὲρ τρεῖς συλλαβὰς, διὰ τὸ Ἄρειος· παρὰ τὸ κλεὸς, διὰ τὸ Ἡράκλειος, ἀπὸ τῶν εἰς ευς διὰ τὸ βασίλειος.

Τάλας, παρὰ τὸ τάλλω τὸ κακοπαθῶ, καὶ ἀτάλλων, ὁ μὴ κακοπαθῶν· τὸ δὲ τάλλω κατὰ συγκοπὴν γίνεται, τλῶ, μονοσύλλαβον.

Τάμεν, ἔκοψεν, ἀόριστος δεύτερος, τὸ ῥῆμα τέμνω, τὸ δὲ τάμνω Δωριεῖς· ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε [1]· ὁ μέσος παρακείμενος τέτομα· διατί μὴ τὸ μ; εἰ δὲ διὰ δύο ἀμεταβόλων, διὰ τοῦ προτέρου.

Ταμεῖον, παρὰ τὸ ταμιεύω, τοῦτο παρὰ τὸ ταμίας, τοῦτο παρὰ τὸ τέμνω· ταμεῖον [2] διὰ τῆς ει διφθόγγου ἢ παρὰ τέλευτος συλλαβή· ἡ δὲ δευτέρα διὰ τοῦ ἰῶτα· ἐπεὶ καὶ ταμίας, καὶ ἀργυροταμίας.

Ταμίας, ὁ φύλαξ, ὁ δεσπότης, κυρίως δὲ ὁ κελλάριος, παρὰ τὸ τέμνω, οἱονεὶ τὸ ἀποτεμνεῖσθαι, καὶ ἀποκεχωρίσθαι, καὶ ἀφωρίσθαι αὐτῷ τὴν τοῦ οἰκείου ἐξουσίαν.

Ταμόντες, ποιήσαντες.

Τάνεως, ὄνομα βαρύτονον· γίνεται δὲ παρὰ τὸ τείνω, τὸ τανύω, τέτακα, καὶ ἐξ αὐτοῦ τάνεως· ἄκλιτόν ἐστι· σημαίνει δὲ ὄνομα τόπου, ἐκ τοῦ τεταμένου παρ' Ἑβραίοις· καὶ πόθεν γίνεται Τάνεως; οὐκ ἔχει. διάτι; διότι ἐθνικόν ἐστι.

Ταξιάρχης, ἡγεμὼν, στρατοπεδάρχης.

Τάξις, διάφορα σημαίνει· τὴν ἀκολουθ'.. τὸν ὁρισμὸν, τῶν ἐποφειλομένων χρημάτων καταβολὴν, τὸ στρατιωτικὸν σύνταγμα, ἐξ οὗ καὶ ταξιῶται καὶ ταξίδιον.

Τάπης, παρὰ τὸ θάλπω θάλπης, καὶ ἀποβολῇ τοῦ λ, καὶ μεταθέσει τοῦ θ εἰς τ, τάπης· σημαίνει δὲ τὸ ἐπεύχιον, ἤγουν ταπῆτον.

Τάπητες, καὶ ἀμφιτάπητες διαφέρει· τάπητες μὲν οὖν εἰσιν, οἱ ἐκ τοῦ ἑτέρου μέρους μαλλὸν ἔχοντες· ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων τῶν μερῶν.

Τὰ ὡραῖα, ἔστιν ὥρα, ὃ σημαίνει τὸν ἐνιαυτόν· καὶ ἐκ τούτου γίνεται τὸ ὡραῖον, τοῦ ὡραίου, οἷον καταδιδοῦν κατὰ τὸν καιρὸν τοῦ ἐνιαυτοῦ καρπόν.

Ταράσσω, παρὰ τὸ ἀράσσω, καὶ κατὰ πλεονασμὸν τοῦ τ, ταράσσω· καὶ ἐκ τούτου ταραχή.

Ταπεινὸς, διὰ τῆς ει διφθόγγου· γίνεται ὡς παρὰ τὸ ὄρος ὀρεινοὸς, οὕτω παρὰ τὸ ἔδαφος γίνεται ἐδαφεινὸς, καὶ κατ' ἀφαίρεσιν τοῦ ε, δαφεινός, καὶ κατὰ τροπὴν τοῦ δ εἰς τ, καὶ τοῦ φ εἰς π, ταπεινός· ἢ παρὰ τὸ πέδον γέγονε πεδεινὸς καὶ ἐν ὑπερβιβασμῷ τοῦ ε εἰς α παδεινὸς, καὶ τροπῇ τοῦ δ εἰς τ, ταπεινός· ἢ παρὰ τὸ πατῶ γέγονε πάτος, οἱονεὶ ὁ πατούμενος τόπος, καὶ ἐκεῖθεν ταπεινὸς, οἱονεὶ ὁ ὑποστρωμένος· ἢ παρὰ τὸ τάπης τάπητος γέγονε ταπειτανὸς καὶ κατὰ συγκοπὴν ταπεινός· ἢ παρὰ τὸ τάφης ταφεινὸς καὶ ταπεινός· τὸ πει διφθόγγῳ· τὰ μέντοι εἰς νος ὀξύτονα, διὰ τῆς ει διφθόγγου γίνεται, εἰ μὴ καιρὸν σημαίνουσι.

Τὰρ, σύνδεσμος, ἰσοδύναμος τοῦ ἄρα καὶ δή.

Τάραντος, τάραχος ἐντός· ἢ ἐκ τοῦ τείνω τὸ καταπονῶ, ἢ βλάπτω, ἡ καταπεπονημένη, ἢ βλαβεῖσα.

Ταραχὴ, διὰ τὸ ῥᾷον χεῖσθαι τὸν νοῦν· καὶ εἰς τὸ ἔταρα..

Ταραχώδους, ἡ εὐθεῖα ταραχώδης· ἢ παρὰ τὸ τάραχος, τοῦτο παρὰ τὸ τραχὺς, ῥαχία καὶ τραχία· καὶ γὰρ ὀστώδης ἡ ῥάχις· τὸ χω μέγα διατί; τὰ διὰ τοῦ ωδης.

Ταριχευτὸς, ἐκ τοῦ ταριχεύω, τοῦτο ἐκ τοῦ τάριχος· τὸ ρι ἰῶτα διατί; τὰ εἰς χος, οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι· σωτήριχος, ἴαμβιχος, τάριχος, δόλιχος τὸ ὄσπριον, δολιχὸν τὰ μακρόν· τάριχος σημαίνει δὲ τὸ πεπασμένον λαρδίον· γίνεται δὲ παρὰ τὸ γάρον γάριχος καὶ τάριχος.

Ταφὼν, ἐκπλαγεὶς, θαυμάσας, ἐκ τῶν τάφων ἡ μεταφορά· καὶ γὰρ ἡμεῖς ὁρῶντες τοὺς τάφους ἐκπληττόμεθα τὸ μέλλον δεινόν· θαφὼν δὲ Ἰωνικῶς λέγεται, κατὰ τροπὴν τοῦ θ εἰς τ, αὐτοὶ γὰρ τὰ δασέα εἰς ψιλὰ τρέπουσιν, οἷον θαφὼν ταφὼν, νῦν ἐκ τοῦ θήπω ἐνεργητικοῦ· καὶ τὸ ψιλὸν εἰς δασύ, ὡς τὸ ἐπιορκῆσαι ἐφιορκῆσαί φασιν· οἱ αὐτοὶ δὲ καὶ τὸ Ἀθάμας κατ' ἀφαίρεσιν τοῦ α, καὶ διπλασιασμῷ τοῦ μ, καὶ τροπῇ τοῦ θ εἰς τ, Τάμμας λέγουσι, Τάμμεο θυγατρός. Καλλίμαχος ἐν β αἰτιῶν [3].

Τάρβος, φόβος, τρίσι παραγωγαῖς ὁ Ἡρωδιανὸς τοῦτο ὑπέλαβε· πρῶτον ἐκ τοῦ ταράσσω τάραβος καὶ συγκοπῇ τάρβος· δεύτερον δὲ ὅτι ἐκ τοῦ τρέπω, ὁ β ἀόριστος ἔταρπον, τάρπος, καὶ τροπῇ τοῦ π εἰς β, τάρβος, οἱ γὰρ εὐλαβούμενοι φεύγουσι· τρίτον ἔστι τείρω τὸ καταπονῶ, ὁ β ἀόριστος ἔταρον, τάρος καὶ πλεονασμῷ τοῦ β τάρβος· καὶ ῥῆμα ταρβῶ· ταρβήσαντε.

Τάρταρα, τὰ διήκοντα μέχρι τῶν ἐσχάτων τῆς γῆς.

Τάριχος, οὕτως ἡ χρῆσις. Ἀλεξίων δὲ φησὶν, ὅτι ἀπὸ τοῦ ἐν τῇ ταριχεσίᾳ ἰχνεύεσθαι· γελοίως· ἡ γὰρ ταρίχεια ἀπὸ τοῦ τάριχος γέγονε· ἔσθω οὖν ὥς τινες παρὰ τὸ σηρεῖσθαι καὶ ἴσχνεσθαι· καὶ γὰρ ἰσχὰς λέγεται τὸ ἐπεσχισμένον σῦκον· καὶ ἰσχαθὲν ἢ τάριχος.

---

1) Il. VIII, 87. 2) Leg. ταμιεῖον. 3) Fr. ineditum.

Ταρπὴ, καὶ αὐτὸ βέλος ἓν εἰς τὰς τάρπας λέγειν ῥίπτειν· κοφίνους μεγάλους, ἢ νεκροφορικὰ ἀγγεῖα, παρὰ τὸ αἴρειν τι· αἴρω οὖν ὁ μέλλων ἀρῶ, ἐξ αὐτοῦ ἄρη, καὶ πλεονασμῷ τοῦ π, ἅρπη καὶ τάρπη.

Ταρσὸς, στῆθος ποδός.

Ταρσὸς, πόλις Κιλικίας, ἥν φασιν, ὁ Περσεὺς ἐκ τοῦ ἵππου καθελθὼν, καὶ πήξας τὸν ταρσὸν τοῦ ποδὸς ἐν τῇ γῇ ᾠκοδόμησε, καὶ ἐκάλεσεν αὐτὴν, ἐκ τοῦ ἰδίου ποδός.

Ταρσὸς, καλαθίσκος, ὁ ἐν τοῖς τυροκομοῦσιν ἐκτυπούμενος τυρὸς, καὶ τάλαρος, καὶ ψυγὸς, καὶ ψυκτὴρ, διότι ἐν αὐτῷ τὸ γάλα ψύγεται· ταρσὸς δὲ παρὰ τὸ τέρσαι, τουτέστι ξηράναι.

Ταῦ, ὅτι τεταμένους ἔχει τοῦ στοιχείου τοὺς χαρακτῆρας καὶ τὰς ἐκτυπώσεις, ἀπὸ γὰρ τῆς ἄνω μακρᾶς, καὶ τοῦ ἰῶτα τὸ γράμμα ἐστί· ἔνθεν καὶ ταὼς, ὁ τεταμένα ἔχων τὰ πτέρα· τὸν δὲ τοῦ ἀλιροθίου πέλεκυν, φησὶ, μιμησάμενος, ἐνετυπώσατο τὸ γράμμα.

Τεθηπότα, ἐκ τοῦ θήπω ὁ μέσος παρακείμενος τέθηπα, καὶ ἡ μετοχὴ τεθηπὼς, καὶ Αἰολικῶς τεθηπότα.

Τάφος, μνημεῖον, ὅπου ἀποτίθενται τὰ λείψανα, παρὰ τὸ θῶ τιθῶ, παράγωγον θάπτω, ῥηματικὸν ὄνομα θάπτος, τροπῇ τοῦ θ εἰς τ, καὶ τοῦ π εἰς φ, καὶ ἀποβολῇ τοῦ τ· περιττὸν γάρ ἐστι τὸ τ, ἐν τῷ ῥήματι· οὕτω Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων.

Ταυτότητα, ἀπαραλλάκτου καὶ φυσικῆς κοινωνίας.

Ταῦρος, παρὰ τὸ γαίω τὸ γαυριῶ γίνεται γαῦρος, καὶ τροπῇ τοῦ γ εἰς τ, ταῦρος· ἢ παρὰ τὸ τανύω καὶ τὸ οὐρὰ, τανύουρός τίς ἐστι, καὶ κατὰ συγκοπὴν ταῦρος. σημαίνει δὲ τρία· τὸ ζῶον, καὶ τὸν ὑπὸ τῶν ὀρχέων τόπον, καὶ τὸ ἄστρον.

Τάφος, πόθεν παρήχθη; ἀπὸ τοῦ θάπτω, καὶ κατὰ Ἰωνικὴν σύνταξιν, καὶ μεταθέσει τοῦ θ τοῦ δασέος εἰς ψιλὸν τ, καὶ τοῦ π τοῦ ψιλοῦ εἰς δασὺ φ, τάφος, τόπος ἀφώτιστος.

Τάφρος, ὄρυγμα, ὁ τράφος, παρὰ τὸ αἴρω τὸ κουφίζω, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀφαιρῶ, ἐξ αὐτοῦ ἄφαιρος, καὶ συγκοπῇ ἄφρος, καὶ κατὰ προσθήκην τοῦ τ, τάφρος· παρὰ τὸ ἀφαιρεῖσθαι ἐξ αὐτῆς τὸ χῶμα.

Τάχα, ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ ταχέως, καὶ τάχιστα, ὁμοίως· βαρύνεται διὰ τὸν κανόνα τὸν λεχθέντα εἰς τὸ μῆρα· οὕτω καὶ τὸ τάχιστα· τὸ χ ι ς ἰῶτα, τὰ εἰς ων συγκριτικὰ, μεταβάντα εἰς ὑπερθετικὰ· καὶ τὰ ἑξῆς.

Τεθναίη, ἀντὶ τοῦ ἀποθάνοι, εὐκτικόν· ἔστι τὸ ῥῆμα τέθνημι, δευτέρας συζυγίας τῶν εἰς μι, ἐξ οὗ καὶ τὸ προστακτικὸν τοῦ ἐνεστῶτος, τέθναθι· ὅτι δέ ἐστιν ἐνεστὼς τὸ τέθναθι, δείκνυται ἐκ τοῦ βραχὺ εἶναι τὸ α· εἰ γὰρ ἦν δεύτερος ἀόριστος, ὤφειλεν εἶναι μακρόν· ἀεὶ γὰρ ὁ εἰς θι προστακτικὸς ἀόριστος, μακρᾷ παραλήγεται· λοιπὸν τέθνημι, ἡ μετοχὴ τεθνὰς τεθνάντος, καὶ τὸ εὐκτικὸν τεθναίην, τὸ δεύτερον τεθναίης, καὶ τὸ τρίτον τεθναίη· ὢ προῒτ' ἐκ τεθνῶ [1]), τοῦτο ἐκ τοῦ θνῶ, καὶ κατ' ἀναδιπλασιασμὸν τεθνῶ.

Τέθριπποι, τετράιπποι, καὶ κατὰ συγκοπὴν τέθριπποι.

Τεθρυμμένον, σημαίνει τὸ κατακεκομμένον, ἐκ τοῦ θρύπτω, θρύψω.

Τάφος, σημαίνει τὸ γινόμενον, πῶς δεῖ πένειν ἐπὶ τῇ τῶν ἀρχομένων τιμῇ· σὺ δέ κεν τάφου ἀντιβολήσαις, καὶ ὁ ἐπ' αὐτοῖς ἀγὼν Πατρόκλης τάφου μνημήϊον αὐτοῦ ταφία· οὐδέποτε αὐτῶν τοῦ καθ' ἡμᾶς σήματος ἐκτίθησιν, ἀλλὰ τύμβον αὐτοῦ καὶ σῆμα τίθησι· καὶ ἐκπλήξεως τὴν λέξιν· τάφος δ' ἕλε πάντας Ἀχαιούς· καὶ πόλιν ἢ νῆσον· ξεῖνος δ' οὗτος ἐμὸς πατρώϊος ἐκ Τάφου ἐστί· καὶ σημεῖόν τι ἐν θυτικῷ.

Τίσις, ἡ ποινὴ ἀπὸ τοῦ τίω· τίσις δὲ ἡ τιμὴ, ἀπὸ τοῦ τίω.

Τειχεσίπλητα, ὁ πάντοτε τοῖς τείχεσιν προσπελάζων, πορθητά· ἐὰν δὲ διὰ τοῦ β γράφεται, ὁ τὰ τείχη καταβάλλων.

Τεῖχος, παρὰ τὸ τεύχω, τὸ κατασκευάζω, γίνεται τεῦχος, καὶ τεῖχος, κατὰ τροπὴν τοῦ υ εἰς ι· ἄλλως τε διὰ τῆς οι διφθόγγου γράφεται, ἐπειδὴ ἀντιπαράκειται αὐτῷ τὸ τεῖχος· τὰ δὲ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχουσι τὸ ε ἐγκείμενον, οἷον, λείβω λοιβὴ, πείθω πέποιθα, λείπω λέλοιπα, σπείρω σπορὰ, φθείρω φθορά· οὕτως οὖν καὶ τεῖχος τοῖχος.

Τέκνον, ὅτι ὑπὸ τῶν γονέων ἐτέχθη, τέκον, τέκανον, καὶ ἀποβολῇ τοῦ α τέκνον· τέκνον, παρὰ τὸ τέκω τέκος ὡς νέμω νόμος. οὕτω καὶ τέκνον.

Τεκμηριοῦσθαι, σκέπτεσθαι, φράζεσθαι, ἀπὸ τοῦ τεκμηριῶ, τοῦτο παρὰ τὸ τέκμωρ τέκμωρος, τεκμωριῶ, καὶ τροπῇ τοῦ ω εἰς η τεκμηριῶ· τὸ δὲ τέκμωρ παρὰ τὸ τέκω, τέκωρ καὶ τέκμωρ· σημαίνει δὲ δύο, τὸ τέκνον, καὶ τὸ τέλος· συντάσσεται μετὰ αἰτιατικῆς· καὶ εἰς τὸ σημεῖον.

Τείρω, σημαίνει δύο· τείρω τὸ καταπονῶ, καὶ τείρω τὸ κόπτω. ἐξ οὗ καὶ ἀτειρὴς, καὶ ἀτέραμνος καὶ ἔτειρεν.

Τείρεα, ἄστρα, παρὰ τὸ τείρειν τὸ καταπονεῖν.

Τέλος, σημαίνει ἕξ· τὸ πέρας καὶ τὸ τέλος τὸ διδόμενον τῷ βασιλεῖ, καὶ τὸ δαπάνημα, ὅθεν καὶ πολυτελὲς, τὸ πολὺ ἀνάλωτον, καὶ τὴν ἀρχὴν ἤγουν τὸ ἄρχειν, οἱ ἐν τέλει ἤγουν ἐν ἀρχαῖς, καὶ οἱ ἐν ἀξιώματι· καὶ τὸ τάγμα, καὶ τὴν ἑορτήν.

Τελαμὼν, ὁ ἀναφορεὺς τοῦ ξίφους, παρὰ τὸ τάλασσω ταλαμὼν, καὶ τροπῇ τοῦ α εἰς ε τελαμών· καὶ ὁ ἀναφορεὺς τῆς ἀσπίδος, ὅ ἐστι πλατὺς ἱμὰς, ἀφ' οὗ ἤρτηται ἡ ἀσπὶς, ἀπὸ τοῦ τείνεσθαι τὸν ἱμάντα.

Τελεῖ, καθ' ἡμᾶς ῥῆμα, ἐκ τοῦ τέλος τελῶ· τὸ τέλος παρὰ τὸ ἔω τὸ πληρῶ, ἕλος καὶ τέλος· ἢ παρὰ τὸ τίω τὸ ἀνταποδίδωμι, καὶ τὸ ἕλω τὸ λαμβάνω τίελος καὶ τέλος· τὸ τέλος σημαίνει τρία· τὸ τάγμα· αἶψα δ' ἐπὶ Θρῃκῶν τέλος ἷξον ἰόντες· σημαίνει καὶ τὸ πλήρωμα, οὐδ' οὗτοι ὅσον ἔχον τέλος· σημαίνει δὲ καὶ τὸ πρᾶγμα, οὐ γὰρ ἐγὼ φημὶ χαριέστερον τέλος.

Τελετὴ, ἡ θυσία, παρὰ τὸ τέλειν καὶ μυεῖν, ἤγουν τελεῖσθαι καὶ μυεῖσθαι.

Τειρεσίας, ὄνομα κύριον μάντεως· γράφεται διὰ διφθόγγου· ἢ γὰρ παρὰ τὸ εἴρω γέγονεν εἰρεσίας καὶ πλεονασμῷ τοῦ τ, Τειρεσίας· ἢ παρὰ τὸ τείρεα ὃ σημαίνει τὰ ἄστρα, πολλάκις γὰρ οἱ μάντεις ἐκ τῶν ἄστρων τι λέγουσιν· ἢ παρὰ τὸ τείρεσθαι, τὸ καταπονεῖσθαι, οἱονεὶ, ὁ καταπονούμενος, ἐκ τῆς στερήσεως τῶν ὀφθαλμῶν· τυφλὸς γὰρ ἦν.

Τελείω, βαρύνεται, ἐξ οὗ καὶ ἐτελείετο βουλή· τὰ γὰρ τοιαῦτα παράγωγα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται,

---

1) F. ὅπερ ἐκ τοῦ τεθνῶ.

κατὰ πᾶσαν ἔγκλισιν, καὶ διὰ τῆς ει διφθόγγου γράφονται, οἷον, κιχῶ κιχείω, θῶ θείω, σῶ σείω, τελῶ τελείω· ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ἐνεστῶτος γίνεται, καὶ ἀπὸ τοῦ μέλλοντος· καὶ τὰ ἀπὸ ἐνεστῶτος ἔχουσι καὶ παρατατικοὺς, τὰ δὲ ἀπὸ μελλόντων ἐνεστῶτας μόνους· ἔνθεν σεσημείωται τὸ ὄψεον ἀπὸ τοῦ ὀψείω· τὰ εἰς ω λήγοντα καθαρὰ παραληγόμενα τῇ ει διφθόγγῳ βαρύνεται· εἰ δέ τι περιεσπάσθη, τοῦτο παρ' ὀνόματος γέγονε, σείω, βρωσείω, τελείω· τὸ μέντοι μειῶ παρὰ τὸ μεῖος, καὶ τελειῶ, παρὰ τὸ τέλειος· καὶ τὸ ἀρείω, σημαίνει δύω, τὸ ἀπειλῶ παρὰ τὸ Ἄρης, καὶ τὸ ἀχρειῶ, παρὰ τὸ ἀχρεῖος.

Τέλματα, τὰ πηλώδη τελευταῖα τοῦ ὕδατος.

Τελεσιουργεῖ, τελειοῖ τὸ ἔργον, εἰς πέρας ἄγει.

Τελχὶν, καὶ τρηχὶν, ἀμφότερα διὰ τοῦ ι, τῷ λόγῳ τοῦ ἀκτίς.

Τελχῖνος, οὐ μόνον ὁ ἰσχὺν ὑπὲρ ἄνθρωπον ἔχων, μιαρὸς καὶ κακοῦργος, ἀλλὰ καὶ τοὺς νῦν Κρῆτας καὶ τὴν Κρήτην Τελχινίαν φασί· λέγονται δὲ τελχῖνες καὶ οἱ πονηροὶ καὶ βάσκανοι δαίμονες· λέγεται δὲ τελχὶν καὶ ἡ εἰς θάνατον μεταφορὰ, καὶ τελχὶν δὲ λέγεται ὁ τραχηλιώδης· γέγονε δὲ παρὰ τὸ θέλγω τὸ ἐνεργῶ, ἤγουν τὸ ἀμαυρῶ καὶ σκοτίζω, οἱονεὶ θελγῖνες τινὲς ὄντες.

Τελήεις, τὰ εἰς εις ὀνόματα, ἃ πλεονάζει τῆς πρωτοτύπου συλλαβῆς βαρύνεται, καὶ ἢ τῷ η παραλήγεται ἢ τῷ ο· σπανίως δὲ τῷ ω. ὅτι ἐν ἐκτάσει, οἷον, κητώεις, ἐρώεις, κιώεις. τῷ δὲ ο, οἷον αἱματόεις, τερμιόεις, σκιόεις· καὶ Ὅμηρος οὔρεά τε σκιόεντα· τῷ η τα δὲ, οἷον φθογγήεις, τιμήεις, ἀμφιγυήεις, θυήεις· θύον γὰρ σημαίνει τὸ μυρεψικὸν ἄνθος.

Τελώνης, παρὰ τὸ τέλος, ὃ σημαίνει τὸ διδόμενον τῷ βασιλεῖ, καὶ τοῦ ὠνῶ τὸ ἀγοράζω, ὁ τὰ δημόσια ὠνούμενος· ἢ παρὰ τὸ τέλος, ὃ σημαίνει τὴν ἀρχὴν, ἤτοι τὸ ἄρχειν καὶ τὸ ὠνὴ ὃ σημαίνει τὴν ἀγορὰν· ὁ τὴν ἀρχὴν τοῦ δημοσίου ὠνούμενος.

Τελώνης, ὁ φορολόγος· τὸ λω μέγα διάτι; τὰ μέσον δύο ἀμεταβόλων, ἢ δύο συμφώνων τῶν αὐτῶν, ἢ μέσον ψιλοῦ καὶ ἀμεταβόλου, διὰ τοῦ ω γράφεται.

Τελεσφόρος, τέλειος, ἢ μάντις, ἢ γαστρίμυθος.

Τέμενος, ἐκ τοῦ τέμνω. τέμνος, καὶ ἐπενθέσει τοῦ ε τέμενος, ὁ ἀποτετμημένος καὶ ἀποκεχωρισμένος τόπος τῶν θεῶν.

Τέμπη, τὰ μεταξὺ τῶν Θετταλίας ὀρῶν περὶ τὸν Ὄλυμπον· καὶ τὰ στέρνα· καθ' ὅλου δὲ αἱ ἐν πᾶσι τοῖς ὄρεσι στενόταται διεκβολαὶ, καὶ τὰ στέρνα τῶν ὀρέων· λέγεται δὲ καὶ τύμβη, καὶ τὰ σύνδενδρα πάντα, καὶ τὰ μεταξὺ τῶν ὀρέων στενώματα ῥύτα, οἱονεὶ τέμπη τινὰ, τὰ μετὰ τὰς τροπὰς, καὶ κάμψεις ἔχοντα.

Τένθης, ὁ ὀξυπείνης καὶ γαστρίμαργος· οἱ γὰρ Ἀττικοὶ τένθην καλοῦσι τὸν γαστρίμαργον· κατὰ ἐναλλαγὴν οὖν εἴρηται τοῦ θ εἰς δ.

Τερπικέραυνον [1]), ἐκ τοῦ τέρπω καὶ τοῦ κεραυνός· τὸ πι ἰῶτα διάτι; τὰ ἀπὸ βαρυτόνων μελλόντων ἢ ἐνεστώτων σύνθετα, σύμφωνα ἐπιφερομένου. εἴτε ἔχουσιν ἐν συνηθ'.. ἢ τὸ ε, ἢ τὸ ο. οἷον τέρπω τερπικέραυνος, φέρω Φερέοικος, μένω Μενέλαος·

Τεναγοὶ, οἱ ὑποκάθυγροι βροχοὶ τόποι, παρὰ τὸ τέγγω, τὸ βρέχω, γίνεται τέγγος, καὶ πλεονασμῷ τοῦ α τέναγος, τροπῇ τοῦ ἑνὸς γ εἰς ν.

Τέο, τίνος χάριν; ἔστι τὶς τινὸς, καὶ Αἰολικῶς ἐκβολῇ τοῦ ν τίος, καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι αἱ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν πολλάκις ἀμείβουσι τοὺς τόνους, καὶ γίνεται τίος, καὶ ἡ γενικὴ τίου, καὶ κράσει τοῦ, καὶ διαλύσει Ἰωνικῇ τέο, καὶ Δωρικῶς τεῦο· ἡ δοτικὴ τίῳ καὶ κράσει τῷ, ἀντὶ τοῦ τινί· οὔτε σοὶ οὔτε τῷ ἄλλο λοιπόν ἐστι τῷ, καὶ ἐν τοῖς πύσμασι τοῖς κατὰ ἀναφορὰν γενομένοις πέφυκε προσέρχεσθαι κατ' ἀρχὴν, μήριον, ὁποῖος, ὁπόσος, πόσος, ὁπόσος γίνεται ὅτῳ ἐφότῳ.

Τεὸν, τὴν σὴν, ἀντωνυμία, δευτέρου προσώπου, ἐμὸν, σὸν, πλεονασμῷ τοῦ ε, σεὸν καὶ τροπῇ τοῦ σ εἰς τ, τεόν.

Τένοντα, παρὰ τὴν τῶν νεύρων τάσιν· τένοντα δὲ, πάντα τὰ διατεταμένα νεῦρα καλεῖ Ὅμηρος.

Τέρας, θαῦμα παρὰ φύσιν, παρὰ τὸ εἴρω τὸ λέγω, ὁ μέλλων ἐρῶ, ἔρας καὶ τέρας· λέγεται δὲ τὸ σημεῖον· οἱ γὰρ μάντεις διὰ σημείων καὶ τεράτων τὰ μέλλοντα ἔλεγον· διαφέρει τέρας σημείου· τέρας λέγεται τὸ παρὰ φύσιν γινόμενον πρᾶγμα· σημεῖον τὸ κατὰ τὴν κοινὴν συνήθειαν γινόμενον τέρας [2]).

Τερατείας, ψευδολόγος.

Τερατοσκόπος, μάντις.

Τέρενα, τὰ ἁπαλὰ, κατὰ κοινωνίαν τοῦ τ πρὸς τὸ θ, θέρενα, τὰ γὰρ ἁπαλὰ εὐθέρμαντα· τὰ δὲ σκληρὰ ἀτέραμνα.

Τερθρεία, γοητεία, περιπάθεια, παρὰ τὸ τέρας τέρατος τερατεία, καὶ κατὰ συγκοπὴν τοῦ α, καὶ πλεονασμῷ τοῦ ρ, τερτρεία, καὶ τροπῇ τοῦ τ εἰς θ, τερθρεία.

Τερπικέραυνος, ὁ τοῖς κεραυνοῖς τερπόμενος.

Τερπνὸς, παρὰ τὸ τέρπω τερπὸς, καὶ πλεονασμῷ τοῦ ν, τερπνός· ἐτυμολογεῖται δὲ, παρὰ τὸ τέρπειν τὸν νοῦν.

Τερπικέραυνος [3]), ἐκ τοῦ τέρπω τερπικέραυνος· τὸ πι ἰῶτα διάτι; τὰ ἀπὸ βαρυτόνων μελλόντων, ἢ ἐνεστώτων συντιθέμενα, συμφώνου ἐπιφερομένου, ἢ τὸ ἰῶτα ἔχουσιν ἐν τῇ συνθέσει, ἢ τὸ ε, ἢ τὸ ο, οἷον τέρπω τερπικέραυνος, φέρω Φερέοικος, μένω μενέλαος, ἄρχω ἀρχέλαος καὶ ἀρχέκακος, κτήσω κτήσιππος, στήσω στησίχορος, τέρψω τερψίμβροτος, δείσω δεισιδαίμων, φύσω φυσίζωος.

Τέτηκα, ἐκ τοῦ τέτηγμαι, παρακείμενος μέσος, καὶ διαθέσεως μέσης· καὶ τί ἐστι μέση διάθεσις; ἡ ποτὲ ἐνέργειαν πότε δὲ πάθος παριστῶσα· καὶ τί παριστᾷ; ἐπειδὴ ὁ τῶν μέσων τύπος ἐπ' ἀμφοτέρας φθάνει τὰς διαθέσεις, εἰς οὓς ἡ ἑρμηνεία, ὁ τῶν μέσων τύπος φθάνει καὶ ἐπὶ τῶν ἐνεργητικῶν χαρακτήρων, καὶ ἐπὶ τῶν παθητικῶν· καὶ ἐπὶ τῶν παθητικῶν μὲν διὰ τὸ ἠκροασάμην καὶ κατηρξάμην, παθητικοῦ γὰρ τύπου ταῦτα· ἐπὶ τῶν ἐνεργητικῶν ὡς πέπυγα καὶ κέκοπα· καὶ ἄλλως, λέλογα καὶ πέφρακα, ἐνεργητικὴν ἔχει σημασίαν· τὸ δὲ τέθεικα καὶ διέφθειρα παθητικήν· οἱ γὰρ αὐτοὶ σχηματισμοὶ καὶ ἐπὶ ἐνεργητικῶν λαμβάνονται, καὶ ἐπὶ παθητικῶν.

Τετρὰς, παρὰ τὸ ἑδρὰς, διότι παρέχει ἐν ἑαυτῷ τὰ τρία.

---

1) Cf. inf. v. τερπικέραυνος. 2) Eadem ex Etym. MS. Ultraj. profert Eschenb. ad Orph. Arg. 37. 3) Cf. supra v. τερπικέραυνον.

Τέττιξ, παρὰ τὸ τερετίζω, τὸ μουσικῶς φδνῶ, τέττιξ γὰρ τὸ μουσικώτατον ζῶον, ὅτι οἱ ἄρσενες τῶν τεττίγων ᾄδουσι.

Τετραπλὴ, ἀριθμοῦ δηλοτέρῳ ἕπεται.

Τετρὰς, οἱονεὶ ἕδρας τις οὖσα, τὰ γὰρ τετράγωνα σχήματα ἑδραῖα εἰσὶν, ἀλλὰ καὶ πάντα τὰ σώματα ἐκ τετρακτυὸς τῶν στοιχείων συνίστανται καὶ ἵδρυνται· ἰστέον δὲ ὅτι τὸ τετράγωνον σχῆμα ἀποτελεῖ ἡ τετράς· τὸ δὲ τετράγωνον σχῆμα καὶ τὰ ἀπ᾿ αὐτοῦ, οἷον ὁ κύβος, διὰ τὸ κατὰ πολλὰ μέρη τῆς γῆς ἅπτεσθαι, δυσμόχλευτά εἰσι, καὶ δυσμετακίνητα· ὁ γὰρ τετράγωνος λίθος, ὡς κατὰ πολλὰ μέρη τῆς γῆς ἁπτόμενος, δυσχερῶς κινεῖται· ὁ δὲ κύλινδρος, ἢ ὁ κίων ἐὰν κληθῇ [1]) εἰς πλευρὰν, καὶ ἡ σφαῖρα, ἐπειδὴ οὐκ ἐφάπτονται τῆς γῆς, κατὰ πολλὰ μέρη εὐσεβῶς [2]) κινοῦνται. ὁ μὲν γὰρ κύλινδρος, τοῦ ἐπὶ πέδου ἐφάπτεται κατὰ γραμμήν· ἡ δὲ σφαῖρα καθ᾿ ἓν σημεῖον· διὰ τὸ ἑδραῖον οὖν καὶ μόνιμον, ἐκλήθη τετρὰς, οἱονεὶ ἑδράς τις ὤν.

Τέτλαθι, ἔστι προστακτικὸν τῶν εἰς μι, ἐνεστὼς καὶ παρατατικὸς, ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων· τὸ θέμα τλῆμι, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τλάμεν, καὶ τὸ προστακτικὸν τλάθι καὶ κατ᾿ ἀναδιπλασιασμὸν τέθλαθι· ἔστι δὲ καὶ ἀόριστος μετοχικὸς τλὰς τλάντος· τλάθι, καὶ κατ᾿ ἀναδιπλασιασμὸν τέτλαθι.

Τετράφαται, τετραμμένοι ἦσαν, καὶ ἀντέβλεπον εἰς τὸ πεδίον· τρέφω, τέτραφα, τέτραμμαι. τροπῇ τοῦ μ εἰς τ τέτραπται, τὸ δεύτερον τῶν πληθυντικῶν τέτραφθε, καὶ τὸ Ἰωνικὸν τετράφαται.

Τετρήχει, ἐτραχύνετο, παρὰ τὸ ταράσσω, ταράξω, τετάραχα, ὁ ὑπερσυντελικὸς ἐτεταράχειν· καὶ τροπῇ τοῦ α εἰς η ἐτετρήχειν, ἐτετρήχεις ἐτετρήχει· καὶ ἐκβολῇ [3]) τοῦ ε τετρήχει.

Τετρυχωμένος, δεδαπανημένος ἐν κακοῖς· μετοχὴ ἐκ τοῦ τρύχω, τρυχῶ περισπωμένως, συζυγίας τρίτης τῶν περισπωμένων· τὸ τρύχω, ἐκ τοῦ τρῶ, τὸ καταπονῶ, τρύω, καὶ κατὰ παραγωγὴν, καὶ πλεονασμῷ τοῦ χ τρύχω.

Τετύκοντο, παρὰ τὸ τεύχω τὸ κατασκευάζω, ὁ β ἀόριστος ἔτυχον, ἐτυχόμην καὶ τὸ τρίτον ἐτύχοντο καὶ κατ᾿ ἀναδιπλασιασμὸν τετύχοντο, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν τετύκοντο, Ἰωνικῶς.

Τετυρωμένον, παρὰ τὸ τυρῶ τυρώσω, τετύρωκα, τετύρωμαι, τετυρωμένον· τοῦτο παρὰ τὸ τυρός.

Τεύχεα, ὅπλα, παρὰ τὸ τεύχεσθαι, ὅ ἐστι κατασκευάζεσθαι.

Τεῦτλον, λάχανον, παρὰ τὸ σεύω τὸ ὁρμῶ, ὁρμητικὸν γὰρ ἐπὶ τὰ ἄνω.

Τέχνη, ἐπιτηδεύματος διαφέρει· τέχνη ἐστὶν ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι. οἷον γραμματικὴ, ῥητορική· ἐπιτήδευμα δὲ τὸ τοῦ λόγου χηρεῦον, οἷον, τεκτονικὴ, χαλκευτική· τεχνιτεύω, τεχνίτης, τέχνισσα, ἐπεὶ καὶ τεχνικὸν ἔργον ἐν τῇ τέχνῃ.

Τεχθησόμενος, ἐκ τοῦ τέκω, τέξω, τέτεχα.

Τεχνίτης, βαναυσοῦ διαφέρει· τεχνίτης ἐστὶν ὁ λογικῆς τινος τέχνης ἔμπειρος καθεστώς· βάναυσος δὲ ὁ χωρίς τινος λόγου τι ἐπιτηδεύων· καὶ εἰς τὸ ἀτεχνῶς καὶ ἐπιστήμης.

Τεφρώσας, ἐμπρήσας, σποδώσας.

Τέως, τηνικαῦτα.

Τῇ, κατ᾿ ἐκεῖνο μέρος.

Τῆ, λάβε, Δωρικῶς, νῦν τοῦτον τὸν ἱμάντα· πόθεν γίνεται τὸ τῆ; παρὰ τὸ τάω, τὸ δεύτερον τᾷς, ὥσπερ ζῶ ζᾷς, καὶ βοῶ βοᾷς, καὶ ὁ παρατατικὸς ἔταον ἔτων, τὸ δεύτερον ἔταες ἔτας, καὶ Δωρικῶς ἔτας, τὸ τρίτον ἔταε ἔτα, καὶ τὸ προστακτικὸν τάε τᾶ, καὶ Δωρικῶς τῆ.

Τήγανον, τάγηνον καὶ τηγάνιον, παρὰ τὸ τήκω τήκανον καὶ τήγανον, κατὰ μετάθεσιν τοῦ κ εἰς γ.

Τῆ, ὃ σημαίνει τὸ λάβε, πόθεν γίνεται; ἔστι ῥῆμα τῶν δευτέρας συζυγίας τῶν περισπωμένων, ἐκ τούτου παράγωγον τῆμι, ὁ παρατατικὸς ἔτην, ἔτης, ἔτη, καὶ τὸ προστακτικὸν τῆ.

Τῇ, δὲ ἀντὶ τοῦ ἐκεῖσε, καὶ ἐνταῦθα, καὶ ἔστιν ἐπίῤῥημα τοπικὸν, ἀπὸ τοῦ τῇ ἄρθρου τῆς δοτικῆς.

Τηλεδαπῶν, τῶν πόῤῥωθεν τῆς ἠπείρου, ἢ ξένων.

Τηλαυγὴ, παρὰ τὸ τῆλε, ὃ σημαίνει τὸ πόῤῥω, καὶ τὸ αὐγή· τοῦτο παρὰ τὸ αὔω τὸ λάμπω.

Τηλικοῦτος, καὶ τοσοῦτος διαφέρει· ὅτι ὁ τηλικοῦτος ἐπὶ πηλικότητος τάσσεται, τὸ δὲ τοσοῦτος, ἐπὶ ποσότητος.

Τηλάγημα, ἀρχὴ λέπρας, ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ.

Τηλούμενον, φιλοκαλούμενον.

Τηθὺς, τὸ ὕδωρ, παρὰ τὸ τιθή· τὸ γὰρ ὕδωρ πάντα τρέφει· ἢ ὅτι κύριόν ἐστι τῆς ὑγρᾶς οὐσίας, ἀφ᾿ ἧς πάντα τρέφεται.

Τηλόθι, παρὰ τὸ τέλος τελοῦ, καὶ ἐκτάσει τοῦ ε εἰς ἦτα, τηλοῦ· καὶ τηλόθι τὸ μακρὰν, καὶ τηλός.

Τηλόθι, ἐπίῤῥημα τοπικὸν ἀπὸ τοῦ τηλοῦ, τοῦτο παρὰ τὸ τέλος, ὡς ὑψοῦ ὑψόθι, ἀγχοῦ ἀγχόθι.

Τηλυγέτιν, ἐκ τοῦ τηλοῦ, ὃ σημαίνει τὸ πόῤῥω, καὶ τοῦ γεννῶ γεννήσω, τηλυγεννητὸς καὶ συγκοπῇ τηλυγέτιν, νεὰν, μονογενῆ.

Τηρῶ, παρὰ τὸ ὠρῶ τὸ φυλάσσω· καὶ γράφεται διὰ τοῦ ω, ὡς τὸ πυλωρὸς, θυρωρὸς, κατὰ πλεονασμὸν τοῦ τ, τωρῶ, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν τηρῶ· καὶ εἰς τὸ λατήρ.

Τηλυγέτιν, ἀγαπητὴν, μονογενῆ, καταχρηστικῶς δὲ εἶπεν ὁ ποιητής· κυρίως γὰρ τηλυγέται καλοῦνται, οἱ τηλοῦ τῆς γονῆς ὄντες παῖδες, ὅ ἐστιν οἱ ἐκ γεροντικῆς ἡλικίας ἐπαρέντες· δοκεῖ γὰρ τὰ μετὰ ἀπόγνωσιν τῆς παιδοποιΐας γεννόμενα, μᾶλλον ἀγαπᾶσθαι.

Τημελῶ, τὸ ἐπιμελοῦμαι, παρὰ τὸ τῆ, ὃ σημαίνει τὸ λάμβανε καὶ τὸ μέλω τὸ φροντίζω καὶ τὸ προνοοῦμαι· ἐξ οὗ καὶ τημελοῦχος.

Τιβὴν, ὁ τρίπους, ὁ τρεῖς βάσεις ἔχων.

Τιθηνὸς, καὶ τιθήνη, παρὰ τὸ τιθῶ τίθημι, ὄνομα ῥηματικὸν θήνη, καὶ ἐν πλεονασμῷ τοῦ τι, τιθήνη, τὸ ὕδωρ, παρὰ τὴν τιθήν· τὸ γὰρ ὕδωρ πάντα τρέφει.

Τήθη, καὶ τιτθὶς διαφέρει· τήθη μὲν ἡ τοῦ παιδὸς τροφὸς, ἔνιοι δὲ μαίας καὶ μάμμας καλοῦσι· τιτθὶς δὲ ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὴ, ἣν ἔνιοι θείαν καλοῦσι.

Τλήμων, ὁ κακοπαθὴς ὢν, παρὰ τὸ τλῶ, τὸ κακοπαθῶ.

Τιάφιον, ὅτι ἐξάπτει τὸ πῦρ.

Τίγρης, τίγρητος, διὰ τοῦ ἦτα λέγεται καὶ κλίνεται· καὶ σημαίνει τὸν ποταμόν· τίγρις διὰ τοῦ ι, τὸ ζῶον·

---

1) L. κλιθῇ. 2) L. εὐχερῶς. 3) melius ἀποβολῇ.

καὶ ὅτε μὲν διὰ τοῦ δ κλίνεται διὰ τοῦ ἰῶτα γράφεται· ὅτε δὲ διὰ τοῦ τ κλίνεται, διὰ τοῦ ἦτα γράφεται.

Τιθασσεύω, ἡμερῶ, ἐκ τοῦ τιθῶ, τιθάσω, σημαίνει δὲ τὸ χειροηθ . . ποιῶ καὶ κατὰ παραγωγὴν τιθασσεύω τὸ καταπραῦναι, καὶ τῇ χειρὶ ἐπιψῶ.

Τιτθὴ καὶ τροφὸς καὶ τιθηνὸς διαφέρει· τιτθὴ μὲν ἀπὸ τοῦ τισθὴ ἡ τροφὸς, ἡ μαῖα, ἐτυμολογεῖται δὲ ἀναβιβάζουσα, ἡ εἰς βάσιν ἡλικίας τὸ τρεφόμενον ἄγουσα· τροφοὶ δὲ καὶ τιθηνοί. αἱ τοὺς ἄλλους πόνους ἀναδεχόμεναι, λέγω δὲ περιφέρειν, προπέζειν, ἀποπλύνειν καὶ λούειν.

Τικτόμενον, τέκω, καὶ τὸ ε, ἡνίκα πλεονάζει σύμφωνον τρέπεται εἰς ἰῶτα, μένω μίμνω, τέκω τίκτω.

Τί, ὄνομα οὐδέτερον ἐρωτηματικὸν, καὶ ἐπίρρημα ἐπιτάσεως ἀντὶ τοῦ λίαν· σημαίνει καὶ αἰτίαν.

Τιμαλφὲς, ὄνομα σύνθετον, ἐκ τοῦ τιμὴ καὶ τὸ ἀλφὸν ὃ σημαίνει τὸ λευκόν.

Τιμιουλκῶ, τὴν τιμὴν ἕλκω, τουτέστι βαρυτιμῶ.

Τιμὴ, διὰ τοῦ ἰῶτα γράφεται, παρὰ τὸ τίω· ἔστιν ὅτε εὕρηται καὶ ἐν συστολῇ, οἷον περὶ μέν σε τίω Δαναῶν ταχυπώλων· καὶ ἄλλως ἐπειδὴ τὰ εἰς μη οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, ἰθίμη, αἰχίμη, σπιθαμή.

Τίθησι, καὶ τίθενται διαφέρει· τίθησι μὲν γὰρ τὸν νόμον ὁ νομοθέτης· τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ τιμωρούμενοι.

Τιμαλφέστατον πρᾶγμα, ἄγαν τίμιον, ἢ λαμπρότατον καὶ τιμιώτατον. ἀλφεῖν γάρ ἐστι τὸ εὑρίσκειν, ὥστε γενέσθαι τὸ τιμαλφέστατον. παρὰ τὸ τιμὴν πλείστην εὑρίσκειν, ὃ δὴ συμβέβηκε τῷ χρυσῷ· τιμαλφούμενον τὸ τιμὴν εὑρίσκον.

Τιμῆν, τὸ τι ἰῶτα διάτι; ἐκ τοῦ τίω. καὶ ἐκεῖνο διάτι; κανών ἐστιν ὁ λέγων, τὰ διὰ τοῦ ιω ῥήματα δισύλλαβα, μὴ παρ' ἐνεστώτων ἢ μελλόντων γινόμενα, μὴ δὲ ἀπὸ πλεονασμοῦ ἔχοντα [1]), μήδε ἀντιπαρακείμενον ἔχοντα τὸ ο, διὰ τοῦ ι γράφεται, οἷον δίω τὸ σημαῖνον τὸ διώκω, μέγα πεινάοντα δίεσθαι [2]). λίω τὸ σημαῖνον τὸ προθυμοῦμαι, ἐξ οὗ λιαρόν· ἔστι δὲ καὶ περισπώμενον λιῶ, λιήσω, λελίηκα, λελίημαι, λελιημένος· καὶ οὐκ ἔστιν ἀπὸ τοῦ χλιαρὸν κατ' ἀφαίρεσιν, ὡς λέγουσί τινες· ψίω τὸ λεπτύνω καὶ ψιάω διαφέρει καὶ ψιάς· σημαίνει δὲ τὸ παράγωγον ῥῆμα ἐλάττονά τινα οὐσίαν, οὗ τινος οὖν ὑποκειμένου· τοιοῦτον γάρ ἐστι καὶ τὸ ψαύω καὶ τὸ ψάλλω τὸ ψείω [3])· τὸ γὰρ ψαύειν τὸ ἧττονα τῷ πλήκτρῳ παίειν σημαίνει καὶ τὸ ψαύειν ἧττον τοῦ καθάπτεσθαι· ὁμοίως καὶ τὸ ψίχειν· οὕτως οὖν καὶ τὸ ψίειν, οὗ προυπάρχει τὸ ψῶ. ἀφ' οὗ ὁ ψωμὸς. τὸ ἔλαττον παρὰ τὸν ἄρτον· καὶ Ὅμηρος δηλοῖ, ψιάδας κατέχευεν ἔραζε· κτίω ἐξ οὗ καὶ ἐϋκτίμενον πτολίεθρον· πίω ἐξ οὗ καὶ πιομένης ἐκ βοτάνης, ὁ μέλλων πίσω. καὶ πίσος καὶ πίσεα ποιήεντα [4]). σημαίνει δὲ τὰ ὕδατα. ψιὰς δὲ λέγουσι τὰς κατ' ὀλίγον κατερχομένας δρόσους. ἴω μετὰ τοῦ στερητικοῦ α. καὶ πλεονασμῷ τοῦ ν. ἀνίω ταύτην δ' οὔτ' ἔπει προτιβάλλεται, οὔτ' ἔτι ἔργῳ, ἀλλ' ἀνίεις· σημαίνει δὲ τὸ ἀναπείθης· τίω βαρύτονον μὲν σημαίνει δύο. τὸ τιμωρῶ καὶ τὸ τιμῶ· περισπωμένως δὲ τὸ λυπῶ. οὗ ὁ μέλλων τιήσω, τετίηκα, τετίημαι, τετιημένος καὶ τετιημένον φίλον ἦτορ· πρόσκειται δισύλλαβα, διὰ τὸ ἀχρειῶ καὶ σημειῶ· τὸ κλείω κατ' ἄλλον κανόνα γράφεται διὰ τῆς ει διφθόγγου· πρόσκειται, μὴ παρ' ἐνεστώτων ἢ μελλόντων διὰ τὸ θῶ θείω καὶ βρώσω βρωσείω, ὄψω ὀψείω, ὄφρ' ἂν ἐγὼ βείω· τὸ δὲ βιῶ εἰ μέν ἐστι περισπώμενον δευτέρας συζυγίας, βιᾶς καὶ γίνεται ἐκ τοῦ βία· καὶ Ὅμηρος ὡσεὶ ἐβίασ τὸ μοῦνον ἐόντα· καὶ ἐβιήσατο παῖδας· τὸ δὲ βιῶ βιοῖς βιοῖ, ἔστι τρίτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων βιώσω. γίνεται ἐκ τοῦ βίος καὶ εἰς μι ῥῆμα βίωμι καὶ ἡ μετοχὴ βιοὺς καὶ τὸ απαρέμφατον βιῶναι· πρόσκειται μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ἰῶτα, διὰ τὸ σείω· τοῦτο γὰρ ἀπὸ πλεονασμοῦ ἔχει τὸ ἰῶτα· ἔστι γὰρ ῥῆμα σέω τὸ σώζω καὶ τροπῇ τοῦ ε εἰς α γίνεται σάω ὁ παθητικὸς σάομαι, ὁ ὑπερσυντελικὸς παθητικὸς ἐσαόμην, τὸ δεύτερον ἐσάου, καὶ τροπῇ Δωρικῇ τῆς ου διφθόγγου εἰς ω· ὡς βοῶ βῶ καὶ συναρχόμενον γίνεται σάω· καὶ ἡ χρῆσις σάω δ' ἐρίηρας· εἶπε μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ ο, διὰ τὸ κλείω, τὸ τιμῶ. κλοιός.

Τιμωρῆσαι, καὶ τιμωρήσασθαι διαφέρει, τιμωρῆσαι μὲν γάρ ἐστι τὸ ἐκδικῆσαι· τιμωρήσασθαι δὲ τὸ κολάσαι· καὶ εἰς τὸ τίσασθαι.

Τινάσσω, ἐκ τοῦ τιταίνω, τὸ ἕλκω, τιτανῶ, Αἰολικῶς τιτάνσω, καὶ ἐν ὑπερβιβασμῷ τινάσσω.

Τίνω, τὸ ἀνταποδίδωμι, ἐκ τοῦ τίω κατὰ πλεονασμὸν τοῦ ν. τὸ τι καὶ μακρύνεται καὶ βραχύνεται, παρὰ τῷ ποιητῇ. τὸ τι ἰῶτα πρὸς ἀντιδιαστολὴν τοῦ τείνω τὸ τανύω καὶ ἐκτείνω.

Τιτᾶν, διὰ τοῦ ἰῶτα γράφεται· παρὰ τὸ τίνω, ὃ σημαίνει τὸ ἀνταποδίδωμι, γέγονε τινὰν καὶ τιτᾶν· καὶ Τιτᾶνες οἱ οὕτω διαπραττόμενοι, ὥστε δοῦναι τιμωρίαν· ἢ παρὰ τὸ τιταίνω γίνεται τιτᾶν, οἱονεὶ οἱ τιταίνοντες χεῖρα, καὶ κόπτοντες τὰ αἰδοῖα τοῦ πατρός· καὶ διάτι διὰ τοῦ ἰῶτα γράφεται; ἐπειδὴ τὰ εἰς αν φεύγονται τῇ ει διφθόγγῳ παραλήγεσθαι, οἷον Ἀλκμὰν, Παιὰν, Ἑρμὰν, Ποτιδὰν ὁ Ποσειδᾶν· οὕτως οὖν καὶ τιτᾶν· τὸ δὲ Ἀργειὰν διὰ τῆς ει διφθόγγου, ἔστι δὲ ὄρος τῆς Μεσσήνης, ἀπὸ τοῦ ἀργειὸς ἔχει τὴν ει δίφθογγον.

Τίμων, παρώνυμον τοῦ τιμή.

Τίτλος, καὶ τιτλάριον, γραφή τις ἤγουν διαστολὴ, ἐκ τοῦ διαστέλλειν καὶ διαχωρίζειν.

Τιμωρεῖσθαι, καὶ τιμωρεῖν διαφέρει· τιμωρεῖσθαι μὲν γάρ ἐστι τὸ κολάζειν, τιμωρεῖν δὲ τὸ βοηθεῖν τοῖς ἀδικουμένοις.

Τινάσσω, ἐκ τοῦ ἲς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν ἰνάσσω καὶ τινάσσω.

Τὶς, τὸ τὶς ἰῶτα. ὅτε μέν ἐστιν ἐρωτηματικὸν τὸν οἰκεῖον τόνον φυλάσσει, ὅτε δὲ ἀόριστον ἀναβιβάζει τὸν τόνον, ὡς τὸ ὄφρα τις· καὶ θηλυκὸν ἡ τίς· τὶς ὄνομα ἐρωτηματικὸν κλίνεται τινός· ὁ κανὼν τὰ εἰς ις μονοσύλλαβα, προσθέσει τοῦ ος κλίνονται, οἷον κὶς κιὸς, δηλοῖ δὲ τὸν σκώληκα, λὶς λιὸς, δηλοῖ δὲ τὸν λέοντα· ὤφειλε καὶ τὸ τὶς τιὸς κλίνεσθαι· ἀλλὰ καὶ τὸ κὶς καὶ τὸ λὶς μακρὸν ἔχουσι τὸ ἰῶτα, τὸ δὲ τὶς βραχὺ, καὶ ὡς ἐνήλλαξε κατὰ τὸν χρόνον, διήλλαξε καὶ κατὰ τὴν κλίσιν.

---

1) μηδὲ etc. cf. lin. 13. pag. sequentis. 2) Il. XVIII, 162. 3) cfr. Etym. M. v. ψεδνός. 4) Il. XX, 9. et Schol.

Τίς, τὸ τὶς σημαίνει τρία, τό, τε ὄνομα ἀρσενικὸν καὶ θηλυκὸν καὶ κλίνεται ὁ τὶς τοῦ τινός· τὶς τίνος τὸ ἐρωτηματικὸν καὶ σπάνιον· καὶ τὶς τὸ ἄπειρον ἀντὶ τοῦ οὐδείς.

Τίσασθαι, σημαίνει τὸ τιμωρήσασθαι· καὶ τὶ διαφέρει; τιμωρεῖν μέν ἐστι τὸ ἐπαμύνειν καὶ βοηθεῖν· τιμωρήσασθαι δὲ τὸν προηδικηκότα κολάζειν· τιμωρεῖ μὲν Πάτροκλον Ἀχιλεῦς, τιμωρεῖται δὲ Ἕκτωρ. ἔστιν οὖν τὸ ῥῆμα τίω, καὶ περισπώμενον τιῶ, καὶ σημαίνει τὸ λυπῶ· τὸ τι. ἰῶτα.

Τίσειαν, ἀόριστος πρῶτος τῶν εὐκτικῶν, Αἰολικὸν τρίτον πρόσωπον τῶν πληθυντικῶν· ἐκεῖνοι γὰρ τὸ τύψαιμι τύψεια λέγουσι· τὸ δεύτερον τύψειας, καὶ τὸ τρίτον τύψειε· καὶ τῷ μὲν πρώτῳ προσώπῳ χρῶνται οἱ Αἰολεῖς, τοῖς δὲ λοιποῖς ἡ κοινὴ διάλεκτος· ἔστι τὸ θέμα τίω τὸ τιμωρῶ, τίσω, ἔτισα, ὁ ἀόριστος, καὶ τὸ εὐκτικὸν τίσειαν.

Τίσανδρος, διὰ τοῦ ἰῶτα, παρὰ τὸν τίσω μέλλοντα· ἢ ὅτι παρὰ τὴν τῆς τιμῆς γενικὴν γέγονε τιμήσαντος καὶ κατὰ συγκοπὴν Τίσανδρος.

Τιτθοί, οἱ μαστοί, παρὰ τὸ ἐντίθεσθαι τοῖς στόμασι.

Τριτρᾶται, τρυπᾶται, διανοίγεται.

Τιτῶ, σημαίνει τὴν ἡμέραν καὶ γράφεται διὰ τοῦ ἰῶτα, παρὰ γὰρ τὸ Τιτᾶν γίνεται Τιτᾶνος, τιτανίω καὶ Τιτανὶς καὶ ἐκεῖθεν ὑποκοριστικὸν τιτῶ, ὥσπερ ὑψιπύλη ὑψῶ, εἰδοθεὰ, ειθῶ· τιτάνος ι ἀμφότερον· Ἰταλικώτερον γάρ ἐστιν ἐν οἷς καὶ περὶ τοῦ Αἰλιανὸς διέλαβε.

Τλήμων, ὁ κακοπαθὴς, παρὰ γὰρ τὸν τλήσω μέλλοντα.

Τλήσομαι, τὸ ῥῆμα τλῶ, τλᾶς, ὁ μέλλων τλήσω· ἐκ δὲ τοῦ τλῶ τὸ καρτερῶ γίνεται τλᾶς καὶ μετὰ τοῦ στερητικοῦ α ἄτλας, ὁ ἀκάρτερος καὶ ἐν ὑπερβιβασμῷ τάλας, οἱονεὶ ὁ ἀκαρτέρητος καὶ μὴ δυνάμενος ἰσχῦσαι.

Τμηθείς, ἐκ τοῦ τμῶ, ὅπερ ἀπὸ τοῦ τέμνω· ὁ β ἀόριστος ἔταμον, ὁ β μέλλων ταμῶ καὶ συγκοπῇ τμῶ.

Τληπαθεῖν, ταλαιπωρεῖν, ὑπομένειν.

Τλῆτε, τλῆμι, καὶ ἡ μετοχὴ τλὰς τλάντος καὶ τὸ προστακτικὸν τλάθι καὶ κατὰ διάλυσιν τλῆθι, τλήτω, τλῆτε τὸ δεύτερον.

Τὸ σημαίνει τοπικὴν σχέσιν. Ὅμηρος τὸ δ' ἱκανῶ, καὶ ἐστιν αἰτιατικῆς πτώσεως, ὡς καὶ τὸ δὲ ἰσοδυναμεῖ τῇ εἰς προθέσει, οἷον εἰς τοῦτο τὸ χωρίον, ὅ ἐστι τόπον· ὡς Οὔλυμπόνδε ἀντὶ τοῦ εἰς τὸν Ὄλυμπον.

Τὸ δέ μοι, τοῦτο δέ μοι. Ἀρίσταρχος δύο μέρη λόγου εἰσί, φησίν· ὁ δὲ Ἡρωδιανὸς ἕν· ὁ δὲ Ἀρίσταρχος ὀξυτονεῖ τὸ δὲ ὁμοίως, ἵνα ᾖ δύο μέρη λόγου· ἐπείσθη δὲ ἡ παράδοσις Ἀριστάρχῳ.

Τοῖος, ἄρθρον ἐστὶ προτακτικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ· ἔστιν ἡ εὐθεῖα ὃς καὶ τὸ πληθυντικὸν ὤφειλεν εἶναι οἳ, ἀλλ' ἐπειδὴ οἱ Δωριεῖς φυλάσσουσι τὴν ἀναλογίαν τῆς εὐθείας τῶν δυϊκῶν, ἀποβάλλουσι τὸ κατ' ἀρχὴν σύμφωνον καὶ ἀναφορικὸν γίνεται· οἷον τοῖος οἷος, ἅτινα προσλαμβάνοντα τὸ τ κατ' ἀρχὴν ἀνταποδοτικαὶ γίνονται, οἷον, οἷος τοῖος, ὅσος τόσος, ἅτινα πάλιν ὀξυνόμενα ἀόριστα γίνονται, οἷον πόσος ποσὸς, τόσος τοσὸς, τοσὸν δέ τε λαόν [1]).

Τοῖν χεροῖν, τῶν χειρῶν, εἰσὶ δὲ ταῖν χεροῖν, ταῖς χερσί.

Τοκεύς, ὁ πατὴρ, ὡς παρὰ τὸ ἔχω τὸ συνέχω καὶ σφίγγω γίνεται ὀχεὺς, ὁ συνέχων καὶ σφίγγων τὴν περικεφαλαίαν, οὕτω καὶ παρὰ τὸ τέκω τοκεύς.

Τόμοι, ἄρθρον ὑποτακτικὸν ἀντὶ τοῦ προτακτικοῦ· οἱ γὰρ Αἰολεῖς τοῖς προτακτικοῖς ἀντὶ ὑποτακτικῶν χρῶνται· τὸ γὰρ οἵμοι τοίμοι, καὶ τὸ ἐμοὶ τόμοι, ἀντὶ τοῦ οὕτινας.

Τολύπη, ἄμπελος ἀγριά· ἢ ἀγραγγουρέα, βοτάνη ἀναιρετικὴ, ὁ μανδραγορας.

Τοξότης, ὁ τὸν τόξον τείνων· καὶ τοξότης τὸ ἄστρον.

Τονθορύζω. λαλῶ· ὡς δὲ ἡ χρῆσις γυναικῶν τινῶν γραΐδων ὑποκωθωνιζομένων σημαίνει δὲ βοώντων.

Τόμοι, ἀντὶ τοῦ οἴμοι. εἰς τὸ τῶμοι.

Τόνδε, ἓν μέρος λόγου ἐστίν· εἰ γὰρ ἦν δύο, ὤφειλε τον δέ.

Τονθορύζω, παρὰ τὸ θροὸς. ὃ σημαίνει τὸν ταραχὸν καὶ θόρυβον, καὶ κατὰ πλεονασμὸν τενθερύζω καὶ τονθορύζω· σημαίνει δὲ τὸ ψιθυρίζω.

Τοπάζειν, στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν, καὶ ἐτόπαζον ὁμοίως διὸ καὶ τοπεῖν καὶ ὑποτοπεῖν τὸ ὑπονοεῖν λέγεται. καὶ εἰς τὸ ὑπετόπαζεν.

Τόπος, παρὰ τὸ τύπος, τροπῇ τοῦ υ εἰς ο· ἕκαστος γὰρ τόπος ἰδίῳ τύπῳ κέχρηται· ἢ παρὰ τὸ ποτῶ τὸ λαμβάνω καὶ δέχομαι.

Τόπος, παρὰ τὸ πατῶ, πατήσω, πάτος καὶ καθ' ὑπερβιβασμὸν καὶ διαλέκτῳ Αἰολίδι τόπος· ἢ παρὰ τὸ τάφος τάπος καὶ τόπος, πᾶς γὰρ τόπος εἰς ταφὴν ἐπιτήδειος· πόσα σημαίνει; δύο, τὸν περιγραφόμενον τόπον, καὶ τὸ ἐπιχείρημα.

Τοποτηρητὴς, ὁ τόπον τηρῶν.

Τορὸν καὶ τορὸς, ἔντροχος καὶ τομὸς καὶ συνετὸς, ἔνιοι σαφὴς, ὡς παρὰ τῷ Σοφοκλεῖ· λέξω τορόν σοι, πᾶν ὅπερ χρήζεις μαθεῖν, οὐκ ἐμπλέκων αἰνίγματα ἀλλ' ἁπλῷ λόγῳ, ὥσπερ δίκαιον, πρὸς φίλους οἴγειν στόμα· σημαίνει δὲ καὶ ἐργαλεῖον φρεωρυχικὸν καὶ σκαφεῖον παραφυλλ'..

Τορὸν, μεγαλόφωνον, ὀξύνεται τορὸς ἰσχυρῶς.

Τορύνη, τὸ κοχλιάριον, Ἀριστοφάνης δὲ τὸ χυτρόπουν.

Τοσαῦτα, ὄνομα πτώσεως αἰτιατικῆς τῶν πληθυντικῶν, τῶν οὐδέτερων· ἡ αὐτή ἐστιν ὀρθὴ καὶ αἰτιατικὴ, ἡ εὐθεῖα τῶν ἑνικῶν οὐκ ἔχει. καὶ πόθεν γίνεται; ἐκ τοῦ τόσα κατὰ παραγωγὴν τοσαῦτα, παραλήγουσαν ἔχον τὴν αὐτήν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἡ πρὸ τέλους συλλαβὴ, ἐπὶ ταύτης τῆς παραγωγῆς, τῆς κατὰ γένη καὶ ἀριθμοὺς προσιούσης, βούλεται τοῦ ἔχειν προκειμένου φωνήεντα, ὁποῖον ὁρᾶται ἐν τῇ ληγούσῃ συλλαβῇ· τὸ τημοῦ τὸ παράγωγον ἕξει πρὸ τοῦ υ τὸ ο μικρὸν προκείμενον· ὁμοίως τὸ τηνικαῦτα εἰς α λῆγον, ἕξει τὸ α προηγούμενον τοῦ υ, οὕτω καὶ τὸ ἔνθα ἔνθεν, ἐντεῦθεν· τὸ αὐτὸ καὶ ἐπὶ ὀνομάτων, οἷον, τόσος τοσοῦτος, τόσον τοσουτον, τόσα τοσαῦτα· κατὰ γένη δὲ καὶ ἀριθμοὺς αἱ παραγωγαὶ γίνονται, οἷον τηλίκος τηλικοῦτος, τηλίκα τηλικαῦτα· τὸ τοίη τοιηύτη ὤφειλε, ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, οὐκ ἔστιν ἐπισυστῆσαι τὸ η καὶ τὸ υ, ἐν μιᾷ συλλαβῇ καὶ τὰ ὅμοια, τούτου χάριν τρέπουσι τὸ ἦτα εἰς α.

Τόσον, ὄνομα ἀναφορικόν· ποίου εἴδους τῶν ἀναφορικῶν; ἀνταποδοτικοῦ· διάτι; ἐπειδὴ τὰ ὑπὲρ μίαν

[1]) cf. Etym. M. v. τύπος.

συλλαβὴν ἀναφορικὰ, ἀποβάλλοντα τὸ κατ' ἀρχὴν σύμφωνον ἀναφορικὸν [1]) γίνεται· οἷον τοῖος οἷος, τόσος ὅσος, ἅτινα πάλιν ὀξυνόμενα ἀόριστα γίνονται, τόσος ποσὸς, πόσος ποσός.

Τόσον, ἐπὶ τοσοῦτον ὑποκάτωθεν τοῦ ᾅδου· ἔνερθ' ἀΐδεω· ὡς τὰ οὐράνια τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων, οὕτω καὶ ἀπὸ γῆς εἰς ᾅδου καὶ ἀπὸ τοῦ ᾅδου εἰς τάρταρον [2]).

Τὸ αὖτε, ἐπίῤῥημα χρόνου δηλατικὸν, οἷον ἔστι καὶ τότε· τότε πορευθεὶς εἰς τῶν δώδεκα, σημαίνει τὸ μετὰ ταῦτα· καὶ τὸ αὖτε ἀντὶ τοῦ πάλιν.

Τούδουναι, οἱ τοποτῆραι παρὰ τοίρκοις.

Τουτ' ἔστι, σύνδεσμος διασαφητικὸς, ἀντὶ τοῦ τὸ ὑπάρχει, ὁμοίως καὶ τὸ ἤγουν.

Τόφρα, ἀπὸ τοῦ τὸν ἄρθρου, καὶ τοῦ φρῶ τοῦ σημαίνοντος τὸ λέγω, γίνεται τόφρα, τὸν ἀρτίως φραζόμενον· ἢ ἀπὸ τοῦ ὄφρα αἰτιολογικοῦ συνδέσμου, πλεονασμῷ τοῦ τ· ἀπὸ τοῦ φέρω φόρα, καὶ ἐν ὑπερβιβασμῷ ὄφρα· ὅθεν λέγεται καὶ ἐν τῇ συνθέσει τώρα ἀντὶ τοῦ τῇ ὥρα.

Τοὔνεκα, καὶ οὕνεκα διαφέρει· τὸ μὲν γὰρ τοὔνεκα ἐπὶ τούτου ἕνεκα, τὸ δὲ οὕνεκα· ὅτι ἁμαρτάνει οὖν Καλλίμαχος εἰπὼν, τοὔνεκεν αἴγεος ἔκεν· ὅτι τε δέον εἰπεῖν οὕνεκα· καὶ ἀντὶ τοῦ κἂν κεν εἶπε.

Τράγος, παρὰ τὸ τρώγω, πολυφάγον γὰρ τὸ ζῶον· ἢ παρὰ τὸ τραχὺ δέρμα ἔχειν.

Τραγῳδία, παρὰ τὸ τράγος καὶ τὸ ᾠδὴ, θηλυκὸν γὰρ τραγῳδία· ὁ δὲ τράγος ἀπὸ τοῦ τραχὺς, τὸ δὲ τραχὺς ἀπὸ τοῦ ῥήσσω ῥήξω, ῥηχὺς καὶ τραχύς. καὶ εἰς τὸ κωμῳδία.

Τοῦρκος, ὃ καὶ χάζαρος δέρων κοσμὸν, χαὸς ὅρος, λαος [3]) ἀντιστήκουσιν, ὅρος τοῖς ἀντιπίπτουσι, πολύλαλος, ἰσχυρόφωνος, πολύκτηνος, πολυμέταρσος, ἁμαρτόζωος, πολυμίαρος, δυνατομέγεθος, ἀπειλῇ ἀμεταβλήτῳ, ἀνθιστάμενος, ἐγγυόμενος, ἀφανίζων τὸν κοσμὸν τῷ ὁρισμένῳ χρόνῳ.

Τοὖργον, τὸ ἔργον, κατὰ συναίρεσιν τῶν φωνηέντων.

Τοὔμπαλιν, τὸ ἐναντίον, ἀνάπαλιν, ἐκ τοῦ ἐναντίου.

Τοῦ καταλογ'.. τοῦ συλλογ'.., τῆς ἀπογραφῆς.

Τραπεζίτης, διὰ τοῦ ἰῶτα γράφεται, τῷ λόγῳ τοῦ ἀσκαλωνίτης· τὸ δὲ τραπεζείτης κύων, ὁ ἐπιτραπέζιος διὰ τῆς ει διφθόγγου γράφεται· ἔστι δὲ παρὰ τὸ τραπεζεύς.

Τρακταΐσαι, κακουργῆσαι, ἴσως παρὰ τὸ τρώκτης, τοῦτο παρὰ τὸ τρῶ, σημαίνει δὲ τὸ βλάπτω, οὗ παράγωγον τρώγω, ὁ μέλλων τρώξω, ὄνομα ῥηματικὸν τρώκτης· ἐπὶ βλάβῃ τινὰς ἐγκατασμίγων.

Τράπεζα, διότι ὑπὸ τεσσάρων πεζῶν ἵσταται, πέζα γὰρ ὁ πούς, τὸ δὲ τρα διὰ τὸ τρώγειν· τράπεζα διὰ τὸ τέσσαρας πέζας ἔχειν, ἤγουν πόδας.

Τράπεζα, κατὰ ἀποβολὴν τῆς τε συλλαβῆς· ἔστι γὰρ τράπεζα ἡ τέσσαρας πέζας ἔχουσα, αἱ γὰρ τῶν παλαιῶν τράπεζαι τετράγωνοι ἦσαν.

Τράχηλος, παρὰ τὴν τῶν ὀστρέων τραχύτητα, ὀστῶδες γὰρ τὸ μέρος· ἢ παρὰ τὸ δι' αὐτοῦ τρέχειν τὴν τροφὴν, τρόχαλος καὶ τράχηλος. ἢ τράχηλος παρὰ τὸ εἶναι αὐτὸν ἐξ ὀστέων τραχηλέων, καὶ οὐ σκληρῶν.

Τραφερὰ, ἡ πεπηγυῖα γῆ, ὡς πρὸς τὴν θάλασσαν· θρέψαι γὰρ τὸ πῆξαι, Ὅμηρος, ἥμισυ μὲν θρέψαι λεύκοιο γάλακτος.

Τραυματίας, παρὰ τὸ τρῶ τρώσω, ἢ παρὰ τὸ θραύω θραύσω θραυματίας, καὶ τραυματίας. τὸ τι ἰῶτα.

Τραῦμα, παρὰ τὸ τρῶ τὸ τιτρώσκω, τρῶμα καὶ τραῦμα· ἐτυμολογεῖται δὲ, διὰ τὸ ῥέειν δι' αὐτοῦ τὸ αἷμα.

Τρανὸς, μεγάλη, παρὰ τὸ στεῤῥός· μακρὸν τὸ α· τὰ εἰς νος ὀξύτονα δισύλλαβα τῷ α παραληγόμενα [4]).

Τρανὸς, παρὰ τὸ θορῶ τὸ πηδῶ, γίνεται θρανὸς, καὶ τροπῇ τοῦ θ εἰς τ, τρανός· ἢ παρὰ τὸ τλῶ τὸ καρτερῶ τλανὸς καὶ τρανὸς, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον.

Τραπεζίτης, ὁ καταλλάκτης, διὰ τὸ τὴν τροπὴν ζητεῖν ἀεὶ καὶ οὐ τὸ ὀρθόν· διφορεῖται δὲ κατὰ τὴν γραφήν· ἐπὶ μὲν γὰρ τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου, διὰ τοῦ ἰῶτα γράφεται ἀπὸ τοῦ τράπεζα· ἐπὶ δὲ τοῦ παριστταμένου ἐν τῇ τραπέζῃ, διὰ τῆς ει διφθόγγου, ἀπὸ τοῦ τραπεζεὺς, οἷον, τραπεζείτης κύων.

Τραυλὸς, κωφοῦ διαφέρει, ὁ μὲν τραυλὸς καὶ κωφὸς πάντως, ὁ δὲ κωφὸς οὐ τραυλὸς ἐξ ἀναγκῆς γεγονώς.

Τράφεν, ἐτράφησαν, ὁ β ἀόριστος τῶν πληθυντικῶν, τρίτου προσώπου τῶν παρὰ Δωριεῦσι, καὶ Ἰωνικῶς ὥσπερ τὸ κόσμηθεν.

Τραφήσεται, κανὼν, τρέφω, ὁ μέλλων θρέψω, ὁ ἀόριστος ἔθρεψα, ὁ β ἀόριστος ἔτραφον, ὁ παθητικὸς ἐτράφην, ἐτράφης, ἐτράφη, καὶ ὁ μέλλων πρῶτος τραφήσομαι, τραφήσῃ, τραφήσεται, ὁ β ἀόριστος ἔτραφον· καὶ ὤφειλεν εἶναι ἔτρεφον· ἀλλὰ κάμτου τυχ'.. τὸ ε σὺν ἀμεταβόλου, εἰς α αὐτὸ τρέπει ὁ β ἀόριστος.

Τραχὺς, ἀπὸ μεταφορᾶς τῆς ῥάχεος, ὀστώδης ἐστί· καὶ εἰς τὸ τραγῳδία.

Τραχεία, ἀπὸ τοῦ τραχύς.

Τρεῖν, εἰς τὸ ζήτρειον.

Τρέω, τρένειν, παρὰ τὸ τρῶ τὸ φοβοῦμαι, εἰς τὸ τρήρων καὶ τρικυμία· ἢ παρὰ τὸ τρῶ τὸ καταπονῶ.

Τρήρων, ἐπὶ τῆς περιττερᾶς ἡ δειλὴ, ἡ θήλεια περιστερὰ, παρὰ τὸ τρέω τὸ φοβοῦμαι, τρέερος ὄνομα ῥηματικὸν καὶ τρήρων, κατὰ κρᾶσιν τῶν δύο εε.

Τρητῶ, τὸ τρυπῶ, καὶ τρητὸν τὸ τετρυπημένον, ἐκ τοῦ τρῶ τρήσω.

Τριάκοντα, εἰς τὸ τρὶς καὶ δέκα, ὁμοίως καὶ τεσσαράκοντα, καὶ πεντήκοντα, καὶ ἑξῆς.

Τρίαμβος, εἰς τὸ θρίαμβος.

Τριὰς, πόθεν; παρὰ τὸ ἀτελῆ αὐτὴν εἶναι.

Τρία μέτρα, σεμιδ'.. ἕκαστον μέτρον γομὸν εἶχε, τὸ δὲ γομὸν δέκατόν ἐστι τοῦ μεγάλου μέτρου τῆς ἀρτάβης, τουτ' ἔστι ξέστων ες, ἃ τοῖς ἀγγέλοις Ἀβραὰμ τὴν Σάῤῥαν ἑτοιμάζειν προσέταξεν, ἐξ ὧν μέτρων τριῶν, ἐγκρυφίου γενέσθαι ἄρτον, ἐνετείλατο.

Τριὰς, τρίτος, παρὰ τὸ ἀτήρης εἶναι, τουτ' ἔστιν ἀκαταπόνητος. οὕτω λέγεται, διὰ τὸ μὴ αὐτὴν εἰς ἴσα διαιρεῖσθαι· εἰς ἓν γὰρ καὶ δύο διαιρεῖται. οὐ γὰρ εἰς ἓν (ελ) διαιρεῖν αὐτὴν δύνατον.

Τρία κανὰ χονδριτῶν· τὰ κανὰ κανισκελλ'.. καλεῖται· ἔνθεν εἰώθασι τότε ἐν τοῖς κανοῖς ἀποτίθεσθαι τοὺς χονδρίτας· χονδρίτης δέ ἐστιν εἶδος σίτου, εἰς δύο τεμνόμενος.

1) Corr. 2) cfr. Il. VIII, 16. et Schol. ex quibus haec hausit auctor. 3) an λᾶας? 4) cf. Etym. M.

Τρίβος, ἡ ὁδὸς, ἐκ τοῦ τρίβω.

Τριβώνιον, τοῦ ῥάκους διαφέρει· ὅτι τριβώνιον μέν ἐστι τὸ ἀποβεβληκὸς τοῦ κροκιδ'.. τῆς βαφῆς ἱματ'.. παρὰ τὸ τετρῖφθαι· ῥάκος δὲ τὸ διεῤῥωγὸς, παρὰ τὸ διαιρεῖσθαι, ὡς Ὅμηρος, ἠῶθεν ῥάκεα δνοπαλίξεις [1]).

Τρίβων. τρίβωνος, ὁ κανὼν, τὰ εἰς ων ἰαμβικὰ, ἔχοντα ἐν τῇ παραληγούσῃ τὸ ἰῶτα, φυλάσσει τὸ ω καὶ ἐπὶ γενικῆς· κιτὼν κιτῶνος γυναικεῖον ἱμάτιον, χιτὼν χιτῶνος, τρίβων τρίβωνος· ἔστι δὲ διδασκαλικὴ στολή.

Τριβώνιον, ἔκαστο πάλλιον, καὶ τετριμμένον πάλλιον, ἀπὸ γὰρ τῆς τριβῆς, καὶ τοῦ τετρῖφθαι εἴρηται· τριβώνιον σημαίνει καὶ τὸ διδασκαλικὸν ἱμάτιον· καὶ εἰς τὸ χαλκοχίτων.

Τριγλώχινον, τρεῖς ἀκίδας ἔχον, τριγώνιον.

Τριγχὸς, τειχίον, περίφραγμα.

Τριττοὶ, θεουδεῖς, τρεῖς θεοειδεῖς.

Τριήραρχος, ὁ τῶν πολεμικῶν πλοίων ἄρχων.

Τριήρης, πολεμικὴ ναῦς.

Τρισμὸς, γογγυσμός.

Τρίκλινος, ὡς ἂν εἴπῃ τις τρίκλινον εἰς ὕψος, καὶ εἰς μῆκος, καὶ εἰς πλάτος.

Τρικυμία, ἡ σφοδροτάτη, καὶ δεινοτάτη τῆς θαλάσσης ταραχή· γίνεται ἐκ τοῦ τρὶς, ὃ σημαίνει τὸ πολὺ καὶ τὸ κῦμα· τὸ τρι ἰῶτα, τὸ γὰρ τρι συντιθέμενον, μετὰ τινὸς ἑτέρας λέξεως, ἀποβάλλει τὸ ε, ἐν τῇ συνθέσει· οἷον, τρισόλβιος, τρισμέγιστος, τριήμερος.

Τριπλῆ, ἐπίῤῥημα ἀριθμοῦ δηλωτικόν.

Τρισσὴ, τὸ θηλυκὸν, τὸ δὲ ἀρσενικὸν, ὁ τρισσὸς, ἐξ οὗ καὶ τὸ τρισσῶ ῥῆμα, ὁ μέλλων τρισσώσω, καὶ ὁ ἀόριστος ἐτρίσσωσα.

Τριτογένεια, ἡ Ἀθηνᾶ, ἀπὸ τοῦ ποταμοῦ, ὅπου γεννηθεῖσα ἀπελούσατο· ἢ παρὰ τὸ τρεῖν, ἡ φόβον ποιοῦσα, ἡ φοβερὰ καὶ καταπληκτικωτάτη.

Τρίχες, παρὰ τὸ τριχῶς αὐτὰς φύεσθαι· ἄλλη γὰρ ἡ θρὶξ τῆς γεννήσεως, καὶ ἄλλη τῆς ἥβης, καὶ ἄλλη τῆς πολιᾶς· ἢ παρὰ τὸ θερίζω, θερίσω, θέριξ καὶ ἐν συγκοπῇ θρὶξ, κλίνεται θρὶξ, θριχὸς καὶ τριχός.

Τριχθὰ. ἐπίῤῥημα μεσότητος· παρήχθη δὲ ἐκ τοῦ τρίχα, ὃ σημαίνει τὸ τριχῶς λαμβανόμενον· ὁ κανὼν, τὰ εἰς χα λήγοντα ἐπιῤῥήματα, ἐπὶ μεσότητος λαμβανόμενα, βαρύνεσθαι θέλουσιν· εἰ δὲ εἴη ὑπὲρ δύο συλλαβὰς, παροξύνεσθαι θέλουσιν, οἷον, δίχα, τρίχα, διάνδιχα καὶ τέτραχα, καὶ πλεονασμῷ τοῦ θ, τετραχθὰ ὀξυτόνως· τὰ εἰς χα λήγοντα ἐπιῤῥήματα ἔχοντα τὸ θ, πρὸ τοῦ χ, ὀξύνεσθαι θέλουσι.

Τροῖα, τὸ τροι διφθόγγῳ· τὰ διὰ τοῦ οια, δισύλλαβα μακροκατάληκτα, διὰ τῆς οι διφθόγγου γράφεται, καὶ βαρύνεται καὶ ὀξύνεται, οἷον, ποία, ὡς παρὰ τῷ ποιητῇ, ποίη δὲ παρείη [2])· κοία σημαίνει τὴν σφαῖραν, χρῆσις παρὰ Ἀντιμάχῳ, κοίας ἐκ χειρῶν εἰς σκόπελον μεταριπτάζουσι· Τροῖαν πόλιν· ἐπὶ δὲ ὀξυτόνων, ποιὰ, ῥοιά· τὰ δὲ ὑπὲρ δύο συλλαβὰς ἅπαντα διὰ τοῦ υ ψιλοῦ γράφεται, οἷον, σικυΐα, κωδυΐα, ὀξυΐα, ἀφυΐα.

Τρωΐην, κτητικόν· ἔστι Τρὼς, Τρωὸς, Τρωϊκὸς, καὶ ἀποβολῇ τοῦ κ, Τρωϊὸς, τοῦ τόνου ἀναδιδομένου, καὶ Ὀλυμπικὸς, Ὀλύμπιος, Τρώϊος Τρωΐα, Ἰωνικῶς, Τρωΐη, καὶ συστολῇ ποιητικῇ τοῦ ω εἰς ο, διὰ τὸ μέτρον, καὶ ἐν συναιρέσει, Τροίη καὶ Τροία· καὶ ἄλλως. Τρωΐην, κτητικὸν, ἔστι γὰρ Τροία, καὶ κατὰ διάλυσιν Τροΐα, καὶ ἐκεῖθεν Τροΐην, καὶ κατὰ τροπὴν τοῦ ο εἰς ω, Τρωΐην, ἤγουν τὴν Τροίαν.

Τροπολόγιον. διὰ τὸ τρέπειν τοὺς λόγους, οἷον. ὁ τοῦ φωτὸς χορηγὸς. ἥρμοζε γὰρ ὁ χορηγὸς τοῦ φωτός.

Τρόπος, ἦθος, γένος, ὑπόθεσις, πρόφασις, ἔργον, λόγος, νίκη καὶ ὁμοίωσις· τρέπω τρέπος καὶ τρόπος.

Τρόπις, τὸ κατώτατον μέρος τῆς νηὸς, περὶ ὃ σχίζεται τὸ κῦμα.

Τρόμος ἐκ τοῦ τρέμω, τὸ δὲ τρέμω ἐκ τοῦ τρέω, ὃ σημαίνει τὸ φοβοῦμαι, καὶ δειλιῶ καὶ φεύγω.

Τροφὴ, παρὰ τὸ τρέφω θρέψω· θρέψαι τὸ πῆξαι, ἡ πηγνύουσα τὰ σώματα, καὶ εὐσταθῆ ποιοῦσα.

Τροφαλὶς, ἐπὶ τυροῦ. παρὰ τὸ τρέφω τὸ πήσσω, ἥμισυ μὲν θρέψαι λευκοῖο γάλακτος· καὶ ὡς λέπω λεπὶς, κρέκω κρεκὶς καὶ κερκὶς. κατὰ μετάθεσιν τοῦ ρ, ἔλπω ἐλπὶς, οὕτω τρέφω τρεφὶς καὶ πάλιν μεταθέσει τοῦ α λ. τρεφαλὶς, τροπῇ τοῦ ε εἰς ο τροφαλίς· ὡς παρὰ τὸ λέγω λόγος, φέρω φόρος, τρέφω τρόφος.

Τροφὸς, ἡ τιτθής.

Τρυφὴ, παρὰ τὸ θρύπτω, τὸ διακλῶ, θρυπτὴ καὶ τρυφὴ. ἡ διακλῶσα, καὶ ἀφανίζουσα ἡμῶν τὸ σῶμα. καὶ Ὅμηρος· τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός [3]).

Τρυγίας, ἔστι τρῶ καὶ ἐκ τούτου γίνεται τρύω, καὶ ἐκ τούτου τρύγω, οὗ ὁ μέλλων τρύξω, ὁ παρακείμενος τέτρυγα, καὶ ἐξ αὐτοῦ τρυγή· ἢ ἐκ τοῦ τρυγῶ τρυγᾷς, τρυγίας τρυγίου, καὶ τὸ θηλυκὸν τρυγία, ἢ ἐκ τοῦ τρύγους ὕλη· ἐκ δὲ τοῦ τρυγῶ τρυγητὸς, καὶ τὸ τρύγος τρύγη· τρυγὴ καὶ ἡ ἀμόργη.

Τρυγὼν, διὰ τὸ γένος, ἢ τὴν γονὴν τηρεῖν.

Τρόπαιον, ἡ νίκη.

Τροπὸς, ὁ τροπωτὴρ τῆς κώπης, παρὰ τὸ τρέπειν ὅπου δεῖ τὴν κώπην, τρέπω τροπός, ὡς πέμπω πομπός.

Τρυφαλείη, φαλοὺς ἐχούσῃ τρεῖς· φαλοὶ δέ εἰσιν, οἱ κατὰ μέτωπον τῆς περικεφαλαίας χρύσεοι ἧλοι, ἢ ἀστέρισκοι.

Τρυβλίον, τὴν μὲν πλάσιν ὀξυβάφιον, ἤγουν πάροψις. χωρεῖ δὲ ξέστου τὸ ἥμισυ.

Τρύζεται, πολυλογεῖται, γογγύζεται, ἀπὸ τῆς τρυγόνος ἡ μεταφορά.

Τρυγὼν, τηριγών τις οὖσα, ὅτι τηρεῖ τὸ οἰκεῖον γένος, μὴ διγαμοῦσα ποτέ· ἢ διὰ τὸ τρία ὠὰ γεννᾶν τὸν χρόνον. ἢ διὰ τὸ τηρεῖν τὴν γονήν.

Τρυφάλεια, κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οἱ δύο καὶ τρεῖς μὴ μετὰ δεκάτου ἀριθμοῦ συντιθέμενοι εἰς τὰ ἐπιῤῥήματα τοῦ δὶς καὶ τρὶς μεταλαμβάνονται· οἷον, διπρόσωπος, ὁ δύο πρόσωπα ἔχων, καὶ τρίπους ὁ τρεῖς πόδας ἔχων· οὕτως οὖν καὶ τρυφάλεια, ἡ τρεῖς φαλοὺς ἔχουσα λαμπρούς· τριφάλεια οὖν, καὶ κατὰ τροπὴν τοῦ ἰῶτα εἰς υ, τρυφάλεια· φαλὸν γὰρ τὸ λαμπρόν· καὶ εἰς τὸ ἀσύφαλον.

Τρύχινος, παρὰ τὸ τρῶ, τὸ καταπονῶ. κατὰ παραγωγὴν τρύω, καὶ πλεονασμῷ τοῦ χ, ὄνομα τρύχος, καὶ ἐξ αὐτοῦ τρύχιος, καὶ τρύχινον ἱμάτιον· καὶ εἰς τὸ τρύχα.

Τρώγλη, ἡ τρύπα, παρὰ τὸ τρώγω τρώξω, τρώγλη τὸ διαβεβρωμένον μέρος τοῦ τείχους καὶ τετρημένον.

Τρώξιμον, διὰ τὸ τρώγεσθαι ἐξ ὀσμῆς, ἔστιν εἶδος λαχάνου ποταμ'..

Τρὼς, διάτι ὀξύνεται; τὰ εἰς ως λήγοντα μονοσύλλαβα ἀρσενικὰ ὀξύνεται, εἰ μὴ ἐκ συναλοιφῆς εἴη, ἢ ἐκ μεταθέσεως· ἐκ συναλοιφῆς μὲν, ὡς σάος σῶς, ἐκ

---

1) Od. XIV, 512. 2) Od. XVIII, 369. 3) Il. III, 363.

μεταθέσεως δὲ ὅτι Δωριεῖς καὶ Ἴωνες τὸ οις ως λέγουσι· κλίνεται Τρώος, ὁ κανὼν, τὰ εἰς ως οξύτονα μονοσύλλαβα. εἰ μὲν ἔχουσι σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, διὰ καθαροῦ τοῦ ος, κλίνεται, οἷον, θῶς θωὸς, τὸ θηρίον, δμὼς, δμωὸς, ὁ δοῦλος, εἰ δὲ μὴ, διὰ τοῦ τ. Φῶς Φωτὸς, ὁ ἀνήρ, πλὼς πλωτὸς, ὁ ἰχθὺς, χρὼς χρωτὸς, ὃ σημαίνει τὸ σῶμα.

Τρὼς, ὄνομα σημαίνει δύο, ὄνομα κύριον καὶ τὸ ἐθνικόν· καὶ τὸ μὲν κύριον· Τρωὶ δ' αὖ τρεῖς παῖδες ἀμύμονες παρεξεγένοντο. τὸ δὲ ἐθνικὸν Τρῶες καὶ Λύκιοι. καὶ τί διαφέρει τὸ κύριον τοῦ προσηγορικοῦ; διαφέρει, ὅτι τὸ μὲν κύριον ὄνομα, οὐδέποτε παρὰ τῷ ποιητῇ ἐν πληθυντικῇ φωνῇ παραλαμβάνεται, ἀλλὰ μᾶλλον ἑνικῇ, οἷον, Τρωὶ παρ' εὐρύοπα Ζεύς· πάλιν δὲ ἐκ τοῦ ἐναντίου, τὸ ἐθνικὸν πάντοτε ἐν πληθυντικῇ φωνῇ παραλαμβάνεται, καὶ οὐχ ἑνικῶς, οἷον, Τρῶες ὑπέρθυμοι· καὶ εἰς τὸ αἴξ.

Τρωσὶ, διατί ὀξύνεται; πᾶσα δοτικὴ πληθυντικὴ εἰς ἰῶτα λήγουσα δισύλλαβος, ἐπὶ ὀνομάτων ὀξύνεσθαι θέλει, πλὴν τοῦ ἐν πᾶσι καὶ τοῦ ἐν σπέσσι γλαφυροῖσι [1], ὅπερ ἀπὸ σπέεσσι γίνεται κατ' ἀποκοπήν· τὸ γὰρ τισὶ καὶ τίσι, πρὸς διάφορον σημασίαν ἔχει καὶ τὸν τόνον· πευστικὸν γὰρ ὂν καὶ βαρύνεται· ἐπὶ δὲ μετοχῆς ὀξύνεσθαι θέλουσι.

Τύραννος, ἤτοι ἀπὸ Τυῤῥήνων, ὠμοὶ γὰρ οὗτοι· ἢ ἀπὸ Γύγου, ὅς ἐστιν ἀπὸ Τύῤῥας πόλεως Λυκιακῆς τυραννίσαντος ἐν αὐτῇ, πρῶτον· οὕτως εὗρον ἐν ὑπομνήματι Ἀρχίλου.

Τρῶ. σημαίνει πέντε· τρῶ τὸ τρήσω, τρῶ τὸ βλάπτω, τρῶ τὸ φοβοῦμαι, τρῶ τὸ καταπονῶ, καὶ τρῶ τὸ κατακόπτω.

Τύμβος, μνημεῖον, παρὰ τὸ τίθεσθαι, ἢ τύφεσθαι ἐκεῖ τὸ νεκρὸν σῶμα, ὅ ἐστι καίεσθαι.

Τύφος, παρὰ τὸ τύφεσθαι ἐκεῖ τὸν νέκυν.

Τύμπανον, παρὰ τὸ τύπτω, τέτυμμαι, τύπτανον. καὶ κατὰ συγκοπὴν τοῦ τ, καὶ πλεονασμῷ τοῦ μ, τύμπανον· ὡς παρὰ τὸ τήκω τήκανον, καὶ τήγανον, τὸ τήκον τοὺς ἰχθυάς· οὕτω καὶ τυμπανίστρα. σημαίνει δὲ δύο, τὸ δέρμα καὶ τὸ σῶμα τὸ ἀνθρώπινον· ὡς τὸ, οὗτοι ἐτυμπανίσθησαν.

Τύπος, παρὰ τὸ τύπτω γέγονε τύπος ὥσπερ εἰς τὸ βουλλωτήριον τυπτόμενος ὁ μόλυβδος εἰκόνα ἀποτελεῖ. οὕτω καὶ ὁ τύπος, εἰκόνισμα ἀποτελεῖ.

Τουτέστιν, ὑπάρχει, σύνδεσμος διασαφητικὸς, ὡς ὁ ἤγουν.

Τυραννὶς, βασιλείας διαφέρει, καὶ τύραννος βασιλέως· βασιλεία μὲν γάρ ἐστι κατὰ νόμους ἄρχουσα ἐξουσία τίς· τυραννὶς δὲ ἡ ἄλογος ἐξουσία, αὐτονομίᾳ χρωμένη· βασιλεύς ἐστιν ὁ κατὰ νόμους δικαίους ἄρχων· τύραννος δὲ, ὁ μήτε δικαίως ἄρχων, μήτε νομίμως, ἀλλὰ καὶ τοὺς νόμους ἐκπατῶν.

Τύραννος, ἀπὸ τυράννου τινὸς, πρώτου κακῶς διακειμένου, ἀπὸ Τύρου τῆς πόλεως· σημαίνει δὲ δύο, τὸν βασιλέα καὶ τὸν ἄνθρωπον τύραννον.

Τύρος, πόλις ὠνόμασται, ἀπὸ τοῦ Τυρὼ ὀνόματος γυναικὸς τοῦ Ἀγήνορος βασιλεύσαντος ἐν αὐτῇ.

Τύφρηστος, πόλις ἐν τοῖς ἐσχάτοις, ὑπὸ Τυφρήστου βασιλέως.

Τυφλὸς, σημαίνει τὸν ἐστερημένον τῶν ὀμμάτων· τυφλὸς δὲ κυρίως ὁ ἐκγεννητὴς, ἤγουν μετὰ τὸ γεννηθῆναι αὐτὸν τυφλωθείς· παρὰ τὸ ἀπολωλεκέναι τὸ φῶς· ἢ παρὰ τὸ τοὺς τύπους τῶν ἄλλων ἔχειν, τῶν ὀφθαλμῶν, ἢ παρὰ τὸ τοὺς τύπους τοῦ φωτὸς ἔχειν.

Τυφλὸς, πηρὸς, ἀνάπηρος διαφέρει· τυφλὸς ὁ ἐκγεννητής· πηρὸς δὲ ὁ μετὰ τὸ γεννηθῆναι αὐτὸν τυφλωθεὶς, ἀνάπηρος ὁ ἐν νοσήματι τυφλωθείς.

Τύφρηστος, πόλις ἐν ταῖς ἐσχάτοις τῆς Μαιναλίας, ἀπὸ τοῦ Τυφρήστου βασιλέως τοῦ σπαιλίου· ἢ τυφρηστός τις οὖσα ἀπὸ τοῦ Ἡρακλέως τύφρας.

Τύφος, ἡ περιφάνεια, ἀλαζονεία καὶ κενοδοξία.

Τύψον, παῖσον, δάμασον.

Τύχην, τὸ χρεὼν εἰρῆσθαι, τὸ ἐπιβάλλον καὶ καθῆκον κατὰ τὴν εἱμαρμένην· σημαίνει καὶ τιμήν· τύχην τῶν μέσων ὀνομάτων· μέσα δὲ ὅσα ἐπὶ καλοῦ καὶ κακοῦ· τύχη δὲ εἰς τάξεις διαιρεῖται τρεῖς, ἐλευθέρων, ἀπελευθέρων καὶ δούλων, καὶ εἰς ἀξιώματα τρία, βασιλέων, ἀρχόντων καὶ στρατιωτῶν.

Τῷ, τινὶ, ἀπὸ τοῦ τὶς ὀνόματος ἀορίστου γίνεται, ἡ γενικὴ τινὸς καὶ ἐκβολῇ τοῦ ν, τιὸς καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, ὡς ὁ Καππάδοξ, τοῦ Καππάδοκος, ὁ Καππαδόκης, τοῦ Καππαδόκου, οὕτω τὶς τινὸς, τιὸς, τιοῦ καὶ Ἀττικῶς τέως, ὡς ναὸς νεὼς, οὕτω τέως ἡ γενικὴ τέῳ καὶ κράσει τῷ. Ὅμηρος οὔτε σοι οὔτε τῷ ἄλλῳ, ἀντὶ τοῦ ἄλλῳ τινί· καὶ εἰς τὸ ἧττον καὶ τέο.

Τωθάζω, σημαίνει τὸ ἐμπαίζω, καὶ ἀπατῶ ἐκ τοῦ θὼψ, ὃ σημαίνει τὸν σκώληκα γίνεται θωπάζω, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ψιλοῦ, καὶ μεταθέσει τοῦ θ εἰς τ, γίνεται τωθάζω [2].

Τῶμοι, ἄρθρον ὑποτακτικὸν, ἀντὶ τοῦ προτακτικοῦ· παροξύνεται. οἱ γὰρ Αἰολεῖς τὰ προστακτικὰ ἀντὶ ὑποτακτικῶν χρῶνται.

Τῶτοι, οἱ ποιηταὶ ἀντὶ τοῦ τότε.

Τῶμοι, τούτῳ.

Τὼς, δέος, ἀπεχθές. ἐπίῤῥημα μεσότητος· γίνεται δὲ ἀφαιρέσει ἐκ τοῦ οὕτω.

Τέλος τοῦ Τ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Υ ΣΤΟΙΧΕΙΟΥ.

Υἷα, ἐστὶν ἡ εὐθεῖα υἷς υἷος. καὶ ἡ αἰτιατικὴ υἷα, καὶ κράσει υἷα, ἡ εὐθεῖα υἷς διατί οὐ συναιρεῖται; διότι οὐδέποτε τῇ οι διφθόγγῳ. τῇ διὰ τοῦ υ ψιλοῦ γραφομένῃ, ἐπιφέρεται σύμφωνον· τούτου χάριν ἐστὶν ἀσυναίρετος· ἡ γενικὴ υἷος, καὶ κατὰ κρᾶσιν υἷος· καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ γίνεται υἱός· αἱ δὲ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν, πολλάκις ἀμείβουσι τοὺς τόνους, οἷον, λάας λάαος λαός, υἷς υἷος υἱός.

Ὕαλη, ὁ ὕαλος, παρὰ τὸ ὕειν ἐσχημάτισται, καθ' ὁμοιότητα τῆς γινομένης συστάσεως, καὶ πήξεως τοῦ ὕδατος, ὑάλῳ ὁμοίας.

Ὑάδες, οἱ ἐπὶ τῶν κεράτων τοῦ ταύρου ἀστέρες, παρὰ τὸ ὕω τὸ βρέχω, ὑετοῦ γὰρ παρασκευαστικαί εἰσι δύνουσαι.

---

1) Od. II, 15. 2) Male.

Ὑάδες, αἱ ὑάδες τὸ πρόσωπον τοῦ ταύρου ἔχουσιν, ὡς ἐπιπλατυνόμενον ἐπὶ τοῦ μετώπου, λεπτυνόμενον δὲ ἐξ ἀμφοτέρων τῶν μερῶν ἐπὶ τὰ κάτω, ὥσπερ τὸ γράμμα ἐστίν.

Ὑδρία, κυρίως τὸ ὕδωρ, εὔθετον ἀγγεῖον· ὑδρεία ἡ ὕδρευσις.

Ὑδρεία, ἐπὶ ὑδρεύσεως διφθόγγου· ἐπὶ δὲ τοῦ ἀγγείου ἰῶτα.

Ὕδρα, τὸ θηρίον.

Ὑδροχόος, ζώδιον.

Ὑετοῖο, ἀπὸ τοῦ ὕω, τὸ βρέχω, ὑετὸς, ἡ γενικὴ ὑετοῦ καὶ κατὰ Αἰολεῖς ὑετοῖο.

Ὑὸς, σημαίνει τὸν χοῖρον· γίνεται παρὰ τὸ ὕω τὸ βρέχω, φιλεῖ γὰρ τὸ ζῶον ἐν βορβόρῳ κυλίεσθαι· ὗς ὑὸς, ὁ κανὼν, τὰ εἰς υς μονοσύλλαβα μακροκατάληκτα διὰ τοῦ ος κλίνονται.

Υἷας, ὄνομα, αἰτιατικῆς τῶν πληθυντικῶν, ἡ εὐθεῖα ὑῖς· καὶ τὸ συναιρούμενον; οὐ συναιρεῖται· διάτι; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, οὐδέποτε τῇ υι διφθόγγῳ, τῇ μετὰ τοῦ υ, καὶ ἰῶτα προσγεγραμμένου, σύμφωνον ἐπάγεται, διὰ τοῦτο οὐ συναιρεῖται· ἡ γενικὴ ὑῖος, καὶ συναιρέσει υἷος· ἡ εὐθεῖα τῶν πληθυντικῶν υἷες Ἀχαίων, καὶ αἰτιατικὴ υἷας, υἷας συνελκύσει τε τῇ βαπτίσει· λοιπὸν ὡς κῆρυξ κήρυκος, καὶ κήρυκος κηρύκου, οὕτως ἀπὸ τῆς γενικῆς γίνεται υἱός· παρὰ τὸ φύω τὸ γεννῶ φυὸς καὶ υἱός.

Ὕβρις, ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας αἰκία, παρὰ τὸ ὑφαίρω ὕφρις, ὡς χαίρω χάρις, καὶ τροπῇ τοῦ φ εἰς β, ὕβρις, οἷον, ὑπόβαρίς τις οὖσα.

Ὕβρισις, ἡ ὕβρις, ὡς Φρύγες Φρύγες, καὶ Φερενίκη Βερενίκη.

Ὑγιεινῶς, ὑγιῶς.

Ὑγίεια, ἡ εὐεξία, τετρασυλλάβως, ὡς καὶ ἐν τῷ κωμῳδίᾳ, αὗται γὰρ ἐπιθυμοῦσι ὑγιείας φαγεῖν.

Ὑγιὴς, ὁ ἐν ὑγρῷ ὢν καὶ ζῶν, οἱονεὶ ὑγριὴς, καὶ ἀποβολῇ τοῦ ρ, ὑγιὴς ὅθεν καὶ δίερος ὁ ζῶν, καὶ ἀλίβας ὁ νεκρός· οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς· ἢ παρὰ τὸ εὖ εἶναι· ἢ παρὰ τὸ εὐραίνεσθαι ἤγουν εὐφραίνεσθαι· ἰστέον ὅτι τὰ εἰς ης καθαρὰ ὀνόματα ὀξύτονα, τῷ ἰῶτα παραληγόμενα δύο εἰσὶν, ἃ καὶ εἰς ους ἔχει τὴν γενικὴν, τὸ χαρίης, ἐξ οὗ καὶ χαριέστερος, καὶ ὑγίης, ἐξ οὗ καὶ ὑγιέστερος συγκριτικῶς.

Ὑγρὸν, οἱονεὶ ὑδρὸν, ἢ παρὰ τὸ ὕω τὸ βρέχω, ὑρὸν, καὶ ὑγρόν πλεονασμῷ τοῦ γ.

Ὑετὸς, ἀπὸ τοῦ ὕω τὸ βρέχω, ἡ γενικὴ ὑετοῦ, κατὰ δὲ Αἰολεῖς ὑετοῖο.

Ὑγρὸν ἔλαιον, διὰ τὸ μὴ πήγνυσθαι, ὅτι πολὺ ἔχει τὸ θερμόν· γίνεται ὑγρὸν, ὕδωρ τὶ ὂν, οἷον ἔνυδρον· ἢ παρὰ τὸ ὕω τὸ βρέχω, ὕσω, ὑρὸν, καὶ πλεονασμῷ τοῦ γ, ὑγρόν.

Ὑγρὸν ἔλαιον, οὐ τὸ τῇ φύσει ὑγρὸν ἀλλὰ τὸ ὑγροποιὸν, ὡς τὸ χλωρὸν δέος· ἢ τὸ χαρακτηριστικὸν τῶν σωμάτων· ἢ τὸ ἐν ὑγρότητι διατηροῦν, καὶ μὴ συγχωροῦν κληρχίνεσθαι· ἢ ὅτι ἀποκρυσταλλοῦται τὸ ἔλαιον, πολὺ ἔχον ἐν ἑαυτῷ τὸ ὑγρόν.

Ὕδειν, σημαίνει τὸ ὑμνεῖν· ἔστι παρὰ τὸ ὑμνῶ, ἀποβολῇ τοῦ ν, ὑμῶ, καὶ τροπῇ τοῦ μ εἰς δ, ὕδω, κατ' ἀναβιβασμὸν τοῦ τόνου, καὶ ὕδεις, καὶ ὕδει, καὶ τὸ ἀπαρέμφατον ὕδειν· ὕδειν ἔοικε τὴν Φερέζωον κόρην.

Ὕδος, τὸ ὕδωρ, καὶ ἡ δοτικὴ τῷ ὕδει.

Ὕδωρ, παρὰ τὸ ὕω τὸ βρέχω ὕωρ, καὶ πλεονασμῷ τοῦ δ, ὕδωρ, ὁ Ποσειδῶν.

Ὑελὸς, ἐκ μεταφορᾶς τῆς ὕλης.

Ὑὲς, οἱ χοῖροι.

Ὑλὴ, πόλις Βοιωτίας.

Ὕλη, παρὰ τὴν ὕλην, ἡ δὲ ὕλη παρὰ τὸ ὕεσθαι, ὅ ἐστι βρέχεσθαι· λέγεται δὲ τὸ λεπτότατον δέρμα, ἢ διὰ τοῦ ὑγροῦ αὐξανομένη, καὶ εἰς τὸ ἄϋλος, καὶ ἰλύς.

Ὑλομανούντων, μεμηνότων, παρὰ τὴν ὕλην· ἢ τῇ ὕλῃ χαιρόντων.

Ὑλακὴ, κυρίως ἡ φωνὴ τῶν κυνῶν.

Ὑμέναιος, γαμικὸς ὕμνος, παρὰ τὸ ὁμοῦ ναίειν· οἱ δὲ παρὰ τὸ ὕμνος, ὅθεν καὶ ὑμεναιῶ, δευτέρας συζυγίας, ὑμεναιώσουσι κάρας. καὶ τὸ λεπτότατον δέρμα, καὶ τὸ διαφανὲς, καὶ τὸ τοῖς γαμοῦσιν ἐπαδόμενον, ἤγουν ἐπαυλούμενον ἀπὸ ἡμι[θ]. . παιδός· ἢ ἀπὸ τοῦ ὁμοῦ ναίειν.

Ὑδροποτεῖν, ἐκ τοῦ ὕδωρ, ὕδωρ ποτεῖν, καὶ κατὰ συγκοπὴν ὑδροποτεῖν.

Ὑδρηλὸς, ὁ ὑγρὸς, γίνεται παρὰ τὸ ὑδληρὸς, μεταθέσει τοῦ λ καὶ ρ.

Ὑμὴν, ὑφή τίς ἐστι, ἀπὸ τοῦ ὡς ὕφασμα εἶναι, λεπτὸν ὄντα· ἔστι δὲ τὸ δέρμα ἢ τζίμπα, ἡ τὸν μυελὸν τῆς κεφαλῆς συνέχουσα· οὕτως Ἡρακλείδης.

Ὑμήττιον, μέλι, τὸ εὔχρηστον πρὸς ἰατρείαν· Ὑμηττὸς γάρ ἐστι τόπος τῆς Ἀττικῆς, περὶ τὰς Ἀθήνας, ἐν ᾧ λέγεται εὔχρηστον μέλι γενέσθαι.

Ὑμῖν, ἀντωνυμία πρωτότυπος, δευτέρου προσώπου, πτώσεως δοτικῆς τῶν πληθυντικῶν· ἡνίκα ἐγκλίνονται ταῦτα τὰ περισπώμενα ἀναβιβάζουσι τοὺς τόνους, ὕμιν καὶ ἧμιν· τοῦτο δὲ ὑμῖν μακρὸν ἔχει τὸ υ φύσει.

Ὕννις, ὁ σίδηρος· γέγονε δὲ ἀπὸ τοῦ ὀδύνη· ὁ δὲ Ἀπίων φησὶ, ἀπὸ τοῦ ὑὸς τοῦ χοίρου γέγονε τὸ ὕννις· πρῶτον γὰρ ὁ χοῖρος ἐπενόησε τῷ ῥύγχει διασχίζειν τὴν γῆν· ὕννις γὰρ τὸ λεγόμενον παρ' ἡμῖν ὕννιν· ἔστι ῥῆμα δύω, πλεονασμῷ τοῦ ν, δύνω, τὸ σημαῖνον τὸ ὑπεισέρχομαι, ἐκ τούτου ὄνομα ῥηματικὸν δύνις ἀπὸ τοῦ εἰσέρχεσθαι εἰς τὴν γῆν· καὶ κατ' ἔλλειψιν τοῦ δ, ὕννις.

Ὕμνος, παρὰ τὸ ὑμένω τὸ ὑπομένω, ὑπόμονός τις ὤν, καὶ ἐν συγκοπῇ ὕμνος, καθὸ εἰς ὑπομονὴν καὶ πράξιν ἄγειν, τὰς τῶν ἐπαίνων ἀκοὰς, καὶ ἀρετάς· ἢ παρὰ τὸ ὑμέναιος, ὃ σημαίνει τὸν ἐπιθαλάμιον ὕμνον.

Ὕμνος, ἐγκωμίου διαφέρει, καθὸ ὁ μὲν ὕμνος ἐπὶ θεοῦ λέγεται· τὸ δὲ ἐγκώμιον ἐπὶ ἀνθρώπου.

Ὑμεδαπῶν, ὑμετέρων, τῶν ἐκ τοῦ αὐτοῦ ἐδάφους συγγενῶν, ἢ τῆς αὐτῆς χώρας.

Ὕμνος, ἔστιν ὁ μετὰ προσκυνήσεως καὶ εὐχῆς κεκραμένης ἐπαινῶ λόγος εἰς θεόν· σημαίνει καὶ ἐπιθαλάμιον ᾆσμα. ἔστι δὲ συνώνυμον.

Υἱὸς, παρὰ τὸ ὕω τὸ βρέχω, ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς ὢν εὐφρασία.

Υἱὸς, ὄνομα ἁπλοῦν ῥηματικόν· ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; τῶν ὡς πρός τι. καὶ πρός τινα ἔχει ὁ υἱός; πρὸς τὸν πατέρα· πόθεν γίνεται; παρὰ τὸ ὕω τὸ βρέχω, καὶ τὰ λοιπά. ἢ παρὰ τὸ ὑῖς ὑῖος υἱός· καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ ὀξύνεται. αἱ γὰρ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν πολλάκις ἀμείβουσι τοὺς τόνους. πόσας εὐθείας ἀποδέχεται ἡ κλίσις; τρεῖς· υἱὸς, υἱοῦ, υἱεὺς υἱέως, ὑῖς ὑῖος.

Ὕλη, ὁ δρυμώδης, καὶ ὁ σύνδενδρος τόπος, ἡ δι' ὑγρὰς αὐξανομένη, ἡ ἐπισώρευσις τῶν ξύλων, ἢ βόρβορος, ἢ βαθρ'. . λέγεται ὕλη κυρίως, ἡ κρᾶσις τῶν τεσσάρων στοιχείων, ἤγουν γῆ, ὕδωρ, ἀὴρ, πῦρ· ὑλικὰ δὲ τὰ

ἐκ τούτων σύνθετα, λίθος, φυτὰ, ἔμψυχον σῶμα, ὕλη δὲ προσαγορεύεται, διὰ τὸ ὑποκεῖσθαι εἰς γένεσιν τῶν ἐξ αὐτοῦ.

Ὑπαγωγή. ἀπάτη, ἀναχώρησις, δίωξις, ὑποχώρησις· γέγονε δὲ παρὰ τὸ ἄγω· συντάσσεται δὲ μετὰ αἰτιατικῆς.

Ὑπάγειν, τοῦ πορεύεσθαι διαφέρει· πορεύεσθαι μέν ἐστι τὸ βαίνειν. ὑπάγειν δὲ τὸ ὑπὸ ζυγὸν ἄγειν βοῦν, ἢ ἵππον, ἢ ἄλλό τι· ὡς Ὅμηρος, οἱ δὲ βοηθοῦντες ταύτῃ τῇ λέξει φασὶν ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν εἰς ὑπογραμμὸν ἡγητήν, ἀντὶ τοῦ προηγεῖσθαι, ὡς φησὶν Ἀριστοφάνης ὁ κωμικός· σὺ δ' ὑπάγεις τὸν ὅρκον, ἀντὶ τοῦ ὑπάγῃς· κέχρηται αὐτῇ τῇ λέξει Εὔπολις, ἐμβατοὺς λέγων, σὺ δ' ὑπάγεις εἰς τὸ ἔμπροσθεν.

Ὕπαιθρον, ἐκ τοῦ αἴθω τὸ καίω· ἐξ οὗ καὶ ὁ ἄοικος ἄνθρωπος, ὁ μὴ ἔχων οἰκίαν.

Ὑπαντίζει, ὑπαντᾷ, ἀντὶ τοῦ παρατάσσεται.

Ὑπαθλοθέτῃ, ἀγωνοθέτῃ, κριτῇ.

Ὑπαχθέντες, ὑποβληθέντες, ὑποσυρέντες, ἀπατηθέντες.

Ὑπαρέχοντι, ἐξουσιάζοντι.

Ὕπαρ. παρὰ ἐγρηγορέναι, ἀληθὴς ὀπτασία, οὐκ ἐν ὀνείρῳ, ἀπὸ τοῦ ὦ ῥήματος ὃ σημαίνει τὸ ὑπάρχω, ἀφ' οὗ ὄναρ, ὡς θένω θέναρ, ἔδω ἔδαρ καὶ εἶδαρ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑπόοναρ καὶ κατ' ἐναλλαγὴν ὕπαρ, οὐκ ὄναρ φαινόμενον.

Ὕπαρ. ὀνείρατος διαφέρει καὶ ὀνείρου· ὕπαρ γάρ ἐστιν ὅραμα, καὶ ἐναργὴς ὄψις· ὄνειρος καὶ ὄναρ, ἡ ἐν τῷ καθεύδειν φαντασία.

Ὕπαρχος, ὁ πολύαρχος· μετετέθη δὲ τὸ ὄνομα ἀπὸ τοῦ ἱππάρχου, καὶ ἔπαρχος λεγόμενος.

Ὑπείρεχον, ἔστι ῥῆμα ἔχω, ὁ παρατατικὸς εἶχον συσταλτικῶς, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑπέρεχον, καὶ πλεονασμῷ τοῦ ι, ὑπείρεχον· ὤφειλε δὲ ἐν τῷ τέλει πλεονασμὸς εἶναι, ἵν' ᾖ, ὑπερίεχον, ἐπειδὴ αἱ προθέσεις ἐν τῷ τέλει πλεονάζουσι τὸ ἰῶτα, ὡς ἐν τῷ ἐν ἐνὶ πρὸς προσὶ, οὕτω καὶ ὑπερίεχον ὤφειλεν εἶναι· ἀλλ' ἐπειδὴ παρέπεται ταῖς προθέσεσι τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι τούτου χάριν οὐ πλεονάζεται, ἵνα μὴ εὑρεθῇ τρισύλλαβος ἡ πρόθεσις. διάτι ἀναβιβάζει τὸν τόνον; πᾶς παρῳχημένος χρόνος, τὸν προσγινόμενον αὐτῷ χρόνον ἀποβάλλων ἐν τῇ συνθέσει προπαροξύνεται, οἷον, εἶχον κάτεχον.

Ὑπεμνήμυκε, ἔστι ῥῆμα ἠμύω, ὅ ἐστι τὸ ἐπικλίνω καὶ καταπίπτω, ὁ παρακείμενος ἤμυκα, ὁ Ἀττικὸς ὤφειλεν εἶναι ἠμήμυκα, ἀλλ' ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος, ἀπὸ βραχείας ἄρχεται, τούτου χάριν συνεστάλη τὸ η εἰς ε, καὶ ἐγένετο ἐμήμυκα, καὶ πλεονασμῷ τοῦ ν, διὰ χρείαν ποιητικὴν ὑπεμνήμυκα, καὶ τὸ τρίτον ὑπεμνήμυκε.

Ὑπενόστησαν, ὑπεχάλασαν.

Ὑπεμφήνειε, δηλώσειε, τὸ θέμα ἐμφαίνω, ὁ μέλλων ἐμφανῶ, ὁ ἀόριστος ἐνέφανα, καὶ κατὰ Ἀττικὴν τροπὴν τοῦ α εἰς η, ἐνέφηνα, καὶ τὸ εὐκτικὸν αὐτοῦ ἐμφήναιμι· καὶ οἱ Αἰολεῖς τὰ εὐκτικὰ τοῦ ἀορίστου διὰ τοῦ εια προσφέρουσι, τύψαιμι, τύψειας, τύψειε, ἐμφήνειας ἐμφήνειε, καὶ μετὰ τῆς ὑπὸ προθέσεως, ὑπεμφήνειε καὶ τὰ λοιπὰ δῆλα.

Ὕπατος, σημαίνει ἡ λέξις τὸν ὑπερέχοντα· εἴρηται παρὰ τὴν ὑπὸ πρόθεσιν, δηλοῦσαν τὸ ὑπεράνω, ὑπότατος. ὡς ὑπότερος, ὁ κακότερος, συγκοπῇ ὕπατος ὁ ὑπέρτατος. καὶ ὑψηλός· σημαίνει δὲ καὶ τὸ κατώτατον, ὥσπερ ὁ Ἀπολλώνιος· αὐτὰρ ὁ τοῖσι μάλα μόγις ἐξ ὑπάτοιο στήθεος ἀποπνεύσαν, ἀντὶ τοῦ βαθυτάτου καὶ κατωτάτου.

Ὑπεράγονται, ὑπερθαυμάζουσιν, ἢ φθονοῦσι· τὸ γὰρ ἀγῶ οὐ μόνον τὸ θαυμάζω δηλοῖ, ἀλλὰ καὶ τὸ φθονῶ, Ὅμηρος· ὡς δ' αὖ νῦν μοι ἄγασθε θεοὶ βροτὸν ἄνδρα παρεῖναι [1]) ἀντὶ τοῦ φθονεῖν· ἄγα οὖν τὸ θαυμάζω, καὶ ἐκπλήττομαι, ἀπὸ τοῦ χαίρειν, ἢ ἀπὸ τοῦ ἄγη· ὅπερ ἐστὶν ἀπὸ τοῦ ἄκη, ἐκ τῆς παρεπομένης ἀφωνίας τῇ ἐκπλήξει.

Ὑπερασπιστὴς, βοηθὸς, ἐκ τῆς ὑπὲρ προθέσεως, καὶ τοῦ σπίζω τὸ ἐκτείνω, καὶ μετὰ τοῦ στερημένου α, ἀσπίζω τὸ ἐκτείνω, ἐξ οὗ καὶ ἀσπὶς, τοῦτο παρὰ τὸ σπῶ, σπὶς καὶ ἀσπὶς ἡ κυκλοτέρα οὖσα.

Ὑπερβασία, ἡ παραβασία, καὶ ἡ ἀδικία, καὶ τὸ ὑπὲρ τὸ δίκαιον πράττειν τί· γίνεται δὲ βίβημι βήσω, ὁ παρακείμενος βέβηκα, ὁ παθητικὸς βέβημαι, βέβασαι, βασία καὶ ὑπερβασία· τὸ σι ἰῶτα διατί; τὰ διὰ τοῦ ια, θηλυκὰ μονογενῆ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τοῦ ἰῶτα γράφεται· οἷον, γερουσία, ἐκκλησία, πανδαισία· οὕτως οὖν καὶ ὑπερβασία.

Ὑπερήφανος, ἐκ τῆς ὑπὲρ προθέσεως, καὶ τοῦ φῶ τὸ φαίνω, ὑπέρφανός τις ὢν καὶ ὑπερήφανος, ὁ ὑπεράνω πάντων φαινόμενος.

Ὑπερθετικὸν, εἰς τὸ ἑκουσίως καὶ πρωτίστῳ.

Ὑπέρμορα, παρὰ τὸ πρεπὸν, ὑπὲρ τὸ δέον, παρὰ τὸ εἱμαρμένον· ἐπίῤῥημα μεσότητος· φύσει ἐστὶν ἢ θέσει; θέσει. τὰ εἰς α λήγοντα οὐδέτερα, εἰ μὲν μετὰ ὀνόματος συντίθενται, ὀνόματά εἰσιν, οἷον, καλὰ γράμματα, καλὰ περιβόλαια· εἰ δὲ μετὰ ῥήματος συνταχῇ ἐπίῤῥημά ἐστιν, οἷον, καλὰ γράφει, ἀντὶ τοῦ καλῶς, καὶ καλὰ ἀναγινώσκει· οὕτως οὖν ὑπέρμορα ἐτύχθη, ἀντὶ τοῦ ὑπὲρ τὸ προσῆκον ἐτύχθη, κατεσκευάσθη.

Ὑπερίδης, κύριον ὄνομα, παρὰ τὴν ὑπὲρ πρόθεσιν γίνεται ὕπερος, καὶ ἐκεῖθεν λοιπὸν Ὑπερίδης· διὰ τοῦ ἰῶτα ὥσπερ γὰρ παρὰ τὴν ἀνὰ πρόθεσιν γίνεται ἄνιος, οὕτω καὶ παρὰ τὴν ὑπὲρ γίνεται ὕπερος· καὶ ἐκεῖθεν λοιπὸν Ὑπερίδης.

Ὑπερίονος, ἐπιθετικὸν τοῦ ἡλίου, ἀπὸ τοῦ περὶ ἡμᾶς ἰέναι· Ἡσίοδος, Ὑπερίονος· αὐτὸν γενεαλογεῖ.

Ὑπεροπλίῃσιν, ὑπερηφανίαις, παρὰ τὸ ὅπλον ὑπερόπλιον, ὑπεροπλία, σημαίνει δὲ τὴν ὑπερηφανίαν· μεταφορικῶς δὲ ἐστιν ἡ λέξις ἀπὸ τῶν τὰ ὅπλα φερόντων.

Ὑπεροψία, ὑπερηφανία καὶ ὑπερόπτης, παρὰ τὸ τὰ ὑπὲρ αὐτὸν θεωρεῖν· ἢ διὰ τὸ ὑπερορᾷν πάντων.

Ὑπερφίαλος, μέγας, ὑπερήφανος· τὸ φι ἰῶτα, ὡς τὸ ἅγιος, ὅρκιος, ὑπερφίαλος ἀπὸ τῆς ὑπὲρ προθέσεως καὶ τοῦ φίλος, ὑπερφίαλον γὰρ λέγεται, τὸ πολὺ καὶ ἄμετρον, ὡς τῆς φιάλης ἀμέτρου οὔσης, ἐξ οὗ καὶ ὑπερφίαλος λέγεται ὁ ὑπερβάλλων τῇ ἀμετρίᾳ· τὸ μέτρον τῆς φιάλης· φιάλη δὲ ἐτυμολογεῖται, παρὰ τὸ πίνειν ἀπ' αὐτῆς ἅλις.

Ὑπερφυῶς, μεγάλως, ἔστιν ἐπίῤῥημα μεσότητος, καὶ γίνεται ἐκ τοῦ ὑπερφυὴς, ὃ σημαίνει τὸ μέγα καὶ ἔνδοξον.

---

1) Od. V, 129.

Ὑπερῷον, οἴκημα, ἀνώγεων, ὑπερῷόν τι ὄν· τὸ ὑπεράνω τοῦ κάτω ὄν, καὶ ὑπερῷον, διὸ καὶ τὸ ἰῶτα ἔχει προσγεγραμμένον· ἢ παρὰ τὸ ἄνω ὁρᾶσθαι.

Ὑπερώϊον, τὸν οὐρανίσκον λέγουσι.

Ὑπερῷα, καὶ ὑπερῷον διαφέρει· ὑπερῷα μέν ἐστιν οὐρανίσκος θηλυκῶς· ὑπερῷον δὲ οὐδετέρως τὸ ἀνώγεων.

Ὑπερηκόντισε, ἐκ τῆς ὑπὲρ προθέσεως καὶ τοῦ ἠκόντισε, γίνεται ὑπερηκόντισα καὶ ὑπερηκόντισε· σημαίνει δὲ τὸ ὑπερέβη, ἐκ τοῦ ἀκοντίζω, ἐξ οὗ καὶ τὸ ἐξακόντισα.

Ὑπέσχετο, ἐπηγγείλατο· τὸ θέμα ἔχω, ὁ μέλλων ἕξω, ὁ παρακείμενος εἶχα καὶ ὁ β ἀόριστος οὐκ ἔστιν, ἵνα μὴ συνεμπέσῃ τῷ παρατατικῷ παρέλαβεν ἀντὶ τοῦ ἰῶτα τὸ σ, καὶ ἐγένετο ἔσχον, ὁ μέσος ἐσχόμην, ἔσχετο καὶ ὑπέσχετο.

Ὑπενόθευσεν, ἠλλοτρίωσεν.

Ὑπερίων, διὰ τοῦ ἰῶτα γράφεται, παρὰ τὸ ἰὼν μετοχὴν γέγονεν Ὑπερίων, ἄλλως τε δὲ, ἐπειδὴ τὸ ω εἰς ο τρέπεται ἐπὶ τῆς γενικῆς, Ὑπερίονος ἠελίοιο· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, ἐφυλάττετο τὸ ω, καὶ ἐπὶ γενικῆς.

Ὑπετόπαζεν, ὑπενόει, καὶ ὑποτοπάζειν τὸ στοχάζεσθαι καὶ ἐνθυμεῖσθαι, ἀπὸ τοῦ ὑποτυποῦσθαι ἐν τῷ νοΐ· ἔστιν οὖν τύπος τυπάζω, καὶ τροπῇ τοῦ υ εἰς ο, ὑποτοπάζω· συντάσσεται μετὰ αἰτιατικῆς καὶ γενικῆς.

Ὑπηνίξατο, ἐκ τοῦ αἰνίττω.

Ὑπετύφετο δὲ αὐτοὺς ἡ δυσμένεια, ἐφύσατο, αἰωρεῖτο· λαμβάνεται δὲ τὸ τύφεσθαι ἐπὶ τοῦ συντρίβεσθαι, καὶ τύφθεσθαι τὸν χωρὶς φλογὸς καπνὸν ἂν εἶναι· παρὰ δὲ τῷ Πλάτωνι ἐν Φαιδρῷ καὶ ἐπὶ τοῦ τετυφλῶσθαι τὴν διάνοιαν· τυφεδὼν δὲ ἡ καῦσις.

Ὑπήνη, αἱ ὑποκάτω τοῦ γενείου τρίχες, παρὰ τὸ ἵημι, ὁ μέλλων ἥσω ἥνη καὶ ὑπήνη, παρὰ τὴν ἕσιν τῶν τριχῶν· οὕτω Φιλόξενος· ἐξ οὗ καὶ ὑπήνιος.

Ὕπνος, θάνατος, σκιά.

Ὑπηρεσία, ὄνομα πόλεως, διὰ τοῦ ἰῶτα γράφεται· τὰ γὰρ ἀπὸ ἀρσενικῶν, ἐχόντων τὸ τ, διὰ τοῦ ια γινόμενα θηλυκὰ, διὰ τοῦ ἰῶτα γράφεται.

Ὑπηρετία, ἡ δούλη, ὑπηρεσία δε ἡ κωπηλασία.

Ὑπηνήτης, ἀκμαῖος, ἀρτιγενειών· ὑπήνη γὰρ λέγεται ἡ τοῦ ἄνω χείλους τρίχωσις, οἷον, ὑπάνη τις οὖσα, παρὰ τὸ ἄνω ὑπεῖναι.

Ὑπηρέτης, ἐκ τῆς ὑπὲρ προθέσεως, καὶ τοῦ αἴρω τὸ ἐπαίρω, γίνεται ὑπαίρετης, καὶ τροπῇ ὑπηρέτης, ὁ πρὸς τὸ αἴρειν ἐπιτήδειος.

Ὑπηρέτης, ἐκ τῆς ὑπὲρ προθέσεως, καὶ τοῦ αἱρέσσω τὸ κωπηλατῶ, κυρίως γὰρ ὑπηρέτης λέγεται ὁ ναύτης, οἱονεὶ ὑποερέτης, καὶ ἐκβολῇ τοῦ ο, ὑπερέτης, καὶ τροπῇ τοῦ ε εἰς η. ἐκ δὲ τούτου γίνεται ῥῆμα ὑπηρετῶ· ὁ πρὸς τὴν ἔριν ἐπιτήδειος.

Ὕπνος, ἐπὶ θανάτου σκιά, παρὰ τὸ ὑπονοστεῖν ἤγουν ὑποχωρεῖν, ἐν αὐτῷ γὰρ αἱ αἰσθήσεις ὑποχωροῦσιν ἤτοι ἠρεμοῦσι.

Ὕπνος, ὁ ὑπόνοος, ἀφαιρεῖ τὸν νοῦν, ὅθεν ἀτέρπιον φασὶ τὸν ἄϋπνον.

Ὑπογραφή, εἰς ὑπὸ τὴν γραφὴν τελοῦσα.

Ὑπόβαθρα, ὑπὸ βάσιν ὑποκείμενα.

Ὑπισχνούμενος, καὶ ἐξ αὐτοῦ ἴσχω καὶ πλεονασμῷ τοῦ ν, ἰσχνῶ, ἡ μετοχὴ ἰσχνούμενος, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑπισχνούμενος, καὶ σημαίνει τὸν ἐπαγγελλόμενον.

Ὑπόγυον, πρόσφατον, ἐγγύτατον, νεωστὶ γεγονὸς, πρὸ ὀλίγου καὶ μετ' ὀλίγον, παρὰ τὸ γυῖον ὃ σημαίνει τὸ μέλος· οἱονεὶ ἐγγὺς τῶν μελῶν.

Ὑπόδημα, διὰ τὸ ὑποκάτω ὅλον δῆμα, ἢ δῦμα· ἢ παρὰ τὸ δέω, τὸ δεσμεύω, δῶ, δήσω, δέδηκα, δέδημαι, καὶ ἐξ αὐτοῦ δῆμα, καὶ ὑπόδημα μετὰ τῆς ὑπὸ προθέσεως.

Ὕποχρον, ἐκ τοῦ ὦχρον, ὃ σημαίνει τὸ ἄχροον καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὕποχρον.

Ὑπόδρα, ἰδὼν, δεινῶς περιβλεψάμενος, καὶ ἐπίῤῥημα μεσότητος ἀντὶ τοῦ χαλεπῶς. ἐκ τοῦ ὑδράσω, τοῦτο ἐκ τοῦ δρῶ, δράξω, ἀποβολῇ τοῦ ξω, δρὰ καὶ ὑπόδρα.

Ὑπόδρα, ἐπίῤῥημα μεσότητος πόθεν γίνεται; ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγὰς, ὁ δὲ Ἡρωδιανὸς μίαν ἀπὸ τῶν περισπωμένων οὕτως· ἀπὸ τοῦ ἠρεμῶ γίνεται, ἠρέμα καὶ σιγῶ σίγα, οὕτω καὶ ἐκ τοῦ δρῶ, καὶ τῆς ὑπὸ προθέσεως γίνεται ὑπόδρα, καὶ πλεονασμῷ ὑπόδρα, τὸ ὑφορᾶσθαι ἐστι· καὶ ἄλλως· ἔστι δρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ οὗ καὶ τὸν δ' ἄρ' ὑπόδρα ἰδών. ἐκ τοῦ οὖν δρῶ γίνεται δρὰ καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑπόδρα, τὸ δεινῶς ὑποβλέπειν. ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι ἐκ τοῦ ὑποδρὰξ γέγονε· καὶ διατί ὀξύνεται; ἐπειδὴ τὰ εἰς ξ, λήγοντα ἐπιῤῥήματα, χωρὶς εἰ μὴ παρὰ προθέσεως γίνονται, ἅπαντα ὀξύνονται· οἷον, εὐρὰξ, σημαίνει δὲ τὸ ἐκ πλαγίου, ἀτρὶξ, ἐναλλὰξ, κουρίξ· εἶπε δὲ, εἰ μὴ παρὰ προθέσεως γίνεται, διὰ τὸ πάρεξ· τὸ γὰρ πάρεξ ἔχει τι σημαινόμενον. ὅτε δὲ ὀξύνεται, οὐ φαμὲν ἐπίῤῥημα, ἀλλὰ δεύτερον πρόσωπον· σεσημείωται τὸ ἅπαξ· καὶ τοῦτο ὅπερ ὤφειλε δέξασθαι, ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνθέσει, ἅπαξ ἁπλῶς· τὸ δ' ὑποδρὰξ ἀποβαλὸν τὸ σύμφωνον, ἀνεβίβασε τὸν τόνον.

Ὑποπόδιον, παρὰ τὸ πούς ποδὸς, πόδιον καὶ ὑποπόδιον.

Ὑπωπιάζω, τὸ ἐπιτηρῶ καὶ φυλάττω· ὑποπιέζω δὲ τὸ θλίβω, σφίγγω· τί διαφέρει τὸ ὑπωπιάζω τοῦ ὑποπιέζω; τὸ μὲν γὰρ ὑποπιέζω κοινόν ἐστι, τὸ δὲ ὑπωπιάζω δωρικόν· τὸ γὰρ ε εἰς α τρέπουσι, καὶ τὸ ο εἰς ω.

Ὑποστηρίζω, παρὰ τὸ ἵστημι στήσω, στηρίζω καὶ ὑποστηρίζω.

Ὑποψία, ὑφοράσεως διαφέρει· ὑποψία μέν ἐστι κακοῦ τινὸς ὑπόνοια, ὑφόρασις δὲ δόξα, καὶ ἐπὶ τῶν χειρόνων.

Ὑποπιεσμὸς, ἐνταῦθα διὰ τοῦ ο γράφεται τὸ πο, ἀπὸ γὰρ τοῦ ὑποπιέζειν τινὰ ἑαυτὸν καὶ ταπεινοῦν καὶ ἐκθλίβειν εἴρηται ὑποπιεσμός· ἑτέρωθεν δια τοῦ ω γραπτέον, καὶ διὰ τοῦ α, ὑπωπιασμός· ἔστιν ἔλεγχος· ὑπωπιάζειν γάρ ἐστι τὸ αἰσχύνειν καὶ ἐλέγχειν τινὰ ἑαυτὸν, διὰ τῶν ἐν τῷ σώματι αὐτοῦ ὑπωπίων, ἤτοι μωλώπων· ὑπωπιάζει τυχὸν ὁ αἰκισθείς.

Ὑπόδρα, παρὰ τὸ ὁρῶ τὸ ὑφορῶ· ἢ παρὰ τὸ δέρκω τὸ βλέπω, καὶ κατὰ συγκοπὴν δρῶ, δράσω, δράξω, δρὰξ καὶ ὑποδρὰξ, καὶ κατὰ συγκοπὴν τοῦ ξ, ὑπόδρα· ἐκ τούτου καὶ δραπέτης ὁ ὑποβλεπόμενος ἐν τῷ πέτεσθαι ἤγουν φεύγειν, ὅθεν καὶ ὑπόδρομοι εἴρηνται ἀντὶ τοῦ ὑφορώμενοι· καὶ ὡς ἐγένετο ἀπὸ τοῦ μιγδῶ μίγδα, καὶ ἀπὸ τοῦ ἠρεμῶ ἠρέμα, οὕτω καὶ ἀπὸ τοῦ δρῶ, δρὰ, καὶ ἐν συνθέσει ὑπόδρα· τὸ δὲ δρῶ σημαίνει τέσσαρα· δρῶ τὸ κρατῶ, ἐξ οὗ καὶ δάκτυλος, δρῶ τὸ ὑπηρετῶ, ἐξ οὗ καὶ δραπέτης, ὁ ἀποδρῶν τῆς δουλείας·

ὁρῶ τὸ βλέπω, ἐξ οὗ καὶ ὑπόδρα ἰδών· καὶ δρ... τὸ κοιμῶμαι κατ' ἀντίφρασιν· οἱ γὰρ κοιμώμενοι οὐ βλέπουσι· ὁρῶ τὸ πράττω, ἐξ οὗ καὶ δρᾶμα.

Ὑποταγήσεται, ἐκ τοῦ ὑποτάσσω, ὁ β ἀόριστος ὑπέταγον, ὑπετάγην, ὑποταγήσομαι, ὑποταγήσεται.

Ὑποσκελίσαι, ἐκ τοῦ ὑποσκελίζω, τοῦτο παρὰ τὸ σκέλος, τοῦτο παρὰ τὸ σκέλω τὸ ξηραίνω· ἢ σκέλη εἴρηται, παρὰ τὸ ξηρότερα ἤγουν σκληρότερα εἶναι τῶν λοιπῶν μερῶν.

Ὑποσμύχουσα, διερεθίζουσα, ὑποκαίουσα, θλίβουσα, 10 κατατονοῦσα· καὶ ὑποσμύχουσα, τὸ ἠρέμα ὑπολάμπειν. ἀπὸ τοῦ μυχοῦ τοῦ σκοτεινοῦ τόπου ἢ ἀφεγγοῦς· ἢ τὸ τυφλώττειν καὶ μεμυκέναι.

Ὑπόστασις, ἔστι κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ ἀποστολικὴν, τὸ πρόσωπον, ἤγουν ὁ χαρακτήρ· καθὼς φησὶν ὁ ἀπόστολος, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· πρόσωπον δὲ καὶ χαρακτῆρας λέγομεν ἐπὶ θεοῦ, ἀσώματα καὶ ἀπερίγραπτα, καὶ ἀσχημάτιστα.

Ὑπόστασις, ἔστι ποτὲ μὲν πᾶσα τοῦ τυχόντος 20 ὕπαρξις, ποτὲ δὲ τὸ ἰδικὸν, περὶ τὸ κοινὸν, ὡς πατὴρ, υἱὸς καὶ ἅγιον πνεῦμα.

Ὑπόσχεσις ἐπαγγελίας διαφέρει· ὑπισχνεῖται μὲν γάρ τις διδόναι τί μέλλον· ἐπαγγέλλεται δὲ ὁ δίχα παρακλήσεως παρέχειν βουλόμενος· καὶ εἰς τὸ ὑπέσχετο.

Ὕπουλος, ἄνθρωπος, ἀπὸ μεταφορᾶς τῆς τῶν πραγμάτων ἀπονεμομένης οὐλῆς, οἷον ὁ μὴ προφανὴς πονηρός· ὕπουλος γὰρ ὁ ἐγγὺς τὴν ὑγείαν δεῖναι μέλλων.

Ὕπτιος, ὁ ὑψηλὸς, καὶ ὕπτιος ὁ ἀνὰ σκέλα πεσών.

Υἱὸς, διὰ τὸ εἶναι ὅμοιος τῷ πατρί.

Ὗς, καὶ σῦς ὁ χοῖρος, παρὰ τὸ ὕω τὸ βρέχω· φιλεῖ γὰρ τὸ ζῶον ἐν βορβόρῳ κυλίεσθαι· ἰδὸς ὁ κανών· τὰ εἰς υς μονοσύλλαβα μακροκατάληκτα, διὰ καθαροῦ τοῦ ος κλίνεται.

Ὑσμίνη, ὑπομίνη τις οὖσα, καὶ συγκοπῇ τῆς πο συλλαβῆς, καὶ πλεονασμῷ τοῦ σ, ὑσμίνη, ἢ πλεονασμῷ τοῦ δ, δυσμίνη, ὡς διωκή· καὶ ἡ μὲν ἐτυμολογία ἀπαιτεῖ διὰ τῆς ει διφθόγγου γράφεσθαι· γάρ τις ἔστι 40 παρὰ τὸ δυσμενὴς, ἐκβολῇ τοῦ δ, ὑσμίνη· ἢ παρὰ τὸ ὑπομένειν· γράφεται δὲ διὰ τοῦ ἰῶτα, τῷ λόγῳ τῶν διὰ τοῦ ινη, τῷ εἰρημένῳ ἐν τῇ ἀδρηστίνῃ.

Ὕσσωπον, παρὰ τὸ ὕω τὸ βρέχω, ὁ μέλλων ὕσω καὶ τὸ ὤψ ὠπὸς, ὃ σημαίνει τὸ πρόσωπον καὶ τὸν ὀφθαλμόν· ἔστι δὲ βοτάνη καθαρτικὴ ῥύπου, παρομοία σαμψύχῳ. σημαίνει δὲ δύο, τὸ ὕσσωπον τὴν βοτάνην, καὶ τὸν σπόγγον.

Ὕσπληγξ, τὸ κάγκελλον καὶ ἡ μάστιγξ.

Ὕστατα, ἐπίῤῥημα μεσότητος· διάτι καλοῦνται μεσότητος; 50 ἐπειδὴ ἀπὸ μέσων ὀνομάτων παράγονται, ἀπὸ ἀρσενικοῦ καὶ θηλυκοῦ καὶ οὐδετέρου· ἐὰν μὴ γὰρ εἰσὶ τριγενῆ, μεσότητος ἐπιῤῥήματα οὐ ποιοῦσι· καὶ πῶς ἔστιν ἐπίῤῥημα; κανὼν γὰρ ἐστιν ὁ λέγων, ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικὰ ὀνόματα βαρύτονα, ταῦτα καὶ εἰς ἐπιῤῥηματικὴν μετάγονται σύνταξιν· ὥσπερ ἐστὶ τὸ, ἥδιστα οὖν μᾶλλον καυχήσομαι, ἥκιστα ἀντὶ τοῦ οὐδαμῶς, τοῦτο ἀπὸ τοῦ οὐδετέρου· ἔστιν ἡ εὐθεῖα τῶν πληθυντικῶν, ὕστατα, καὶ μετάγεται εἰς ἐπίῤῥημα.

Ὑστέρα, ἐπὶ τῆς μήτρας, ἤτοι ἀπὸ τῆς θέσεως, ἢ ἀπὸ τοῦ μὴ εὐθὺς, ἀλλ' ὕστερον ἀποδιδόναι τὰς ἰδίας ἐνεργείας.

Ὑστερῶ, ἐκ τοῦ ὕστερος, ὑστερίζω τὸ βραδύνω, ὑστερῶ δὲ τὸ παντελῶς στερίσκω.

Ὕστατος, ὁ ἔσχατος, ὁ τελευταῖος, ἐκ τῆς ὑπὸ προθέσεως ὑπότερος καὶ συγκοπῇ ὕτερος καὶ πλεονασμῷ τοῦ σ, ὕστερος· πλεονασμὸς ἐστιν ἢ ἴδιος τύπος; ἴδιος τύπος ἐστί· κανὼν γὰρ ἐστιν ὁ λέγων· ὅτι τὸ ο συγκοπτόμενον πέφυκε γίνεσθαι τὸ σ, οἷον, ἔστιν οὕτως· ἔστι γὰρ θεόφατος ὄνομα, καὶ συγκοπῇ τοῦ ο, καὶ πλεονασμῷ τοῦ σ, θέσφατος· οὕτως οὖν καὶ θεόκελος, καὶ θέσκελος, καὶ οὐδέτερον θέσκελον, καὶ θέσκελα· οὕτως οὖν καὶ ὑπότερος, ὕστερος καὶ ὕστατος τὸ ὑπερθετικόν.

Ὕστερος, ὥσπερ παρὰ τὴν πρὸ πρόθεσιν γίνεται πρότερος, καὶ παρὰ τὴν ὑπὲρ ὑπέρτερος· οὕτω καὶ παρὰ τὴν ὑπὸ πρόθεσιν ὑπότερος καὶ συγκοπῇ τῆς πο, συλλαβῆς γίνεται ὕτερος, καὶ πλεονασμῷ τοῦ σ, ὕστερος.

Ὑστριχὶς, ὁ ὑσθρὶξ, ἤγουν ἡ τοῦ χοίρου θρὶξ, ἐκ τοῦ ὗς καὶ τοῦ θρὶξ, καὶ κλίνεται ὑστριχίδος.

Ὑσίπη, ὁ ῥύπος τοῦ ἐρίου τῶν προβάτων.

Ὑφαίνει, ἐκ τοῦ ὑφαίνω, τοῦτο ἐκ τοῦ ὕφος, τοῦτο παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ ὃς, ὅθεν ὑφὴ ὁ ἱστός· ποίου εἴδους τὸ ὑφαίνειν; μεταφορικοῦ, ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα.

Ὑφάντης, παροξυτόνως, τὰ εἰς της ὀνόματα ἔχοντα τὴν παραλήγουσαν εἰς ἀμετάβολον λήγουσαν, παροξύνεται. Λαέρτης, ὑφάντης· γίνεται ἀπὸ τοῦ ὑφαίνω.

Ὑφείμενος, ἵημι, ἥσω, ἧκα, ὁ παθητικὸς ἧμαι, ἡ μετοχὴ ἕμενος καὶ εἵμενος πλεονασμῷ τοῦ ἰῶτα, μετὰ τῆς ὑπὸ προθέσεως, ὑφείμενος ὁ ταπεινὸς καὶ ὑποχείριος.

30 **Ὑφέντες**, ἀορίστου β, τῆς μετοχῆς τῶν εἰς μι· ἐκ τοῦ ἵημι γέγονε ὁ β ἀόριστος ἧν, ἡ μετοχὴ εἷς ἕντος, καὶ τὸ πληθυντικὸν ἕντες.

Ὑφεῖσαν, ἐκ τοῦ ἐῶ, τὸ συγχωρῶ, ὁ μέλλων ἐάσω, τοῦ ἀορίστου τὸ τρίτον τῶν πληθυντικῶν εἴασαν, καὶ ἐν συγκοπῇ καὶ συνθέσει ὑφεῖσαν.

Ὑφέσεως, ταπεινώσεως, παραβάσεως.

Ὑφέξελε, ἔπαρον.

Ὑφηγοῦμαι, διηγοῦμαι, ἐξηγοῦμαι.

Ὑφορβὸς, συφορβὸς, χοιροβοσκός.

Ὑφώμενος, ὑποβλεπόμενος, εὐλαβούμενος, ὑπονοῶν, φοβούμενος.

Ὑψαύχην, ὑψολόφρων, μεγαλαύχην.

Ὑψήγορος, ἐκ τοῦ ὕψος καὶ τοῦ ἀγορῶ γίνεται ὑψάγορος, καὶ τροπῇ τοῦ α εἰς η, ὑψήγορος, ὁ τὰ ὑψηλὰ καὶ μεγάλα δημογορῶν.

Ὑψηλὸς, ὑψηρός τις ὢν, ὁ ἐν ὕψει ἠρμένος, μετάθεσιν γὰρ πέπονθε τὸ λ εἰς ρ.

Ὑψηλὸς, παρὰ τὸ ὕψος· ἢ παρὰ τὸ ὑψώσω.

Ὑψηλὸν, παρὰ τὸ εἶναι ἄορον· ἐὰν γὰρ ἔχῃ αὐτὸ τὸ σημαινόμενον σῶμα, ὡς τὸν οὐρανὸν ὁ ἥλιος τῇ ἡμέρᾳ, καὶ οἱ ἀστέρες τῇ νυκτί· τὸ γὰρ ὕψη σημαίνει τὸ ἄπειρον, τὸ δὲ λον λίαν ὅ ἐστι πολύ· πόσα σημαίνει τὸ ὑψηλόν; ὑψηλὸν τὸ μέγα καὶ ὑπέροχον ὑψηλὸν δὲ τὸ λεπτὸν, τὸ αὐτὸ καὶ ὑπὸ τοῦ ἱματίου· καὶ ἄλλως ὕψος ὑψηρὸς, καὶ τροπῇ ὑψηλός· πένθος πενθηρὸς ἐχρῆν καὶ οὕτως εὑρίσκεται ἐπὶ ἱματίου.

Ὑψήγορε, μεγαληγόρε.

Ὑψιβρεμέτης, ὁ ἐν τῷ ὕψει βροντῶν.

Ὑψιπέτης, ὁ εἰς ὕψος πετώμενος, τῷ δὲ τονῷ ἀναγνωστέον, 60 ὡς τὸ νεφεληγερέτης.

Ὑψίζυγος, ὁ ἐπὶ ὑψηλοτάτου θρόνου καθεζόμενος, καὶ τὴν τῶν ἄνω καθέδραν ἔχων· ἢ μεταφορὰ ἀπὸ τῶν ἐν ναυσὶ ζυγῶν ἐφ' ὧν καθέζονται οἱ ἐρέσσοντες·

ἢ ὁ ἐν ὕψει ζυγοστατῶν, καὶ ἀπονέμων ἑκάστῳ τὸ πεπρωμένον.

Ὑψιστάριος, αἵρεσις αὕτη· ἄνθρωποι γάρ τινες αἱρετικοὶ, οὔτε πατέρα, οὔτε υἱὸν ὁμολογοῦντες, εἰ μὴ μόνον ὕψιστον.

Ὕψιστος, ὁ ἐν τῷ ὕψει ἑστώς· γίνεται ἐκ τοῦ ὕψος, τὸ συγκριτικὸν ὁ πρῶτος τύπος ὑψότερος, ὁ δεύτερος ὑψείων καὶ ἐξ αὐτοῦ ὑπερθετικὸν ὕψιστος. τὰ εἰς ων συγκριτικὰ μεταβάντα εἰς ὑπερθετικὰ, εἰ μὲν εἴη δισύλλαβα, παρατηρεῖ τὴν παραλήγουσαν, οἷον, πλείων πλεῖστος, ῥᾴων ῥᾷστος· εἰ δὲ ὑπὲρ δύο συλλαβὰς, τρέπει αὐτὴν ἐν τῷ ὑπερθετικῷ, ἀρείων ἄριστος, καὶ ὑψείων ὕψιστος.

Ὑψοῦ, ἐν ὕψει, ποιητικῶς.

Υἱωνὸς, ὁ τοῦ υἱοῦ υἱὸς, ὥσπερ καὶ δεσπόσυνος τοῦ δεσπότου υἱός.

Ὕω, εἰς τὸ ὑλίζω, καὶ ὗς, καὶ ὕσσωπον.

Τέλος τοῦ Υ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Φ ΣΤΟΙΧΕΙΟΥ.

Φάανθεν, ἐφάνησαν, ἀορίστου πρώτου παθητικοῦ, ἀπὸ τοῦ φαίνω, ἀόριστος πρῶτος παθητικὸς ἐφάνθην, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐφάνθησαν. καὶ ποιητικῶς, Αἰολικῶς ἢ καὶ Δωρικῶς φάανθεν, πλεονασμῷ τοῦ α· ἔθος γὰρ ἔχουσιν οἱ Αἰολεῖς καὶ Δωριεῖς τὰ ἔχοντα ῥήματα τὴν μετοχὴν εἰς ς, μετ' ὀξείας τάσεως, σχηματίζειν τὰ τρίτα τῶν πληθυντικῶν, ὡς καὶ ἐκόσμηθεν.

Φάβα, Φαβώνιος παρὰ Ῥωμαίοις ὁ Ζέφυρος καλεῖται, οὗ καταρχομένου πνεῖν, πέφυκεν ὁ τοιοῦτος καρπὸς βλαστάνειν.

Φαγεῖν, τὸ θέμα φάγω καὶ τὸ ἀπαρέμφατον φαγεῖν.

Φάγομαι, ἐκ τοῦ φάγω, ὁ β ἀόριστος ἔφαγον, καὶ ὁ μέλλων δεύτερος φαγῶ καὶ ὁ μέσος μέλλων δεύτερος ὤφειλεν εἶναι φαγοῦμαι, ὡς ποιοῦμαι, ἀλλὰ σεσημείωται τὸ φάγομαι, πίομαι, ἔδομαι· τὸ δεύτερον, φάγῃ, πίῃ, ἔδῃ.

Φαγώλιον, μαρσίππιον.

Φαέθων, ὁ ἥλιος.

Φαεσίμβροτος, φθείρουσα τοὺς ἀνθρώπους.

Φαεινὴ, λαμπρά.

Φαεινὸν, λαμπρὸν ὡραῖον.

Φάεα, φάη, ὀφθαλμοὶ, ὅτι ἐξ αὐτῶν τὸ φῶς προχεῖται· ἢ ὅτι φωτός εἰσι κριτικοί.

Φάρυγξ, παρὰ τὸ φέρω, δι' ἧς φέρεται τὸ πνεῦμα, καί ἐστιν παρώνυμον φέρω, φόρος καὶ φάρος· καὶ παρώνυμον φάρυγξ λέγεται τὸ ἀπόσπασμα τῆς γῆς· εἴρηται ἀπὸ τοῦ σπαράσσω, σπάραγξ καὶ τροπῇ φάραγξ.

Φαμίλιος, ἡ γυνὴ καὶ φαμιλία· ἄλλοι δὲ τὴν δούλην.

Φαμιλίων, οἰκετικῶν ἀνδραπόδων.

Φαινόλην, παρὰ τὸ φαίνεσθαι ὅλον, ἀπὸ τοῦ φαίνω ῥήματος, ὥσπερ ἀπὸ τοῦ φῶ καὶ παρ' Ὁμήρῳ παιφάσσουσα.

Φακὸς, ὁ ὠμός.

Φακῇ, ἡ ἑψηθεῖσα.

Φαιδρωπὸν, τὸ τερπνὸν, φαιδρόν τε καὶ χάριεν πρόσωπον.

Φαιδρὸς, παρὰ τὸ φαίνω φαινηρὸς καὶ κατὰ συγκοπὴν τοῦ ἦτα καὶ τροπῇ τοῦ ν εἰς δ φαιδρὸς· ἢ παρὰ τὸ φάος.

Φαινώλην, ὡς καὶ τὸν φαινώλην ἀποδύσασθαι, τουτέστι τὸ ἱμάτιον· παρὰ τὸ φαίνεσθαι ὅλον· ἢ ἀπὸ τοῦ φαίνω ῥήματος, ὅπερ ἐστὶν ἀπὸ τοῦ φῶ, ἐξ οὗ καὶ παρ' Ὁμήρῳ, παιφάσσουσα.

Φαεινὸς, διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ τῶν εἰς νος ὀξυτόνων παρωνύμων, τῷ εἰρημένῳ ἐν τῷ αἰπεινός· καὶ ἄλλως· ἐπειδὴ οἱ Αἰολεῖς φάενος [1]) λέγουσιν βάλλοντες τὸ ἰῶτα καὶ διπλασιάζοντες τὸ σύμφωνον

Φάρυγξ, παρὰ τὸ ἐσθίειν [illegible] ἀπολαύειν, ὥσπερ λάρυγξ διὰ τὸ λαλεῖν.

Φαινόλης, ὁ ἄγαν ἀπατηλός.

Φαιὸν, χρῶμα σύνθετον ἐκ μέλανος καὶ λευκοῦ, μύϊνον.

Φαλὸς, ἐκ τοῦ φῶ τὸ φαίνω, ὁ μέλλων φώσω· ὁ τὸ λαμπρὸν, ἐξ οὗ καὶ παμφαλτρ.. ὁ τὴν κάρα λαρὰν ἔχων· θυτοῦ τὴν λαμπράνιν.

Φαεινῶ, λαμπρῶ, μέλλοντα οὐκ ἔχει ἀλλ' ἄχρι παρακειμένου κλίνεται.

Φαίδιμος, ὁ λαμπρός.

Φακὴ, φωκή τις οὖσα, ἢ τὰ φῶτα βλάπτουσα, ἔστι τοὺς ὀφθαλμούς· ἢ παρὰ τὸ αἰκίζειν τὰ ὡς καὶ ὁ ἰατρικὸς λόγος μαρτυρεῖ, φακακή τις ἢ τὰ φάη κακοῦσα.

Φακιόλιον, σιμικίνθιον.

Φακίη [2]), παρὰ Ἰταλοῖς ἡ ὄψις λέγεται· ἐκεῖθεν κιόλιον, τὸ ἐν τῇ ὄψει.

Φακλοὺς, φορτία.

Φάλαγγες, οἱ πάλαγγες, παρὰ τὸ πέλας καὶ ἀλλήλων εἶναι.

Φαλὸς, ἀσπιδίσκιόν τι λαμπρὸν, ὁ δηλοῖ τὸ φα ὅ ἐστι λευκὸν παρὰ τὸ φάος, ἐξ οὗ καὶ φαλακρ ἔχων φάλειαν κάραν.

Φάλαγγες, αἱ μὲν τῶν νηῶν, παρὰ τὸ σπᾶν εἰ ἅλα, αἱ δὲ τάξεις παρὰ τὸ πελάσαι ἀγχι.

Φάλιος, φαλακρὸς, ὁ τὸ ἄκρον ἔχων φαλὸν, ὁ λαμπρὸν, παρὰ τὸ φῶς· καὶ εἰς τὸ βάλιος.

Φαλκίδιον, τὸ τέταρτον· Φαλκίδιος ὁ κόπτων ἀπ ταφορᾶς τοῦ δρεπάνου.

Φάλλος, ὁ φορῶν τὸν φάλλον, ἤγουν τὸ δερμ μήριον καὶ ἐρυθρόν· καὶ φαλὸς ὁ λευκός.

Φαλλὸν, αἰδοῖον ἀνδρικὸν ἐκ ξύλου, ὅπερ ἐν τῇ Διονύσου ἑορτῇ φέροντες ἐχόρευον.

Φαντασία, φαοστασία, τῶν ἀφανῶν στάσις.

Φανότατος, λαμπρότατος.

Φανῶ, εἰς τὸ ἐξέφηνα.

Φάρος, κατ' Ἀθηναίους ἱμάτιον, οἱονεὶ φέρος, τὸ μενον ἱμάτιον, παρὰ τὸ φορεῖσθαι.

Φάρος, παρὰ τὸ φῶς ἐστι θεωρούμενον.

Φάρος, περιβόλαιον, ἄρμενον· εἴρηται δὲ παρὰ τ ρεσθαι, ἢ τὸ ὑφῇ ἀρηρέναι.

Φάλαγξ, τάξις στρατιωτικὴ, ἐπειδὴ τὸ παλαιὸν ξ ἐμάχοντο· φάλαγγας μὲν γὰρ τὰ ξύλα ἐκάλο

---

1) ergo φάενος. reliqua deficiunt. 2) facies.

ἐρχαίδι. ἔτι γοῦν καὶ ἡμεῖς τὰ τῶν ξύλων οἰκοδομήματα φάλαγγας καλοῦμεν· φάλαγξ δὲ καὶ οὐλαμὸς διαφέρει· φάλαγξ μὲν γάρ ἐστι τάξις συνεστηκυῖα ἐξ ἑκατὸν εἴκοσιν ἀνδρῶν· ὁ δὲ οὐλαμός, ἐξ ἀνδρῶν τετρακισχιλίων καὶ ἕξ.

Φάραγξ, παρὰ τὸ χαράσσω, χαράξω χάραξ, καὶ τροπῇ τοῦ χ εἰς φ, καὶ πλεονασμῷ τοῦ γ φάραγξ. σημαίνει δὲ τὴν ἐξ ὑδάτων τοῖς ὄρεσιν, ἢ τῇ γῇ γινομένην κοιλότητα.

Φάρμακα, ἰάματα· φάρμακα γὰρ κυρίως ἐκεῖνα λέγονται, τὰ οἱονεὶ ἐπιφέροντα τὸ ἄκος, ἤγουν ἴασιν, ἢ τὰ φέροντα ἄκεσιν· εἴρηται δὲ ἀπὸ τῶν ἀνθῶν· καὶ γὰρ τὰ βαφεῖα φαρμακῶνας ἐκάλουν, καὶ τὴν ἐν βάθει στόμωσιν.

Φαρμακεῖα, ἐκ τοῦ φαρμακεύω· τοῦτο ἐκ τοῦ φάρμακος, τοῦτο ἐκ τοῦ φέρειν ἄκος, τουτέστιν ἴαμα.

Φαρμακεῖα γοητείας διαφέρει, ὅτι τὸ μὲν δηλητήριον λαμβάνεται ἐπὶ θανασίμου· τὸ δὲ φάρμακον ἐπὶ ζωῆς.

Φάρος, εἰ μέν ἐστιν ἀρσενικὸν σημαίνει τὸν τόπον· εἰ δὲ θηλυκὸν, σημαίνει τὴν πόλιν· εἰ δὲ οὐδέτερον σημαίνει τὸ ἱμάτιον· ἔστι δὲ ὁμώνυμον· καὶ εἰς τὸ ὦκα.

Φάραγξι, παρὰ τὸ φάραγξ, τοῦτο παρὰ τὸ ῥήσσω, τὸ ῥηγνύω, ὁ β ἀόριστος ἔῤῥαγον· καὶ ἐξ αὐτοῦ φάραγξ· ἐτυμολογεῖται δὲ παρὰ τὸ φαίνεσθαι ἐν αὐτῇ ῥῆγμα.

Φάρμακος, παρὰ τὸ φάρμακον· τοῦτο παρὰ τὸ φέρειν ἄκος.

Φάξας, ἀπατήσας, γοητεύσας, ἰατρεύσας.

Φάσαν, ἔφασαν καὶ εἶπον, ὡς φάσαν ἡ πληθύς· διατί τῷ πληθυντικῷ ἀριθμῷ ἑνικὴν φωνὴν συνέταξεν ὁ ποιητής; ἑνικὰ γὰρ ὀνόματα ἑνικοῖς συντάσσονται ῥήμασι, καὶ πληθυντικὰ ὁμοίως πληθυντικοῖς· τὰ γὰρ περιληπτικὰ ὀνόματα δύο συντάξεις ἀναδέχονται, τῷ λόγῳ τῆς φωνῆς, καὶ τῷ λόγῳ τοῦ σημαινομένου· πληθυντικῷ δὲ ἀριθμῷ συνέταξεν, εἰ καὶ τῇ φωνῇ ἑνικῇ, τὸ πληθὺς, κατὰ τὸν τοῦ σημαινομένου χαρακτῆρα.

Φαλαρίτης, ἡ ἀθηνᾶ· ἢ ἀπὸ τῶν τῆς περικεφαλαίας φαλάρων· καὶ ἀπὸ Φαλάρου κώμης τιμώσης τὸν δαίμονα· οἱ δὲ ἀπὸ τῶν ἐπάλξεων, ἃς ἐκάλουν φάλαρα ἰωνικῶς.

Φάσγανον, ἄορ, ξίφος, παρὰ τὸ σφάζω, σφάσω, σφάγανον καὶ φάσγανον· ἢ παρὰ τὸ σφάσαι, ὅ ἐστι φονεῦσαι.

Φείδομαι, διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ φεύγειν καὶ τὸ δοῦναι, γίνεται φεύδομαι καὶ τροπῇ τοῦ υ εἰς ι φείδομαι· τὸ δὲ φίδος, τὸ ῥηματικὸν ὄνομα, τὸ σημαῖνον τὸ φειδωλὲς, ἐπὶ κρατήσει [1]), διὰ τοῦ ἰῶτα γράφεται.

Φείδομαι, τὸ ἐλεῶ, ἐξ οὗ καὶ ἀφειδὴς, καὶ ἐφεισάμην, καὶ ἀφειδίσαι.

Φάσγανον, σπάγανόν τι ὂν, παρὰ τὴν σπάσιν· παρὰ τὸ σφᾶσθαι, ὅ ἐστι φονεῦσαι· ἢ σφάζω σφάγανον καὶ φάσγανον.

Φειδωλὸς, φευδωλός τις ὢν, ὁ φεύγων τὴν δόσιν καὶ τὸ δοῦναι, οὕτως Ἡρωδιανός.

Φείδεσθαι, ἀπὸ τοῦ Φειδῶνος ἑνὸς τῶν Ἡρακλειδῶν, μειώσαντος τὰ μέτρα, καὶ διὰ μικροῦ ἀργυρίου ἐνδαλαγὰς τίθεσθαι.

Φάσκαλος, φασκωλίου διαφέρει· φασκαλὸν μὲν γάρ ἐστιν ἱμάτιον χωρίς· φασκώλιον δὲ τὸ δερμάτιον.

Φᾶσθαι, λέγειν, εἰπεῖν· μέσος ἀόριστος πρῶτος, ἀπαρεμφάτου τῶν εἰς μι, γέγονεν ἐκ τοῦ φῶ τὸ φαίνω, παράγωγον φημὶ, ὁ μέλλων φήσω, ὁ ἀόριστος ἐφάθην, ὁ μέσος ἐφάμην, ἔφασο, ἔφατο, φᾶσθαι.

Φασκώλιον, καὶ πρὸς γεμεστὸν, κατὰ τὸ πλέον καὶ ἐμβριθέστατον ποιῶν τὸ φασκώλιον, τουτέστι δερμάτινον βαλάντιον.

Φασκώλιον δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται· φασκώλιον οὖν, οἱονεὶ ἀσκώλιον, τῷ ἀσκῷ ἐοικός.

Φάσκοντες, λέγοντες.

Φασουλὶς, ὄσπρεα, φῶς ὅλον, ἢ παρὰ τὸ φυσῶ, φυσωλή τις οὖσα.

Φαλὴν, διὰ τὸ φαίνειν καλῶς.

Φατλὴν, διὰ τὸ φαίνειν τηλόθεν.

Φάτνη, παρὰ τὸ φαγεῖν, φάγνη τὶς οὖσα καὶ τροπῇ τοῦ γ εἰς τ φάτνη· ἢ παρὰ τὸ πατῶ τὸ ἐσθίω, ἐξ οὗ καὶ τὸ παύσασθαι παράκειται ἐπὶ τοῦ ἐσθίειν, καὶ τροπῇ τοῦ π εἰς φ φάτνη.

Φάτις, ἡ φήμη.

Φατρία, ἐκ τοῦ φρατὸς, ὃ σημαίνει τὸν συγγενῆ· λοιπὸν ἐξ αὐτοῦ φράτερος φρατερία καὶ συγκοπῇ καὶ ἀποβολῇ τοῦ ρ, φατρία· λέγεται δὲ ἡ συγγένεια.

Φαῦλος, παρὰ τὸ φαύω τὸ λάμπω φαύσω, φαῦλος, ὁ φανερούμενος εἰς ἃ ἐργάζεται· ἢ παρὰ τὸ παύω, παῦλος καὶ φαῦλος, τὸ γὰρ κακὸν ταχὺ παύεται, τὸ δὲ καλὸν οὐδέποτε· καὶ εἰς τὸ ἀποφαυλίζοντες.

Φαυλίστρια, ἡ καταγελῶσα.

Φαύω, εἰς τὸ αὔω, καὶ φαῦλος, καὶ φήμη.

Φευρουάριος, ἀπὸ Φρούρας τινὸς θεᾶς ὀνομασθῆναι.

Φείδω, εἰς τὸ ἀπείθησε.

Φειδίας, φείδομαι, διὰ τῆς ει διφθόγγου, παρὰ γὰρ τὸ φεύγειν καὶ τὸ δοῦναι γέγονε φεύδομαι· καὶ τροπῇ τοῦ υ εἰς ι φείδομαι.

Φέγγος, παρὰ τὸ φωτὸς εἶναι γέννημα καὶ μήνυμα· καὶ εἰς τὸ ἀφεγγής.

Φενακίζω, ἐκ τοῦ φρὴν φρενὸς φρενακίζω καὶ ἐκβολῇ τοῦ ρ φενακίζω.

Φενακισθέντες, αντὶ τοῦ ἀπατηθέντες· γίνεται παρὰ τὸ φενάκη· ἔστι δὲ κόσμος γυναικεῖος, ἡ λεγομένη οὐρά· τὸ φε ψιλόν.

Φενακισθείη, χλευασθείη, ἀπὸ τοῦ φενακίζω· τοῦτο παρὰ τὸ τὰς φρένας αἰκίζειν· συντάσσεται μετὰ πτώσεως γενικῆς.

Φένω, τὸ φε ψιλὸν, ἀπὸ τοῦ φῶ τὸ φονεύω, κατ' ἀποβολὴν τοῦ φ ἔνω, καὶ κατὰ παραγωγὴν ὄνομα ῥηματικὸν ἐνύω καὶ ἐνύαλιος· ἐκ τούτου οὖν ἔνω γίνεται ἕτερον ὄνομα ἔντης καὶ μετὰ τοῦ αὐτὸς αὐτοέντης, καὶ κατὰ συγκοπὴν αὐτέντης καὶ ὁ τόνος τὸ ε δασύνεται, γίνεται αὐθέντης, ὁ ἑαυτὸν ἀναιρῶν· φένω οὖν ὁ β ἀόριστος ἔφενον καὶ μετὰ τῆς ἐπὶ προθέσεως καὶ συγκοπῇ ἔπεφνον, καὶ ἡ μετοχὴ πέφνων· καὶ σεσημείωται βαρυνόμενον, εἰς τὸ πέφνη.

Φερέοικος, ὁ κοχλίας, καὶ ἡ χελώνη, ὅτι φέρουσι τὸν οἶκον· ἀφερέοικος δὲ, ὁ μὴ φέρων καὶ ἔχων οἶκον.

Φερέγγυος, ἀξιόπιστος; ἐγγυητὴς, φέρων τὸ βέβαιον.

1) κράτησις idem quod alias παράδοσις.

Φέρουλλα, ἡ κρούουσα ἐκ τοῦ Φέριρε.

Φερέζωον, παρὰ τὸ Φέρω καὶ τὸ ζωὴ, γίνεται Φερέζωος, ὁ τὴν ζωὴν Φέρων.

Φέρβειν, τρέφειν.

Φέρετρον, ἡ τῶν νεκρῶν κλίνη.

Φέρνη, προὶξ, δωρέα, Φερνή τις οὖσα, ἀπὸ τοῦ Φέρεσθαι, οὕτως Ἡρακλείδης.

Φερσεφόνη, οἱ μὲν ὅτι Φερβικὴν ὄνησιν ἡμῖν παρέχει· οἱ δὲ ὅτι Φέρβον ἐφόνευσεν τὸν γίγαντα· ἢ ὅτι πρὸς αὐτὸν τοὺς πεφονευμένους ἄγει.

Φέρτερος, ἀπὸ τοῦ Φέρω Φέρτερος· γίνονται τὰ συγκριτικὰ ἐξ ὀνομάτων, ὡς ὀξὺς ὀξύτερος, ἀπὸ ῥήματος, ὡς τὸ Φέρω Φέρτερος, ἀπὸ προθέσεως, ὡς τὸ πρὸ πρότερος, ἀπὸ ἐπιῤῥήματος, ὡς τὸ πάλαι παλαίτερος.

Φέρω, τοῦ ἄγω διαφέρει· τὸ γὰρ Φέρω ἐπὶ ἀψύχων τάσσεται· τὸ δὲ ἄγω ἐπὶ ἐμψύχων· Φέρω τὸ βιβλίον, ἄγω τὸν ἄνθρωπον· καὶ εἰς τὸ ἄγειν καὶ βουληφόρος.

Φερώνυμος, ὁ ἀληθὲς ἔχων καὶ Φέρων τὸ ὄνομα.

Φήσω, παρὰ τὸν Φήσω μέλλοντα, ὥσπερ γνώμη παρὰ τὸν γνώσω μέλλοντα.

Φήληκα, τὰ σῦκα.

Φηλήτης, ὁ ἀπατέων· Φηλήτης οὖν λέγεται, οἱονεὶ Φαυλήτης, παρὰ τὸ Φαυλῶς καὶ εὐχερῶς ἰέναι καὶ ἀναχωρεῖν.

Φηλήτης, ὁ λῃστὴς καὶ κλέπτης, παρὰ τὸ ὑφέλεσθαί τι.

Φήμη, ὥσπερ παρὰ τὸ νοῶ νοήσω, νοήμων, νοήμη καὶ γνώμη, καὶ κινήσω κινήμη καὶ κνήμη, οὕτω καὶ Φήσω Φήμη, παρὰ τὸ Φῶ· τοῦτο δὲ παρὰ τὸ Φῶς· Φῶς γὰρ τῶν πραγμάτων ὁ λόγος· τὸ δὲ Φῶς παρὰ τὸ Φάος· τὸ δὲ Φάος, παρὰ τὸ Φαύω τὸ λάμπω.

Φηγῷ, δρυΐ· εἴρηται δὲ παρὰ τὸ Φώγεσθαι, ὅ ἐστι καίεσθαι· τὰ γὰρ ἔσω τῶν βαλάνων ἐσθίοντες, τὰ ἔξω ἔκαιον πρὸς θέρμην, ὅθεν καὶ βαλανεῖα· καὶ οἱ ἕτεροι ἐκ τοῦ πλεῖν αὐτὰ ἐχρῶντο· ἔστι δὲ ἰσχυρὸν καὶ πολυχρόνιον.

Φθινόπωρον, ὁ σεπτέμβριος καὶ ὀκτώβριος καὶ νοέμβριος, παρὰ τὸ Φθίνειν, τουτέστι παύειν ἐν αὐτοῖς τὴν ὀπώραν.

Φιάλη, ὥσπερ Φιαρή τις οὖσα· Φιαρὸν γὰρ τὸ θερμόν.

Φθίρ, δὲ ὄνομα κύριον σημαίνει, διὰ τοῦ ἰῶτα γραφόμενον· γέγονε δὲ υἱὸς Ἐνδυμίωνος.

Φημί, λέγω, διάτι οὐκ ἀναδιπλασιάζεται; ἐπειδὴ ἐγκλιτικόν ἐστι· καὶ τὰ ἐγκλινόμενα, ἢ μονοσύλλαβα θέλει εἶναι, ἢ δισύλλαβα· τούτου χάριν οὐκ ἀναδιπλασιάζεται· σημαίνει δὲ τὸ λέγω καὶ τὸ Φονεύω· Φῶ γὰρ ἐστι ῥῆμα, καὶ σημαίνει τὸ λέγω, ἐξ αὐτοῦ παράγωγον ῥῆμα Φημὶ, ὁ παρακείμενος πέφηκα, ὁ παθητικὸς πέφαμαι, πέφαται τὸ τρίτον· ἐξ οὗ τὸ, πέφαται ἀνὴρ ἄριστος· ἐξ αὐτοῦ ὄνομα Φατός· αἶ ῥά τε Φῶτας ἀρηϊφάτους κατέδουσι [1]· τὸ δεύτερον Φῇς, τὸ τρίτον Φησί.

Φήνη, ἔστι δὲ πετεινὸν ἴσον ἀετῷ.

Φῇς, τί Φῇς ὦ Πυθαγόρα;

Φηρσίν, ἀντὶ τοῦ θηρσὶ, κατὰ μετάθεσιν τοῦ θ εἰς φ, ὡς τὸ θλᾷν, Φλᾷν· κυρίως δὲ Φῆρες λέγονται σύαστροι, καὶ οἱ τούτους λαμβάνοντες θηρευταί.

Φθέγγω, ἔστι Φῶ τὸ λάμπω, ἐξ αὐτοῦ γίνετ[αι Φθέγ]γω καὶ Φθέγγος.

Φθέγγεσθαι, πλεονασμός ἐστι τοῦ θ, Φθ[έγγεσθαι] γὰρ γίνεται παρὰ τὸ Φέγγος, ὅ ἐστι Φῶς· παρὰ τὸ εἰς Φῶς ἄγειν τὰ τοῦ νοῦ.

Φθόη, καὶ Φθόσις ἡ Φθίσις.

Φθινοῦσαν, ἐλαττουμένην.

Φθινύθειν, Φθινύθω ἄχρι τοῦ παρατατικοῦ καὶ μινύθω. τοῦτο δὲ ἐκ τοῦ Φθίω· τὸ Φ[θ...] καὶ διὰ τῆς ει διφθόγγου γράφεται· Φθεισὸν μένος.

Φθίνω, καὶ Φθιτὸν καὶ Φθίω, εἰς τὸ ἄφθιτ[...]

Φθίμενον, τεθνηκὸς καὶ ἀποφθίμενον, τὸ ῥ[ῆ]μι· ἐκ τοῦ Φθίω ὁ μέλλων Φθίσω, ὁ πα[ρακείμενος] ἔφθικα, καὶ τὸ παθητικὸν ἔφθιμαι καὶ ὁ [...] πρῶτος παθητικὸς ἐφθίτην, τὸ πληθυντικὸν [...]μεν, τὸ τρίτον ἐφθίτησαν, καὶ Βοιωτικῶς ἔφ[θιτεν ...] ἀπέφθιτεν ἐσθλοὶ ἑταῖροι.

Φθόνος, παρὰ τὸ Φθέρω καὶ Φθένω· ἢ [...] Φόνος ἐκβολῇ τοῦ θ, καὶ εἰς τὸ ἄχος καὶ ζ[...]

Φθορὰ, ἐκ τοῦ Φθέρεσθαι ῥᾷον, ἤγουν σήπ[...] χερῶς· Φθίσις γὰρ ἡ σῆψις, ἔστι γὰρ Φθισ[...]

Φθορά ἐστιν ἡ ἐκ τοῦ ὄντος, ἐπὶ τὸ μὴ ὂ[ν ...]βολή.

Φιάλη, μέγα ποτήριον, παρὰ τὸ πίνω καὶ τ[...] σημαίνει τὸ δαψιλῶς, ἢ τὸ πίειν ἅλις π[...] πῶς δεῖ ἀναγινώσκειν Φιάλη, ἢ Φιαλή; Φιάλ[η ...] τὰ διὰ τοῦ αλη θηλυκὰ ὀνόματα ὑπὲρ δύο [...] ἀσυνάληπτα ὄντα, βαρύνονται, οἷον μεσσάλη [...] οὕτως οὖν καὶ Φιάλη· σεσημείωται τὸ κεφα[...]μενον· καὶ εἰς τὸ ὑπερφίαλος.

Φιαρὸς, παρὰ τὸ Φάος, Φιάρη ἡ λάμπουσα, [...] Φάος.

Φθείρ, ὁ ἀπὸ τῆς Φθορᾶς τοῦ σώματος [...] παρὰ τὸ Φθείρεσθαι.

Φιλαλήθης, οὐδέτερον Φιλάληθες.

Φιλέεσκεν, ἐκ τοῦ Φιλῶ, Φιλήσω, καὶ οἱ Δ[...]πουσι τὸ ἦτα εἰς δύο εε καὶ γίνεται Φιλ[...] πλεονασμῷ τοῦ κ Φιλεέσκω καὶ ὁ παρατα[τικὸς ἐφι]λέεσκον, ἐφιλέεσκες, ἐφιλέεσκε, καὶ ἐκβολῇ [...]λεσκε.

Φίλημα, τὸ Φιλοῦν καὶ τὸ Φιλούμενον ἅμα.

Φιλῆτας, τοὺς ἀφαιρεῖν ἔτι καὶ ἐμφορεῖν ἐ[...] παρὰ τὸ ἀφαιρεῖν καὶ ὑφελεῖν τοῦ ὀνόματος [...]θέντος.

Φίλην, ἀγάπην, ἐκ τοῦ Φύλος, τὸ δὲ Φύλ[ος ...] Φύω, Φύσω, Φύλος καὶ Φίλος, ὁ προσφιλής.

Φιλήτης, ὁ κλέπτης, κατ' ἀντίφρασιν, ὁ μ[...] καὶ γὰρ ἄφιλος ὁ κλέπτης· γέγονε δὲ πα[ρὰ τὸ ῥᾳ]δίως ἀφίεσθαι· εἰ γὰρ ἦν παρὰ ὑφελέσθ[αι ...] ἀποβολὴν τοῦ υ, ἔδει διὰ τῆς ει διφθόγγ[ου γράφε]σθαι.

Φιλήτης, ὁ κλέπτης, διὰ τοῦ η γράφεται· [...] ὁ Τεχνικὸς, πολλὰ πάθη δίδωσι γάρ· καὶ [...] διὰ τῆς ει διφθόγγου γράφεται· δίδωσι δὲ [...]σιν τοῦ ε εἰς ἦτα· τὸ γὰρ ὑφειλέτης τῷ ε [...]ται, τὸ δὲ Φιλήτης τῷ ἦτα, ὃ λέγει καὶ Τρύ[φων ...] εἰσι τινὰ ὀνόματα συμπάσχοντα τῷ δηλουμέ[νῳ ...] ἡμισυκύκλιον, ἡμίκυκλον, λείπω λιμὸς, οὕτω [...] ἐνταῦθα συνέπαθεν ἡ Φωνὴ τῷ δηλουμένῳ, ἐ[...]

---

1) Il. XIX, 31.

γμαίνει. ὁ γὰρ κλέπτης ἔνδειαν ποιεῖ· τούτου
ὶ ἔνδειαν φωνῆς ἀνεδέξατο· καὶ ἀποβολῇ τοῦ
ιῦ ε, καὶ τροπὴν ἐποίησε τοῦ ε εἰς ἦτα.
ἔστιν εἰπεῖν. ὥσπερ παρὰ τὸ οἰκῶ γίνεται
καὶ παρὰ τὸ μάγω μαγέτης οὕτω καὶ παρὰ
γίνεται φιλέτης καὶ ἐκτάσει τοῦ ἰῶτα. καὶ
ῦ ε εἰς ἦτα, φιλήτης· φιλήτης γὰρ λέγεται
ς, παρὰ τὸ φιλεῖσθαι, κατ' ἀντίφρασιν οἱονεὶ
τνος.

νώτατε, παρὰ τὸ φίλος καὶ τὸ κτέανον,
ὸ κτῆμα· τὸ δὲ κτέανον, παρὰ τὸ κτῶ κτά-
τύπτω τύπτανον, καὶ πλεονασμῷ τοῦ ε κτέα-
κτεατίζω ῥῆμα· δηλοῖ δὲ τὸ κτῆμα.

νώτατος, ὁ φιλοκτήμων καὶ φιλοκτήτωρ,
λοχρήματος· ἢ ὁ φιλῶν πάντα.

νπος, ἐξ ἀπολείποντος τοῦ φιλῶ καὶ τελείου
ωπος.

α, ἡ κατασκευή.

ἐπὶ τρόπου, ἔρξυ ἐπὶ σώματος.

ῆς, ἡ μέδουσα καὶ βουλομένη καὶ θέλουσα·
ὸ τὰ μήδεα τὰ βουλεύματα, ὡς Ἡσίοδος.

ῆς, τὸ μει διφθόγγῳ· ἢ γὰρ παρὰ τὸ μέ-
βασιλεύειν. καὶ τὸ φιλεῖν γέγονε φιλομέδης,
νασμῷ τοῦ ἰῶτα φιλομειδής· ἢ παρὰ τὸ μει-
σημαίνει τὸ γελῶ· φιλομειδὴς γὰρ ὁ φιλό-

παρὰ τὸ φίλω βαρύτονον φίλτρον, καὶ ἀπὸ
ὶ περισπώμενον φίλητρον καὶ φίλτρον κατὰ

ος, φίλενης ἀναιδής, οὐκ ἐναντιοῦται, διὰ
ιφθόγγου, ἐκ τοῦ νεῖκος γενόμενον· ἢ παρὰ
ἐστι κακῶς.

ῖ, σπουδαίως ἐργάζεται· παρὰ τὸ φιλεῖν καὶ
ὃ ἐστιν ἐργάζεσθαι.

ς, ὁ φιλῶν τὰ συμπόσια.

κόρμοι, φύτρον τινὲς ὄντες ἀπὸ τοῦ φύεσθαι.

καὶ κυνεῖν διαφέρει· φιλεῖν μὲν τὸ ἀγαπᾶν·
τὸ τοῖς χείλεσιν ἀσπάζειν.

αν, μεγαλοψυχίαν.

γοι, φιλίαν τηροῦντες.

ως, προθύμως, σπουδαίως.

ύνη, ἀγάπη.

ὕτο καὶ τὸ ἀνὴρ, καὶ τὸ ἀνεψιὸς, καὶ Ἀσκλη-
Ἀπόλλων, καὶ Ἄρης καὶ αὐτὸ παρὰ τῷ ποιητῇ,
νεται καὶ συστέλλεται· εἴρηται παρὰ τὸ πίνω,
συμποσίων εἰώθασιν οἱ φίλοι γίνεσθαι· καὶ
πῖρος καὶ πηός.

ε, ἐξ ἀπολείποντος καὶ τελείου, ὡς φιλότο-
ῖς φιλόδημος· ἀπέλειψε γὰρ τὸ σ τοῦ φίλος·
δεύτερον ἰῶτα διάτι; τὰ διὰ τοῦ ια παροξύ-
νια.

ς, διὰ τὸ φιλεῖν τὴν σοφίαν.

λῶρος, ἐκ τοῦ ἱμᾶς διὰ τοῦ ἰῶτα γράφεται·
σφίγγω γέγονε σφιγμὸς καὶ φιμός.

ἀπὸ τοῦ τὸν φλεγεδέστατον χυμὸν περιέχειν,
τοῦ αἵματος· φλέβες οὖν παρὰ τὸ δι' αὐτῶν
ι φλογώδες.

παρὰ τὸ φόνος.

παρὰ τὸ ἶφι καὶ τὸν νοῦν γέγονεν, οἱονεὶ ὁ
ἰσχυρὸν ἔχων τὸν νοῦν· τὸ φι, ἰῶτα διάτι; ὡς δέ-
δεικται διὰ τοῦ ἰῶτα γράφεται. καὶ ἄλλως, τὰ εἰς
ευς οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι.

Φίσκος, δημόσιον ταμεῖον, πολύχρημα.

Φλάμουλον, ἀπὸ τοῦ φλογόνου χρώματος ὠνομάσθη.

Φλεβότομον, ὅτι τὴν φλέβα τέμνειν.

Φλαμουλάριοι, ἐκ τοῦ ἐπὶ τῆς ἄκρας τοῦ δόρατος φοινικὰ ῥάκεα ἐξήρτηνται.

Φλέγω, παρὰ τὸ φλέω· τοῦτο ἐκ τοῦ φλέω, τὸ ἀναδίδωμι.

Φλήναφος, ὥσπερ φληνάφου τοῦ πράγματος λήρου, ληροδώρου λέγεται.

Φληναφεῖν, τὸ φλυαρεῖν, καὶ φλήναφος ὁ φλυαρὸς, ἀπὸ τοῦ φλέω ῥήματος, ὅπερ καὶ φλύω εἴρηται, ὡς ῥέω ῥύω, ξέω ξύω, καὶ Ὅμηρος, ἀνα δ' ἔφλυε καλὰ ῥέεθρα· παρὰ δὲ τὸ φλέω, ὅπερ ταὐτόν ἐστι τῷ φλύω, γίνεται ὄνομα φλεὸς [1]), ὡς δέω δεινὸς, τέρπω τερπνός· ἀπὸ οὖν τὸ φλέω καὶ τοῦ φῶ τὸ λέγω, γίνεται φλήναφος, ὁ φλυαρίας λέγων· καὶ εἰς τὸ φλοιός.

Φλία, διὰ τοῦ ἰῶτα γράφεται· παρὰ τὸ θλίβω, ὅπερ καὶ διὰ τοῦ ἰῶτα γράφεται, γέγονε θλιὰ, καὶ κατὰ τροπὴν τοῦ θ εἰς φ, φλιὰ ὡς φῆρες θῆρες· φλιὰ δέ ἐστι τὸ πλάγιον τῆς θύρας, ἐν ᾧ ἵσταταί τις, καὶ ἐπερείδεται.

Φλοίσβοιος, αἱ διὰ τοῦ οιο θετταλικαὶ γενικαὶ διὰ τοῦ οιος προσφέρουσι· τὸ φλοις διφθόγγῳ διάτι; τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασι· φλέω γάρ ἐστι ῥῆμα, καὶ τροπῇ φλύω, ἐξ αὐτοῦ φλοῖσβος· γίνεται οὖν παρὰ τὸ φλογίζω φλόγισμα, ἀποβολῇ τοῦ γ, φλοϊσμὸς καὶ φλοῖσβος, κατὰ τροπὴν τοῦ μ εἰς β.

Φλῆνος, ὅθεν καὶ φληναφῶ· φῶ ἐστι ῥῆμα, δηλοῦν τὸ λέγω, οὗ ὁ μέλλων φήσω, καὶ κατὰ πλεονασμὸν τοῦ λ, φλῆνος.

Φλοιδούμενος, ἐκ τοῦ φλοῖσβος, τοῦ σημαίνοντος τὸν κοχλασμὸν τοῦ πυρὸς ἀντὶ τοῦ φλογιζόμενος.

Φλοιὸς, παρὰ τὸ φλὸς, φλοὸς καὶ φλοιός· ἢ παρὰ τὸ ἀναφλῶ τὸ ἀναδίδωμι, καὶ ἀναπέμπω.

Φλῶ, φλέω, φλοός καὶ φλοιός, ἢ ἐκ τοῦ φλῶ, κατὰ παραγωγὴν φλάζω καὶ παφλάζω, κατὰ τροπὴν τοῦ ε εἰς υ, φλυόν, ἐξ οὗ καὶ φλυαρὸς, ὁ ἀναπέμπων τοὺς λόγους· ἐκ δὲ τοῦ φλέω καὶ φλεὸς καὶ φληνός· καὶ μετὰ τοῦ φῶ ῥήματος τοῦ δηλοῦντος τὸ λέγω, γίνεται φληναφῶ, καὶ τὸ φλήναφος ὁ ὕθλος.

Φλοῖσβος, ὁ ἀφρὸς καὶ ὁ τάραχος, παρὰ τὸ φλέω τὸ ἀνακράζω. φλομὸς καὶ φλοῖβος, καὶ πλεονασμῷ τοῦ σ, φλοῖσβος.

Φορβέστατος, ἀθηναΐς, παρὰ τὸ φυγεῖν τοῖς πολεμίοις ἐμποίηται.

Φλέγμα, παρὰ τὸ φλέγω φλέξω φλέγμα κατ' ἀντίφρασιν, ψυχρότατον γάρ ἐστι· καὶ τὸ πικρότατον φλέγμα λέγεται, οἷον χολὴ, οὐδὲ γὰρ ἀποκριθεῖσα πήγνυται.

Φλὸξ, παρὰ τὸ φλέγω, φλέξω. φλὸξ· τὸ φλο μικρόν· τὰ ἔχοντα τὸ ε, ἐγκείμενον· ἢ καὶ τὰ εἰς ωξ ἅπαντα, διὰ τοῦ ω, γράφεται, πλὴν τοῦ φλόξ. διάτι ὀξύνεται; τὰ ἀπὸ μελλόντων δισυλλάβων, κατ' ἀποβολὴν τοῦ ω, γινόμενα ὀνόματα ὀξύνονται.

ικός.

Φέρουλλα, ἡ κρούουσα ἐκ τοῦ Φέριρε.

Φερέζωον, παρὰ τὸ Φέρω καὶ τὸ ζωὴ, γίνεται Φερέζωος, ὁ τὴν ζωὴν Φέρων.

Φέρβειν, τρέφειν.

Φέρετρον, ἡ τῶν νεκρῶν κλίνη.

Φέρνη, προὶξ, δωρέα, Φερνή τις οὖσα, ἀπὸ τοῦ Φέρεσθαι, οὕτως Ἡρακλείδης.

ΦερσεΦόνη, οἱ μὲν ὅτι Φερβικὴν ὄνησιν ἡμῖν παρέχει· οἱ δὲ ὅτι Φέρβον ἐΦόνευσεν τὸν γίγαντα· ἢ ὅτι πρὸς αὐτὸν τοὺς πεΦονευμένους ἄγει.

Φέρτερος, ἀπὸ τοῦ Φέρω Φέρτερος· γίνονται τὰ συγκριτικὰ ἐξ ὀνομάτων, ὡς ὀξὺς ὀξύτερος, ἀπὸ ῥήματος, ὡς τὸ Φέρω Φέρτερος, ἀπὸ προθέσεως, ὡς τὸ πρὸ πρότερος, ἀπὸ ἐπιῤῥήματος, ὡς τὸ πάλαι παλαίτερος.

Φέρω, τοῦ ἄγω διαΦέρει· τὸ γὰρ Φέρω ἐπὶ ἀψύχων τάσσεται· τὸ δὲ ἄγω ἐπὶ ἐμψύχων· Φέρω τὸ βιβλίον, ἄγω τὸν ἄνθρωπον· καὶ εἰς τὸ ἄγειν καὶ βουληΦόρος.

Φερώνυμος, ὁ ἀληθὲς ἔχων καὶ Φέρων τὸ ὄνομα.

Φήσω, παρὰ τὸν Φήσω μέλλοντα, ὥσπερ γνώμη παρὰ τὸν γνώσω μέλλοντα.

Φήληκα, τὰ σῦκα.

Φηλήτης, ὁ ἀπατέων· Φηλήτης οὖν λέγεται, οἱονεὶ Φαυλήτης, παρὰ τὸ Φαυλῶς καὶ εὐχερῶς ἰέναι καὶ ἀναχωρεῖν.

Φηλήτης, ὁ ληστὴς καὶ κλέπτης, παρὰ τὸ ὑΦέλεσθαί τι.

Φήμη, ὥσπερ παρὰ τὸ νοῶ νοήσω, νοήμων, νοήμη καὶ γνώμη, καὶ κινήσω κινήμη καὶ κνήμη, οὕτω καὶ Φήσω Φήμη, παρὰ τὸ Φῶ· τοῦτο δὲ παρὰ τὸ Φῶς· Φῶς γὰρ τῶν πραγμάτων ὁ λόγος· τὸ δὲ Φῶς παρὰ τὸ Φάος· τὸ δὲ Φάος, παρὰ τὸ Φαύω τὸ λάμπω.

Φηγῷ, δρυΐ· εἴρηται δὲ παρὰ τὸ Φώγεσθαι, ὅ ἐστι καίεσθαι· τὰ γὰρ ἔσω τῶν βαλάνων ἐσθίοντες, τὰ ἔξω ἔκαιον πρὸς θέρμην, ὅθεν καὶ βαλανεῖα· καὶ οἱ ἕτεροι ἐκ τοῦ πλεῖν αὐτὰ ἐχρῶντο· ἔστι δὲ ἰσχυρὸν καὶ πολυχρόνιον.

Φθινόπωρον, ὁ σεπτέμβριος καὶ ὀκτώβριος καὶ νοέμβριος, παρὰ τὸ Φθίνειν, τουτ' ἔστι παύειν ἐν αὐτοῖς τὴν ὀπώραν.

Φιάλη, ὥσπερ Φιαρή τις οὖσα· Φιαρὸν γὰρ τὸ θερμόν.

Φθὶρ, δὲ ὄνομα κύριον σημαίνει, διὰ τοῦ ἰῶτα γραΦόμενον· γέγονε δὲ υἱὸς Ἐνδυμίωνος.

Φημὶ, λέγω, διάτι οὐκ ἀναδιπλασιάζεται; ἐπειδὴ ἐγκλιτικόν ἐστι· καὶ τὰ ἐγκλινόμενα, ἢ μονοσύλλαβα θέλει εἶναι, ἢ δισύλλαβα· τούτου χάριν οὐκ ἀναδιπλασιάζεται· σημαίνει δὲ τὸ λέγω καὶ τὸ Φονεύω· Φῶ γὰρ ἐστι ῥῆμα, καὶ σημαίνει τὸ λέγω, ἐξ αὐτοῦ παράγωγον ῥῆμα Φημὶ, ὁ παρακείμενος πέΦηκα, ὁ παθητικὸς πέΦαμαι, πέΦαται τὸ τρίτον· ἐξ οὗ τὸ, πέΦαται ἀνὴρ ἄριστος· ἐξ αὐτοῦ ὄνομα Φατός· αἶ ῥά τε Φῶτας ἀρηϊΦάτους κατέδουσι 1)· τὸ δεύτερον Φῇς, τὸ τρίτον Φησί.

Φήνη, ἔστι δὲ πετεινὸν ἶσον ἀετῷ.

Φῇς, τί Φῇς ὦ Πυθαγόρα;

Φηρσὶν, ἀντὶ τοῦ θηρσὶ, κατὰ μετάθεσιν τοῦ θ εἰς Φ, ὡς τὸ θλᾶν, Φλᾶν· κυρίως δὲ Φῆρες λέγονται σύαστροι, καὶ οἱ τούτους λαμβάνοντες θηρευταί.

Φθέγγω, ἔστι Φῶ τὸ λάμπω, ἐξ αὐτοῦ γίνεται Φθέγγω καὶ Φθόγγος.

Φθέγγεσθαι, πλεονασμός ἐστι τοῦ θ, Φθέγγεσθαι γὰρ γίνεται παρὰ τὸ Φέγγος, ὅ ἐστι Φῶς· εἴρηται, παρὰ τὸ εἰς Φῶς ἄγειν τὰ τοῦ νοῦ.

Φθόη, καὶ Φθόσις ἡ Φθίσις.

Φθινοῦσαν, ἐλαττουμένην.

Φθινύθειν, Φθινύθω ἄχρι τοῦ παρατατικοῦ κλίνεται. καὶ μινύθω. τοῦτο δὲ ἐκ τοῦ Φθίω· τὸ Φθι ἰῶτα· καὶ διὰ τῆς ει διΦθόγγου γράΦεται· Φθείσει σε τὸ σὸν μένος.

Φθίνω, καὶ Φθιτὸν καὶ Φθίω, εἰς τὸ ἄΦθιτον.

Φθίμενον, τεθνηκὸς καὶ ἀποΦθίμενον, τὸ ῥῆμα Φθίμι· ἐκ τοῦ Φθίω ὁ μέλλων Φθίσω, ὁ παρακείμενος ἔΦθικα, καὶ τὸ παθητικὸν ἔΦθιμαι καὶ ὁ ἀόριστος πρῶτος παθητικὸς ἐΦθίτην, τὸ πληθυντικὸν ἐΦθίτημεν, τὸ τρίτον ἐΦθίτησαν, καὶ Βοιωτικῶς ἔΦθιτεν καὶ ἀπέΦθιτεν ἐσθλοὶ ἑταῖροι.

Φθόνος, παρὰ τὸ Φθέρω καὶ Φθένω· ἢ παρὰ τὸ Φόνος ἐκβολῇ τοῦ θ, καὶ εἰς τὸ ἄχος καὶ ζῆλος.

Φθορὰ, ἐκ τοῦ Φθέρεσθαι ῥᾷον, ἤγουν σήπεσθαι εὐχερῶς· Φθίσις γὰρ ἡ σῆψις, ἔστι γὰρ Φθισήνωρ.

Φθορά ἐστιν ἡ ἐκ τοῦ ὄντος, ἐπὶ τὸ μὴ ὂν, μεταβολή.

Φιάλη, μέγα ποτήριον, παρὰ τὸ πίνω καὶ τὸ ἅλις. ὃ σημαίνει τὸ δαψιλῶς, ἢ τὸ πίειν ἅλις παρέχουσα· πῶς δεῖ ἀναγινώσκειν Φιάλη, ἢ Φιαλή; Φιάλη· διάτι; τὰ διὰ τοῦ αλη θηλυκὰ ὀνόματα ὑπὲρ δύο συλλαβὰς, ἀσυνάληπτα ὄντα, βαρύνονται, οἷον μεσσάλη, αἰθάλη, οὕτως οὖν καὶ Φιάλη· σεσημείωται τὸ κεΦαλὴ ὀξυνόμενον· καὶ εἰς τὸ ὑπερΦίαλος.

Φιαρὸς, παρὰ τὸ Φάος, Φιάρη ἡ λάμπουσα, παρὰ τὸ Φάος.

Φθεὶρ, ὁ ἀπὸ τῆς Φθορᾶς τοῦ σώματος γενόμενος, παρὰ τὸ Φθείρεσθαι.

Φιλαλήθης, οὐδέτερον Φιλάληθες.

Φιλέεσκεν, ἐκ τοῦ Φιλῶ, Φιλήσω, καὶ οἱ Δωριεῖς τρέπουσι τὸ ἦτα εἰς δύο εε καὶ γίνεται Φιλεέσσω καὶ πλεονασμῷ τοῦ κ Φιλεέσκω καὶ ὁ παρατατικὸς ἐΦιλέεσκον, ἐΦιλέεσκες, ἐΦιλέεσκε, καὶ ἐκβολῇ τοῦ ε, Φίλεσκε.

Φίλημα, τὸ Φιλοῦν καὶ τὸ Φιλούμενον ἅμα.

Φιλῆτας, τοὺς ἀΦαιρεῖν ἔτι καὶ ἐμΦορεῖν ἐθέλοντας· παρὰ τὸ ἀΦαιρεῖν καὶ ὑΦελεῖν τοῦ ὀνόματος αὐτῆς τιθέντος.

Φίλην, ἀγάπην, ἐκ τοῦ Φύλος, τὸ δὲ Φύλος ἐκ τοῦ Φύω, Φύσω, Φύλος καὶ Φίλος, ὁ προσΦιλής.

Φιλήτης, ὁ κλέπτης, κατ' ἀντίΦρασιν, ὁ μισούμενος, καὶ γὰρ ἄΦιλος ὁ κλέπτης· γέγονε δὲ παρὰ τὸ ῥαδίως ἀΦίεσθαι· εἰ γὰρ ἦν παρὰ ὑΦελέσθαι, κατ' ἀποβολὴν τοῦ υ, ἔδει διὰ τῆς ει διΦθόγγου γράΦεσθαι.

Φιλήτης, ὁ κλέπτης, διὰ τοῦ η γράΦεται· καὶ λέγει ὁ Τεχνικὸς, πολλὰ πάθη δίδωσι γάρ· καὶ ἀποβολῇ διὰ τῆς ει διΦθόγγου γράΦεται· δίδωσι δὲ καὶ ἔκτασιν τοῦ ε εἰς ἦτα· τὸ γὰρ ὑΦειλέτης τῷ ε παραλήγεται, τὸ δὲ Φιλήτης τῷ ἦτα, ὃ λέγει καὶ Τρύφων, ὅτι εἰσί τινα ὀνόματα συμπάσχοντα τῷ δηλουμένῳ. οἷον, ἡμισυκύκλιον, ἡμίκυκλον, λείπω λιμὸς, οὕτως οὖν καὶ ἐνταῦθα συνέπαθεν ἡ Φωνὴ τῷ δηλουμένῳ, ἐπειδὴ γὰρ

ἔνδειαν σημαίνει. ὁ γὰρ κλέπτης ἔνδειαν ποιεῖ· τούτου χάριν καὶ ἔνδειαν φωνῆς ἀνεδέξατο· καὶ ἀποβολῇ τοῦ υ καὶ τοῦ ε, καὶ τροπὴν ἐποίησε τοῦ ε εἰς ἦτα. κρεῖττον ἐστιν εἰπεῖν. ὥσπερ παρὰ τὸ οἰκῶ γίνεται οἰκέτης, καὶ παρὰ τὸ μάγω μαγέτης οὕτω καὶ παρὰ τὸ φιλῶ γίνεται φιλέτης καὶ ἐκτάσει τοῦ ἰῶτα. καὶ τροπῇ τοῦ ε εἰς ἦτα, φιλήτης· φιλήτης γὰρ λέγεται ὁ κλέπτης, παρὰ τὸ φιλεῖσθαι, κατ' ἀντίφρασιν οἱονεὶ ὁ μισούμενος.

Φιλοκτεανώτατε, παρὰ τὸ φίλος καὶ τὸ κτέανον, ὃ δηλοῖ τὸ κτῆμα· τὸ δὲ κτέανον, παρὰ τὸ κτῶ κτάνον, ὡς τύπτω τύπτανον, καὶ πλεονασμῷ τοῦ ε κτέανον, καὶ κτεατίζω ῥῆμα· δηλοῖ δὲ τὸ κτῆμα.

Φιλοκτεανώτατος, ὁ φιλοκτήμων καὶ φιλοκτήτωρ, καὶ ὁ φιλοχρήματος· ἢ ὁ φιλῶν πάντα.

Φιλάνθρωπος, ἐξ ἀπολείποντος τοῦ φιλῶ καὶ τελείου τοῦ ἄνθρωπος.

Φιλοκαλία, ἡ κατασκευή.

Φιλεῖν. ἐπὶ τρόπου. ἐρᾶν ἐπὶ σώματος.

Φιλομειδὴς, ἡ μέδουσα καὶ βουλομένη καὶ θέλουσα· ἢ παρὰ τὸ τὰ μήδεα τὰ βουλεύματα, ὡς Ἡσίοδος.

Φιλομειδὴς, τὸ μει διφθόγγῳ· ἢ γὰρ παρὰ τὸ μέδειν τὸ βασιλεύειν. καὶ τὸ φιλεῖν γέγονε φιλομέδης, καὶ πλεονασμῷ τοῦ ἰῶτα φιλομειδής· ἢ παρὰ τὸ μειδιῶ, ὃ σημαίνει τὸ γελῶ· φιλομειδὴς γὰρ ὁ φιλόγελως.

Φίλτρον, παρὰ τὸ φίλω βαρύτονον φίλτρον, καὶ ἀπὸ τοῦ φιλῶ περισπώμενον φίλητρον καὶ φίλτρον κατὰ συγκοπήν.

Φιλόνεικος, φίλενης ἀναιδὴς, οὐκ ἐναντιοῦται, διὰ τῆς ει διφθόγγου, ἐκ τοῦ νεῖκος γενόμενον· ἢ παρὰ τὸ φῦς ὅ ἐστι κακῶς.

Φιλοπονεῖ, σπουδαίως ἐργάζεται· παρὰ τὸ φιλεῖν καὶ πονεῖν, ὅ ἐστιν ἐργάζεσθαι.

Φιλοπότης, ὁ φιλῶν τὰ συμπόσια.

Φίτροι, κορμοὶ, φύτρον τινὲς ὄντες ἀπὸ τοῦ φύεσθαι.

Φιλεῖν, καὶ κυνεῖν διαφέρει· φιλεῖν μὲν τὸ ἀγαπᾷν· κυνεῖν δὲ τὸ τοῖς χείλεσιν ἀσπάζειν.

Φιλοτιμίαν, μεγαλοψυχίαν.

Φιλόστοργοι, φιλίαν τηροῦντες.

Φιλοφρόνως, προθύμως, σπουδαίως.

Φιλοφροσύνη, ἀγάπη.

Φίλος, τοῦτο καὶ τὸ ἀνὴρ, καὶ τὸ ἀνεψιὸς, καὶ Ἀσκληπιὸς, καὶ Ἀπόλλων, καὶ Ἄρης καὶ αὐτὸ παρὰ τῷ ποιητῇ, καὶ ἐκτείνεται καὶ συστέλλεται· εἴρηται παρὰ τὸ πίνω, ἀπὸ γὰρ συμποσίων εἰώθασιν οἱ φίλοι γίνεσθαι· καὶ εἰς τὸ ἑταῖρος καὶ πηός.

Φιλοσοφία, ἐξ ἀπολείποντος καὶ τελείου, ὡς φιλόσοφος καὶ ὡς φιλόδημος· ἀπέλειψε γὰρ τὸ σ τοῦ φίλος· τὸ φι τὸ δεύτερον ἰῶτα διάτι; τὰ διὰ τοῦ ια παροξύτονα θηλυκά.

Φιλόσοφος, διὰ τὸ φιλεῖν τὴν σοφίαν.

Φιμὸς, ὁ λάβρος· ἐκ τοῦ ἱμᾶς διὰ τοῦ ἰῶτα γράφεται· παρὰ τὸ σφίγγω γέγονε σφιγμὸς καὶ φιμός.

Φλέβες, ἀπὸ τοῦ τὸν φλεγεθέστατον χυμὸν περιέχειν, τουτέστι τοῦ αἵματος· φλέβες οὖν παρὰ τὸ δι' αὐτῶν βαίνειν τὸ φλογῶδες.

Φινεὸς, παρὰ τὸ φόνος.

Φινεὺς, παρὰ τὸ ἶφι καὶ τὸν νοῦν γέγονεν, οἱονεὶ ὁ ἰσχυρὸν ἔχων τὸν νοῦν· τὸ φι, ἰῶτα διάτι; ὡς δέδεικται διὰ τοῦ ἰῶτα γράφεται. καὶ ἄλλως. τὰ εἰς ευς οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι.

Φίσκος, δημόσιον ταμεῖον, πολύχρημα.

Φλάμουλον, ἀπὸ τοῦ φλογόνου χρώματος ὠνομάσθη.

Φλεβότομον, ὅτι τὴν φλέβα τέμνειν.

Φλαμουλάριοι, ἐκ τοῦ ἐπὶ τὰς ἄκρας τοῦ δόρατος φοινικᾶ ῥάκεα ἐξήρτηνται.

Φλέγω, παρὰ τὸ φλέω· τοῦτο ἐκ τοῦ φλέω, τὸ ἀναδίδωμι.

Φλήναφος, ὥσπερ φληνάφου τοῦ πράγματος λήρου, ληροδώρου λέγεται.

Φληναφεῖν. τὸ φλυαρεῖν, καὶ φλήναφος ὁ φλυαρὸς, ἀπὸ τοῦ φλέω ῥήματος, ὅπερ καὶ φλύω εἴρηται, ὡς ῥέω ῥύω, ξέω ξύω, καὶ Ὅμηρος, ἀνα δ' ἔφλυε καλὰ ῥέεθρα· παρὰ δὲ τὸ φλέω, ὅπερ ταὐτόν ἐστι τῷ φλύω, γίνεται ὄνομα φλεὸς [1]), ὡς δέω δεινὸς, τέρπω τερπνός· ἀπὸ οὖν τὸ φλέω καὶ τοῦ φῶ τὸ λέγω, γίνεται φλήναφος, ὁ φλυαρίας λέγων· καὶ εἰς τὸ φλοιός.

Φλία, διὰ τοῦ ἰῶτα γράφεται· παρὰ τὸ θλίβω, ὅπερ καὶ διὰ τοῦ ἰῶτα γράφεται, γέγονε θλιὰ, καὶ κατὰ τροπὴν τοῦ θ εἰς φ, φλιὰ ὡς φῆρες θῆρες· φλιὰ δέ ἐστι τὸ πλάγιον τῆς θύρας, ἐν ᾧ ἵσταταί τις, καὶ ἐπερείδεται.

Φλοίσβοιος, αἱ διὰ τοῦ οιο θετταλικαὶ γενικαὶ διὰ τοῦ οιος προσφέρουσι· τὸ φλοις διφθόγγῳ διάτι; τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασι· φλέω γάρ ἐστι ῥῆμα, καὶ τροπῇ φλύω, ἐξ αὐτοῦ φλοῖσβος· γίνεται οὖν παρὰ τὸ φλογίζω φλόγισμα, ἀποβολῇ τοῦ γ, φλοϊσμὸς καὶ φλοῖσβος, κατὰ τροπὴν τοῦ μ εἰς β.

Φλῆνος, ὅθεν καὶ φληναφῶ· φῶ ἐστι ῥῆμα. δηλοῦν τὸ λέγω, οὗ ὁ μέλλων φήσω, καὶ κατὰ πλεονασμὸν τοῦ λ, φλῆνος.

Φλοιδούμενος, ἐκ τοῦ φλοῖσβος, τοῦ σημαίνοντος τὸν κοχλασμὸν τοῦ πυρὸς ἀντὶ τοῦ φλογιζόμενος.

Φλοιὸς, παρὰ τὸ φλὸς, φλοὸς καὶ φλοιός· ἢ παρὰ τὸ ἀναφλῶ τὸ ἀναδίδωμι, καὶ ἀναπέμπω.

Φλῶ, φλέω, φλοὸς καὶ φλοιός, ἢ ἐκ τοῦ φλῶ, κατὰ παραγωγὴν φλάζω καὶ παφλάζω, κατὰ τροπὴν τοῦ ε εἰς υ, φλυόν, ἐξ οὗ καὶ φλυαρὸς, ὁ ἀναπέμπων τοὺς λόγους· ἐκ δὲ τοῦ φλέω καὶ φλενὸς καὶ φληνός· καὶ μετὰ τοῦ φῶ ῥήματος τοῦ δηλοῦντος τὸ λέγω, γίνεται φληναφῶ, καὶ τὸ φλήναφος ὁ ὕθλος.

Φλοῖσβος, ὁ ἀφρὸς καὶ ὁ τάραχος, παρὰ τὸ φλέω τὸ ἀνακράζω. φλομὸς καὶ φλοῖβος, καὶ πλεονασμῷ τοῦ σ, φλοῖσβος.

Φορβέστατος, ἀθηναῖος, παρὰ τὸ φυγεῖν τοῖς πολεμίοις ἐμποιῆται.

Φλέγμα, παρὰ τὸ φλέγω φλέξω φλέγμα κατ' ἀντίφρασιν, ψυχρότατον γάρ ἐστι· καὶ τὸ πικρότατον φλέγμα λέγεται, οἷον χολὴ, οὐδὲ γὰρ ἀποκριθεῖσα πήγνυται.

Φλὸξ, παρὰ τὸ φλέγω, φλέξω. φλὸξ· τὸ φλο μικρόν· τὰ ἔχοντα τὸ ε, ἐγκείμενον· ἢ καὶ τὰ εἰς ωξ ἅπαντα, διὰ τοῦ ω, γράφεται, πλὴν τοῦ φλόξ. διάτι ὀξύνεται; τὰ ἀπὸ μελλόντων δισυλλάβων, κατ' ἀποβολὴν τοῦ ω, γινόμενα ὀνόματα ὀξύνονται.

---

1) F. φλενός.

Φλὸξ, ἡ καρδία καὶ πυρά· τῆς Φλογὸς ὁ κανών· τὰ εἰς ξ λήγοντα ὀνόματα ἔχοντα ῥῆμα ἀντιπαρακείμενον, εἰς ζω [1]) διὰ τοῦ γ, κλίνεται.

Φλύω, εἰς τὸ ΦλήναΦος.

Φλῶ, εἰς τὸ Φλέγω, καὶ Φλοιὸν καὶ Φρέαρ.

Φόβος, ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; γενικοῦ· γενικὸν δέ ἐστι, τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆναι, οἷον βοῦς ἵππος· καὶ εἰς πόσα διαιρεῖται ὁ Φόβος; εἰς ἕξ· εἰς ὄκνον, εἰς ἔκπληξιν, εἰς κατάπληξιν, εἰς αἰδῶ, εἰς αἰσχύνην, εἰς ἀγωνίαν· καὶ ὄκνος μέν ἐστι Φόβος μελλούσης ἐνεργείας γινόμενος· μέλλων γάρ τίς τι ποιεῖν Φόβου ἄξιον ὀκνεῖ· ἔκπληξις δέ ἐστι Φόβος ἐξ ἀσυνήθους Φαντασίας γινόμενος· κατάπληξις δὲ Φόβος ἐκ μεγάλης Φαντασίας γενόμενος· αἰδὼς ἐστι Φόβος ἐπὶ προσδοκίᾳ ψόγου· προσδοκῶν γάρ τις πρᾶξαι τι εἰς ψόγον καταλῆγον αἰδεῖται· αἰσχύνη δὲ Φόβος, ἐπὶ αἰσχρῷ πράγματι πεπραγμένος· ἀγωνία δὲ Φόβος διὰ πτώσεως, τουτέστιν ἀποτυχίας· Φοβούμενοι γὰρ ἀποτυχεῖν, ἀγωνιῶμεν· καλοῦσι δὲ αὐτὴν δειλίαν.

Φοῖβος, ὁ Ἀπόλλων, ὁ μαντευτικὸς καὶ ἀμίαντος, ἢ καθαρός· Φοῖβον γὰρ τὸ καθαρόν. Ἡσίοδος δὲ Φοῖβον αὐτὸν καλεῖ μαμμωνυμικῶς ἀπὸ Φοίβης.

Φοῖνιξ, Φοίνικος, τοῦτο παρὰ τὸ Φοινόν, τοῦτο παρὰ τὸ Φόνος· Φόνιοι γὰρ Φοίνικες καὶ ληστρικοὶ τῶν τρόπων· δύναται δὲ καὶ ἐκ τοῦ δένδρου λαμβάνεσθαι, αἱμάσσουσι γὰρ καὶ Φοινίσσουσι τοὺς ἁπτομένους αὐτῶν, διὰ τὴν ὀξύτητα τοῦ στελέχου.

Φόλλις, ὃ καὶ βαλάντιον καλεῖται· ἔχει γὰρ καὶ ἀργύρους ιβ, δηνάρια σν, λίτρας ιβ· Φόλλις κατὰ τὸν δηναρισμὸν, ἀλλ' οὐ κατὰ ἀργυρισμόν· Φόλλις Φολὶς ὁ ὀβολὸς, ἐξ οὗ καὶ Φολὶς ιβ.

Φολιδωτῶν, λεπιδώτων.

Φολκὸς, ὁ στράβος, παρὰ τὸ τὰ Φάη ἑλκυσμένα ἔχειν· ἑλκυσμένον γὰρ λέγεται τὸ στράβον.

Φοῖβος, καθαρὸς ἢ ἀμίαντος, ἢ λαμπρὰ θρίξ, ἤγουν τρίχες, ἢ ὁ Ἀπόλλων.

Φοῖβαι, κυρίως αἱ καθαραὶ καὶ λαμπραὶ τρίχες· παρὰ τὸ Φοῖβον, ὅ ἐστι καθαρόν.

Φοῖβος, παρὰ τὸ Φάος ὃ δηλοῖ τὴν λαμπρότητα, Φαόβιος, Φοίβιος, καὶ συγκοπῇ Φοῖβος, ὁ λαμπρότοξος.

Φοῖβος, ὁ Ἀπόλλων, οἱονεὶ Φαόβιος, τουτέστιν ὁ λαμπρὸν βίον ἔχων, ἤγουν τόξον, ὅθεν καὶ Φοιβάζω τὸ λαμπρύνω· ἢ ἀπὸ Φοίβης μαμμωνυμικῶς, ὥς Φησιν Ἡσίοδος.

Φοῖνιξ, παρὰ τὸ Φύω, τὸ βλαστάνω· λέγουσι γὰρ αὐτὸν διὰ τριῶν ἡμερῶν γεννᾶσθαι· ἢ παρὰ τὸ Φοινὸν, ὃ σημαίνει τὸ ποικιλόν· ὡραιότατον γὰρ ζῶον· καὶ Φοίνικες αἷμα.

Φοῖνιξ, παρὰ τὸ Φοινίσσω, τὸ βάπτω, Φοινίξω, Φοῖνιξ· τοῦτο παρὰ τὸ Φοινόν· τοῦτο παρὰ τὸ Φόνος, Φόνιοι γὰρ οἱ Φοίνικες, καὶ ληστρικοὶ τῶν τρόπων, ὡς εἴρηται.

Φοίνικες, ἀπὸ ἔθνους ἐπιστήμονος ὠνομάσθησαν πλέοντες.

Φοινίκη, ἡ χώρα ὀνομάζεται, ἀπὸ Φοίνικος βασιλεύσαντος ἐν αὐτῇ.

Φοινικοῦν τὸ μέλαν λέγεται, παρὰ τὸ Φοινίσσω τὸ βάπτω. τοῦτο παρὰ τὸ Φοινόν, ἐξ οὗ μετὰ τοῦ ἐπιτατικοῦ δα, δαΦοινὸν, τὸ μέλαν πάνυ· τοῦτο παρὰ τὸ Φόνος, πλεονασμῷ τοῦ ἰῶτα· καὶ καταβιβάσει τοῦ τόνου δαΦοινόν.

Φοιτητὴς, ὁ μαθητὴς καὶ διδάσκαλος· ἐκ τοῦ Φοιτῶ Φοιτήσω· τοῦτο παρὰ τὴν πρὸ πρόθεσιν, καὶ τὸ εἶμι τὸ πορεύομαι, ἐξ οὗ ἔστιν ὄνομα ῥηματικὸν ἴτης καὶ μετὰ τῆς πρὸ προθέσεως προΐτης καὶ προϊτῶ καὶ συναιρέσει προιτῶ, ἐκβολῇ τοῦ ρ, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ Φοιτῶ· ἢ παρὰ τὸ οἶδος οἰδῶ, οἰτῶ καὶ Φοιτῶ.

Φοιτῶ, γίνεται ἐκ τοῦ ὁδὸς ὁδῶ καὶ οἰδῶ κατὰ πλεονασμὸν τοῦ ι, καὶ τροπῇ τοῦ δ εἰς τ οἰτῶ καὶ πλεονασμῷ τοῦ Φ Φοιτῶ, οὐδεὶς Φοιτᾶν οἶδεν, εἰ μὴ πορείαν ποιήσαιτο· σημαίνει δὲ τὴν ὁδόν.

Φοιτῶ, ὃ σημαίνει τὸ παραγίνομαι· τὸ Φοι διΦθόγγῳ· ἀπὸ γὰρ τοῦ ὁδὸς ὁδῶ καὶ πλεονασμῷ τοῦ ι οἰδῶ, καὶ τροπῇ τοῦ δ εἰς τ καὶ πλεονασμῷ τοῦ Φ Φοιτῶ· τὰ γὰρ παρ' αὐτῷ τὴν αὐτὴν ἀποίσει γραΦὴν, οἷον, Φοιτητὴς, οὐρανοΦοίτης.

Φοῖνιξ, τὸ δένδρον.

Φοίνικος, νέον ἔρνος, καὶ ὁ καρπὸς, καὶ ὁ πυῤῥὸς τοῦ χρώματος· ὃς τὸ μὲν ἄλλο τόσον Φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ λευκὸν σῆμ' ἐτέτυκτο [2])· καὶ τὸ Φοινικοῦν· ἐτέτακτο δὲ τὸ Φοινικοῦν ἄνθος, ἐν ᾧ τὰ Φοίνια βάπτεται.

Φονὴ, ἐκ τοῦ Φόνος, εἰς τὰ ἄποινα.

Φόνος, παρὰ τὸ Φῶ τὸ Φονεύω, ἐκ τούτου Φόνος, τοῦτο δὲ παρὰ τὸ Φένω, τὸ Φονεύω· ἐκ τοῦ Φῶ Φάζω καὶ πλεονασμῷ τοῦ σ σΦάζω καὶ σΦίζω, οὗ ὁ μέλλων σΦίσω, ὁ παρακείμενος πέΦικα, ὁ παθητικὸς πέΦισμαι, ἡ μετοχὴ ὁ πεΦισμένος.

Φορά, εἰς τὸ συμΦορά.

Φοῦρτος, κλέπτης.

Φοράδιον, ὅτι Φερειδή.

Φοράδην, ὁρμητικῶς ἐπιΦερομένων.

Φορωρεὺς, ἀγρῶν βασιλεύς.

Φορβεία, τὸ καπίστριον, ἀπὸ τοῦ Φέρειν βίᾳ.

Φορίαμος, εἰς τὸ ὦκα.

Φορμηδὸν, Φορμός ἐστι πλέγμα τινὸς μεγάλου εἴδους, ἐν ᾧ ἐκοιμῶντο οἱ πένητες, καὶ κατετίθεντο τὰ ὄσπρια· τάχα δὲ ἡ καλουμένη καλύβη· νῦν ἡ πλεκομένη καλάμη· ἐκ τούτου δὲ καὶ τὸ Φορμήδην· ἐξ ἧς καὶ τὸ αὐτοΦέρμων.

Φοξὸς, ὁ ὀξυκέΦαλος παρὰ τὸ ὀξὺς ὀξὸς καὶ ἐν πλεονασμῷ τοῦ Φ Φοξός· ἢ παρὰ τὸ Φαζός τις ὢν, ἀπὸ μεταΦορᾶς τῶν περιεστραμμένων ἀγγείων ὀστρακίνων, ἐν τῷ ὀπτᾶσθαι· καὶ ἄλλως· Φοξὸς ὁ διεστραμμένος ἐν τῷ Φάει.

Φόρκυνος, λίμην Ἰθάκης, ἐΦ' ᾧ λιμένι Φόρκυνός ἐστι ἱερὸν τοῦ θαλασσίου δαίμονος.

Φοσσατὸν, εὔθετον τὸ στράτευμα.

Φόρμιγξ, ἡ κιθάρα, παρὰ τὸ Φέρειν τὰς νευρὰς αὐτῆς καὶ Φωνεῖν μέλος.

Φορυτῷ, τῷ ἀπὸ γῆς αἱρομένῳ ὑπὸ ἀνέμου καὶ χόρτῳ Φρυγανώδει· ἀπὸ τοῦ Φορύω, Φορυτῷ· ἢ παρὰ τὸ Φέρω ἢ Φορῶ.

Φορίαμον, κιβώτιον.

Φορυτὸς, ἡ ἀκαθαρσία.

Φορτὶς, ἡ γεννήτρια γυνή· ἢ πλοῖον πεΦορτωμένον.

Φραγμὸς, παρὰ τὸ Φράσσω Φράξω, πέΦραχα, πέΦραγμαι, Φραγμός.

---

[1]) ζω, sine dubio os vel γος, leg. cf. infr. p. 558. v. Φρυγία.

[2]) Il. XXIII, 454.

Φοῦρνος, κλίβανος.

Φουκάτζα, Φῶος κουάσσα, ὅ ἐστι πυρόπτητος.

Φραγελῶ, τὸ κατὰ νῶτον τύπτω· ἐκ τοῦ Φραγέλιου· σημαίνει δὲ σειρὰν ἐκ σχοινίου πεπληγμένην· παρῆκται δὲ ἐκ τοῦ ἔθνους· Φραγελοὶ δέ εἰσι τινὰ ἔθνη.

Φόρμιγξ, μετάθεσις τοῦ ρ. προοίμιγξ γάρ ἐστι, παρὰ τὸ προηγεῖσθαι τῆς οἴμης· καὶ Ὅμηρος· οὐ μὲν Φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων, Μουσάων θ' αἳ ἄειδον ἀμειβόμεναι· πρῶτον ἐκιθάριξεν ὁ Ἀπόλλων· εἶτα ἐπῆγον τὴν ᾠδὴν αἱ Μοῦσαι.

Φραδμὼν, ἐκ τοῦ Φάζω, τὸ λέγω, καὶ Φράζω, ἐξ αὐτοῦ Φράδμων Φράδμονος· τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο μικροῦ.

Φράζω, ὥσπερ παρὰ τὸ Φῶ τὸ λέγω γίνεται βάζω, οὕτω καὶ παρὰ τὸ Φῶ τὸ λέγω, γίνεται κατὰ παραγωγὴν Φάζω, καὶ πλεονασμῷ τοῦ ρ Φράζω, ὁ μέλλων Φράσω καὶ τὰ λοιπά.

Φρασαίατο, σκέψατο, λέγοιτο· ὁ κανὼν, ἐπὶ τῶν τρίτων προσώπων τῶν εὐκτικῶν, οἱ Αἰολεῖς εἰώθασι, τὸ ἀμετάβολον τρέπειν εἰς α· οἷον, πείθοιντο πειθοίατο, Φράσαιντο Φρασαίατο.

Φρατὸς, εἰς τὸ Φατρία.

Φράτωρος, ὁ συγγενής.

Φρήτρη, ἐκ τοῦ Φρατὴρ καὶ Φάτρη ἡ συγγένεια.

Φρέαρ, παρὰ τὸ Φρῶ τὸ ἀναδίδωμι, παρὰ τὸ Φέρω καὶ συγκοπῇ Φρῶ καὶ ἐξ αὐτοῦ Φρέαρ, ἐξ οὗ Φέρεται τὸ ὕδωρ· ἢ παρὰ τὸ Φέρεσθαι ἐκ τοῦ ἀέρος.

Φρείατα, τὰ Φρέατα, διὰ διΦθόγγου γράΦεται, ἀπὸ γὰρ τοῦ Φρέατος γέγονε, καὶ πλεονασμῷ Φρεῖαρ.

Φρενοβλάβεια, διΦθόγγῳ· Φρενοβλαβία δὲ ἰῶτα.

Φρενήρης, εἰς τὸ πληρῶ, καὶ χαλκήρει.

Φράσον καὶ Φράσαι διαΦέρει· Φράσον μὲν τὸ εἰπέ· Φράσαι δὲ ἀντὶ τοῦ διανοήθητι· σὺ δὲ Φράσαι, εἴ με σαώσεις [1]).

Φρὴν, Φρενὸς, διάνοια, γνώμη, διάτι σεσημείωται; οὐδὲν εἰς ην λῆγον ὄνομα μονοσύλλαβον μόνον ἔστι θηλυκόν· ἀλλ' εἰ ἐπιδέχοιτο θηλυκὸν γένος, ἐν κοινότητι ἐπιδέχεται, οἷον, ὁ χὴν ἀρσενικῶς· χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσι [2])· καὶ ἡ χὴν θηλυκῶς· χῆνα ἥρπαξεν ἀτιταλλομένην ἐνὶ οἴκῳ [3])· ὁ ῥὴν καὶ ἡ ῥὴν, σημαίνει δὲ τὸ πρόβατον, καί ἐστιν ἀρσενικοῦ γένους· τὸ δὲ Φρὴν ὡς διήλλαξε κατὰ τὰ ἄλλα, κατὰ μόνον εἶναι θηλυκὸν, διήλλαξε καὶ περὶ τὴν κλίσιν· γίνεται δὲ παρὰ τὸ πρῶ τὸ προϊῶ, καταπροϊῶ, τὸ προπέμπω, πρῶ καὶ Φρῶ κατὰ μετάθεσιν· καὶ ἐντεῦθεν Φρήν· ἐΦ' ἧς προΐεται τὰ βουλεύματα.

Φρίκη, διὰ τοῦ ἰῶτα γράΦεται. παρὰ τὸ ῥίσσω γέγονε, ἢ τῷ λόγῳ τῶν εἰς κη, θηλυκῶν.

Φριμασσόμενοί τε τῷ ταράχῳ ὑποΦυσῶντες, καὶ ἀλλαχοῦ ὀπισθόρμητα Φριμασσόμενοι· ἐχώρουν Φρασσόμενοι, ἢ Φυσῶντες, ἀπὸ τοῦ Φρῶ, ὅπερ ἐστὶν ἀπὸ τοῦ προϊῶ, καὶ κατὰ συγκοπὴν πρῶ καὶ Φρῶ.

Φρίσσω, παρὰ τὸ θρὶξ, ὃ σημαίνει τὴν τρίχα, γίνεται θρίσσω καὶ Φρίσσω, σημαίνει δὲ τὸ τὰς τρίχας ὀρθοῦσθαι.

Φρίσσειν, κυρίως τὸ ἐξορθοῦν τὰς τρίχας, οἷον, θρίσσειν, τροπῇ τοῦ θ εἰς Φ.

Φρὶξ, ἡ ἄνωθεν καὶ ἐξ ἐπιπολῆς τῶν κυμάτων κίνησις· ἢ ὁ ἐπιπολάζων τῶν κυμάτων ἀΦρὸς, ὅταν ἀνέμου πνεῖν ἄρχεται.

Φρόνησις, διάνοια, νοῦς. Φρόνησις ἡ Φέρουσα ὄνησιν, Φερόνησίς τις οὖσα, καὶ κατὰ συγκοπὴν Φρόνησις.

Φρονεῖν, τοῦ καταΦρονεῖν διαΦέρει. Φρονεῖν μὲν τὸ καλῶς ἐνθυμεῖσθαι· καταΦρονεῖν δὲ τὸ εὐτελίζειν καὶ ὑπερορᾶν.

Φρονέω, Φρονῶ· τὸ Φρο μικρὸν διάτι; ἐκ τοῦ Φρὼν Φρονὸς, ἔστι γὰρ ἐν τῇ γενικῇ τὸ ο μικρόν· ἐξ αὐτοῦ Φρόνω καὶ Φρονέω, ὅπερ μετὰ τῆς πρὸ προθέσεως πρόΦρων· πρόΦρων δὴ Δαναοῖσι.

Φροντίζω, εἰς τὸ ἀΦροντιστήσας.

Φροντὶς, ἐκ τοῦ Φορά τις· τοῦτο ἐκ τοῦ Φέρω, Φορτὶς καὶ ἐν ὑπερβιβασμῷ καὶ πλεονασμῷ τοῦ ν Φροντίς· δίκην γὰρ Φόρτου ἔγκειται ἡ Φροντὶς τῇ ψύχῃ.

Φροίμιον, εἰς τὸ Φροῦδοι.

Φρουνζάτον, Φροῦνζα τὸ Φρύγανον.

Φροῦδοι, ἄρδην παντελῶς ἀΦανεῖς, ἔρημοι πρόσοδοι, οἷον, ἀπεληλυθότες ἐκδημοι· Ἀπολλόδωρος Φροῦδος μὲν ὁ πρὸ ὁδοῦ Φησὶ, Φροῦρος δὲ ὁ προορῶν· Φροῦδος οὖν συναλοιΦῇ τοῦ πρόοδος, οἷον, ὁ μακρὰν γενόμενος εἰς ἔμπροσθεν, μεταθέσει τοῦ π εἰς Φ, ὡς προοίμιον, Φροίμιον.

Φρουρὸς, εἰς τὸ οὐριοδρόμος, καὶ Φροῦδος.

Φρύγανον, ἐκ τοῦ Φρύγω.

Φρυγίη, Ἰωνικῶς, τὸ κοινὸν Φρυγία· τὸ γι ἰῶτα· τὰ διὰ τοῦ ια θηλυκὰ παροξύτονα ἐπὶ χώρας λαμβανόμενα, διὰ τοῦ ἰῶτα γράΦεται. διάτι βαρύνεται; τὰ ἀπὸ τῶν εἰς ξ ἢ εἰς ρ ληγόντων, διὰ τοῦ ια παραληγόμενα θηλυκὰ βαρύνεται καὶ διὰ τοῦ ἰῶτα γράΦεται· οἷον, Βέβρυξ, Βέβρυκος Βεβρυκία. Κίλιξ Κίλικος Κιλικία. Φρὺξ Φρυγὸς Φρυγία· ἡ εὐθεῖα ἡ Φρὺξ καὶ κλίνεται Φρυγὸς, ὁ κανών· τὰ εἰς υξ μονοσύλλαβα, διὰ τοῦ γ κλίνεται· οἷον, Στὺξ, Στυγὸς, Φρὺξ Φρυγὸς, πλὴν τοῦ νὺξ νυκτός.

Φρυκτωρία, ἔστιν ἡ παρ' ἡμῖν λεγομένη βίγλα ἢ Φανός· κυρίως ἡ διὰ πυρὸς Φυλακή· γίνεται δὲ παρὰ τὸ πῦργος καὶ τὸ οὐρῶ τὸ Φυλάσσω πρυκτουρία, καὶ τροπῇ τῆς ου διΦθόγγου εἰς ω πρυκτωρία. ὥσπερ βοῦν βῶν Δωρικῶς καὶ τοῦ ψιλοῦ εἰς δασὺ Φρυκτωρία ἡ ἐν τοῖς νυξὶ γινομένη λαμπηδὼν, ὅνπερ λέγομεν Φανόν· καὶ ἄλλως, ἔστι πῦρ πυρὸς, καὶ οὐρῶ τὸ σημαῖνον τὸ Φυλάττω καὶ ἐκ τούτου γίνεται πρυκτωρία [4]) καὶ καθ' ὑπέρθεσιν τοῦ ρ καὶ τροπῇ τοῦ π εἰς Φ Φρυκτωρία.

Φρῶ, εἰς τὸ ἀσπάσιος· καὶ ἄΦρων καὶ εὔΦρανε καὶ προϊῶ.

Φυὴν, ἡ εὐθεῖα ἡ Φυή· διάτι ὀξύνεται; τὰ εἰς η λήγοντα θηλυκὰ δισύλλαβα, τῷ υ παραληγόμενα βαρύνεται, οἷον, δύη ἡ κακοπάθεια, λύη ἡ ἀπορία, γύη μέρος ἀρότρου, ψύη μέρος σώματος· πλὴν τοῦ Φυὴ, σημαίνει δὲ τὴν ἀνάπλασιν καὶ ἕξιν τοῦ σώματος καὶ πλυὴ, ἔστι δὲ δῆμος Αἰολικόν.

Φυκτὸς, εἰς τὸ ἐτύχθη.

Φύλλα, παρὰ τὸ Φυῆναι αὐτὰ ἐκ τῆς ὕλης ἤγουν τοῦ δένδρου.

Φύλα, ὄνομα οὐδέτερον, δι' ἑνὸς λ, πρὸς ἀντιδιαστολὴν τοῦ Φύλλου τοῦ ἐπὶ τοῦ δένδρου, τὸ Φυ μακρὸν ἐκ τοῦ Φύω· ἢ καὶ τὰ διὰ τοῦ υλον οὐδέτερα δισύλλαβα καθαρὰ, μονογενῆ, ἐκτείνει τὸ υ, οἷον σκῦλον, Φῦλον, σεσημείωται τὸ ξύλον.

Φυλακὴ, ἀπὸ τοῦ Φυλάσσω, τοῦτο δὲ παρὰ τὸ Φυλή· καὶ γὰρ λέγουσιν ὅτι τὰς Φυλακὰς Φυλαὶ εἶχον· ὅθεν

1) Il. I, 83. 2) Od. XIX, 536. 3) Od. XV, 174. 4) L. πυρκτ.

καὶ λέγομεν πρώτη Φυλακὴ τῆς νυκτὸς, καὶ δευτέρα καὶ τρίτη. καὶ τετάρτη· κατὰ γὰρ τρεῖς ὥρας ἐφύλαττε μία φυλή. καὶ μετὰ ἄλλας τρεῖς, ἄλλη, ὥστε ἡ Φυλακὴ τῆς νυκτὸς τρεῖς ὥρας σημαίνει.

Φυλακὴ σημαίνει ἕξ· τὸ σκοτεινὸν ἀφεγγὲς οἴκημα, ὡς τὸ ποῖα Φυλακὴ οὐκ ἔσχε σε δέσμιον· καὶ τὸ τρίτον μέρος τῆ νυκτὸς, παρὰ δὲ τῇ ἐκκλησίᾳ τὸ τέταρτον μέρος τῆς νυκτός· σημαίνει δὲ καὶ τὴν γνῶσιν καὶ θεωρίαν, ὡς Ἀμβακοὺμ τῷ προφήτῃ δοκεῖ· ἐπὶ τῆς Φυλακῆς μου στήσομαι, Φησί· σημαίνει καὶ τὸ σῶμα· ὡς τὸ, ἔξαγε ἐκ Φυλακῆς τὴν ψυχήν μου· σημαίνει καὶ αὐτὸ τὸ Φυλάσσω, ὡς τὸ, ὡς οἱ μὲν Τρῶες Φυλακὰς εἶχον.

Φυλακὴ, παρὰ τὸ Φυλάσσειν, τοῦτο παρὰ τὸ Φυλὴ, κατὰ Φυλὰς γὰρ ἐφύλαττον ἀμειβόμενοι· ἢ παρὰ τὸ πύλη, οἱ γὰρ Φυλάσσοντες. ἐν τῇ πύλῃ Φυλάττουσι.

Φύλαξον, ἐκ τοῦ Φυλάσσω, τοῦτο ἐκ τοῦ πύλη· τοῦτο παρὰ τὸ πτύσσω τὸ Φοβοῦμαι, καὶ τὸ σφαλίζω.

Φυλὴ, παρὰ τὸ Φῦλον· τοῦτο δὲ παρὰ τὸ Φύω τὸ ἀναβλαστάνω.

Φυγὴ, παρὰ τὸ Φεύγω Φευγὴ καὶ Φυγὴ, τὸ δὲ Φυγὴ παρὰ τὸ Φεῦγος καὶ ψεῦδος.

Φύζα, δειλία, Φόβος, ἡ μετὰ δέους Φυγὴ, ἐκ τοῦ Φύζω Φύσω, ὡς κύσσω κισσῶ, ὁ μέσος παρακείμενος πέφυζα.

Φύκη, ᾧ τὰς οἰκίας αἱ γυναῖκες χρίουσι· λέγεται δὲ καὶ τὰ βρῦα Φοκίου.

Φυλὴ, ἔθνος, ἢ τάγμα, ἢ μέρος πόλεως.

Φύλλον, Φύλου διαφέρει· Φύλλον μέν ἐστι πέταλον δένδρου· Φῦλον δὲ τὸ γένος.

Φῦσις, τὸ Φύον καὶ κινούμενον ἐν ἅπασι.

Φύλοπις, τροπῇ τοῦ μ εἰς π, παρὰ τὸ ὁμοῦ τὰ Φῦλα εἶναι· οἷον, ἡ ἐκ πολλῶν ἄθροισις, ἀπὸ μεταφορᾶς τῶν Φύλλων.

Φύξιλις, ὁ Φυγὰς, ἄνανδρος, παρὰ τὸ Φεύγειν τὰς ἴλας, ἤγουν τὰς συστροφὰς τοῦ πολέμου.

Φυσίζωος, ἡ πρὸς τὸ ζῆν Φύουσα πᾶσι.

Φύσις, οὐσία, ἡ προαίρεσις.

Φύρω. μιγνύω, ἀφύρτως, ἀμιγῶς.

Φυρμὸς, ἡ σύγχυσις, ἡ μίξις.

Φύρδην, συγκεχυμένως, ἀνάμιξ, πεφυρμένως, ἀτάκτως.

Φύτλη, παρὰ τὸ Φυλή· ἢ παρὰ τὸ Φύω τὸ προσεγγίζω· σημαίνει δὲ τὴν συγγένειαν.

Φυτὸν, παρὰ τὸ Φύειν τὸ ὂν, ἤγουν τὸ ὑπαρχὸν, ἢ διὰ τὸ Φύεσθαι ἤγουν γίνεσθαι.

Φύσις, παρὰ τὸ Φύειν τὰς ὑποστάσεις, ἤτοι τίκτειν· ἢ παρὰ τὸ πεφυκέναι.

Φυσιολογεῖν. λόγους Φύσεως ἐξαγγέλλειν· ἢ παρὰ τὸ Φύσει διαλέγεσθαι.

Φύσιγγες. τὰ ἐν ταῖς κνήμαις ἐκκαύματα.

Φωνέω, Φωνῶ, τὸ λέγω, ἢ βοῶ· δοτικῇ.

Φωλεὸς, διὰ τοῦ ε ψιλοῦ· ὁ κανών· τὰ εἰς ος καθαρὰ ἀρσενικὰ ὀξύτονα τῷ ε, παραλήγεται· Φατεὸς, ἐρινεὸς, ἡ συκῆ, στερεὸς ὃ σημαίνει τὸ κραταιὸς οὕτω, καὶ Φωλεός· καὶ εἰς τὸ θεύω.

Φωτεινὸς, διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς Φώτεινος λέγουσι· καὶ ἄλλως, τῷ λόγῳ τοῦ αἴπεινος.

Φωνὴ, Φῶς νοῦ ἐτυμολογεῖται ἡ Φωνὴ, τὰ γὰρ κρύφια τοῦ νοὸς διὰ τῆς Φωνῆς ἐκφαίνονται.

Φωριαμὸς, ἡ κιβωτὸς, ἔστιν ὄνομα ἀρσενικὸν ἁπλοῦν· γίνεται παρὰ τὸ Φῶρ Φωρός· ἢ παρὰ τὸ τὴν Φαρήν· εἰ μὲν οὖν παρὰ τοὺς Φῶρας, οὐδὲν πέπονθε· εἰ δὲ παρὰ τὴν Φάρην πέπονθε, μεταβληθέντος τοῦ α εἰς ω· ὀξύνεται· ἐπειδὴ τὰ διὰ τοῦ αμος τρισύλλαβα, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν Φύσει μακρὰν πάντα ὀξύνεται· οἷον, χηραμὸς, οὐλαμὸς, οὕτως οὖν καὶ Φωραμὸς, καὶ Φωριαμὸς πλεονασμῷ τοῦ ἰῶτα.

Φῶρ, ὁ λῃστὴς, παρὰ τὸ Φέρω Φέρ· ἔστι δὲ Φὸρ. καὶ μεταθέσει τοῦ ο εἰς ω Φῶρ, ὁ τὰ ἀλλότρια Φέρων, ἐξ αὐτοῦ καὶ, αὐτόφωρος.

Φοξὸς, ὁ ὀξυκέφαλος· εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κεραμικῶν ἀγγείων, τῶν ἐν τῷ καμίνῳ, τῶν ἀπὸ τοῦ Φωτὸς περιδιεστραμμένων, καὶ ἀποξυσμένων, καθὰ Φησὶ καὶ Σιμωνίδης· αὐτὴ δὲ Φοξύχειλος ἀργείη κύλιξ· ἔνιοι δὲ κυρίως τὸν ἐπὶ τὰ Φάη, τουτέστι τὰ ὄμματα, ἀποξυσμένην ἔχοντα τὴν κεφαλήν.

Φωνεῖν, τοῦ ὠρύσασθαι διαφέρει· Φωνεῖν μὲν ἐπὶ ἀνθρώπου, ὠρύσασθαι δὲ ἐπὶ λύκων.

Φωλεὸς, τῆς κοίτης διαφέρει· Φωλεὸς μὲν ἐπὶ ἑρπετῶν τάσσεται· κοίτη δὲ ἐπὶ ἀνθρώπων· ὅθεν καὶ ἐπὶ ἀνθρώπων ῥητέον τὸ κοιτάζειν, Φωλεύειν δὲ ἐπὶ ἑρπετῶν· ὁ οὖν λέγων νεοσσοὶ ἀντὶ τοῦ τέκνα ἀκυρολογεῖ· τέκνα γὰρ κυρίως ἐπὶ ἀνθρώπων, νεοσσοὶ δὲ ἐπὶ ὀρνίθων, νεβροὶ δὲ ἐπὶ ἐλάφων, σκύμνοι δὲ ἐπὶ λεόντων, σκύλακες δὲ ἐπὶ κυνῶν.

Φώσκω, τὸ Φαίνω, ἐξ οὗ καὶ ἐπιφώ.. γίνεται δὲ παρὰ τὸ Φῶ τὸ Φαίνω, καὶ πλεονασμῷ τοῦ σκω, Φώσκω.

Φὼς, ὀξυτόνως μὲν ὁ ἄνθρωπος, ἀπὸ τοῦ Φωτίζειν τὰ πάντα τῷ λόγῳ· περισπωμένως δὲ τὸ πῦρ, καὶ μεταφορικῶς ἡ χαρά· οἷον τὸ, Τρώων ῥῆξε Φάλαγγας, Φόως δ' ἑτάροισιν ἔθηκε.

Φὼς, ὀξυτόνως ὁ ἀνὴρ, παρὰ τὸ Φῶ τὸ λέγω, μόνος γὰρ ὁ ἄνθρωπος λογικὸς, ὡς ὁ θεολόγος· Φῶς γὰρ τὸν ἄνθρωπον ὀνομάζει, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν.

Φῶς, παρὰ τὸ πόῤῥωθεν Φαίνειν, καὶ καθορᾶν τοὺς πάντας.

Φημισμὸν, ἀντὶ τοῦ πόῤῥωθεν ἀσπαζόμενον.

Φῶς, σημαίνει τέσσαρα, Φῶς ὁ θεὸς, Φῶς ἡ ἡμέρα, Φῶς τὸ πῦρ, Φὼς ὁ ἄνθρωπος.

Φωκαία, ἐκ τοῦ Φώκη.

Τέλος τοῦ Φ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Χ ΣΤΟΙΧΕΙΟΥ.

Χάζω, εἰς τὸ ἅμα.

Χάζετον, ἀνεχώρει.

Χαζομένῳ, ἀναχωροῦντι.

Χαμᾶζε καὶ χαμάδις· χαμᾶζε ἐπίῤῥημα, παρὰ τὸ χέω χαμᾶζε· καὶ διάτι προπερισπᾶται; κανών ἐστιν ὁ λέγων, τὰ εἰς ζε λήγοντα συνεσταλμένον ἔχει τὸ α, πρὸ τοῦ τέλους, οἷον θύραζε. ἔραζε, πλὴν τοῦ χαμᾶζε.

Χαμάδις, ἐπίῤῥημα τοπικὸν ἐκ τοῦ χαμαί. τὸ δις ἰῶτα διάτι; τὰ διὰ τοῦ αδις τρισύλλαβα ἐπιῤῥήματα τῷ α παραλήγοντα, διὰ τοῦ ἰῶτα γράφεται καὶ βαρύνεται, οἷον, Φυγάδις, χαμάδις· σεσημείωται τὸ ὁμαδὶς ὀξυνόμενον.

Χαιρέτω ληρῶν, ἐρυθριάτω φλυαρῶν.

Χαίτη, παρὰ τὸ κρατῶ κράτη χάτη, καὶ πλεονασμῷ τοῦ ι, χαίτη.

Χαλινὸς, διὰ τοῦ ἰῶτα γράφεται· ἐπειδὴ οἱ Αἰολεῖς χάλλινος λέγουσιν, ὥσπερ ὅμιλος ἐπόμιλλος, πέδιλον πέδιλλον· εἰ δὲ γράφεται διὰ τῆς ει διφθόγγου, χαλεινὸς [1]) ἂν ἐλέγετο.

Χάραξ, θηλυκῶς, ἐπὶ τῶν τῆς ἀμπέλου· ἀρσενικῶς δὲ ἐπὶ τῶν τοῖς πολεμίοις πηγνυμένων, ἀφ' ὧν λέγεται χαρακώσαντες, ἀντὶ τοῦ περιφράξαντες.

Χαίρω, παρὰ τὸ χωρῶ, καὶ μετὰ συγκοπὴν χῶ, καὶ ὥσπερ παρὰ τὸ σκῶ σκαίρω, καὶ σπῶ σπαίρω, οὕτω καὶ χῶ χαίρω, φωνὴ ἐνεργητικὴ παθητική.. δηλοῦντος· τὸ ἐχάρην παθητικοῦ ἐστιν ἀόριστος δεύτερος, τοῦ χαίρω ἐν φωνῇ ἐνεργητικῇ ἐκλέλοιπεν ἡ φωνὴ ἡ παθητική· τοῦ δὲ ἐχάρην ἀορίστου δευτέρου ἡ ἐνεργητική· ὁ γὰρ ἔχαρον δεύτερος ἀόριστος ἐνεργητικὸς οὐ λέγεται· εἰκότως ὁ παθητικὸς μὴ ἔχων τὶ τὸ ὀφεῖλον ἐλέγξαι τὴν παραλογίαν αὐτοῦ, ἔλαθε, καὶ ὑπεισῆλθεν εἰς χρείαν τοῦ ἐνεργητικοῦ.

Χαιρέας, ὁ ῥήτωρ, ἐκ τοῦ χαίρω.

Χαίρετε, ἀπὸ τοῦ χαίρω, τὸ προστακτικὸν χαίρετε, χαίρειν φθάσαντες, ἀποταξάμενοι διαγνόντες.

Χαλεπὸς, παρὰ τὸ χαλέπτω ῥήματος, τοῦ σημαίνοντος τὸ ὀργίζομαι, κατὰ παραγωγὴν χαλεπταίνω, καὶ ἐκβολῇ τοῦ τ, χαλεπαίνω.

Χαληρεῖ, γένους θηλυκοῦ, ἡ εὐθεῖα χαλκήρης, χαλκήρεος καὶ χαλκήρους, χαλκήρει· ὁ κανὼν, τὰ ὁμόφωνα θηλυκὰ τοῖς ἀρσενικοῖς. ὁ χαλκήρης γὰρ ἐκ τοῦ χαλκὸς καὶ τοῦ ἀρῶ τὸ ἁρμόζω· τὸ κη, ἦτα διατί; τὰ διὰ τοῦ ηρης ἀρσενικὰ βαρύτονα διὰ τοῦ ἦτα γράφεται, οἷον, ποδήρης, ὁ ἱερατικὸς χιτὼν, κλινήρης ὁ παραλελυμένος, φρενήρης ὁ φρόνιμος.

Χαλκοῦν, οὐδέτερον, τὸ ἀρσενικὸν ὁ χαλκὸς καὶ γίνεται, παρὰ τὸ χάλυψ, ὃ σημαίνει τὸν σίδηρον, καὶ κλίνεται χάλυβος, καὶ τροπῇ τοῦ β εἰς κ, χάλυκος, καὶ ἐν συγκοπῇ χαλκος.

Χαλκίον, τὸ θερμαντήριον σκεῦος, οἷον, χαυτάτιον, εἶον, χαίνοντα, ἑαυτῶν γὰρ ἡ ἔνθεσις γίνεται τῶν εἰσφερομένων.

Χαλκοκρὰς, εἰς τὸ προβλῆτι.

Χαλκὸς, ἐκ τοῦ χάλυψ χάλυβος· σημαίνει δὲ τὸ ἔθνος, ἐκεῖ γὰρ εὑρέθη ὁ χαλκὸς, ἐκ τοῦ οὖν χάλυβος γίνεται χαλβὸς, καὶ τροπῇ τοῦ β εἰς κ χαλκός· διατί ἐκλήθη χαλκὸς ὁ σίδηρος; διότι πρότερον εὑρέθη παρὰ τοῖς ἀρχαίοις ὁ χαλκὸς, ὕστερον δὲ εὑρεθεὶς ὁ σίδηρος, ἐκάλεσαν αὐτὸν ὁμωνύμως τῷ χαλκῷ, σίδηρος δέ ἐστι.

Χάλαζα, παρὰ τὸ χαλᾶσθαι ἄνω.

Χαλκὰς [2]), ἐκ τοῦ χαλκὸς, τοῦτο παρὰ τὸ ἀλκὴ, ὃ σημαίνει τὴν δύναμιν, ἀλκὸς καὶ χαλκός.

Χαλκοχίτωνες, ἐκ τοῦ χαλκὸς καὶ τοῦ χιτὼν, τοῦ χιτῶνος· ὁ κανὼν, τὰ εἰς ων ἰαμβικὰ, πρὸ τέλους ἔχοντα τὸ ἰῶτα, φυλάσσουσι τὸ ω ἐπὶ γενικῆς, ἐπί τε ὀξυτόνων καὶ βαρυτόνων, Πυθὼν Πυθῶνος, ὄνομα πόλεως, κιθὼν κιθῶνος, τρίβων τρίβωνος, σημαίνει δὲ τὸ διδασκαλικὸν ἱμάτιον, Σίμων Σίμωνος.

Χιτωνίσκος, ἱματίου διαφέρει· χιτωνίσκος μὲν ὁ κολοβὸν, ἱμάτιον δὲ αὐτὸ τὸ ὠμοφόριον.

Χάλεσι, τοῖς ὄνυξι.

Χαλκοκορυστὴν, χαλκῷ ὁπλιζόμενον, οἷον, κρανὸς ἔχοντα χαλκοῦν.

Χαμαὶ, παρὰ τὴν χθόνα, ὅθεν αὐτὴ καὶ χθαμαλή· ἡ δὲ χὼν πλεονασμῷ τοῦ θ, χθών· χὼν γάρ ἐστιν ἡ πάντας χωροῦσα.

Χαμαλὴ οὖν ἐστι τὸ χαμαὶ ἐντεῦθεν· ἢ παρὰ τὸ χέω, ἡ ἐκκεχυμένη γῆ.

Χαμαίμηλον, εἶδος βοτάνης, διὰ τὸ πυκνὸν τῶν φύλλων.

Χαὸς, παρὰ τὸ χεῖσθαι, ὁ κενὸς τόπος μεταξὺ γῆς καὶ οὐρανοῦ· χαὸς παρὰ τὸ χῶ χαίω, ὡς δαίω τὸ καίω, δαὸς ἡ λαμπάς· δηλοῖ δὲ τὸ χαὸς τὸ μέγα καὶ ἀπέραντον χώρημα.

Χαμεύνης, ὁ χαμοκοίτης.

Χάσμα, παρὰ τὸ χῶ, οὗ παράγωγον χάζω, ὁ παρακείμενος κέχακα, ὁ παθητικὸς κέχασμαι, χάσμα.

Χαλκὶς εἶδος ὀρνέου, ἥτις καλεῖται κυμίνδη, ἀπὸ τῆς φωνῆς.

Χαμόθεν, καὶ χαμᾶζε, τὸ μὲν ἐκ τόπου, τὸ δὲ εἰς τόπον· τὸ χαμαιπετὲς καὶ χαμαίζηλον πάντως διὰ τῆς αι διφθόγγου ἔχει τὴν δευτέραν συλλαβήν· χαμερπὲς τὸ χαμαίζηλον, καὶ χαμαιπετὲς τὸ αὐτὸ δηλοῖ.

Χαμαιτύπη, ἡ πόρνη, παρὰ τὸ χαμαὶ τύπτεσθαι ἀδόλως.

Χαμαιτέρης, πόρνη.

Χαμαιτυπιῶν, τῶν πολὺ κατεχουσῶν συνουσιῶν.

Χαμαίζηλος, παρὰ τὸ χαμαὶ καὶ τὸ ζῆλος, τοῦτο παρὰ τὸ ζέειν ὅλως· τὸ μαι διφθόγγῳ διατί; τὰ παρὰ τὸ χαμαὶ συγκείμενα ἅπαντα διὰ τῆς αι διφθόγγου γράφεται, οἷον, χαμαίζηλος, χαμαίμηλος, χαμαιτύπη ἡ πόρνη, παρὰ τὸ χαμαὶ τύπτεσθαι· πλὴν τοῦ χαμαιτερὲς καὶ χαμερπές.

Χαῦνος, παρὰ τὸ χαίνω χάνος καὶ χαῦνος, ὡς φαίνω φάνος καὶ χαῦνος ὁ ταπεινός.

Χαλίφρων, κυρίως ὁ μέθυσος λέγεται· χάλις γὰρ ἄκρος οἶνος, παρὰ τὸ χαλᾶν τὰς φρένας.

Χαὐτῷ ἀντὶ τοῦ καὶ ἑαυτῷ, κατ' ἀποβολὴν τοῦ ἰῶτα, τοῦ εἰς τὸν καὶ σύνδεσμον, καὶ τοῦ ε, καὶ κράσει τοῦ α καὶ υ εἰς τὴν αυ δίφθογγον, γίνεται καὐτῷ, καὶ ἐπειδὴ διὰ τὸ α, διὰ τὴν αὐτοπαθῆ ἀντωνυμίαν ἐτράπη τὸ κ εἰς χ, καὶ γέγονε χαὐτῷ.

Χαράδρης, τῆς ἐγχαράξεως τοῦ ἐδάφους, τῆς γενομένης ἀπὸ τῶν ἐπιφερομένων ἐμβρίων ὑδάτων· εἴρηται δὲ οἱονεὶ τοῦ ἐγκεχαράχθαι τῇ φορᾷ τοῦ ὕδατος.

Χάραγμα, καὶ χαράσσω, κατὰ παραγωγήν· σημαίνει δὲ κοίλωμα ὅρους.

Χερόνησος, ἐκ τοῦ χεὶρ χειρὸς, καὶ τοῦ νῆσος, γίνεται Χερόνησος.

Χαρὰ, εὐφροσύνη.

Χερουβὶμ, παρὰ χεὶρ, χερός.

Χάρμη, ἡ μάχη· ἔστι δὲ ὅτε δηλοῖ ἡ λέξις, καὶ τὸ χαίρειν τῇ μάχῃ, παρὰ τὸ χαράσσω· τὴν γὰρ χαρὰν, ὥς φησι καὶ Ἀριστίδης· χάρμα λέγεται οὐδετέρως.

Χάραξ, φραγμὸς, ὁ ὄξεσι ξύλοις, ἢ καλάμοις ἐχόμενος, ἐκ τοῦ χαράσσω.

Χαράδραι, αἱ ὑπὸ τῶν χειμάρρων ἐκρησσόμενοι αὐλῶνες, παρὰ τὸ χαράσσειν, καὶ τραχύνειν τὴν γῆν.

Χαραδριὸς, ὁ ἡδόμενος ταῖς χαράδραις.

---

1) F. χαλεινός, scil. apud Aeolas. 2) καs, τὸ α ab altera manu; antea videtur fuisse ο μικρον.

Χάρτης, παρὰ τὸ χαράσσω. ἢ παρὰ τὸ κείρω τὸ κόπτω.

Χάρτης, παρὰ τὸ χῶ τὸ χωρῶ, ὁ μέλλων χήσω, τὸ διαχεόμενον, παράγωγον ποιεῖ τὸ χαίρω, οὐκ εἰρόμενον ἐπὶ τούτου τοῦ σημαινομένου, τὸ χωρεῖν· παρὰ δὲ τὸ αὐτὸ χαίρω χάρτης, χωρητικὸν ὢν τῶν ἐγγραφομένων.

Χαρακτὴρ. ἐκ τοῦ σκιάζω, καὶ χαράσσω, καὶ μορφῶ.

Χάρις, δωρέα, ἢ ἀρετὴ, καλλόνη· ἐκ τοῦ χαίρω.

Χάρης, Χάρητος, ὄνομα κύριον.

Χάρων, παρὰ τὸν χύσω μέλλοντα, δηλοῦντα τὸ χωρῶ· καὶ οὕτω Φιλόξενος.

Χαρτοφύλαξ, παρὰ τὸ χάρτης καὶ τὸ φυλάσσω, γίνεται σύνθετον ὄνομα χαρτοφύλαξ.

Χάρυβδις, ὠμόβροτος, ἐκ τοῦ χαὸς καὶ τοῦ ῥύβδης, ἡ ἀναπινομένη θάλασσα, ἐπὶ τὰ γάδειρα, καὶ πάλιν ῥαγδοτέρως ἐπαναστρέφουσα. εἴρηται δὲ καὶ χάσμα θαλάσσιον πᾶν τὸ εἰς χαὸς καὶ ὄλεθρον κατασπῶν· διαφέρει κῆτος θαλάσσης.

Χάσμα, παρὰ τὸ χῶ, οὗ παράγωγον χάζω, ὁ μέλλων χασω, κέχασμαι, χάσμα.

Χέρας, τῆς ὑπὸ ποταμῶν ἀθροιζομένης ψάμμου, καὶ ξύλων συγκομιδῆς· Ἀρίσταρχος δὲ χεράδας φησὶ καλεῖσθαι τοὺς ποταμοὺς, καὶ τοὺς ἐν αὐτῇ λίθους.

Χασμῳδία, ἀλλ' ἐπ' ἄλληλα φωνηέντων, ἤτοι συνέχεια.

Χαῦνος, παρὰ τὸ χαίνω, χάνος καὶ χαῦνος.

Χέδροψ, ὄσπριον ἄγριον, κατὰ συγκοπὴν, χειρίδοψ γάρ ἐστι τὸ τῇ χειρὶ ἀνασπώμενον· τὰ γὰρ ὄσπρια ἐλευθερίζονται.

Χελιδὼν, εἴρηται παρὰ τὸ κελαδεῖν, κελιδών τις οὖσα· τὸ μέντοι κελαδεῖν, διὰ τοῦ ε γραφόμενον μαρτυρεῖται· ἐκ τῆς χρήσεως ποταμοῦ κελαδοῦντος.

Χελώνη, κατὰ στέρησιν τοῦ κέλλειν ὅ ἐστι κινεῖσθαι· τὸ γὰρ νω στερητικὸν, νωθεὺς γὰρ τὸ ζῶον, διχηλή τις οὖσα, παρὰ τὸ διεσχίσθαι, ὥσπερ ὁπλὴ ἀντὶ τοῦ ἁπλῆ [1]).

Χὴν, ὄνομα θηλυκὸν, κοινὸν τῷ γένει, ὁ χὴν καὶ ἡ χήν· κρακτικὸν γάρ ἐστι καὶ φωνητικόν· γίνεται δὲ παρὰ τὸ ἠχὴ, ὃ σημαίνει τὴν βοήν.

Χὴν, καὶ χῆνα τὸ χηνάριον παρὰ τὸ ἠχεῖν, ἢ παρὰ τὸ χαίρειν, τουτέστι πέδειν, πέδον χηνάριον, διότι ἐν τοῖς νάμασι χαίρει· ἢ παρὰ τὸ ἕζω, τὸ καθέζομαι· οἱ γὰρ δεδεμένοι κυρίως ἐπὶ τῆς γῆς κατακεῖνται.

Χεῖα, παρὰ τὸ χωρεῖν, ἀλλὰ καὶ χηραμὸς ἡ κατάδυσις τῶν Ῥωμαίων, ὁ φωλεὸς τῶν μυρμήκων.

Χεῖλος, τὸ μέρος τοῦ σώματος, παρὰ τὸ χέειν τοὺς λόγους χέλος· καὶ χεῖλος τοῦ ποταμοῦ· τὸ χει διφθόγγῳ, διὰ τὸ χέλος κατὰ πλεονασμὸν τοῦ ἰῶτα χεῖλος· χῖλος δὲ ὄνομα κύριον.

Χειμάδια δὲ τόπος, ἐν ᾧ δεῖ παραχειμᾶσαι τῷ χειμῶνι· ἐφ' ᾧ ἄν τις δύναιτο χειμῶνος ἐγκαθορμήσασθαι ἤτοι χειμᾶσαι· χειμαδία δὲ ἡ τοῦ χειμῶνος ὥρα.

Χερειότερος, χερείων, καὶ κατὰ μεταπλασμόν· πλεῖον καὶ πλεῖα καὶ πλοῖαί τοι χαλκοῦ κλίσιαι· καὶ τί σημαίνει χερείων, τὸ ἔλασσον.

Χειμὼν, παρὰ τὸ χέω, ὁ ἐν τῇ γῇ χεόμενος.

Χείμαρρος. ὁ ποταμὸς, παρὰ τὸ ἐν τῷ χειμῶνι ῥεῖν· ἢ διὰ τὸ χέεσθαι εὐμαρῶς ἤγουν εὐκόλως.

Χεῖρες, διὰ τὸ χεῖσθαι ῥᾷον· καὶ διὰ τὴν χρείαν ὑπουργεῖν.

Χείμεθλον, τὸ ἐν τῷ χειμῶνι γενόμενον ἐν τοῖς ῥηξὶ τῶν δακτύλων ἕλκος.

Χειμερινὸς, παρὰ τὸ χεῖμα, ὡς παρὰ τὸ ἔαρ ἐαρινὸς ὤν· ἡ παραγωγὴ διὰ τοῦ ε γράφεται.

Χείρων, χείρονος, οἱ Αἰολεῖς χήρων καὶ χέῤῥων· ἐπὶ μὲν κυρίου φυλάσσουσι τὸ ω, ἐπὶ δὲ προσηγορικοῦ οὐ φυλάσσουσι.

Χειμὼν, διὰ τὸ χέεσθαι ὁμωνύμως, ἤγουν ἐπὶ μῆνας πέντε ἢ ἕξ.

Χειροπέδες, ἡ εὐθεῖα ἡ χειροπέδη, ἐκ τοῦ χεὶρ χειρὸς καὶ τοῦ πέδους· χείρων, παρὰ τὸ χεὶρ χειρὸς. ὁ πρῶτος τύπος τῶν συγκριτικῶν χειρότερος. ὁ β, χερίων, διὰ τοῦ ἰῶτα γράφεται· καὶ ἐν ὑπερβιβασμῷ γίνεται χείρων· καὶ χερνῆτις θηλυκῶς, ἡ χειρομαχία γυνή, ἡ διὰ τῶν χειρῶν νήθουσα· ἰστέον δὲ, εἰ μὲν ὄνομα εἴη διὰ τοῦ ω γράφεται· εἰ δὲ ἐπίῤῥημα διὰ τοῦ ο.

Χειρόκμητα, ὑπὸ χειρῶν γεγλυμμένα, ἢ περιεξεσμένα, ἢ κατειργασμένα.

Χειροτονία, ἐκλογὴ παντὸς δήμου.

Χαράστριος, παρὰ τὸ χαίρειν τοῖς ὕδασιν· ἐλανδεὺς γὰρ τὸ ὄρος.

Χειροβοσκὸς, ὁ διὰ χειρὸς ζῶν, ὡς φησὶ Σοφοκλῆς.

Χερουβεὶμ, ἐπὶ μὲν ἑνικοῦ διφθόγγῳ· ἐπὶ δὲ πληθυντικοῦ διὰ τοῦ ἰῶτα.

Χερείων, ὁ χείρων, ὁ ἐλάσσων, συγκριτικόν· διότι τὸ χερεῖος διφθόγγῳ.

Χερόνησος, γῆ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα θάλασσαν· καὶ γίνεται ἐκ τοῦ χεὶρ χειρὸς, καὶ τοῦ νῆσος.

Χέρσος, ἡ ξηρὰ γῆ, παρὰ τὸ κείρω τὸ κόπτω, ὁ μέλλων κερῶ, Αἰολικῶς κέρσω καὶ ἐξ αὐτοῦ κέρσος καὶ χέρσος, ἡ κεκομμένη γῆ καὶ ἄδενδρος.

Χηλῆξι, τοῖς ὄνυξι τοῦ βοὸς, ἐκ τοῦ χαλῶ, ἐξ οὗ δίχηλος, χηλὸς, ὥσπερ τὸ ἧσω ἧλος, ἡ χωροῦσα ἕκαστον τῶν ἀντιθεμένων.

Χήρα, ἡ γυνὴ, παρὰ τὸ χαίρω χαρὰ, κατ' ἀντίφρασιν, ἡ μὴ χαίρουσα· ἢ παρὰ τὸ χῶ τὸ χωρῶ. ὁ μέλλων χήσω, καὶ ἐξ αὐτοῦ γίνεται χήρα, ἡ χωρητικὴ τῆς λύπης· ἢ ἡ μεμονωμένη τοῦ ἀνδρός.

Χηραί τε ἄνδρας μὴ ἔχουσαι· γίνεται χήρα ἀπὸ τοῦ χῶ τὸ χωρῶ, ὁ μέλλων χήσω, καὶ ἐξ αὐτοῦ γίνεται χήρα· ἐτυμολογεῖται καὶ παρὰ τὸ χαρὰ, καὶ ἀναδόσει τοῦ τόνου, καὶ τροπῇ τοῦ α εἰς η γίνεται χήρα, κατ' ἀντίφρασιν· ἡ ἐστερημένη τῆς εὐφροσύνης καὶ τῆς χαρᾶς.

Χηρωσταὶ, ἀλλότριοι, ἢ οἱ πόῤῥωθεν συγγενεῖς, διότι χηρεύοντος τοῦ οἴκου, καὶ ἐρήμου ὄντος τέκνων, αὐτοὶ κληρονομοῦσι.

Χηραμὸς, παρὰ τὸ χῶ τὸ χωρῶ· χῶ, χήσω, χῆρος, ὁ ἔρημος, ὁ χωρεῖν δυνάμενος, διὰ τὸ κενὸν εἶναι· χῆρος οὖν καὶ παρωνύμως χηραμός· ἔστι δὲ χηραμὸς ὁ φωλεὸς τοῦ ὄφεως.

Χηνάριον, διότι ἐν τοῖς νάμασι χαίρει.

Χηλὴ, ἐπὶ τῶν διονύχων ζώων, διχόλη τις οὖσα, παρὰ τὸ διεσχίσθαι· ὥσπερ ὁπλὴ, ἀντὶ τοῦ ἁπλῆ, ἐπὶ τῶν μονωνύχων.

---

1) cfr. Etym. M. v. χηλή.

Χῆτις, ἡ στέρησις.

Χήτει, δοτικὴ, στερήσει, ἐνδείᾳ, καὶ σπάνει, παρὰ τὸ χῶ ῥῆμα, ὃ σημαίνει τὸ ἐνδεοῦμαι· χῶ οὖν ὁ μέλλων χήσω, ὄνομα ῥηματικὸν χῆτις ἡ ἔνδεια, καὶ χῆτος ὄνομα οὐδέτερον, καὶ χητόπη ῥηματικὸν, δηλοῦν τὴν ἔνδειαν.

Χῆτις, ἡ ἔνδεια, καὶ χῆτος ἕτερον ὄνομα, παρὰ τὸν χήσω μέλλοντα· χήτεα, Ἡσίοδος· παρὰ δὲ τὸ χῆτος ῥῆμα χητίζω καὶ χατίζων, ὡς θέρος θερίζω, ἄνθος ἀνθίζω· οὕτω Φιλόξενος.

Χειμερίοις, τοῖς χειμερινοῖς.

Χειμέριος, τὸ ρι ἰῶτα· τὰ διὰ τοῦ ιος, διὰ τοῦ ἰῶτα γράφεται, χωρὶς εἰ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος οὐδετέρων· οἷον, ἀκαίριος, ὁ μὴ ἔχων καιρὸν, ὥριος ὁ τῆς ὥρας προέφθασα ἐν ἀωρίᾳ, παρὰ τὸ ὥριος, ὁ μὴ ἔχων ὥραν· ἑσπέριος, ἡμέριος, ἀκάριος· χωρὶς εἰ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος οὐδετέρων εἶπε, διὰ τὸ θέρος θέρειος· λοιπὸν ἐκ τοῦ [1]) χειμερινός.

Χήλωμα, τὸ τῶν κτηνῶν.

Χθαμαλὴ, χθεσινὰ ὠμὴ καὶ ἄσθμα.

Χθιζά τε χθεσινὰ, ἐπίῤῥημα ἀπὸ ὀνόματος γενόμενον εἰς ἐπίῤῥημα, ὡς ἐν τῷ ἐτεὸν καὶ τὸ σίδηρον· καὶ τὸ χθιζὸς διατί ὀξύνεται; τὰ εἰς ζος, ἀπὸ ἐπιῤῥημάτων παραγόμενα ἢ τριγενῆ ὄντα, ὀξύνεται, οἷον, χθιζὸς, πρωϊζός· καὶ πόθεν παρήχθη; ἐκ τοῦ ἐχθές· καὶ ποῖόν ἐστιν ἀναλογώτερον, καὶ κυριώτερον καὶ πρῶτον, τὸ ἐχθὲς ἢ χθές; τὸ χθές· ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν ἐπίῤῥημα μονοσύλλαβον ἀπαθὲς, κατ' ἰδίαν ῥητὸν μακροκαταληκτεῖ φύσει ἢ θέσει· οἷον, μὴν, νὴ, πλὴν, δὴν, πὺξ, λὰξ, μὰψ, ἄψ; πρόσκειται μονοσύλλαβα, διὰ τὴν δισυλλαβίαν· πρόσκειται ἀπαθὲς διὰ τὸ δύο καὶ τρίς· ταῦτα γὰρ κατὰ πάθος εἰσιν, ἐκ διάκις, καὶ τριάκις· πρόσκειται κατ' ἰδίαν ῥητὸν, ὅτι ἔδει αὐτὸ μακροκατάληκτον εἶναι, εἴτε φύσει εἴτε θέσει, ὥστε τὸ ἐχθὲς ἀναλογώτερόν ἐστιν, ἐκφεῦγον τὴν παραλογίαν τοῦ χθές· γίνεται ἐκ τοῦ ἐχθέω, ἐχθεύσω, ἐχθεὺς, ἡ ἐκθεύσασα ἡμέρα· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐκτὸς ἡμῶν γένεσθαι ταύτης τῆς ἡμέρας.

Χθονὶ, τῇ γῇ, δοτική· κλίνεται χθὼν, χθονός· ὁ κανών· πᾶν ὄνομα μονοσύλλαβον, εἰς ἀμετάβολον λῆγον, προσθέσει τοῦ ος κλίνεται, οἷον, κλὼν κλωνὸς, χὴν χηνὸς, πρὼν πρωνὸς, ἐξ οὗ καὶ πρώονες ἄκραι, σπλὴν σπληνὸς, μὴν μηνός· πλὴν τοῦ φρὴν φρενὸς, καὶ χθὼν, χθονός· τὸ δὲ φρὴν ἐσημειώθη, ἐπειδὴ τὰ εἰς ην μονοσύλλαβα κοινά εἰσι τῷ γένει, ὁ χὴν καὶ ἡ χὴν, ὁ ῥὴν καὶ ἡ ῥὴν, σημαίνει δὲ τὸν ἄρνα, ἀπὸ γὰρ τῆς ῥηνὸς γενικῆς τροπῇ τοῦ η εἰς α ῥανὸς, καὶ ἐν ὑπερβιβασμῷ ἄρνος, καὶ ἡ αἰτιατικὴ ἄρνα· τὸ δὲ φρὴν Αἰολικῶς μόνου γένους ὂν, ὡς διήλλαξε περὶ τὸ γένος, διήλλαξε καὶ κατὰ τὴν κλίσιν.

Χθὼν, παρὰ τὸ χῶ, τὸ χωρῶ, γίνεται χὼν, καὶ πλεονασμῷ τοῦ θ, χθὼν, ἡ πάντας χωροῦσα· ὅτι πᾶν ὄνομα μονοσύλλαβον, εἰς ἀμετάβολον λῆγον, προσθέσει τοῦ ος κλίνεται, εἴρηται ἐν τῷ φρήν· περὶ δὲ τοῦ χθονὸς εἴπωμεν, ὅτι κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ων λήγοντα ὀξύτονα μονοσύλλαβα, μόνως ἀρσενικὰ, καὶ μὴ μόνως θηλυκὰ, φυλάττει τὸ ω ἐπὶ γενικῆς· οἷον, κλὼν κλωνὸς, πρὼν πρωνὸς, ὥστε πρὼν ἰσχάνει ὕδωρ. τὸ δὲ χθὼν ἐπειδὴ μόνως ἐστὶ θηλυκοῦ γένους, τούτου χάριν ἔτρεψε τὸ ω εἰς ο, οἷον, χθονός· καὶ ἐξ αὐτοῦ χθόνιος.

Χθαμαλὸς, ταπεινὸς, ὁμαλός.

Χθίζηνοι, χθεσινοί.

Χιλὸς, καὶ θηλυκῶς λέγεται· γράφεται δὲ διὰ τοῦ ἰῶτα. καὶ λέγουσιν, ὅτι ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἐπειδὴ καὶ τὸ χεῖλος διὰ τῆς ει διφθόγγου. ἐκ δὲ τοῦ χεῖλος γίνεται χιλὸς ἡ τροφὴ, ἡ ἐν τοῖς χείλεσι διδομένη. ἀλλ' ἔστιν εἰπεῖν διὰ τοῦ ἰῶτα, τῷ λόγῳ τῶν διὰ τοῦ ιλος.

Χίδρα, στάχυες ἁπαλοῦ σίτου, ὁ νεὸς καρπὸς, ἢ ἄλευρον τὸ ἐξ ἁπαλῶν κριθῶν φρυκτῶν γινόμενον. χίδαρα ὄντα τινὰ, καὶ χίδρα, τὰ τῇ χειρὶ ἀνασπώμενα.

Χιλὸς, ἡ τροφὴ, ἐξ οὗ καὶ χιλὸς, ὁ Ἀχιλεύς.

Χιλοῦ τε ἕνεκα, καὶ τῆς λείας ἀναγχοῦ· φύουσι γὰρ χιλὸν, καὶ ἐλυμὰν καὶ χόρτον.

Χιλὸς οὖν ἡ τροφὴ, παρὰ τὸ ἴσχειν τὸ σῶμα, τουτέστι κρατεῖν, χιλὸς δὲ ὁ χόρτος τῶν βοσκημάτων, παρὰ τὸ χεῖσθαι τῷ ἕλει· χηλὴ δὲ ἐπὶ τῶν διονύχων ζώων, οἷον, διχέλη τις οὖσα, ἀπὸ τοῦ ἐσχίσθαι, ὡς τὸ ὁπλῆ ἢ ἁπλῆ, ἐπὶ ἵππων καὶ ἡμιόνων· καὶ εἰς τὸ Ἀχιλεύς.

Χίλιοι, διὰ τοῦ ἰῶτα γράφεται, ἐπειδὴ οἱ Αἰολεῖς χέλλιοι λέγουσι· τοῦτο δὲ ἔχουσιν ἔθος ποιεῖν ἐπὶ τῶν γραφομένων· φθείρω φθέῤῥω, σπείρω σπέῤῥω· εἰ δέ τις εἴποι, ὅτι τὸ ἰῶτα εἰς ε τρέπουσιν, οἷον Πρίαμος Πρέαμος, κοπρία κοπρέα, τρίτος τρέτος· τὸ δὲ χίλιοι τὸ χι μακρὸν ἔχει, πῶς ἔτρεψε παρ' αὐτοῖς τὸ ι εἰς ε; ἀλλ' ἰστέον, ὅτι σπανίως τὸ ἰῶτα ἐκτεταμένον τρέπουσιν εἰς ε, οἷον, ἴλαθι, ἔλλαθι, χίλιοι χέλλιοι. ἰστέον δὲ ὅτι τὸ χίλιοι διὰ τοῦ ι γράφεται· ἐπειδὴ πᾶς ἀριθμὸς ἐν τῇ ἀρχούσῃ συνεμπίπτει τῷ ἰῶτα στοιχείῳ.

Χεὶρ, τὸ χεὶρ διφθόγγῳ γράφεται, ἐπειδὴ οἱ Δωριεῖς χὴρ λέγουσι διὰ τοῦ ἦτα· καὶ ἔθος δὲ ἔχουσι τὴν ει δίφθογγον εἰς η τρέπειν, οἷον, πλείων πλήων, μείων μήων· καὶ ἄλλως, ὅτι οἱ Αἰολεῖς ἐφανέρωσαν τὸ ε, χέρες εἴποντες, χεῖρες διφθόγγῳ (γράφεται.)

Χείρων, ὁ κένταυρος· χεῖραι καλοῦνται, αἱ ἐν τοῖς ποσὶ ῥαγάδες. ἔνθεν καὶ χείρων, διὰ τὸ ἐν χείρεσι.

Χίμαιρα, ἡ περιεσυνὴ αἴξ· ἔστι δὲ ὄνομα θηρίου τρικεφάλου· εἴρηται ὁ κανών.

Χίμαρος, ὁ τράγος, ἐκ τοῦ χιμαίρα. τὸ χι ἰῶτα πρὸς ἀντιδιαστολὴν τοῦ ποταμοῦ, τοῦ ἐν τῷ χειμῶνι ῥέοντος· καὶ γίνεται παρὰ τὸ κίω τὸ πορεύομαι, κίμαρος καὶ χίμαῤῥος.

Χῖος, ἐπὶ τοῦ πολίτου ὁ λόγος, ἡ δὲ νῆσος διὰ βραχέως τοῦ ἰῶτα.

Χιράδες, αἱ τῶν χειρῶν· χιρὰς δὲ τὸ πάθος.

Χιράδες, διὰ τοῦ ἰῶτα γράφεται. καὶ ὤφειλε διὰ διφθόγγου, ἐπειδὴ παρὰ τὸ χεὶρ γέγονε· ἀλλ' ἴσως ἀπέβαλε τὸ ε, ὁμοίως ὡς τὸ λειβὰ λιβάς· κρεῖττον δὲ εἰπεῖν, ὅτι συνέπαθεν ἡ φωνὴ τῷ σημαινομένῳ· ἐπειδὴ τὸ χεῖρας ἔνδειαν τινὸς σημαίνει.

---

[1]) τοῦ fort. τούτου.

Χιτῶνος, ἐπὶ μὲν τοῦ σηνήθους· τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα [1]). ἐπὶ δὲ τοῦ θώρακος· Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι.

Χιτὼν, ὑποκάμισον, τὸ τοῦ ἄνδρος ἱμάτιον, παρὰ τὸ περιχεῖσθαι τῷ σώματι ἡμῶν· τὸ δὲ τῆς γυναικὸς πέπλον· λέγεται δὲ καὶ χιτωνίσκος· καὶ εἰς τὸ πέπλος.

Χίων, παρὰ τὸ χέω, καὶ χιτών· συστέλλει δὲ τὸ ω ἐπὶ γενικῆς.

Χλαῖνα, παρὰ τὸ χλιαίνειν, ὅ ἐστι θερμαίνειν· οὕτως Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς.

Χλαῖνα, γίνεται ἐκ τοῦ χλαίνω, τὸ θερμαίνω· καὶ τί διαφέρει χλαῖνα, χλανὶς καὶ χλαμύς; διαφέρει· χλαῖνα μὲν γὰρ λέγεται τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον· χλαμὺς δὲ τὸ περιφερὲς, τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον σαγομαντίον· χλανὶς δὲ τὸ λεπτότατον καὶ τρυφερὸν ἱμάτιον· χλαμὺς δὲ καὶ ὅπερ φοροῦσιν οἱ κηροφόροι.

Χλευασμὸς, ἀπὸ τοῦ χλευάζω, τοῦτο ἐκ τοῦ χλεύη, ὃ σημαίνει τὴν ἀπάτην· τοῦτο ἐκ τοῦ κλέπτω, κλεύη καὶ χλεύη· ὁ γὰρ κλέπτων τινὰ, καὶ χλευάζει αὐτόν· καὶ ὁ χλευάζων τινὰ ὑποκλέπτει αὐτόν· ἢ ἀπὸ τοῦ χεύω γίνεται χεύη, καὶ κατὰ πλεονασμὸν τοῦ λ, χλεύη. ἢ παρὰ τὸ γελῶ γελεὺς καὶ χλεύη.

Χλεύη, χειλεύη τις οὖσα, παρὰ τὸ ἀνοίγειν τὰ χείλη· οἱ δὲ παρὰ τὴν χλόην, δυσωπητικὰ γὰρ τὰ σκώμματα, καὶ χρειὰς μεταβλητικά.

Χλιδὴ, ἡ τροφή· τὸ χλι ἰῶτα. τὰ εἰς δη ψιλὰ ἑνὶ φωνήεντι παραλήγεται, οἷον, κλίδη, ἴδη, χλιδή· ἔστι δὲ χλίδω βαρυτόνως, καὶ χλιδῶ περισπωμένως, δευτέρας συζυγίας τῶν περισπωμένων· ἄλλοι φασὶ τὸ χλιδῶ, ὃ σημαίνει τὸ τρέφω καὶ αὐξάνω, ὡς ἀπὸ τοῦ κλείω τὸ δοξάζω.

Χλίδοντα, χλίδην, σωρηδὸν, δηλοῖ πλήθους ἔμφασιν, Αἰσχύλος ὁ πλουκρίσει καὶ χεριδόντα, ἀντὶ τοῦ πληθύνοντα.

Χλιδὴ, ἥκιστα ἔχαιρες ἀγλαϊσμῶν τροφὴ, καὶ χλιδανὸν τὸ τρυφερὸν, παρὰ τὸ χαλῶ ῥῆμα, καὶ τὸ δέω τὸ πρέπω, χαλιδὴ καὶ χλιδὴ, ἡ ὑποχαλῶσα τοῦ πρέποντος· λέγεται δὲ καὶ χλιδὴ ἡ ἔκλυσις, καὶ μαλακία, ἀπὸ τοῦ χλιάνθαι, καὶ ἐκλελύσθαι, ἀσθενείᾳ τοῦ θερμοῦ· καὶ χλίδοντα, ἀντὶ τοῦ πληθύνοντα.

Χλῆδος, ἀρσενικόν· κυρίως δὲ ὁ σωρὸς τῶν λίθων.

Χλωρὸς, παρὰ τὸ χολῇ, χολερὸς καὶ χλωρὸς, καὶ ἐκ τούτου χλίηρος, καὶ τροπῇ τοῦ η εἰς ω καὶ κράσει χλωρός· καὶ ἐκ τούτου χλωρότης.

Χλούνης, ὁ σύαγρος, ὁ χοῖρος, ὁ ἐν χλόῃ ἀναζωούμενος καὶ διατρίβων, χλοεύνης καὶ χλεύνης.

Χλόη, παρὰ τὸ φλέω τὸ ἀναδίδωμι, φλόη καὶ χλόη.

Χοῖνιξ, καὶ ἶφι, ταυτόν ἐστιν. ἔστι δὲ μέτρον ξεστῶν δύο, καὶ ποστιμάριον, ὅ ἐστι τῶν δύο δραχμῶν, τῆς χειρὸς τὸ μέτρον· χοῖνιξ δὲ σημαίνει τὴν χώρησιν.

Χοῖνιξ, διὰ τοῦ ἰῶτα γράφεται. ἔστι δὲ εἶδος μέτρου. οὐδέποτε δίφθογγος εἰς διπλοῦν λήγει, πλὴν τοῦ προίξ.

Χοιράδες, νόσημά τι περὶ τὸν τράχηλον τῶν ἀνθρώπων γενόμενον, ὅπερ οἱ ἰατροὶ χοιράδες καλῶς ὀνομάζουσι, διὰ τὸ ζώοις ἐοικέναι τοιούτοις τὰ δημιουργοῦντα τὸ νόσημα, καὶ κενοὺς σοφεώρας ἀνθρώπων τοὺς τραχήλους ποιουμέναι.

Χοῖρος, παρὰ τὸ χοῦς χοὸς, χόϊρος καὶ χοῖρος κατὰ κράσιν, ὁ τὸν χοῦν ἐρευνῶν.

Χοῖρος, διὰ τὸ τὴν χυσιν ἐρᾷν καὶ ῥυφᾷν· ἤτοι τοῦ χείρονος ἐρᾷν, ἤτοι του χοὸς ἐρᾷν.

Χολάδες, τὰ ἔντερα, εἰς αὐτὰ γὰρ ἡ ξανθὴ χολὴ συῤῥεῖ. τοῦτο μηχανισαμένης τῆς φύσεως, πρὸς τὸ διαθερμαίνεσθαι καὶ ἐρεθίζεσθαι αὐτὰ τῇ δριμύτητι αὐτῆς, πρὸς τὴν παράκλισιν τῶν περιττῶν, ἔμελλε γὰρ ψυχρὰ ὄντα, τῇ κράσει ἀργὰ μένειν, καὶ μηδέποτε ποιεῖν τὴν παράκλισιν· τοιαῦτα γὰρ τὰ νευρώδη πάντα· ἐτυμολογεῖται παρὰ τὸ χεῖσθαι οὐ καλῶς.

Χολωσάμενος, ὀργισθείς· τὸ χο μικρὸν διάτι; ἐκ τοῦ χέω, ὁ γὰρ χόλος διαχεῖται· ἡ πρώτη γὰρ ἔκκαυσις τῆς καρδίας, καὶ διάχυσις τῆς χολῆς πρὸς ὀργὴν, χόλος λέγεται· ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι; εἰδικοῦ· καὶ τὸ γενικόν ἐστιν ὁ θυμός· ταῦτα δὲ εἴρηται, καί εἰσιν εἴδη.

Χολὴ, παρὰ τὴν ὀργὴν καὶ τὴν μελανίαν· ἢ διὰ το χέεσθαι τὴν αἰτίαν εἰς ὅλον τὸ σῶμα, καὶ τυφλεῖν αὐτόν.

Χόλω, καὶ χολῶ διαφέρει· ἐπὶ μὲν τοῦ ὀργιζομένου ἐκ τοῦ χολή· ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων, χολῶ χολᾷς, τὸ πληθυντικὸν χολᾶτε, ἐμοὶ χολᾶτε, ὅτι ὅλον τὸν ἄνθρωπον ὑγιῆ ἐποίησα· ἐπὶ δὲ τοῦ ἐκ τοῦ χόλος. γίνεται χολῶ, τρίτης συζυγίας τῶν περισπωμένων, χολόω χολῶ, ὁ μέλλων χολώσω, κεχολωμένος.

Χολωσέμεν, ὀργισθήσεσθαι· καὶ οἱ Δωριεῖς τὰ εἰς ειν ἀπαρέμφατα ποιοῦσιν εἰς εμεν, καὶ οἱ Αἰολεῖς εἰς εμεναι, τύπτειν, τυπτέμεν, τυπτέμεναι, γελάσειν, γελασέμεν, γελασέμεναι, χολώσειν, χολωσέμεν, χολωσέμεναι.

Χόνδρος, τὸ τοῦ στομάχου ἔντερον· ἔνθεν καὶ ὑποχόνδριον καλεῖται, καὶ χονδή· καὶ λοιπὸν φύσκη τὸ ἕτερον.

Χορδὴ, τὸ ἔντερον, ἢ ἡ λύσις τῶν ἐντέρων, παρὰ τὸ χωρεῖν τὴν ἐδωδήν· ἢ παρὰ τὸ τὰ χορηγούμενα δεῖν, ὅ ἐστι δεσμεύειν.

Χορταῖος, ὁ δασὺς χιτὼν, ᾧ χρῶνται αἱ παρθένοι αὐλῆς ἐν χόρτωπι· καὶ χορτοὶ οἱ τριγχοὶ, ὡς Εὐριπίδης ἐν δροπωθ'.. συγχορταναίῳ πεδίῳ· ταῖς δ' ἐλευθέραις· καὶ ἐν Ἀνδρομάχῃ [2]) ὁμοίως.

Χόριον, τὸ κάλυμμα, τὸ περιέχον τὸ ἔμβρυον, τὸ συγγενώμενον ἐν τῇ κοιλίᾳ τοῖς βρέφεσιν, ὡς χωρίον αὐτὸ ὂν τῶν διατρεφόντων· χόριον τὸ ἔντερον τὸ συγγενώμενον ἐν τῇ κοιλίᾳ τοῖς βρέφεσι, τὸ ἐκ τοῦ ἐμβρύου τοῦ τικτομένου. ἐκ τοῦ χέω.

Χολέρα, ἔκρυσις διὰ τοῦ στόματος καὶ γαστρός.

Χορηγὸς, δότης, παρὰ τὸ χεὶρ χερὸς καὶ τὸ ἄγω, γίνεται χερηγὸς, καὶ τροπῇ τοῦ ε εἰς ο χορηγὸς, ὁ διὰ χειρὸς ἄγων.

Χορόνδε, ὄνομα, ἐκ τοῦ χῶρος, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· τὸ δε οὐκ ἔστι μέρος λόγου, ἀλλὰ μόριον· λαμβάνεται δὲ ἀντὶ τῆς ἐν προθέσεως.

Χόρτος, παρὰ τὸ ἐν τῇ χέρσῳ γίνεσθαι· ἢ διὰ τὸ ἐν τῇ χέρσῳ τείνεσθαι· ἢ παρὰ τὸ κείρω τὸ κόπτω, κόρτος καὶ χόρτος.

---

1) Od. XIX, 232. 2) Euripid. Androm. 17.

Χορτάσαι, παρὰ τὸν χόρτον, τὸν περιβαλλόμενον τοῖς ὑποζυγίοις.

Χορὸς, ἄθροισμα, ἀπὸ τοῦ χῶρος, ὃ σημαίνει τὸν τόπον. ἀπὸ περιέχοντος τὸ περιεχόμενον· ἐκ τοῦ οὖν χῶρος, κατὰ συστολὴν τοῦ ω εἰς ο, καὶ καταβιβάσει τοῦ τόνου γίνεται χορὸς ὁ λαὸς, ὁ περιεχόμενος ἀπὸ τόπου· γίνεται καὶ χορεῖος.

Χορὸς, παρὰ τὸ χαίρω χαρὸς, καὶ τροπῇ τοῦ α εἰς ο χορός· ἢ παρὰ τὸ χεὶρ χειρός. τὸ χο μικρὸν διάτι; πρὸς ἀντιδιαστολὴν τοῦ χῶρος τοῦ σημαίνοντος τὸν τόπον, καὶ Ὅμηρος, χῶρον μὲν πρῶτον διεμέτρεον· καὶ ὡς οἶδε χῶρον ἔρημον.

Χοσρόης, ὄνομα κύριον.

Χοῶν, θυσίων, ἐκ τοῦ χοὴ, τοῦτο ἐκ τοῦ χέω, χοὴ, χοαὶ, χοῶν, τὰ ἐπιχεόμενα. οἱ γὰρ ἀρχαῖοι, ἅπερ εἶχον κάλλιστα καὶ τιμιώτατα, ἔῤῥευον εἰς τοὺς νεκροὺς τιμῶντες αὐτούς.

Χροῦς, ὅ ἐστι χουζά. τὸ μὲν μέγα ξεστῶν η· τὸ δὲ ἅγιον ξεστῶν ἕξ. ὅ ἐστι δώδεκα μετρήτους.

Χραίσμη, ἐκ τοῦ χραισμῶ τὸ βοηθῶ, ὁ β ἀόριστος ἔχραισμον, τὸ ἐπιτακτικὸν ἐὰν χραισμῶ, ἐὰν χραισμῇς, ἐὰν χραισμῇ, καὶ χραίσμη.

Χρεία, παρὰ τὸ χρέος γέγονε χρέα, καὶ ἐν πλεονασμῷ τοῦ ἰῶτα χρεία. διὰ τῆς ει διφθόγγου γράφεται, τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων.

Χρεῖσθαι, καὶ χρᾶσθαι, προσφέρεσθαι, δανείσασθαι, καὶ ἐπίτασις χρειώδους, καὶ ἀναγκαίας χρείας.

Χρήσασθαι. πρᾶξαι ἢ γαμῆσαι, ἢ ἄλλο τι ποιῆσαι, ἢ ἀποκτεῖναι.

Χρηστήριον, σημαίνει δὲ τὸ μαντεῖον.

Χρέος, παρὰ τὸ χρέω τὸ δηλοῦν τὸ ἐνδεῖν, οὕτως Ἀπολλώνιος ἐν τῷ ἐπὶ ῥημάτων.

Χρέων, ἐπίῤῥημα, ἀντὶ τοῦ χρή.

Χρεωφειλέτης, ἐκ τοῦ χρέος, καὶ τοῦ ὀφειλῶ.

Χρείω, τὸ χρησμοδοτῶ, ἤγουν τὸ μαντεύομαι, ἐπὶ ἐνεστῶτος καὶ παρατατικοῦ, (διὰ τῆς ει διφθόγγου, οἷον, ἔχρειον· ἐπὶ δὲ τῶν ἄλλων ἐστὶ διὰ τοῦ ἦτα, τὸ δανείζω· ἐξ οὗ καὶ χρήσασθαι τὸ δανείσασθαι. χρείω δὲ καὶ τὸ κεντρίζω.

Χρὴ, ἀπὸ τοῦ χρῶ, χρᾷς, δευτέρας συζυγίας τῶν περισπωμένων, εἶτα παράγωγον χρῆμι, χρῆς, χρῆσι, καὶ κατ' ἀποβολὴν τῆς σι συλλαβῆς χρή· διατι ὀξύνεται; πᾶσα λέξις δισύλλαβος ἐν ῥήμασιν, εἰ μὲν ἀπὸ τῆς ἀρχῆς ἀποκοπὴ τὴν καταλιμπανομένην συλλαβὴν περισπᾷ, εἰ δὲ ἀπὸ τέλους ὀξύνει.

Χρῆ. δεῖ γινώσκειν, ὅτι τὸ χρῆ ἐστιν ἐνεστῶτος τῶν εἰς μι, τρίτου προσώπου, ἑνικοῦ. ἔστι χρῆμι, τὸ δεύτερον χρῆς, καὶ τὸ τρίτον χρῆσι, καὶ κατὰ συγκοπὴν χρῆ.

Χρὴ, ἐπίῤῥημα, ὁμοίως καὶ τὸ δεῖ· ὅτι τὰ ἐπιῤῥήματα καὶ ἐπίκειται τοῖς ῥήμασι προτασσόμενα, καὶ ὑπόκειται· οἷον, καλῶς ἀναγινώσκει δίων, ἀναγινώσκει καλῶς δίων· τοιαῦτα δὲ τὰ προκείμενα ἐν τῇ συντάξει ἐστι κατὰ ἀπαρέμφατον, οἷον, Ἀπολλώνιος χρὴ γράφειν, Ἀπολλώνιος δεῖ περιπατεῖν. καὶ ἄλλως. κανὼν γάρ ἐστιν ὁ λέγων, τὰ ἐν προσώποις ἀντωνυμικοῖς κατὰ παρασχηματισμὸν ἐκφερόμενα, κατὰ τὸ τρίτον πρόσωπον ἐπιῤῥήματά εἰσιν, οἷον, Ἑλληνιστὶ λέγω ἐγὼ, Ἑλληνιστὶ λέγει ἐκεῖνος· ὁμοίως καὶ τὸ ἐμὲ χρὴ γράφειν, σὲ χρὴ γράφειν, ἐκεῖνον χρὴ γράφειν· ἄρα κατὰ τοιαύτην ἀπόδειξιν ἐπίῤῥημα. ἕτεροι δὲ κανόνες εἰσὶν οἱ λέγοντες, ταῦτα τοῦ μὴ ἐπιῤῥήματος εἶναι, ἀλλὰ ῥήματα. ῥήματα δέ εἰσιν, ἐπειδὴ ἴδιόν ἐστι τῶν συγκεχυμένων ῥημάτων τὸν χρόνον διαστέλλειν· ἐνεστὼς γὰρ χρόνος γίνεται τὸ δεῖ καὶ τὸ χρή· οἷον χρὴ γράφειν, δεῖ ἀναγινώσκειν· παρατατικὸς δὲ ἔδει γράφειν, καὶ ἔχρην ἀναγινώσκειν, προσελθόντος ἔξωθεν τοῦ ε, ὥσπερ ῥῆμα ἴδιόν ἐστι [1]). καὶ πάλιν διὰ τὴν κατάληψιν ῥῆμα ἐστιν· οὐδὲν γάρ ἐστιν ἐπινοῆσαι ἐπίῤῥημα εἰς ε καταλῆγον μονοσύλλαβον, κατὰ τὸ κοινὸν ἔθος, αἱ γὰρ τοιαῦται προφοραὶ ἐν συναιρέσει ῥημάτων ἴδιαί εἰσιν. οἷον, χέει χεῖ, ῥέει ῥεῖ, πλέει πλεῖ, ἕως ἐξουρίας πλεῖς, πνέει πνεῖ· ἆρα οὖν ῥῆμα ἐστι τὸ δεῖ καὶ τὸ χρή. ἕτερος κανών ἐστιν ὁ λέγων, πᾶν ῥῆμα μακροκατάληκτον, ἐπὶ τῆς μακρᾶς ἔχον τὸν τόνον περισπᾶται, οἷον νοῶ, χρυσῶ· σεσημείωται τὸ χρὴ καὶ τὸ δεῖ.

Χρήζω, θέλω, ἐν οἷς καὶ νὴν γράφει τὸ ἰῶτα. καὶ χρηΐζω λέγεται κατὰ διάστασιν· εἴρηται δὲ παρὰ τὸ χρεία, ὅπερ ἔχει τὴν ει διφθογγον, χρεΐζω, καὶ κατ' ἔκτασιν τοῦ ε εἰς η, χρηΐζω.

Χρησμὸς, παρὰ τὸν χρήσω μέλλοντα.

Χρήματα, τὸ πλῆθος τοῦ χρυσίου, παρὰ τὸ χρῶ χρήσω, ὃ σημαίνει τὸ κτῶμαι, ἐξ οὗ καὶ ὁ μέσος ἐχρησάμην, ἀντὶ τοῦ ἔλαβον, καὶ ἐκτησάμην χρήματα.

Χρήματα, τὰ ἀργύρια, χρήματα τὰ πράγματα.

Χρίσις, οὕτως ἡ παράδοσις, μαρτυρεῖ δὲ Ἀλεξίων καὶ Φιλόξενος. παρὰ τὸ χρίω τὸ ἀλείφω· ὅτε γὰρ δηλοῖ τὸ μαντεύομαι, διὰ τῆς ει διφθόγγου γράφεται.

Χριστὸς, παρὰ τὸ χρίω, ὃ σημαίνει τὸ ἀλείφω· σημαίνει δὲ τὸ τοῦ κυρίου ὄνομα καὶ τὸν βασιλέα· χρίω ὁ μέλλων χρίσω, κέχρικα, κέχρισμαι, κέχρισαι, κέχρισται, καὶ ἐκ τούτου Χριστός. τὸ χρι-ἰῶτα διάτι; τὰ εἰς στος. εἴτε ἁπλᾶ, εἴτε σύνθετα, διὰ τοῦ ἰῶτα γράφεται, οἷον, πιστὸς, ἱστὸς, παστὸς, Χριστός. ὀξύνεται, τὰ εἰς τος λήγοντα ὀνόματα, ἔχοντα πρὸ τοῦ τ, τὸ σ, εἰ παρασχηματίζοιτο εἰς διαφορὸν γένος, εἰ μὴ ὑπερθετικὰ εἴη, ὀξύνεται· οἷον, πιστὸς, πλιστὸς, ξυστὸς, μεστὸς, σχιστὸς, φραστὸς, κτιστὸς, χριστός. πρόσκειται μὴ ὑπερθετικὰ, διὰ τὸ πλεῖστος, λῷστος, ῥᾷστος.

Χρηστὸς, ὁ ἀγαθός· τὸ χρη ἦτα διάτι; ἀπὸ γὰρ τοῦ χρῶ, χρᾷς, χρᾷ, γίνεται χρηστὸς ὁ ἀγαθὸς, καὶ χρήστης ὁ δανείζων καὶ ὁ δανειζόμενος. χριστὸς δὲ καὶ χρίσμα διὰ τοῦ ἰῶτα, ἀπὸ τῆς τοῦ ἐλαίου χρίσεως.

Χρησμωδοσία, ἐκ τοῦ χρησμὸς καὶ τοῦ δόσις· χρησμῳδία δὲ ἐκ τοῦ χρησμῳδοτῶ, τοῦτο ἐκ τοῦ χρησμὸς καὶ τοῦ ᾠδὴ, γίνεται χρησμωδοσία.

Χρημώδημα, καὶ χρησμῳδότημα, τὸ μάντευμα.

Χρῆμα, κυρίως τὸ διὰ χειρὸς ἔργον, οἷον χέρημα.

Χρῆμα, πρᾶγμα, πλοῦτος, οὐσία. χρῆμα, προφήτευμα, χρυσίον.

Χρόνος, εἰς τὸ καιρός.

Χρόα, παρὰ τὸ χρῶ τὸ βάπτω, ἐξ οὗ καὶ χρῶμα, κατὰ παραγωγήν· καὶ εἰς τὸ ὦχρος.

Χρυσάμπυκα, ζήτει εἰς τὸ ἄμπυξ, χρυσοχαλίνους, ἀπὸ μέρους, ἢ χρυσοκόμους· κυρίως δὲ ἄμπυξ καλεῖται, σειρὰ κατάχρυσος, ἡ ἀπὸ μετώπου τεινομένη, ᾗ συνδοῦνται αἱ τρίχες.

---

1) F. ὥσπερ ῥήματος.

Χρύσεος, ἀποβάλλει τὸ ἰῶτα τῆς ει διφθόγγου. τὰ διὰ τοῦ ειος κτητικὰ, ὑπὲρ δύο συλλαβὰς, οἱ αἰολεῖς διὰ τοῦ εος προσφέρουσιν, οἷον Φλόγειος, Φλόγεος, σιδήρειος, σιδήρεος. ποίας διαφορᾶς τῶν κτητικῶν; μετουσιαστικοῦ· καὶ πόσαι διαφοραὶ τῶν κτητικῶν; τρεῖς· οἰκειωτικὸν, συνεκφαντικὸν, μετουσιαστικόν. οἰκειωτικὸν δέ ἐστι, τὸ ἔχον οἰκείωσιν πρὸς τόπον, οἷον, οὐράνιος, ὁ ἔχων οἰκείωσιν πρὸς οὐρανόν· γήϊνος, ποτάμιος· μετουσιαστικὸν δέ ἐστι, τὸ μετέχον οὐσίας τινὸς, οἷον χρύσειος σταυρὸς, ἀνθρώπειος χεὶρ, δρακόντειος κάρα· ταῦτα μὲν σωματικά. ἐκφαντικὸν δέ ἐστι. τὸ συνεμφαῖνόν τι παρὰ ταῦτα, οἷον μήτε μετουσιαστικὸν, μήτε οἰκειωτικὸν, οἷον, γραμματικὸς, ῥητορικός, καὶ τὰ ὅμοια· τί διαφέρει τὰ μετουσιαστικὰ τῶν μέρος σώματος· διαφέρει, ὅτι τὰ μὲν μετουσιαστικὰ ἀπὸ ἀψύχων γίνεται, τὰ δὲ δηλοῦντα μέρους σώματος, ἀπὸ ἐμψύχων παράγονται.

Χρυσέω, χρυσὸς, ἐκ τοῦ ῥύω, ῥύσω, ῥυσὸς καὶ χρυσὸς, ὁ ῥυόμενος ἄνθρωπον ἐκ τοῦ θανάτου· ἢ ἐκ τοῦ ῥέω.

Χρυσίτης, λίθος, ἔνθα ἀκονῶσι τὸ χρυσίον· τὸ σι ἰῶτα διάτι; τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης γινόμενα ὀνόματα, διὰ τοῦ ἰῶτα γράφεται, οἷον, στῦλος στυλίτης, μῦρος μυρίτης.

Χρυσολάχανον, ὡς ἀναγκαῖον καὶ χρήσιμον τῇ βρώσει.

Χρυσοχόος, διὰ τὸ τὸν χρυσὸν χωνεύειν, καὶ χέειν ἐν τῷ χωνευτηρίῳ.

Χυλὸς, παρὰ τὴ χύσιν· διαφέρει δὲ χυμὸς καὶ χυλὸς, καὶ ἄμφω ὑγρὰ, ἐπὶ τὸ ἐν πέψει, καὶ ἐν ἑψήσει γεγονὸς χυμός· ἔστι δὲ χυμὸς γλυκὺς καὶ πικρὸς, τὸ ἀπέπτεον καὶ ἀνέψητον, πεφθῆναι δὲ δυνάμενον, ὡς τὸν καὶ ὀπῶρες χυλόν· ὡς καὶ τοῦ βίου μαρτυροῦντος· τὸ μὲν γὰρ καλέσαι ἑφθὴν σύγχυμον καλεῖ, τὸ δὲ ἄνεφθον ἀσύγχυτον.

Χωσάμενος, ἐκ τοῦ χώων, παρὰ τὸ χῶ, τὸ ὀργίζομαι, ὅπερ γέγονε ἀπὸ τοῦ χέω χῶ, ἢ παρὰ τὸ διαχεῖσθαι τὴν χολήν· χῶ οὖν χώσω, καὶ ἡ μετοχὴ χοόμενος χούμενος, καὶ Δωρικῶς χώμενος, καὶ πλεονασμῷ τοῦ ο χωόμενος, ὡς τὸ, χωόμενος δ' ὁ γέρων πάλιν ᾤχετο.

Χρώζω, σημαίνει τὸ πλησιάζω· γίνεται δὲ παρὰ τὸ χρὼς χρωτὸς, χρωτίζω, καὶ μετὰ τοῦ ἀνεκφωνήτου ἰῶτα, χρῴζω.

Χρῶ, ἡ χρεία.

Χρῶντις, εἰς τὸ ἀποχρώντως.

Χύτρα, παρὰ τὴν χύσιν.

Χρῶς, χρωτὸς. εἰς τὸ ἐγχρίπτουσι καὶ Τρῶς.

Χύφελλον, εἰς τὸ κύπελλον.

Χύμευσις, καὶ χυμευτῷ.

Χύτρα, τετζοκκαλία.

Χυτλῶσαι, τὸ λούσασθαι, τὸ ἀλεῖψαι, χύτλος γὰρ τὸ ἔλαιον.

Χύθρα, πινάκια.

Χώνη, χθάνη τίς ἐστι, δι' ἧς χεῖται τὰ ὑγρά.

Χῶ, χωννύω, μέλλοντα οὐκ ἔχει, ποιεῖ δὲ τὸ παράγωγον εἰς μαι, καὶ ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

Χῶ, σημαίνει ζ. χῶ τὸ χαίρω, χῶ τὸ χωρῶ, χῶ τὸ ὑπάρχω, χῶ τὸ ὑποχωρῶ, χῶ τὸ ὀργίζομαι, χῶ τὸ χέω, ἀπὸ τοῦ χέω χῶ τὸ χώσω, χῶ τὸ χάζω.

Χωρὶς, παρὰ τὸ χωρίσω ῥῆμα, ἀποβολῇ τοῦ ω, τὸ ἐπίῤῥημα ἐγένετο.

Χωλὸς, τὸ χω μέγα διάτι; ἐκ τοῦ κῶλον, ὃ σημαίνει τὸ ὀστοῦν, ὁ τὰ ὀστᾶ βεβλαμμένα ἔχων, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, καὶ μεταβάσει τοῦ τόνου, γίνεται χωλός. καὶ τί διαφέρει χῶλος καὶ χωλός; Χῶλος βαρυτόνως ἡ πόλις, καὶ ὄνομα κύριον βασιλέως· χωλὸς δὲ ὀξυτόνως βεβλαμένος τὸ ὀστοῦν· τὸ χω μέγα διάτι; ἐκ τοῦ κῶλον· καὶ ἐκεῖνο διάτι; τὰ μέσα δύο ἀμεταβόλων, ἢ μέσα δύο συμφώνων τῶν αὐτῶν, διὰ τοῦ ω, γράφεται.

Χωλὸς, παρὰ τὸ κωλὸν, ὃ σημαίνει τὸ βεβλαμένον ὀστοῦν, τροπῇ τοῦ κ εἰς χ· κῶλος γάρ ἐστι, ὁ μὴ τέλειος, ἀλλὰ βεβλαμένος τὸ ὀστοῦν, καὶ κεκρατημένος τὸ περιπατεῖν, ἐξ οὗ κωλύω τὸ κρατῶ, καὶ κῶλα ἐκάλουν, τοὺς κριοὺς τοὺς ἀποβεβληκότας τὰ κέρατα.

Χωνευτήριον, παρὰ τὸ χῶ, τὸ σημαῖνον τὸ χωρῶ. ἐκ τούτου γίνεται χῶνος, καὶ χωνίον τὸ χω . . τικὸν, καὶ ἐκ τοῦ χῶνος χωνεύω, καὶ ἐξ αὐτοῦ χωνευτὴς καὶ ἐκ τούτου χωνευτήριον.

Χώρα, παρὰ τὸ χῶ τὸ χωρῶ.

Χωόμενος, χῶ τὸ ὀργίζομαι, χώομαι, ἡ μετοχὴ ὁ χωόμενος.

Χωρίον, ἐν ᾧ κατοικοῦσιν ἄνθρωποι· χώριον δὲ τὸ ἔλυτρον, τὸ κάλυμμα, τὸ συγγενώμενον ἐν τῇ κοιλίᾳ τοῖς βρέφεσιν, ἢ τὸ ἐκ τοῦ ἐμβρύου τοῦ τικτομένου· ἐκ τοῦ χέω·

Χωρῆσαι, τὸ δέξασθαι, χωρίσαι τὸ διαμερίσαι.

Χωσάμενος, ἐκ τοῦ χωῶ τὸ δέχω, παρὰ τὸ χῶ τὸ ὀργίζομαι, ὅπερ γέγονεν ἀπὸ τοῦ χέω, χῶ, τὸ διαχεῖσθαι τὴν χολήν· χῶ οὖν χώσω, καὶ μετοχὴ παθητικὴ χοόμενος, χούμενος, καὶ Δωρικῶς χώμενος, ὡς Μοῦσα Μῶσα, καὶ πλεονασμῷ τοῦ ο, χωόμενος· ἢ παρὰ τὸ χολῶ χολώσω, χολούμενος καὶ ἐκβολῇ τοῦ λ, χοούμενος, καὶ τροπῇ τῆς ου διφθόγγου εἰς ω, χωόμενος· ἢ παρὰ τὸ χῶ, καὶ ὑπερβιβασμῷ τοῦ τόνου, ὡς ὠρῶ, ὤρωρε· σημαίνει δὲ τὸ λυπῶ, καὶ ὀργίζομαι.

Χειροβοσκὸς, ὁ διὰ τῶν χειρῶν βοσκόμενος, χοιροβοσκὸς δὲ ὁ τῶν χοίρων νομεύς.

Τέλος τοῦ Χ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ψ ΣΤΟΙΧΕΙΟΥ.

Ψαιστὸν, ἔστιν εἶδος πλακοῦντος, ὃ δι' ἀλφίτων παρασκευάζεται, ἀπὸ τοῦ ψῆσθαι καὶ ψώχεσθαι, ὅθεν καὶ ψωμοὶ, καὶ ψιχὰς τὰ μικρὰ θρέμματα.

Ψάλλειν, ἐπὶ τῶν χορδῶν· παρὰ τὸ ψῶ, οὗ τὸ παράγωγον ψαύω καὶ ψάλλω, παρὰ τὸ διὰ δακτύλων ἐπιψαῦσθαι αὐτῶν, οὕτως Ἡρωδιανός.

Ψαίρειν, καὶ ψαίειν.

Ψαλίον, καὶ ψελίον.

Ψαιδρὸν, τὸ φαιδρὸν, Κύπριοι.

Ψαλμῳδία, παρὰ τὸ ψάλλειν μετ' ᾠδῆς, ψαλμῳδ.. ψαλμὸς μετ' ᾠδῆς λεγόμενος.

Ψάμαθος, ἄμαθος.

Ψαλίδιον, ὅτι δύο μέλια ἐν ἑνί.

Ψαλτήριον, παρὰ τὸ τὰ ψαλλόμενα τηρεῖν· τὸ τη, ἦτα διάτι; παρὰ τὸ ὠρῶ τὸ Φυλάσσω, πλεονασμῷ τοῦ τ. καὶ τοῦ μακροῦ εἰς μακρόν· ἢ ψαλτήριον διὰ τὸ τοὺς ψαλμοὺς τηρεῖν ἤγουν Φυλάττειν.

Ψάμμος, ὡς ψιλὸν ἅμα εἶναι.

Ψάμμος, διὰ τὸ εἶναι αὐτὴν ὑψηλὴν, καὶ ἄμικτον, καὶ ἀδύνατον μετὰ ἄλλης ὕλης μίγεσθαι καὶ κρατεῖσθαι.

Ψάλτιγξ, κιθάρα.

Ψαύειν, εἰς τὸ τιμή.

Ψεδνὸς, μαδαρὸς, ἀραιόθριξ, παρὰ ἐψῆσθαι, ὅ ἐστιν ἀποβάλλαι τὴν τρίχα.

Ψεδνὴ, ὀλίγη, καὶ Ὅμηρος, ψεδνὴ δ' ἐπενήνοθε λάχνη· ἐκ τοῦ ψῶ τοῦ σημαίνοντος τὸ ἀπὸ τινὸς μείζονος οὐσίας, εἰς ἐλάχιστον καὶ μικρὸν μέρος καθιστάμενον, γίνεται ὁ μέλλων ψήσω, ῥηματικὸν ψηνὸς, καὶ πλεονασμῷ τοῦ συμφώνου γίνεται ψεδνός· ὁ γὰρ πλεονασμὸς τοῦ συμφώνου τὴν Φύσει μακρὰν μετέβαλεν εἰς Θέσιν· ὡς πενὴς πενιχρὸς, μῆκος μακρὸς, σημαίνει δὲ ψεδνὸς, τὸν Φαλακρόν.

Ψεῦδος, παρὰ τὸ Φεύγω Φεῦγος καὶ ψεῦδος· ἢ παρὰ τὸ Φείδω Φεῖδος καὶ ψεῦδος· τοῦ γὰρ ψεύδους πάντες Φειδόμεθα.

Ψευδέσιν, οὐ γὰρ ἐπὶ ψευδέσιν πατὴρ Ζεύς. Ἀρίσταρχος ψευδέσιν ὡς σαφέσι δηλοῖ, οὐ γὰρ τοῖς ψεύσταις Τρωσὶ βοηθεῖ Ζεῦς. εἰ δὲ πρα . . . . εἰ βουλοίμεθα παραλαβεῖν ψευδέσιν, ἀνέγνωμεν ἂν ὡς βέλεσιν. ἵν' ἐκτυπῶθαι τὸ ψεῦδος, ἐπειδὴ οὐδέποτε, Φησὶν, οἶδεν ὁ ποιητὴς ἁπλοῦν τὸ ψευδὲς ἐν συνθέσει Φιλοψευδής· καὶ μᾶλλον πιστέον Ἀριστάρχῳ.

Ψαῖμα, τὸ ὀλίγον, καὶ ψαῖσμα τὸ ὀλιγόσιτον.

Ψαινάθιον, τὸ ψευδὲς καὶ μάταιον.

Ψαίνυνον, τὸ ἀχρεῖον.

Ψηνὸς, ὁ μαδαρὸς καὶ Φαλακρὸς, παρὰ τὸ ἐψῆσθαι. ὁ δὲ Ἡρωδιανὸς δηλοῖ τὸ ψῶ τὸ εἰς ἐλάχιστον καὶ μικρὸν ἐκ τινὸς οὐσίας μέρος καθιστάμενον.

Ψαλμὸς, ἐστιν ἀλεξητήριον πάσης ἀντικειμένης ἐνεργείας, ἢ ᾠδὴ Θεῷ προσφιλής.

Ψαλμὸς, ἐστιν εἴδους, τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, συνωνύμου.

Ψαλμὸς, ὕμνος, ᾠδὴ, αἶνος καὶ ᾆσμα.

Ψευδοπαιδεία, εἰ μὲν παρὰ τὴν παίδευσιν λέγεται ψευδοπαιδεία, ει, ἡ ψευδὴς παίδευσις· εἰ δὲ παρὰ τὸ παῖς παιδὸς λέγεται, ψευδοπαιδία, ἰῶτα.

Ψηλαφῶ, ἀπὸ τοῦ ψῶ τὸ προσεγγίζω, ὁ μέλλων ψήσω, ἀποβολῇ τοῦ ω ψὴς, καὶ τοῦ ἀφῶ, ὃ σημαίνει τὸ ψηλαφῶ, γίνεται ψηαφῶ, καὶ πλεονασμῷ τοῦ λ. ψηλαφῶ. τὸ δὲ ἀφῶ παρὰ τὸ ἀφὴ, ὃ σημαίνει τὴν χεῖρα, ψηλαφῶ γὰρ λέγεται τὸ ταῖς χερσὶ κρατῶ.

Ψηλαφήσουσι, παρὰ τὸ μῆλον μηλαφῶ, οὕτως εὗρον ἐν ὑπομνήσει πεζῶν.

Ψηφὶς, ὁ μικρὸς λίθος. τὸ Φις ἰῶτα διάτι; τὰ εἰς ις δισύλλαβα, τῷ ἦτα παραλήγεται. οἷον κρηπὶς, κνημίς.

Ψῆφος, κρίσις, ἀπόφασις, δόγμα, ἀριθμὸς καὶ χειροτονία.

Ψηνος, ὁ Φαλακρὸς, παρὰ τὸν ψήσω μέλλοντα.

Ψιάδες, σπασιάδες τινὲς οὖσαι, παρὰ τὴν παῦσιν ψεκάδες, καὶ ψιάδες. ἀποβολῇ καὶ μεταθέσει, Ἡρωδιανός. ὁ δὲ Φιλόξενος, ὅτι ψῶ ἐστι ῥῆμα. ὅθεν καὶ καταπτᾶν, καὶ παράγωγον ψαίω καὶ ψίω, ἀφ' οὗ καὶ ψιὰς, ἡ κατὰ λεπτὸν τοῦ ὕδατος ἔκδοσις, ὡς λάμπω λαμπὰς, ἴλλω ἰλλὰς, ἰλασία οὐκ ἔθετο. τὸ γὰρ ψίω καὶ ἐλαττοῦν. οἱ δὲ παρὰ τὸ ψίσω τὸ ποτίσω.

Ψιθυρίζω, παρὰ τὸ ψῶ τὸ λεπτύνω καὶ τὸ θύρα, ὁ τῇ Φωνῇ λεπτολογῶν.

Ψιλὸς, μόνος, μικρὸς, γυμνὸς, μηδὲν ἔχων.

Ψηφίζειν, πῇ μὲν τὸ κυροῦν σημαίνει, πῇ δὲ τὸ ἐρωτᾶν· οὕτως ἔχομεν παρὰ τῷ Δημοσθένει· καὶ ὁ ταῦτα ἐπιψηφίζων ἐπιστάτης, ἀντὶ τοῦ ἐρωτῶν.

Ψηλαφῶ, δῆλον τὸ σημαινόμενον· ἡ μεταφορὰ τῆς λέξεως ἀπὸ τῶν μήλων, μῆλα δὲ τὰ πρόβατα· μηλαφῶ οὖν, τὸ τῶν μήλων ἐφάπτομαι, καὶ τροπῇ τοῦ μ εἰς ψ, ψηλαφῶ.

Ψίθυρ, λέγεται καὶ ψίθυρος, οἷον, ψίθυρ, ψίθυρος καὶ ψιθύρου, ὡς μάρτυς, μάρτυρος, μαρτύρου, τὸ δὲ ψίθυρ παρὰ τὸ ψῖθος. ἢ παρὰ τὸ ψίω τὸ λεπτύνω, καὶ τὸ θύρα· σημαίνει δὲ τὰ χείλη περιφραστικῶς.

Ψιθυρίζειν, τινὲς ὀνοματοποιεῖσθαι Φασὶν, ὡς τὸ, κρίκε δὲ ζυγὸν, καὶ σίτιζε, ὅθεν κυρίως ἐπὶ τῶν ψευδομένων τὸ ψιθυρίζειν λαμβάνουσιν, ἐγκειμένου τοῦ ψίθους· Καλλίμαχος· σκύλα γυνὴ κατακῶσα, καὶ οὐ ψίθος οὔνομ' ἔχουσα.

Ψυθυρίζω, παρὰ τὸ ψῶ, ὃ σημαίνει τὸ προσεγγίζω, γίνεται ψίω, καὶ ἐκ τούτου γίνεται ψίθυρος, καὶ ψιθυρίζω· ψίθυρος λέγεται, ὁ ἔξω τῶν θυρῶν μικρὰ τοῦ πλησίου διαλεγόμενος πρός τινα. τὸ δὲ θύρα, παρὰ τὸ θύω, τὸ ὁρμῶ.

Ψιθυρισμὸς, λέγεται ἡ λεπτὴ Φωνὴ, ἐκ τοῦ ψιθυρίζω· τοῦτο δὲ ἐκ τοῦ ψίω τὸ λεπτύνω, καὶ τοῦ θύρα, ὃ σημαίνει περιφραστικῶς τὰ χείλη.

Ψιθύρισμα, ἡδύ τι τὸ ψιθύρισμα τῶν δένδρων ἠκούετο· πεποιημένη λέξις, ἀπὸ τοῦ ἀποτελουμένου ἤχου ἀπὸ Φυσῶντος τοῦ ἀνέμου· καὶ εἰς τὸ μάρτυροι.

Ψιλὴ, διὰ τοῦ ἰῶτα, ἄπακρα γὰρ τῆς γλώττης, παρὰ τὸ ψῶ τὸ προσεγγίζω, καὶ ἄκροις δὲ τοῖς χείλεσι τιθέμενον ψιλὸν καλεῖται.

Ψιλὸς, ὁμοίως παρὰ τὸ ψῶ, τὸ προσεγγίζω.

Ψιλοῖ, ψῶ τὸ καίω, ἐξ οὗ καὶ ψιλὸν καλοῦμεν τὸν ἄοπτον.

Ψιλὴν, ἄροσιν, ἀροτριασίμην καὶ σπορίμην, τὴν ἄδενδρον χώραν, τὴν πρὸς τὸ σπείρεσθαι καὶ ἀροῦσθαι ἐπιτήδειαν.

Ψιλὸς, παρὰ τὸ ψῶ, τὸ σημαῖνον τὸ λεπτύνω, καὶ ἐκ τούτου ψιλὸς ὁ ἀσθενὴς, μόνος, μικρὸν, μηδὲν ἔχον· καὶ εἰς τὸ γυμνὸς, καὶ εἰς τὸ δαψιλός.

Ψινύσσω, τὸ ξύω, οὗ ὁ μέλλων ψινύξω, καὶ ψέδω τὸ λυπῶ, καὶ ψέδεσθαι τὸ λυπεῖσθαι, καὶ ψινάω τὸ Φυρολογῶ, καὶ ψινάζω τὸ ἀπορῶ, καὶ ψίδω τὸ Φροντίζω καὶ ἐντρέπομαι, καὶ ψίω τὸ ἐλάττω, καὶ ψιὰς, ἡ λεγομένη ψιχαρισμός.

Ψιμύθιος, ὅθεν ὁ τῶν ὀψέων τῶν γυναικῶν λέγεται λευκασμός· ἐκ τῆς ἀναθυμιάσεως τοῦ ὄρους πρὸς τὸν μόλυβδον γενόμενον, ἀλλὰ καὶ ὄνομα ποταμοῦ ἐν Σικελίᾳ, ὁ λεγόμενος Ψίμυθος.

Ψίω, εἰς τὸ τιμὴ καὶ ψιθυρισμός.

Ψίχειν, ὀξέως, εἰς τὸ τιμὴ καὶ ψίξ.

Ψιχίων, ἐκ τοῦ ψιχῶ τὸ λεπτύνω.

Ψίσαι, οὕτως ἡ παράδοσις, δηλοῖ δὲ τὸ ψωμίσαι, καὶ βραχὺ θρέψαι, μεταποιοῦ τινὸς ἤχου.

Ψι, ὅτι συριγμὸν ἔχει αὐτοῦ ἡ ἐκφώνησις, ὅστις συριγμὸς, οὐκ ἔστι τι, ἢ μόνον ψι· ἄλλοι δὲ ὅτι ἑνὸς ψαύει χρόνου, ἄδειαν διπλοῦ.

Ψύλλαι, θηλυκῶς, ἔθεισο δὲ Φθεὶρ ἀρσενικῶς.

Ψύλλοι, ὄνομα ἔθνους.

Ψίω, διὰ τοῦ ἰῶτα γράφεται, καὶ οὐ τεχνικὴ ἡ παράδοσις, ἡ γὰρ ἐπιψίσει ἅπαντας ἐμὰς κοίμησις.

Ψιλὴ. ἀπ' ἄκρας γὰρ τῆς γλώττης προσφέρεται, ἢ πρὸς τὴν δασεῖαν, ἥτις ἀπὸ τοῦ σεύεσθαι εἴρηται, καὶ τῆς δα ἐπιτάσεως, ἀθροῦν γὰρ πνεῦμα ἡ δασεῖα ἔχει.

Ψυὰ, ἀνθρώπου νότος.

Ψύλλειον, ἡ βοτάνη, ὁ εἰς τὸ δεῦρο.

Ψόγον, ἐκ τοῦ ψέξω, ἢ ψέξασθαι, ὅ ἐστι καταισιάσασθαι, ἢ μέμψασθαι.

Ψόγος, ὄνειδος, λάλημα, λοιδορία, μέμψις.

Ψόγος, κτύπος, καὶ ἡ θνῆσις τῶν πτηνῶν, ἐξ οὗ καὶ ἡ ψοφία τὸ θηλυκόν.

Ψυὰ, ἡ σὰρξ, ἡ ἐπιπολὺ οὖσα τοῖς ὀστέοις.

Ψυὴ, οὕτω διὰ τοῦ υ, παρὰ τὸ ψαύω ψυὴ, ἡ ἐπιψαύουσα σάρξ. καὶ ἐπιπολὺς οὖσα τοῖς ὀστέοις· τὰ ψιὰ καὶ τὰ νῶτα.

Ψυὰ, ἀπὸ τοῦ ξύω γίνεται ξυὰ καὶ ψυὰ, κατ' ἀντίφρασιν, ἣν εὐχερῶς κνῆσαι οὐ δυνάμεθα, ἢ παρὰ τὸ ὀπίσω, συγκοπῇ ὄψω, καὶ ἐξ αὐτοῦ ὀψία, καὶ ἀποβολῇ τοῦ ο, ψία, ἡ ὀπίσω οὖσα· καὶ τροπῇ τοῦ ἰῶτα εἰς υ, ψυά.

Ψυχὴ, παρὰ τὸ ψύχω τὸ ἀναπνέω.

Ψυχὴ, παρὰ τὸ ψύχος, ὅ ἐστι πνεῦμα· Ὅμηρος, ψύχεος ἱμείρων, ἀντὶ τοῦ πνεύματος, ὅθεν ἐκοιμᾶτο ἐλπήνωρ ἐν τῷ ὑπερώῳ, ἐν Ἰλιάδι φησὶν, ἦκα μάλα ψύξασα, ἀντὶ τοῦ φυσήσασα. πνεῦμα καὶ ἡ ψυχὴ, ἡ τὸ πνεῖν ἡμῖν παρέχουσα.

Ψυχὴ, διὰ τὸ ἐμψύχειν καὶ ζωογονεῖν τὸν νεκρὸν λέγεται.

Ψυχὴ, πόσα σημαίνει; ἕξ· τὴν τοῦ σώματος κίνησιν, τὸ ζωτικὸν, τὸ λογικὸν, τὴν πνοὴν, τὸ αἷμα, καὶ τὸ λῖπος.

Ψωλὴ, παρὰ τὸ ἐμφύσασθαι κατὰ τὴν ὄρεξιν τῶν ἀφροδισιῶν, διὸ καὶ φυσῶδες τὸ μόριον· καὶ φύσει φυσῶδές ἐστι· οὕτως ὡριανός.

Ψυχωλέτρεια, ἐκ τοῦ ψυχὴ καὶ τοῦ ὀλῶ τὸ ἀπωλῶ.

Ψωμὸς, παρὰ τὸ ψῶ, τὸ σημαῖνον τὸ λεπτύνω· τὸ ψω μέγα διάτι; τὰ διὰ τοῦ ωμος καθαρὰ δισύλλαβα ἀρσενικὰ, ὀξύτονα, μὴ διφορούμενα, διὰ τοῦ ω γράφεται, οἷον, βωμὸς, ζωμὸς, ψωμὸς, μὴ διφορούμενα εἶπε, διὰ τὸ τομὸς καὶ τομός.

Ψωμὸς, ἀπὸ τοῦ ψῶ, τοῦ σημαίνοντος τὸ κόπτω εἰς μικρὰ, γίνεται ψωμὸς, ὡς παρὰ τὸ ζῶ ζωμός· τὸ δὲ ψῶ πρώτης συζυγίας ἐστι, ψῶ, ψεῖς, ψεῖ, ψήσω· καὶ ἐκ τούτου ψωμίζω.

Ψώρα, παρὰ τὸ ψῶ τὸ προσεγγίζω.

Ψῶ, σημαίνει ζ, τὸ κόπτω εἰς μικρὰ, ἐξ οὗ καὶ ψωμός. ψῶ τὸ προσεγγίζω, ἐξ οὗ καὶ ψώρα, παρὰ τὸ ἅπτεσθαι ἐν τῷ κνήθειν τὰ πεπονθότα μέρη τοῦ σώματος· ψῶ τὸ λεπτύνω, ἐξ οὗ καὶ ψιλὸν στρατιώτην λέγομεν τὸν ἄοπλον καὶ γυμνὸν, ψῶ τὸ ψαύω, ἐξ οὗ καὶ ψοά· ψῶ ψίω τὸ ἐμβρωματίζω· ψῶ τὸ καίω, ἐξ οὗ καὶ ψολοεὶς κεραυνὸς ὁ καυστικός. ψῶ τὸ τρίβω, ἐξ οὗ καὶ ψώγοντες ταῖς χερσὶν, ἤγουν τρίβοντες.

Τέλος τοι Ψ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ω ΣΤΟΙΧΕΙΟΥ.

Ὦ, εἰς τὸ ἵημι, καὶ οὐσία καὶ ὦμος.

Ὤια, τὸ πεδιαῖον μέρος, τὸ ἄκρον τοῦ ἱματίου, ἡ ἀρχὴ ἐξετάσεως, παρὰ τὸ οἶς, ὅπερ ἀπὸ τοῦ ὄϊς· ἀπὸ οὖν τοῦ οἶς οἴειος τὸ κτητικὸν, τὸ θηλυκὸν οἰεία, καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν τοῦ ο, εἰς ω, ᾦα. τὸ δὲ οἶς παρὰ τὸ οἴω τὸ κομίζω.

Ὤια, παρὰ τὸ οἶς, ὃ σημαίνει τὸ πρόβατον, γίνεται οἴα, καὶ κατὰ συναίρεσιν οἷα, καὶ κατ' ἐπαύξησιν τῆς οι διφθόγγου εἰς ω. τὸ α μακρὸν, τὰ γὰρ εἰς α λήγοντα θηλυκὰ, τῷ ω παραληγόμενα, ἐκτείνουσι τὸ α, οἷον, ἀώδης ἡ ἀνατολὴ, ἑσπερῶα, οὕτως οὖν καὶ ἑώα.

Ὤιαν, σημαίνει τὴν ἐργασίαν, τὴν εἰς τὸ ἄκρον τοῦ ἱματίου οὖσαν, τὸ περιστώμιον.

Ὤιαν τοῦ ἐνδύματος· γίνεται παρὰ τὸ οἶς, ὃ σημαίνει τὸ πρόβατον, καὶ διαλύσει γίνεται ὄϊς, καὶ ἐπαυξήσει τοῦ ο εἰς ω, ὤϊς, καὶ τὸ θηλυκὸν ᾦα, καὶ μένει τὸ ἰῶτα προσγεγραμμένον, καὶ κλίνεται ᾤας· οἱ γὰρ παλαιοὶ εἰς τὰς ἀνακλάσεις τῶν ἱματίων αὐτῶν, προβάτων δέρματα ἐπέβαλον· ἔστι δὲ καὶ τὸ α μακρόν· τὰ γὰρ εἰς α λήγοντα θηλυκὰ, καὶ παραλήγοντα τῷ ω, ἐκτείνουσι τὸ α. οἷον, ἑώα ἡ ἀνατολή. ὑπερώα ὁ οὐρανίσκος· οὕτω δὲ καὶ ᾦα. σημαίνει δὲ τὴν ἀνάκλασιν τοῦ χιτῶνος.

Ὧδε, σημαίνει δύο παρὰ τῷ ποιητῇ, τὸ οὕτως, ὧδε δέ τις εἴπεσκε. σημαίνει δὲ καὶ τὸ νῦν· ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε.

Ὧδε, ἐπίρρημα τοπικόν· ὁ ἔστιν ἄρθρον, καὶ ἐκτάσει τοῦ δε, γίνεται ὅδε, ἀντὶ τοῦ οὗτος, καὶ αὐξήσει τοῦ ο εἰς ω, ὧδε. ἔστι δὲ ἐπίρρημα, ἀντὶ τοῦ οὕτως.

Ὠιδὴ, ἔστιν ἐπινίκιος κατ' ἐχθρῶν, καὶ εὔρυθμος εὐχαριστία, ἢ φωνὴ ἐμμελὴς μετ' ἐργασίας, ἢ χωρὶς ἐνηχήσεως ὀργάνου, ἢ θεολόγου εἰς θεόν· ἔστι καὶ συνώνυμον.

Ὦ, εἴρηται παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἐπειδὴ καὶ τοῦτο ὑπάρχει μικρὸν, καὶ πλατὺν χαρακτῆρα ἔχον· καὶ διὰ τὸ ὁμοίαν τῷ χαρακτῆρι τὴν ἐκφώνησιν ἀπηνέγκατο.

Ὦ κλητικὸν ἐπίρρημα.

Ὤ, ὀξυνόμενον σχετλιαστικὸν, ὢ τοῦ ἰδίου, ὢ ἐγώ.

Ὦ, ὑπάρχω, εἰμί.

Ὧι, ᾧτινι, ἀντωνυμία παράγωγος, πτώσεως δοτικῆς τῶν ἑνικῶν.

Ὠιδὴ, ἀπὸ τοῦ ἀοιδὴ, τοῦ α καὶ οι εἰς ω ἐκταθέντος γέγονεν ᾠδή. ἢ παρὰ τὸ εἴδω, τὸ γινώσκω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀείδω, τὸ πάνυ γινώσκω, καὶ κράσει τοῦ α καὶ ε εἰς α μακρὸν ᾄδω, καὶ ᾠδή. καὶ εἰς τὸ ἄειδε.

Ὧδι, ἀντὶ τοῦ οὕτως, ἐπίρρημα μεσότητος.

Ὠιδεῖον, τὸ μουσεῖον· τὸ δει διφθόγγῳ. ἐν ᾧ ᾄδουσι καὶ ψάλλουσι τὰς ᾠδάς.

Ὠδὶς, ὠδῖνος, ἡ γέννησις, ἢ πόνος, παρὰ τὸ ὤθω, ὠθίζω, ὠθὶς καὶ ὠδὶς, ὠθή τις οὖσα, δι' ἧς ὠθεῖται τὸ βρέφος.

Ὠιδὴ, καὶ ἐπῳδή· ᾠδὴ ὁ ὕμνος, ἐπῳδὴ ἡ μαντεία.

Ὠδίνω, τίκτω, μέλλοντα οὐκ ἔχει, ἀλλ' ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

Ὠδικώτερος, ἐκ τοῦ ἀείδω.

Ὠδὴ, προστίθησι τῷ ω, τὸ ἰῶτα, διὰ τὴν ἀοιδὴν, καὶ παρὰ πάντα, τὰ παρὰ τούτων γινόμενα, οὕτως ἔχει, κωμῳδία, μελῳδία, ῥαψῳδία, τραγῳδία. γέγονε δὲ καὶ ᾠδὴ οὕτως· ἀπὸ τοῦ ἀοιδὴ τοῦ α καὶ τοῦ οι εἰς ω, μεταθέντος, γέγονεν ᾠδή.

Ὠδῖνες, ἡ εὐθεῖα ἡ ὠδὶς καὶ ὠδὶν, παρὰ τὸ ὠδίνω.

Ὠιδὸς, θρῆνος, ἢ ὁ κιθαρῳδός.

Ὦζεσαν, ἐκ τοῦ ὄζω γίνεται περισπώμενον ὀζῶ, ὁ μέλλων ὠζέσω, ὁ ἀόριστος ὤζεσα, τὸ τρίτον τῶν πληθυντικῶν ὤζεσαν.

Ὠὴ, ἔπος θρηνητικὸν, καὶ ὀττοτοί. ἔστιν ὦ κλητικὸν ἐπίῤῥημα, ὥσπερ τὶ ἐρωτηματικὸν, καὶ πλεονασμῷ τοῦ η, ὠή.

Ὠήθην, τὸ ὑπέλαβον, παρὰ τὸ οἴω, οἰήσω· καὶ ᾤετο.

Ὠθίζω, ἐπὶ ἐνεστῶτος, ἔστι γὰρ καὶ ὠθέω ὠθῶ, διωθήσας γὰρ, καὶ ἀντωθῶ καὶ συνωθῶ.

Ὦκα, εὐθέως, ταχέως, καὶ σπουδαίως, ὡς τοῦ ὠκέα κατὰ συγκοπὴν ὦκα. διάτι βαρύνεται; ἐπειδὴ τὰ ἀπὸ πληθυντικῶν οὐδετέρων μεταγόμενα εἰς ἐπιῤῥηματικὴν σύνταξιν ἅπαντα βαρύνονται. οἷον τάχεα τάχα· τάχα γάρ με καταχτέουσιν Ἀχαιοί [1]. σαφέα σάφα, σάφα δ' οὐκ οἶδ' εἰ θεός ἐστιν [2]· ὠκέα ὦκα, ὦκα μ' ἐν πεδίῳ διωκομένη φέβεσθαι [3]), πλὴν τοῦ θαμὰ, θαμ' ἐβάζετε [4]). τὸ δὲ ὦκα ἐκ τοῦ ὠκύς· τοῦτο παρὰ τὸ ἀκὴ, ὃ σημαίνει τὴν ὀξύτητα, τὸ οὐδέτερον ἄκυ, ἄκεα, ἆκα, καὶ μεταθέσει τοῦ α εἰς ἦτα, ἦκα. ἦκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον [5]), ἀντὶ τοῦ μετὰ ἡσυχίας, ἠρέμα. τρέπεται δὲ τὸ α εἰς ω, ὥσπερ ἔστι φάρος καὶ σημαίνει τὸ ἱμάτιον, ἐξ αὐτοῦ οὖν φαριαμὸς καὶ φωριαμὸς, οὕτω καὶ ἆκα, τρέπεται δὲ τὸ α εἰς ω, καὶ γίνεται ὦκα. ἐκ δὲ τοῦ ὠκὺς καὶ τοῦ μόρος γίνεται ὠκύμορος. διάτι ἀπέβαλε τὸ σ ἐν τῇ συνθέσει; τὰ εἰς υς ἀποβάλλουσι τὸ σ, ἐν τῇ συνθέσει, καὶ φυλάττουσι τὸ υ, οἷον, ὀξύδρομος, ὀξυθάνατος, ὀξύγραφος, ὠκύμορος· πλὴν τοῦ ἥμισυς, τοῦτο γὰρ ἐν τῇ συνθέσει ἀποβάλλει τὴν συ, συλλαβὴν. οἷον, ἡμικύκλιον, ἡμίονος, ἡμίφανον· ἔστι δὲ καὶ τὸ ὦκα ἐπίῤῥημα μεσότητος.

Ὤκεον, εἰς τὸ ἐπενήνοθεν.

Ὠκεανὸς, παρὰ τὸ ὠκὺς καὶ τὸ ἀνύω, ὁ ταχέως φέρων, ἢ παρὰ τὸ ὠκέως ναίειν, ὅ ἐστι πορεύεσθαι ταχύ· σημαίνει καθ' Ὅμηρον, ποταμὸν ἔξωθεν περιέχοντα κυκλοτέρως ὅλον τὸν κόσμον. Ὠκεανὸς, παρὰ τὸ ὠκέως ἀνύειν κύκλῳ.

Ὠκυτόκιον, προπαροξυτόνως, ὠκὺς παρὰ τὸ ἀκὶς, τροπῇ τοῦ α εἰς ω, τὸ δὲ ἀκὶς παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ.

Ὠκέας, ταχεῖς, ὠκύλας ταχύνας.

Ὠκείλαντες, ὁρμίσαντες.

Ὤκιστα, τάχιστα.

Ὤκλασαν, τὰ γόνατα ἔκαμψαν· λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἀπειρηκότων ἐν παντὶ πράγματι, καὶ μηκέτι ἀντεχόντων.

Ὤικτειρεν, ἠλέησεν.

Ὠκυπόρος, ταχέως πορευόμενος.

Ὠκύμορος, ταχυθάνατος.

Ὤικουν, κατέλυσαν, χρόνου παρατατικοῦ, σὺν τῷ ἰῶτα. οἰκῶ γὰρ τὸ θέμα.

Ὤκειλεν, ἤγγισεν, ἐξώκειλε.

Ὠλέναι, αἱ χεῖρες, ἀπὸ τὸ δι' αὐτῶν ὁλοῦσθαι τινὰς πράξεις, τουτέστι πληροῦσθαι· οὕτω Σωρανός.

Ὠλένη, εἰς τὸ λευκώλενος.

Ὠλένη, ἐκ τοῦ ὁλοῦσθαι τὰ ἔργα, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω.

Ὀλιγωρηκότα, ἢ φροντικότα, ἀπὸ θέματος τοῦ ὀλιγωρῶ· τοῦτο παρὰ τὸ ὀλίγος καὶ τὸ ὤρα, ὃ σημαίνει τὴν φροντίδα.

Ὦ μάκαρ [6]), μακάριε, τίμιε, Ἀτρείδη, μοιρηγενὲς, ὀλβιόδαιμον, ὁ ἐπὶ εὐτυχίᾳ τεχθεὶς, εὐδαιμονέστατε· ἔχει ἐξαίρετον ὁ στίχος οὗτος, ὑπὲρ τοὺς λοιπούς. οὗτος ὁ στίχος μιμεῖται τὰς τοῦ ἡλίου ἀκτίνας· ὡς ἐκεῖνος ἀνατέλλων ὀλίγον τι ἐφαπλοῖ τὰς ἀκτίνας αὐτοῦ, ἐπειδὴ ἐν τῷ μέσῳ νήματι ἐλθὼν τελειότατα γίνεται, οὕτω καὶ ὁ στίχος οὗτος, ἀπὸ εὐτελῶν συλλαβῶν ἀρχόμενος ἐπὶ τὸ τέλειον ἔρχεται. τὸ γὰρ ὦ ἐστι μονοσύλλαβον, τὸ δὲ μάκαρ δισύλλαβον, τὸ δὲ Ἀτρείδη τρισύλλαβον, τὸ δὲ μοιρηγενὲς τετρασύλλαβον, τὸ δὲ ὀλβιόδαιμον πεντασύλλαβον.

Ὠμὸν, τὸ μὴ μεταβολὴν εἰληφὸς εἰς πέμψιν, ὡς καὶ τὴν ἔξω τροφὴν ὠμὴν λέγουσι τὴν οὔτ' ὠπτημένην, οὔτ' ἑψημένην. ἢ ὡς Φιλόξενος, τὸ ὠμὸν εἰρῆσθαι, φησὶ, τὸ ἐν ταυτότητι μένον, ἤγουν ὑπάρχον, παρὰ τὸ ὦ τὸ ὑπάρχω, καὶ μὴ μεταβληθέν.

Ὦμος, ἐκ τοῦ οἴω, τὸ κομίζω, οἶμος, καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω, ὦμος, ὁ τὰ βάρη κομίζων· ἢ παρὰ τὸ ὡς αὐτὸς, ὠτῶ, ὠτίω· ἐκβολῇ τοῦ τ, καὶ πλεονασμῷ τοῦ μ, ὦμος.

Ὤμοι, παρὰ οἴμοι, σχετλιαστικὸν ἐπίῤῥημα, τροπῇ τοῦ ο εἰς ω, ὤμοι· οὐ γὰρ, ὥς τινὲς, ὢ ἐμοί ἐστι, καὶ συναλοιφῇ ὤμοι· πῶς γὰρ τῇ δοτικῇ ἐπιφέρεται εὐθεῖα; ὤμοι ἐγώ τι πάθω· τὸ δὲ χωρὶς τοῦ ἰῶτα, ἀπὸ τοῦ ω σχετλιαστικοῦ, κατ' ἐπέκτασιν τοῦ μοι.

Ὡμήρησεν, ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκύς [7]), συνέτυχεν, ἢ συνήντησε, ἀπὸ μεταφορᾶς τῶν ὁμοῦ ἐρεσσόντων· ἢ ἀπὸ τοῦ ἅμα ἀρηρέναι, ὡς οἶνος οἰνηρὸς, οὕτως ὅμος Ὅμηρος. Πίνδαρος δὲ ἐν ὕμνοις, ἐρίφων μεθομήρεον, οἷον, ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον· ὅθεν καὶ ὅμηροι, παρὰ τὸ συνεῖναι τοῖς λαμβάνουσιν, ἢ ἀντὶ τοῦ συναντιλαβοῦ, καὶ συμβαλοῦ· ἐξ οὗ καὶ ὅμηροι, οἱ ἐπὶ καταλλαγῇ ἀποστελλόμενοι δι' εἰρήνην καὶ ὁμόνοιαν. οἱ δὲ φασὶ τοὺς ἀρχαίους ὁμηρεῖν λέγειν τὸ συνακολουθεῖν· τοὺς οὖν ἐπὶ τῇ ἀκολουθίᾳ τῶν λεγομένων ὁμήρους λέγουσιν.

Ὠμήσιον, καὶ ὠμήστιον, μανδας κουκούλλιον, ἀνάβολος, ὠμόφορος.

Ὡμίλουν, ω μέγα, ὁμιλεῖν δὲ μικρόν.

Ὠμηστὴς, ὠμοφάγος, παρὰ τὸ ἔδω, ὄνομα ἔστης. ὡς ψεύδω ψεύστης, οὕτως ἔδω ἔστης, καὶ ὠμέστης, καὶ τροπῇ τοῦ ε εἰς η, ὠμηστής· τάσσεται δὲ ἐπὶ ἀλόγων καὶ λογικῶν· Ὅμηρος, ὠμηστὴς καὶ ἀπηνὴς ἀνήρ [8]). καὶ ἐπὶ ἀλόγων, ἀλλ' οἰωνοὶ ὠμησταὶ [9]), οἷα καὶ τὰ ὠμόφαγα θηρία, καὶ τὰ ὄρνεα.

---

1) Il. VI, 409. 2) Il. V, 183. 3) Il. VIII, 107. 4) Il. XVI, 207. 5) Il. III, 155. 6) Il. III, 182. 7) Il. XVI, 468. 8) Il. XXIV, 207. 9) Il. XI, 453.

Ὤμοι, ἔστιν ἀναφώνημα λύπης, λύπης δηλωτικόν· ἐκ τοῦ οἴμοι κατ' ἔκτασιν τοῦ οι εἰς ω, ὤμοι, δι' ἑνὸς μ. ἢ ἀπὸ τοῦ ω τοῦ σχετλιαστικοῦ. ὅπερ καὶ εἰς α συστέλλεται. ὡς τὸ, ἆ δεῖλα· ἀντὶ τοῦ ὦ ἀθλία· τοίνυν ἀπὸ τοῦ ω, ὤμοι καὶ τὸ ἰῶτα οὐκ ἔχει.

Ὤμοι, Φεῦμοι, ἔστιν ἀναφώνημα λύπης καὶ οἴκτου δηλωτικόν.

Ὤμοισι, τοῖς ὤμοις, πᾶσα εὐθεῖα πληθυντικῶν, ἀρσενικῶν τε καὶ θηλυκῶν εἰς Φωνῆεν λῆγον, προσθέσει τῆς σι, συλλαβῆς, ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, Ἀτρεῖδαι, Ἀτρείδαισι.

Ὠμόρξατο, εἰς τὸ ἀπομόρξατο· ὤμοξε.

Ὦμος, παρὰ τὸ ὦ, τὸ ὑπάρχω, κτητικὸν, ὑπομένων τὰ βάρη ἰσχυρῶς· τὸ ω μέγα διάτι; ἐκ τοῦ οἴσω μέλλοντος, ὁ γὰρ ἐνεστὼς οὐκ εἴρηται. καὶ ὥσπερ τρέπεται τὸ ω εἰς τὸ οι, οἷον ἀγκώνη καὶ ἀγκοινή· οὕτω καὶ ἡ οι τρέπεται εἰς ω· τί διαφέρει ὦμος καὶ ὠμός; διαφέρει· ὠμὸς ὁ ἀπηνὴς καὶ σκληρὸς, ὦμος δὲ τὸ μέρος τοῦ σώματος· τὸ ω μέγα διάτι; τὰ διὰ τοῦ ωμος δισύλλαβα, μονογενῆ, μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ε, διὰ τοῦ ω, γράφεται, ἐπὶ βαρυτόνων καὶ ὀξυτόνων, οἷον, κῶμος, μῶμος, βρωμὸς τὸ δῆγμα, ζωμὸς, βωμὸς, ψωμός.

Ὦμος, διάτι βαρύνεται; τὰ εἰς ος λήγοντα δισύλλαβα, μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προκειμένου τοῦ ἰῶτα βαρύνεται· οἷον, ὦρος, ὦχρος, ὦμος· πρόσκειται μονογενῆ διὰ τοῦ ὠμὸς ὁ ἀπηνὴς, καὶ ἡ ὠμὴ καὶ τὸ ὠμόν. πρόσκειται ἀπὸ τοῦ ω, ἀρχόμενα, διὰ τὸ ζωμὸς ψωμός· μὴ προσκειμένου τοῦ ἰῶτα εἶπε, διὰ τοῦ ᾠδὸς καὶ τραγῳδός.

Ὦμος, ἡ δοτικὴ τῶν πληθυντικῶν ὤμοισιν· ὁ κανὼν, πᾶσα εὐθεῖα πληθυντικῶν, ἀρσενικῶν τε καὶ θηλυκῶν ὀνομάτων, εἰς Φωνῆεν λήγουσα, προσθέσει τῆς σι συλλαβῆς, ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον καλοῖσι, σοφοῖσι, Ἀτρείδαισι· τὸ ω μέγα, τὰ ἀπὸ ἐνεστώτων ἢ μελλοντων.

Ὦμος, ὅτι ὁμᾶς ἐστι τοῦ πλάτους καὶ τοῦ μήκους τοῦ σώματος.

Ὤναντο, ὤμοσεν, καὶ εἰς τὸ ὀνῶ, καὶ εἰς τὸ ἀπώναντο.

Ὤοντο, ὑπέλαβον, παρατατικὸς, οἷον τὸ ἐκ τοῦ ὤθω, ὠνὴ καὶ ὦνος ἡ τιμή.

Ὤμοσε, σημαίνει δύο· τὸ διὰ τοῦ ο γραφόμενον, τὸ περί τι ὀμόσαι· ἔστι δὲ ἕτερον ὠμῶσαι καὶ γράφεται διὰ τοῦ ω, τὸ εἰς ὁμόνοιαν καὶ Φιλίαν ἄγειν· καὶ Ὅμηρος, εἰς εὐνὴν ἀνέσαιμι, ὁμωθῆναι Φιλότητι [1]).

Ὦνον, ἐκ τοῦ ὤθω τὸ πρώθω ὠνὴ καὶ ὦνος ἡ τιμή.

Ὦπες, οἱ ὀφθαλμοὶ, οἱονεὶ ὠπαί τινες οὖσαι τῆς ψυχῆς, δι' ὧν τὸ κατάστημα τῆς ψυχῆς θεωρεῖται· σώζεται δὲ ἐν συνθέτοις καὶ νῦ παρὰ τὸ τοὔνομα, καὶ ὑπώπια δὲ λέγονται, τὰ ὑπὲρ τοὺς ὀφθαλμοὺς περιδνώματα. ὡς δέ τινες, ὅτι ὀπῇ καὶ τρυπήμασιν ἐοίκασιν, ὅθεν ὀποτιον τὸ ποιοῦν ὀπήν· γέγονε δὲ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω ὦπες, οὕτω Σωρανός.

Ὢ πόποι, ποίου μέρους λόγου ἐστίν· ἐπιῤῥήματος σχετλιαστικοῦ· καὶ πῶς τίθενται δύο τόνοι; εἰ γὰρ ἦν μέρος ἓν λόγου ὤφειλεν ἔχειν ἕνα τὸν τόνον· οὐδέποτε ἓν μέρος λόγου δύο τόνους ἐπιδέχεται· εἰσὶ δὲ δύο ἐπιῤῥήματα, καί ἐστιν ἀντὶ τοῦ παπαί· καί ἐστιν ἐκ παραλλήλου ἓν μέρος λόγου καὶ λέγομεν, ὅτι συνεξηκολούθησε τῇ ὀνομαστικῇ πτώσει, τῇ ὦ φίλοι· ὤφειλε δὲ ὀξύνεσθαι, ὡς γενόμενον ἐκ τοῦ παπαί· ἀλλὰ συνεξηκολούθησε τῇ ὀνομαστικῇ πτώσει· οἱ γὰρ Σκῦθαι ἀγάλματά τινα ἔχοντες ὑπόγεα τῶν θεῶν, πόπους αὐτὰ καλοῦσιν.

Ὥρα, παρὰ τὸ ὁρίζειν, ὥραα καὶ ὥρα, παρὰ τὸ ὁρίζειν τὰ μέρη τῆς ἡμέρας καὶ τῆς νυκτός

Ὥρα, ἡ τροπὴ. παρὰ ὠρεῖν καὶ Φυλάσσειν τεταγμένως τὸν ἴδιον καιρόν.

Ὥρα, εἴρηται τετραχῶς· ἐπὶ Φροντίδος, ὡς θυρωρὸς, κηπωρὸς ὀλίγωρος, ἀπὸ τοῦ τὴν Φροντίδα ἔχειν τῶν θυρῶν· καὶ ὀλίγην ὥραν· ὥρα δὲ πάλιν τὸ κάλλος, ὅθεν καὶ τὸ ὡραῖος· ὥρα δὲ καὶ ἡ στάσις τῆς ἡμέρας, ὡς ὅταν λέγωμεν· πέμπτη ὥρα ἐστιν· ὥρα δὲ ἡ ἐπὶ καιροῦ, ὥρα χειμῶνος, ὥρα θέρους.

Ὧραι, ἀπὸ τοῦ ὠρεύειν, ὅ ἐστι Φυλάττειν· αὗται γὰρ Φύλακες τῶν ἀνθρωπίνων ἔργων· ὠρεύουσι δὲ, Φυλάττουσι, καὶ Φροντίζουσιν, ὅθεν καὶ οὖρος λέγεται ὁ Φυλάσσων, καὶ Φύλαξ· ὥρα τὸ ιβ τῆς ἡμέρας καὶ τῆς νυκτός· ὥρα ὁ καιρὸς, ὥρα ὁ ἐνιαυτὸς, ὥρα ἡ εὐμορφία. ὥρα ἡ νεότης, ὥρα ἡ Φροντὶς, ὥρα δὲ καὶ ἡ ἀστραπή.

Ὥρῃ δὲ ἄνθη, τὰ κατὰ καιρὸν γινόμενα.

Ὦπτο, ἐθεάθη· ἐκ τοῦ ὄπτω, ὁ μέλλων ὄψω, ὁ παρακείμενος ὦφα, ὁ παθητικὸς ὦμμαι, ὁ ὑπερσυντελικὸς ὤμμην, ὦψο, ὦπτο.

Ὥρα, διὰ τὸ ὁρᾶσθαι, ἢ διὰ τὸ ἀπὸ τῆς ἑώας ὁδὸν παρέρχεσθαι τῆς ἡμέρας· ἔστι δὲ ὄνομα θηλυκόν· καὶ ὥσπερ ἀπὸ τοῦ χῶ χώρα. καὶ ψῶ ψώρα, οὕτω καὶ ἀπὸ τοῦ ὦ, τοῦ σημαίνοντος τὸ ὑπάρχω γίνεται ὥρα· σημαίνει δὲ τὸ ιβ τῆς ἡμέρας· τὸ ρα μακρόν ἐστι· τὰ εἰς ρα θηλυκὰ δισύλλαβα, εἰ μὲν διφθόγγῳ παραλήγονται, συστέλλουσι τὸ α, οἷον στεῖρα, πεῖρα, σφαῖρα· εἰ δὲ ἑνὶ Φωνήεντι παραλήγονται, ἐκτείνουσι τὸ α· χώρα, χήρα. ψώρα, πήρα, οὕτω καὶ ὥρα.

Ὡραῖα, ἔστιν ὥρα, ὃ σημαίνει τὸν ἐνιαυτὸν, καὶ ἐκ τούτου γίνεται τὸ ὡραῖον, τοῦ ὡραίου. οἱονεὶ τὸ διαδοῦναι κατὰ τὸν καιρὸν τὸν ἑαυτοῦ καρπόν.

Ὡραιότης. διὰ τὸ ἐμπόνως ἐνορᾶσθαι τὸ καλόν.

Ὡραῖος, ἀπὸ τοῦ ὥρα, ὃ σημαίνει τὴν εὐμορφίαν· τὸ ραι, διφθόγγῳ διάτι; τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς ἦτα θηλυκῶν.

Ὥρα, σημαίνει τέσσαρα· τὴν Φροντίδα, τὴν θεωρίαν, τὴν σωματοειδῆ θεὰν, καὶ τὸν καιρόν.

Ὡραΐζεται, ἐπὶ τοῦ εὐφραίνεσθαι.

Ὡρεῖν, εἰς τὸ ἀλεωρή.

Ὥραον, εἰς τὸ ὀρά.

Ὥραισι, ταῖς γυναιξὶ, ἀπὸ τοῦ ἀρηρέναι ἀνδράσι· ἔνθεν καὶ ξυνωρὶς. παρὰ τὸ ξυνηρμόσθαι· γίνεται ὁ ἄορος, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἄοροι, καὶ κατὰ μεταπλασμὸν ὄαρες, καὶ συναιρέσει ὧρες.

Ὤρεσσι, ταῖς γυναιξὶ, ταῖς ζευχθείσαις ἀνδράσι, ὅθεν καὶ ξυνωρὶς, τὸ συνεζευγμένον τῶν ἵππων· γράφε, ξυνώριον τὸ συνέδριον τῶν ἵππων.

Ὤρεχα, εἰς τὸ ὀρεκτόν.

Ὠρίων, ὄνομα κύριον, καί ἐστιν ἐπίσημον ἄστρον· τὸ ω, μέγα διάτι; κατὰ τροπὴν τῆς ου διφθόγγου εἰς ω, ὡς βοῦν βῶν. οὕτως οὐρίων. Ὠρίων, ἀπὸ ἱστορίας, ἀπὸ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ, καὶ γένεσθαι

---

1) Il. XIV, 209.

αὐτόν· καὶ ἄστρον οὕτω καλούμενον, ἡ λεγομένη σκεπαρνέα, καὶ κλίνεται Ὠρίωνος.

Ὡραῖον, τὸ καλούμενον σιτοδοχεῖον, ἐκ τοῦ ὠρῶ, τὸ φυλάσσω, τὸ ραι διφθόγγῳ.

Ὥρμαινε, ἐκ τοῦ ὁρμῶ ὁρμαίνω, τὸ δὲ ὁρμῶ, ἐκ τοῦ ὅρμος.

Ὧρος. ὁ χρόνος, καὶ ὧρος ὄνομα.

Ὦρσε, ὄρω τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, καὶ Αἰολικῶς ὄρσω, οἱ γὰρ Αἰολεῖς βαρυντικοί εἰσι, ὁ ἀόριστος πρῶτος ὦρσα, ὦρσας, ὦρσεν, ὥσπερ φθείρω φθερῶ φθέρσω, κείρω, κερῶ κέρσω.

Ὠρίων, ἄστρον, καὶ τὸν Ὠρίωνα δέρκομαι.

Ὠρειθυῖα, ἑορτὴ, παρὰ τὸ ἐν ὄρει θύειν.

Ὠρειθυῖα, ὄνομα θεᾶς, παρὰ τὸ ὄρει δοτικῇ, καὶ τὸ θύω τὸ ὁρμῶ, κατ' ἐπαύξησιν τοῦ ο, εἰς ω.

Ὠρειαύλιος, ὄνομα, ἐκ τοῦ ὥρα καὶ τοῦ αὔλιος.

Ὠρείτης, ὁ ἐξ Ὠρεοῦ πόλεως, πλησίον Λέσβου, καὶ ὄνομα κύριον.

Ὦρτο, ἀνέστη.

Ὥρμησεν, ἤρχετο.

Ὠρυγὴ, ἡ βοὴ, ἐκ τοῦ ὀρύσσω, ὀρύω. ὠρυγὴ τοῦ ζώου.

Ὠρυόμην, καὶ ὠρυόμενος μετοχὴ, ἀπὸ τοῦ ὠρύω πρωτοτύπου διὰ τοῦ ω μεγάλου· σεσημείωται πέντε· καὶ ὠρύω τὸ βοῶ, ὁ τὸ τύζειν βοὰν, ῥοίζησεν, ἐφώνησεν, λυγμὸς, βοὴ, φωνὴ, ηὔδησεν, ἐφώνησεν, ἤϋσεν, ἐβόησεν· ἰύζει, βοᾷ, κραυγάζει. ἶφι βοᾷ, μεγάλως.

Ὠσθείς, παρὰ τὸ ὤθω, ὤσω, ὦκα, ὦσμαι, ὤσθην, ὠσθείς.

Ὠρύω, σημαίνει τὸ κλαίω, παρὰ τὸ αὔω τὸ φωνῶ αὐορύω, καὶ κράσει τοῦ α καὶ ο εἰς ω, καὶ ἐκβολῇ τοῦ υ, ὠρύω· ἢ παρὰ τὸ θορυβῶ, θορύω, κατ' ἀποβολὴν τοῦ β, καὶ ἐκτάσει τοῦ ο εἰς ω, καὶ ἐκβολῇ τοῦ θ, ὠρύω.

Ὡς, ἐπίρῥημα ἐπιτάσεως, ἀντὶ τοῦ λίαν.

Ὡς, ἐπίρῥημα, ἵνα, ἡνίκα, ὅπως, ἢ οὕτως, καὶ ὁμοίως καὶ ἀληθῶς.

Ὠς, τὸ ὠτίον, ἡ εὐθεῖα τὸ οὖς, παρὰ τὸ αὔω τὸ φωνῶ αὖος, καὶ ἐκβολῇ τοῦ υ, καὶ κράσει τοῦ αο εἰς ω. ὦς· καὶ ἐν ὑπερβιβασμῷ οὖας, καὶ ἐκβολῇ τοῦ α, οὖς· τὸ δὲ ὦς κλίνεται, ὡς τὸ φῶς. τὸ δὲ οὖς ἄκλιτόν ἐστι.

Ὡς, ἐπίῤῥημα παραβολῆς· πότε ὀξύνεται καὶ πότε βαρύνεται, καὶ πότε περισπᾶται· τὸ δὲ ὡς, ὅτε ἐπὶ τέλους στίχου κεῖται, ὀξύνεται. καὶ ὅτε προηγεῖται ἐγκλίνεται· ἐάν τε ἀρχῇ φράσεως, εἴτε μέσον εἴη, ὄρνιθες ὥς· ἔμοι καλὴ τὸν οἶτον ἀπὸ δυσπότμου παιδὸς ἐνίσποις· ὥς τε γὰρ ἢ παῖδες νεαροὶ, οὕτως ἀλλ' ὥς τις τοῦτο γε βέλος· βαρυτονεῖται δὲ ἐν ἀρχῇ τιθέμενον, μὴ ἐπιφερομένης ἐγκλίσεως, ὡς εἰπὼν πυλέων· ὡς δὲ λέων μήλοισι, ὡς ἐχάρη Μενέλαος· καὶ ἐν μεσοφράσει, μὴ ἐπιφερομένου ἐγκλιτικοῦ· εἰ δὲ μὴ, σημαίνει τὸ ὅμως, ἢ τὸ οὕτως· ὁπότε γε οὕτως ὑποτάσσοιτο συνδέσμ.. ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον· καὶ Ἕκτωρ δὲ ὡς οἶδε Τεῦκρον· καὶ Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν [1]). Ἀρίσταρχος δὲ παρέγνει καὶ Τυραννίων τὸ ὡς ἐν μέσῃ φράσει περισπᾶν, εἰ μὴ ὑποτάσσοιτο σύνδεσμ.. ὡς τὸ καὶ ἀλλά. καὶ ὣς ἐθέλω, ἐπειδὴ ὡς ἄγεν εἶκος Ἀθήνη· ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι· ἀλλ' οὐδέπω σε ἔολπα ὀνόσεσθαι κακότητα.

Ὡς, τὸ ὡς σημαίνει λβ· ὡς ἐπίῤῥημα θαυμαστικὸν ἀντὶ τοῦ λίαν· ἢ ἐπίῤῥημα βεβαιώσεως. τὸ ὡς σημαίνει λβ· παραβολὴν, ὡς δὴ λέων ἐν βουσὶ θορών· σημαίνει ἀνταπόδοσιν, ὡς ἂν καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων, καθ' ὑπερβολὴν, ὡς τὸ, οὐκ ἔστι κύντερον ἄλλο γυναικός· καὶ ὁμοίωσιν, ὡς ὅδ' Ὀδυσσῆος μεγαλήτορος υἷϊ ἔοικε· καὶ ἀντὶ τοῦ ὅμως, ἀλλ' οὐδ' ὣς ἑτάρους ἐῤῥύσατο ἱέμενός περ· καὶ ἀναφορὰν, ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον· καὶ θαυμαστικὸν, ὡς ἀγαθαὶ φρένες ἦσαν ἐχέφρονι Πηνελοπείῃ· καὶ τὸ οὕτως, ὡς εἰπὼν πυλέων ἐξέσσυτο, καὶ τὸν ἵνα σύνδεσμον ὥς μοι καὶ τονδ' ἄνδρα πελώριον ἐξονόμηνης· καὶ τὸ ὅπως· ὡς σπείσῃς Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι· καὶ τὸ ὅτι, ἔγνως ὡς θεός εἰμι· καὶ ἐπεὶ, ὡς ἴδε χῶρον ἔρημον ὅθ' ἕστασαν ὠκέες ἵπποι· καὶ τὸ εἴθε εὐκτικὸν, ὡς ὄφελ' αὐτόθ' ὀλέσθαι ἀνδρὶ δαμείς. καὶ ἀντὶ τοῦ διότι, ὡς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος. καὶ τὸν ει συναπτικὸν σύνδεσμον, ὡς ὑμεῖς παρ' ἐμοῖο θοὴν ἐπὶ νῆα ἵκοιτε· καὶ τὸ ὁμοίως, μνήσομαι ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔθηκε· καὶ τὸ ὅμως καὶ τροπῇ, ἤρξατο ὡς πρῶτον κικάνας δαμάσαντο· καὶ ἐπὶ πρόθεσιν, ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον· καὶ τὸ ὅσον, καὶ κρέας ὡς σοι χεῖρες ἐχάνδανον· καὶ τὸν γὰρ, ὡς ἤτοι ποταμῷ γε δαμημέναι αἴσιμον ἦεν. καὶ τὸ εὐθέως, ὡς ἴδεν, ὥς μιν μᾶλλον ἔδυ χόλος. καὶ τὸ ὡσαύτως, ὡς δ' αὖ νῦν μοι ἄγεσθε θεοί. καὶ βεβαίωσιν, ὡς χαρίσοιτ' ἄνθρωπος ἀνθρώποισι· καὶ τὸ ἀλλὰ, ὡς τοῦτο ἀληθῶς Ἀττικῶς τὰ οὐδέτερα· καὶ τὸ ἕως· ὡς ὁ μὲν ἔθετο πολὺν βίοτον· καὶ τὸ οὕτως, ὥς ποτε ἦσαν νεώτεροι· καὶ τὸ οὐκέτι, ὡς χάρις μετόπισθεν εὐεργετῶν· καὶ διηγηματικὸν κεφάλαιον, ὡς ἦλθ' ὡς Αἴγισθα εὐήσατο λόγον· καὶ ἀντὶ τοῦ λίαν, ὡς τὸ, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε.

Ὡς, ποσαχῶς ἡ παραβολή; πενταχῶς. πρώτη παραβολὴ τὸ ὑπόδειγμα, καὶ ὁ ὀνειδισμός ἔθου ἡμᾶς εἰς παραβολὴν [2]). δευτέρα παραβολὴ, αἰνιγματώδης λόγος, οἷον, πολλοὶ λέγουσι· ζήτημα ἐμφαῖνον μέντοι, οὐκ αὐτόθεν δὲ πάντως δῆλον ὂν ἀπὸ τῶν ῥημάτων, ἀλλ' ἔχον ἐντὸς διάνοιαν κεκρυμμένην, ὡς ὁ Σαμψὼν ἔλεγεν· ἐξῆλθεν ἀπὸ στόματος γλυκύ· καὶ Σολομὼν, τότε νοήσεις παραβολὴν καὶ σκοτεινὸν λόγον· παραβολὴ καὶ ἡ ὁμοίωσις. ἄλλην γὰρ παραβολὴν παρέθηκεν αὐτοῖς λέγων, ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα. παραβολὴ καὶ ἡ τροπικῶς λεγομένη, οἷόν ἐστι τὸ, υἱὲ ἀνθρώπου, εἶπον αὐτοῖς τὴν παραβολὴν ταύτην, ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ἀετὸν λέγων τὸν βασιλέα. παραβολὴ καὶ ὁ τύπος, καὶ ἡ εἰκών, ὡς καὶ ὁ Παῦλος ἔφη, πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ, πειραζόμενος καὶ τὸν μονογενῆ προσφέρειν, ὁ τὰς ἐπαγγελίας δεξάμενος· ὅθεν καὶ ἐν παραβολῇ αὐτὸν ἐκομίσατο, τουτέστιν ἐν τύπῳ καὶ εἰκόνι.

Ὡς ἄημα, ὡς πνεῦμα, ὡς ἄνεμος, ἄημα γὰρ τὸ πνεῦμα, τὸ πνέον, παρὰ Διογενειανῷ.

Ὡσεὶ ὠδίνουσα· ὡσεὶ ἐπίῤῥημα παραβολῆς, ὠδίνουσα, ὄνομα μετοχικὸν, τὸ θέμα ὠδίνω· γίνεται παρὰ τὸ ὠθίζω, ὠθὶς καὶ ὠδίς.

Ὡς ἀμαθές, ἐν τάχει ἀναγνωστέον, τὸ ὡς ἀντὶ τοῦ ἵνα γάρ ἐστι.

1) Il. VI, 374. 2) cf. Etym. M. v. παραβολὴ p. 654.

Ὡς ἐθύραζε, ἀντὶ τοῦ ἀπώσατο, κυρίως μὲν ἔξω τῆς θύρας.

Ὥσκεν, ὅπως ἂν, τὸ μὲν ὡς ἀντὶ τοῦ ὅπως, τὸ κεν ἀντὶ τοῦ ἄν.

Ὥσπερ, τὸ ὡς ἐπίῤῥημα συγκριτικὸν, αἱ δὲ συγκρίσεις τῶν ὁμοουσίων.

Ὡσπερεὶ, δύο μέρη λόγου εἰσί· τὸ ὡς ἐπίῤῥημα ὁμοιώσεως καὶ τό περ σύνδεσμος συναπτικὸς, καὶ τὸ εἰ.

Ὠστίζοντο, ὤθουν, συνέθλιβον, ἐκ τοῦ ὤθω ῥήματος ὁ μέλλων ὤσω, πλεονασμῷ τοῦ τ, μετὰ περισπωμένου τόνου, ὠστῶ, ἐκ τούτου ἕτερον ῥῆμα ὠστίζω, τὸ παθητικὸν ὠστίζομαι, ὁ παρατατικὸς ὠστιζόμην. τὸ τρίτον τῶν πληθυντικῶν ὠστίζοντο· Ἀριστοφάνης, ὠστιζόμετα ἑκάστοτε ἐν τῇ ἐκκλησίᾳ.

Ὠσχοφορία, ἑορτὴ Διονύσου· ὦσχον γὰρ Αἰγύπτιοι καλοῦσι τὴν ἄμπελον· ἀπὸ περισπωμένου δέ ἐστι τὸ ὄνομα· ἔστι γὰρ ὠσχοφορῶ· ἡ ὦσχη δέ ἐστι τὰ μετὰ τῶν βοτρύων κλήματα.

Ὦτα, παρὰ τὸ ὠθούμενον καὶ εἰλικτὸν εἰσέρχεσθαι ἐν αὐτοῖς τὸ πνεῦμα, ἤτοι ἄνεμον, καὶ παντα ἦχον. Ἀπολλόδωρος δὲ ἀπὸ τοῦ δέχεσθαι τὴν ὄσσαν· οἱ δὲ δι' ὧν ὠθεῖται ἡ φωνὴ, οἱ δὲ κατὰ μετάθεσιν τοῦ π εἰς τ, ὦπα τινα ὄντα, παρὰ τὸ ὀπὰς ἔχειν, ἢ παρὰ τὸ δέχεσθαι τὴν ὄπα, ὅ ἐστι τὴν φωνήν· οὕτως Ἡρακλείδης.

Ὦ τᾶν, πόθεν ἐγένετο τὸ ὦ τᾶν; λέγομεν δὲ, δύο μέρη λόγου εἰσί· ὦ τᾶν, τουτέστιν, ὦ προσφιλέστατε, ὦ ἑταῖρε· σημαίνει δὲ τὸν συνήθη φίλον.

Ὦ τᾶν, ὦ οὗτος, ὦ σύ· δύο μέρη λόγου. καὶ κατὰ πλάνην, ἀντὶ τοῦ ἐπὶ τέλους ὀξείας, περισπώμενον ἔσχε· ἐγένετο οὕτως, ἔτης, ἐτᾶν, ὦ ἐτᾶν, καὶ κράσει ὦ τᾶν.

Ὠτί. ἰῶτα ἡ παράδοσις· καθόλου γὰρ ἡ δοτικὴ ἑνικὴ εἰς ἰῶτα λήγουσα, ἐὰν ἰσοσυλλαβεῖ τῇ ἰδίᾳ εὐθείᾳ, δίφθογγον ἔχει, ἐὰν δὲ περιττοσυλλαβεῖ ἰῶτα μόνον ἐκφωνούμενον.

Ὧι τε, ᾧ τινι. δύο μέρη λόγου εἰσὶ, τὸ ᾧ, ᾧ τινι, καὶ τὸ τε παρέλκει.

Ὠτειλὴ, παρὰ τὸν οὐτήσω μέλλοντα γίνεται οὐτηλὴ, καὶ οἱ Δωριεῖς τὴν ου δίφθογγον τρέπουσιν εἰς ω. ὡς βοῦν βῶν, βῶν ἀζαλέην· οἱ Βοιωτεῖς πάλιν τὸ ἦτα εἰς ει δίφθογγον τρέπουσι, καὶ γίνεται ὠτειλὴ, διὰ τοῦ ω, καὶ τῆς ει διφθόγγου.

Ὠτειλὴ, τὸ τραῦμα, ἀπὸ τοῦ οὐτᾶσθαι, ὅ ἐστι τετρῶσθαι.

Ὠτειλὴ, ὠτέλλας γὰρ οἱ Αἰολεῖς τὰ τραύματα, Ἀττικοὶ δὲ οὐλὴν λέγουσι.

Ὠτειλὴ, τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι τῶν μερῶν.

Ὠψωνηκόσιν, ἐκ τοῦ ὄψον καὶ τοῦ ὠνῶ τὸ ἀγοράζω, ὠψωνηκότες ἀντὶ τοῦ ὠψωνήσαντες.

Ὤψ, σημαίνει τὸν ὀφθαλμὸν, καὶ κύριον ὄνομα, τὸν τῆς Εὐρυκλείας πατέρα, ὅπερ ἔχει τὴν γενικὴν βαρυτονὸν, γένους ἀρσενικοῦ, καὶ κλίνεται Ὦπος· ὁ κανὼν, τὰ εἰς ψ, λήγοντα μονοσύλλαβα διὰ τοῦ π, κλίνεται· εἰ δὲ σημαίνει τὸν ὀφθαλμόν, γίνεται παρὰ τὸ ὄπτω τὸ βλέπω, ὁ μέλλων ὄψω καὶ ἀποβολῇ τοῦ ω ὄψ, καὶ τροπῇ τοῦ ο, εἰς ω, ὤψ. καὶ κλίνεται τοῦ ὠπὸς ὀξυτόνως· εἰ δὲ σημαίνει τὴν φωνὴν, ἐστι γένους θηλυκοῦ, καὶ κλίνεται τῆς ὀπὸς ὀξυτόνως, καὶ γράφεται διὰ τοῦ ο μικροῦ· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἔπω τὸ λέγω, ὁ μέλλων ἔψω, ἀποβολῇ τοῦ ω. ἔψ, καὶ τροπῇ τοῦ ε εἰς ο, ὄψ· τὸ ο, διάτι; τὰ ἔχοντα τὸ ε, ἐγκείμενον. κλίνεται δὲ ὀπὸς, ὡς εἴπομεν, καὶ Ὅμηρος, ἀκούουσα ὄπα ἀρνῶν.

Ὤιχετο, ἐκ τοῦ οἴχω, ἀπῄει, ἀπήρχετο, ἐπορεύετο, ἀπῆλθεν, ἀπώλετο, ἐβάδιζεν, ἐξ οὗ καὶ ἄβατα μετῴχετο.

Ὦχρος, ἡ ὠχρίασις, ὠχρὸς δὲ ὀξυτόνως ὁ χλωρὸς καὶ ἁπαλὸς, παρὰ τὸ χροῦς χροός. τί διαφέρει ὦχρος καὶ ὠχρὸς, ὦχρος λέγεται προπερισπωμένως αὐτὴ ἡ ὠχρίασις, ὠχρὸς δὲ ὀξυτόνως, ὁ μετέχων τῆς ὠχριάσεως.

Ὠχρότης, ἀειδία.

Ὦμαι, ταράττομαι, παρὰ τὸ ὤταβον, ὃ σημαινει τὸν τάραχον, οὕτως λέγουσιν οἱ Ἴωνες.

Τέλος τοῦ Ω στοιχείου.

Sequuntur omiſſa quaedam, eadem, qua praecedentia, manu ſcripta, ſuis locis inſerenda.

Τριακονταέτης, ἐπὶ μὲν τοῦ καιροῦ καὶ τοῦ χρόνου, βαρύνεται. ἐπὶ δὲ τοῦ μετέχοντος τοῦ χρόνου, ὀξύνεται. πενταετὲς παιδίον λέγομεν, καὶ πενταετὴς ἄνθρωπος.

Τριπλοῦς, ἀπὸ συναιρέσεώς ἐστι, ἀπὸ τοῦ διπλόος καὶ τριπλόος, ἀπὸ τοῦ δὶς παρήχθη καὶ τοῦ τρὶς ἐπιῤῥήματος, τὸ δὲ διπλοῦς καὶ τριπλοῦς οὐκ εἰσι σύνθετα, ἀλλ' ἁπλᾶ. ζήτει.

Τρισκαίδεκα, ἰστέον ὅτι τὸ δισχίλιοι καὶ δισμύριοι, ὡς ἔχοντα τὸ σ, ἐν παραθέσει ἐστι· τὸ γὰρ δὶς καὶ τρὶς ἐν τῇ συνθέσει, ἀποβάλλουσι τὸ σ, οἷον, δίμηνος, δίπηχυς, τρίπηχυς. σεσημείωται τὸ δισθένεες, καὶ τρίσφυλος, παρὰ Νικάνδρῳ· ἔστι δὲ εἶδος βοτάνης, καὶ τρισόζυος παρ' Αἰσχύλῳ· καὶ πῶς τὸ τρισκαίδεκα ἐν συνθέσει ἐστι καὶ οὐκ ἀποβάλλει τὸ σ; ὅτι οὐκ ἐγένετο ἀπὸ τρὶς τοῦ ἐπιῤῥήματος ἡ σύνθεσις, ἀλλὰ ἀπὸ τοῦ τρεῖς ὀνόματος, ὡς δηλοῖ ἡ σημασία. καὶ γὰρ τὸ τρὶς ἐπίῤῥημα, τὸ τρισσὸν δηλοῖ, οἷον, τρὶς ἔγραψα. ἀντὶ τοῦ ἐκ τρίτου· εἰ οὖν τὸ τρισκαίδεκα ἀπὸ τοῦ τρὶς ἐπιῤῥήματος συνεθέτη, ἔμελλε δηλοῦν τὸ τρίτας δεκάδας, ὅπερ ἐστι τριάκοντα, ἀλλὰ τοῦτο, τὸ δέκα καὶ τρία σημαίνει.

Τριστάσας, τοὺς παρὰ χεῖρα τοῦ βασιλέως, οἷον τοὺς ἔχοντας τὰς λόγχας ἀνὰ τρεῖς κατὰ χεῖρα.

Τρίτον ἡμίδραγμον, τὰς δύο ἥμισυ δραγμὰς ὀνομάζουσιν οἱ παλαιοί.

Ὑπομασχάλης, τὸ ὄνομα κεῖται παρὰ τοῖς ῥήτορσιν. ὅταν μὲν ἑνικῶς λέγωσιν, οὕτως αὐτὸ πάντες τάσσουσι μετὰ τῆς προθέσεως· ὅταν δὲ πληθυντικῶς οὐ μεγάλας λέγουσιν, ἀλλὰ μασχάλας.

Ὑπόβολον, ὑποκείμενον πρὸς δάνειον καὶ τόκον, Φερεκράτης εἶπεν, οὐχ ὁρᾷς τὴν οἰκίαν τὴν πολυτίμονος κειμένην ὑπόβολον;

Φύτλη, ὡς ζεύγω ζεύγλη, τρώξω τρώγλη, οὕτω φύω, φύσω, φύτλη.

Φυτόσκαφος, καὶ φυτοσκάφος διαφέρει. προπαροξυτόνως, ἡ ὑπὸ τὰ φυτὰ ἐσκαμμένη γῆ, παροξυτόνως δὲ, ὁ τὰ φυτὰ περισκέπτων γεωργός.

Ὑποβολιμαῖος, ὑποβαλλόμενοι, καὶ οἱ ποιηταὶ, ἤτοι ὡς ἐπὶ τῶν χαμαιῤῥίφων παιδίων, ἅπερ ἑαυταῖς ὑποβάλλουσιν αἱ γυναῖκες.

Πρωτότοκος, καὶ πρωτοτόκος· τὰ εἰς ος σύνθετα εἰς ἐνεργείαν καὶ εἰς πάθος ἀναλυόμενα δύο τόνους ἐπιδέχονται· καὶ εἰ μὲν εἰς ἐνέργειαν διαλύονται, παροξύνονται· εἰ δὲ εἰς πάθος προπαροξύνονται· οἷον, λιθοβόλος καὶ λιθόβολος, καρατομένος καὶ καρατόμενος, ὑδροφόρος καὶ ὑδρόφορος· καὶ λιθοβόλος μέν ἐστιν, ὁ λίθους βάλλων, λιθόβολος δὲ ὁ βαλλόμενος λίθοις· τὸ οὖν πρωτοτόκος, ἡνίκα μεν παροξύνεται, εἰς ἐνέργειαν ἀναλύεται, καὶ σημαίνει τὴν ἐν πρώτοις τεκοῦσαν, καί ἐστι μόνου θηλυκοῦ γένους. ἡνίκα δὲ προπαροξύνεται, εἰς πάθος ἀναλύεται, καὶ σημαίνει τὸ πρῶτον τεχθὲν παιδίον, καί ἐστι δύο γενῶν κοινὸν, καὶ γὰρ ὁ πρωτότοκος καὶ ἡ πρωτότοκος, τίκτεται γὰρ καὶ ἀνὴρ καὶ γυνή. τὸ δὲ παροξύτονον, ἐνέργειαν δηλοῦν, μόνον ἐστι θηλυκὸν, κωλύει γὰρ τὸ σημαινόμενον ἀρσενικὸν αὐτὸ εἶναι, οὐ γὰρ τίκτει ἀνήρ. καὶ πάλιν πολύτοκος, καὶ πολυτόκος. πολυτόκος μὲν σημαίνει τὸν πολλὰ γεννῶντα, πολύτοκος δὲ ὁ πρὸ πολλῶν γεννώμενος.

Παραστάται, ὑπ' ἐνικῶν καλοῦνται αἱ γόνιμοι φλέβες, καὶ τῇ γεννήσει παρεστῶτες.

Νεπώς, παρὰ τὸ πῶμι πώσω, ὃ σημαίνει τὸ πίνω, ἀποβολῇ τοῦ ω, καὶ μετὰ τῆς νε στερήσεως, Νέπως· ἄνυδρον γὰρ τὸ ὄρος ἐκεῖνο.

Θρησκεία, παρὰ τὴν τῶν Θρακῶν ἐπιμέλειαν τὴν πρὸς τὸ θεῖον, καὶ τὴν Ὀρφέως ἱερουργίαν· οὗτοι γὰρ ἐξεῦρον τὴν περὶ τὸ θεῖον εὔνοιαν· ἢ παρὰ τὸ τοὺς θεοὺς ἀρέσκεσθαι, ὅ ἐστιν ἐξευμενίζεσθαι.

Ἤγαγον, δευτέρου ἀορίστου, ἀπὸ τοῦ ἄγω, ὁ β ἀόριστος ἄγον, καὶ κατ' ἀναδιπλασιασμὸν ἄγαγον καὶ ἤγαγον. ζήτει.

Κρόνος, ὅτι τὸν κρόνον, φασὶν, ἐκ τοῦ κρᾶν καὶ κιρνᾶν ἕκαστα τῶν γενεθλιωμάτων, καὶ μίξαντα τὸ θηλὺ τῷ ἄῤῥενι. Χρύσιππος δὲ φησὶν, ὅτι καθύγρων ὄντων τῶν ὅλων καὶ ὄμβρων καταφερομένων πολλῶν· τὴν ἔκκρισιν τούτων, κρίνον ὠνομάσθαι. τὰ δὲ περὶ τὴν ἐκτομὴν, ἔνιοι οὕτως ἀναλύουσι· ὅτι τῆς οὐρανοῦ καὶ γῆς μίξεως γινομένης, ἐζωογονεῖτο πολλὰ, εἶτα τοῦ Κρόνου. ἤτοι τοῦ χρόνου ἕκαστα διακρίναντος, καὶ τῶν γεννηθέντων ἐκ τῆς πρὸς ἄλληλα μίξεως ζωογονοῦντα, ἐκτεμεῖσθαι τὸν οὐρανὸν εἴρηται. ἄλλοι δὲ φασιν, αὐτὸν Κρόνον εἰρῆσθαι, ὅτι πρῶτος τῶν θεῶν εἰς κρίσιν ἐπέβαλε. νομίζεται δὲ παῖς οὐρανοῦ καὶ γῆς, ὅτι ἐκ τῆς ἐπιτολῆς τῶν ὑπὸ γῆς καὶ ὑπὲρ γῆν ἄστρων ὁ χρόνος γίνεται· διὰ γὰρ τούτων καὶ ἡμερονύκτιον, καὶ μῆνα, καὶ καιρὸν διορίζομεν. καταπίνειν δὲ λέγεται τὰ τέκνα, ὅτι ὅσα διὰ χρόνου γίνεται, τῷ χρόνῳ πάλιν συνδιαφθείρεται. οὕτως ἔγω Φώτιος ὁ πατριάρχης.

Ὑφελτρεύουσι, σημαίνει δὲ τὸ καλλύνουσι. Λυκόφρων.

Ὀφιακῶν, ὁ παρὰ τὸ φύσει γέγονε φύσικος, μάντις, μαντικὸς, οὕτω καὶ ὄφις, ὀφικὸς. καὶ πλεονασμῷ τοῦ α, ὀφιακὸς, συνεξέδραμε γὰρ τῷ θηριακός.

Πρασίαι, τετράγωνα τινὰ σχήματα ἐν τῇ γῇ, ἃ ποιοῦσι σχολὴν οἱ κηπωροί. οἱονεὶ περασίαι τινὲς οὖσαι, παρὰ τὸ περατοῦσθαι, κατὰ συγκοπὴν πρασίαι.

Πρεσβήϊον, πρεσβειῶν ἄριστον, λέγει δὲ τὸ ὑπὲρ τιμῆς διδόμενον δῶρον.

Πραιτώριον, παρὰ τὸ πράττω πρατώριον, ὅπου τὰ πραττόμενα ὡροῦνται, ὅ ἐστι φυλάσσονται, καὶ ἐξανύονται. εἶτα πλεονασμῷ τοῦ ἰῶτα.

Σωρὸς, ὀξυτόνως· τὰ εἰς ρος λήγοντα δισύλλαβα, τῷ ω, παραληγόμενα, μὴ ὄντα ἐπιθετικὰ βαρυτονεῖται. ὦρος, δῶρος, χῶρος, Φλῶρος, βῶρος· σεσημείωται τὸ σωρὸς ὀξυνόμενον· τὰ δὲ ὀξύτονα ἐπιθετικά εἰσιν, οἷον χλωρὸς, ψωρὸς, μωρός.

Σορὸς, ἡ τῶν λειψάνων, παρὰ τὸ σεσηρέναι τὰ σώματα ἐν αὐτῇ. ἢ παρὰ τὸ εἴργω τὸ κωλύω, σορὸς ἡ κωλυτική.

Σῴζω, ὥσπερ παρὰ τὸ ἕω, τοῦ σημαίνοντος τὸ καθέζομαι, γίνεται ἕζω, οὕτω καὶ ἀπὸ τοῦ σῶον, ὃ σημαίνει τὸ ὑγιὲς, γίνεται σῴζω· καὶ οὐκ ἔδει ἔχειν τὸ ἰῶτα. ἡ μέντοι παράδοσις ἔχει τὸ ἰῶτα, ἔφοσον ἔχει τὸ ζ· καί ἐστιν εἰπεῖν, ὅτι, ὥσπερ ἀπὸ τοῦ ἄνθρωπος γίνεται ἀνθρωπίζω, καὶ λέπος λεπίζω, οὕτω καὶ ἀπὸ τοῦ σῶος γίνεται σωΐζω, καὶ κατὰ συναίρεσιν σῴζω.

Στράγξ, στάζω, στάξω, στὰξ, καὶ πλεονασμῷ τοῦ ρ καὶ γ, στρὰγξ, ἡ ἐπισχεθεῖσα ῥύσις.

Τοῦ νεήλυδος, ὁ κανών· τὰ εἰς υς σύνθετα, εἰ μὲν ἀπὸ ἁπλῶν εἰς υς ληγόντων συντίθενται, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον, βραχὺς, τρίβραχυς, τριβράχεος, ὀφρὺς ὀφρύος, λευκόφρυς, λευκόφρυος. εἰ δὲ ἀπὸ ῥημάτων εἰσὶ συντιθέμενα, διὰ τοῦ δος κλίνεται, οἷον, ἔπηλυς ἐπήλυδος, νέηλυς νεήλυδος, ταῦτα γὰρ οὐκ ἀπὸ ἁπλῶν εἰς υς ληγόντων συντίθενται, ἀλλ᾽ ἀπὸ τοῦ ἐλεύθω ῥήματος.

Κρὰς, πόθεν γίνεται; παρὰ τὸ κρῶ τὸ τελειῶ. πῶς κλίνεται; τῆς κρατός· τὰ εἰς ας, ὀξύτονα μονοσύλλαβα κύριά εἰσι, καὶ διὰ τοῦ ντ, κλίνεται· οἷον ζὰς ζαντὸς, πρὰς πραντός. τὸ δὲ κρὰς προσηγορικὸν, ὡς διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὴν κλίσιν.

Ἰστέον, ὅτι ἐπὶ τῶν ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων, ἡνίκα λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ες, προσθέσει τῆς σι συλλαβῆς ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν παρὰ τοῖς Ἴωσι καὶ ποιηταῖς. οἷον, Αἴαντες Αἰάντεσσι, γυναῖκες γυναίκεσσιν· ἐπὶ δὲ οὐδετέρων, ἐπειδὴ οὐ λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ες, ἀπὸ τῆς γενικῆς γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν, κατὰ τροπὴν τοῦ ο εἰς ε, οἷον, στόματος στομάτεσσι, δέπαος, δεπάεσσι.

Αἱ εἰς φωνῆεν λήγουσαι προθέσεις, ἐὰν συντεθῶσι μεθ᾽ ἑτέρας συλλαβῆς, τῆς ἀπὸ τοῦ ρ, ἀρχομένης, πλεονάζουσι καὶ ἕτερον ρ, οἷον, ἐπίῤῥημα, ἀνάῤῥησις· ὅσα δὲ μέρη λόγου καθ᾽ ἑαυτὰ σημαίνει, ταῦτα καὶ ἀπὸ τοῦ ρ, ἀρχόμενα, καὶ λέξεσι συντιθέμενα οὐ πλεονάζει καὶ ἕτερον ρ· οἷον, χρυσορήμων, χρυσόρειθος· ὅσα οὐ σημαίνει, ἀλλὰ συσσημαίνει, ταῦτα συντιθέμενα πλεονάζουσι καὶ ἕτερον ρ, οἷον σύῤῥοια.

Τῆς γυναικὸς, ὁ κανών· τὰ εἰς ξ λήγοντα μονοσύλλαβα, ἢ δισύλλαβα, ἔχοντα πρὸ τοῦ ξ δίφθογγον, ἀπὸ συμφώνου ἀρχόμενα, διὰ τοῦ κ, κλίνεται· οἷον, γραὶξ γραικὸς, γλαὺξ γλαυκός· σεσημείωται τὸ αἴξ αἰγὸς διὰ τοῦ γ, κλινόμενον, ἐπειδὴ ἀπὸ φωνήεντος ἤρξατο.

Τέλος πέφυκε ναὶ ἀληθῶς ῥημάτων, Μηνὸς Φευρουαρίου ΙΗ, ἡμέρᾳ δ, τῆς ἰνδικτίωνος ς· ἔτους ς ω α *).

Subjungitur codici Gudiano Syntaxis quaedam ordine alphabetico conſcripta. Verum, nudum verborum indicem, caſu quo conſtruuntur ſolum addito, cum tantum exhibeat, integram deſcribendi operae pretium haud duxi **). *Excerpſi interim omnia verba exemplis ab autore illuſtrata, quorum tamen numerus longe minimus eſt, additis quibusdam aliis, quo ex hisce ſpeciminibus methodus adhibita manifeſta reddatur. Conſtat integra Syntaxis tredecim paginis: quaevis vero pagina quatuor, ut appellantur, columnis.*

ΑΡΧΗ ΤΗΣ ΚΑΤΑ ΣΤΟΙΧΕΙΩΝ ΣΥΝΤΑΞΕΩΣ.

Ἀγορανομῶ, γενικῇ.

Ἀγχιστεύω casus non additur.

Ἄγαμαι, αἰτιατικῇ καὶ γενικῇ· τὸν φίλον ἄγαμαι, τῶν τρόπων ἄγαμαι, καὶ ἄγαμαι σοῦ τῶν τρόπων· γενικῇ δὲ ὅταν ἐξακούηται τὸ ἕνεκα, ὡς τὸ ἠγάσθη τῆς ἀρετῆς τῶν ἀνδρῶν, τουτέστιν ἕνεκα τῆς ἀρετῆς.

Ἀγνοοῦμαι, παθητικὸν, δοτικῇ.

Ἀγάλλομαι παθητικὸν, δοτικῇ.

Ἀγαπῶ, δοτικῇ καὶ αἰτιατικῇ· δοτικῇ μὲν ὅταν σημαίνει τὸ ἀρκοῦμαι· ὅταν δὲ σημαίνει τὸ φιλῶ, αἰτιατικῇ.

Ἀγορεύω, δοτικῇ.

Ἁγιάζομαι, δοτικῇ.

Ἄρχομαι, παθητικὸν, δοτικῇ.

Ἀγωνίζομαι, αἰτιατικῇ.

Ἁγνίζομαι, αἰτιατικῇ.

Ἀγαλλῶ, ἐνεργητικὸν, αἰτιατικῇ.

Ἀθετῶ, γενικῇ καὶ αἰτιατικῇ, γενικῇ μὲν, ὡς, κατάρχων μὲν καὶ αὐθεντῶν τοῦ τολμήματος· αἰτιατικῇ δὲ δούλων αὐθεντεῖν δεσποτείαν.

Ἀθανατίζω, αἰτιατικῇ.

Αἰσθάνομαι, γενικῇ καὶ δοτικῇ· γενικῇ μὲν ὅταν ἐστιν ἐπὶ αἰσθήσεως· ἡ δὲ γυνὴ ᾔσθετο τοῦ κακοῦ, τῶν πονηρῶν ᾐσθάνετο. αἰτιατικῇ δὲ, ὅταν τῶν ἔξωθέν ἐστιν, ἡ δὲ γραῦς τὸν ψόφον ᾔσθετο, τὴν ἔφοδον τοῦ πολέμου.

Αἰτιῶ, δοτικῇ καὶ αἰτιατικῇ· τί μοι αἰτιῶνται οἱ ἄνθρωποι· αἰτιατικῇ δὲ, εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιᾶτο τις.

---

*) Id eſt: A. C. 1293.

**) Simile opuſculum extare videtur in Bibliotheca Mediceo Laurentiana, ſub titulo: *Conſtructiones, ſive Lexicon verborum juxta Alphabetum, indicans caſus, quibus verba junguntur, et brevia exempla conſtructionum apponens*, indicatum a B. Montfaucon Biblioth. MSS. Nova, p. 307. b. A. Tom. I. Conf. Biblioth. Coiſlin. p. 696. ſq.

Ἀκούω, γενικῇ καὶ αἰτιατικῇ· γενικῇ μὲν, οἷον ἀκούσατε θείας φωνῆς, αἰτιατικῇ δὲ, οἷον ἀκήκοεν ὁ προφήτης τὴν ἔλευσίν σου κύριε· καὶ ἀκοῦσαι λόγον κυρίου· καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους.

Ἀλογῶ, πάντοτε γενικῇ· καὶ πατρώων νόμων ἠλόγησεν.

Ἀμείβω, δοτικῇ καὶ αἰτιατικῇ. ὄξει δὲ τὴν τοῦ μάννα εὐεργεσίαν σοι ἠμείψαντο.

Ἀμέλγω, αἰτιατικῇ, καὶ τὰς ἐλάφους ἀμέλγων.

Ἀναλογῶ, τὸ ὁμοιῶ, δοτικῇ

Ἀναλογίζομαι, τὸ ἐνθυμοῦμαι, αἰτιατικῇ.

Ἀνοίγω διπλῶς συντάσσεται. δοτικῇ καὶ αἰτιατικῇ· ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου· καὶ χωρὶς τῆς δοτικῆς αἰτιατικῇ, ἄνοιξον τὴν θύραν· αἰτιατικῇ καὶ δοτικῇ· καὶ ἄνοιγε στόμα λόγῳ κυρίου.

Ἀπογινώσκω. γενικῇ, σὺ δὲ μὴ ἀπογνῷς ἑαυτοῦ. Ἀπογινώσκω δὲ τὸ παραδίδω· ὁ δὲ Φαίδων ἀπογνοὺς περὶ τῶν Καρχιδονίων πραγμάτων.

Ἀφίεμαι, ἐπὶ τῶν ἐνθευθ.. [1]) αἰτιατικῇ κατὰ περιποίησιν, δοτικῇ, ὡς καὶ ἡμεῖς ἀφίεμεν. ἐὰν μὴ ἀφῆτε τὰ παραπτώματα. ἐπὶ δὲ τῶν παθητικῶν γενικῇ. ἀφέμενος τῶν λογων· αἰτιατικῇ δὲ, ἀντὶ τινῶν ἀφῆτε τὰ παραπτώματα.

Ἀφαρπάζω, αἰτιατικῇ.

Ἀφέλλω, αἰτιατικῇ.

Ἀφείλετο, αἰτιατικῇ.

Ἄχρι, γενικῇ.

Ἀρχὴ τοῦ Β στοιχείου.

Βασιλεύω, ἰστέον, ὅτι τὸ βασιλεύω, ὅταν μὲν σημαίνει τὸ ἐξουσιάζω, γενικῇ. ὡς τὸ βασιλεύσει ὁ Ἄιδης τοῦ γένους τῶν βρότων· τὸ δὲ βασιλέα ποιεῖν αἰτιατικῇ. τὸ σῶσαι καὶ βασιλεῦσαι, τὸν κακῶς σωθέντα καὶ βασιλεύσαντα· καὶ τὸν υἱὸν Κὶς ἐβασίλευσεν, ἀντὶ τοῦ βασιλέα ἐποίησεν.

Βασκαινῶ, δοτικῇ καὶ γενικῇ· μή μοι βασκήνησαι τὸν ἀγαθὸν λιβάνιον. αἰτιατικῇ δὲ, ἀεὶ γὰρ τὸν προσήεντα βασκαίνουσι.

Βαίνω, γενικῇ καὶ δοτικῇ· ὡς τὸ βαίνω ἐπὶ τῶν τοῦ βήματος τόπων, καὶ ἐπὶ τῷ βήματι.

Βρύω, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν, ὡς τὸ βρύει φυτῶν καὶ ἄνθεων. δοτικῇ δέ δέδοικα μὴ βρύων ἕλκεσιν εἰσάγεις τὸ ἀνιατρεπτόν· αἰτιατικῇ δὲ, ὅταν σημαίνει τὸ παρέχω, ὡς τὸ βρυεὶς γὰρ θαύματα.

Βραβεύω, τὸ νομοθετῶ, δοτικῇ· βραβεύω τὸ παρέχω αἰτιατικῇ· βραβεύω ἐν οὐρανοῖς τὰ ἔπαθλα.

Βυθίζω, αἰτιατικῇ· βυθίζει λεγεῶνας δαιμόνων.

Ἀρχὴ τοῦ Γαμμα.

Γήμω, αἰτιατικῇ· ὡς τὸ, γυναῖκα ἔγημα.

Γράφω, δοτικῇ καὶ αἰτιατικῇ· τὸ γὰρ γράφω τὸ ἐπίσταμαι δοτικῇ, ὡς τὸ, γράφω σοι τὸ καὶ τό. τὸ δὲ αἰτιῶμαι καὶ ἐγκαλίζω αἰτιατικῇ· καὶ τὸ αἰτιῶμαι, ὡς τὸ γράψομαί σε φόνων, καὶ παρὰ νόμου.

Γυμνῶ, τὸ γυμνῶ ἐπὶ μὲν τῶν ἐνεργητικῶν, μετὰ αἰτιατικῆς συντάσσεται, ἐπὶ δὲ τῶν παθητικῶν μετὰ γενικῆς· ὡς τὸ ἐγυμνώθην τῶν ὑπαρχόντων.

Ἀρχὴ τοῦ Δ.

Δεικνύω, δοτικῇ· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν· καὶ κατὰ ποίησιν δοτικῇ καὶ αἰτιατικῇ· δεικνύων σοι τὴν βασίλειαν.

Δέομαι, παθητικὸν, δοτικῇ· δεῖ σοι· ἀντὶ τοῦ χρεία· δοτικῇ καὶ γενικῇ.

Διακεχείρηκεν, ἀντὶ τοῦ κατεπιστεύθη, γενικῇ.

Διαχειρίζομαι, αἰτιατικῇ· ἑαυτὸν διεχειρίσατο.

Διώκω, τὸ κατηγορῶ· γενικῇ.

Διώκω, δὲ τὸ μισῶ καὶ τρέχω, αἰτιατικῇ.

Διαφέρω, γενικῇ· τοσοῦτον διαφέρει τῶν ἐχθρῶν. ἐπὶ δὲ τοῦ ἐναντιοῦμαι δοτικῇ. διαφέρει τοῖς αἱρετικοῖς ὑπὲρ τῆς πίστεως.

Δοξάζω, αἰτιατικῇ.

Δουλαγωγῶ, δοτικῇ.

Δορυφορῶ, αἰτιατικῇ.

Δυναστεύω, γενικῇ.

Δράσσομαι, γενικῇ· αἰτιατικῇ δὲ ὁ δρασσόμενος τοὺς σόφους ἐν τῇ πλάνῃ αὐτῶν.

Δρέπομαι, γενικῇ· αἰτιατικῇ δὲ, ὥριμον δρέπομαι καρπόν.

Ἀρχὴ τοῦ Ε στοιχείου.

Ἐγκορδολῶ, γενικῇ.

Ἐγγίζω, δοτικῇ.

Ἐγχειρίζω, ἕτερον δοτικῇ καὶ αἰτιατικῇ· δεινοκράτει τὰ φρούρια ἐνεχείρισεν.

Ἐγκαλῶ. αἰτιατικῇ καὶ δοτικῇ· τούτου ἐγκαλεῖς θεῷ τὴν εὐεργεσίαν.

Ἐντρυφῶ, γενικῇ καὶ δοτικῇ οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες· δοτικῇ δὲ οἱ ταῖς ἀλλοτρίαις ἐντρυφῶντες συμφοραῖς.

Ἐνθυμοῦμαι, γενικῇ καὶ αἰτιατικῇ· καὶ μήπω τῶν κακῶν βίων ἐνθυμηθ'.. αἰτιατικῇ δὲ εἰ μή τι ἄλλο ἐκεῖνο ἐνθυμούμενος ὅτι πενία καὶ πλοῦτος.

Ἐξορχίζω, τὸ εὐνουχίζω, αἰτιατικῇ, Ὠριγένης ἑαυτὸν ἐξορχίσατο.

Ἐπηρεάζω, δοτικῇ· ἀλλήλαις ἐπηρέαζον· ἔστι δὲ καὶ αἰτιατικῇ· εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς.

Ἐπισκήπτω, τὸ παραγγέλλω, δοτικῇ· τὸ δὲ παρακαλῶ αἰτιατικῇ.

Ἔχω, δοτικῇ καὶ αἰτιατικῇ· ὅταν τὸ κατέχω, αἰτιατικῇ· ὅταν δὲ τὸ κρατῶ, γενικῇ.

Εὔχομαι, πάντα τὰ παθητικὰ, γενικῇ· τὰ δὲ ἐνεργητικὰ, αἰτιατικῇ, μετὰ δὲ ἐπιῤῥήματος γενικῇ, ὡς ἔχου δρόμου.

Ἐχθαίρω, δοτικῇ.

Ἐπεύχομαι, δοτικῇ.

Ἀρχὴ τοῦ Ζ στοιχείου.

Ζηλῶ, αἰτιατικῇ καὶ δοτικῇ· ζηλῶν ἐζήλωκα τῷ κυρίῳ.

Ζωογονῶ, αἰτιατικῇ.

Ζωοποιῶ, αἰτιατικῇ.

Ζωννύω, αἰτιατικῇ.

Ἀρχὴ τοῦ Η στοιχείου.

Ἡγοῦμαι, τὸ ἄρχω, γενικῇ.

Ἡγουμαι, δὲ τὸ νομίζω, αἰτιατικῇ· ἡγουμαι δὲ τὸ ὑποδεικνύω, δοτικῇ.

Ἥλω, γενικῇ· ταύτης ὁ μέγας ἥλω Κυπριανός.

Ἡττῶμαι, γενικῇ· ὡς οὐδενὸς ἡττῶντο οἱ γενναῖοι.

---

1) L. ἐνεργητικῶν.

Ἀρχὴ τοῦ Θ στοιχείου.

Θαυμάζω, αἰτιατικῇ, θαυμάζω τῶν γυμνικῶν, ἀντὶ τοῦ κατηγορῶ.
Θήγω, τὸ ἀκουῶ, αἰτιατικῇ.
Θίγω δὲ τὸ προσεγγίζω γενικῇ.
Θύω, δοτικῇ, ὡς τὸ, θῦσον τῷ Θεῷ θυσίαν δικαιοσύνης.
Θωπεύω, αἰτιατικῇ, πολλὰ οὖν θωπεύσω αὐτόν.

Ἀρχὴ τοῦ Ι στοιχείου.

Ἴσχω, αἰτιατικῇ.
Ἰσχύω, αἰτιατικῇ.
Ἵστημι, τὰ ἐνεργητικὰ, αἰτιατικῇ.
Ἰῶμαι, αἰτιατικῇ, ἰώμενος τῷ θανάτῳ τὸν θάνατον.

Ἀρχὴ τοῦ Κ στοιχείου.

Καταδυναστεύω, γενικῇ· οὐκ ἄξιον τῶν πτωχῶν καταδυναστεύειν· ὁ δὲ ἅγιος βασιλεὺς εἰς τὰ ἠθικὰ, αἰτιατικῇ, καταδυναστεύειν πτωχὸν καὶ πένητα.
Καταδικάζω, γενικῇ· αἱ γυναῖκες κατεδίκαζον ἡμῶν, βοῶσαι· αἰτιατικῇ δὲ, σταυρωθῆναι σε κατεδίκασαν.
Κατατρέχω, ἐπὶ μὲν ἐμψύχων γενικῇ· ἐπὶ δ' ἀψύχων, αἰτιατικῇ.
Καταχλευάζω, γενικῇ· καταχλευάζοντες τῶν παρακλήτων, αἰτιατικῇ δὲ, ὁ ἅγιος βασιλεὺς, μὴ καταχλευάσητε τὸν λόγον.
Κρίνω, τὸ διαχωρίζω, αἰτιατικῇ.
Κρίνω, τὸ καταδικάζω, γενικῇ.

Ἀρχὴ τοῦ Λ στοιχείου.

Λήβω, τὸ λαμβάνω, ἐπὶ μὲν ἐνεργητικοῦ αἰτιατικῇ, ἐπὶ δὲ παθητικοῦ δοτικῇ.
Λοιδορῶ, αἰτιατικῇ
Λοιδοροῦμαι, δοτικῇ.
Λύω, ἐνεργητικὸν αἰτιατικῇ.
Λύομαι, δὲ παθητικὸν δοτικῇ.
Λυσιτελῶ, δοτικῇ, σημαίνει δὲ τὸ ὠφελῶ.
Λυπῶ, αἰτιατικῇ.

Ἀρχὴ τοῦ Μ στοιχείου.

Μεταποιοῦμαι, τὸ φροντίζω, γενικῇ.
Μεταποιῶ, δὲ τὸ μεταβάλλω αἰτιατικῇ.
Μηνίω, τὸ ὀργίζομαι δοτικῇ.
Μηνύω, δὲ τὸ ἀναγγέλλω, δοτικῇ.
Μολύνομαι, δοτικῇ.
Μουσουργοῦμαι, αἰτιατικῇ.
Μυοῦμαι, αἰτιατικῇ.
Μυκτηρίζω, αἰτιατικῇ.
Μυσταγωγῶ, αἰτιατικῇ.
Μύω, τὸ καμμύω, αἰτιατικῇ.

Ἀρχὴ τοῦ Ο στοιχείου.

Ὄζω, γενικῇ. ὄζω μύρων καὶ θείων.
Οἰκειοῦμαι, ἀντὶ τοῦ οἰκεῖος γίνομαι, δοτικῇ.
Οἰκειῶ, αἰτιατικῇ καὶ δοτικῇ.
Οἰκειοῦμαι, τὸν βασιλέα καὶ τῷ βασιλεῖ.
Ὁμολογῶ, τὸ ἰσοφωνῶ δοτικῇ.
Ὁμολογῶ, τὸ ὑποδεικνύω, αἰτιατικῇ.
Ὄμνυμι, δοτικῇ καὶ αἰτιατικῇ. ὄμνυμί σοι τὴν ἔμφορον δίκην.
Ὀφείλω, δοτικῇ.
Ὀχοῦμαι, γενικῇ.
Ὄψομαι, γενικῇ.
Οἴω, τὸ φέρω καὶ οἰκονομῶ, αἰτιατικῇ.

Ἀρχὴ τοῦ Π στοιχείου.

Πιστεύω, ἐνεργητικὸν δοτικῇ.
Πιστεύομαι, παθητικὸν αἰτιατικῇ.
Πλεονεκτῶ, τὸ πλέον ἔχω, δοτικῇ.
Πλεονεκτῶ, τὸ ἐκδιώκω αἰτιατικῇ.
Πληρῶ, αἰτιατικῇ καὶ γενικῇ, πληρωθήτω τὸ στ[...] ἡμῶν.
Πνέω, γενικῇ· στεναγμῶν πνέω, καὶ γελανθῶ· αἰ[...]τικῇ δὲ, ἓν πνέοντες· καὶ Ὅμηρος, μένεα πνείον[...]
Ποιῶ, αἰτιατικῇ καὶ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν [...] τὴν γῆν· δοτικῇ καὶ αἰτιατικῇ καὶ ταῦτα ποιήσει [...] ὑμῖν, διὰ τὸ ὄνομά μου.
Πολεμῶ, δοτικῇ, πᾶσι μέλεσι πολεμοῦσι.
Πολέμησον, αἰτιατικῇ, πολέμησον τοὺς πολεμοῦντ[...]
Πρεσβεύω, τὸ τιμῶ, αἰτιατικῇ· πρεσβεύω τῷ [...] καὶ Θεῷ ἡμῶν, δοτικῇ.

Ἀρχὴ τοῦ Υ στοιχείου.

Ὑπερτίθεμαι, αἰτιατικῇ, τὴν κυρίαν ἡμέραν ὑπε[...]θεμαι.
Ὑπερκαίω, αἰτιατικῇ, ἐκείνου τὸ φίλτρον ἀποκαίον[...]
Ὑπερίπταμαι, αἰτιατικῇ, πολλοὶ δὲ ὄρνιθες ἐδι[...]μων ἡμᾶς.
Ὑπεροπίζω, αἰτιατικῇ, ἵνα τὸν μὲν τῆς πόλεως, μ[...] τῆς Θεολόγου γλώττης ὑπεροπίσωσιν.
Ὑπεραναβαίνω, αἰτιατικῇ καὶ τὴν κτίσιν ὑπερα[...]βῆναι.
Ὑπερέρχομαι, αἰτιατικῇ, ἐκεῖνο τὸ τοῦ βίου σκη[...]
Ὑφῆκα, γενικῇ· καὶ οὐ πρότερον ἀφῆκα τὸν θυμον[...]
Ὑψῶ, αἰτιατικῇ, ὁ δὲ μάλιστα, καὶ τὸν ὑβρισμὸν ἠσ[...]νας, καὶ τὸν ἀγωνιστὴν ὕψωσεν.
Ὕω, τὸ βρέχω· εἶτ' ἀπ' οὐρανῶν τροφὴν ὕοντα· [...]τιατικῇ.

Ἀρχὴ τοῦ Φ στοιχείου.

Φανερῶ, φάσκω, αἰτιατικῇ, ἐφανέρωσε τὸν υἱὸν Κ[...]
Φάγω, αἰτιατικῇ. ἀλλ' ἐνδοιάστως φάγε τὸ σῶμα.
Φείδομαι, γενικῇ, φειδόμενος τοῦ πνεύματος, εἰς π[...]κοπήν.
Φθονῶ, δοτικῇ, μὴ φθονίσῃς τῷ κατορθοῦντι.
Φθείρω, αἰτιατικῇ· εἴτις τὸν ναὸν τοῦτον φθεί[...] φθερεῖ τοῦτον ὁ Θεός.

Ψαύω, γενικῇ· ψαύουσι γὰρ τῶν θείων.
Ψωμίζω, αἰτιατικῇ, ἐὰν ψωμίσω τὰ ὑπάρχοντά μο[...]

Ὠδίνω, αἰτιατικῇ, ὠδινητὰς ἀντιθέσεις· ἐγὼ δὲ [...]λόγου τὸν δρομέν.
Ὡραΐζω, δοτικῇ· κροαίνει κατὰ πεδίων, καὶ ποτα[...] ὡραΐζεται.

Τέλος σὺν Θεῷ τῆς συντάξεως.

SPECIMEN LEXICI

Photio Patriarcha Conſtantinopolitano conſcripti.

τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως, λέξεων συναγωγὴ, ... τῶν ἄλλων, ῥήτορσι καὶ λογογράφοις ἀνήκουσιν εἰς χρείαν. Προσπεφώνηται δὲ Θωμᾷ Πρωτοσπαθαρίῳ καὶ Ἄρχοντι τοῦ Λυκοστομίου οἰκείῳ μαθητῇ.

Πρόλογος τοῦ Λεξικοῦ, δι' ὧν ῥητόρων τε πόνοι, καὶ ξυγγραφέων ἐξωραΐζονται μάλιστα.

... τῶν λέξεων πλείους, περὶ ἃς τὸ ποιητικὸν νέμεται ἔθνος, εἰς τὸ ὠφελιμώτατον τοῖς βουλομένοις προσέχειν ... συνελέγησαν· εἰ γὰρ καὶ πολλοῖς ἄλλοις ἐπὶ νοῦν ἦκεν, τὴν ἴσην καὶ ὁμοίαν πραγματείαν ἐνστή- ... — — Finis prologi: Περίφρασις, ὅτε διὰ πλειόνων λέξεων οὐ πολλὰ, ἀλλ' ἕν τι δηλοῦται· οἷον, ἀντὶ ...θρωποι, υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι.

ΛΕΞΙΚΟΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ etc.

... ἄλφα περισπασθὲν δηλοῖ τὸ εἴθε· οὕτως γὰρ ...λίμαχος κέχρηται.

...ξ, πανοῦργος.

...τος, ἄπληστος· κάβος γὰρ μέτρον σιτικὸν, καὶ ...θυσον ἡμεῖς πίθον.

...ροι, δαίμονες ἐκ Λήμνου, διὰ τὸ τόλμημα τῶν ...τῶν μετενεχθέντες· εἰσὶ δὲ ἤτοι Ἥφαιστοι ἢ Τι-

...σις, ὄρνεον.

...λη, χωρίον τῆς Θράκης, ἱδρύμενον πρὸς τῷ Τάξῳ ...ῳ, κατὰ μέσον τῆς Θράκης.

...ανον, ξηρόν.

...χάζει, ἀθρόως γελᾷ.

...τκος, οὗ αἱ ψῆφοι τῶν δικαστῶν βάλλονται.

...σκος, ἀγγεῖόν τι, εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταὶ, ...ς ἐκαλεῖτο· Φρύνιχος Μούσαις ἰδοὺ δέχου τὴν ψῆ-, ὁ κάδισκος δέ σοι· ὁ μὲν ἀπολύων οὕτως· ὁ δὲ ...λλὸς ὡδί.

...εία, ἡ τῶν Ἀθηναίων ἀκρόπολις.

...εια νίκη· παροιμία, λέγεται ἐπὶ τῶν ἐπὶ κακῷ ...των. οἱ μὲν λέγουσιν, ὅτι Θηβαῖοι νικήσαντες ...ὑπὸ τῶν ἐπιγόνων ἡττήθησαν. οἱ δὲ ὅτι Οἰδί-...τὸ αἴνιγμα λύσας, ἔπαθλον τὴν μητέρα ἔγημεν. ...ται καὶ ἐπὶ τῶν ἀλυσιτελῶν· ὡς δὲ αὐτὸς ὁ τὰ ... Θηβῶν συντάξας, ὅτι Κάδμος ἀνελὼν τὸν τὴν ... κρήνην τηροῦντα δράκοντα· θητεύσας Ἄρει ...

...γιάζεται, ἀφιεροῦται.

...παξ, παντελῶς.

...ίρωμεν, ἀντὶ τοῦ δια... ...αίρωμεν, πολιτείας ν̄.

Καθαιρῶν, σταμνος ἐν ᾧ καταδικάζων τὰς δύο ψήφους ἔπεμπε.

Καθάπτω, καθιερώσω, συντελέσω.

Καθαρῶς, ἀκριβῶς.

Καθάρσιον, χοιρίδιον ἦν ὀπτὸν, ᾧ ἐκάθαιρον τὴν ἐκκλησίαν, οἱ λεγόμενοι περιστίαρχοι· περιστίαρχοι δὲ ἀπὸ τοῦ περιστίχειν.

Καθάρσιον, ἔθος ἦν Ἀθήνησιν, καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα, καὶ ὅλως τὰ τοῦ δήμου συνέδους, 10 μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δὲ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, ὀνομασθέντες οὕτως, ἢ ἀπὸ τοῦ περιστίχειν, ἢ ἀπὸ τῆς ἑστίας.

Καθαιρήσονται, καταλήψονται.

Καθαιρήσετε, οὐ καθελεῖτε, Θουκυδίδης καὶ τῶν ἄλλων οἱ πλείους.

Καθεδοῦνται, καθεσθήσονται.

Καθέδρα, ἡ ἐπίσχεσις, παρὰ Θουκυδίδῃ.

Καθέδρα, τῇ πρώτῃ ἡμέρᾳ τοῦ τελευτήσαντος, οἱ 20 προσήκοντες συνελθόντες ἐδείπνουν ἐπὶ τῷ τελευτήσαντι κοινῇ· ἐκαλεῖτο δὲ καθέδρα, ὅτι καθεζόμενοι ἐδείπνουν, καὶ τὰ νομιζόμενα ἐπλήρουν.

Καθεῖναι, ἐπὶ τὸ κάτω ἀπολῦσαι.

Καθέντες, καταγάγοντες.

Καθελὼν, Δημοσθένης ἀντὶ τοῦ ἀνελὼν, ἤτοι ἀποκτείνας, καὶ Στησίχορος, καὶ Σοφοκλῆς.

Καθέξει, κρατήσει.

Κάθες, χάλασον.

Καθεστηκὼς, καθεστάμενος.

30 Καθετον, ἔστι μὲν γραμμή τις παρὰ τοῖς γεωμέτραις· σημαίνει δὲ καὶ βοῦν τινὰ καθιέμενον εἰς τὴν θάλασσαν ἐπὶ θυσίᾳ τῷ Ποσειδῶνι.

Ἀρχὴ τοῦ Θ στοιχείου.

Θαυμάζω, αἰτιατικῇ, θαυμάζω τῶν γυμνικῶν, ἀντὶ τοῦ κατηγορῶ.
Θήγω, τὸ ἀκονῶ, αἰτιατικῇ.
Θίγω δὲ τὸ προσεγγίζω γενικῇ.
Θύω, δοτικῇ, ὡς τὸ, θῦσον τῷ θεῷ θυσίαν δικαιοσύνης.
Θωπεύω, αἰτιατικῇ, πολλὰ οὖν θωπεύσω αὐτόν.

Ἀρχὴ τοῦ Ι στοιχείου.

Ἴσχω, αἰτιατικῇ.
Ἰσχύω, αἰτιατικῇ.
Ἵστημι, τὰ ἐνεργητικὰ, αἰτιατικῇ.
Ἰῶμαι, αἰτιατικῇ, ἰώμενος τῷ θανάτῳ τὸν θάνατον.

Ἀρχὴ τοῦ Κ στοιχείου.

Καταδυναστεύω, γενικῇ· οὐκ ἄξιον τῶν πτωχῶν καταδυναστεύειν· ὁ δὲ ἅγιος βασιλεὺς εἰς τὰ ἠθικὰ, αἰτιατικῇ, καταδυναστεύειν πτωχὸν καὶ πένητα.
Καταδικάζω, γενικῇ· αἱ γυναῖκες κατεδίκαζον ἡμῶν, βοῶσαι· αἰτιατικῇ δὲ, σταυρωθῆναι σε κατεδίκασαν.
Κατατρέχω, ἐπὶ μὲν ἐμψύχων γενικῇ· ἐπὶ δ' ἀψύχων, αἰτιατικῇ.
Καταχλευάζω, γενικῇ· καταχλευάζοντες τῶν παρακλήτων, αἰτιατικῇ δὲ, ὁ ἅγιος βασιλεὺς, μὴ καταχλευάσητε τὸν λόγον.
Κρίνω, τὸ διαχωρίζω, αἰτιατικῇ.
Κρίνω, τὸ καταδικάζω, γενικῇ.

Ἀρχὴ τοῦ Λ στοιχείου.

Λήβω, τὸ λαμβάνω, ἐπὶ μὲν ἐνεργητικοῦ αἰτιατικῇ, ἐπὶ δὲ παθητικοῦ δοτικῇ.
Λοιδορῶ, αἰτιατικῇ.
Λοιδοροῦμαι, δοτικῇ.
Λύω, ἐνεργητικὸν αἰτιατικῇ.
Λύομαι, δὲ παθητικὸν δοτικῇ.
Λυσιτελῶ, δοτικῇ, σημαίνει δὲ τὸ ὠφελῶ.
Λυπῶ, αἰτιατικῇ.

Ἀρχὴ τοῦ Μ στοιχείου.

Μεταποιοῦμαι, τὸ φροντίζω, γενικῇ.
Μεταποιῶ, δὲ τὸ μεταβάλλω αἰτιατικῇ.
Μηνίω, τὸ ὀργίζομαι δοτικῇ.
Μηνύω, δὲ τὸ ἀναγγέλλω, δοτικῇ.
Μολύνομαι, δοτικῇ.
Μουσουργοῦμαι, αἰτιατικῇ.
Μυοῦμαι, αἰτιατικῇ.
Μυκτηρίζω, αἰτιατικῇ.
Μυσταγωγῶ, αἰτιατικῇ.
Μύω, τὸ καμμύω, αἰτιατικῇ.

Ἀρχὴ τοῦ Ο στοιχείου.

Ὄζω, γενικῇ. ὄζω μύρων καὶ θείων.
Οἰκειοῦμαι, ἀντὶ τοῦ οἰκεῖος γίνομαι, δοτικῇ.
Οἰκειῶ, αἰτιατικῇ καὶ δοτικῇ.
Οἰκειοῦμαι, τὸν βασιλέα καὶ τῷ βασιλεῖ.
Ὁμολογῶ, τὸ ἰσοφωνῶ δοτικῇ.
Ὁμολογῶ, τὸ ὑποδεικνύω, αἰτιατικῇ.
Ὄμνυμι, δοτικῇ καὶ αἰτιατικῇ, ὄμνυμί σοι τὴν ἔμφορον δίκην.
Ὀφείλω, δοτικῇ.
Ὀχοῦμαι, γενικῇ.
Ὄψομαι, γενικῇ.
Οἴω, τὸ φέρω καὶ οἰκονομῶ, αἰτιατικῇ.

Ἀρχὴ τοῦ Π στοιχείου.

Πιστεύω, ἐνεργητικὸν δοτικῇ.
Πιστεύομαι, παθητικὸν αἰτιατικῇ.
Πλεονεκτῶ, τὸ πλέον ἔχω, δοτικῇ.
Πλεονεκτῶ, τὸ ἐκδιώκω αἰτιατικῇ.
Πληρῶ, αἰτιατικῇ καὶ γενικῇ, πληρωθήτω τὸ στόμα ἡμῶν.
Πνέω, γενικῇ· στεναγμῶν πνέω, καὶ γελανθῶ· αἰτιατικῇ δὲ, ἓν πνέοντες· καὶ Ὅμηρος, μένεα πνείοντες.
Ποιῶ, αἰτιατικῇ καὶ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· δοτικῇ καὶ αἰτιατικῇ καὶ ταῦτα ποιήσουσιν ὑμῖν, διὰ τὸ ὄνομά μου.
Πολεμῶ, δοτικῇ, πᾶσι μέλεσι πολεμοῦσι.
Πολέμησον, αἰτιατικῇ, πολέμησον τοὺς πολεμοῦντας.
Πρεσβεύω, τὸ τιμῶ, αἰτιατικῇ· πρεσβεύω τῷ υἱῷ καὶ θεῷ ἡμῶν, δοτικῇ.

Ἀρχὴ τοῦ Υ στοιχείου.

Ὑπερτίθεμαι, αἰτιατικῇ, τὴν κυρίαν ἡμέραν ὑπερτίθεμαι.
Ὑπερκαίω, αἰτιατικῇ, ἐκείνου τὸ φίλτρον ἀποκαίοντες.
Ὑπερίπταμαι, αἰτιατικῇ, πολλοὶ δὲ ὄρνιθες ἐδωδίμων ἡμᾶς.
Ὑπερορίζω, αἰτιατικῇ, ἵνα τὸν μὲν τῆς πόλεως, μετὰ τῆς θεολόγου γλώττης ὑπερορίσωσιν.
Ὑπεραναβαίνω, αἰτιατικῇ καὶ τὴν κτίσιν ὑπεραναβῆναι.
Ὑπερέρχομαι, αἰτιατικῇ, ἐκεῖνο τὸ τοῦ βίου σκηλόν.
Ὑφῆκα, γενικῇ· καὶ οὐ πρότερον ἀφῆκα τὸν θυμον.
Ὑψῶ, αἰτιατικῇ, ὁ δὲ μάλιστα, καὶ τὸν ὑβρισμὸν ᾔσχυνας, καὶ τὸν ἀγωνιστὴν ὕψωσεν.
Ὕω, τὸ βρέχω· εἶτ' ἀπ' οὐρανῶν τροφὴν ὕοντα· αἰτιατικῇ.

Ἀρχὴ τοῦ Φ στοιχείου.

Φανερῶ, φάσκω, αἰτιατικῇ, ἐφανέρωσε τὸν υἱὸν Καϊν.
Φάγω, αἰτιατικῇ. ἀλλ' ἐνδοιάστως φάγε τὸ σῶμα.
Φείδομαι, γενικῇ, φειδόμενος τοῦ πνεύματος, εἰς προςκοπήν.
Φθονῶ, δοτικῇ, μὴ φθονίσῃς τῷ κατορθοῦντι.
Φθείρω, αἰτιατικῇ· εἴτις τὸν ναὸν τοῦτον φθείρει, φθερεῖ τοῦτον ὁ θεός.

Ψαύω, γενικῇ· ψαύουσι γὰρ τῶν θείων.
Ψωμίζω, αἰτιατικῇ, ἐὰν ψωμίσω τὰ ὑπάρχοντά μου.

Ὠδίνω, αἰτιατικῇ, ὠδινητὰς ἀντιθέσεις· ἐγὼ δὲ τοῦ λόγου τὸν δρομόν.
Ὡραΐζω, δοτικῇ· κροαίνει κατὰ πεδίων, καὶ ποταμοῖς ὡραΐζεται.

Τέλος σὺν θεῷ τῆς συντάξεως.

SPECIMEN LEXICI

a Photio Patriarcha Conſtantinopolitano conſcripti.

Φωτίου, τοῦ ἁγιωτάτου Πατριάρχου Κονσταντινοπόλεως, λέξεων συναγωγὴ, αἳ μᾶλλον τῶν ἄλλων, ῥήτορσι καὶ λογογράφοις ἀνήκουσιν εἰς χρείαν. Προσπεφώνηται δὲ Θωμᾷ Πρωτοσπαθαρίῳ καὶ Ἄρχοντι τοῦ Λυκοστομίου οἰκείῳ μαθητῇ.

Πρόλογος τοῦ Λεξικοῦ, δἰ ὧν ῥητόρων τε πόνοι, καὶ ξυγγραφέων ἐξωραΐζονται μάλιστα.

Αἱ τῶν λέξεων πλείους, περὶ ἃς τὸ ποιητικὸν νέμεται ἔθνος, εἰς τὸ ὠφελιμώτατον τοῖς βουλομένοις προσέχειν ἀκριβεστέρῳ συνελέγησαν· εἰ γὰρ καὶ πολλοῖς ἄλλοις ἐπὶ νοῦν ἦκεν, τὴν ἴσην καὶ ὅμοιαν πραγμάτειαν ἐνστήσασθαι. — — Finis prologi: *Περίφρασις, ὅτε διὰ πλειόνων λέξεων οὐ πολλὰ, ἀλλ᾽ ἕν τι δηλοῦται· οἷον, ἀντὶ τοῦ ἄνθρωποι, υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι.*

ΛΕΞΙΚΟΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ etc.

Α, τὸ ἄλφα περισπασθὲν δηλοῖ τὸ εἴθε· οὕτως γὰρ Καλλίμαχος κέχρηται.

Κάβαξ, πανοῦργος.

Κάβατος, ἄπληστος· καβος γὰρ μέτρον σιτικὸν, καὶ τὸν μέθυσον ἡμεῖς πίθον.

Κάβειροι, δαίμονες ἐκ Λήμνου, διὰ τὸ τόλμημα τῶν γυναικῶν μετενεχθέντες· εἰσὶ δὲ ἤτοι Ἥφαιστοι ἢ Τιτᾶνες.

Κάβησις, ὄρνεον.

Καβύλη, χωρίον τῆς Θρᾴκης, ἱδρύμενον πρὸς τῷ Τάξῳ ποταμῷ, κατὰ μέσον τῆς Θρᾴκης.

Κάγκανον, ξηρόν.

Καγχάζει, ἀθρόως γελᾷ.

Κάδισκος, οὗ αἱ ψῆφοι τῶν δικαστῶν βάλλονται.

Κάδισκος, ἀγγεῖόν τι, εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταὶ, οὕτως ἐκαλεῖτο· Φρύνιχος Μούσαις ἰδοὺ δέχου τὴν ψῆφον, ὁ κάδισκος δέ σοι· ὁ μὲν ἀπολύων οὗτος· ὁ δὲ ἀπολλὺς ὡδί.

Καδμεία, ἡ τῶν Ἀθηναίων ἀκρόπολις.

Καδμεια νίκη· παροιμία, λέγεται ἐπὶ τῶν ἐπὶ κακῷ νικώντων. οἱ μὲν λέγουσιν, ὅτι Θηβαῖοι νικήσαντες ὕστερον ὑπὸ τῶν ἐπιγόνων ἡττήθησαν. οἱ δὲ ὅτι Οἰδίπους τὸ αἴνιγμα λύσας, ἔπαθλον τὴν μητέρα ἔγημεν. τίθεται καὶ ἐπὶ τῶν ἀλυσιτελῶν· ὡς δὲ αὐτὸς ὁ τὰ περὶ Θηβῶν συντάξας, ὅτι Κάδμος ἀνελὼν τὸν τὴν Ἄρειαν κρήνην τηροῦντα δράκοντα· θητεύσας Ἄρει ἤτη.

Καθαγιάζεται, ἀφιεροῦται.

Καθάπαξ, παντελῶς.

Καθαίρωμεν, ἀντὶ τοῦ διακαθαίρωμεν, πολιτείας ν̄.

Καθαιρῶν, σταμνος ἐν ᾧ καταδικάζων τὰς δύο ψήφους ἔπεμπε.

Καθάπτω, καθιερώσω, συντελέσω.

Καθαρῶς, ἀκριβῶς.

Καθάρσιον, χοιρίδιον ἦν ὀπτὸν, ᾧ ἐκάθαιρον τὴν ἐκκλησίαν, οἱ λεγόμενοι περιστίαρχοι· περιστίαρχοι δὲ ἀπὸ τοῦ περιστίχειν.

Καθάρσιον, ἔθος ἦν Ἀθήνησιν, καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα, καὶ ὅλως τὰ τοῦ δήμου συνόδους, μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δὲ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, ὀνομασθέντες οὕτως, ἢ ἀπὸ τοῦ περιστίχειν, ἢ ἀπὸ τῆς ἑστίας.

Καθαιρήσονται, καταλήψονται.

Καθαιρήσετε, οὐ καθελεῖτε, Θουκυδίδης καὶ τῶν ἄλλων οἱ πλείους.

Καθεδοῦνται, καθεσθήσονται.

Καθέδρα, ἡ ἐπίσχεσις, παρὰ Θουκυδίδῃ.

Καθέδρα, τῇ πρώτῃ ἡμέρᾳ τοῦ τελευθήσαντος, οἱ προσήκοντες συνελθόντες ἐδείπνουν ἐπὶ τῷ τελευτήσαντι κοινῇ· ἐκαλεῖτο δὲ καθέδρα, ὅτι καθεζόμενοι ἐδείπνουν, καὶ τὰ νομιζόμενα ἐπλήρουν.

Καθεῖναι, ἐπὶ τὸ κάτω ἀπολύσαι.

Καθέντες, καταγάγοντες.

Καθελὼν, Δημοσθένης ἀντὶ τοῦ ἀνέλων, ἤτοι ἀποκτείνας, καὶ Στησίχορος, καὶ Σοφοκλῆς.

Καθέξει, κρατήσει.

Κάθες, χάλασον.

Καθεστηκὼς, καθεστάμενος.

Καθετον, ἔστι μὲν γραμμή τις παρὰ τοῖς γεωμέτραις· σημαίνει δὲ καὶ βοῦν τινὰ καθιέμενον εἰς τὴν θάλασσαν ἐπὶ θυσίᾳ τῷ Ποσειδῶνι.

Καθηγεῖσθαι, τὸ ὑφηγεῖσθαι. οὕτως Φερεκράτης.

Καθῆκαν, κατέβαλον.

Καθετος, ὁ καθιέμενος εἰς τὸ πέλαγος ἀμνός. λυσίας καὶ μελίτων.

Καθηκόντως, δεόντως, πρεπόντως.

Σωφρονισταὶ, ἄρχοντες τινες χειροτόνητοι δέκα τὸν ἀριθμὸν φυλῆς. ἐχειροτόνησε μὲν ὁ δῆμος. ἐπεμελοῦντο δὲ οἱ χειροτονηθέντες τῆς τῶν ἐφήβων σωφροσύνης, μίσθον λαμβάνοντες ἕκαστος παρὰ τῆς πόλεως, καθ' ἡμέραν δράχμην.

Ἀρχὴ σὺν θεῷ τοῦ Τ.

Τὰ, ταῦτα.

Ταβερνεια, καπηλεια, πανδοκεῖα.

Τάγηνον, τοῦτο Ἰώνων τινες τήγανον λέγουσιν.

Ταγηνίας, πέμματά ἐστι τῶν ἀπὸ τηγάνου ἐκ στέατος ὑγροῦ καὶ τυροῦ καὶ μέλιτος καὶ ἀσταφίδος.

Ταγυρι, τὸ βραχύτατον καὶ ἐλάχιστον.

Ἀρχὴ σὺν θεῷ τοῦ Ω.

Ὠὰ, μηλωτὴ, διφθέρα, καὶ τὸ λῶμα τοῦ ἐνδύματος, περὶ τὴν πέζαν, ἢ τὸ περιστόμιον.

Hic inferenda est epistola sequens, quam in eodem loco apographi sui Kulenkampius adjecit.

Clarissime vir! *T. Gale Illustrissimo doctissimoque viro Marquardo Gudio S. D.*

Quis sit tuus erga bonas litteras animus, intellexi, cum alias, tum ex nuperis tuis, quarum particulam mihi exhibuit Amp. Dnus Oldenburgius. De Photii igitur Lexico instantius nunc tecum agam, quoniam in spem me induxisti videndi aliud exemplar, quod diu frustra quaesivi. Mitto ad te, V. O. specimen codicis mei. Est quidem ille valde crassus, litteris quadratis, in membrana, manu antiquissima, non satis tamen accurate scriptus. Prima pagina prae vetustate paene evanuit, deesse etiam nonnihil in fine, suspicor. Quanto me beneficio obstringes, facile sentio, non facile dixerim, si tui libri subsidio adjutus, id perficiam, quod temere alias adgressus videri potero. Sed et nos hujusmodi officia quotidie viris doctis praestamus. Ut autem esset, cui tuto committere possis pignus pretiosum, constituimus Dan. Elzevirium bibliopolam Amstelodamensem sequestrum, qui et mille Florenorum summa, si exegeris, de eo mature reddendo, Tibi cavebit. Nostram igitur hujusce Lexici publicationem, si tuis opibus adjuveris, fidem et candorem, gratamque Tuorum meritorum professionem in me non desiderabis. Vale.

ΕΤΥΜΟΛΟΓΙΑ ΤΟΥ ΑΛΦΑΒΗΤΟΥ*).

Α.

Ἄλφα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ἄλφω τὸ εὑρίσκω· ἢ παρὰ τὸ Ἄλεφ [1]) ὃ δηλοῖ τὸ μάθε· ἢ παρὰ τὸ ἀλοφῶ [2]) τὸ μανθάνω· ἢ παρὰ τὸ ἄλ φᾶ Γεργεσινῶν [3]), ὃ σημαίνει, ἄρον φᾶ [4])· κατ' ἀρχὰς προτρεπόμενον τὸν παῖδα ἆραι καὶ τραφῆναι γνῶσιν τὴν τῶν γραμμάτων. καὶ διάτι προτάσσει [5]) τὸ ἄλφα τῶν ἄλλων πάντων γραμμάτων; διότι ἡ γνῶσις τῶν γραμμάτων βρῶσις καὶ τροφὴ λέγεται· τὸ δὲ ἄλφα κατὰ Γεργεσαίους ἄρον καὶ τραφῆναι λέγεται. διὸ καὶ προτέτακται τῶν ἄλλων πάντων γραμμάτων· σημαίνει γὰρ τὸ Αλ τὸ ἄρον, γεύσου [6]) δὲ τὸ φάγε· καὶ πάλιν· διάτι προτάσσει τὸ Ἄλφα τῶν ἑτέρων εἴκοσι τριῶν γραμμάτων; διότι ἀφ' ἑαυτοῦ ἄρχεται. καὶ εἰς αὐτὸ καταλήγει· εἰ γὰρ ὁλογράφος [7]) αὐτὸ τιθῆς, αὐτὸ μὲν ἄρχειν εὑρήσεις ὁμοίως καὶ λήγειν· (sic) ἐγκαρδίως δὲ κέκτηται τὸ Φ [8]).

Β.

Βῆτα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ βῶ τὸ βαίνω [9]), ἐν τοῖς μαθήμασιν. καὶ ἄλλως. Βάττα [10]) τὸ ἴχνος, καὶ τροπῇ τοῦ ᾱ εἰς ἢ βῆτα· διὰ ταύτην γὰρ τὰ ἴχνη ἡμῶν προβαίνουσιν ἐν τοῖς γραμ-

---

*) Descripsi ex Apographo *Georg. Frid. Thryllitii*, quod servatur in Bibliotheca illustris scholae Ilefeldensis. D. 16. Martii 1770. (Kulenkamp.)

Scholia Thryllitii.

1) Ab אָלַף, *studuit*, Prov. XXII, 25. 2) Ἀλφῶ, lego, ὅθεν ἀλφηστὴς ὁ διανοητικὸς καὶ εὑρετικὸς dicitur. 3) Γεργεσηνῶν scribe. De Gergesenorum dialecto cogitent docti 4) Emenda ἆρον φάγε, ὡς κατ' ἀρχὰς — 5) Malim et hic et infra προτάσσεις. (nisi προτάσσεται. K.) quanquam et alterum excusari posse probe noverim 6) Lege γεῦσαι δὲ τὸ φᾶ. 7) ὁλογράφως rescribe, et τιθῇς retine. Sic enim τὸν εἰ Neograeci construere solent. 8) Corrige τὸ λφ, ut duae hae litterae sint quasi cor vocis ἄλφα. 9) Sic Eratosthenes βῆτα vocatus, quod in omnibus disciplinis secundas teneret Auctores Suidas et Hesychius Milesius. 10) Βάτα malim. Forte vox neograeca est, e germanica *Wade*, *sura*, ut alia multa, detorta.

μασιν· καὶ ἄλλως· Βάσσα[1]) κατὰ Δωριείους τὸ βυσσίον, ὃ λέγεται βυκιόν (sic), καὶ τροπῇ τοῦ σ εἰς τ, βάτα· καὶ αὖθις ἡμεῖς τατῶν (sic)[2]) Δωριέων ἄλφα εἰς κάππα τρέπομεν. καὶ γίνεται βῆτα· βρύσιν (sic)[3]) ἔτες τὸ ἄλφα· τὸ βῆτα δὲ, καθὰ βυκκίον· καὶ τοῦτο, πρὸς τὴν βρύσιν εἰσερχόμενον, ἀντλεῖ ἡμῖν ὕδωρ τῆς γνώσεως. Τί ἐστι βῆτα; βάσις μαθήσεως τῶν γραμμάτων· τί ἐστιν βάσις; βάσις λέγεται καὶ ἡ ἀναβάθρα[4])· ἤγουν ἡ ἀναβάταξις. βάσις δὲ λέγεται καὶ ἡ ἔμβασις τινὸς πρός τινα τέχνην, ἣν ἡ βῆτα σημαίνει· διὰ ταύτην γὰρ ἐμβαίνομεν πρὸς τὴν μάθησιν, παρελθόντες τὸ ᾱ.

Γ.

Τί ἐστι γάμα (sic);

Γένεσις τῶν γραμμάτων ἡδύτητος, ἤγουν γλυκύτητος· πόθεν Γάμα; παρὰ τὸ γαλα (sic)[5]), ὃ δηλοῖ τὴν γεῦσιν τῶν γραμμάτων γλυκύτητος.

Δ.

Δέλτα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ δαλθ. Δαλθ γὰρ λέγεται ὁ τέταρτος οὐρανὸς, διὸ καὶ τὸ τέταρτον στοιχεῖον δέλτα προσαγορεύεται.

Ε.

Ε πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ε̄[6]) τὸ ἔειν καὶ φωτίζειν τὰς πέντε αἰσθήσεις ἡμῶν, ἐξ οὗ καὶ ἕως τὸ φῶς.

Ζ.

Ζῆτα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ζεὶθ[7]). ζεὶθ γὰρ λέγεται ὁ ἕβδομος οὐρανός· διὸ καὶ τὰ γεννώμενα βρέφη τῷ ἑβδόμῳ μηνὶ ζῶσι μὴ βλαβούμενα.

Η.

Ἦτα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ἦθ, ὃ δηλοῖ τὸ σχῆμα, ἐξ οὗ καὶ ἦθος καὶ εὐκοσμία.

Θ.

Θῆτα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ Θὼθ· Θὼθ δὲ λέγεται τὸ πέταλον τῶν παλαιῶν ἱερέων.

Ι.

Ἰῶτα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ Ἰὼδ δὲ[8]) ἤλει ὅτης τοῦ νοός· διὸ καὶ ἐν τῷ τελείῳ ἀριθμῷ τοῦ ψήφου[9]) τῶν γραμμάτων ἰῶτα προετέθη.

Κ.

Κάππα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ Καῦ *)· Καῦ δὲ ὁ αἰθὴρ λέγεται, ἤγουν τὸ οὐράνιον πῦρ· διὸ καὶ καῦμα ἡ θερινὴ θερμασία.

*) Vid. *Bentleji* Epist. ad *Millium* de Καβ Orphei.

Λ.

Λάμβδα[10]) πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ λάβ· λὰβ δὲ τὸ διὰ μέσου τοῦ οὐρανοῦ καὶ τῆς γῆς χάσμα λέγεται.

Μ.

Μῖ (sic) πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ Μᾶν[11]) ὃ σημαίνει τὴν οὐράνιον τροφήν.

Ν.

Ν πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ Νᾶν, ὃ δηλοῖ τὸν ἄρτον· καὶ γὰρ περαι[12]) νᾶν τὸν ἄρτον λέγουσιν· διὸ καὶ ἰνιν[13]) ἐν τῷ ἀρότρῳ σιδήριον, ὡς ἰνεῦον, ἤτοι ἀρτόδουλον.

Ξ.

Ξ πόθεν ἐτυμολογεῖται;

Παρὰ τοῦ ξιφιαίου ἀστέρος· κατὰ μίμησιν γὰρ ἐκείνου γράφεται.

Ο.

Ο πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ὄειν[14]) κυκλοειδῶς. Ὀειδὸν[15]) γὰρ τὸν οὐρανὸν λέγομεν εἶναι, ἤτοι κυκλοειδῆ· διὸ καὶ τὸ ο οὕτως ἐκλήθη, ὡς κυκλοειδὲς καὶ αὐτὸ τυγχάνον.

Π.

Π πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ πιάδας ἔχειν, ἤτοι ποιητικα[16]) κέντρα. Πιάδες γὰρ αἱ αὐτοῦ γραμμαὶ λέγονται.

---

1) Lege βᾶσσα κατὰ Δωριέας, vel etiam βῆσσα — ex βῆσσα, ὁ κοῖλος καὶ ἔνυδρος τόπος λέγεται, pro quo ap. Homerum βῆσος etiam legitur. βυσσίον vero e βυσσὸς deflexum. βυκίον poculi genus est. tum βάτα lego. 2) Corrige, τὸ τῶν Δωριέων ἄλφα εἰς ἦτα τρέπομεν. — Error ortus ex similitudine scripturae librariorum η et κ, quae etiam in antiquis editionibus aliquando suum obtinet locum. Porro, quia in MS. expresse κάππα legitur, antiquior haec etymologia saltem est scriptore suo, qui in frontispicio folii scripsit, ἐγεννήθη ἡ κόρη μου χελλοῦ (λ) ἡμέρᾳ δευτέρᾳ εἰς τὴν κή σεπτεβρίου *) τμγ΄ τοῦ Χριστοῦ. Numerus millenarius omissus. Vixit igitur librarius, sive possessor libri, qui eundem etiam perscripsit, anno Christi 1343. 3) Nisi neograeci quid lateat, quod non puto, βρύσιν οὔσης, vel βρύσις ἐστὶ, corrigendum est. Et mox βυκίον. 4) Frequentius occurrit ἀναβάθρα. statim post mallet quis forte ἀναβάσταξις. ego ἀνάβασις corrigo, nisi tamen recentior idiotismus interdicat. 5) certe גמיעה est *sorbitio* Rabbinis, a semine גמא hausit. Sic scribendum, γαμιά: nec tamen ideo γάμα unica liquida scripserim cum auctore. τὸ Δαλθ unde sit nescio. 6) Lege παρὰ τὸ ἔω, διὰ τὸ ἔειν. ἔω illud ἄχρηστον est. Inde ἐὺς ὁ καλὸς, et forte ipsum εὖ. Ipsa tamen τοῦ ε derivatio satis violenta est, ut pleraeque etiam reliquae. 7) In MS. ζλθ, quod ζεὶθ, ζὰθ, ζεὺθ legi potest. 8) Legendum sine dubio, παρὰ τὸ ἰὼδ. Ἰὼδ δὲ τελειότης τοῦ νοός. 9) Rectius τῆς ψήφου. Verte locum: *Unde etiam inter perfectos calculorum numeros Iota primum prae reliquis literis locum tenet.* Perfecti illi numeri sunt Ι Π Δ Η Χ Μ. ex his reliqui numeri imperfecti componuntur. 10) In MS. λάμδα· an λάβδα derivationi convenientius? 11) Lege Μάν· intelligit *Manna.* Sic Exod. XVI, 31. ἐπωνόμασαν τὸ Μάν. 12) Πέρσαι scribendum suspicor. 13) Lego ἡ ἶν, vel etiam ἦνιν. quod neograecum pro ὕνιον ponitur. Et mox ἰνεῦον. 14) Puto fictum verbum, comicum saltim. 15) An ὠηδὸν vel ὠηδόν· sed rectius est ὠοειδῆ, saltim ὀειδῆ. ab ὂα, quod dicitur παρὰ τὸ ὦδες σχῆμα τὸ περιτραχήλιον, quo in veste caput inseritur. 16) Forsan ποιά τινα — πιάδες graecis sunt calcaria illa, quae transversae superiori hujus litterae trabi applicantur, per perpendiculum.

---

*) in MS. εἰς τ̀ κὴ σεπτεβρι τῆς ω (χη) τμγ τοῦ χ͡ῦ Cogita amplius.

Ρ.

Ρῶ πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ῥέειν τὴν αὐτοῦ γραμμὴν κάτω.

Σ.

Σίγμα πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ κεῖσθαι [1]) αὐτῷ ὡς περσῃ· μαίαν πλαγίας· ἤτοι ὡς Φλάμουλον κείμενον.

Τ.

Ταῦ πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ τὼβ, ὃ δηλοῖ τὸ ἀγαθὸν.

Υ.

Υ πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ὑακὸς [2]) κεῖσθαι αὐτὸ, ἤγουν νεφελιακῶς, ὥσπερ ὕδατος πλῆρες.

Φ.

Φ πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ Φαεινῶς γράφεσθαι αὐτὸ, ὥσπερ Φωτὶ ὠπτόμενον [3]) παρά τινος.

Χ.

Χ πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ χέεσθαι αὐτὸ ἔνθεν κἀκεῖθεν.

Ψ.

Ψ πόθεν ἐτυμολογεῖται;

Παρὰ τὸ ψιακῶς [4]) γράφεσθαι αὐτὸ καὶ μιμεῖσθαι τὰς τοῦ αὐτοῦ ψιάς.

Ω. (sic)

Ω δὲ ὦ τὸ μέγα, διπλασιασμὸς τοῦ ο τοῦ ο μικροῦ, διὸ καὶ μέγα ἐκλήθη. Ἐδιπλασιάσθη δὲ πρὸς ἀναπλήρωσιν τῶν εἴκοσι τεσσάρων ὡρῶν τοῦ νυχθημέρου.

Explicit Etymologia Alphabeti.

---

1) Scribo, αὐτὸ ὡς περσικὴν σιβύνην πλαγίως — vel latet aliud, quod nunc non exputo, donec latius de flammulo constet. 2) F. ὑαδικῶς, vel ὑδατικῶς. 3) Scribe ὀπτώμενον. 4) An ψιατικῶς legendum, vel potius ψιαδικῶς, et postea ψιάδας? sed sic αὐτοῦ in mendo cubaret. Si hoc non est, inepte dixit auctor, ψῖ dicitur, quia ut ψῖ scribitur; ὖ dicitur quia ὑακῶς, ut ὖ scribitur. Videas graeculum semper puerum. Sed abstineo.

Thryllitius ad Lectorem.

Descripsi bona fide e codice Biblioth. Paullinae Lipsiae A. C. 1714. a. d. 26. Maji. Potuissem plura in notis addere, sed, quia pleraeque derivationes ineptae erant, refutatione illas indigere haud arbitrabar.

EXCERPTA APIONIS GLOSSARVM HOMERICARVM.

EX CODICE DARMSTADINO, QVI EST BOMBYC. SAEC. XIV. XV. XVI.

ΑΠΙΩΝΟΣ ΓΛΩΣΣΑ ΟΜΗΡΙΚΑ.

Cf. de Apione, Homeri illustrissimo interprete Fabricii Bibliothec. Graec. I. p. 331. vid. Tom. I. pag. 501. ed. Harlef. ibique Ruhnkenii et Viloifoni fententias. Adde Baftium in additam. ad Gregor. Corinth. ed. Schaefer p. 891. et praecipue 894. (Not. cf. potiffimum eos locos Apollonii in lex. Hom. in quibus citatur *Apion*. vid. p. 767 fq. ed. Tollii. (Creuzer.))

Τὸ α βραχύνεται καὶ ψιλοῦται· ἐν δὲ συνθέσει η σημαίνει· δηλοῖ γὰρ στέρησιν, ἐν τῷ αλήιος· ἀκικυς· ἀθάνατος· δηλοῖ δὲ καὶ τὸ ὁμοῦ ὡς ἄκοιτις· ἄλοχος· ἀδελφός· ἴσον γὰρ, τῷ ὁμόκοιτις· ὁμόλεχος· ὁμάδελφος· δελφὺς γὰρ ἡ μήτρα. δηλοῖ καὶ τὸ πολύ· ὡς ἐν τῷ ἀχανές· ὅ ἐστι τὸ πολυκεχηνός· καὶ ἄξυλον τὸ πολύξυλον. δηλοῖ καὶ τὸ ἴσον· οἷον, Διῒ μῆτιν ἀτάλαντον· καὶ ἀτάλαντον Ἄρηϊ. δηλοῖ καὶ τὸ συνεχές· οἷον ἀζηχὲς μεμακυῖαι ἀκούουσαι ὄπα ἀρνῶν. δηλοῖ καὶ τὸ δυσειδὲς ὡς ἐν τῷ, ἄκνημος· ἀσκελής. καὶ τὸ κακόν· ὡς ἄφωνος· 10 ἄστομος· ἀπρόσωπος· δηλοῖ δὲ καὶ επίρρημα σχετλιαστικόν· οἲ αἲ δηλῶ [1]) ἴσον τὸ, φεῦ ἄθλιοι. ἅλιος τρία· τὸ θαλάσσιον· καὶ τὸ μάταιον· καὶ τὸ κύριον ὄνομα. ἁλὸς, δύο· τὸ τοῦ ἐσθιομένου ὄνομα· ὡς πάσσεθ᾽ ἁλὸς θείοιο· καὶ τῆς θαλάσσης· ὡς ἀνέδυ πολιῆς ἁλὸς ἠΰτ᾽ ομίχλη. ἄλσος β· τὸν σύνδενδρον τόπον· καὶ τὸ ἱερόν. ἀλωὴ, τρία σημαίνει· ἢ την ἅλω, ὡς ἱερὰς κατ᾽ ἀλωὰς, ἢ τὴν ἀμπελόφυτον καὶ δενδροφόρον· ὡς οὐδέρα ἴσχει ἀλωάων ἢ το σιτοφόρον χωρίον· ὡς ἐν τῷ πολλὰ κακὰ ἔρδεσκεν ἔθων οἰνῆος ἀλωήν. ἀλαπάξαι δυο· τὸ ἐκπορθῆσαι· 20 ὡς Ἰλίου ἐξαλάπαξε πόλιν, ἢ εκκενῶσαι· ὡς νέων δ᾽ ἀλάπαξε φάλαγγα. ἀλεῖψαι β· τό,τε χρίσαι ἐλαίῳ καὶ τὸ πηλῷ καὶ κηρῷ. ἀμειβόμενος γ σημαίνει· τὸ ἀποκρινόμενος τῷ [2]) λόγῳ· τονδ᾽ ἀπαμειβόμενος προσέφη· καὶ τὸ κατὰ μικρὸν τί ποιεῖν [3])· οἱ μεν ἀπαμειβόμενοι φυλακας ἔχον· καὶ τὸ εναλλάσσειν· ὡς πρὸς Τυδείδην Διομηδεα τεύχε᾽ ἄμειβε. ἀλοιφὴ, τότε ἐλαίου· καὶ πιμελῆς καὶ κηροῦ. ἀμήχανος, δ· τὸ κακομήχανος· ἢ μαλα δὴ κακότεχνος, αμήχανος, ὅς δόλος ἦρη· καὶ τὸ ἀπροσμήχανος σὺ δ᾽ ἀμήχανος ἔπλεν Ἀχιλλεῦ· καὶ σὺ δ᾽ αμήχανος ἐσσὶ γεραιέ. καὶ τὸ ἄπορος· οἷον ἤτοι μεν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι [4])· καὶ τὸ δεινὸν καὶ τὸ χαλεπόν. ἔνθά κε λοιγος ἔην· καὶ ἀμήχανα ἔργα γένοντο. ἀμύνειν δύο· τὸ βοηθεῖν ὡς γαμβρῷ ἀμυνέμεν· καὶ τὸ ἀπείργειν καὶ ἀποτρίβεσθαι· ὡς αἐὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει. ἀμφὶς, στ· τὸ χωρὶς· ὡς οὐ γὰρ ἔτ᾽ αμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες· καὶ τὴν περί· ὡς ἀμφ᾽ ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο· καὶ τὸ ἐξ ἑκατέρου· οἷον, αἳ δοιαὶ Διὸς ἀμφίς· καὶ τὸ ἐκτός· ὡς ἀμφὶς ὁδοῦ δραμέτην· καὶ τὸ ἀμφότεροι· ὡς ἀμφὶς ἀριζήλω. καὶ τὸ διχογνωμονεῖν· ὡς τὼδ᾽ ἀμφὶς φρονέοντε δύο Κρόνου υἷεε κρατερώ. αμφοτέρω β σημαίνει· αμφότερον καὶ αμφοτέρους. αμφότερον δύο σημαίνει κατὰ διττὸν τροπον· ὡς αμφότερον βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αιχμητὴς καὶ ὄνομα κύριον· αὐτὰρ ἔπειτ᾽ Εὐρύβαντα καὶ αμφοτερον ἐξενάριξεν. ἄναξ δύο σημαίνει· τὸ βασιλεὺς ὡς ἄναξ ἀνδρῶν Ἀγαμέμνων· καὶ δεσπότην· οἷον αὐτὰρ ἐγὼ οἴκοι ἄναξ ἔσομαι. ἀνὴρ σημαίνει ε· τὸν ἀνδρεῖον· ὡς ἄνδρα μοι ἔννεπε μοῦσα· καὶ ἀνέρες ἐστὲ φίλοι· καὶ τὸν γεγαμηκότα οἷον ἀνὴρ· ἠδὲ γυνή· καὶ τὸν ἀνδρὸς ἡλικίαν ἔχοντα· καὶ μιν ἔφην ἐν ανδράσιν οὔτι χερείω· καὶ τὸν ἄνθρωπον ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες. ἄνευθεν β· ἢ τὸ πόρρωθεν, ἢ το χωρίς. ἀνίημι, ε· το αναπειθειν· τὸ ἐκ δεσμῶν λύειν· τὸ γυμνοῦν· τὸ εκδέρειν·

---

1) Leg. οἷον ἃ δειλοὶ vel αἲ δειλοὶ cf. Schol. Platon. p. 134. Ruhnken. cf. Apollon. lex. H. p. 1. Damm. lex. Hom. p. 1. et Euftat. ad Odyff. XIV, 361. p. 549. Baf. (Creuz.) 2) Apollon. Lex. Hom. p. 96. ed. Toll. ἐπὶ τοῦ. (Creuz.) 3) κατὰ μέρος. (Creuz.) 4) Odyff. I, 560. cf. Apoll. Lex. H. p. 168. ibiq. Toll. (Creuz.)

τὸ παρορμᾷν· ἢ μάλα δή τινα Κύπρις ἀχαιϊάδων ἀνιεῖσα, ἀντὶ τοῦ ἀναπείθουσα. ὡς εἰπὼν, δεσμῶν ἀνιειμένος ἡφαίστοιο· κόλπον ἀνιεμένη, ἀντὶ τοῦ γυμνοῦσα· αἶγας ἀνιεμένους ἀντι τοῦ εκδέροντας. ἀπάνευθεν β. ἄπωθεν καὶ χ· ὡς ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν· ἤγουν χ ἄπωθεν, πολλὸν γὰρ ἀπανευθε μάχης εἰρύατο. (χ. in margine appictum unde in textum recipiendum ligno quodam indicatur). ἄντυξ δ· τῆς ἀσπίδος ἡ περιφέρεια. ἡ τοῦ ἅρματος περιφερὴς ῥάβδος, ἀφ' ἧς συνδοῦσι (in marg. corr. δέουσι) τὰς ἡνίας· καὶ τὸ τῆς ἀσπίδος ἔξωθεν περικείμενον· ὃ λέγεται ἴτυς. πυμάτῃ θεῖ ἀσπίδος ὀμφαλοέσσης ἐξ ἄντυγος ἡνία τείνας· δηλονότι, ἐκ τῆς πρόσθεν περιφερείας. δοιαὶ δὲ περίδρομοι ἄντυγες εἰσίν· τας ὀπίσω. ἄρα σύνδεσμος συνήθης· οὐκ ἄρα σοίγε πατὴρ τε φίλος· καὶ ἀντὶ τοῦ δή· ἔνθ' ἄρ' οἰμώζοντο καρηκομόωντες ἀχαιοί· ἀνοιδὸς δ σημαίνει· τὸν θρηνητήν· τον κιταρωδον· τὸν ποιητὴν· τὸν ᾠδόν. ἀπειλῆσαι δ· το ὀργίλως επαγγέλλεσθαι (Cod. ἐπαγγέλεσθαι)· το καυχᾶσθαι· τὸ ὑποδέχεσθαι· το δεητικῶς εὔχεσθαι. ἀρὰ, δ. εὐχήν· κατάραν· βλάβην· δέησιν. ἀραιαὶ δ. ἀσθενεῖς· λεπταί· στεναί. ἄρης ζ· τὸν δαίμονα· τὸν πόλεμον· τον σίδηρον· τὴν εἰς πόλεμον ὁρμήν· τὸ τραῦμα· τὸ ἐν ψυχῇ κατάστημα· τὸν θάνατον. ἄρες ἄρες βροτολοιγὲ, ἐπὶ τοῦ δαίμονος. θεράποντες ἄρηος ἐπὶ τοῦ πολέμου, ἔνθα μάλιστα ἀφίησι μένος ὄβριμος ἄρης ἡ εἰς τὸν πόλεμον ὁρμή· ἔνθα γένετ' ἄρης ἀλεγεινός· τὸ τραῦμα γνωστὸν ἐνὶ μεγάροισιν ἄρηος ἀλκτῆρα γενέσθαι. ἔτι τὸν θάνατον. ἀργύριον δ· τὴν ὕλην· καὶ τὸ καλὸν· καὶ το λευκόν· και το διαυγὲς και καθαρόν. τὴν μὲν ὕλην, αργυρεον, χρυσέοισιν ἀορτήρεσσιν ἀρηρός· τὸ καλὸν κλῦθι μευ ἀργυρότοξ, ὃς χρύσην ἀμφιβέβηκας· τὸ λευκὸν, ἀργυρόπεζα θετις· τὸ δὲ καθαρὸν καὶ διαυγές, ποταμὸς ἀργυροδίνης. ἅρμα δ· τὸ ὄχημα τῶν ἵππων· καὶ τὸ συναμφότερον· το ὄχημα δηλονότι καὶ τοὺς ἵππους· καὶ πόλις βοιωτίας· καὶ τόπος εν ἀθήναις. ἀδινὸν ε· το ἀθρόον· ἠΰτ' ἔθνεα μελισσάων ἀδινάων. καὶ τὸ οἰκτρόν· ἀδινὸν στοναχῆσαι (fic)· καὶ τὸ, ἠδέων σειρήνων ἀδινάων· καὶ τὸ πυκνὸν καὶ ισχνόν· ἀμφ' ἀδινὸν κῆρ· καὶ τὸ ἠρέμα· ἀδινῶς ἀνενήκατο. ἆσαι σημαίνει τὸ βλάψαι· ἆσε με δαίμονος αἶσα κακή. ἄτη, τὴν δαίμονα· καὶ τὴν βλάβην· ἠδ' ἄτη στενερή τε καὶ ἀρτίπους· καὶ Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ. ἀστράγαλος γ· τὸ ἐν τῷ σφυρῷ καὶ τὸν σπόνδυλον ἁπλῶς καὶ παιστικὸν βῶλον· αὔτως τὸ ματαίως καὶ τὸ κενῶς· καὶ τὸ ὁμοίως· καὶ τὰ προῖκα καὶ δωρεάν· καὶ τὸ ἄνευ προφάσεως. αὐτὴ. τὴν μάχην καὶ τὴν βοήν· αἶψα, εὐθέως· καὶ ταχέως· καὶ ῥαδίως. ἀφροδίτη, τὴν δαίμονα καὶ τὴν συνουσίαν. ἀγορὴ, τὸν τόπον τῆς ἐκκλησίας· καὶ τὸ πλῆθος· και τὴν βουλὴν· καὶ τὴν δύναμιν· καὶ τὴν δημηγορίαν· καὶ τοὺς τόπους τῶν ὠνίων, τὰς ἀγοράς. ἄχναι β· τὸ λεπτὸν τοῦ ἀχύρου· καὶ τὸν ἀφρόν. ἀγγελίη, δ· τὴν ἀγγελίαν· τὸν ἄγγελον· τὸν πρεσβύτην· τὴν ἀπόκρισιν. ἀγχίμαλος, τὸ σύνεγγος, καὶ τὸ μετολίγον. ἀγὼν, τὴν σπουδὴν· καὶ τὸν τόπον· καὶ τὸ ἄθροισμα. ἀγήνωρ. ὄνομα κύριον· καὶ τὸν ἀνδρεῖον· καὶ τὸν ὑπερήφανον. ἀγοράζειν τὸ ἐπ' ἐκκλησίαν λέγειν. ἀνὴρ τρία· τὸ σύνηθες καὶ τὸ σκότος καὶ ὁμίχλη. ἄγη, κατάγη. καὶ κατεπλάγη. ἀεθλεύειν τὸ ἀγωνίζεσθαι· καὶ τὸ ταλαιπωρεῖν. αἶσαν τὴν εἱμαρμένην· καὶ τὸ καθῆκον· καὶ τὴν μοῖραν. καὶ τὴν γνώμην· αἷμα β. τὸ γένος καὶ τὸ σύνηθες. ἀεὶ, τὸ διαπαντὸς· καὶ τὸ κατ' ἐνιαυτὸν· καὶ τὸ κατά τινα χρόνον συνεχῶς. ἄψ εἰς τοὐπίσω· ἢ πάλιν. αἰνῶς το δεινῶς. τὸ ἄκρως· τὸ οἰκτρῶς. αἶνος, ἔπαινον· γνώμην· παροιμίαν· πόλιν. αἰὼν, ὁ μυελός. ἡ ζωὴ· τὸ σύνηθες. αἰχμὴ β. τὴν ἐπιδορατίδα· καὶ τὴν μάχην. αἰόλον, τὸ ποικίλον· καὶ τὸ πολυκίνητον· καὶ τὸ κύριον. ἄκμενον, τὸ ἀκμαῖον· καὶ τὸ ἄγευστον. (in marg. σῆ παρὰ μαξίμῳ τὸ αἰόλον τὸ σημαῖνον κίνησις προπαροξυνόμενον παρὰ τὴν ἄελλαν. ἐξ οὗ καὶ κορυθαιόλος) αἴθοπα, τὸν θερμὸν· τὸν λαμπρὸν. τὸν πυρρὸν καὶ τὸν μέλανα· αγάσασθαι, θαυμάζειν· φρονεῖν· μεσεῖν. ἀγέρωχον, ἔντιμον· καὶ προύνεικον. ἀγαπήνορα, ἀγαπῶντα τὴν ἀνδρείαν καὶ ὄνομα κύριον, ἀγαυὸν, τὸ λαμπρόν· καὶ τὸ θαυμαστὸν· καὶ τὸ δεινὸν· καὶ τὸ μεγαλόφωνον. ἀίδηλον, τὸ ἀδηλοποιὸν· καὶ τὸ ἄξιον ἄδηλον γενέσθαι. ἀεῖραι, κουφίσαι· μετεωρίσαι· βαστάσαι· καὶ ἀπελᾶσαι. ἀεικέλιον. εὐτελὲς· σκληρὸν. ἀΐειν [1]). ἀκούειν· αἰσθάνεσθαι· γιγνώσκειν. αἰδεῖσθαι ἐντρέπεσθαι· καὶ ἐπιδέχεσθαι μετὰ αἰδοῦς. ἀκήριος, ἀψυχοποιὸς· ἢ ἄνευ θανατηφόρου μοίρας. αἶαν, ὄνομα πηγῆς· καὶ ἥρωος· καὶ τὴν γῆν. ἅζεσθαι. γ. ἐντρέπεσθαι· σέβεσθαι· ψιλῶς σημαίνει τὸ ξηραίνεσθαι. αμέγαρτον, β. τὸ ἐντελὲς καὶ τὸ ἄφθονον. ἀοιδὴν, ᾠδὴν. καὶ φήμην. ἀντικρὺ (in marg. αντικρῦ), ε· τὸ κατευθὺ. ἢ ἐξαναντίας· ἢ ταχέως· ἢ ὁλοσχερῶς, ἢ τὸ διαμπάξ. ἄατον, τὸ πολυβλαβές· τὸ αβλαβὲς τὸ βλαβερὸν· καὶ τὸ ἀπλήρωτον. ἀβληχρὸν, τὸ ἀβίαστον· καὶ τὸ ἀσθενές. ἀλιτεύειν, πλανᾶσθαι ἢ ἀπαιτεῖν. αἰχμητής· ὁ γενναῖος· ὁ μαχητής. αργαλέον, τὸ δεινὸν τὸ δυνατὸν· τὸ χαλεπόν. ἀεικὲς, τὸ δεινὸν· ἢ εὐτελές. ἀλκὴν, γ· δύναμιν· μάχην· βοήθειαν. αὐλὴν, τὸν σταθμὸν τῶν προβάτων· καὶ οἰκίαν· καὶ σπήλαιον. αἴνυσθαι, β· αἱρεσθαι καὶ συναθροίζειν. (in marg. καὶ ὄνομα τόπου·) ἀγχίαλον τὸ παράλιον, καὶ κύριον. ἀρτύειν, σκευάζειν ἐπιβουλεύειν· τελειοῦν. ἀμβροσία [2]), τὸ θεῖον βρῶμα· καὶ τὸ βρῶμα ἁπλῶς· καὶ τὸ ἡδὺ καὶ τὸ εὔοσμον, καὶ τὴν θείαν. αἰπὺ, γ· τὸ ὑψηλὸν, καὶ τὸ δεινόν· καὶ δύσαντες. ἀκουάζεσθαι, τὸ ἀκούειν καὶ αἰσθάνεσθαι. ἀκιδνότερον, τὸ ἀσθενέστερον· καὶ εὐτελέστερον; εὐμορφότερον. ἀμαιμάκετον, τὸ μέγα καὶ ἀκαταγώνιστον. ἀντιβολῆσαι, ὑπαντῆσαι· καὶ εἰς μάχην ἐλθεῖν. ἀκαχμένον, ἐστομωμένον καὶ ὀξυνόμενον. ἄκμονα, β· τὸ σύνηθες καὶ βάρος ἁπλῶς. ἀγκλῖναι, καὶ ἀνοῖξαι· ἀκέων, ἡσύχως καὶ ἡσυχάζων. ἀγανὸν τὸ προσηνές· καὶ τὸ ἀβίαστον· ἀλέα ἡ θερμασία. ἄρασθαι, λαβεῖν· τιμωρεῖσθαι, ἀντικαταλλάσσεσθαι. ἀστερόεις, ὁ ἀστέρας ἔχων καὶ ὁ λαμπρός. ἆλτο ἥλλατο· ὥρμησε. ἀφνειὸς ὁ πλούσιος· καὶ ὁ ἐκ τῆς ἀφνειτίδος λίμνης. ἀλόων [3])· β, ὀδυνώμενος· καὶ γαυριῶν. ἀκτὴ β· τὸ κάταγμα τοῦ ἀλφίτου καὶ ὁ αἰγιαλός· ἀχρεῖον, διαστρέψαι τὴν ὄψιν· καὶ τὸ μὴ ἑκουσίως. ἄμμορον, το κακόμορον· ἢ τὴν ἄμοιρον. ἀτρεκὲς, γ· τὸ μόνον, τὸ πολὺ τὸ ἀληθὲς ἀντιάζειν, β· τὸ μεταλαμβάνειν· ἢ τὸ ὑπαντᾶν. ἀπάλαμνος, ἄπειρος· ἢ ἀμήχανος. αἰρήσειν, λήψεσθαι. ἢ πορθήσειν.
[B] βέλος ε σημαίνει· τὸ ἐκ βολῆς τραῦμα· τὸ πᾶν ἐκ χειρὸς ἀφιέμενον· τὴν οδύνην· τὴν ἀκίδα· τὸ τοξικὸν βέλος. βρότος τὸ ἅμα κόνει αἷμα ἐκ πολέμου γινόμενον. βροτὸς, ἄνθρωπος φθαρτός. βωμὸς τὴν βάσιν ἁπλῶς· καὶ ἐφ' ᾧ θυσιάζομεν. βάλλειν τὸ ἀφεῖναι καὶ τὸ ἐπι-

---

1) Odyff. Σ, II. (Creuz.) 2) Apollon. L. H. p. 97. (Creuz.) 3) Apollon. L. H. p. 69. (Creuz.)

τυχεῖν. βῆσσαι, οἱ βάσιμοι τόποι· καὶ οἱ κοῖλοι· καὶ ὄνομα πόλεως. βίος. ζωή· οὐσία ὕπαρξις. βιὸς, τὸ τόξον. βοή. φωνὴ καὶ ἡ μάχη. βουληφόρος, βασιλεὺς ὁ ἡγεμών. βείομαι· βιώσομαι· ἐπιστρέψομαι. βοάγρια, ἀσπίδα ἐξ ὠμοβύρσου. βολὴ, ἄφεσις καὶ λαμπηδών. βράχε, ἤχησε· καὶ ἐκραύγασε. Γ γλήνη κόρη· καὶ κόρη ὀφθαλμοῦ καὶ κόσμου εἶδος. γλαφυρὴ, ποικίλη· καὶ πόλις Θεσσαλική. γούνατα, τὸ μέρος· καὶ ἡ δύναμις· καὶ ἀπὸ μέρους τὸ σῶμα. γόνος, ἡ γονή· καὶ ἡ ἐπιγονή· καὶ ἀπόγονος. γνωτὸν. τὸν ἀδελφόν· καὶ τὸν εὐγνωστον· γουνοῦσθαι τὸ λιτανεύειν· καὶ τὸν ἁπτόμενον τοῦ γόνατος. γέφυρα ἡ διάβασις καὶ τὰ ἔσχατα τοῦ πολέμου. γαστὴρ, ὅλον τὸ κύτος· καὶ τὰ ἔντερα. γράψας, τὸ σύνηθες· καὶ τὸ ξύσας. γραίας, τῆς πρεσβυτίδος· καὶ πόλεως Βοιωτίας. Δ δῖος, ὁ ἀπὸ τοῦ διὸς ἔχων τὸ γένος· καὶ ὁ ἀγαθὸς καὶ ἔνδοξος· καὶ ὁ μέγας καὶ πολιτής. δαιτρὸς ὁ μάγειρος καὶ ὁ μεγιστής. δῆμος ὁ ὄχλος· δημὸς ὁ ἐπίπλους· ἡ λίπος ἁπλῶς. δαφοινὸς, ὁ πυρρός· ὁ μέλας· ὁ φόνιος. δεινὸς ὁ φοβερός. δαίω τὸ καίω καὶ τὸ μερίζω. δεύεσθαι, βρέχεσθαι. δέεσθαι, ἐπιδεῖσθαι. δείλαιος ὁ ἄθλιος. δάμασον ὑπόταξον· πραῦνον φόνευσον. δόρυ, πᾶν ξύλον· καὶ τὸ ὅπλον. δαίμων, παρ' Ἕλλησι θεός· τύχη· εἱμαρμένη· θάνατος· ὁ κακοποιός· δεδμῆσθαι ἀποδομῆσθαι· καὶ ὑποτετάχθαι καὶ δεδαμάσθαι· καὶ ἀνῃρῆσθαι· καὶ τὸ τὴν γυναῖκα ὑπεζεῦχθαι. δειρὰ ὁ τράχηλος· καὶ τροπικῶς τὰ ἄκρα τῶν ὀρῶν. δίφρος τὸ ὄχημα· καὶ τὸ ἐφ' οὗ καθεζόμεθα. διερὸν, ὑγρόν. διατμῆξαι, διανύσαι· διαχωρίσαι. δεσμὸς τὸ σύνηθες καὶ ἧλος. διώκειν, ἐξωθεῖν· ταχύνειν καὶ μεταδιώκειν. δμωὸς ὑπηρέτης καὶ ὁ δοῦλος. δῆσαι, δεσμῷ περιβαλεῖν καὶ βλάψαι. δηιοτὴς, ἡ μάχη· ἡ ἐπισυμφορὰ ἡ προκηρυχθεῖσα. δαὶς ἡ εὐωχία· καὶ ἡ τροφή. διέπειν, κατορθοῦν· πράττειν· καὶ διέρχεσθαι· διαπρύσιον, ἀπὸ πέρατος ἐπὶ πέρας διεληλυθός· καὶ τὸ ἐξάκουστον. δύσασθαι, ἐνδύσασθαι, κατελθεῖν καὶ ὑπελθεῖν. δίνας συστροφὰς ὑδάτων· καὶ τὰ ἔντερα. [Ε] ἔνθα, ἐπίρρημα χρονικὸν καὶ τοπικόν. ἐρέων ζητῶν· λέξων ἀπαγγέλλων· φέρων. ἐπεὶ, γ' τὸ σύνηθες· καὶ τὸ ὅτε· καὶ ἀφ' οὗ. ἔρις ἡ φιλονεικία· καὶ δαίμων τίς. ἔργον τὰ γεώργια, περὶ τὴν ὥραν· καὶ τῶν γυναικῶν, περὶ τὸ ἔριον· καὶ ἡ ἐν πολέμῳ πρᾶξις. εὐχωλὴ, ἡ δεητικὴ εὐχή· καὶ τὸ καύχημα. ἔμπης, ὅμως· καὶ ὁμοίως. ἔρδειν, πράττειν, θύειν. ἔγχος, δόρυ· ξίφος. ἕ, αὐτόν· αὐτὴν, αὐτό. ἐπίστασθαι, τὸ κατ' ἐπιστήμην εἰδέναι· καὶ τὸ εἰδέναι ἁπλῶς· ἑταῖρος, συνεργός· φίλος. ἔρυματα ὀχυρώματα· στηρίγματα. ἑλεῖν· λαβεῖν ἄρξασθαι, καὶ συνυπακουομένου τῶν ἄλλων προθέσεων ἀνελεῖν, καθελεῖν· σημαίνει καὶ τὸ ἐκπορθῆσαι. ἐναρίζειν, φονεύειν. σκυλεύειν· ἀφανίζειν. εἴσασθαι, ὁμοιωθῆναι· φανῆναι· προσποιήσασθαι (in marg. εἴσασθαι corr. pro εἰκάσασθαι, quod est in contextu) διελθεῖν· ὁρμῆσαι· γνῶναι· δόξαι· ἅψασθαι· γενέσθαι εἰκασθῆναι. εὔχεσθαι, αἰτεῖσθαί τι δι' εὐχῆς· καυχᾶσθαι. εὐνὰς κοίτας ἀγκύρας. ἔβραχε, ἤχησε· ἐφώνησε· ἔλαμψε· ἔθελε· ἐβούλετο· ἐδύνατο· ἔθηκεν· ἐποίησε· ἀνέθηκε· ἐκάρπωσε. εὐθὺς ἐπευθείας ἐξεναντίας. εἶμι πορεύομαι. εἰμὶ τὸ ὑπάρχω. εἷσεν, ἵδρυσεν· ἡ ἕδρασε· ἐξ οὗ τὸ ἐκάθησε. εἴσω, ἔσω· ἀντὶ τῆς εἰς προθέσεως. εἵως, τὸ ἕως· καὶ ὅπως. ἐλάαν, ἐλαύνειν· κολατεῖν, πληροῦν. ἐλίσσετο, ἐστρέφετο ἐλιτάνευεν. [ωτῶν] ἐξερεείνων, ζητῶν· ἐρευνῶν (sic). ἐρίζειν, ἁμιλλᾶσθαι· ἐξισοῦσθαι. ἕρκος, τεῖχος· φράγμα· στόμα· ἀσφάλειαν· καὶ δικτύου εἶδος. ἕσπερος ἡ ὀψία· καὶ ὁ ἀστήρ. ἔται οἱ φίλοι· καὶ οἱ πολῖται· ἐντέλλεσθαι, προστάσσειν· ἀπειλεῖν· ἐπιταίνεν· ἀνεῖλκεν· παρετίθει· ἀνέτεινε. εὖρος, πλάτος· ἡ ἀπηλιώτης. εὖτε, ἡνίκα· καὶ καθάπερ. ἔχειν ἐπὶ τοῦ κρατεῖν τῇ χειρί· ἔγχος ἔχε· τάσσεται δὲ καὶ ἐπὶ τοῦ κτᾶσθαι· καὶ ἐπὶ τοῦ ἐλαύνειν· καὶ ἐπὶ τοῦ οἰκεῖν· καὶ ἐπὶ τοῦ συμβιοῦν· καὶ ἐπὶ τοῦ ἐπιμελεῖσθαι· καὶ ἐπὶ τοῦ κατέχειν· οὐκ ἔχε νήδυμος ὕπνος· καὶ ἐπὶ τοῦ δύνασθαι. ἑο, ἑαυτοῦ ἑαυτῆς· καὶ οὐδετέρως. ἐπάλυνεν· ἐλεύκανεν· ἀνέπασε. ἐκπάγλως, ἰσχυρῶς· φοβερῶς. ἔλαιον τὸ σύνηθες· καὶ τὸ μύρον. ἐστόρησε, ἔστρωσε· καὶ γαλήνην ἐποίησε. ἔθεεν ἔτρεχε, περιεῖχε. ἕθεν, ἑαυτοῦ. εἴρετο, ἠρώτα· ἡ ἔλεγεν. ἕλικας, τὰς ἑλισσούσας· καὶ κόσμιον τί. ἐσθλὰ, ἀγαθά· ἡ ἀκρόδρυα. ἔοικε, καθῆκ (sic) ἡ ὡμοίωται. ἐσεύοντο, ἐδίωκον ὥρμων· ἠκολούθουν· ἀπέβαιον. ἐλέγξαι, ἀτέλεστα ποιῆσαι· ἡ ὀνείδει περιβαλεῖν ἐστιχόωντο, διετάσσοντο εἰς μάχην· ἡ ἐπορεύοντο. ἔρρε· φθείρου· ἐφέπει· διοικεῖ· ἐκκλίνει· πλήσσει. ἐπηετανὸν[1] ἀδιάλειπτον· μέγα. ἕλος, ὁ κάθυγρος τόπος. ἐπαυρεῖν ἅψασθαι, καὶ ἀπολαύειν. ἐφύρη ἡ Κόρινθος· καὶ πόλις Θεσπρωτίας. ἔφθιτο, ἀνῃρέθη· ἀνήλωται. ἐέργει, χωρίζει· κατέχει· ἀποσοβεῖ. ἐπικάμψαι, ἐπικλᾶσαι· καὶ πεῖσαι. ἐέρση, δρόσος· καὶ τὰ νεογενῆ. ἐίσης ὁμοίας· ἰσοτοίχου· ἰσομοίρου. ἐσθίειν, τρώγειν· ἡ ἀναλίσκειν. ἑστίην· οἰκίαν. ἔμπεδον, ἀσφαλές· βέβαιον· ἀκίνητον. ἐλαφρὸς, κοῦφος· εὐκίνητος· καὶ πρᾶος. ἔρυσαι ἑλκύσαι. ἐγεῖραι, παρορμῆσαι, ἐξυπνίσαι· καὶ διεγεῖραι. ἐρωὴ, ὁρμή· ὑποχώρησις· καὶ παῦσις. ἀρχὴ τοῦ ζ. ζωή[2]), τὸ σύνηθες· καὶ ἡ περιουσία. ζόφος, ἡ δύσις· καὶ τὸ σκότος. ζυγὸς, τὸ ὑποζυγίων, τὸ ὑποτιθέμενον τοῖς τραχήλοις· ἐπὶ νηός· καὶ κιθάρας. ζώγρει, ζῶντα φύλασσε· καὶ ζωοποίει. ζῶμα, τὸ περίζωμα· καὶ ὅλος ὁ θώραξ. ζώνη· ζωστήρ· μίτρα· ὁ τόπος καθ' ὃν ζωννύμεθα. ζωστὴρ ὁ ἐπὶ τοῦ θώρακος χαλκός· καὶ ζῶμα· καὶ θώραξ. ζὰς, τὴν δαίμονα σημαίνει· καὶ τὸ λυκόφως· ἀπὸ ἀνατολῆς μέχρι μεσημβρίας· καὶ τὸν ἀνατολικὸν τόπον· καὶ τὸν ὄρθρον· καὶ τὸν μεσημβρινὸν τόπον τοῦ κόσμου· καὶ τὴν ἡμέραν· καὶ τὸ ταύτης φῶς. ἥβη, ἡ ἀκμὴ καὶ ὄνομα κύριον. ἦια[3]), ἄχυρα· ἡ ἐφόδια βρώματα. ἤλασε, τὸ σύνηθες· καὶ ἀπήλασε· ἔπληξεν· ἐχάλκευσε· ὤρυξεν· ᾠκοδόμησε· ἐποίησεν· ἐκωπηλάτησε. [Η] ἠλεκάτη ἐριουργικὸν ἐργαλεῖον· καὶ τὰ βέλη. ἡνίοχος, ὁ τὰ ἡνία ἔχων· καὶ κυβερνήτης. ἤπειρος[4]) ἡ γῆ ἁπλῶς, καὶ ἡ χώρα Θεσπρωτίας. ἠιόνες αἰγιαλοί· καὶ πόλις ἀχαϊκή. ἤνοπα, λαμπρὸν καὶ ὄνομα κύριον. ἥφαιστος ὁ δαίμων· καὶ τὸ πῦρ. [Θ] θαυμάζειν τὸ σύνηθες· καὶ τὸ θεᾶσθαι· θυμὸς, ε σημαίνει· ψυχὴν ὀργή· κίνημα· τινὸς ἐπιθυμίαν· ἐπιλογισμός· συνειδός. θῆβαι γ' τῆς βοιωτίας· τῆς κιλικίας τῆς αἰγύπτου. θὶς ὁ σωρὸς καὶ ὁ αἰγιαλός. θέλγειν, τέρπειν ἀπατᾶν καταπονεῖν. θέλειν τὸ βούλεσθαι καὶ τὸ δύνασθαι. θοὸν τὸ ταχύ· ὀξύ· ἀνδρεῖον· μέλαν. θρόον,

1) Respicit Odysseam Σ. 360. caeterum cf. Apollon. L. H. p. 360. adde Valken. opuscull. II. in scholiis Leidens. (Creuz.) 2) Odyss. XIV, 100. et 208. ibiq. Eustath. (p. 553. 44 Bas.) (Creuz.) 3) Odyss. B, 410. I. (IX.) 212. cf. Eustath. p. 95 seq. Bas. Apollon. Lex. Hom. p. 328. Schol. Harlej. p. 124. Lips. ibiq. Porson., qui altero loco (IX. 212. item dissyllabam esse dicit. (Creuz) 4) Odyss. A, 162. I, 90. cf. Apollon. L. H. p. 334. adde Odyss. Σ, 81.

φυτόν· πόαν· πόλιν. θεῖον, ποτὲ μὲν τὸ ὑπερφυές· ποτὲ δὲ τὸ εἶδος. θαλίη (in margine θαλία), ἡ νηρηΐδος ὄνομα· ἡ εὐφροσύνη καὶ τρυφή. θρῆνυς μέρος τῆς νηός· ᾧ ἐπιβαίνουσιν οἱ κυβερνῆται· καὶ ὑποπόδιον. θέρεσθαι, καίεσθαι· θερμαίνεσθαι. θελκτήριον, ἐν ᾧ τις θέλγεται καὶ τέρπεται. θάλαμος, ἡ οἰκία ὅλη· καὶ οἶκος εἷς. θαμίζειν· πυκάζειν· συνεχές τι ποιεῖν· θέμις ἡ δαίμων καὶ ἡ δικαιοσύνη. Ἶρις ἡ δαίμων· καὶ ἡ ἐν ταῖς νεφέλαις. [I] ἰάλλειν, ἐκτείνειν· καὶ ἐκπέμπειν· περιτιθέναι· προβάλλειν. ἵκω, ἱκετεύω παραγίνομαι. ἰαίνεσθαι, χαίρειν· ἥδεσθαι. ἰαὴ, φωνή· πνοὴ, φλόξ. ἴθι πορεύου· παραγίνου· ἴον, τὸ ἄνθος τὸ μέλαν. ἴς, νεῦρον· δύναμις. ἴσαν, ἐπορεύοντο· ἐγίνωσκον. ἶσον, ὅμοιον· ἐξίσου· καὶ κατὰ σύγκρισιν· ἴφθιμος, ἰσχυρόψυχος· καὶ δυνατός. ἰαχεῖν, βοᾶν· ἠχεῖν. ἱέμενος· προθυμούμενος· ὀρεγόμενος. ἰμὰς, ὁ λῶρος. ἰαύειν, κοιμᾶσθαι· ἐπαυλίζεσθαι· ἶφι, ἰσχυρῶς· προηγουμένως. ἰκρίου, τὸ ξύλον τῆς νηὸς ἀφ' οὗ αἱ σανίδες προσαρμόζονται· ἢ τὸ κέρας ἢ αὐτὸς ὁ ἱστός· (in marg. κ) κρείων ὁ βασιλεύων· ἢ ὁ ἀφηγούμενος τῶν οἰκετῶν· ἢ κύριον, κρέων πλεονασμῷ· ἢ τὸ κρεοδόχον ἀγγεῖον. κρήδεμνον, ἐπὶ τῶν ὧν τὸ πῶμα, τὸ περὶ τὸν πίθον· ἢ τὸ περίβλημα τῆς κεφαλῆς. κῶπαι αἱ λαβαὶ ξίφους· ἢ μαχαίρας ἢ ἄλλου τινος· καὶ αἱ τῶν ἐρετῶν· καὶ πόλις τίς. κύμβαχος, ὁ ἐπὶ κεφαλῆς κείμενος· καὶ ὁ λόφος τῆς περικεφαλαίας. κλῆρος, ὁ βίος· τὸ λαχεῖν· αἱ ψῆφοι. κόσμος, ἐπὶ τοῦ ἐντάξει τῇ πρεπούσῃ, κατὰ κόσμον· ἔειπες· καὶ ἐπὶ τοῦ διακόσμου· καὶ ἐπὶ τῶν κοσμίων· καὶ τὸ σύνηθες. κήδειν καὶ κήδεσθαι· λυπεῖν καὶ φροντίζειν· καὶ φιλεῖν· καὶ συγγένειαν ποιεῖσθαι. καμεῖν, κοπιᾶσαι· κατασκευάσαι· θανεῖν. κεῖται, τὸ σύνηθες· καὶ τὸ ἔστι. καρπὸς ἡ τροφή· καὶ τὸ ἄκρον τῆς χειρός. κορώνη, τὸ ζῶον· καὶ τὸ ἄκρον τῆς νηὸς τὸ ἐπικαμπές. κνίσσα, σημαίνει τὸν ἀτμὸν, καὶ τὴν ὀσμήν. κληΐδα, τὴν ἐν τῷ ὤμῳ· καὶ τὴν τῆς θύρας· καὶ τὴν καθέδραν τῶν ἐρετῶν. κακὸς ε σημαίνει· τὸν ἀντικείμενον τῶν ἀγαθῶν· τὸν δειλόν· τὸν ἄφρονα· τὸν ἄμορφον· τὸν κακωτικόν. κλιντῆρ, σκιμπόδιον· ἔπαυλιν. κλύειν, ἀκούειν· αἰσθάνεσθαι (sic). κούρους τοὺς ἄρρενας παῖδας· τοὺς ἀκμαίους· τοὺς νεανίας· τὰ νήπια. κούρη, θυγάτηρ· ἀκμαία· νέα τινὲς παλλακή. κυάνεον τὸ χρῶμα· καὶ τὸ μέλαν. κῆρ ἡ ψυχὴ περισπωμένως, καὶ κὴρ ἡ θανατηφόρος μοῖρα ὀξυτόνως. κεράσαι, μῖξαι. προχέαι. κῆλα, βέλη· σημεῖον. κῆρυξ ὁ συγκαλῶν τὰ πλήθη· καὶ ὑπηρέτης. κλέος, φήμη· δόξα κληδών· κλῖναι τὸ εἰς κλίσιν ἀγαγεῖν· καὶ τὸ καλύψαι. κλεῖσαι· ἀσφαλίσαι. κομίσαι, θρέψαι, ἐπιμελείας ἀξιῶσαι· θεραπεῦσαι· ἀνελέσθαι. κόνις, ἡ γῆ· ὁ κονιορτός· ἡ σποδός· τὸ λεπτὸν χῶμα. κόπρος, τὸ βουστάσιον· καὶ τὸ κόπριον. κορύσσεσθαι, ὁπλίζεσθαι· αὔξεσθαι· μετεωρίζεσθαι. κουρῆτες, ἔθνος. κρῖναι· δικάσαι· διατάξασθαι. κύσαι, φιλῆσαι· προσκυνῆσαι. καθεύδειν· κοιμηθῆναι· ἢ κατακλιθῆναι· κελαρίζειν, ψοφεῖν, ἢ καταρρεῖν κάρηνα, κεφαλὰς, ἢ ἀκροπόλεις. κλαγγὴ, ψόφος· ἢ φωνὴ ἄσημος. κικλήσκειν· παρακαλεῖσθαι (μετα)· καλεῖν· ὀνομάζειν. κόλπος, τὸ μέρος τοῦ θώρακος· καὶ τοῦ χιτῶνος. καὶ τῆς θαλάττης. κασίγνητος, ἀδελφὸς, ἀνεψιός. κέλαδος, ὁ πόλεμος· καὶ φωνῆς εἶδος τι γινόμενον ἐν ταῖς κυνηγίαις. κεκορυθμένος, ὡπλισμένος ἐστομωμένος. κωφὸν, ἀδρανές· ἢ τὸ ἀναίσθητον· ἢ τὸ μὴ κινούμενον ὑπὸ ἀνέμου. κιχήσατο, εὗρεν· ἢ κατέλαβεν (corr. pro κατέβαλεν). (in marg. λ). [Λ] λέξασθαι, κοιμηθῆναι· κατακλιθῆναι· ἐκλέξασθαι· διανοηθῆναι· διαλεγεσθαι [1]). λέβης τὸ μαγειρικὸν ἀγγεῖον· καὶ τὸ χέρνιβον καὶ τὸ χέρνιπτον. λιαρὸν, χλιαρόν· ἡδύ· λαμπρόν. ληΐζεσθαι, κακοποιῆσαί τι, ἢ κτήσασθαι. λιπαρὸν, τὸ εὔσαρκον· καὶ τὸ δι ἐλαίο· καὶ τὸ πολυτελές· καὶ τὸ πλούσιον. λώβη [2]), αἰσχύνη· ψεῦδος· ὕβρις· τιμωρία. λευγαλέον, δίυγρον· ἐλεεινόν (α)· ὀλέθριον. λιγὸς, ὀξὺς τῇ φωνῇ· ἢ δυστυχής. λίμνην, τὴν θάλασσαν· τὸν ὠκεανόν· καὶ τὸ σύνηθες. λόχος, ἡ ἔνεδρα· καὶ τάξις πολεμική. λυκίαι, β· τῆς μὲν γὰρ σαρπηδών· τῆς δὲ, πάνδαρος ὑπῆρχε. λᾶαν, λίθον. λεπτὴ, ἰσχνή· καὶ ἀσθενής· βαθεῖα· στενή. λεύσσειν, βλέπειν· βουλεύεσθαι. λευκὸν τὸ κεχρωσμένον· καὶ τὸ διαυγές. καὶ τὸ καθαρόν· καὶ τὸ σαφές. Μ μολπὴ, ᾠδή· παιδιά. μῆτις, (in margine μ) ἡ, βουλὴ, μαίνεσθαι, ἀφραίνειν· καὶ ὀξέως πολεμεῖν. μάργος, ἄφρων καὶ ἀκόρεστος. μενεαίνειν, λειποψυχεῖν· ἢ προθυμεῖσθαι· ἢ χολοῦσθαι. μήδεα, βουλεύματα· ἢ τὰ γεννητικὰ μόρια. μέγα τὸ καθ' ἑαυτό· μέγα, καὶ τὸ μεγάλως· καὶ τὸ κατὰ ἡλικίαν ἐξαίρετον. μοῖρα [3]) δ εἱμαρμένην· τὸ κατῆκον· ἡ μερίς· ἡ δαίμων. μάρτυροι, τὸ σύνηθες καὶ ἔφοροι. μάρπτειν, καταλαμβάνειν· ἐπιβαίνειν· κατέχειν· πλήττειν· βλάπτειν· διαφθείρειν. μάστακα, τὴν τροφὴν τὸ στόμα. μένος, δύναμιν· ὀργήν· ῥεῦμα θυμόν. μεσόδμη [4]), ἡ μέση στέγη· καὶ τὸ μέσον τοῦ πλοίου. μὶν, αὐτόν· αὐτήν· αὐτὸ μύρεσθαι· ὀδύρεσθαι· χεῖσθαι. μὴ, ἀπαγόρευσις· καὶ ἀντὶ τοῦ οὐ. μιᾶναι, βάψαι· μολύναι· χρᾶναι. μάστιγξ, τὸ σύνηθες, καὶ ἡ βλάβη. μάλα, λίαν· ὄντως. μέδων ὁ βασιλεύς· καὶ κύριον. [N] νηπιος, ὁ καθ' ἡλικίαν ἄφρων· ἄπειρος. νοστος ἡ ἀνακομιδὴ ἁπλῶς, καὶ ἡ εἰς τὸν ἑκάστου οἶκον ὑποστροφή. ναίειν, οἰκεῖν, πληθύειν. νέμειν, βόσκειν· διδόναι. νεικεῖν, ὀνειδίζειν, μέμφεσθαι· ἐπιπλήσσειν· φιλονεικεῖν. νύμφη ἡ νῦν συναπτομένη· καὶ ἡ νέα. καὶ ἡ ναΐς. καὶ ἡ θεά· νυμφίος, τὸ σύνηθες· καὶ ὁ νέος. νεῖκος ἡ φιλονεικία· καὶ ἡ νίκησις. νύσσα σημαίνει, τὴν ἀφετηρίαν· καὶ τὸν καμ(π)τῆρα. νέμεσθαι· κατοικεῖν· βόσκεσθαι· νοσφίζεσθαι· χωρίζεσθαι. νασσεσθαι, κατοικεῖν· καὶ ἀποδιδόναι. νέμεσις, μεμψις ἢ φόβος. νήιον τὸ ναυπηγικὸν ξύλον. νῆσαι· σωρεῦσαι· ἢ ναῦς πληρῶσαι. [Ξ] ξένος, τὸν ἀλλοδαπῆ· καὶ ἔπηλυν· καὶ τὸν φίλον· καὶ τὸν ξενίζοντα· καὶ τὸν ξενιζόμενον. ξυνέηκε, συνέβαλε· συνῆκε. [O] ὀνόσθαι [5]), μέμψασθαι· καὶ ἐκφαυλίσαι. ὅπλα σχοινία· καὶ τὰ πολεμικὰ ἐργαλεῖα· καὶ τὰ τεκτονικά· ἢ χαλκευτικά. ὄσσα, ψιλῶς, ἡ κληδών· καὶ ὄνομα ὄρους θεσσαλίας· δασέως δὲ, ὅσα, ἡλίκα. ἀφρὸς (ὁ), κυρίως τὸ ἀρωτήριον. οὖλον [6]) ε· τὸ μαλακὸν τὸ ὀλέθριον· τὸ ἑλικτόν· τὸ ὑγιές· τὸ ὅλον οὐδὸν, βατῆρα. ὀφέλλειν, αὔξειν. ὄαρος, ὁμιλία,

---

1) Odyſſ. T. 385. (Creuz.) 2) Odyſſ. 373. (Creuz.) 3) Euſtath. ad Odyſſ. Ξ, 448. (p. 552. 37 ſqq. Baſil.). (Creuz.) 4) cf. Apollonii lex. Hom. p. 454. ubi Apion citatur cf. ibid. Interprett. Illud ἡ μεση στεγη pertinere videtur ad locum Odyſſ. XIX, 37. (Creuz.) 5) Odyſſ. P, 378. ibiq. notat. (Creuz.) 6) Odyſſ. P, 343. ibiq. notat. (Creuz.)

ἡ γυνή. ὀπάζειν, τὸ περιπατεῖν· τὸ διδόναι· τὸ ἐξόπισθεν διώκειν. προχειρίζεσθαι, καταλαμβάνειν· ἐπείγεσθαι· ὀρέξασθαι, ὁρμῆσαι, ἅψασθαι. οἰκῆες, τοὺς κατὰ γένος προσήκοντας· σημαίνει δὲ καὶ τοὺς οἰκέτας. οἴμη, ᾠδή· ὅθεν προοίμιον· καὶ ἡ ῥάβδος· ἢ κύκλος τῆς ἀσπίδος· καὶ ἡ ὁρμή. ολοὸν, ὀλέθριον· δεινὸν σκληρόν. ὀνείατα, βρώματα· ἢ χρήματα. ὀχεὺς [1]), ὁ δεσμὸς καὶ βάλανος τῆς κλειδός. οἴομαι, νομίζω· προσδοκῶ, πέπεισμαι· ὀλοφύρεσθαι· θρηνεῖν ἢ θέλειν. ὀροθύνειν διεγείρειν· ἢ διαταράσσειν· ὁμοκλῆσαι, ἀπειλῆσαι· ἐπιπλῆξαι. ὁδὸς, τρίβος· ἢ πλοῦς in marg. π). [Π] προπάροιθε, τοπικὸν ἢ χρονικόν· πυκινόν· ἀσφαλές· συνετόν· ἐπιμελές. πάσσε, καταλεπτὸν ἐπέβαλε· καὶ ἐποίκιλε. πλαγχθῆ, απεκούσθη· ἐπλανήθη. πέφανται, πεφόνευται καὶ πεφανέρωται. πλάζειν, πλανᾶν, πλέσσειν· πελάζειν· πιφάσκειν, λέγειν· μηνύειν· καὶ τὸ φαίνειν. πάλιν, εἰς τουπίσω· καὶ επι το ολίγον (in marg. το ἐπολίγον) ἀποκλίνειν τὴν ὄψιν· καὶ εἰς τὸ ἐναντίον. παρήιον, τὸν κόσμον των ἵππων, ὃν παρασιαγονῇ κατέθεσι. πάλλειν, κραδαίνειν· κινεῖσθαι. παρήορος, παρεζευγμένος, ἢ μετέωρος, ὅτε ἐπὶ γῆς εἰς μῆκος ἐκτεταμένος. πέπονες, ἀγαθοί· φίλοι. πόσις τὸ πινουμενον· καὶ ὁ ἀνήρ. πινάκιον, πίναξ· ἡ σανίς. ποταμὸς δύο· τὸ ὑγρὸν καὶ ὁ τόπος. πρῆσαι, φυσῆσαι· ἀναβάλλειν, φλέξαι. πύργος το σύνηθες· καὶ ἡ τάξις· καὶ το τεῖχος. πρόχνυ, ἐπὶ γόνυ· ἢ παντελῶς· πόνος ἡ πρᾶξις καὶ ἡ ἀλγηδὼν καὶ ἡ κακοπάθεια. πτύχες, αἱ αποκλεισεις τῶν οὐρανῶν· καὶ τὰ τῆς ἀσπίδος ἑλίγματα. παρείπῃ, παραμυθήσεται· παραλογίσεται. παρφάσθαι παραλογίσασθαι, ἢ παραμυθήσασθαι. [Ρ] ῥῆξαι· θῦσαι· πρᾶξαι· διαθῆναι· ποιῆσαι. ῥινὸς, της ῥινὸς, ἡ βύρσα. ῥυτῆρας, τοὺς ἕλκοντας, ἢ τους φύλακας· ἢ τοὺς τοξότας. ῥίγιον, ποτὲ μὲν τὸ φοβερόν· ποτὲ δὲ τὸ ψῦχος. [Σ] σημαινειν, μηνυειν· προστάσσειν. σταθμὸς, ἡ ἐπ' ἀγροῦ οἴκησις· καὶ τῆς θύρας ἡ φλιά· καὶ τὸ ἐν τοῖς ζυγοῖς καὶ ἡ ἔπαυλις. σκῶλος ῥάβδος κεκαμμένη· καὶ ἄκανθα· καὶ πόλις Βοιωτίας. σταφυλὴ ὁ καρπὸς καὶ τὸ τεκτονικὸν ἐργαλεῖον. σκοπὸς, ὁ κατάσκοπος· καὶ ἐφ' ᾧ τὰ βέλη πέμπεται· καὶ ὁ τὰ γινόμενα ἐπισκοπούμενος. σπουδῇ, τὸ ταχέως ἢ μόλις. σπεῦται ὁρμᾶται· διορίζεται· ἵσταται· διανοεῖται. σκηριπτόμενος, σκήπτρῳ ἐπερειδόμενος· ἢ ἁπλῶς ἐπερειδόμενος (in codic. suprascr. στηριζόμενος) σῆμα, σημεῖον, ἢ τάφον. στυγεῖ, μισεῖ, εὐλαβεῖται στυγνάζει· καταπλήσσεται σχεδόθεν, ἐγγύς· παραγώγως καὶ τὸ ἐγγύθεν. σχέτλιος, ὁ κακοποιός· ἢ ὁ ἀγνώμων. ἢ ὁ ἰσχυρόψυχος· ἢ ὁ δυστυχής· ἢ ὁ ἀμνήμων. σύριγξ τὸ μουσικὸν ὄργανον· καὶ ἡ δορατοθήκη. σῦν, τὸν χοῖρον. σπέρχεσθαι, σπεύδειν· ὀργίζεσθαι. τέλος, τάξις· πέρας· πρᾶγμα. [Τ] τηλύγετος, ὁμογενής [2]). τίσαι· τιμωρῆσαι· τιμῆσαι. ταρσὸς τὸ ἴχνος· καὶ ὁ ποιμενικὸς τάλαρος· ἤγουν ὁ καλαθίσκος τῶν ἐρίων· καὶ ἐν ᾧ, τὸ γάλα σκευάζεται. τάφος, ε· νῆσος τῶν ἐχινάδων· ἢ ἔκπληξις· τὸ περίδειπνον· ὁ ἐπιτάφιος ἀγών· καὶ συνήθως τὸ μνῆμα. τόφρα, ε· ἐν τοσούτῳ· ἕως· ἡνίκα· καὶ ἀντὶ τοῦ ὄφρα. τάμνειν, διαχωρίζειν· ἢ τέμνειν. τιτύσκεσθαι [3]), τὸ παρασκευάζεσθαι πρός τι· καὶ τὸ διασκέπτεσθαι πρὸς τὸ εὐστοχῆσαι· καὶ τὸ καταστοχάσασθαι. [Υ] ὕπνος, ὁ σωματοειδὴς (sic) θεός. καὶ ἡ ἐνέργεια καὶ μεταφορικῶς ὁ θάνατος. ὕλη, ὁ σύνδενδρος τόπος· τὰ ξύλα καὶ ὄνομα πόλεως. ὑπέρεια, ὄνομα κρήνης· καὶ ἀρχὴ Φαιάκων. ὑπερφιάλους, ἐνδόξους καὶ μεγάλους· καὶ ἀδίκους· καὶ ὑπερηφάνους. ὑπερηνορέοντες, οἱ περὶ τὸ καθῆκον ἀνδριζόμενοι. [Φ] φίλος, κυρίως ὁ ἐρῶν· καὶ ὁ ἐρώμενος· καὶ ὁ προσφιλής· καὶ ὁ οἰκεῖος. φοίνιξ, τὸ δένδρον, καὶ ὁ καρπὸς καὶ ὄνομα κύριον· καὶ τὸ πυῤῥὸν χρῶμα. φυτεύειν καὶ ἐπὶ τοῦ συνήθους· καὶ ἐπὶ τοῦ σκευάζειν. φόβος, τὸ σύνηθες· ἡ φυγὴ καὶ ὁ Ἄρεως παῖς. φάρμακον, ἡ βοτάνη· καὶ ὁ σύνθετον· καὶ τὸ καθαῖρον, καὶ τὸ κακοῦντα ἡ μορφάς· καὶ τὸ δηλητήριον. φράσασθαι, ἰδεῖν· συμβουλεύσασθαι. [Χ] χορὸς, σημαίνει δ· τὸ χορεύειν· το ἄθροισμα· τὸν τόπον· τὸ συνέδριον. χαλεπὸν δεινόν· ἢ ἀδύνατον. χθιζὸν, χθεσινόν· ἢ ὑπόγυιον. χάρμη, χαρά· μάχη. χωρὶς, ἰδία· καὶ ἀντὶ τοῦ καὶ συνδέσμου (corr. videtur συνδεσμον). ὃν ἄρθρον ὑποτακτικόν· καὶ ἀντωνυμία. ὧδε ἀντὶ τοῦ ἐνταῦθα· καὶ ἀντὶ τοῦ οὕτως.

---

1) Odyss. φ. 47. Apollon. L. H. p. 520. et praesertim Eustath. ad l. c. (pag. 747. 33 sqq. ed. Bas.) (Creuz.) 2) vid. Apollon. lex. Homer. p. 646 seq. ibiq. Villoison. ab eoque laudatum Philemonem Gramm. mscr. De hoc vide Bast. ad Greg. Corinth. (Creuz.) 3) Apollon. L. H. p. 649 seq. ed. Toll. adde Odyss. φ. 48. (Creuz.)

ΩΡΙΩΝΟΣ ΤΟΥ ΘΗΒΑΙΟΥ.

Αγαθὸν, παρὰ τὸ ἄγαν θέειν ἡμᾶς ἐπ' αὐτό· ἄποινα δῶρα· ἄφοινά τινα τὰ ὑπεξαιρούμενα τὸν φονέα, τοῦ ἐγκλήματος Cod. ἐγλήματος)· ἄνθος, παρὰ τὸ ἄνω θεῖν· ὅ ἐστι τρέχειν ἐν τῇ αὐξήσει· ἄναξ, ὁ τὴν ἄνω τάξιν ἔχων· ἀνατάναξ· καὶ ἐν συνκοπῇ ἄναξ. αἰγιαλὸς παρὰ τὸ τὴν ἅλα ἐκεῖ ἀγνυσθαι· ἄξαι γὰρ τὸ κλᾶσαι. ἀσκὸς ἀοχὸς τὶς ὢν ὁ ὑγιὴς, καὶ μὴ ἐσχισμένος· κατα τροπὴν τοῦ χ, εἰς κ· ἀσκηθὴς ὁ ὑγιής· καὶ ἀβλαβής· ἄνηθον, παρὰ τὸ ἄνω θεῖν διὰ τὴν ἐν τάχει αὔξησιν· ἄμπελος παρὰ τὸ ἄνω πελάζειν· ἀνάπελος τὶς οὖσα· ἄνεμος, ἄνεμος τὶς ὢν κατταμετάθεσιν στοιχείου ὡσανεὶ οὐκ ἠρεμῶν οὔτε ἐν αὐτῷ μένων· ἀεί· αὐλὸς, παρὰ τὸ ἄνω [1]), τὸ πνέω· καὶ πλεονασμὸς τοῦ υ· αὔρα, παρὰ τὸ ἀὴρ ἄρα· ὡς παρὰ τὸ ξυστὴρ, ξύστρα· καὶ πλεονασμὸς τοῦ υ αὔρα· ἄγγελος, παρὰ τὸ ἄγω ἄγελος καὶ ἄγγελος· ἄχος, παρὰ τὸ μὴ διαχεῖσθαι ἀλλὰ συνέχεσθαι τὴν ψυχήν· ὅθεν τὸ χαίρειν εὕρηται παρὰ τὸ διαχεῖσθαι ὑπὸ τῆς ἡδονῆς καὶ χαρᾶς. ἀπηνὴς, ὁ ἄπωθεν τοῦ αἰνεῖσθαι. ὡς ἐκ τουναντίου προσηνής· ὁ ἐγγὺς ὢν τοῦ αἰνεῖσθαι· καὶ ἐν αὐτῷ τυγχάνων. ἀτρεκὲς, τὸ ἀληθές· ὁ οὐδεὶς παρατρέχει εὖ φρονῶν· ὅθεν Δωριεῖς ἀτρεχὲς λέγουσιν. ἀμφισβητεῖν φιλονεικεῖν· παρὰ τὸ χωρὶς βαίνειν· ὅ ἐστι συμφώνων (corr. in Cod. m. recent. ὅ ἐστι ἀσυμφωνεῖν)· ἄρουρα ἡ γῆ· παρὰ τὸ ῥοῦν, ἢ παρὰ τὸ ἀραιοῦσθαι τὴν γῆν τὴν γεωργουμένην. ἀγέρωχος, ὁ ἄγαν αὐχῶν· ἢ ὁ ἄγαν περοεχῶν (corr. in Cod. m. rec. ὑπερέχων)· ὡς εἶναι τὸ α ἐπιτατικόν. ἀμαζὼν ἡ μὴ μάζαις χρωμένη· ἀλλὰ κρέασιν· ἢ ὅτι τὴν μίαν θηλὴν τὴν δεξιὰν ἐνέκαιον· ἵνα μὴ ἐμποδίζωνται τοξεύουσαι· αἰπόλος ἤτοι ὁ αἰγοπόλος· ἢ ὁ περὶ τὰ ἔπη εἰλούμενος· ἤτοι τὰ ὄρη. ἀτασθαλία, ἡ ἀδικία· παρὰ ἐν τῇ ἄττῃ ἤγουν τῇ βλάβῃ θάλλειν· ὡς παροινία, ἡ περὶ τὸν οἶνον ἀταξία· ἀράχνη παρὰ τὸ ἀηρχριχᾶσθαι· ἢ παρὰ τὸ ἀραιὰ ἴχνη ἔχειν, ἤγουν λεπτά· ἀρὰ παρὰ τὸ αἴρεσθαι τὰς χεῖρας (corr. χεῖρας) εὐχομένους· ἄκος ἡ θεραπεία, κυρίως τὸ τῷ σιδήρῳ θεραπεύειν· ἔνθεν καὶ τὸν ἰητρὸν, ἀκέστην Φρύγες καλοῦσιν. ἄφνω παρὰ τὸ ἀφανὲς ἀφανῶς. ἀστράγαλος παρὰ τὸ ἀστραβῆ καὶ ὀρθὴν φυλάσσειν τὴν βάσιν. αὖος ὁ ξηρός· κατὰ στέρησιν τοῦ ὕεσθαι· ὁ εἰς αὖσιν καὶ καῦσιν ἐπιτηδεῖ. ἀγλάα παρὰ τὴν αἴγλην τὰ λαμπρὰ· ἐφ' οἷς τὶς ἀγάλλεται ἢ λαμπρύνεται. ἄλγος, παρὰ τὸ ἀλέγω τὸ φροντίζω· οὗ ἄν τις ἀλέγει· ὅ ἐστι φροντίζει. ἀγορὴ παρὰ τὸ ἀγείρεσθαι· ἢ παρὰ τὸ ἀγορεύειν ἐν αὐτῇ· αἰδοῖα παρὰ τὴν αἰδῶ· καὶ γὰρ γυμνάσαι ταῦτα ἢ ὀνομάσαι αἰδούμεθα· ἄνθρωπος παρὰ τὸ ἄνω ἀθρεῖν ἢ παρὰ τὸ ἔναρθρον (Cod. ἔναθρον) ἔχειν τὴν ὄπα· τουτέστι φωνήν· γραφομένη καὶ νοουμένη. ἀνὴρ, παρὰ τὸ ἀνῶ ὅ ἐστιν ἀνύσω· ἀγασάμενοι, παρὰ τὸ ἀγάζω τὸ θαυμάζω· ἀλκυὼν παρὰ τὸ ἐν ἁλὶ κύειν· ἄγχειν παρὰ τὸ ἄγω· πλεονασμῷ τοῦ χ· τί γάρ ἐστι τὸ ἄγχειν, ἢ τὸ ἄγειν καὶ συνάγειν τὸν λάρυγγα. ἀρτηρία, ἤγουν ἀερο-τηρία τὶς οὖσα παρὰ τὸ ἔχειν τὸ πνεῦμα καὶ τηρεῖν. ἀντίχειρ ἤτοι ἀντίκειται τῇ ὅλῃ χειρί· ἀργοὶ γὰρ εἰσὶν οἱ ἄλλοι, χωρὶς αὐτοῦ· ἀλλότριος, πλεονασμῷ τοῦ τ· ἀλλοόριος· οἷον ἄλλων ὁρίων ὤν· αἰσχρὸς παρὰ τὸ αἶσχος· αἰσχηρός· καὶ ἐν συνκοπῇ (Cod. συγκοπῇ) αἰσχρός· ἀνία ἡ λύπη, ἀνίατος τὶς οὖσα, ἢ δυσχέρως ἰωμένη· ἀκριβὴς παρὰ τὸ κρύβω ἀκρυβής· καὶ τροπῇ τοῦ υ εἰς ι ἀκριβής· ἄπειρος, εἴτε ὁ μέγας εἴτε ὁ ἀμαθής· καὶ τὸ μὶν, παρὰ τὸ πέρας, μὴ ἔχειν· τὸ δὲ, παρὰ τὴν πεῖραν· ὁ μὴ ἔχων πεῖραν λόγων καὶ μαθημάτων. ἀλάστωρ ὁ ἀσεβής· ὁ Ζεὺς ὁ ἐποπτεύων τοὺς τὰ ἄλλαστα καὶ χαλεπὰ ἐμποιοῦντας· ἀστὴρ ὁ μὴ στάσιν ἔχων· κυρίως ἐπὶ τῶν πλανήτων· καταχρηστικῶς ἐπὶ τῶν ἀπλανῶν. αἰθὴρ παρὰ τὸ αἴθεσθαι· πυρώδης γὰρ ὁ τόπος. ἀμβροσία, ἡ τῶν θεῶν τροφή· ἧς βροτὸς οὐ μετέχει. ἀγγεῖον ἀπὸ τοῦ διάγειν τὶ δι' αὐτοῦ· ἀχλὺς, ἀπὸ τοῦ τὰς ὄψεις ἡμῶν ὀχλεῖν· καὶ λυπεῖν· ἀριστερὰ κατ' εὐφημισμόν· ὅθεν καὶ ἡ εὐώνυμος· ὡς δὲ φόβος φοβερὸς, οὕτως ἄριστος ἀριστερός. ἀδελφοὶ, παρὰ ἐκ τῆς αὐτῆς δελφύος· ἤγουν μήτρας· αὐχὴν παρὰ τὸ ξηρὰ εἶναι· καὶ ὀστώδη, αὐχμὴν γὰρ ὤν. ἀγρυπνία, κατα πλεονασμὸν τῶν συμφώνων· τοῦ γ [2])· τοῦ ρ οἷον, ἀϋπνία· ἀμφίβληστρον, παρὰ τὸ βλῶ βλήσω· βλήτρον· καὶ πλεονασμῷ τοῦ σ. ἅμαξα ἐκ τοῦ ἄγω, ἄξω· ἄξα· καὶ ἐν συνθέσει ἅμαξα· ἀθήνη παρὰ τὸ θήσω μέλλοντα δηλοῦντα τὸ θηλα(ω (sic)· καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν, θήνη· καὶ μετὰ τῆς στερήσεως ἀθήνη· καὶ ἐξ αὐτοῦ ὄνομα ἀθήνη· ἐμφαντωρ (m. rec. corr. ἀμήτωρρον) ἡ θεός· ὡς παραδέδοται· ἄρτος παρὰ τὸ αἴρειν ὅ ἐστι προσφέρειν· ἀκόλαστος, ὁ μὴ κολάζων τὴν ἐπιθυμίαν· κυρίως ἀπαίδευτος. ἀλέκτωρ παρὰ τὸ λέγω τὸ σημαῖνον τὸ κοινῶ· λέκτωρ· καὶ ἐν συνθέσει ἀλέκτωρ· ἀγρυπνητικὸν γὰρ τὸ ζῶον· αἲξ παρὰ τὸ αἴσσω τὸ ὁρμῶ· ὁ μέλλων αἴξω· ἀποβολῇ τοῦ ω καὶ συναλοιφῇ. αἴξ· ὁρμητικὸν γὰρ τὸ ζῶον. αἷμα παρὰ τὸ αἴθω τὸ καίω· θερμὸν γάρ· ἀληθὴς, παρὰ τὸ λήθω· τὸ μὴ λήθῃ τοῦ δικαίου πίπτοντος· ἀχιλλεὺς ἤτοι ὁ γενόμενος ἄχος τῇ μητρί· ἢ ὁ μεταχιλοῦ μετασχών· χιλὸς δὲ, ὁ δημητριακὸς καρπός· φασὶ γὰρ αὐτὸν παρὰ χείρωνι μυελοῖς καὶ κρέασι τρέφεσθαι. ἀτρεὺς, παρὰ τὸ τρέω τὸ φοβοῦμαι· τρεύς· ὡς παρὰ τὸ τρέφω τροφεὺς, καὶ κατὰ στέρησιν ἀτρεύς· τουτέστιν, ἄφοβος· ἕρμα παρὰ τὸ αἴρω ῥῆμα.

---

1) alter codex: ἄω. 2) alter Cod. τοῦ τ.

ἀρχὴ τοῦ Β.

βίος παρὰ τὸ μετὰ βίας βιοῦν. ὅθεν Ὅμηρος, θεοὶ ῥεῖα ζώοντες· βότρυς· περὶ τὸ ποσὶ τρίβεσθαι· οἱονεὶ, τύπους· καὶ τροπῇ τοῦ π εἰς β· βλὰξ, ἐκ τοῦ μαλακός· μάλαξ· καὶ συγκοπῇ (Cod. συγγοπῇ)[1]) μλάξ· καὶ τροπῇ τοῦ μ εἰς β, βλάξ. βλέφαρα ὅτι αἴρονται ἐν τῷ βλέπειν· βραδύς· παρὰ βάρος βαρύς· καὶ πλεονασμῷ τοῦ δ· καὶ ὑπερθέσει τοῦ ρ βραδύς· βάτραχος παρὰ τὸ βοὴν τραχεῖαν ἔχειν· βρέφος, παρὰ τῷ φέρβω, φέρβος· καὶ μεταθέσει τῶν δύο στοιχείων, βρέφος· τὸ δεόμενον, τουτέστι τροφῆς· βουλὴ παρὰ τὸ βάλλω βολή· καὶ πλεονασμῷ τοῦ υ βουλή· ἐπιβολὴ γὰρ ψυχῆς ἐστί.

ἀρχὴ τοῦ Γ.

γέφυρα, οἱονεὶ γεφ[2]) τίς ἦν. γῆς ἐφ᾿ ὑγρῶν κειμένης. γνόφος· κενοφὸς ἦν ὁ κενὸς φάους· καὶ κατὰ συγκοπὴν, κνόφος· καὶ τροπῇ τοῦ κ εἰς γ. γαμβρὸς, γάμος γὰρ ἦν· γαμηρός· καὶ ἐπιθέσει[3]) τοῦ β γαμβρὸς. γόνυ, ὅτι καπτόμενον τὸ σκέλος γωνίαν ἀποτελεῖ· γάλα· κάλα γὰρ ἦν· κατὰ τροπῇ τοῦ κ εἰς γ· καλὸν γὰρ πρὸς ἀπαρχὴν τροφῆς· γυνὴ, παρὰ τὸ γῶ τὸ λαμβάνω· δεκτικὴ γάρ ἐστι τοῦ σπέρματος· γένυς, ὅτι γενᾷ ὀδόντας καὶ τρίχας· γλῶσσα, οἷον γνῶστα· διαγνωστικὴ οὖσα τῶν προστῶν βρωμάτων· ἢ κλῶσσά τίς ἐστι· κλωθομένη γὰρ τὴν ἔναρθρον φωνὴν ἀποδίδωσι γλίχεσθαι, παρὰ τὸ λίαν ἔχεσθαι· γῆρας, παρὰ τὸ γέρας τὴν τιμήν· γῆρας γὰρ, αἰδέσιμον ἄνδρα τίθησι· τινὲς δὲ παρὰ τὸ γῆν νεύειν· ἢ ὁρᾶν· γνώμη, νοῶ νοήμη καὶ κατὰ συναλοιφὴν νώμη· καὶ πλεονασμῷ τοῦ γ γνώμη. γραῦς. παρὰ τὸ ῥέω ῥεύσω· ῥεύς· καὶ τροπῇ τοῦ ε εἰς α ῥαῦς καὶ προσθήκῃ[4]) τοῦ γ γραῦς.

Δ.

δάκρυον, δάκνυον τί ἐστι· ἀπὸ τοῦ δάκνεσθαι δι᾿ αὐτοῦ τὰ ὄμματα· δάκτυλος ἀποβολῇ[5]) τοῦ ρ· δράκτυλος γὰρ ἦν ἀπὸ τοῦ δράσασθαι τὰ διδόμενα, ἢ ὅτι δι᾿ αὐτοῦ, αἱ δείξεις γίνονται. δεξιὰ ἀπὸ τοῦ δι᾿ αὐτῆς τρέχεσθαι τὰ διδόμενα· δείλη παρὰ τὸ ἐνδεῖν τὴν ἕλην τοῦ ἡλίου· δεείλη καὶ δείλη· δεσπότης ὁ δέος ἐμποιῶν· διαβήτης· ἐκ τοῦ βῶ βήσω· βήτης καὶ διαβήτης.

ἀρχὴ τοῦ Ε.

ἔπαλξις οἷον, ἐπάλεξίς τις οὖσα· καὶ βοηθός· ἕρκος, ἀπὸ τοῦ ἐρύω τὸ κωλύω· καὶ ἐξ αὐτοῦ, ἕρκος· ἔμβρυον, ἀπὸ τοῦ ἔνδον βρύειν καὶ αὔξεσθαι, ἢ ἔνδον ἔχειν τὴν βοράν· εὐφρόνη ἡ νύξ· καθ᾿ ἣν εὖ φρονοῦμεν· σχολαζούσης τῆς διανοίας· ἐλπὶς, ἐλκίς τίς[6]) ἐστιν· ἀπὸ τοῦ παρέλκειν ἡμᾶς τῷ χρόνῳ. ἐπιεικὴς παρὰ τὸ εἴκειν καὶ μὴ ἀντιτείνειν. εἱρκτὴ[7]), παρὰ τὸ εἴργω εἴρξω. ἔγχελυς, παρὰ τὴν ἰλύν· ἐξ αὐτῆς γὰρ ἔχει τὸ εἶναι.

Ζ.

ζῶον, ἀπὸ τῆς ἐν ἡμῖν ζέσεως τοῦ θερμοῦ· ζέφυρος ὁ ἄνεμος· ὁ τὴν ζωὴν πᾶσι φέρων.

Η.

Ἥμισυ, ἅμα ἴσον· τοῦ ὅλου διαιρεθέντος· ἤπειρος, ἄπειρος ἡ μὴ ἔχουσα πέρας· θάλασσα, ἡ παρὰ τὸ ἁλὸς γίνεται ἅλασσα καὶ θάλασσα[8]).

Θ.

θρὶξ, οἷον, θέριξ ὅτι θερίζεται καὶ τέμνεται. θυμὸς ἀπὸ τοῦ θύειν καὶ ὁρμᾶν τὸ αἷμα· θεὸς, ἐκ τοῦ πανταχοῦ περιθέειν καὶ εἶναι θρησκεία ἐκ τοῦ ἀρέσκειν θεῷ· θεαρεσκεία τὶς οὖσα· θρασὺς παρὰ τὸ θέρω τὸ θερμαίνω· θαρσὺς, καὶ καθ᾿ ὑπέρθεσιν θρασύς· θύρα, παρὰ τὸ θύω τὸ ὁρμῶ· θαῦμα, παρὰ τὸ θέω· θέομαι· θέαμα· καὶ κατὰ κρᾶσιν θαῦμα.

Ι.

Ἶρις[9]), ἡ νεφελώδης ζώνη· παρὰ τὸ ἐρεῖν· καὶ σημαίνει χειμῶνα· ἰατρικὴ, πλεονασμῷ τοῦ ρ· ἰατικὴ τὶς οὖσα· παρὰ τὸ ἰᾶσθαι· ἰτία, παρὰ τὸ ἰέναι· ταχέως γὰρ αὔξεται. ἰκμὰς παρὰ τὸ ἱκνεῖσθαι[10]) ἄνωθεν πρὸς ἡμᾶς· ἵππος, παρὰ τὸ ἵεσθαι τοῖς ποσὶν ὀξὺ γὰρ τὸ ζῶον. ἰσχάδες παρὰ τὸ ἴσχω ἰσχνῶ παράγωγον· ἰσχάνδες· καὶ ἀποβολῇ τοῦ ν ἰσχάδες. ἰχθὺς, παρὰ τὸ ἰθύειν πλεονασμῷ τοῦ χ, ἰχθύς· ἱδρὼς παρὰ τὸ ἵημι ἱδρῶς (fort. Cod. ἰδῶς) καὶ πλεονασμῷ τοῦ ρ ἱδρῶς· ἰξὸς ἀξός τίς ἐστι παρὰ τὸ ἄξειν τὰ ὄρνεα.

Κ.

κριτὴς, ὁ τῆς δυσφορᾶς (m. recentiss. em. διαφορᾶς) χαριστικός· διακρῖναι γὰρ τὸ διαχωρίσαι· κονίσαλος, ἐκ τοῦ κόνιν σαλεύεσθαι· κατήφια ἀπὸ τοῦ κάτω τὰ φάη βάλλειν· σημεῖον γὰρ λυπουμένων· κύπελλον, παρὰ τὸ κῦφος κύφελλον καὶ τροπῇ τοῦ φ εἰς π περιφερὲς γάρ· κερδαίνειν, ἃ παρὰ τὸ κέαρ ἰαῖναι καὶ εὐφραίνειν· κοιλία, ἀπὸ τοῦ λεαίνειν τὴν τροφὴν καὶ χυλοῦν· κύστης ἀπὸ τοῦ κεύθειν[11]), τὸ οὖρον· κεφαλὴ ἤτοι καρφαλή ἐστι παρὰ τὸ κάρφεσθαι ὅ ἐστι ξηραίνεσθαι. κορυφὴ, ὅτι κάρατος ἐστὶν ὀροφὴ, τὸ μέσον τῆς κεφαλῆς· κωφὸς παρὰ τὸ ἐκκεκόφθαι· ἢ ἀφῃρῆσθαι τὴν ὄπα ἐν τῷ ἀκούειν· καὶ ἐπὶ τοῦ ἀλάλου τὸ αὐτό. καλὸς παρὰ τὸ κλείω· περὶ κλέει γὰρ περιτιθέμενος. κάλος παρὰ τὸ καλεῖν πρὸς ἑαυτὸ ἕκαστον. κίων, παρὰ τὸ κιέναι εἰς ὕψος. κρύος, παρὰ τὴν κροῦσιν τῶν ὀδόντων τοῦτο γὰρ σημαίνει ὁ κρύος. κρόμμυον, παρὰ τὸ μύειν τὰς κόρας· κρέας παρὰ τὸ κρατεῖν καὶ ἰσχυροποιεῖν τὸ σῶμα κναφεὺς παρὰ τὸ ξύω· ξύουσι γὰρ τὴν κροκύδα (sic in Cod. manu recent. corr. pro κρομύδα) τῶν νέων ἱματίων· κορμὸς, παρὰ τὸ κείρω· κοίτη, παρὰ τὸ κεῖσθαι ἐν αὐτῇ κοιμωμένους· κάμινος ἡ καιομένη μαίνουσα· κύμα, κύω κυήσω· κύημα καὶ συγκοπῇ κῦμα· κακὸς, ἀπὸ τοῦ χάζω· ὅ ἐστιν ἀναχωρῶ· κάδος, ἀπὸ τοῦ καδῶ τὸ χωρῶ· καὶ τροπῇ τοῦ χ εἰς κ· λέων παρὰ τὸ λάειν ὅ ἐστι βλέπειν· λέγουσι γὰρ τὸν λέοντα, μὴ μύειν τὰ ὄμματα κοιμωμένων[12]) (man. rec. corr. κοιμώμενον) ληνὸς παρὰ τὸ λεαίνεσθαι τὰ πατούμενα· λύπη, παρὰ τὸ λύειν· λύσις γὰρ ψυχῆς τὸ πάθος· λειχὴν παρὰ τὸ λεῖον· κατὰ ἀντίφρασιν τραχύνει γὰρ τὸ σῶμα· λιπαρεῖν παρὰ τὸ λίαν παρεῖναι τοὺς παρακαλοῦντας· λωποδύτης ἀπὸ δύειν τὸ λῶπον, ὅ ἐστι τὸ ἱμάτιον· λύχνος, ὁ λύων, τὸ νύχος ὅ ἐστι τὸ σκότος· λάβραξ, παρὰ τὸ λαβρῶς (man. rec.

1) alter Cod. συγγοπῇ. 2) alter Cod. γίφυρα. 3) alter Cod. ἐπενθέσει. 4) alter Cod. προσθήκῃ. 5) alter Cod. ἀποβολῇ. 6) alter Cod. τὶς. 7) alter Cod. εἱρκτή. 8) alter Codex habet post voc. πέρας: θάλασσα, ἢ παρὰ τὸ σάλος σάλασσα, καὶ τροπῇ τοῦ σ εἰς θ. Sequentia θάλασσα, ἢ παρὰ τὸ ἁλὸς etc. congruunt. 9) alter Cod. Ἶρις. 10) alter Cod. ἱκνεῖσθαι. 11) alter Cod. κεύθειν. 12) alter Cod. κοιμωμένων.

corr. λάβρως) ἐσθίειν, ἀδδηφάγος γάρ ἐστι· λαὸς, λάλος τίς ἐστι καὶ κατὰ ἀποβολὴν τοῦ λ λαός· διὰ τὸ θορυβῶδες· λὰξ παρὰ τὸ λήγω λήξω, λάξ· διατὸ τῷ λήγοντι μέρει τοῦ ποδὸς πλήσσειν· λόγχη, παρὰ τὸ λίαν ἔχεσθαι παρὰ τοῦ χρωμένου.

M.

μέρος περὶ (Cod. π^ε: fortasse παρὰ) τὸ μεμειῶσθαι πρὸς τὸ ὅλον. μύσταξ ἀπὸ μεμεστῶσθαι τὸ ἄνω χεῖλος τριχῶν. μυελὸς, ἀπὸ τοῦ λεῖον εἶναι ἐν μυχῷ, οἷον μυχελὸς κατὰ ἀποβολὴν τοῦ χ. μύωψ ἀπὸ (delet. videtur) ὁ μύων συνεχῶς τοὺς ὦπας· μέταλλον ἀπὸ τοῦ ζητεῖν ἐν αὐτῷ τί· τὸ γὰρ μεταλλῶ, ἐπιζητῶν ἐστι. μῦς, παρὰ τὸ μῦσος ὅ ἐστι βδέλλυγμα. μακάριος ὁ μὴ κηρὶ ὑποκείμενος· οἱ δὲ πλεονάζειν λέγουσι τὸ μ, κὴρ κάριος καὶ ἀκάριος. μάκτρα, παρὰ τὸ μάττειν ἐν αὐτῇ τὴν μάζαν. μέλισσα παρὰ τὸ μέλειν· οἰκονομικὸν γὰρ καὶ ἐπιμελὲς τὸ ζῶον. μένος ἡ δύναμις παρὰ τὸ μένω ῥῆμα· μοχλὸς, παρὰ τὸ ὁμοῦ καὶ τὸ κλεῖν· ἄλλοι δὲ παρὰ τὸ μολῶ μολὸς καὶ μοχλός· ὡς Ὅμηρος, ὀχῆα λέγων τὸν μοχλόν. μολοβρὸς, μολόβορος τὶς ὢν καὶ κατὰ συγκοπὴν μολοβρὸς, περὶ τὸ μολεῖν ἐπὶ τὴν βορὰν, μέριμνα παρὰ τὸ μερίζω μέριδνα καὶ τροπῇ τοῦ δ εἰς μ μέριμνα· μέλαν, παρὰ τὸ μὴ λάειν, ὅ ἐστι βλέπειν· ὅθεν ἀλαὸς ὁ τυφλός.

N.

νίτρον, περὶ τὸ νίζω τὸ καθαίρω, ὡς περὶ τὸ φέρω, φέρτρον. νεκρὸς περὶ τὸ κῆρ, ὅ ἐστι ψυχὴ καὶ τὸ στερητικόν. νῆστις περὶ τὸ νη στερητικὸν καὶ τὸ σῖτα ὁ ἐστερημένος σιτίον· νεφροὶ, παρὰ τὸ νείφεσθαι τῷ οὔρῳ· ὅ ἐστι βρέχεσθαι· νέφος, τὸ ἐστερημένον φωτός· νήπιος· ἤτοι κατὰ πλεονασμὸν τοῦ ν, οἷον τὸ (ex corr. supra lineam) ὁ ἤπια φρονῶν, ἢ περὶ τὸ νη στερητικὸν, κατὰ στέρησιν τοῦ ἔπους. νεῦρον, περὶ τὸ νεῖσθαι δι' ὅλου τοῦ σώματος. νοῦς, περὶ τὸ νέεσθαι· ὁ πανταχόσε κινούμενος καὶ ἐπὶ πάντα προϊὼν, ὡς Ὅμηρος, ὥστε πτερὸν ἠνόημαι. νᾶμα, παρὰ τὸ νῶ, νάσω, ὃ σημαίνει τὸ ῥέω, νᾶμα. νεοσσὸς, ὁ νεωστὶ σευόμενος. νύμφη, ἡ νέον φαινομένη.

Ξ.

ξίφος περὶ τὸ ξύω [1]· ὀρεὺς, παρὰ τὸ ἐν ὄρεσι δύνασθαι ἐργάζεσθαι. ὀμίχλη, ἀπὸ τοῦ τοῖς ὄμμασιν ἀχλὺν παρέχειν. οἶνος, οἰόνους τὶς ὤν· παρὰ τὸ οἰήσεως ἡμᾶς πληροῦν. τότε γὰρ τῇ οἰήσει πλουτοῦσιν ἄνθρωποι ὅταν μεθυστῶσιν.

O.

ὀβελίσκος· ὀφελίσκος τὶς ὢν, ὁ εἰς μῆκος ὀφελλόμενος καὶ ἐξελαυνόμενος. ὅσιος, ἀπὸ τοῦ ἅζω, ἅσω, ἅσιος καὶ ὅσιος. ὅρκος, περὶ τὸ ἐπαρκεῖν τοὺς ἀδικουμένους. ὀστέον περὶ τὸ στῶ, στήσω, στέον καὶ πλεονασμῷ τοῦ ο, ὀστέον. ὄκνος, ἀκίνητος τις ὢν· ὁ ποιῶν ἀκινήτους τοὺς χρωμένους. ὄσπριον, καθ' ὑπέρθεσιν τοῦ ο στόριον καὶ ὀσπόριον [2]· οὐρῆας, περὶ οὐρῶ· οὐρώδης γὰρ αὐτῶν ὁ σπόρος· ὅθεν οὐ [3]) τίκτουσιν· Ἀριστοτέλης δὲ ἱστορεῖ ὅτι ἐν Κιλικίᾳ ἡμίονος ἔτεκε.

Π.

παρθένος περὶ τὸ παραθέειν τὴν παιδικὴν ἡλικίαν. πόλεμος περὶ τὸ τοὺς πολλοὺς μειοῦν· περιστερὰ, ἡ περισσῶς ἐρῶσα τοῦ θήλεος. πρᾶσις διαπέρασις τὶς οὖσα ἀπὸ τοῦ ἑτέρου εἰς ἕτερον· πτωχὸς, ὁ ἐκπεπτωκὼς τοῦ ἔχειν. πένης ὁ ἀπὸ τοῦ πόνου καὶ τῆς ἐνεργείας τὸ ζῆν ἔχων. πλούσιος, πολυούσιος τίς ἐστι. πῦρ, ἀπὸ τοῦ φύω, φῦρ καὶ πῦρ. πτέρνα ἀπὸ τοῦ ἐπιπεπτωκέναι αὐτῇ ὅλον τὸ σῶμα. προφήτης ἀπὸ τοῦ φῶ φήτης καὶ προφήτης. πηγὴ ἀπὸ τοῦ πηδῶ πηδὴ καὶ πηγὴ κατὰ τροπήν.

P.

ῥάκος περὶ τὸ ῥήσω ῥήξω ῥῆκος καὶ ῥάκος. ῥίζα, οἱ μὲν, δι' ἧς τὸ ζῆν ῥέει τοῖς δένδροις· οἱ δὲ ἀποβολῇ τοῦ ρ, ἵζα τὶς οὖσα, ἀπὸ ἱζάνειν τῇ γῇ· ῥάβδος παρὰ τὸ ῥᾳδίως ἐπ' αὐτῆς βαδίζειν ἢ παρὰ τὸ ῥαπίσαι δι' αὐτῆς.

Σ.

σκῆπτρον παρὰ τὸ σκήπτεσθαι· ὅ ἐστιν ἐπερείδεσθαι· καὶ πλεονασμῷ τοῦ ρ· σανίς· οἷον, τανὺς παρὰ τὸ τάσσεσθαι· τὸ ἐπίμηκες ξύλον. σπέος ἀφώτιστον οἴκημα· ἀπὸ τοῦ βέος καὶ σπέος· πλὴν, ἀπὸ τοῦ εἰς αὐτὸν ἐπισπᾶσθαι τῶν ἀφυλισθέντα τῶν ὑγρῶν. σῶμα ὡς φησὶ Πλάτων· ὅτι σῆμα ψυχῆς ἐστὶ τάφος. στόμα καὶ πλεονασμῷ τοῦ σ τόμα γὰρ ἦν, ἀπὸ τοῦ τέμω. σελήνη περὶ τὸ σέλας ἀεὶ νέον ἔχειν. σωφροσύνη, παρὰ τὸ σώζειν τὰς φρένας. σαπρὸς παρὰ τὸ σίπσαπρός· ὥσπερ παρὰ τὸ λέπω λεπρός· σφονδύλος, παρὰ τὸ ἐσφίχθαι πρὸς ἀλλήλους. στέαρ, παρὰ τὸ στήσω στέαρ· σιτοδεία, κατὰ συγκοπῇ σίτου ἔνδειαν. συρία, διὰ τὸ σύρεσθαι ὑπὸ τοῦ κατακλυσμοῦ· ἀσυρία δὲ ἐκ τοῦ ἐναντίου διὰ τὸ μὴ σύρεσθαι. σπόγγος, εἰ μὲν διὰ τὸ π παρὰ τὸ σπᾶν τὰ ὑγρά· εἰ δὲ διὰ τὸ φ, παρὰ τὸ σφίγγειν τὰς ἐκθλίψεις.

T.

τηλύγετος ὁ τελευταῖος τῷ πατρὶ γενόμενος· ἢ προβεβληκότι τῷ πατρί· διὰ τὸ τῆλαν τὰς νέας ἡλικίας· τάπις, παρὰ τὸ θάλπω θάλπις· καὶ ἐκβολῇ τοῦ λ· καὶ μεταθέσει τοῦ θ εἰς τ, τάπις. τέκνον, τέκω, τέκανον· ἀποβολῇ τοῦ α τέκνον. τήγανον, παρὰ τὸ τήκω τήκανον· καὶ τροπῇ τοῦ κ εἰς γ τήγανον. τροχὸς, ὡς παρὰ τὸ δραμεῖν, δρόμος, οὕτω καὶ παρὰ τὸ τρέχειν τροχός· τέχνη παρὰ τὸ τεύχω, τεύχη· καὶ ἀποβολῇ τοῦ υ τέχνη· ὡς τέτευκται, τέτυκται ἢ παρὰ τὸ τεχνῶ, τέχνη· ὡς παρὰ τὸ παχνῶ πάχνη.

Υ.

ὑπάνη, ἡ ὑποκάτω τοῦ γενείου τρίχωσις· ἀπὸ τοῦ ὑπὸ εἶναι. ὕδωρ παρὰ τὸ ὕω τὸ βρέχω· ὕωρ· καὶ πλεονασμῷ τοῦ δ ὕδωρ. ὕψος, περὶ τὸ ὄπτω τὸ βλέπω, ἔψω, ὄψος καὶ ὕψος. ὑγιὴς, ὁ ἐν ὑγρῷ ὢν καὶ ζῶν, ὑγριὴς, ἀποβολῇ τοῦ ρ ὑγιής.

Φ.

φρουρὸς ὁ φύλαξ πρόορος τὶς ὢν παρὰ τὸ προορᾶν· φάρμακον, φέρακον τι ὂν παρὰ τὸ φέρειν ἄκος. ἐπὶ δὲ τοῦ κακοῦ, φέραχον τι ὂν ἀπὸ τοῦ φέρειν ἄχος. φόρμιγξ μεταθέσει τοῦ ρ· πρόμιγξ, παρὰ τὸ ἡγεῖσθαι τῆς οἴμης

---

1) alter Cod. ξίω. ξυφὸς περὶ τὸ ξύω.   2) alter Cod. ὄσπριον.   3) alter Cod. οὐ.

ὁ ἔστιν ᾠδῆς. **Φθόνος** παρὰ τὸ φθίναι [1]) τὸν κεκτημένον. **Φλέγμα**, παρὰ τὸ φλέγω φλέξω· φλέγμα κατὰ ἀντίφρασιν· ψυχρὸν γάρ. Φαρακλὸς, ὁ τὸ ἄκρον ἔχων. Φαλὸν ὅ ἐστι λευκόν· Φολκὸς, παρὰ τὸ φάους παρέλκεσθαι· ὅ ἐστιν ἐν τῇ συνηθείᾳ στραβός. Φειδωλὸς, Φειδώλος τὶς ὢν, ὁ φεύγων τοῦ δοῦναι. Φρόνησις, φερόνησις τὶς ὢν, ἡ φέρουσα ὄνησιν. Φὼς ὁ ἄνθρωπος, παρὰ τὸ φῶ τὸ λέγω. Φὼρ ὁ ληστής· παρὰ τὸ φέρω φὲρ καὶ τροπῇ τοῦ ε εἰς ω μέγα φώρ. Φάτνη παρὰ τὸ φαγεῖν φάγνη· καὶ τροπῇ τοῦ γ εἰς τ, φάτνη· Φύσις, παρὰ τὸ φύω, φύσω, φύσις· ἡ ἐν πᾶσι φύουσα.

X.

χεὶρ, ἀφαιρέσει τοῦ ε περὶ τὸ ἔχειν· ἐχεὶρ ἐστὶ καὶ χείρ. **χιτὼν**, παρὰ τὸ κεχύσθαι τῷ σώματι. χορδὴ τὸ ἔντερον· παρὰ τὸ χωρεῖν δι' αὐτοῦ τὴν ἐδωδήν· χελιδὼν, παρὰ τὸ τὰ τείχη δονεῖν ἐν τῷ ᾄδειν. χάλαζα, παρὰ τὸ χαλᾶσθαι ἄνωθεν. χλοῦνις, ὁ σῦς· ὁ ἐν χλόῃ εὐναζόμενος. **χύτρα**, παρὰ τὸ χύω. χολὴ παρὰ τὸ χέω.

Ψ.

ψυχὴ, παρὰ τὸ ψύχω· ὅ ἐστιν πνεῦμα· ἡ τὸ πνεῖν ἡμῖν παρέχουσα. ψώρα παρὰ τὸ ψαύω τὸ κνήθω· τοῦτο γὰρ ποιοῦσιν τῷ πάθει οἱ ἐνεχόμενοι.

Ω.

ὦχρος, χρᾶος, χροὸς ἄχροος· καὶ ὑπερθέσει τοῦ ο ὄαχρος· καὶ συναλοιφῇ τοῦ ο καὶ α, ὦχρος.

αἱμωδεῖν, τὸ τοὺς ὀδόντας ὀδυνᾶσθαι, μετὰ κνησμοῦ. **Αἴπυτος** ὄνομα κύριον· παρὰ τὸ αἰπὺς, ὡς εὐρὺς εὔρυτος. αἶρα ἡ σφαῖρα· παρὰ τὸ ῥέω τὸ φθείρω· ῥαῖα· καὶ ἐν ὑπερβιβασμῷ αἶρα. αἴθων, ἐκπνέων, παρὰ τὸ αἴω· ὃ σημαίνει τὸ ἀκούω ἀφ' οὗ ῥῆμα αἴθων. αἰσιμία, ἡ μαντεία, ἢ τὸ καθῆκον· παρὰ τὴν αἶσαν ὃ σημαίνει τὴν μοῖραν. ἄϊστος ὁ ἄγνωστος· καὶ ἀϊστῶσαι· καὶ ἀϊστωθῆναι· σύνθετον ἀπὸ τοῦ ἱστός· τοῦτο δὲ, ἀπὸ τοῦ ἵσημι ἵσαμαι· ἵσταται, καὶ ἐξ αὐτοῦ ἱστός· ὅθεν καὶ τὸ ἐπίσταμαι· καὶ μετὰ τοῦ στερητικοῦ α, ἄϊστος. αἰσυητὴρ, ὡς μὲν φασί τινες, ὁ ἐντρεχὴς κεκοσμημένος· καὶ καθηκόντως αὐτὸ τάττει· ἀπὸ τοῦ [2]) αἴσσης· παράγωγον αἰσύω· αἰσυτήρ· καὶ πλεονασμῷ τοῦ η αἰσυητήρ. αἴσυλος, ὁ ἄδικος καὶ ὁ ἁμαρτωλός· παρὰ τὸ συλῶ ἄσυλος· καὶ πλεονασμῷ τοῦ ι αἴσυλος. αἰσυμνητὴρ, ὁ βασιλεύς· παρὰ τὸ αἴσυμναν· ὅ ἐστιν αἰσύμνων μνήμην ποιεῖσθαι· καὶ αἰσυμῆτις, ὁ αἴσυμα βουλευόμενος. αἴστης, ὁ ἐρώμενος παρὰ τὸ ἄειν ὅ ἐστιν πνεῖν. ὁ εἰσπνέων τὸν ἔρωτα τῷ ἐραστῇ· φασὶ γὰρ τὸν ἔρωτα γίνεσθαι ἐκ τοῦ εἰσπνεῖσθαι ἐκ τῆς μορφῆς τοῦ ἐρωμένου· ὅθεν καὶ εἰσπνήλας καλοῦμεν τοὺς ἐραστὰς, παρὰ Λάκωσιν. Αἴτνη ὄρος Σικελίας· παρὰ τὸ αἴθω τὸ καίω· ἀκαλήφους ἐστὶ φυτὸν, θαλάττιον· καὶ βοτάνη δῆξιν καὶ κνησμὸν, ὡς οὐ τῷ ἅπτεσθαι ποιοῦσα· ἀκάμπιος ὁ ἐπ' εὐθείας περιπατῶν· παρὰ τὸ κάμπην μὴ ἔχειν· ἀκέραιος, ὁ ὑγιής· ἀπὸ τοῦ κέρας κέραιος καὶ ἀκέραιος· ὁ μὴ θυμούμενος διὰ τοῦ κέρατος βλάπτων· ἀπὸ τῶν τοῖς κέρασιν ἀμυνομένων, ζώων· ἀκηχέδαται. παρὰ τὸ ἀχῶ, τὸ λυποῦμαι· ἀχάζω, ὡς ἀνιῶ, ἀνιάζω· ὁ παρακείμενος, ἤχακα· ὁ παθητικὸς, ἤχασμαι· ἤχασται· καὶ τὸ Ἰωνικὸν, ἠχάδαται· καὶ μετὰ ἀναδιπλασιασμοῦ Ἀττικοῦ, τροπῇ τοῦ α, εἰς ε ἀκηχέδαται. ἀκιδνὸς ὁ ἀσθενὴς, περὶ τὸ αἰκίζω. αἰκιδνὸς καὶ ἀκιδνός· ἀκτάζω, ἀντὶ τοῦ ἐξανιστάμενος· ἀπὸ τοῦ ἄττω ἀττάζω· καὶ ἀκτάζω. ἀκταίνειν περὶ τὸ ἀκτὴ, ἀκτός· καὶ ῥῆμα ἀκτῶ· ἀφ' οὗ τὸ κουφίζω· παρ' Αἰσχύλῳ. ἀκταίωρος παρὰ τὸ τὴν ἀκτὴν οὐρεῖν· ὅ ἐστι φυλάττειν τροπῇ τῆς ου εἰς ω. ἀλαίνω, τὸ πλανῶμαι· παρὰ τὸ ἄλη ὃ σημαίνει τὴν πλάνην. ἀλαλύκτημαι τὸ ἀδημονῶ· καὶ πεπλάνημαι· ἐκ τοῦ ἀλῶ ἀλύω· ὁ μέλλων, ἀλύσω· ἀλυκτός· καὶ ἐξ αὐτοῦ ῥῆμα, ἀλυκτῶ· ὁ παθητικὸς παρακείμενος, ἤλυκτημαι· καὶ Ἀττικῶς ἀλαλύκτημαι. ἀλειπὴς πηγὴ ἐν Ἐφέσῳ· οὕτω καλουμένη· παρὰ τὸ μηδέποτε λείπειν· μήτε θέρους· μήτε χειμῶνος· ἀλδήσκω τὸ αὐξάνω· παρὰ τὸ ἀλῶ, ἀλήσκω καὶ πλεονασμῷ τοῦ δ, ἀλδήσκω. ἀλεωρὴ, ἡ φυλακή· παρὰ τὸ τὴν ἀλέαν· ὃ σημαίνει τὴν θερμασίαν καὶ τὸ ὠρεῖν ὃ σημαίνει τὸ φυλάσσειν. ἀλυσία, ἡ ἀφροδισία· διὰ τὸ περὶ πᾶν ζῶον· ἀλᾶσθαι· ἀλῶ, τὸ πλανῶ, καὶ ἐξ αὐτοῦ ἀλυσία. ἀλιπεδὸν τὸ παραθαλάττιον πεδίον. ἄλιον τὸ μάταιον· καὶ γίνεται ἀπὸ τοῦ ἁλὸς, τὸ γὰρ θαλάσσιον ὕδωρ, ἄχρηστον. ἀλῖσαι τὸ κυλῆσαι. ἀλύτης, ὁ Ἡρακλέως ἀπόγονος. ἀφ' οὗ καὶ οἱ κορίνθιοι ἀτηλῖδαι [3]), ὀνομάζονται. ἀλιζῶνες οἱ βιθυνοί· διότι ἡ γῆ αὐτῶν, θαλάσσῃ διεζῶσθαι· καὶ οἱονεὶ, χερόνησός ἐστιν ὑπὸ τοῦ Εὐξείνου τῆς Προποντίδος διεζωσμένη. ἀλκαία ἡ οὐρὰ τοῦ λέοντος· διὰ τὸ ἐς ἀλκὴν αὐτὴν τρέπειν. ἀλκμήνη ἀπὸ τοῦ ἀλκὴ, ἀλκήνη· καὶ πλεονασμῷ τοῦ μ. ἀλόκοτον τὸ ἀνόμιον· καθ' ὑπερβιβασμὸν ἀλότοκόν τι ὢν, ἢ παρὰ τὸ ἀλλαχοῦ (Cod. ἀλαχοῦ) κεῖσθαι· καὶ μὴ κατ' αὐτό. ἄλοξ, Εὐριπίδης· μὴ σπεῖραι παίδων ἄλοκα· παρὰ τὸ αὖλαξ· ἐλλείψει τοῦ υ· καὶ τροπῇ τοῦ α εἰς ο. ἀλύειν τὸ δυσφορεῖν καὶ τὸ χαίρειν· καὶ τὸ μὲν δυσφορεῖν, παρὰ τὸ μὴ λύσιν τῶν κακῶν εὑρίσκειν· τὸ δὲ χαίρειν παρὰ τὸ ἀλῶ τὸ πλανῶ, πλανῶνται γὰρ αἱ ψυχαὶ τῶν χαιρόντων· ἄλφιτα τὰ ἄλευρα· παρὰ τὸ ἀλφαίνειν, ἡ πρώτη εὑρεθῆναι τροφή· ἄλως, ἡ ἀλωή· λέγεται δὲ παρὰ τὴν τῶν ἀσταχύων ἀλοίωσιν· ἀμάδιος ἐκ τοῦ ἅμα, ἀμάδιος ἐπιῤῥηματικῶς. ἀμαζὼν, παρὰ τὸ μὴ μάζαις χρῆσθαι ἤγουν τροφαῖς· ἀλλ' ὄφεσι καὶ σαύραις καὶ χελώναις. ἀμαρτῇ ἐπίῤῥημα, ἀντὶ τοῦ ὁμοῦ. ἁμαρτία, ἡ ἀποτυχία· περὶ τὸ μάρπω τὸ καταλαμβάνω· μαρπία καὶ ἀμαρτία· μετὰ τοῦ στερητικοῦ, α. ἀμαρυγὰς σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐλλάμψεις· σημαίνει καὶ τὰς τοῦ μετώπου ῥυτίδας, αἵτινες εἴρηνται διὰ τὸ ἀμαυρὰ καὶ ἀλαμπεῖς εἶναι· ἢ περὶ τὸ ἀμάραις ἐοικέναι τουτέστιν ὀχετοῖς· ὥσπερ ἐκεῖναι τὸ ὕδωρ, οὕτως αὗται τὸν ὑδρῶτα μετάγουσιν· ἐπὶ τὰ παρεκάτερα μέρη τῆς κεφαλῆς. ἡ δὲ ἔλαμψις εἴρηται παρὰ τὸ ἀμαρύσσω, ἀπὸ γὰρ τοῦ μαίρω τὸ λάμπω, γίνεται μαρμαίρω ἐν διπλασιασμῷ· εἶτα παράγωγον, ἀμαρύσσω· καὶ πλεονασμῷ τοῦ α, ἀμαρύσσω· ἐξ οὗ καὶ ἀμάρυγμα. ἀμιχθαλόεσσα, ἡ ἀπρόσιτος· καὶ ἀμιγής· ὡς καὶ ὁ ποιητὴς, καὶ Λῆμνον ἀμιχθαλοέσσαν· ἀπρόσιτος δὲ διὰ τὸ τοὺς ἐνοικοῦντας σίντας· πειρατὰς εἶναι· ὥσπερ παρὰ τὸ σμίγω· μικτός· καὶ ὡς ἵππος, ἵππαλος, οὕτω καὶ παρὰ τὸ μικτὸς, μίκταλος καὶ ἀμίκταλος· καὶ ἐν συνθέσει, ἀμικταλόεις. καὶ τροπῇ ἀμιχθαλόεις· καὶ τὸ θηλυκὸν ἀμιχθαλόεσσα· ἄμπυξ τὸ γυναικεῖον ἀνάλωμα [4])· παρὰ τὸ ἀμφέχειν τὰς τρίχας τῆς κεφαλῆς, ἄμφυξ καὶ ἄμπυξ· ἢ ἄνω πυκάζουσα καὶ ἀνέχουσα· τὰς αἰθήρας ἤγουν τὰς τρίχας. ἀμφιλύκη ἡ σκοτεινή· ἀμφιλύγη τὶς οὖσα· λύγη γὰρ ἡ

1) alter Cod. φθίνειν. 2) alter Cod. τῆς. 3) alter Cod. ἀλητίδαι. 4) alter Cod. ἀνάλ(δε)ωμα.

σκοτία· ἀναίνετο, παρὰ τὸ ἀρνῶ ἀρνοῦμαι· ἢ παρὰ τὸ ναὶ ἐπίρρημα, ναίω καὶ ἀναίνω· ἄλαλτος, ὁ ἀηδής· ἀπὸ τῶν ὄψων τῶν μὴ ἐχόντων ἅλας· ἀηδῶν ὄντων. ἀνεμώλιος, ἐκ τοῦ ἄνεμος· ἀνεμώνιος· καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. ἀνηρείψαντο· σημείωσαι ἀνήρπαστ (i. e. ἀνήρπασαν)· παρὰ τὸ ἐρανανερέψαντο (supra ἔραν m. rec. script. α et αν cum spir. leni ἀν ...) πλεονασμῷ τοῦ ι. ἀνθέρικος, παρὰ τὸ ἄνθος, ἀνθέριξ· σημαίνει δὲ, τὰ ἄκρα τῶν ἀσταχύων ἢ ἀπὸ τοῦ θερίζω· ἄραβος, κυρίως ἡ ἐν ὄρει βοή· ἔραβος καὶ ἄραβος. αὐτεφερίζω, τὸ ἐξισοῦμαι· παρὰ τὸ φέρω φερίζω. ἄορ σημαίνει τὸ ξίφος παρὰ τὸ ἀείρω, ἄορ· ἀσωπὸς παρὰ τὸ τὴν ἄσην ὃ σημαίνει τὸν ῥύπον· καὶ τὸ ὢψ ὠπός. αἴνυτο, ῥῆμα ἐστι κτῶ· καὶ σημαίνει τὸ φονεύω· καὶ ὥσπερ τὸ βῶ, βαίνω, οὕτω καὶ τὸ κτῶ, κταίνω· ἀποβολῇ τοῦ τ καίνω τὸ κόπτω· καὶ ἐξ αὐτοῦ αἴνω· κατὰ παραγωγὴν αἰνύω· καὶ αἴνυμι παράγωγον εἰς μι, τὸ παθητικὸν αἴνυμαι· ὁ παρατατικὸς αἰνύμην· αἴνυτο· ἀκοντίζω [1]) παρὰ τὸ ἀκοντίζω· τοῦτο δὲ, παρὰ τὸ ἄκον ὃ σημαίνει, τὸ δόρυ, τοῦτο δὲ παρὰ τὸ ἀκὴν ὃ σημαίνει τὴν ὀξύτητα. ἀβρόσιον, παρὰ τὸ βροτός· ὃ σημαίνει τὸ αἷμα. ἄρτεμις ἡ σελήνη ἀρατέμις τὶς οὖσα, ἢ τὸν ἀέρα τέμνουσα. ἀκηχεμένη, παρὰ τὸ ἀχῶ, ἀχήσσω [2])· ἤχηκα· καὶ Ἀττικῶς (supra scr. ὀς) ἀκήχεκα· ἀκηχέμενος καὶ ἀκηχεμένη. ἆτος σημαίνει τὸ ἀκόρεστον· ἄατος καὶ ἆτος· ἔστι δὲ ἄδω (δυω delet.) τὸ κορεννύω, ὁ μέλλων, ἄσω, καὶ ἐξ αὐτοῦ ὄνομα, ἆτος. ἀνάσχεο, παρὰ τὸ σχῆμι, ὁ μέλλων σχήσω [3])· ὁ παρακείμενος, ἔσχηκα· ἔσχημαι, ὁ ἀόριστος, ἐσχέθην· ὁ μέσος δεύτερος ἀόριστος· ἐσχέμην ἔσχεο· καὶ τὸ προστακτικὸν, σχέο· καὶ ἀνάσχεο. ἀνιεῖσα παρὰ τὸ ἀνίημι ὃ σημαίνω τὸ ὑποχαλῶ καὶ ἀσθενὲς ποιῶ. ἀσπάζω ἔστι ῥῆμα σπῶ· καὶ σημαίνει τὸ διαχωρίζω· καὶ ἐξ αὐτοῦ γίνεται, σπάζω· καὶ μετὰ τοῦ στερητικοῦ α, ἀσπάζω· ἀπηλεγέως ἐκ τοῦ ἀλέγω τὸ βοηθῶ, γίνεται ἀλεγής, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπαλεγής· καὶ ἀπηλεγέως, ἐπιρρηματικῶς. ἀγαρηνὸς, τὰ διὰ τοῦ ηνος ὀξύτονα διὰ τοῦ η γράφεται· ἀγαρηνός· σαρακηνὸς μυζικηνὸς, μεγαληνός. σημείωσαι πέντε μελεστινός· ἐδεσινός· ἀτραμυτινός· ἐμεσινὸς ἐδεστινός· ἀσπαλιεὺς, ὁ ἁλιεύς· παρὰ τὸ ἀπὸ σπᾶν τοὺς ἰχθύας ἐκ τῆς θαλάσης· οἷον σπῶ σπαεύς· καὶ πλεοκασμῷ τῆς λι συλλαβῆς σπαλιεύς· καὶ μετὰ τοῦ στερητικοῦ α ἀσπαλιεύς. ἀφροντιστήσας· ἀμεριμνήσας, ἢ ἀμελήσας, ἀπὸ τοῦ ἀφροντινῶ μετὰ τοῦ στερητικοῦ α· τοῦτο δὲ παρὰ τὸ φροντίζω, τοῦτο, παρὰ τὸ τὰς φρένας τίειν· ὅ ἐστι τιμωρεῖν· οἱ γὰρ φροντίδας ἔχοντες, τὰς φρένας τιμωροῦνται· ἀδήωτον τὴν χώραν, ἀπόρθητον· παρὰ τὸ δηῶ τὸ πορθῶ τοῦτο δὲ παρὰ τὸ δαΐω τὸ κόπτω· τροπῇ τοῦ α εἰς η· μετὰ περισπωμένου τόνου δηῶ, τοῦ ι ἀνεκφωνήτου ὄντος διὰ τὸ μέγεθος τοῦ η· τὸ δὲ δαΐω σημαίνει τέσσαρα· δαΐω, τὸ κόπτω· δαΐω, τὸ εὐωχοῦμαι· δαΐω, τὸ καίω· δαΐω, τὸ μανθάνω· ἀκίβδηλος ὁ καθαρός· καὶ ἀκύβδηλος ὁ μὴ κρυβόμενος· ἀπὸ τοῦ κρύβδα· κρύβδηλος καὶ ἀκίβδηλος. ἀτεχνῶς· ἀπλάστως· ἀδόλως· τέχνη γὰρ, ὁ δόλος· ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχοιντο, τουτέστι· δολεροί σημαίνει δὲ καὶ τὸ ἁπλῶς καὶ καθάπαξ· οἱ δὲ, ἐν ἴσω τὸ ὄντι καὶ τῇ ἀληθείᾳ, οἱ δὲ, τὸ παράπαν καὶ καθόλου· ἀπόνασθε ὃ σημαίνει· τὸ ἀπολαῦσαι, ἀπὸ τοῦ ὀνῶ τὸ ἀπολαύω, τὸ

θέμα ὄνημι, τὸ παθητικὸν ὄναμε· καὶ [4]) ἀπαρέμφατον, ὄνασθαι. αἱμύλος, ἔμπειρος, συνετὸς, κολακευτικὸς παρὰ τὸ δαΐω τὸ μανθάνω δαίμων καὶ αἵμων αἱμύλος· οὗ κτητικὸν αἱμύλιος· Ἡσίοδος αἱμυλίοισι λόγοισι ὅ ἐστι κολακευτικοῖς. ἀνασκολοπισθῆναι ἀνασταυρωθῆναι· σκόλοπες ξύλον ὀξέος· σκόλοψ οὖν παρὰ τὸ σκέλω σκελοψ καὶ τροπῇ τοῦ ε εἰς ο. ἀνεῖσθαι, λελύσθαι· ἀπὸ τοῦ ἐῶ· ὃ σημαίνει τὸ πέμπω· τοῦτο περισπώμενον· καὶ γὰρ ἐῶ. ἐξ αὐτοῦ ῥῆμα εἰς μι· καὶ τὸ παθητικὸν ἕεμαι· καὶ κράσει εἶμαι· τὸ τρίτον εἶται καὶ τὸ ἀπαρέμφατον εἶσθαι· καὶ μετὰ τοῦ στερητικοῦ α καὶ πλεονασμῷ τοῦ ν ἀνεῖσθαι. ἀβελτηρία ἀνουσία· μωρία, ἢ τὸ βέλτιον μὴ γινώσκουσα· ἀπὸ τοῦ ἀβέλτερος μετὰ τοῦ στερητικοῦ α. τοῦτο παρὰ τὸ βέλτερος· τὸ θηλικὸν, ἀβελτηρία· καὶ τροπῇ τοῦ ε εἰς η ἀβελτηρία. ἀναξυρίδας φουμινάλια· βρακία, ἢ τὰ βαθέα καὶ ἄβατα ὑποδήματα· οἷον ἀνασυρίδας παρὰ τὸ ἀνασύρεσθαι· τροπῇ τοῦ σ εἰς ξ. ἀκροβολισαμένων, τῆς συμβολῆς ἐν τῷ πολέμω ἀρξαμένων, ἢ ἀκοντίσαντι· τὸ θέμα ἀκροβολῶ· ἀρβύλη εἶδος ὑποδήματος· παρὰ τὸ ἁρμόζει τῷ ποδί. ἁρμόζω οὖν, ἁρμύλη· καὶ ἀρβύλη· ἀστίβητος· ἀπάτητος· ἢ διάβατος ἀπὸ τοῦ στείβω· ὁ μέλλων στειβῶ· καὶ μετάγεται εἰς ἐνεστῶτα καὶ γίνεται, στιβῶ, στιβήσω· ἐστίβημαι ἐστίβηται· στιβητὸς καὶ ἀστιβητός· μετὰ τοῦ στερητικοῦ α· τὸ δὲ στείβω, παρὰ τὸ στῶ, στείβω. αἱρήσειν, ἀπὸ τοῦ ἁλῶ, ὃ σημαίνει τῷ πορθῶ· πλεονασμῷ τοῦ ι καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον αἱρῶ ὁ μέλλων αἱρήσω· καὶ τὸ ἀπαρέμφατον αἱρήσειν· σημαίνει δὲ καὶ τὸ προκρίνω, ἐξ οὗ καὶ τὸ προχειροῦμαι καὶ τὸ χωρίζω· ἐξ οὗ καὶ τὸ διαιρῶ· σημαίνει δὲ καὶ τὸ αἱρῶ τὸ καταλαμβάνω, ἐξ οὗ καὶ τὸ μὴ δὲ σὲ λήθη αἱρείτω· ταῦτα δὲ τὰ τέσσαρα, περισπώμενα· αἴρω δὲ τὸ κουφίζω· καὶ αἴρω τὸ προσφέρω· ἐξ οὗ καὶ ἄρτος βαρύτονον· ἀριστίνδην ἐκλελεγμένως κατὰ ἀριστείαν· ἀπὸ τοῦ ἄριστος ὄνομα ὑπερθετικὸν, ἀπὸ τοῦ ἀρείων συγκριτικοῦ· τοῦτο δὲ παρὰ τὸ ἄρης ὃ σημαίνει τὸν πόλεμον· τοῦτο δὲ παρὰ τὸ ῥῶ τὸ λέγω, ῥήσω· καὶ μετὰ τοῦ στερητικοῦ α, ἄρης. ἀποκναιόμενοι, διαφθειρόμενοι· ἀποκοπτόμενοι, λυπούμενοι ἀπολυόμενοι, ὀδυρόμενοι. ἔστι ῥῆμα κτῶ, ὃ σημαίνει τὸ φονεύω· οὗ παράγωγον, κταίνω· ἀποβολῇ τοῦ τ καίνω, καὶ μεταθέσει κναίω· ἀνιείς, ἀφιείς· καὶ γίνεται ἀπὸ τοῦ ἵημι, ὁ παρατατικὸς, ἵης ἡ μετοχὴ ἱείς· καὶ μετὰ τῆς ἀνὰ προθέσεως, ἀνιείς. ἀπρὶξ ὅλη δυνάμει τὸ ἰσχυρῶς κρατεῖν. ἀνύποιστος, ἀνυποφόριτος, ἀνυπομόνητος· ἀπὸ τοῦ οἴω ὃ σημαίνει τὸ φέρω· γίνεται οἰστός· καὶ μετὰ τῆς ὑπὸ, ὑποιστὸς, καὶ μετὰ τοῦ στερητικοῦ α· καὶ πλεονασμῷ τοῦ ν ἀνύποιστος. ἄδυτα ὀροφαί· οἶκοι ὑπόγειοι· σκοτινοί· λέγει δὲ καὶ τὰ μυχεῖα τῶν ἱερῶν ἄδυτα· εἰς ἃ οὐκ ἔστιν εἰσελθεῖν· ἀπὸ τοῦ δύω, ὃ σημαίνει τὸ ὑπεισέρχομαι· δέδυμαι· δέδυται καὶ ἐξ αὐτοῦ δυτός· καὶ ἄδυτος ὁ ἀφανής· ἀλέασθαι ἐκκλίναι· ἀναχωρῆσαι κυρίως δὲ [5]) ἀπὸ πυρὸς ἐκφυσεῖν ἀλέα γὰρ ἡ θερμασία τοῦ πυρὸς δαλέα τὶς οὖσα· ἀπὸ τοῦ δαίω τὸ καίω· ἀμφήριστον ἀμφίβολον, ἢ ἄνισον παρὰ τὸ ἐρίζω· ὁ παθητικὸς ἤρισμαι, ἤρισται· καὶ ἐξ αὐτοῦ ἀμφήριστος. ἀλᾶσθαι τὸ πλανᾶσθαι· παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι· ὁ παθητικὸς ἀλῶμαι· καὶ τὸ ἀπαρέμφατον ἀλᾶσθαι· τοῦτο δὲ παρὰ τὸ τὴν ἄλα· ὃ σημαίνει τὴν πλάνην· τοῦτο δὲ παρὰ τὴν ἅλα, ὃ σημαίνει τὴν θάλασσαν· κυρίως γὰρ

---

1) alter Cod. ἀκοντίζω. 2) alter Cod. σχήσω. 3) alter Cod. σχήσω. 4) alter Cod. τὸ ἀπαρ. 5) alter Cod. κυρίως δὲ τὸ ἀπο.

ἄλη, ἡ ἐν θαλάσσῃ ταραχή. ἀπερύκειν κωλύειν· κατέχειν· κρατεῖν· ἀπὸ τοῦ ἔραν ὃ σημαίνει τὴν γῆν· ἐράκω. ἐρύκω· κυρίως γὰρ ἐρύκειν, τὸ ἐν γῇ κατέχειν. ἀντίξουν. ἐναντίον ἢ ἀρμόζον· οἷον, ἀντισούμενον· ἡ γὰρ ἀντὶ πρόθεσις, οὐ μόνον τὸ ἐναντίον σημαίνει ὡς τὸ ἀντίστασις. ἀλλὰ καὶ τὸ ἴσον, ὡς ἐν τῷ [1]) ἀντίθεον, ἀντὶ τοῦ ἰσόθεον· τροπῇ τοῦ σ εἰς ξ· οἱ γὰρ Ἀττικοὶ τὸ σύμβολον, ξύμβολον λέγουσιν. αὐτοβοεὶ τὸ παρὰ χρῆμα συντελεσθῆναι ἐπὶ πολεμικοῖς ἔργοις. οἷον, ταχέως ἅμα βοῇ. ἀνεσόβοω· σοβῶ ἐστὶ, τὸ ἐντρέχω. ἔνιοι δὲ τὸ ἐκδιώκω. ἀτέραμνον· ἀπαραίτητον· σκληρὸν δεινόν· ἀτέραμνον οὖν, τὸ μὴ εἶναι τέρας· κατὰ στέρησιν τουτέστι τροφερόν· καὶ ἁπαλὸν, τὸ εὐχέρως τειρόμενον· καὶ βλαπτόμενον λέγονται δὲ τεραμνα, τὰ μὴ ἑψόμενα, ὄσπρια· ἀλλὰ σκληρὰ καὶ κερασβόλα· καὶ ἀτεράμνων, ὁ ἀπειθὴς καὶ σκληρὸς ἄνθρωπος· ἀκονιτὶ ἀντὶ τοῦ ἀμαχεὶ ἄνευ ἀγῶνος καὶ μάχης· ἐκ μεταφορᾶς τῶν ἀθλητῶν· εὐμαρῶς παρὰ γινομένων ὥστε μὴ κονίσασθαι· τουτέστι κόνιν ἐπιπάσασθαι· τῆς γὰρ παλαίουσιν ἐκ τῆς βίας ἱδρῶτα γίνεσθαι, εἶτα κόνιν ταῖς χερσὶν ἀναλαμβάνειν, ἢ ἀκονιτὶ, εὐχερῶς συντόμως· ὥστε μὴ κονιορτὸν ἐγείρεσθαι. ἀλλαντοπώλων, παρὰ τὸ ἀλλᾶς, ἀλλᾶντος καὶ τὸ πώλω [2]) γίνεται, ἀλλαντοπώλης· τὸ δὲ ἀλλᾶν παρὰ τὸ τὴν ἄλησιν τῶν κρεῶν· ἀκμῆτες, ἀκοπίαστοι· ἀπὸ τοῦ κάμνω οὗ ὁ δεύτερος ἀόριστος, ἔκαμον· καὶ ἐξ αὐτοῦ καμὴς καὶ μετὰ τοῦ στερητικοῦ α ἀκαμὴς, καὶ ἐν συγκοπῇ ἀκμής. σημαίνει δὲ καὶ τοὺς ἀκμάζοντας· καὶ τοὺς ἀσίτους· τὸ δὲ ἀκμὴς σημαίνει τὸ ἄσιτον· γίνεται παρὰ τὸ τὴν ἀκμὴν ὃ σημαίνει τὸν σῖτον· ἐξ οὗ καὶ Ὅμηρος· Δημήτερος ἀκτήν· τουτέστι ψωμὸν ὃ σημαίνει τὸν σῖτον· ἀγύρτας. ἐπειδὴ πολλαχοῦ κατὰ τὰς πόλεις ἀγύρτας τινὰς τὸ τυχὸν ἢ λωποδύτας· ἐπαίτας φιλοκερδεῖς καὶ ὁ ἀγύρτης ἄλλος βῶλου· καὶ ὁ ἀλαζὼν καὶ ὁ ἀπατεών· παρὰ τὸ ἀγείρω τὸ περιϊέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ ἢ ἑτέρω τινὶ τοιούτω σεμνύνειν· λέγονται δὲ ἀγυρτικὰ, καὶ τὰ τυχαῖα ψεύσματα. ἀναρριχώμενοι, ἀναλαμβόμενοι [4])· πρὸς ὕψος ἀνερχόμενοι· ποσὶν ἢ χερσὶν, ἐπὶ τύχων ἢ δένδρων Ἀριστοφάνης εἰρήνη· πρὸς ταῦτ᾽ ἂν ἀρριχᾶτ᾽ ἂν εἰς οὐρανὸν ἀπὸ μεταφορᾶς τῶν ἀραχνῶν, οἵτινες τὰ οἰκεῖα νήματα κατέχοντες. ἄνω φέρονται. αὐτομάτως· αὐτοκελεύστως· αὐτοβούλως· ἀπὸ τοῦ ματῶ τὸ ζητῶ, γίνεται μαστὸς, ὃν ἐπιζητοῦσα τὰ βρέφη· καὶ ἐξ αὐτοῦ αὐτόματος, ὁ μὴ ἐπιζητηθεὶς, ἀλλ᾽ αὐτὸς ἑαυτὸν ἐπαγαγών· ἀπὸ τούτου, ἀπροτίμαστος γυνὴ, ἡ μὴ ἐπιζητηθεῖσα· Ὅμηρος· ἀλλ᾽ ἔμενους ἀπροτίμαστος ἐνὶ μεγάροισιν ἐμεῖσιν. ἀγχώμαλον, παρὰ μικρὸν ἴσον· ἐγγὺς τοῦ ὁμαλοῦ, ἀπὸ τοῦ ἄγχι ὃ σημαίνει τὸ ἐγγὺς καὶ τὸ ὁμαλός. ἀνεπαφρόδιτος, ὁ μὴ ἐπιχαρὴς· καὶ ἀηδής· καὶ ἐπαφρόδιτος, ὁ ἐπιχαρὴς καὶ ἡδύς. ἀποχρώντως, ἱκανῶς ἀρκοῦντος· ἀπὸ τοῦ χρῶ β συζυγίας τῶν περισπωμένων, ἡ μετοχὴ ὁ χρῶν· ἡ γενικὴ χρώντων· καὶ ἐπιρρηματικῶς χρώντως· καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀποχρώντως. ἀπὸ φλαυρίζοντες· ἐπιτωθάζοντες· ἐξευτελίζοντες, ἢ ὡς πονηρὸν ἀποστρεφόμενοι· ἀεὶ γὰρ τὸ φλαῦρον, ἐπὶ τοῦ πονηροῦ τάττεται· φαῦλον οὖν ἐστιν ἐν ὑπερβιβασμῷ τοῦ λ. καὶ πλεονασμῷ τοῦ ρ φλαῦρον, τὸ δὲ φαῦλον, ποτὲ μὲν δηλοῖ τὸ μέγα καὶ ἁδρὸν καὶ καλόν· ποτὲ δὲ τὸ μοχθηρὸν καὶ μικρόν· ἀμβλυώττειν, τὸ τυφλώττειν· καὶ βαρύνεσθαι τοὺς ὀφθαλμοὺς, ἀπὸ τοῦ ἀμβλὺς, καὶ τοῦ ὄσσω τὸ βλέπω. εὐμάρας ὀχετοῦ· ἢ τάφρου, ἢ ὑδρορόεις· διὰ τὸ ἐν αὐτῇ ὄντα ἀμάραντα εἶναι· ἢ παρὰ τὸ ἅμα καὶ τὸ ὁμαλῆς, ῥέειν· ἢ παρὰ τὸ τῇ ἄμῃ αἴρεσθαι καὶ ὀρύττεσθαι· ἄμη δὲ ἐργαλεῖον τι. ἀφαυρᾶ ἀσθενέστερα· ἢ κουφότερα, ἀπὸ τοῦ ἀφαυρὸς, ἤτοι ἄγαν παῦρος καὶ ὀλίγος κατὰ τὴν δύναμιν. ἀμαιμάκετον ἄμαχον· ἀνυπόστατον· ἀπὸ τοῦ μαιμῶ τὸ προθυμοῦμαι· καὶ μετὰ τοῦ στερητικοῦ α ἀμαιμάκετον· πρὸς ἣν οὐδεὶς προθυμεῖται μάχεσθαι. ἄγγκωνες δωράτια, οὐ λίαν, σμικρά· ἀλλ᾽ οὐδὲ μεγάλα, ἀλλ᾽ ὅσον ἀκοντίζεσθαι εἴπου δεήσοι. ἄτρυτα, ἀκάματα, σκληρὰ καὶ ἰσχυρά· ἀκκίζεται ἔτι τοῖς ὅπλοις, ἀκκίζεται ἔτι τῆς ὕβρεως· ἔχεται, ἐπαίρεται· γυναικίζεται· θρύπτεται· μωραίνεται.

Ἀρχὴ τοῦ Β.

ρενθυόμενοι, δυσχεραίνοντες καὶ θυμούμενοι, παρὰ τὸ μεταβάρους θύειν· ὅ ἐστιν, ὁρμᾶν. βωμολοχία, κυρίως ἐλέγετο, οἱ ἐπὶ τῶν θυσιῶν ἐπὶ τοῖς βωμοῖς καθεζόμενοι, καὶ μετὰ κολακείας προσαιτοῦντες. βωλασία, ἡ εἰλείθυια· βολᾶς γὰρ τὰς ὠδῖνας ὠνόμαζον, Εἰλειθυία δὲ ἐστιν ἡ θεά· ἡ ἐπέχουσα τὰς ὠδῖνας· βραβεύει ἐπιψηφίζεται· διανέμει καὶ βραβευτὴς· διοικητὴς κριτὴς· ὁριστής.

Ἀρχὴ τοῦ Γ.

γλαφυρώτατος, ἡδύς· καλὸς σοφός· ἔμπειρος, ἀκριβὴς καὶ παραμενάνδρω, ὁ εὐτράπελος· γίνεται, παρὰ τὸ γλάφω, τὸ διορύττω, καὶ κοιλαίνω. γλαφυρὸν ἐπὶ τοῦ κοίλου· ἐπὶ δὲ τοῦ ἡδέως τὸ διορύττων· καὶ κινοῦν πρὸς ἡδονὴν τὴν ἀκοήν. γνωματεύοντες διακρίνοντες· διαγινώσκοντες ἀκριβῶς, παρὰ τὸ γνώμη καὶ μαντεύω ὃ σημαίνει τὸ ζητῶ· γεγανωμένος, λελαμπρυσμένος ἢ κεκαλλωπισμένος. γλωχῖνα, σημαίνει τὴν ἀγωνίαν, παρὰ τὸ γλάπτω τὸ κοιλαίνω· ἢ παρὰ τὸ γλάχω γίνεται γλωχίν. γήπαιδες οἱ λεγόμενοι, λογγίβαρδοι, οἱονεὶ γεττίπαιδες· οἱ τῶν γεττῶν, παῖδες· γλιχόμενοι· ἐπιθυμῶν. γέρρον Περσικὰ μὲν εἰσὶν ὅπλα· κυρίως δὲ τὰ γέρρα· κατὰ χρηστικῶς δὲ καὶ ἅπαν σκέπασμα, εἴτε δερμάτινον εἴτε ἐξ ἄλλης τινὸς ὕλης· λέγονται δὲ καὶ τὰ γυναικεῖα αἰδοῖα παρὰ Σικελοῖς, οἷον, δερατινὰ ὄντα παρὰ τὸ δέρας ὃ σημαίνει τὸ δέρμα· γριφῶδες, σημαίνει τὸ δύσκολον· καὶ συμπεπλεγμένον λόγιον· λέγονται δὲ καὶ γρῖφοι, τὰ δίκτυα· καὶ τὰ συμπόσια, καὶ ζητήματα· γίνεται δὲ παρὰ τὸ ἀγρεύειν, ὅ ἐστιν, ἐπιζητεῖν. γεγανότερον· ἐξακουστότερον· λαμπρότερον· γέγωνε, παρὰ τὸ φωνῶ τροπῇ τοῦ φ εἰς γ, γωνῶ· ὁ μέλλων, γωνήσω· ὁ μέσος παρακείμενος γέγωνα· ἡ μετοχὴ, ὁ γεγωνώς· καὶ ἐξ αὐτοῦ γεγωνότερον ἐπίρρημα. γρυπὸς ὁ ἐπικεκαμμένην ἔχων τὴν ῥῖνα· ῥυβὸν γὰρ ἐστι τὸ ἐπικαμπὲς, παρ᾽ αἰολεῦσιν ἤτοι ῥ . . . βὸν, καὶ (a m. rec.) κατὰ τροπὴν τοῦ β εἰς π, καὶ πλεονασμῷ τοῦ γ, γρυπός· ἢ παρὰ τὸ ῥέπω· ῥεπὸς καὶ ῥυπός· καὶ γρυπός· ἡ ἐφ᾽ ἑνὶ τῷ μέρει, ῥέπουσα ῥίς. γωρυτὸς ἡ θήκη τῶν βελῶν, ἀπὸ τοῦ χωρεῖν τοὺς ῥυτοὺς ἤγουν τὰ βέλη.

Ἀρχὴ τοῦ Δ.

διωλόγιον, μακρόν· ἐκτάσει τοῦ ω εἰς ω· καὶ πλεονασμῷ τοῦ δ, διωλύγιον· δαημονέστατοι, ἐμπειρώτατοι ἢ τεχνικώτατοι, ἐπιστημονικώταται· παρὰ τὸ δαίω, τὸ

---

1) alter Cod. τό pro τῷ. 2) alter Cod. πωλῶ. 3) alter Cod. ἀναλαμβανόμενοι.

μανθάνω· διηθείας ἄνευ πόνου, καὶ δυσπαθείας· καὶ κακοπαθείας. δύηγον, ἡ κακοπάθεια· λυή τις οὖσα, ἡ λύουσα τὰ βέλη· ὅθεν καὶ δοῦλος ὁ δυστυχὴς καὶ κακῶς πάσχων δύηλος τὶς ὤν. διάττειν, ὁρμᾷν· ξέχειν· ἢ δάκνειν· οἷον διαθεῖν· ἀπὸ τοῦ θέω τὸ τρέχω· τροπῇ τοῦ θ εἰς τ· καὶ πλεονασμῷ ἑτέρου τ. δεκατευτήριον, τελωνεῖον, ἀπὸ τοῦ δεκατάτης· τοῦτο, παρὰ τὸ δεκατεύειν· τοῦτο δὲ ἀπὸ τοῦ δέκα· τὰ ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκατεύοντο, θεοῖς· διὸ κυρίως δεκευτεῦσαι τὸ καθιερῶσαι. δόνακες, κάλαμοι· παρὰ τὸ δονῶ τὸ συστρέφω· διακηρυκεύεται, διὰ κηρύκων· συνθήκας ἢ πρεσβείας ποιεῖται· γίνεται δὲ παρὰ τῆς κήρυξ κήρυκος γενικῆς· τό δε κήρυξ, παρὰ τὸ κηρύσσω τοῦτο παρὰ τὸ γῆρυς, ὃ σημαίνει τὴν φωνήν· τοῦτο δὲ παρὰ τὸ χῶ, τὸ χωρῶ· ἡ διὰ τῆς τραχείας ἀρτυρείας χωροῦσα. διφθέρα, ὅσα κατ' ἐκείνην δήπου φέρεται τὴν διφθέραν, τὸ γραμματεῖον, ἢ βιβλίον, ἢ βύρσαν· ἢ δέλτον· οἷον δυοφθέραν τοῖς ἐν τοῖς δύο μέρεσιν φέρουσαν τὰ γράμματα. δαιταλεῦσιν ὃ σημαίνει, δαιτυμώση, θιασῶτες, ἢ συμπόταις παρὰ τὸ δαῖτα, ὃ σημαίνει. τὴν εὐωχίαν· ἢ παρὰ τὸ δαίω, τὸ εὐωχοῦμαι· δαιαλεὺς καὶ πλεονασμῷ τοῦ τ, δαιταλεύς· διασεσοβημένος, τεταραγμένος· τεθορυβημένος· σοφεῖν γὰρ τὸ τρέχειν· παρὰ τὸ σεύω τὸ ὁρμῶ. διαρρήδην, φανερῶς· σαφῶς παρὰ τὸ ῥῶ τὸ λέγω· ὁ μέλλων ῥήσω· ῥήδην, καὶ διαρρήδην· δρύφακτοι ξύλινοι θώρακες· τὰ διαφράγματα· ἢ τὰ περιτειχίσματα· ἢ αἱ τῶν δικαστηρίων, θύραι, ἤγουν τὰ κάγγελα· διαμπὰξ (μ a m. rec.) διόλου ἢ διαπαντός· ἐκ τοῦ διαρπάζω· ἀποβολῇ τοῦ ω διαρπὰξ, καὶ τροπῇ τοῦ ρ εἰς μ, διαμπάξ.

ῤ χ τοῦ Ε.

ἐμπεδῶσαι, βεβαιῶσαι. ἐνισχύσαι· ἀσφαλίσασθαι· ἑδραιῶσαι· καὶ ἔμπεδον, τὸ ἑδραῖον, καὶ βέβαιον· παρὰ τὸ πέδον, παρὰ τὸ ἕω τὸ καθέζομαι· ἕδον· καὶ πλεονασμῷ τοῦ π πέδον· ἢ παρὰ τὸ ἕζω τὸ καθέζομαι. ἐνέρσει· συμπλοκῇ· παρὰ τὸ εἴρω, τὸ συμπλέκω· ἐξ οὗ καὶ σειρὰ, ἡ πλοκή· καὶ πλεονασμῷ τοῦ σ, εἴρσω· καὶ ἐξ αὐτοῦ, ἔρσις καὶ ἔνερσις. ἐγχρίπτουσα· προστρίβουσα· καὶ προσπελάζουσα· οἱονεὶ, τοῦ χρωτὸς ἁπτομένη· ἢ παρὰ τὸ ἐγχρῶ. ὅ ἐστιν εἰς χρῶτα πάνυ ἐγγὺς, ὥστε πάνυ ἐφάπτεσθαι. ἐγχρῶ οὖν καὶ ἐγχραύω καὶ ἐγχραύπτω· καὶ ἐγχρίπτω· ἐκβολῇ τοῦ α· καὶ τροπῇ τοῦ υ εἰς ι. ἐπεκερτόμει ἐχλεύαζεν· ἔσκωπτεν· ἠρέθιζεν παρὰ τὸ κέαρ ὃ σημαίνει τὴν ψυχήν· καὶ τὸ τέμνω· κερτομεῖν οὖν, τὸ κέαρ τέμνειν. εἰσήρρησεν εἰσεφθάρη· εἰςεπήδησεν ἐς νέωτα, τὸν πόλεμον μεταθέσθαι· τὸ ἐπιὸν ἔτος, ἢ τὸ μέλλον· παρὰ τὸ ἕνος ὃ σημαίνει τὸν ἐνιαυτόν· ἔνοστα· καὶ ἀποβολῇ τοῦ σ, καὶ ἐκτάσει τοῦ ο εἰς ω καὶ ἐν ὑπερθέσει τοῦ ν, νέωτα. ἐπίσωτρα. τὰ κύκλω τῶν τοῦ ἅρματος τροχῶν σιδήρια· παρὰ τὸ σῶ ὃ σημαίνει τὸ ὁρμῶ· ὁ μέλλων, σώσω· ὄνομα ῥηματικόν· σῶστρον, καὶ ἐπίσωστρον· τὸ ἐκτὸς τῶν τροχῶν σιδήριον· ἐρυμνώσας ἰσχυροποιήσας· πυκνώσας· ἀσφαλισάμενος· ἀπὸ τοῦ ἐρυμνῶ· τοῦτο, παρὰ τὸ ἔρυμα· ὃ σημαίνει τὴν ἀσφάλειαν· ἐρυμῶ καὶ πλεονασμῷ τοῦ ν, ἐρυμνῶ· τὸ δὲ ἔρυμα, παρὰ τὸ ἐρύω ἑλκύω· ἢ παρὰ τὸ ἐρύω τὸ φυλάσσω. ἐνερόχρωτες, νεκρόχρωτες· νέκρου χροιὰν ἔχοντες· ἔνεροι γὰρ οἱ νέκροι· οἱ ἐν τῇ ἔρα ὄντες· τουτέστιν ἐν τῇ γῇ· ἔνθεν καὶ τὸ πίπτειν ἔραζε εἰς τὴν γῆν. ἐωλοκρασία, ἔθος ἦν τοῖς νέοις δειπνοῦσι καὶ νυκτερεύουσι, κατέχειν τῶν ἑώλων δείπνων τοὺς ζωμοὺς, τῶν κοιμωμένων πρὸς τοιαύτην παιδείαν τετραμμένοι, ἐωλοκρασία γὰρ ἡ χθεσινὴ, μέθη· ἕωλον τὸ χθεσινόν. ἔστεργεν ὑπέμενεν· ἢ ἠγάπα· ἐπέσκεψε m. rec. corr. ἐπέσκηψεν) ἐνετείλατο σημαίνει. ἐτώθαζον ἔσκωπτον· διέσυρον· σημαίνει δὲ καὶ τὸ ἐσχόλαζον· γίνεται δε παρὰ τὸ ὤθω· ὠθάζω· καὶ τωθάζω· ἐπιθειάσας ἐπιθαυμάσας· τὸ θεῖον· εἰσδεδεγμένος· θεοφρουρούμενος (m. rec. corr. θεοφορούμενος) παρὰ τὸ θεὸς ὄνομα, θεῶ ῥῆμα· ὁ α ἀόριστος, ἐθέασα· ἡ μετοχὴ, ὁ θεάσας, πλεονασμῷ τοῦ ι, θειάσας. εἴσῃ, γνώσῃ· μαθήσῃ· παρὰ τὸ εἴδω τὸ γινώσκω· σημαίνει δὲ τὸ εἴδω, ζ· εἴδω, τὸ γινώσκω, συντάσσεται πτώσει, αἰτιατικῇ· μάλ· δ' εἴσεται αὐτόν· εἴδω τὸ ὁμοιῶ, πτώσει δοτικῇ· εἰδομένη γαλόῳ· εἴδω τὸ ὁρῶ, αἰτιατικῇ· ὡς εἶδον Ἥφεστον· εἴδω τὸ διέρχομαι, γενικῇ· διαπροδεείσατο καὶ τῆς [1])· εἴδω τὸ δοκῶ, αἰτιατικῇ εἴσατο δ' ἐς Λήμνου εἶναι· εἴδω τὸ ὁρμῶ· γενικῇ· εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά. ἐσκαλευκότες, ἐρασμήσαντες. ἐκεχειρία σημαίνει τὴν ἀνάπαυσιν καὶ ἀνακωχήν· κυρίως ἐπὶ τοῦ πολέμου· παρὰ τὸ ἔχω ῥῆμα· καὶ τὸ [2]) χεὶρ χειρὸς, γίνεται ἐχεχειρία, καὶ τροπῇ τοῦ χ εἰς κ. ἐρεσχηλῶ τὸ φλυαρῶ· σημαίνει δὲ τὸ ἑκουσίως τὸ κακὸν ἐκλεξάμενος· ἐνεόχμωσεν, ἠλλοίωσεν· ἢ ἐκαινοποίησεν· ἀπὸ τοῦ νέος καὶ τοῦ ἔχω· νεοέχω· καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ μ νεοχμῶ. ἔκπυστα· ἐξάκουστα· ἄρρητα· ἐκ τοῦ πεύθω τὸ ἀκούω, γίνεται πυστὰ καὶ ἔκπυστα· ἐπιθρυλοῦντες, ἐνοχλοῦντες· θορυβοῦντες· ἐκ τοῦ θρυλῶ τοῦτο, παρὰ τὸ θροῦς, θροὸς, θροῶ· καὶ πλεονασμῷ τοῦ λ· καὶ τροπῇ τοῦ ο εἰς υ θρυλῶ· ἔρανος, τὸ ἐκσυνεισφορᾶς δεῖπνον, ἡ ἐντολὴ ἡ συλλογή· ἀπὸ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ· ὁ μέλλων ἐράσω· καὶ ἐξ αὐτοῦ ἔρανος· τὸ δε ἐρῶ, σημαίνει δ τὸ ἐπιθυμῶ τὸ λέγω· τὸ ἐρωτῶ καὶ τὸ φθείρω. ἐγκάρσιον, πλάγιον· παρὰ τὸ κείρω τὸ κόπτω· ὁ μέλλων Αἰολικῶς, κέρσω· καὶ ἐξ αὐτοῦ κέρσιος· καὶ ἐγκάρσιος· εἰρωνεύεσθαι, ψευδολογεῖν· χλευάζειν, ὑποκρίνεσθαι· παρὰ τὸ εἴρων εἴρωνος, εἰρωνεύω· τοῦτο δὲ παρὰ τὸ εἴρω τὸ λέγω· ἐξ οὗ καὶ ἶρος ὃ σημαίνει, τὸν φλύαρον· εὐήθεια· μωρία· ἄνοια· ἔπαλξις, ὁ προμαχών· ἐπάλαξις τὶς οὖσα· ἀπὸ τοῦ ἀλεξῶ ῥήματος· περισπώμενον· τοῦτο παρὰ τὸ ἀλέγω ἀλέξω· καὶ μετάγεται ὁ μέλλων, εἰς ἐνεστῶτα καὶ γίνεται ἀλεξῶ. ἐφεῖντο· ἔστιν ἕω ῥῆμα· καὶ σημαίνει τὸ κορεννύω, ὡς τὸ ἔπειτ' ἑῶμεν πολέμοιο, Ὅμηρος ἀντὶ τοῦ κορεσθῶμεν· καὶ ἐξ αὐτοῦ παράγωγον, ἕημι· τὸ παθητικὸν, ἕεμαι εἶμαι κατὰ κρᾶσιν, ὁ παρατατικὸς, εἵμην. τὸ τρίτον τῶν πληθυντικῶν εἷντο· καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐφεῖντο· ἀντὶ τοῦ ἀπολαύουσιν· ἐναβρύνεσθαι, μεγαλοφρονεῖν, καὶ καυχᾶσθαι. ἐπεβάτευσαν, ἐπῆλθεν ἐπέβη· κυρίως δὲ ἐπὶ νηὸς ἐπιβαλλῶν λέγονται· οἱ μὴ ἐρέσσοντες ἀλλὰ μαχόμενοι. ἑάλω, ἐλήφθη· ῥῆμα ἐστιν, ἁλῶ· καὶ σημαίνει τὸ πορθῶ, ὁ μέλλων, ἁλώσω· ὁ δεύτερος ἀόριστος, ἥλων· τὸ τρίτον, ἧλω· καὶ τροπῇ τοῦ η εἰς ε· καὶ πλεονασμῷ τοῦ α ἑάλω. ἔξορος ὁ παλαιός· ἐσκευωρῆσθαι κατεστοχάσθαι ἐπιβεβουλεῦσθαι· γίνεται δὲ τὸ σκευωρῶ, ἀπὸ τοῦ κεύθω τὸ κρύπτω· πλεονασμῷ τοῦ σ καὶ ἐκβολῇ τοῦ θ. ἐπιτροχάδην, ἐπειγμίως. ἐπιέζουν· ἐβαροῦντο ἐδαμάζοντο· ἐσφίγγοντο· ἐφειμένον, ἐντεταλμένον· καὶ προστεταγμένον, ἀπὸ τοῦ ἐφίημι· ὁ παρακείμενος ἐφῆκα· ὁ παθητικὸς ἐφέειμαι· καὶ πλεονασμῷ τοῦ ι ἐφεῖμαι· ἡ μετοχὴ ὁ ἐφειμένος καὶ ἐφιμένον·

---

1) alter Cod. post haec: εἴδω τὸ φαίνομαι, αἰτιατικῇ· τὸ δέ τοι κῆρ εἴδεται εἶναι. 2) alter Cod. τοῦ pro τό.

Ἐληλάται· ἤγουν μαλώτευε· καὶ ἐλήστευων. ἤρπαζεν, ἀπὸ τοῦ θέματος, λεηλατῶ· τοῦτο παρὰ τὸ λεως, καὶ τοῦ ατῶ, ὃ σημαίνει τὸ βλάπτω, γίνεται, λεωλατῶ καὶ τροπῇ τοῦ ω εἰς η καὶ πλεονασμῷ τοῦ λεηλατῶ· τὸ τὸν λαὸν βλάπτων. ἐκμαγεῖον ἐκτύπωμα. ἐκφράγισμα· ἐκ τοῦ ἐκμάσσω ῥήματος· ἐναυχος ὁ ἔμπνως. ἐλινυειν· ἀργεῖν σχολάζειν. εὐτραπελία, ἡ μωρολογία· κουφότης ἀπαιδευσία. ἐνείρω, τὸ συμπλέκω. ἐσύχαζον ἐσυκοφάντει ἐλοιδόρει. ἀμενὴς, ἔμψυχος μέγα μένος ἔχων. τουτέστι ψυχὴν ἢ προθυμίαν· ἔζαμενὴς ὁ ἄγαν (sic corr. pro ἐγγὺς) ὀργίλος.

Ἀρχὴ τοῦ Ζ.

ζωάγρια, ἄποινα τὰ ὑπὲρ τὸ ζῆν διδόμενα. ζάκορος, ὁ νεωκόρος τὸ γὰρ ζα συνέστιν ενταῦθα ἐπιτατικὸν, ἀλλὰ ἀντὶ τῆς δια προθέσεως· ἵνα ᾖ διάκορος οἱ γὰρ Αἰολεῖς καὶ οἱ Ἀττικοὶ τὴν διὰ ζα λέγουσιν.

Ἀρχὴ τοῦ Η.

ἤρεψεν· ἐστέγασεν· ἐσκέπασεν· ἀπὸ τοῦ ἐρέφω. ἠλύσιον τὴν τῶν μακάρων νῆσον· εἴρηται ἐν ἴσω τὸ ἀλύσιον· ὅπου δὶς λύονται αἱ ψυχαὶ τῶν σωμάτων· ἢ ἀλύσιον ὅθεν οὐκ ἀναλύει τις· λέγει δὲ ἠλύσιον, ἱερὸν πεδίον· παρὰ τὴν ῥέδον· οἱ δὲ περὶ τὴν Αἴγυπτον· ἢ Λέσβον. ἡβηδὸν, ἀθρέον ὅλα καθ' ἡλικίαν· ἢ κατα νεότητα, ἥβη γὰρ ἡ νεότης· παρὰ τὸ βῶ, τὸ βαίνω· ἡβῶ· καὶ ἐξ αὐτοῦ ἥβη. ἠωρῆσθαι, ἠρθῆσθαι· κρεμᾶσθαι· ἀπὸ τοῦ ἀηρῶ· τοῦτο παρὰ τὸ ἀὴρ, ἀηρῶ· καὶ τροπῇ τοῦ η εἰς ω καὶ πλεονασμῷ τοῦ ι αἰωρῶ, καὶ ἀπαιωρῶ.

Ἀρχὴ τοῦ Θ.

Θαμίζειν ὁμιλεῖν καὶ πυκνῶς ἔρχεσθαι ἀπὸ τοῦ θαμὰ ἐπίρρημα. θρυλοῦντες ἀπὸ τοῦ θροῦς καὶ τὸ ἐλῶ τὸ ἐλαύνω οἰχνεῖ. θροῦν ἐλῶντες· τουτέστι θόρυβον ἐγείροντες. θρυγγῶ, ὁ περιτρέχων κύκλος· οἱονεὶ στέφανος. θητικὸν, θεραπευτικὸν· ἐργαστιτικόν. θεοκλυτοῦσιν ὡς θεοὺς ἐπικαλοῦνται· παρὰ τὸ θεὸς καὶ τὸ κλύω τὸ ἀκούω. θωπεία ἡ κολακεία· καὶ θῶπες, οἱ κόλακες· ἀπὸ τοῦ θωπεύω τοῦτο παρὰ τὸ θωψ θωπός· ὅπερ ἐστὶ θηρίον ἀπατηλόν.

Ἀρχὴ τοῦ Ι.

Ἰλυσπῶντο, ἰλυσπᾶσθαι ἐστὶ, τὸ παρὰ τὸ πλησίως τοῖς σκώληξι· καὶ τοῖς ὄφεσιν ἰέναι· οἱονεὶ ἐν τῇ ἀλύϊ σπᾶσθαι· τουτέστιν ἐν τῇ γῇ κυλίεσθαι. ἰθαγενεῖς οἱ γνήσιοι παῖδες (Cod. παίδες)· καὶ μὴ ἐκ παλλακίδος, οἷον αὐθιγενεῖς τινές· ὄντες· οἱ αὐτόθι γεγεννημένοι. ἵωντο, προθυμοῦντο· ἀπὸ τοῦ ἵημι τὸ ἵεμαι· ὁ παθητικὸς παρατατικὸς, ἱέμην· καὶ τὸ τρίτον τῶν πληθυντικῶν, ἵεντο. ἴδριας· σοφούς· ἐπιστήμονας· ἐμπείρους· ἀπὸ τοῦ εἴδω ὁ μέλλων, εἴσω· καὶ ἐξ αὐτοῦ εἴδις· καὶ πλεονασμῷ τοῦ ρ· καὶ ἐκβολῇ τοῦ ε, ἴδρυες. ἴυγγι βοῇ φωνῇ· καὶ ἰύζει, ἀντὶ τοῦ βοᾷ· λέγεται δε καὶ ἴυγγιξ· σῦριξ μονοκάλαμος· καὶ ὄρνεον τὸ λεγόμενον, σεισοπυγίς. σημαίνει δὲ καὶ ᾠδὴν· καὶ ἰυγμὸς φωνὴ καὶ συριγμὸς καὶ Ὅμηρος· οἱ δ' ἰύζοντες ἕποντο· τουτέστιν· οἱ συρίζοντες· ἔστι δὲ πεποιημένη φωνή. ἰτέον πορευτέον· ἀπὸ τοῦ εἰμι ῥήματος· ὁ δεύτερος ἀόριστος ἦν ἡ μετοχὴ εἰς ἔντος· τὸ προστάτικον ἔθι· τροπῇ τοῦ ε εἰς ι, ἴθι· καὶ ἐξ αὐτοῦ ἴθεον· καὶ τροπῇ τοῦ θ εἰς τ, ἰτέον· ἰσχνὸν ἀλπεινὸν ἢ σαπρὸν καὶ εἰ μὲν σημαίνει τὸ θαλπεινὸν, παρὰ τὸ ἡδύνω τὸ εὐφραίνομαι· εἰ δὲ τὸ σαπρὸν, παρὰ τὸ ἵημι τὸ πέμπω· οἷον τὸ ἀπόπεμπτον.

Ἀρχὴ τοῦ Κ.

Κατασπιλάζοντες, κατὰ κρύπτοντες ἀπὸ μεταφορᾶς τῶν ὑφάλων πέτρων· αἵτινες ὑπὸ τοῦ ὕδατος, καλυπτόμεναι τοῖς ἀπροόπτως πρὸς πελάζουσι κίνδυνον ἐπιφέρουσι. κατακλᾶν συντρίβειν.

Ἀρχὴ τοῦ Λ.

Λεμβὸς τὸ ἐφόλκιον· καὶ λεμβαρχοι (sic forte) οἱ ἐν φολκίω πλέοντες. λοχμηθάμνος ὕλη· σύνδενδρος τόπος, παρὰ τὸ λοχᾶν ἐν αὐτῷ· τουτέστιν, ἐνεδρεύειν· ἔστιν οὖν λοχῶ λόχη· καὶ πλεονασμῷ τοῦ μ λόχμη· λῷστοι· βέλλιστοι ἠγαπημένοι· ἔστι δὲ ὄνομα ὑπερθετικόν· ἀπὸ τοῦ λῶος τὸ ὑπερθετικὸν λῷστος· τοῦτο, παρὰ τὸ λῶ, τὸ θέλω· τὸ γὰρ καλὸν, πάντες θέλουσι. λιχμώμενος, παρὰ τὸ λείχω τὸ ἀπὸ σπογγίζω· ἀπὸ τοῦ λιχμῶ δευτέρας συζυγίας τῶν περισπωμένων· τοῦτο ἀπὸ τοῦ λείχω πλεονασμῷ τοῦ μ λιχμῶ· τὸ λι, ι διατί· ἐπειδὴ ού πάντη ἀκολουθοῦσι, τὰ παράγωγα τοῖς πρωτοτύποις. λίχνοι οἱ πολυπράγμονες καὶ οἱ λαίμαργοι, παρὰ τὸ λίαν χέειν. λαιὸν σημαίνει τὸ ἀριστερόν· καὶ λαιὰ χείρ, ἡ ἀριστερὰ παρὰ τὸ λελιᾶσθαι καὶ κεχωρίσθαι τῶν πράξεων. λιγνυῶδες τὸ ἀσβολῶδες· καὶ καπνῶδες· λιγνὺς γὰρ λέγεται ὁ ἀπὸ καιομένων αἰλαιωδῶν· γινώμενος καπνός· Ὅμηρος, λιγνὺν αἰθαλόεσσαν. διαφέρει γὰρ καπνὸς καὶ κνίσσα καὶ λιγνὺς καὶ αἰθάλη· καπνὸς ὁ ἀπὸ ξύλων γινόμενος· κνίσσα δὲ ἀπὸ κρεῶν καιομένων· λιγνὺς, ἀπὸ αἰλαιωδῶν· αἰθάλη ἀπὸ ἀσβέστου· καπνός. ματὶξ, σπογγίστρα, παρὰ τὸ μάσσω τὸ μαλάττω· μετωπηδὸν, ἀντὶ τοῦ ἔμπροσθεν τῶν ὤπων τουτέστι τῶν ὀφθαλμῶν. μεμυκέναι, καμύσαι· σημαίνει δὲ τὸ ἠχῆσαι· ἀπὸ τοῦ μυκῶ μυκήσω μεμύκηκα· ὁ μέσος μέμυκα· τὸ τρίτον, μέμυκε καὶ τὸ ἀπαρέμφατον, μεμυκέναι. μῶν ἀντὶ τοῦ ἆρα· ἀπορηματικοῦ συνδέσμου συνετέθη ἀπὸ τῆς μὴ ἀπαγορεύσεως· καὶ τοῦ οὖν συνδέσμου· καὶ ἐγίνετο μηοῦν ἀποβολῇ τοῦ η μοῦν· καὶ τροπῇ Δωρικῶς τῆς ου εἰς ων, μῶν, διὸ καὶ περισπᾶται. μειονεκτεῖσθαι, τουτέστι, κρατεῖσθαι. μελιταῖα, κυνίδια· μικρὰ παρὰ τὸ μέλλω τὸ φροντίζω· τὰ ἐπιμελείας χρείαν ἔχοντα, ἀπὸ τῆς Μελίτης νήσου, γίνεται μελιταῖα· ἐν αὐτῇ γὰρ γίνονται μικρὰ κυνάρια. μηρίνθους σχοινία· σπάρτα· δεσμά. μεθ' ἄφες· ἐλέλια (sic) ἀπὸ τοῦ ἵημι ὁ δεύτερος ἀόριστος ἦν· ἡ μετοχὴ εἰς ἕντο· καὶ τὸ προστατικὸν ἕς. (in marg. καὶ μετα τῆς προθέσεως μέθες· σεσημαίωσαι γὰρ καὶ τὸ θὲς, δὸς, ἕς.) μαινόλης ὁ μαινόμενος· ἡ μανιοτὸς γίνεται· μαινόλης· παρὰ τὸ μαίνω καὶ τὸ ὅλος· ὥσπερ τὸ ἐξώλης· καὶ ποιώλης (corr. πειώλης) καὶ πανώλης· ἅπαντα γὰρ διὰ τοῦ ω μεγάλου γράφεται· πλὴν τοῦ μαινόλης. μαγίδες, παρὰ τῆς Ἄραψι τὸ κοντάριον. μάζας ψωμοὺς· ἀπὸ τοῦ μάσσω τὸ μαλάσσω· τροπῇ τοῦ δύο σσ μάζα· μυττωτὸν τρίμμα ἐξαρτυμάτων πολλῶν συντιθέμενον· οἱ δὲ Ἀττικοὶ ὑπότριμμα τι μετὰ σκορόδου, γινόμενον, ἔνιοι δὲ πλακοῦντα διαλαχάνων συντιθέμενον· βέλτιον δὲ τὸ διασκορόδων τρίμμα, ὡς εἶναι παρὰ μυσάττεσθαι τὴν δυσωδίαν· μυσσωτον, καὶ μυσσωτόν [1]. μύδρος ὁ ἀργὸς σίδηρος· τίθεται δὲ καὶ ἐπὶ αναισθήτων· καλεῖται δὲ καὶ ὁ διάπυρος σίδηρος· μύδρος ἐκ τοῦ μύζω τῷ ἠχῶ ῥῆμα, γίνεται πεποιημένη φωνή. μεμερτινὸς, μέμερτος ἐν Ἰταλίᾳ ὁ Ἄρης, ὅθεν καὶ οἱ ἐν Σικελίᾳ κατοικήσαντες στρατιῶται,

---

1) alter Cod. μυττωτόν.

μεμερτινοὶ ὀνομάσθησαν· οἱ ἴσα ἐργαζόμενοι Ἄρηϊ· ἄπαι ἔρυμοί· Φάραγγες κοιλάδες· παρὰ τὸ πίω ῥῆμα· καὶ μετὰ τοῦ στερητικοῦ α, ἄπη μετὰ τοῦ νη στερητικοῦ, νηάπη· καὶ ἐν συγκοπῇ νάπη· οἱονεὶ ἡ ἄγαν πίνουσα.

Ἀρχὴ τοῦ Ν.

Νήσαντες σωρεύσαντες· ἐκ τοῦ νῶ τὸ σωρεύω· ὁ μέλλων νήσω· ἐξ οὗ καὶ νηδὺς ἡ γαστήρ· παρὰ τὸ νενῆσθαι καὶ σεσωρεῦσθαι· καὶ πεπληρῶσθαι εἰς αὐτὴν τὰ βρώματα. νῶ δὲ τὸ κολυμβῶ· ἐξ οὗ καὶ νῆσος καὶ ναῦς· ἡ πᾶν μέρος ἐν τῇ θαλάσσῃ ἔχουσα· ὥσπερ τὰ νηχόμενα σώματα. νῶ τὸ ῥέω. ὁ μέλλων νάσω· καὶ νάρον τὸ ὑγρὸν, ὡς φησὶ Σοφοκλῆς ἐν Τρωΐλῳ· πρὸς ναρὰ κρηναῖα χωροῦμεν ποτά. νῶ τὸ νήθω· ἐξ οὗ καὶ νῆμα. νηποινὶ, ἀτιμωρητί. νηπενθὲς, ἀπένθητον. ἢ προσφάτως πενθούμενον. νεοχμοῦντα, μετακοσμούμενα. νεοχμὸς, ἄπονος καὶ ἄκοπος. νεωστὶ εἰργασμένως. ξυνεδεδέατο· συνδεδεμένοι ἦσαν· ἀπὸ τοῦ δέω τὸ δεσμεύω· ὁ παθητικὸς ὑπερσυντελικὸς, ἐδεδέμην· τὸ τρίτον τῶν πληθυντικῶν ἐδέδεντο· καὶ τὸ Ἰωνικὸν ἐδεδέατο· μετὰ τῆς συν προθέσεως, καὶ τροπῇ τοῦ σ εἰς ξ, ξυνεδεδέατο. ξυνάρασθαι συναρμόσασθαι κατὰ θέσθαι· ἀπὸ τοῦ ἀρῶ τὸ ἁρμόζω, ἄρασθαι καὶ ξυνάρασθαι. ξυναυλιζόμενοι, συναθροιζόμενοι· ἢ συνεσθίοντες· ξυνίστωρ, συνπράκτωρ, σύνβουλος· συγγνώστης παρὰ τὸ εἴδω τὸ γινώσκω· ὁ μέσος εἴσω· ἐκ τούτου, ἵστωρ. ξυνερρώγειν συνερραγη διελύθη· ἀπὸ τοῦ ῥήσω ἔρρηγα, ἐρρήγειν καὶ τροπῇ τοῦ η εἰς ω, ἐρρώγειν. ξύμκλιδες· σύμμαχοι παρείσακτοι. οὐτιδανὸν, μὴ δαμινόν· οὐδενὸς λόγου ἄξιον· ἐκ τῆς ου ἀρνητικοῦ καὶ τοῦ τίς· ὃ σημαίνει τὸ οὐδεὶς, γίνεται οὔτις ἡ γενικὴ οὔτινος· οὐτιανὸς καὶ πλεονασμῷ τοῦ δ οὐτιδανός. ὄχανος, ὁ δεσμός· ἢ ὁ λῶρος· ἐξ οὗ ἀποκρέμαται ἡ ἀσπὶς, γίνεται παρὰ τὸ ἔχω τὸ κρατῶ· τροπῇ τοῦ ε εἰς ο. ὀργῶντας ἐπιτεταμένως ἐπιθυμοῦντας· ἀπὸ τοῦ ὀργῶ· τὸ ἀκμάζω· τοῦτο παρὰ τὸ ὀρέγω τὸ ἐπιθυμῶ· καὶ συγκοπῇ ὀργῶ. ὁμαιχμία, ἡ συμμαχία· παρὰ τὸ αἰχμὴ καὶ τὸ ὁμοῦ· γίνεται, ὁμοαιχμία· καὶ ὁμαιχμία. σημαίνει δὲ καὶ τὴν εἰρήνην· συμβαίνει γὰρ εἰρηνευόντων τινῶν, ὁμοῦ τὰς χεῖρας, ἔχειν. ὁσημέραι παντοτε· καθ' ἡμέραν οἰδαίνειν, θυμοῦσθαι· ἐπέρεσθαι φύσασθαι. ὀφρυάζοντα, ὀφρυάζειν λέγεται, τὸ τοὺς ὀφρύας νεύειν, τοῦτο παρὰ τὸ ὀφρύς· δηλοῖ καὶ τὴν προβολήν· τῶν ὀρέων καὶ ἡμῶν τῶν ὄψεων· ὀρσοθύρη· θυρὶς δι' ἧς εἰς ὑπερῷον ὑπάρχει ἀνάβασις, παρὰ τὸ ὀρῶ τὸ διεγείρω· ὁ μέσος Αἰολικὸς, ὄρσω· καὶ τὸ θύρα γίνεται, ὀρσοθύρη. ὀθνεῖον, μάταιον· ξένον· ἀλλότριον τὸ ἐξ ἄλλου γένους καὶ οὐ προσῆκον· ἔνιοι οὐ συγγενὴς, ἀλλὰ παρὰ τὸ νόθος, νοθεῖος [1] καθυπερβιβασμῷ, ὀθνεῖος· ὀρεῦσιν, ἡμιόνοις· παρὰ τὸ ἐν ὄρεσι πλέον τῶν ἄλλων ζώων, δύνασθαι ἐργάζεσθαι· ἢ παρὰ τὸ οὐρώδηγος (sic) ἢν ἔχειν ἔνθεν ταῖς συνουσίαις· οὐ λαμβάνουσιν οὐδὲ τεκνογονοῦσιν. ὁμογνύω ὁμογενῶ τουτέστιν ἀδελφῷ οἷον ὁμόγνύω τουτέσιν, τὸ ἐκ τῆς αὐτῆς γονῆς. οὐριοδρομήσαντες φρουροῦ ἀνέμου πλεύσαντες. οὖρος, ὀφορὸς, ἄνεμος· λέγεται δὲ καὶ οὖρος ὁ φύλαξ καὶ ἰθυντήρ. οὖρος δὲ ὁ ἄνεμος, παρὰ τὸ οὐρόειν· ὅ ἐστιν ὁρμᾶν. ὁ δὲ φύλαξ, παρὰ τὸ οὐρῶ λέγεται δὲ καὶ φρουρός. οἷον πρόορος τὶς ὤν· καὶ ἐν συναιρέσει προυρός· καὶ φρουρός. ὀχμάσας τὸ κρατήσας καὶ κόψας· παρὰ τὸ ἔχω· τὸ κρατῶ· ὁ παθητικὸς παρακείμενος εἶχμαι· καὶ ἐξ αὐτοῦ ὄνομα, ὀχμάς· ὀχμάδες· καὶ ἐξ αὐτοῦ ὤχμασα· ἡ μετοχὴ ὁ ὀχμάσας.

Ἀρχὴ τοῦ Π.

ἴσυνος, πεπιστευκώς· τεθαρρηκὼς ὡς παρὰ τὸ δοῦλος δολόσυνος, οὕτω παρὰ τὸ πιστὸς πιστόσυνος καὶ πίσυνος· κατασυγκοπην· πρανὲς σημείωσαι τὸ κάταντες καὶ τὸ κατωφερές. καὶ πρανίζει τὸ καταφέρει. πυρρίχην σημαίνει σύντονον ὄρχησιν. πλήμνας τοῦ τροχοῦ τὰς σύριγγας· ἃς ἔνιοι καλοῦσι, χοινικίδας εἰς ἃς ὁ ἄξων ἐντρέφεται· παρὰ τὸ πληροῦσθαι ὑπ' αὐτὸν (suprasc. αὐτῶν) τὸν ἄξονα. παρεῖται παραιτεῖται· ἀφίεται, ἐκ τοῦ ἕημι τὸ παθητικὸν ἕεμαι· καὶ κράσει εἶμαι· τὸ τρίτον εἶται· καὶ μετὰ τῆς παρὰ προθέσεως παρεῖται. ποδοκάκη ξύλον ἐν ᾧ οἱ κακοῦργοι δεσμοῦντες οἷον ποδοκατόχη τὶς οὖσα· ἐν ᾗ οἱ πόδες κατέχονται. παλαμναῖος ὁ τοὺς αὐτοχειρὶ φονεύσαντας τιμωρούμενος καὶ Ζεὺς παλαμναῖος ἐν χαλκίδι καὶ ἀσπὶς δὲ τὶς τῶν θηρίων λέγεται παλαμναία· καλεῖται δὲ καὶ ὁ ἐχθρὸς καὶ πολέμιος· παλαμναῖος δὲ κυρίως καλεῖται ὁ διὰ χειρῶν καταγωνιζόμενος τὴν μάχην καὶ πάλην. παρηρημένην, ἐκβεβλημένην· ἀπομεχωρισμένην· ἀπὸ τοῦ αἱρῶ τὸ καταβάλλω. παρομαρτοῦντες ἀκολουθοῦντες· ἀπὸ τοῦ ὁμαρτῶ. πεπιλημένοι, συνεσφυγμένη· ἀπὸ μεταφορᾶς τοῦ πίλου· ὃ σημαίνει τὸ κένδουκλον. ποδοστράβη, τὸ γινόμενον πρὸς τὰ στρόμματα τῶν ποδῶν, ξύλον παρὰ τὸ πούς καὶ τοῦ στρέφω. πρυτανεῦσαι, διοικῆσαι. προστατεῦσαι, φυλάξαι· βασιλεῦσαι, ταμιεῦσαι· πρύτανις κυρίως ὁ σιτοφύλαξ, οἷον πυρόταμις ὤν· προυγιαίτερον, τὸ πρὸ τοῦ ἔργου αἱρετώτερον· παιτεύειν, τὸ ταυλίζειν. πτέμνον, τὸ ἀπογιράσκον τῶν στελέχων. προπιλακησθέντες, ἀδικηθέντες· ὕβριν θέντες· διασυρέντες· ἢ παρὰ τὸ πηλός. ὃ καὶ βέλτιον, οἱ γὰρ Ἀττικοὶ τῶν ἐπί τινι ἁμαρτήματι· ἁλόντα πηλὸν χρίοντες ἐδήμευον. παλίωξις ἡ παλιν δίωξις· πλοῖαι παράλογοι φόβοι· ἢ ἔκβληξις, ἢ κίνδυνοι· ἀγνύμενος, περιτριβόμενος, περικλώμενος· ὅπερ ἔσχε τὴν γένεσιν ἀπὸ τοῦ ἄγω ὃ σημαίνει τὸ κλάνω· ἀποβολῇ τοῦ ν κλῶ· ἄγω καὶ πλεονασμῷ τοῦ ν, ἀγνῶ· ἐκ τούτου ἀνύω καὶ παράγωγον ἄγνυμι. πυαλέα κάθυγρον λιβάδα ἔχουσα· παρὰ τὸ πιάλεος τοῦτο παρὰ τὸ πίω ὃ σημαίνει τὸ ποτίζω· παρωθεῖσα βεβαιωθεῖσα· παρὰ τὸ πύσσω τὸ πυγνύω. παλυνομένης, λευκαινομένης· ἢ βρεχομένης· παρὰ τὴν πατήλην· Ἀττικοὶ δὲ παιπάλην λέγουσι, τὸ λεπτὸν ἄλευρον· ἀπὸ τοῦ πάλεσθαι, ἀπὸ τοῦ ἀλεύρου τουτέστιν, ἀπορίπτεσθαι. περὶ πέζια, τὰ περὶ τὴν γῆν· προσπελάζοντα· πέζα οὐ μόνον ὁ πούς· ἀλλὰ καὶ ἡ γῆ· παρὰ τὸ ἕζω· τοῦτο παρὰ τὸ ἕω τὸ καθέζομαι. τὸ γὰρ ἔδω, οὐ μόνον τὸ ἐσθίω σημαινει· ἀλλὰ καὶ τὸ καθέζομαι. πρῶρα παρὰ τὸ προόρῶ· ἀφ' οὗ προορᾶν καὶ προβλέπτειν τὰ ἔμπροσθεν. πέμπελος ὁ γέρων, παρὰ τὸ εἶναι πλησίον τοὔτ-έστι (ου), πέμπεσθαι εἰς ἅδην. ἀστώνη παρὰ τὸ ῥᾷον ὃ σημαίνει τὸ εὔκολον· ῥήτρα.

Ἀρχὴ τοῦ Σ.

Ὑνασμένιζε· συνευφραίνε. συναμησάμενος, σωρεύσας· συνάξας· ἢ θερίσας· συλήβδην ὁμῶ· ἀπὸ τοῦ λήβω λήψω· καὶ ἐξ αὐτοῦ ἐπίρρημα λήβδην· ὡς λείχω λίγδην· ἄκρου ἐπιλίγδην· σφριγῶσιν ἀκμάζωσι. σκυτίνας, περιζώματα ἀπολύρων· παρὰ τὸ σκύτος ὃ σημαίνει τὸ δέρμα·

[1] alter Cod. καὶ

σκύτος δὲ λέγεται, τὸ μεταξὺ τὸ ἔνδον τοῦ τραχήλε δέρμα· ὡς πειρώνιος φασί· τινὲς δὲ λέγουσι σκύτον, τὸν νωτιαῖον μυελὸν οἱ δὲ τὸ μεταξὺ τῶν ὀφρύων τοῦ μετώπου τόπου, ὅπερ ἐπισκύνιον καλοῦμεν· ἄλλοι δὲ τὸ ἐκ τῆς κεφαλῆς δέρμα· ὃ καὶ σκῦτος εἴρηται τουτέστιν ἡ κεφαλή. σαυρωτὴρ ξυστόν· δόρυ ὀστύραξ· ὃν ἔνιοι οὐρίαχον καὶ σαυρωτῆρα καλοῦσιν· ἔστι καὶ εἶδος δένδρου ὁ στύραξ. σφαδάζω, τὸ σπαίρω· γίνεται δὲ παρὰ τὸ σπῶ σπουδῶ· ἐκ τούτου σπευδάζω· καὶ ἀποβολῇ τοῦ υ καὶ τροπῇ τοῦ ε εἰς α· καὶ τοῦ π εἰς φ, σφαδάζω. στεγανὸς ὁ σκεπασμένος· λέγεται δὲ στεγανὸν καὶ τὸ στεγνότερον· καὶ στεγανόποδες ὄρνιθες· οἱ ἐν ὕδασι διατρίβουσι καὶ τοὺς πόδας ἔχουσι στεγανούς· στωμύλος λάλος· καὶ στωμύλεσθαι, τὸ τρανῶς λέγειν· καὶ στωμύλματα, τὰ παραλήματα. σισύρα αἴγιον στεγαστρον. τουτέστι σάκη· ὅ ἐστι δέρμα. στέργω, ἀγαπῶ· φιλῶ· σεμνὸς ἀπὸ τοῦ σέβω σεβνός· καὶ σεμνὸς τροπῇ τοῦ β εἰς μ. στῖφος, ὄχλος ἄθροισμα. σκυτάλη παρὰ τοῖς Ἀττικοῖς βακτηρία σημαίνει· καὶ ὄφεων δέ ἐστιν εἶδος οὕτω καλούμενον· καὶ παρα λακεδαίμωσιν, ἐπὶ τῆς βακτηρίας τάσσεται καὶ σκυταλύδες κάμπων εἶδος· ὅ ἐστι ζῶον τί· καὶ σκεῦος τι ἐν τῇ νηΐ. στιφίζουσιν ἀντὶ τοῦ δραπετεύουσιν διαφεύγουσιν· καὶ στιβεύειν, ἐπὶ τοῦ ἰχνεύειν. σήραγγες, αἱ ὑπὸ γὴν ἐπιμήκεις ἐκρήξεις· οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς· ἃς ὑποτρέχον τὸ ὕδωρ, ζητεῖ διέξοδον· ἐντεῦθεν σηραγγώδης ὁ τόπος φαίνεται, ὁ διατετριμμένος, ἀπὸ τοῦ σεσηρέναι καὶ διεστράφθαι. — τεκμηριοῦσθαι, σκέπτεσθαι καὶ φράζεσθαι καὶ γίνεται παρὰ τὸ τέκμωρ· τοῦτο παρὰ τὸ τέκω· τέκωρ· καὶ τέκμωρ. τάρπη κόφινος ἢ νεκροφορικὸν ἀγγεῖον παρὰ τὸ αἴρειν τί· αἴρω οὗ ὁ μέλλων, ἀρῶ· καὶ ἐξ αὐτοῦ, ἄρη· καὶ πλεονασμῷ τοῦ π, ἄρπη [1]). τῷ, τινί, ἀπὸ τοῦ τὶς ὀνόματος, γίνεται δὲ ἡ γενικὴ τινὸς καὶ ἀποβολῇ τοῦ ν, τιὸς τιοῦ· καὶ Ἀττικῶς, τεῶς· ὡς ναὸς, νεώς· ἡ δοτικὴ, τῷ ἀποβολῇ τοῦ ε καὶ Ὅμηρος, οὔτε σοι οὔτε τῷ ἄλλῳ. τολύπαις, μηχάναις· ἐργασίαις· καὶ τὸ λυπεύειν, τὸ μηχανᾶσθαι. τερός, ἔντροχος. τερθρεία (m. rec. corr. τεθρεία), γοητεία· παρὰ τὸ τέρας τεράτος· τερατεύω· τερατεία· καὶ συγκοπῇ καὶ τροπῇ τοῦ τ εἰς θ· τερθρεία. τρακλαῖσαι κακουργῆσαι· ἴσως παρὰ τὸ τρώκτης τοῦτο παρὰ τὸ τρῶς ὁ σημαίνει τὸ βλάπτω· οὗ παράγωγον, τρώγω· ὁ μέλλων, τρώξω· καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν, τρώκτης. τελχῖνες οἱ φθονεροὶ καὶ βάσκανοι δαίμονες. τενάγη οἱ ὑποβρύχιοι τόποι· παρὰ τὸ τέγγω τὸ βρέχω, γίνεται τέγγος· καὶ πλεονασμῷ τοῦ α· καὶ τροπῇ τοῦ ἑνὸς γ εἰς ν, τέναγος. τούνδουνος, ὁ τοποτηρητὴς, παρὰ τούρκοις. τεμπη, τὰ σύνδενδρα πάντα· καὶ τὰ μεταξὺ τῶν ὀρῶν στενώματα.

Ἀρχὴ τοῦ Υ.

Υπόγυιον πρόσφατον ἐγγύτατον· νεωστὶ γέγονε πρὸ ὀλίγου καὶ μετ᾽ ὀλίγον· γίνεται δὲ παρὰ τὸ γύον ὃ σημαίνει τὸ μέλος· οἱονεὶ ἐγγὺς τῶν μελῶν. ὑποτόπαζεν ὑπενόει· καὶ ὑποτοπάζειν τὸ στοχάσθαι· καὶ ἐνθυμεῖσθαι· ἀπὸ τοῦ ὑποτοπουσθαι ἐν τῷ νοΐ· ἔστω οὖν τύπος· τυπῶ· τοπάζω· καὶ ὑποτοπάζω· τροπῇ τοῦ υ εἰς ο. ὕπαρ, ἀλήθεια· οὐκ ὄνειρος· ἔστιν οὖν ὦ ῥῆμα· καὶ σημαίνει τὸ ὑπάρχω· ἀφ᾽ οὗ ὄνομα ῥηματικὸν, ὄαρ· ὡς θένω, θέναρ· καὶ ἔδω ἔδαρ καὶ εἶδαρ καὶ μετὰ τῆς ὑπὸ προθέσεως, ὕπαρ. ὑπεράγανται, ὑπερθαυμάζουσιν ἢ φθονοῦσι· τὸ γὰρ ἀγῶ, οὐ μόνον τὸ θαυμάζω δηλοῖ, ἀλλὰ καὶ τὸ φθονῶ· οὐδ᾽ ἂν νῦν μοι ἄγασθαι· ἀντὶ τοῦ φθονεῖν· τὸ δὲ ἀγῶ τὸ θαυμάζω καὶ ἐκπλήττομαι, γίνεται παρὰ τὸ χαίνω· κατ᾽ ἐπίτασιν τοῦ α· συμβαίνει γὰρ τοῖς ἐκπληττομένοις χαίρειν. ὑπετύφετο ἀντὶ τοῦ φυσᾶτο αἰωρεῖτο· λέγεται δὲ καὶ ἐπὶ τοῦ τυφλῶσθαι τὴν διάνοιαν· τυφεδὸν δὲ, ἡ καῦσις. ὕπουλος, ἄνθρωπος ἀπὸ μεταφορᾶς τῆς τῶν τραυμάτων ὑπονεμομένης οὐλῆς· ὁ μὴ προφανὴς πονηρός· ὕπουλος γὰρ ὁ ἐγγὺς τοῦ ὑγιασθῆναι μώλωψ.

Ἀρχὴ τοῦ Φ.

Φενακισθείη, χλευασθείη ἀπατηθείη· ἀπὸ τοῦ φενακίζω· τοῦτο παρὰ τὸ τὰς φραίνας αἰκίζειν. φορμηδὸν, φορμός ἐστι, πλέγμα τινὸς μεγάλου εἴδους· ἐν ᾧ ἐκοιμῶντο οἱ πένητες· ἢ κατετίθεντο τὰ ὄσπρια· τάχα δὲ ἡ καλαμὴ νῦν καλύμη ἐκ τούτου, καὶ τὸ φορμηδὸν φροῦδος ἄρδην παντελῶς· ἀφανεῖς· ἔρημοι φροῦδος μὲν, ὁ προοδοῦ φύλαξ. φρουρὸς δὲ ὁ προορῶν· φροῦδος οὖν συναλοιφῇ τοῦ πρόοδος· οἷον ὁ μακρὰν γενόμενος· εἰς τὸ ἔμπροσθεν, τῆς ὁδοῦ· μεταθέσει τοῦ π εἰς φ, ὡς προοίμιον, φροίμιον· φασκώλιον, τουτέστι, τὸ δερμάτινον βαλάντιον· φάσκωλον δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλονται· φασκώλιον οὖν εἴρηται ἀπὸ τοῦ ἀσκὸς ἀσκώλιον· τὸ ἐνικῶς ἀσκῶ. φρυμασσόμενοι, ἀντὶ τοῦ φρυασσόμενοι ἢ φρυσσόντες, ἀπὸ τοῦ φρῶ, ὅπερ ἀπὸ τοῦ προΐω κατασυγκοπῇ πρῶ, καὶ φρῶ. φλήναφος ὁλοιδωρὸς καὶ φλύαρος· γίνεται δὲ ἀπὸ τοῦ φλέω ῥήματος ὅπερ ἀπὸ τοῦ φλύω εἴρηται· ὡς ῥέω, ῥύω ἀνὰ δ᾽ ἔφλεται καλὰ ῥέεθρα, ἀπὸ τοῦ ἔκαιεν· ἀπὸ τοῦ φλέω καὶ τοῦ φῶ τὸ λέγω, φλήναφος καὶ φλύαρος.

Ἀρχὴ τοῦ Χ.

Χιλὸς ἡ τροφῇ παρὰ τὸ ἔχειν τὸ σῶμα· τουτέστι κρατεῖν· καὶ χιλὸς τῶν βοσκημάτων, παρὰ τὸ ἐχεῖσθαι τῷ ἔλει. χηλὴ, ἐπὶ τῶν δύο νήχων ζώων· οἷον, σχελήτης οὖσα· ἀπὸ τοῦ διεχίσθαι ὥσπερ ὀπλὴ ἢ ἁπλὴ ἐπὶ ἵππων καὶ ἡμιόνων. χήτει· στερήσει· ἐνδεία σπανει· χλιδὴ καὶ χλιδανὸν τὸ τροφερόν. παρὰ τὸ χῶ ῥῆμα καὶ τὸ δέω τὸ πρέπω· γίνεται χαλιδὴ καὶ χλιδὴ, ἡ ἔκλυσις καὶ μαλακία· ἀπὸ τοῦ ἐχλίανθαι καὶ ἐκλελύσθαι τῇ μαλακίᾳ τοῦ θερμοῦ.

Ἀρχὴ τοῦ Ψ.

Ψιθύρισμα, ἡδύτι τὸ ψιθύρισμα τῶν δένδρων ἠκούετο πεποιημένη λέξις ἀπὸ τοῦ τελουμένου ἤχου, ὑποφυσῶντος τοῦ ἀνέμου.

Ἀρχὴ τοῦ Ω.

Ὠλιγώρηκα ἠφρόντικα ἀπὸ τοῦ θέματος τοῦ ὀλιγωρῶ· τοῦτο παρὰ τὸ ὀλίγος καὶ τοῦ ὥρα· ὃ σημαίνει τὴν φροντίδα. ὠστίζοντο, ὤθουν· συνέθλεβον· ἐκ τοῦ ὤθω ῥήματος, ὁ μέλλων ὄσω· καὶ πλεονασμῷ τοῦ τ· μετὰ περισπωμένου τόνου, ὠστῶ· ἐκ τούτου ἕτερον ῥῆμα ὠστίζω· τὸ παθητικὸν ὠστίζομαι· τὸ τρίτον τῶν πληθυντικῶν ὠστίζοντο· ὦ τ᾽ ἂν ἀντὶ τοῦ ὦ προσφιλέστατε, ἑταίρω· ἔστιν ἔτης ὃ σημαίνει τὸν προσφιλέστατον, καὶ φίλον· ἐκ τούτου παρώνυμον ἐτᾶν ὡς ἑρμῆς ἑρμᾶν· καὶ μέγιστος, μεγιστᾶν· μετὰ τοῦ ὦ κλητικοῦ ἐπιρρήματος, ὦ ὠτᾶν· ὠρύω σημαίνει τὸ κλαίω· παρὰ τὸ

1) alter Cod. ἄρπη καὶ τάρπη.

ἀύω τῷ φωνῶ, ἀορώω· καὶ κράσει τοῦ α καὶ ο εἰς ω μεγα ὠρύω.

(Ex eodem Cod. ſcripta mann elegantiori quae ſeeulum XIV. videtur prae ſe ferre.)

εἷλεν ἀντὶ κατέλαβεν· εἷλεν ἀντὶ [1]) κατέλαβεν· εἶ ἀντὶ ἐφόνευσε ποιητικῶς· σῆ δὲ ὅτι τοῦ ἕλω τὸ λαμβάνω ἀχρήστου ῥήματος μόνον ὁ β ἀόριστος ἐστὶν ἐν χρήσει· καὶ τὸ ἀπαρέμφατον ἑλεῖν· ὁ μετὰ τῆς ἀνα προθέσεως σημαίνει τὸ φονεῦσαι· μετὰ τῆς παρα τὸ ἀποκόψαι· μετὰ τῆς προ τὸ προκρῖναι· ὁ παθητικῶς γράφεται· μετὰ τῆς περι τὸ ἐξεπιπολῆς ἀποσπογγίσαι· μετὰ τῆς ἀπο, τὸ ἀπὸ παντὸς ἀφῃρηκέναι· μετὰ τῆς ὑπο τὸ λαθραίως λαβεῖν. μετὰ τῆς ἐξ τὸ ἐκβαλεῖν· καὶ μετὰ τῆς συν τὸ ὁμοῦ λαβεῖν. εἴρων λέγεται ὁ ἔχων καὶ προσποιούμενος μὴ ἔχειν· ἀλαζὼν δὲ ὁ μὴ ἔχων καὶ προσποιούμενος ἔχειν, εἱμαρμένη καὶ πεπρωμένη (in marg. εἱμαρμένη πεπρωμένη μοῖρα) τὸ αὐτὸ καὶ μοῖρα ὡσαύτως· ἐλάμβανον δὲ αὐτὰς, ἐπὶ φυσικῆς καὶ καθολικῆς τινὸς δυνάμεως ἐν τῷ κόσμῳ τύχη δὲ ἐπὶ τῶν συμβαινόντων καλῶν ἢ κακῶν μηδενὸς βουλομένου περὶ αὐτῶν τινὲς δὲ τῶν Ἑλλήνων τὴν τύχην τὴν αὐτὴν ἐνόμισαν τῇ εἱμαρμένῃ· πρόνοια δὲ ἐπὶ θεοῦ ἀπὸ τοῦ προνοεῖσθαι· ἔστι δὲ τὸ εἱμαρμένη ὄνομα μετοχὸν οὐ μετοχὴ ὥσπερ καὶ τὸ ἐρωμένη· καὶ τὸ ἄρχων ἐνιοτε· καὶ τὸ ἑκών· καὶ τὸ καύσων· (in marg. καὶ τὸ οὐλομένη) καὶ ὅσα ἐξέπεσον τοῦ ἰδιώματος τοῦ ῥήματος· ὅπερ ἔπαθον ταῦτα· τὸ μὲν εἱμαρμένη καὶ ἐρωμένη, ἐπεὶ παθητικὰ ὄντα καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάττεσθαι ὡς τὰ παθητικὰ ῥήματα, ταῦτα πρὸς γενικὴν λέγονται· ἡ εἱμαρμένη γὰρ τοῦ δεῖνος λέγεται· καὶ ἡ ἐρωμένη τοῦ δεῖνος· ὁ δὲ ἄρχων ἐπεὶ ὀφείλων ἐπίρρημα ἔχειν ἐπαγόμενον δηλοῦν τῆς ἀρχῆς τὴν ἐνέργειαν ὁποία ἐστὶν, ὅπερ ἀπαιτεῖ τὸ ῥῆμα, οἷον ἄρχει τὶς δικαίως, ἐν γὰρ τῷ ἄρχειν δικαίως, τὸ δικαίως οὐ πρὸς τὸ ἄρχειν τείνει· ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἀρχὴν, τοῦτο ἐνίοτε μὲν ἐπίρρημα ἐπαγόμενον ὅτε καὶ μετοχὴ ἐστίν· ἐνίοτε δὲ ὄνομα ἐπίθετον ἐπαγόμενον ἔχει· ὅτε ἐξανάγκης ὄνομα ἐστίν· ὡς ἐν τῷ, ἄρχων τ' ἀγαθός· κρατερός τε μαχητής· τὸ δὲ ἑκών· ἐπεὶ ὀφεῖλον ἀπαρεμφάτῳ συντάσσεσθαι ὡς τὰ τῆς θελήσεως πάντα ῥήματα οἷον θέλω σωθῆναι, τοῦτο οὐδέποτε οὕτω συντάσσεται· τὸ δὲ καύσων ἐπεὶ ὀφεῖλον μεταβατικὸν εἶναι ὡς τὸ καίω, τοῦτο οὐ μεταβαίνει· ἔστι δὲ καύσων τὸ πολὺ θάλπος. — εἰδείην καὶ ἐὰν εἰδῶ ἀπὸ τοῦ εἴδημι καὶ εἴδην καὶ εἰδεὶς ἀχρήστων· εἶεν ἐπίρρημα ἀποθετικὸν καὶ προστακτικόν· ποτὲ δὲ ῥῆμα· ὡς τὸ τίνες ἂν εἶεν· κλίνεται δὲ οὕτως· εἴην εἴης εἴη· εἴητον εἰήτην· εἴημεν καὶ κατὰ συγκοπὴν Αἰολικὴν εἶμεν εἴητε· τὸ τρίτον οὐκ εἴησαν· ἀλλ' εἶεν· οὕτω πασῶν τῶν συζυγιῶν (in marg. καὶ μὲν ὁ Λιβάνιος· ἦν γὰρ· . . . ἐν τοῖς ἀκροωμένοις ὁπότε ἡμῖν ἐπιδείξεις εἴησαν· καὶ Δημοσθένης·) τῶν τε βαρυτόνων καὶ τῶν περισπωμένων καὶ τῶν εἰς μι οἱ ἀόριστοι κλίνονται· πλὴν ἐπὶ μὲν τῶν βαρυτόνων καὶ τῶν εἰς μι συζυγιῶν τὸ τρίτον μόνον γράφουσιν οἱ κοινοὶ συγκεκομμένως· οἷον τυφθεῖεν· τὸ δὲ πρῶτον παρὰ ποιηταῖς· οἷον τυφθεῖμεν· ἐπὶ δὲ τῶν περισπωμένων καὶ τὰ δύο συγκεκομμένως· οἷον ποιοίημεν ποιοῖμεν. εἰσπράττομαι τὸ ἀπαιτῶ· καὶ εἰσπράττομαι τὸ ἀπαιτοῦμαι· εἰκάζω τὸ ὁμοιῶ· εἰκάζω τὸ ἐξ εἰκότος καὶ στοχασμοῦ νοῶ ὅθεν καὶ εἰκασμὸς ὁ στοχασμός. καὶ εἰκάσαι τὸ στοχάσασθαι· καὶ εἰκὸς ὡς ἔστι εἰκάσαι· τὸ ἐκεῖ ἐπίρρημα ἐστὶ τοπικὸν ἀναφορικόν· ἀνταποδίδοται δὲ τὸ ἔνθα πρὸς αὐτό· τοῦτο δὲ ἀπαντᾷ πρὸς τὸ ἐρωτηματικὸν τὸ ποῦ· λέγεται γὰρ τὸ μὲν πρὸς τὴν ἐρώτησιν τὸ ποῦ, τὸ ἐκεῖ ἀναφορικόν· πρὸς δὲ τὸ ἐκεῖ, τὸ ἔνθα ἀνταποδοτικόν· οἷον ποῦ ἐστιν ὁ δεῖνα· ἐκεῖ ἔνθα ὁ δεῖνα· [ima ora Cod. οὐδεμία τῶν λαυρειωτικῶν γλαυκῶν πτερῷ κατατείνασα τοῖς πένησιν ἡμῖν ἐκεῖθεν προσέπτατο] κεῖται δὲ τὸ ἐκεῖ μετὰ ῥήματος στάσιν ἔχοντος [ſuprafc. δηλοῦντος], τὸ δὲ ἐκεῖσε ὅτε ἔστι ῥῆμα δηλοῦν κίνησιν· τὸ ἑκουσίως οὐχ εὕρηται περὶ τοῖς ῥήτορσιν. ἐλαύνω ἵππον· καὶ ἐλαύνω σίδηρον· καὶ ἐλαύνω τοῖχον· καὶ ἁπλῶς ἐπὶ παντὸς πράγματος εἰς μῆκος ἐκτεινομένου. ἑλίσσω τὸ συστρέφω· ἀνελιξάμενος τὴν βίβλον ἀντὶ τοῦ ἀνοίξας. ἔλυτρον τὸ σκέπασμα· κυρίως δὲ ἐπὶ κυκλωτέρων τινῶν· οἷον καρύων ἢ ᾠῶν· ἢ ἄλλων τοιούτων· ἀπὸ τοῦ εἰλύω γὰρ τὸ ἐπικρύπτω γίνεται· πᾶν οὖν ἔλυτρον τοῦτο ὀνομάσεις καὶ σκέπασμα· οὐ μὴν πᾶν σκέπασμα καὶ ἔλυτρον· οὐ γὰρ ἀντιστρέφει· ἐλεύθερος καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα· ἀπελεύθερος δὲ ὁ ἀργυρώνητος ὢν το πρῶτον εἶτα ἐλευθερωθείς· ὁ δὲ ἐλευθερώσας αὐτὸν πάτρων καλεῖται· καὶ κλίνεται πάτρωνος. περὶ ἑαυτοῦ τὶ λέγεις· ἄτοπον. ἀλλὰ περὶ σαυτοῦ· ἐπὶ γὰρ τῶν π' τὸ τοιοῦτο λαμβάνεται. ἐμὸν τὸ πρᾶγμα ὅταν ἔγω μόνος ἔχω· ἡμέτερον δὲ ὅταν κοινὸν ᾖ πολλοῖς· τὰ παρὰ τὸ γένος καὶ σθένος καὶ μένος καὶ μέρος (m. recent. inſert.) ὀνόματα, κύρια μὲν ὄντα παροξύνονται· ἐπίθετα δὲ ὀξύνεται. κύρια, οἷον, Δημοσθένης· Ἀντισθένης· Διογένης Θεαγένης· ἐπίθετα δὲ, οἷον μεγασθένης· ἀσθένης· μονογενής· εὐγενής· κατὰ ταῦτα καὶ Ἀριστοφάνης καὶ Μητροφάνης παροξύνεται ὡς κύρια· ἀφανὴς δὲ καὶ προφανὴς καὶ διαφανὴς, ὀξύνεται ἐπιθετικῶς λεγόμενα. ἔναγχος ἀντὶ τοῦ προολίγου Ἀττικοὶ καὶ μετὰ παρεληλυθότος· οἷον ἔναγχος διελεγόμην. ἡ εν πρόθεσις ὅτε ῥήματι σύγκειται κίνησιν ἔχοντι, ἐνίοτε μὲν τὸ ἔνδον δηλοῖ· ὡς τὸ ἐμπίπτειν καὶ ἐμβαίνειν· ἃ δηλοῦσι τὸ ἔσω ἔρχεσθαι· ἐνίοτε δὲ ὁρίζει τὴν κίνησιν· τοῦ ῥήματος ἔν τινι. ὡς τὸ ἐμβλέπειν· ἐστὶ γὰρ τὸ ἐμβλέπειν, τὸ ἔν τινι ἱστᾶν τὸ βλέμμα καὶ μὴ ἐᾶν πλανᾶσθαι ἔνθα καὶ ἔνθα. —

ἐνέγκω ἄχρηστον καὶ ὁ μέλλων αὐτοῦ· ὁ ἀόριστος ἤνεγκα ὁ β ἤνεγκον ἄχρηστος· ἐκ τούτων δὲ ἀπαρέμφατον ἐνεγκεῖν· καὶ ἐνέγκαι ἀπαρέμφατον μὲν ἄχρηστον· εὐκτικὸν δὲ ἐν χρήσει ἀπὸ τοῦ πρώτου τὸ ὑποτακτικὸν ἐνέγκω· ἡ μετοχὴ ὁ ἐνεγκών· τούτου τὸ παθητικὸν ἄχρηστον· ὁ ἀόριστος ἠνεγκάμην ἀντὶ τοῦ ἔλαβον· τὸ ἀπαρέμφατον ἐνέγκασθαι· τὸ προστακτικὸν ἔνεγκαι· τὸ εὐκτικὸν ἐνεγκαίμην· ἡ μετοχὴ ὁ ἐνεγκάμενος; ἔναυλον τὸ μετέχον αὐλημάτων· καὶ ἔνχυλον τὸ ἔνοικον καὶ ἐφέστιον· ὡς τὸ ἔναυλος ἢ θυραῖος· ἤγουν ἐντὸς τοῦ οἴκου ἐστίν ἢ ἐκτός. ἐνδύω ἐνδύσω ἐνέδυσα ἄλλόν· ἐνέδυν καὶ ἐνδέδυκα ἀντὶ τοῦ ἐνεδύθην ἐγώ. ἐνεστησάμην ποιῆσαι τὶ ἐν ἐμαυτῷ· ἤγουν ἐκύρωσα. ἐνέβρια τὰ θυησείδια οὕτως ἔλεγον οἱ παλαιοί. ἐν δὲ λίθοις ἐμάχοντο· ἤγουν ἐπάνω λίθων· καὶ ἐν τῷ οἴκῳ ἐστί. ἤγουν ἐντὸς τοῦ οἴκου. τὸ ἐνταῦθα ἐπὶ πρώτου προ[σπ]. ἐνταῦθα ἔνθα εἰμί. τὸ ἐνταῦθα ἀναφορῶς· τὸ δὲ αὐτοῦ δευτέρου· τὸ δὲ ἐκεῖ, τρίτου· ταῦτα στάσιν δηλοῦσι· τὸ δὲ ἐνθένδε καὶ τὸ αὐτόθεν καὶ

1) alter Cod. τοῦ κατ.

τὸ ἐκεῖθεν, κίνησιν· τὸ ἔνθα καὶ ἀντὶ τοῦ ὅπου καὶ ἀντὶ τοῦ ὅτε τοπικὸν καὶ χρονικόν· τὸ ἐνέχομαι καὶ τὸ ἔνοχος ἐπὶ καταδίκης. ἐναντίον τὸ ἐξεναντίας μάχεσθαι δοτικῇ· ἐναντίον δὲ τὸ ἀντικρῦ. γενικῇ. ἐξώλης ὁ ἄξιος ἀπωλείας· προώλης δὲ ὁ πρὸ καιροῦ. τὸ ἐξήρτημαι καὶ γενικῇ καὶ δοτικῇ· Αἰσχύλος· ἐκηβόλοις τοξοίσω ἐξηρτημένοι· ταῦτα δὲ ἀντὶ τοῦ κρέμαμαι εὕρηται· ἐξήρτημαι δὲ ἀντὶ τοῦ εἰς ἑαυτὸν κρεμῶ, αἰτιατικῇ· τοὺς ἡμετέρους γονέας ἐξήρτητε· ἀπήρτημαι δὲ τὸ δειόταμαι γενικῇ. ἐξετάζω τὸ ἐρευνῶ· καὶ ἐξετάζω τὸ ἀριθμῶ· ἀφ' οὗ ἡ ἐξέτασις ἡ ἀπαρίθμησις· ποιουμένω περὶ Πτολεμαΐδα τὴν τῆς δυνάμεως ἐξέτασιν. ἐξέδωκέ τις λόγον· καὶ ἐξέδωκέ τις τινὰ τινί· ἀντὶ τοῦ ἄδειαν δέδωκε αὐτῷ καὶ αὐτοῦ. ἡ ἐξ πρόθεσις δηλοῖ κίνησιν ἐκτός· οἷον ἐκπλεῖ καὶ ἐξέρχεται· ἐξάντη ἤγουν ἀνώτερον ὡς τὸ ἐξάντη κακοῦ. ἐξελάσαι ἀντὶ τοῦ ἐκβαλεῖν· ὅθεν καὶ ἐξούλης δίκη, ἐπὶ τῶν δίκῃ νικησάντων ἀπολαβεῖν χωρίον ἢ οἰκίαν· εἶτα ἀπελαυνομένων ὑπό τινων. ἐξεμελέτησα μεταβατικόν· ἀντὶ τοῦ μελέτας γράφειν ἐποίησα· πῶλον τὸν Ἀκραγαντῖνον Γοργίας σοφιστὴς ἐξεμελέτησε καὶ ἀμετάβατον· αὐτὸς μὲν τὰς ἱερὰς συλλαβὰς οὐκ ἐξεμελέτησα· ἤγουν οὐκ ἐν ἀκριβείᾳ καὶ διὰ φροντίδος ἔχω. ἐξαιτοῦμαι ὅταν ἀπό τινός γε ἐξαιρῶμαι κινδυνεύων· καὶ ἐξαιτοῦμαι ὅταν ὑπ' ἐχθροῦ τινος αἰτῶμαι· Λιβάνιος· ἐκάθητο ἀναμένων ὅστις αὐτὸν ἐξαιτήσεται· Δημοσθένης· ἐγὼ δὲ χαίρω· ὃς εὐθὺς ἐξῃτούμην ὑπὸ Φιλίππου. [in marg. Ἀριστείδης τούς τε φεύγοντας δεξάμενοι καὶ τοῖς ἐξαιτοῦσιν ἀντισχόντες] ση τὸ πορευτέον οὐ κατὰ τὰ ἄλλα θετικὰ λεγόμενον· ἐκεῖνα μὲν γὰρ εἰ μὲν ἐνεργητικά εἰσιν, ὡς ἐπιρρήματα λαμβάνονται· οἷον ποιητέον τόδε· ἀντὶ τοῦ ἄξιον ποιῆσαι· καὶ πρακτέον τὴν ἀρετήν· ἀντὶ τοῦ ἄξιον πρᾶξαι· εἰ δὲ παθητικῶς δύνανται λαμβάνεσθαι ὅτε οὕτω λαμβάνονται, ὀνόματα εἰσίν· οἷον διωκτέον τὸ κακόν· ἀντὶ τοῦ ἄξιον διώκεσθαι· καὶ λαλητέον τόδε τὸ πρᾶγμα· ἀντὶ τοῦ ἄξιον λαληθῆναι· τὸ δὲ πορευτέον εἰ καὶ ἐπίρρημά ἐστιν, ὅμως παθητικῶς λέγεται· ἀντὶ τοῦ ἄξιον πορευθῆναι· ἐνεργητικὸν γὰρ οὐκ ἔστι· εἰσὶ δὲ ταῦτα πάντα τριγενῆ· ποιητέος ποιητέα ποιητέον· λαλητέος λαλητέα λαλητέον. τούτοις προσέθηκαν οἱ Ἀττικοὶ τὸ ἔστι ἀπὸ τοῦ χθαμαλοῦ τὴν λέξιν ἐπαίροντες συνυπακουομένου ἔξωθεν περὶ τοῖς κοινοῖς. ἐπιβουλεύω, τὸ κατά τινος βουλεύομαι· ἐν δὲ τῷ ἐπιορκεῖν ἡ πρόθεσις δηλοῖ καταφρόνησιν· καὶ τὸ ἐπάνω τῶν ὅρκων γίνεται· ἀπὸ τούτου ἐπίβουλος· ἐπήβολος δὲ ὁ ἐπιτυχὴς περὶ ποιηταῖς τε καὶ λογογράφοις, η· ὅτι ἀπὸ τοῦ ἐπέβαλον γίνεται τραπέντος τοῦ ε· ἄλλως δὲ οὐδὲ τοῖς ποιηταῖς συνέφερε δ—α ἑξῆς ἔχον βραχέα. τὸ ἐπιμαχεῖν τοῦ συμμαχεῖν, διαστέλλει Θουκιδίδης· τὸ ἐπιμαχεῖν μὲν τάττων, ἐπ' ἀμύνης τῶν ἐπιόντων μόνον ὅταν ὑπερτερῶσιν δηλονότι (Cod. δῆλ) οἱ ἐπιόντες· τὸ δὲ συμμαχεῖν, ὅταν μεθ' ὧν συμμαχοῦσιν ἐκ πρώτης ἀμύνωνται τοὺς ἐπιόντας. ἐπιδεικνύειν τὸ παρρησιάζειν καὶ δεικνύειν τινὰ ἑαυτόν. τοσοῦτον χρόνον ποῖω τὸ δὲ ἀντὶ τοῦ ἐπιτοσοῦτον· καὶ πόσον χρόνον δεμνίοις πέπτωχ' ὅδε· ἤγουν ἐπιπόσον κεῖται ἐν τοῖς δεμνίοις καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὅτε δὲ ἡ επι πρόθεσις νοεῖται ἐπὶ τούτοις, δῆλον ἀπὸ τοῦ πολλὰ τοιαῦτα ἐνίοτε οἷον ἐπολίγον ἐφικανόν· ἐπιπολὺ εἱστήκει ἄφωνος· ἢ ἐπὶ πολὺ μέρος χρόνου· τουτέστι πολὺν χρόνον. ἐπικηρύξαι ἐστὶ τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι ἢ ἀποκτείναντι πολέμιον· ἐπικηρυκεύσασθαι δὲ, τὸ ἐπὶ συμβιβάσει καὶ σπονδαῖς τὰς πόλεις πρὸς ἀλλήλους κήρυκας διαπέμψασθαι. ἐπίτιμος ὁ ἔντιμος. ἐπιτίμιος δὲ ὁ ἐπίπληκτος· ἀφ' οὗ καὶ τὴν ἐπίπληξιν ἐπιτίμιον φαμέν. ὅτι τὸ εἶπε περὶ τοῖς ῥήτορσιν ἄχρηστον. ὅτι οὐ τὸ ἐπίρρημα τῆς γενικῆς αἴτιον ὅταν καλῶς ἔχω τοῦ σώματος· ἀλλὰ τὸ ἕνεκα ἔξωθεν λαμβανόμενον. — [Ima pag. exſtant haec, ad ἐξαιτοῦμαι ſpectantia: ὅτι τὸ ἐξαιτοῦμαι τὸ ἐξαιροῦμαι κινδυνων, Ἀριστείδης ἐν τῷ πρὸς Πλάτωνα παραιτοῦμαι ἢ παρὼν μὲν ἂν αὐτοῖς ἀτυχήσασι δήπου καὶ μέλλουσι διαφθαρήσεσθαι, εἰ κύριος ἦσθα παραιτήσασθαι οὐκ ἂν ὤκνησας· ἀλλὰ καὶ πρὸς τῶν ἱερῶν καὶ πρὸς τῶν τάφων· καὶ πρὸς αὐτοῦ τοῦ ἐδάφους συνέπρα' ἂν ὅτι οἷος ἦσθα κἂν εἴτι κατηγορεῖν εἶχες, τὴν δὲ τῶν ἐπιτηδειοτάτων παραιτήσασθαι δόξαν καθαιρῶν τοῦτ' ἐκεῖνο ὃ σπουδάζεις τῇ πολιτικῇ, τί προσῆκον πράττειν δοκεῖς.] ἐπωμὶς τὸ ὑπερέχον τοῦ βραχίονος· καὶ εἶδος ἐνδύματος. ἐπίκουρος λέγεται ὁ τοῖς πολεμοις βοηθός· σύμμαχος ὁ τοῖς πολεμοῦσιν. ὡς ἔπος εἰπεῖν ἀντὶ τοῦ ὡς ἐν ὀλίγῳ εἰπεῖν. ἤγουν συντόμως. τοῦτο γὰρ ὡς ἂν εἴποι τὶς εἰς παροιμίαν ἔπεσεν. ἐπίδοξος ὁ προσδόκιμος· ὁ κοινῶς προσδοκήσιμος· καὶ ἐπίδοξος ὁ ἔνδοξος. ἐπίληψις καὶ ἐπιληψία ἡ κατοχὴ τοῦ ἡγεμονικοῦ· καλεῖται δὲ ἡ ἐπίληψις καὶ παιδίον· καὶ ἡράκλειον· καὶ νόσος ἱερά· παιδίον μὲν ὅτι ἐπιτοπλεῖστον παιδίοις συμβαίνει· Ἡράκλειον δὲ, ὡς μὲν ἔνιοι, ἐπειδὴ τῷ Ἡρακλεῖ συνέβη· ὡς δὲ ἔχει ἡ ἀλήθεια, ἐπειδὴ δυσκαταγώνιστός ἐστι καὶ ἰσχυρά· καὶ ἰσχύος Ἡρακλέους δεομένη· ἱερὰ δὲ, διὰ ὑπονοεῖν γίνεται αὐτὴν, διὰ θεϊκὴν μῆνιν· ἢ διὰ τὸ ἐν ἱερῷ τόπῳ γίνεσθαι. ἐπιβοῶμαι σε ἀντὶ τοῦ ἱκετεύω, αἰτιατικῇ· ἐπιβοῶμαι δέ σοι ἀντὶ τοῦ ἐπιφωνῶ, δοτικῇ. ἐπέρχεταί τις ὡς πολέμιος· ὅθεν καὶ ἔφοδος καὶ ἐπιδρομή. ἐπέρχεταί μοι εἰπεῖν· ἐπέρχεται τὸ παρίσταται καὶ ἐπὶ νοῦν ἔρχεται· καὶ ἐπέρχεται τὸ δεύτερον ἔρχεται· ἐπέρχεται καὶ ἐπιπορεύεται ἢ στέλλεται· ὡς τὸ, μῆκος ὁδοῦ τοσόνδε ἐπέρχεται. ἐπιχωριάζω τὸ ἐνδημῶ· καὶ ἐπιχωριάζω τὸ τὰ ἐπιχώρια ἔθη πράττω. ἐπιδίδωμι τὸ αὐξάνω καὶ ἐπιδίδωμι τὸ ἁπλῶς δίδωμι· ὅθεν ἐπίδοσις ἡ αὔξησις· καὶ ἐπίδοσις ἡ ἁπλῶς δόσις. ἐρωτῶ. ἐπερωτῶ· προσεπερωτῶ· εἶπον· ἐπεῖπον· προσεπεῖπον. τὸ ἔρος Αἰολικόν· τὸ ἔρχομαι καὶ τὸ πέμπω μετὰ μετοχῆς μέλλοντος συντάσσεται· ἔρχομαι ποιήσων τόδε· καὶ πέμπω σε ποιήσοντα τόδε. ἐσθής, κοινὸν ἤτοι ἐν χρήσει· ἔσθημα δὲ καὶ αἴσθησις ποιητικόν. (in margine Φιλόστρατος (leg. fort.) ἐσθήμασί τε πρῶτος ἐκόσμησεν·) ὅτι τὸ ἑστάτω ἀπὸ τοῦ ἑστηκέτω· ἕστηκα ἐγώ. ἕστηκα δὲ ἕτερον ἀντὶ τοῦ ἔστησα· ἔνεστιν ἀντὶ τοῦ ἐνυπάρχει ἔνεστι μοι πλοῦτος· καὶ ἔνεστιν ἀντὶ τοῦ δυνατόν ἐστιν. ἔξεστιν ἀντὶ τοῦ ἄδεια ἔστι· σύνεστιν ἀντὶ τοῦ συνυπάρχει καὶ ὁμιλεῖ· καὶ ἀντὶ τοῦ διαλέγεται καὶ συντυγχάνει καὶ ἀντὶ συνουσιάζει· πρόσεστιν ἀντὶ τοῦ σὺν ἄλλοις οἷς ἔχω ἐστί μοι καὶ ἄλλότι· μέτεστιν ἀντὶ τοῦ μετουσία ἔστιν ἤγουν μετοχὴ καὶ περίεστιν ἀντὶ τοῦ περιουσία ἐστὶ καὶ ἀμφότερα ἀπὸ δοτικῆς εἰς γενικήν· πάρεστιν· ἔπεστιν ἀντὶ νεξουσία ἐστίν. ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον· ἔπεστί μοι ποιεῖν τόδε· περίεστιν ἀντὶ τοῦ κρείττων ἔστι· καὶ περίεστιν αὐτὸς τοῦ ζῆ· καὶ ἄπεστιν. — ἔτι ἀντὶ τοῦ ἀκμὴν κοινῶς· καὶ ἔτι ἀντὶ τοῦ ἐπὶ τούτῳ· οἷον εἶπον τόδε· ἔτι λέγω καὶ τόδε· καὶ ἀντὶ τοῦ εἰστοεξῆς· ἔστι καὶ περισσόν. ἕτερον τὸ ἓν τῶν δύο· ἀπὸ τούτου γίνεται καὶ τὸ πότερον ἐπὶ δύο τινῶν ἔχον τὴν πεῦσιν· ἑκάτερον

καὶ τὰ δύο· κατὰ ἕν· ἀμφότερα ὁμοῦ καὶ τὰ δύο· τὸ δὲ ἕκαστον δηλοῖ πολλοὺς κατὰ ἕνα· τὸ δὲ πᾶν οὐ κατὰ ἕνα δηλοῖ πάντας· ἀλλ' ὁμοῦ· ἔστι γὰρ τὸ πᾶς συναγωγὴ μερικῶν· ὡς δηλοῖ καὶ τοῦτο· τὸ γὰρ πᾶς οὐ τὸ καθόλου σημαίνει· ἀλλ' ὅτι καθόλου. ἔτους ὥραν ἰδίως τὸ θέρος λέγουσι Ἀττικοί. ἑτερόφθαλμος ὁ κατὰ τύχην (in marg. praeter ἑτερόφθαλμος, εἰστιάθην πηρωθεὶς τὸν ἕτερον ἀπὸ (m. recent. corr. ἀποβαλὼν) τῶν ὀφθαλμῶν· μονόφθαλμος δὲ ὁ ἕνα ὀφθαλμὸν ἔχων· ὡς καὶ Κρατῖνος μονόφθαλμον λέγει τὸν Κύκλωπα. τῷ εὐαγεῖ ἐναντίον ὁ ἐναγής. εὑρίσκει τὶς τὸ ὄν· καὶ ἐξευρίσκει τὸ μὴ ὄν· ἐφευρίσκει δὲ οὐ τὸ μὴ ὄν (ima pag. m. recent.). θέλω καὶ τὸ τολμῶ ἐξ οὗ καὶ τὸ ἐθελοντὴς πρὸς τοὺς ἀγῶνας χωρεῖ. Ξενοφῶν· ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν· ὅτι θέλουσι καὶ πολλαπλάσιοι ὄντες μὴ δέχεσθαι ἡμᾶς. (ἀλλ' ἕτερόν τι ἐπινοήσας προστίθησιν ἐκείνῳ· δι' ἧς προσθήκης χρησιμώτερον ἀποδείκνυσιν. τὸ εὕρατο ἀπὸ τοῦ εὑράω εὑρῶ ἀχρήστου· εὑρησάμην εὑρήσατο καὶ εὕρατο κατὰ συγκοπήν· ὡς τὸ ὠνάμην ἀπὸ τοῦ ὠνησάμην· καὶ ἐπριάμην ἀπὸ τοῦ ἐπριασάμην· καὶ τὸ ἠγάμην ἀπὸ τοῦ ἠγασάμην. (Lectio ſequentis paginae m. rec. ἐριστὴς ὁ φιλόνεικος· ἐριστικὸς ὡς φιλικός· ἤγουν οἱ ἔχοντες ἐπιτηδειότητα ὁ μὲν εἰς φιλίαν ὁ δ' εἰς τὸ ἐρίζειν· ἐριστὸν δὲ τὸ ἀξίαν ἔχον τὴν ἔριν, ὥσπερ παικτὸν παίγνιον τὸ ἄξιον παίζεσθαι· καὶ παικτὴ παιδία ἡ ἀξία παίζεσθαι (Ad ἠγάμην, in marg. m. recent. καὶ τὸ ἀπαλέξασθαι ἀντὶ τοῦ ἀπαλεξήσασθαι παρὰ Σοφοκλεῖ·) εὐγενὴς ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος· γένος γὰρ καὶ ἡ πατρὶς καὶ ἡ γενεά· εὐπατρίδαι δὲ παρ' Ἀττικοῖς οἱ αὐτόχθονες· καὶ κατὰ τοῦτο περιφανεῖς οἱ εὖ ἔχοντες ἕνεκα τῆς πατρίδος· ὡς εἶναι τοὺς εὐπατρίδας πλέον τῶν εὐγενῶν· ὥστε εἴ τις εὐπατρίδης καὶ εὐγενής· οὐ μὴν εἴ τις εὐγενὴς καὶ εὐπατρίδης· ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς καὶ γενναῖος. καὶ εὐγενὲς ἦθος τὸ ἀστεῖον καὶ πεπαιδευμένον καὶ ὄγκον ἔχον· καὶ εὐγενὴς ψυχὴ καὶ εὐγενὴς λόγος· εὐήτριος χιτὼν ὁ λεπτὸς καὶ εὐυφής. εὖ ἀντὶ τοῦ ὀρθῶς. καλῶς ἀντὶ τοῦ χρησίμως. εὔπαιδες οἱ καλλίπαιδες καὶ οἱ πολύπαιδες. εὔζωνος γυνὴ ἡ πλουσία καὶ ζώνῃ πολυτελεῖ χρωμένη. εὔζωνος ἀνὴρ ὁ ἐλαφρὸς καὶ μηδὲν ἄχθος περὶ τὴν ζώνην ἐπιφερόμενος, τοῦ εὖ ἐνταῦθα τὸ εὔκολον δηλοῦντος. ἀντὶ τοῦ εἰπεῖν εὐρύνωτος ὅπερ ἐστὶ ποιητικόν, εὐρὺς κατὰ τοὺς ὤμους εἴποις. — ἐφέστιος ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ· καὶ ὁ ἔχων οἰκίαν· καὶ ὁ ἁπλῶς ἐν οἰκίᾳ ὤν· τῶν δύο πρώτων τὰ πεζὰ παρ' Ὁμήρῳ· ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων· καὶ Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσοι ἔασιν. ὁμέστιος δὲ καὶ συνέστιος ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρων ὤν. ἐφίημι ἀντὶ τοῦ ἐντέλομαι ἐξ οὗ καὶ ἐφετμὴ (in marg. ἐξ οὗ ἔφεσις ἡ ἐπιθυμία) ἡ ἐντολὴ ποιητικόν. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ εὔχρηστον· οὐδὲ τοῦτο τῶν χρησιμωτάτων· οὐ τὰ ἐνεργητικὰ ἔφθησαν ἐπὶ ἄλλης σημασίας τεθέντα· τὸ γὰρ ἐφίημι διπλῆν ἐν ἑαυτῷ περιορίζει τὴν σημασίαν· ἐφίημι γὰρ τὸ προτρέπω καὶ ἐνδίδωμι· ὡς τὸ ἐφίημί σοι λέγειν· καὶ ἰδίως παρὰ τοῖς ῥήτορσιν ἐφίημι τὸ ἀπὸ τοῦδε εἰς τόδε τὸ δικαστήριον μεταβαίνω· καὶ ἔφεσις τὸ πρᾶγμα ἡ μεταγωγὴ καὶ ἡ μετάβασις ἀπὸ τῶν διαιτητῶν εἰς τοὺς δικαστάς· Λουκιανός· ἡ δὲ ἔφεσις ἐπὶ τὸν διὰ ἔστω· καὶ ἐφέσιμος ἑορτὴ (Cod. λον χ) ἡ μεταγώγιμος. ἕωλον τὸ μάταιον· καὶ τὸ χθεσινὸν τὸ τῆς ἄλλης ἕω· καὶ ἕωλος νεκρός· ὁ σεσηπώς. ἑωθινὸν τὸ πρωινὸν καὶ ἐπὶ θηλυκοῦ· ἑώα δὲ ἐπὶ τόπου· ἑῷα καὶ ἑσπερία λῆξις. εὐώκεισαν καὶ Ἀττικῶς εὐώκεσαν ὡς τὸ ᾔδεισαν ᾔδεσαν· ᾔεισαν ᾔεσαν. ἐώνημαι καὶ ἐνεργητικῶς καὶ παθητικῶς· ἐωνημένον ἀνδράποδον. καὶ οὐκ ἐᾷ τὸν κν κρατεῖν ὁ δαίμων· ἀλλὰ τὸν ἐωνημένον. ὅτι Ζάλμοξις ὁ Γέτης, τὰ τοῦ Πυθαγόρου ὑπῆρχε μεμυημένος καὶ πρὸς αὐτὸν ἀπηκριβωμένος· ὅτι τὰ κύρια τὴν εἰς δος κλίσιν ἔλαχον Πάρις Πάριδος· τὰ δὲ προσηγορικά, διὰ τοῦ εως. ζεῦγμα τὸ ζεῦγος καὶ τὸ ζευγνύον δύο τινά· οὗ τὸ θέμα ἄχρηστον· ἀντὶ αὐτοῦ δὲ λέγεται τὸ ζεύγνυμι· ὁ μέλλων ζεύξω· ὡς οὖν ζεύγω ζευγνύω ζεύγνυμι, οὕτω καὶ ὄλλω, ὀλλύω, ὄλλυμι· καὶ γάνω γαννύω γάννυμι· καὶ πάντα τὰ οὕτω παραγόμενα. ζημιῶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν· ζημιῶ σε χρήμασι· καὶ αἰτιατικῆς εἰς αἰτιατικήν. ζημιῶ σε εἰς χρήματα. ζητῶ τὸ ἐρευνῶ καὶ ἐξετάζω θν (ſic Cod. i. e. θεολόγος) ζητῶ τι τῶν οὐκ ἐμῶν· ἀντὶ τοῦ ἐξετάζω τὸ οὐκ ἀνῆκον ἐμοί. ζύμη λεγόμενον προζύμιον· φύραμα δὲ τὸ μεμιγμένον ἄλευρον. ζώπυρον ὁ ἐν τῇ σποδιᾷ σπινθήρ· ἐμπύρευμα μέρος τι ἀπὸ πυρὸς ἀλλαχόσε μεταδιδόμενον εἰς προσάναψιν. ἢ δ' ὅς τὸ περὶ Πλάτωνι συνεχῶς εἰς κυκλούμενον, αὐτὸ μὲν καθ' αὑτὸ ποιητικόν ἐστι· προσλαμβάνον δὲ τὸ ος, τοῖς διαλογικοῖς (corr. vid. διαλογικῶς) γράφουσι πρὸς χρῆσιν ἔκκειται. λαμβάνεται δὲ καὶ ἐπὶ θηλυκοῦ τοῦ ος παρέλκοντος. ἥλιος, τὸ νυχθήμερον· ὅτι διὰ τοῦ νυχθημέρου ἀποκαθίσταται ὁ ἥλιος ὅθεν ἤρξατο τῇ τοῦ οὐρανοῦ φορᾷ. καὶ δωδεκάμηνος χρόνος· ὅτι διὰ τῶν ιβ μηνῶν διέρχεται τὸν ἑαυτοῦ κύκλον ὁ ἥλιος· καὶ ἀποκαθίσταται ὅθεν ἤρξατο τῇ ἑαυτοῦ κινήσει. τὸ ἡλίκος πρὸς τὸ τηλικὸς δὲ ἔχει τὴν ἀναφοράν· λέγεται δὲ ἀμφότερα ἐπὶ ἡλικίας κυρίως· ἀπὸ τούτου καὶ ἐπὶ μεγέθους ἁπλῶς. ἡλίκος καὶ τηλίκος ἀντωνυμίαι, ἀντὶ τοῦ ὅσος καὶ ὁπόσος· εἴρηνται δὲ καὶ ποιοῦ· ὡς τὸ ἡλίκον ἐκίνης γέλωτα· καὶ πηλίκον εἴη τὸ συμβεβηκός· τηλικοῦτος ἐπὶ ποσοῦ καὶ σωματικοῦ μεγέθους· ὡς τὸ τηλικοῦτος ὤν· καὶ τηλικοῦτον πώγωνα καθειμένος· τηλικος δὲ ὑποκοριστικόν· ὡς καὶ Σωκράτης πρὸς Μέλιτον· οὐ γάρ με λέληθας τηλικοῦτον ὄντα τηλικὸς δὲ ὤν· ἤνυσε τὴν ὁδὸν ἁπλῶς· κατήνυσε δὲ εἰς λιμένα· ὡς τὸ κατάγομαι καὶ καταίρω. τὸ ἦσθα ἐπὶ παρῳχημένου· τὸ ᾖεις, ἐπὶ μέλλοντος καὶ ἐνεστῶτος. τὰ εἰς ον συγκριτικὰ δισύλλαβα, φύσει μακρᾷ παραλήγονται· ῥᾷον· διὰ τοῦτο καὶ τὸ μᾶλλον καὶ ἧττον. θαλλὸς ἐπὶ τῶν ἀειθαλῶν. θάλεια τὸ ἐπίθετον τῆς εὐωχίας καὶ ἡ μοῦσα δφ|- (i. e. δίφθογγος). οἷον δαὶς θάλεια· καὶ ἡ μοῦσα θάλεια. θαλία δὲ ἡ εὐωχία καὶ ἡ χάρις ἡ περνίκη καὶ ἡ ντρητς. τὸ θάλλειν ἐπὶ δένδρων· τὸ ἀνθεῖν ἐπὶ ἀνθέων· ὅθεν εὐθαλεῖς μὲν κλάδοι· εὐανθεῖς δὲ λειμῶνες. τὸ θεωρεῖν κυρίως ἐπὶ ψυχῆς· τὸ δὲ ὁρᾶν ἐπὶ σώματος· δηλοῖ τὸ τὰ θεῖα ὁρᾶν καὶ τὸ σκέπτεσθαι. θεαταὶ καὶ ἐπὶ θεάτρου λέγονται καὶ θεώμενοι. — θεραπεύω τὸ δουλεύω· οὐκ ἐᾷ δεσπότην ἄλλον θεραπεύειν. θεραπεύω τὸ τιμῶ· ἀγαθὸν θεραπεύεις σοφιστήν. θεραπεύω τὸ ἰῶμαι· σώματος μὲν γὰρ ἀρρωστίαν θεραπεύει τέχνη· θεραπεύω τὸ εὐφραίνω (in marg. θεραπεύω τὸ κολακεύω. In altero marg. m. rec. Λιβάνιος· τεθεράπευται καὶ ἡ καλλίστη τῆς σῆς γνώμης ἀξίως. Ima pag. θεραπεύω τὸ ἐπιμελείας ἀξιῶ· Θουκυδίδης· τὸ ναυτικὸν θεραπεύοντας. Δημοσθένης· τὰς εὐδοξίας τὰς τῆς πατρίδος θεραπεύειν· ταύτας αὔξειν.) θεραπεύω σε δώροις· θεράπων θεράπαινα θεραπαινίς· θεραπεία δὲ τὸ πλῆθος τῶν οἰκετῶν καὶ ἡ ἰατρεία. θερμουργὸς ἄνθρωπος ὁ σπουδαῖος· θερμὸν ἔργον τὸ

κακὸν καὶ ἀπαίδευτον. ὅτι τὸ φλᾶν Ἀττικόν· λέγεται **δὲ ἐπὶ** τῶν χαυνουμένων καὶ παραλυομένων τῆς ἑαυτῶν **συμπήξεως** ἀπὸ πληγῆς· ἢ τοιούτου τινός. ὅτι τὸ τεθνά-**τω ἀπὸ** τοῦ τεθνήκασι. τὸ δὲ τεθνάναι, οἱ μὲν, ἀπὸ **τοῦ θνῆμι**· θνάναι καὶ τεθνάναι· οἱ καὶ τὸ προστακτι-**κὸν ἀπὸ** τοῦ θνὰς ποιοῦσι· τὸ τέθναθι τεθνάτω· τε-**θναίην εὐκτικόν**· οἱ δὲ ἀπὸ τοῦ τεθνηκέναι τεθνάναι· **χωρεῖ** γοῦν ἐντεῦθεν κανονισθῆναι καὶ τὸ τεθνάτω κατὰ **συγκοπὴν** ἀπὸ τοῦ τεθνηκέτω· ὡς τὸ ἑστάτω ἀπὸ τοῦ **ἑστηκέτω.** θλίβω· ἀποθλίβω τὸ ἀποπιέζω ἀπὸ τούτου **καὶ ἐπὶ ἄλλων**· οἷον ἐξέθλιψεν ἡμᾶς τὸ δεινόν. (in marg. **θλίβω τὸ λυπῶ** ἀποθλίβω ἐπισταφυλῶ·) θραύειν συν-**τρίβειν** ἐπὶ ξηρῶν· ἔστι δὲ τὸ εἰς χοῦν λεπτύνειν· **θύπτειν** ἐπὶ παντὸς διαιρουμένου· καὶ τὸ κόπτειν ὁμοίως **ἢ ξίφει ἢ** ἰγδίῳ ἢ τοιούτῳ τινί· κόπτειν καὶ τὸ κρούειν. **θρύπτω** τὸ εἰς μικρὰ τέμνω· ἀφ' οὗ τρόφος· θρύπτομαι **δὲ τὸ ἀκκίζομαι** ἀφ' οὗ τροφή. θρέμματα ποιητικῶς τὰ **βοσκήματα**· ἑνικῶς ὁ τραφείς· ὦ θρέμμα ἀναιδές. ὅτι **ὁ θυμὸς** τῆς ὀργῆς ὀξύτερος καὶ ὀλιγοχρονιώτερος. — **ἐξυπνίζω**, τὸ ἐξ ὕπνου ἀνίστημί τινα. τὸ ὑπεξίσταμαι **ἐπὶ καθέδρας**· οἷον ὑπεξίσταμαί σοι τῆς ὁδοῦ· ὑπανίστα-**μαι δὲ** σοι τῆς καθέδρας. (In summa pag. m. recent. **Ξενοφῶν** ὅταν ἑκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν καὶ **θάκων** ὑπανιστῶνται. καὶ ἑτέρωθι. ὅταν περιβλέπωσι **μὲν πάντες** ὑπανιστῶνται δ' ἀπὸ τῶν θάκων·) ὑπηρετῶ **κοινῶς**· ὑπηρετοῦμαι Ἀττικῶς. ὑπέρχομαι τὸ ὑποκάτω **τινὸς ἔρχομαι**· καὶ ἀπὸ τούτου τὸ κολακεύω· οἱ γὰρ κο-**λακεύοντες** ὑποταγὴν σχηματίζονται· ἡ ὑπο πρόθεσις **ὅτε τὴν** ὑποκάτω σχέσιν δηλοῖ. Ἀττικῶς μὲν συντάσσεται **μετὰ δοτικῆς**· κοινῶς δὲ μετὰ (spatium relictum) ὑπο-**μιμνήσκω** ἀπὸ ἐλάττονος προσώπου πρὸς ὑψηλότερον· **ἀναμιμνήσκω δὲ** τῶνδε· ἤγουν ἃ ἀπεβάλου (sic fort. leg.) **τῆς μνήμης** τούτων αὖθις εἰς μνήμην ἄγω· ὑπεξυρημέ-**νον τὸ** γένειον· ἀντὶ τοῦ μετρίως παρατετιλμένον· τοῖς **γὰρ παλαιοῖς** ἔθος ἦν κοσμιότητος ἕνεκεν τὸν πώγωνα **ἀφαιρεῖν** τὸ τῶν **θριχῶν** πλῆθος ξυρῷ· ὅθεν καὶ τὰ **παρὰ** Ἀριστοφάνει. ὑπολαμβάνω τὸ δοξάζω· ὅθεν **καὶ ὑπόληψις**· ὑπολαμβάνω καὶ τὸ διαδέχομαι· **ἔσπετε** τοῦτον ἐξορία ὑπολαμβάνουσι· κατὰ τοῦτο τὸ **σημαινόμενον** λέγεται, τὸ ὑπολαβὼν δὲ ὁ ἅγιος τὸν λό-**γον**· ἤτοι διαδεξάμενος. τὸ τυμβορύκτης καὶ φρεορύκτης **καὶ τοιχορύκτης** σμικρύνονται· διότι ἔχουσι τὸ υ ἐκτετα-**μένον θέσει**· ὅσα δὲ οὐκ ἔχει τὸ υ ἐκτεταμένον ἀπὸ θέ-**σεως, μεγεθύνονται**· οἷον τυμβωρύχος· φρεωρύχος τοι-**χωρύχος**· γεωρύχος. τὰ εἰς υς ψιλὸν ὀνόματα μονοσύλ-**λαβα εἴτε** ἀρσενικὰ εἴτε θηλυκὰ μὴ ἀπὸ συναιρέσεως **ὄντα, μακροκαταληκτοῦσι** καὶ περισπῶνται· οἷον μῦς δρῦς· **ὗς σῦς**· ὡσαύτως καὶ αἱ αἰτιατικαὶ αὐτῶν πᾶσαι γὰρ αἰ-**τιατικαὶ** εἰς ν λήγουσαι τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονοῦσι· τὰ δὲ **ὑπὲρ** μίαν συλλαβὴν ἐπὶ τέλους ἔχοντα τὸν τόνον μὴ **ἀπὸ συναιρέσεως** ὄντα, ὀξύνονται· οἷον ἰχθύς· ὀφρὺς **πληθύς**· μὴ ἀπὸ συναιρέσεως εἴρηται, ὅτι τὰ ἀπὸ συν-**αιρέσεως** περισπῶνται· τοὺς ἰχθῦς τὰς ὀφρῦς· ἐπὶ δὲ γε-**νικῆς καὶ** τῶν ἄλλων πτώσεων βραχύνονται· οἷον ἰχθύος **ὀφρύος**. ὑστερῶ τὸ ἐλλείπομαι. ὑστερίζω δὲ τὸ ὕστε-**ρος ἔρχομαι**. [in ima pag. m. recent. ὑστερίζω καὶ τὸ (ἀπὸ) ἐλλείπομαι παρὰ Δημοσθένει τῷ μὲν πατρὶ τῷ τὰ **δεινὰ** πεπονθότι καὶ δυναμένῳ εἰσὶ δηλῶσαι πρὸς ὑμᾶς **ἐξ ἀνάγκης** ἡσυχίαν ἐκτέον· ἐμοὶ δὲ τῷ πάντων τούτων **ὑστερίζοντι** λεκτέον. Ξενοφῶν· κραυγῇ δ' οὐδὲν ὑστερι-**ζούσῃ** τὸν λαγὼν βοῶν ἐξέπλησσεν] ὑστερῶ ὑστερήσω· **ὑστερίζω ὑστεριῶ**· ὑστέρησα δέ. ταλασία καὶ ὑφαντικὴ

ταυτόν. τὰ εἰς υξ τοῦ υ ψιλοῦ καὶ διὰ τοῦ υ, ἐν μὲν τῇ εὐθείᾳ θέσει μακρὸν ἔχουσι τὸ δίχρονον οὐδέποτε γὰρ πρὸ τῶν διπλῶν εὑρίσκεται δίχρονον ἐκτεταμένον πλὴν τοῦ πρᾶξις· ὅτι γε πρῆξις ἦν· φύσει γὰρ καὶ θέσει γενέσθαι ἀδύνατον· εἰ μήπω λόγῳ αὐξήσεως παρῳχημένου, ὡς ἐπὶ τοῦ ἵξευον· καὶ ἀφῖγμαι· καὶ μὴν καὶ τὸ πνίγω (in marg. ἐν μὲν γὰρ τῷ ἵκω, φύσει· ἐν δὲ τῷ ἀφῖγμαι καὶ φύσει καὶ θέσει· εἰ γὰρ καὶ οὐ μεταβάλλονται τὰ τοιαῦτα, ἀλλ' οὐκ ἂν αὐξηταμένουσι.] πνίζω, ἐπὶ μὲν τοῦ μέλλοντος θέσει ἂν ἐκτεταμένον, ἐπὶ δὲ τοῦ ἐνεστῶτος φύσει, μαρτυρεῖ ἀληθῶς τὸν τοιοῦτον εἶναι κανόνα· καὶ τὸ φοῖνιξ καὶ τὸ κῆρυξ ἐν μὲν τῷ ἐνεστῶτι (corr. m. recent. εὐθείᾳ) θέσει μακρὸν ἔχουσι τὸ δίχρονον· ἐν δὲ τῇ γενικῇ φύσει· φοίνικος κήρυκος. Ἀριστοφάνης· τὰ τυφλοῦ φοίνικος, οὐ φοίνικος· οὔ· τό γε μὴν ἥλικος καὶ ὁμήλικος, ἐπὶ τῆς γενικῆς συστέλλεται· ἴτ' ὦ νέοι μοι τῆςδε γῆς ὁμήλικες. φάσματα τὰ ἐν ὕπνῳ φαινόμενα καὶ ὅσα φαντάζουσι τὰ δαιμόνια νύκτωρ ἢ μεθημέρα ἐν ταῖς ἐρήμαις ἀπὸ τοῦ ἀέρος λαμβάνοντα τὰς μορφὰς οἵας ἂν ἐθέλωσι. — φάος καὶ φάρος ὄνομα τόπου, βραχύ· φάρος δὲ τὸ ἱμάτιον ἐνίοτε μὲν μακρὸν ἐνίοτε δὲ βραχύ. ὡς τὸ καλόν· τὸ ἴσον· τὸ ἀνήρ· τὸ ὕδωρ· τὸ ἀήρ· τὸ Ἄρης· ὡς δείκνυται ἐν τῷ, Ἆρες Ἄρες βροτολοιγέ· τὸ ὑμῖν καὶ ἕτερα. φαῦλον τὸ μικρὸν καὶ εὐτελὲς καὶ οὐδαμόν· καὶ φαῦλον τὸ κακὸν καὶ πονηρόν· ὅθεν καὶ φαῦλον λέγειν (Cod. [illegible]) τὸν κακόβιον καὶ πονηρὸν ἄνθρωπον· φαῦλον τὸ διαστελλόμενον πρὸς τὸ σπουδαῖον· οἷον φαῦλος ὁ δεῖνα ἢ σπουδαῖος· φαῦλος τὰ ἤθη· ἢ χρηστὸς τὰ ἤθη· φαῦλον τὸ ἄτεχνον ὡς παρὰ Σοφοκλεῖ· δέπας φαυλουργοῦ τέχνης· φλαῦρον δὲ τὸ γελοῖον· ὅθεν καὶ φλαυρίζω τὸν δεῖνα· ἀντὶ τοῦ διαγελῶ καὶ διαπέζω (corr. m. recent. διαπαίζω)· π[illegible] ἐφλαύριζε τὴν παρασκευήν. φανὲν λέγεται τὸ παρασταν καὶ δόξαν· φανθὲν δὲ τὸ φαντασθὲν ἐν ὀνείρῳ· ἐξ οὗ γίνεται καὶ τὸ φάσμα. φαίνω ἐνεστώς· ἔφαινον παρατατικός· φανῶ μέλλων· ἔφηνα ἀόριστος. φαίνομαι ἐφαινόμην παρατατικός· φανοῦμαι καὶ φανήσομαι μέλλων· καὶ ποιητικῶς· καὶ ῥητορικῶς φανθήσομαι· πέφασμαι παρακείμενος· ἐφάνην δεύτερος ἀόριστος· καὶ ἐφάνθην· καὶ τοῦτο ποιητικῶς καὶ ῥητορικῶς ἐπὶ πρώτου ἀορίστου· τὸ δὲ πέφηνα οὕτω. φαίνω τὸ δεικνύω· ὁ μέλλων φανῶ ἀντὶ τοῦ δείξω· ὁ παρακείμενος πέφαγκα ἄχρηστος· καὶ τοῦτό, που εὕρηται τῶν Λιβανίου ἐπιστολῶν, ἐκπέφαγκε γράφοντος· ὁ μέσος πέφανα· καὶ τροπῇ τοῦ α εἰς η πέφηνα· καὶ λαμβάνεται εἰς μόνην παθητικὴν σημασίαν ἀντὶ τοῦ ἐδείχθην· τὸ φη η· παραληγοῦ δὲ τὴν αὐτὴν ὁ παρακείμενος τῷ μέλλοντι· ἐπεὶ γὰρ ὁ μέλλων Αἰολικῶς φάνσω προφέρεται· καὶ παραλήγεται τῷ θέσει μακρῷ, ὁ δὲ μέσος παρακείμενος τὴν ἀπὸ θέσεως ἔκτασιν οὐκ εἶχεν (haec vv. ex marg. pro ἔκτασιν οὐκ εἶχεν), ἐξ ἀνάγκης εἰς τὴν φυσικὴν ἔκτασιν μετέπεσεν· ἵνα μὴ βραχύτερος ᾖ τοῦ μέλλοντος· ὥσπερ ἐστὶ καὶ τύψω τέτυφα καὶ ἄλλα· καὶ γέγονε διὰ τοῦ μακροῦ φα· εἶτα καὶ τὸ α εἰς η ἐτράπη διὰ τὸ εὐφωνότερον· καὶ γέγονε πέφηνα. φάναι ἀντὶ τοῦ εἰπεῖν· ἐμφῆναι ἀντὶ τοῦ δεῖξαι. φαρμακεὺς ὁ μάγος· φαρμακὸς δὲ ὁ τὸ δηλητήριον διδούς. (Ad hunc locum manu recent. adnot. Πλανούδης δὲ φαρμακὸν λέγει τὸν γόητα Ἀττικῶς· καὶ φαρμακίδα τὴν χρωμένην φαρμάκοις καὶ γοητεύμασι. (In marg. καὶ ὁ Πλωτῖνος οὕτω. καὶ γὰρ

μηδενὸς μηχανωμένου ἄλλου πολλὰ ἕλκεται καὶ γοητεύεται καὶ ἡ ἀληθινὴ μαγεία, ἡ ἐν τῷ παντὶ μλία (fic): καὶ τὸ νεῖκος αὖ· καὶ ὁ γόης ὁ πρῶτος καὶ ὁ Φαρμακεὺς οὗτός ἐστιν· ὃν κατανοήσαντες οἱ ἄνθρωποι, ἐπ᾽ ἀλλήλοις χρῶνται αὐτοῦ τοῖς Φαρμάκοις καὶ τοῖς γοητεύμασι. —) Φεύγω τὸ ἐκκλίνω καὶ κατηγοροῦμαι· οἷς ἀντίκειται τὸ διώκω, ἀμφότερα σημαῖνον· τὸ μεθέπομαι καὶ τὸ κατηγορῶ· τοῦτο μετὰ μὲν τῆς ἀπο, σημαίνει τὸ κατηγορούμενον· ἀπολυθῆναι τῆς αἰτίας· μετὰ δὲ τῆς κατα, τὸ ἐπὶ σωτηρία εἴς τινα προσδραμεῖν· μετὰ δὲ τῆς δια, τὸ διὰ μέσων πολλῶν ἐκφυγεῖν· καὶ μετ᾽ ἄλλης ἄλλότι. Φεῦ θαυμαστικὸν καὶ σχετλιαστικόν· ἤτοι θρηνητικὸν καὶ θαυμαστικόν. Φέρω καὶ ἀναφέρω τὸ βαστάζω· ἐξ οὗ καὶ ἀνάφορον τὸ κοινῶς ἀλλαξιμάριον· ἀπὸ τοῦ ἄνω Φέρεσθαι· Ἀριστοφάνης· εἰ μὴ καθαιρήσει τὶς τἀνάφορον ἀπὸ τούτου μαὶ δυσανάφορος ὕπνος ὁ δυσβάστακτος (ἑτέρωθι, ὁ δυσκόλως ἀφιεὶς τὸν πάσχοντα ἀναλαμβάνειν ἑαυτὸν) ἀπὸ δὲ τοῦ Φέρω, καὶ εὔφορος ζυγὸς ὁ ἐλαφρός· οὗ ἐναντίον δύσφορος ὁ βαρύς· καὶ δυσφορῶ ῥῆμα τὸ λυποῦμαι καὶ βαρύνομαι καὶ οἱονεὶ πιέζομαι. Φέρει μὲν τὶς βιβλίον· ἐκφέρεται δὲ ὁ τοῦ δέοντος ἔξω Φερόμενος· προσφέρει τὶς τινὶ δῶρα, προσφέρεται δέ τις τινὶ πράως· ἢ τοὐναντίον· ὃ δὴ καὶ σημαίνει διάθεσις· διαφέρει μὲν ἥλιος σελήνης· διαφέρεται δέ τις πρὸς ἀδελφὸν περὶ πατρῴου κλήρου. ὅτι τὸ Φθάνειν, ὅτε μὲν πρὸς τὸ τέλος λέγεται τῆς κινήσεως, τὸ καταλαμβάνω (m. rec. corr. καταλαμβάνειν) δηλοῖ· ὅτε δὲ πρός τινα ἐρίζοντα, τὸ προλαμβάνειν· ἀπὸ τούτου δὲ κατὰ μεταφορὰν λέγεται καὶ τὸ διαρκεῖν. ἐπίφθονον τὸ ἔχον Φθόνον· ἤγουν τὸ Φθονούμενον· ἄφθονον τὸ χωρὶς Φθόνου διδόμενον ἢ γινόμενον· οἷον ἄφθονος χάρις ἡ χώρις Φθόνου διδομένη· καὶ ἄφθονος πρᾶξις ἡ χωρὶς Φθόνου πραττομένη· ἀφ᾽ οὗ ἄφθονος πλοῦτος ὁ πολύς· καὶ ἄφθονον πλῆθος ὁμοίως ἀντὶ τοῦ πολύ· ἀφθόνητος δὲ ὁ μὴ Φθονούμενος. — τὸ Φθέγγεσθαι καὶ τὸ Φθέγγμα κυρίως ἐπὶ ἀνθρώπων· Φθέγγομαι τὸ λέγω· ἀποφθέγγομαι τὸ συνεσταλμένα καὶ βραχέα λέγω· ὅθεν καὶ ἀποφθέγματα οἱ βραχεῖς καὶ ὀλιγοσύλλαβοι λόγοι· ὡς τὸ, οἱ πλείους κακοί· καὶ· πᾶν μέτρον ἄριστον. Φιλολογεῖν ἀδόκιμον, κἂν ὁ Φιλολόγος καὶ ἡ Φιλολογία ἐν χρήσει παρὰ Πλάτωνι. Φιλῶ τὸ ἀγαπῶ· καὶ Φιλῶ τῷ στόματι καὶ Φιλῶ παρ᾽ Ὁμήρῳ τὸ Φιλοφρονοῦμαι καὶ δεξιοῦμαι· Φιλεῖν μὲν τὸ ἁπλῶς Φιλεῖν· ἐρᾶν δὲ τὸ διαπύρως Φιλεῖν· ποθεῖν δὲ τὸ τοῦ πρότερον παρόντος νῦν δὲ ἀπόντος· εἰς ἐπιθυμίαν ἔρχεσθαι. Φιλῶ τὸ Φι βραχύ· περὶ δὲ τοῖς ποιηταῖς ἐνίοτε καὶ μακρόν. ἡ Φορὰ ἀπὸ Φέρειν· ὃ ποιητικῶς λέγεται Φορέειν· ὃ μετὰ τῆς εν προθέσεως οὐ λέγεται· ὄνομα δὲ ἀπ᾽ αὐτοῦ ἡ ἐμφερής· μετὰ δὲ τῆς εις λέγεται εἰς Φέρειν· καὶ δηλοῖ τὸ κατὰ νόμους διδόναι· μετὰ δὲ τῆς εκ ἐκφέρειν· ὃ λαμβάνεται ἐπὶ προφορᾶς λόγου· καὶ ἐπὶ τῆς ἔξω τοῦ πρέποντος Φορᾶς· καὶ ἐπὶ νεκροῦ· μετὰ τῆς συν συμφέρειν· ἀφ᾽ οὗ τὸ συμφέρον· ὃ τέλος ἐστὶ τοῦ συμβουλευτικοῦ μέρους τῆς ῥητορικῆς· καὶ ἡ συμφορά· μετὰ δὲ τῆς προ, προφέρειν τὸ ὀνειδίζειν· καὶ τὸ προτείνειν· μετὰ δὲ τῆς ανα, ἀναφέρειν τὸ εἰς μεῖζον πρόσωπον ἀναφέρειν τὸν λόγον· καὶ μετὰ τῆς κατα, καταφέρειν· ἀφ᾽ οὗ καταφορὰ ἡ κατηγορία· μετὰ δὲ τῆς δια, διαφέρειν τὸ διαφορὰν ἔχειν καὶ συντάσσεται ἀπὸ αἰτιατικῆς εἰς δοτικήν· καὶ τὸ ὑπομένειν· ὃ μετὰ τῆς συν λέγεται· καὶ δηλοῖ τὸ μετά τινος ὑπομένειν. καὶ τὸ ἐπιτηδείως ἔχειν καὶ Φιλικῶς πρός τινα· οἷον ὁ σπουδαῖος ὀφείλει προνοεῖσθαι καὶ ἑαυτοῦ καὶ τῶν διαφερόντων αὐτῷ· ἀπὸ τούτου διαφορὰ καὶ διάφορος ἐπὶ τοῦ ἐχθρωδῶς διακεῖσθαι πρός τινα· καὶ ἐπὶ τοῦ διαφορὰν ἔχειν· καὶ μετὰ τῆς μετα, μεταφέρειν καὶ μεταφορὰ τὸ μετατιθέναι ἐφ᾽ ἕτερον τὴν ἁρμόζουσαν λέξιν ἑτέρῳ· καὶ μετὰ τῆς παρα, παραφέρειν, καὶ παράφορος ὁ παραπαίων· καὶ μετὰ τῆς ἀντι, ἀντιφέρεσθαι τὸ ἐναντιοῦσθαι· ὃ ποιητικῶς λέγεται ἀντιφερίζειν· καὶ μετὰ τῆς ἐπι, ἐπιφέρειν καὶ ἐπιφορὰ καὶ ἐπίφορον· πνεῦμα τὸ ἐπιτήδειον καὶ ἁρμόζο τοῖς πλέουσι· καὶ μετὰ τῆς περι, περιφέρειν καὶ περιφορὰ ἐπὶ τῆς κύκλῳ Φορᾶς· καὶ μετὰ τῆς ἀπο παθητικῶς ἀποφέρεσθαι, τὸ ἀπολαβόντα ἆθλον ἤ τι τοιοῦτον ἀπιέναι· καὶ μετὰ τῆς ὑπο, ὑποφέρειν τὸ ὑπομένειν· ἀπὸ τοῦ Φέρειν δυνάμενος τὰ προσπίπτοντα· καὶ Φέριστος ὑπερθετικόν· καὶ ἰσοφαρίζειν ποιητικῶς. Φορὸς ἄνεμος ὁ τοῖς πλέουσι δεξιός· καὶ Φορὸς ἡ συκῆ σύκων· Φορὸς καὶ ἡ γῆ καρπῶν· καὶ πάμφορος γῆ ἡ παντοίους καρποὺς Φέρουσα. — Φύω τὸ γεννῶ ὁ μέλλων Φύσω· ὁ παρακείμενος πέφυκα ὃ σημαίνει τὸ ἐγεννήθην· ἔστι δὲ οὗ καὶ τὸ Φύσιν ἔχω· καὶ τὸ ὑπάρχω· ἡ μετοχὴ ὁ πεφυκώς· ὁ πρῶτος ἀόριστος ἔφυσα ἄλλον· ὁ δεύτερος ἔφυν ἀντὶ τοῦ ἐγεννήθην· ἔστι δὲ τὸ Φυ μακρὸν ἀεὶ καὶ τοῦ ἀορίστου καὶ τοῦ παρακειμένου· καίτοι τὰ διὰ τοῦ υω ῥήματα πάντα ἐπὶ τοῦ μέλλοντος πλὴν τοῦ θύω καὶ λύω καὶ ῥύω, συστέλλειν τινὸς λέγοντος· εἰ μήπου καὶ τοῦτο ἀπὸ τοῦ Φῦμι· ἡ δὲ δ—η τῶν εἰς μι διχρόνων (Cod. διχρο++) ἐκτεταμένω παραλήγεται. — Φωνῶ τὸ λαλῶ αἰτιατικῇ· Φωνῶ δὲ τὸ διαλέγομαι δοτικῇ. Φωρῶ τὸ ὑπονοῶ μετὰ μετοχῆς· οἷον ἐφωράθην ψευδόμενος ἢ κλέπτων. χαρίεν (Ad h. l. in marg. m. recent. ὁ δε Πλανούδης οἶμαι Φησίν· ἄχρι ποιοῦσι τὸ χαρίεν οἱ προπαροξύνοντες· χάριεν γὰρ ἐπιρρηματικῶς λέγεται.) τὸ καὶ ἐπίχαρι προπαροξύνεται διότι ἔστι τὸ ρι βραχὺ καὶ οὐ δύναται κατέχειν τὸν τόνον· ὡς γὰρ τιμῆεν, ἦν ἂν καὶ αὐτὸ χαρίεν. χαλκὸς καὶ χρυσὸς ὁ κείμενος ἀργός· χαλκοῦς δὲ καὶ χρυσοῦς σκεῦος ἢ ἄλλότι ἐκ χαλκοῦ ἢ χρυσοῦ κατεσκευασμένον. χάος ἐστὶν ὁ διακεχυμένος ἀήρ. τὸ χαίρω ἀεὶ ἐνεργητικῶς συντασσόμενον μετοχῇ· χαίρω γράφων· χαίρω τὰ σὰ μηνύων· καὶ πτώσει δοτικῇ· οἷον χαίρω τῇ σῇ θέα· χαίρω τῇ σῇ (fuprafcr.) γεωργία· ὅπερ Φαμὲν ἰδιωτικῶς ἀποδέχομαι· εὕρηται δὲ ἀμετάβατον· ὡς τὸ σοῦ ταῦτα λέγοντος, χαίρω ἀντὶ τοῦ χαρὰν ἔχω. χλοάζει τὸ λήιον ἤτοι ἀνθεῖ· καὶ χλωρόν· χλοερὸν δὲ κάλλιον. χολάδες τὰ ἔντερα· χόλικες δ᾽ αἱ τῶν βοῶν κοιλίαι· Ἀριστοφάνης Βαβυλωνίοις· ἢ βοϊδάριον (Cod. βοϊδαρ´) τὶς ἀπεκτείνε χολίκων ἐπιθυμῶν. χράω χρῶ τὸ δανείζω καὶ τὸ μαντεύω· παρατατικὸς, ἔχραον ἔχρων· (in marg. . . . . (legi non poteft) καὶ κιχρῶ) χρήσω μέλλων· ἔχρησα ἀόριστος. χράομαι χρῶμαι ἐπιχρείας· ἐχραόμην ἐχρώμην παρατατικός· χρήσομαι μέλλων· ἐχρησάμην ἀόριστος· κέχρημαι παρακείμενος. χρὴ ἀντὶ τοῦ πρέπει βαρύνεται· χρῆ δὲ περισπώμενον ἀντὶ τοῦ χρησμοὺς δίδωσι· καὶ χρᾶν ἀπαρέμφατον· χρᾷ γάρ ἐστι καὶ τροπῇ τοῦ α εἰς η χρῇ· καὶ ὁ μὲν θεὸς χρῇ· ὁ δὲ ἄνθρωπος μαντεύεται· χρῶμαι τῷ πράγματι ἀντὶ τοῦ ἀπολαύω τοῦ πράγματος· τὸ τρίτον οὐ χρᾶται ἀλλὰ χρῆται· τὸ ἀπαρέμφατον οὐ χρᾶσθαι ἀλλὰ χρῆσθαι· ση τὸ παρὰ Ξενοφῶντι τὸ χρῆ ἀντὶ τοῦ κέχρηται. χρῆσται καὶ τοὺς δανειστὰς καὶ τοὺς χρεωφειλέτας· χρῶμα κυρίως τὸ μετὰ τῆς ὕλης· οἷον ὤχρα κινάβαρ· χρόα δὲ καὶ χροία αὐτὸ το εἶδος τοῦ χρώματος. χρήζω ἀντὶ τοῦ χρείαν ἔχω γενικῇ· χρήζω σοι δὲ τόδε ἀντὶ τοῦ δανείζω σοι δοτικῇ.

(Infima pag. m. recent. Θουκυδίδης· καὶ ἐκ Πελοποννήσου ἄλλη στρατιὰ προσδόκιμος. ὡς καὶ τῶν Ἀθήνων προσδοκίμων ὄντων ἄλλη στρατιᾷ. καὶ ὡς ἢν φθάνωσιν αὐτοὶ πρότερον διαφθείραντες τὸ παρὸν στράτευμα αὐτῶν, διαπεπολεμησομένων· ἤτοι καταλυσόντων τὸν πόλεμον·)

ἀναχωρεῖν μὲν ἐπαναστρέφειν· ἀποχωρεῖν δὲ τὸ ἀφίστασθαι· καὶ ὑποχωρεῖν τὸ ὑπεξίστασθαι· τὸ χρεὼν ὅτε μὲν μετὰ τοῦ ἄρθρου τίθεται, ὄνομα ἐστὶ μονόκλιτον· ὥσπερ καὶ τὸ δέον μετὰ ἄρθρου λαμβανόμενον ὄνομα ἐστί· χωρὶς δὲ τοῦ ἄρθρου ἐπίρρημα· χρεῖον γάρ ἐστι γενέσθαι τὸ δέ τι λεγόμενον· ἄμεινον δὲ λέγειν αὐτὸ ὄνομα ἐπιρρηματικόν· Εὐριπίδης· οὐκ ἔστι μοίρας τοῦ χρεὼν ἀπαλλαγή. ψάλλιον ὁ χαλινός· ψέλλιον δὲ τὸ τοῖς βραχίοσι περιτιθέμενον κόσμιον. ψαύω τοῦ δεῖνος· καὶ ψαύω τόδε. ὅτι τὰ κατ' αἴσθησιν ἀμφοτέρως· ὁρῶ δὲ μόνον τόδε. ψάμμος καὶ ἄμμος· τὰ δὲ παράγωγα, ψάμμαθος καὶ ἄμμαθος. ψῆφος κυρίως ἡ ἀπόφασις οὐχ ἡ κρίσις· καὶ κατεψηφίσθη· οὐ κατεκρίθη· ψηφίζομαι τὸ κρίνω παθητικῶς· καὶ διαψηφίζομαι· καὶ ἐπιψηφίζομαι τὸ ἐπικυρῶ· καταψηφίζομαι δέ σου θάνατον· ἤγουν κατὰ σοῦ ἐπάγω τὴν ψῆφον· ᾧπερ ἐναντίον τὸ ἀποψηφίζομαι· ψηφίζομαι δὲ καὶ τὸ δόκιμος κρίνομαι· ἀποψηφίζομαι δὲ τὸ ἀδόκιμος κρίνομαι· ψηφίζω δὲ ἐνεργητικῶς τὸ λογαριάζω. ψιὰς παρ' Ὁμήρῳ ἡ παρὰ τοῖς πολλοῖς ψεκάς. ψοφοδεὴς ὁ καταπλὴξ ὃς καὶ ψόφον αἰσθόμενος οὐκ ἀπαλλάττεται τοῦ φοβεῖσθαι. ψυχὴ ἡ λογική· καὶ ἡ ἐν τοῖς ζώοις τοῖς ἀλόγοις· καὶ ἡ ἐν τοῖς φυτοῖς· ψυχὴ καὶ ἡ ζωή· Ἕκτορος τ' ἀπώλλυτο ψυχή· ψυχὴ καὶ ἡ φύσις· Σοφοκλῆς· οστις τῆς ἐμῆς ψυχῆς γεγώς· ἤγουν τῆς ἐμῆς φύσεως. ψυχαγωγεῖν λέγεται τὸ τὴν ψυχὴν ἐκλείπουσαν καὶ ἐκλελυμένην αὖθις τινὰ ἐπανάγειν. ὠθῶ τὸ κοινῶς κεντῶ· διωθοῦμαι παθητικῶς Ἀττικῶς, τὸ διακρούομαι καὶ παραγκωνίζομαι· ᾧ παραπλήσιον τὸ παρωθεῖται· ἤτοι παρορᾷ καὶ περιφρονεῖ καὶ ὑπερβαίνει· ἀπωθεῖται ἤτοι ἀποπέμπει καὶ ἀποσείεται· ἐξωθεῖται ἤτοι ἐκβάλλει καὶ ἐξορίζει· ὅθεν καὶ ἐξώστης ἄνεμος· συνωθεῖ ἤτοι συνελαύνει· Ἀριστοφάνης ἐπὶ τῆς αὐτῆς σημασίας τὸ ὠστιζόμεθα· ἀντὶ τοῦ συνελαυνόμεθα· προωθεῖ ἤτοι εἰς τὸ ἔμπροσθεν ὠθεῖ καὶ κινεῖ βίᾳ. πρόωρος ὁ πρὸ τῆς ὥρας· ἔξωρος ὁ παρηβηκὼς καὶ γηραιός. τὸ ὡς ἀντὶ τοῦ λίαν· ἀλλ' ἔχει τινὰ ἔμφασιν τούτου· καθὸ γράφεται μετὰ ὑπερθετικοῦ, ὡς κάλλιστα· ὑπερθετικοῦ γὰρ ὑπερθετικὸν οὐκ ἔστιν· οὕτω καὶ μετὰ τοῦ ὅτι καὶ τοῦ ὅσον τὰ ὑπερθετικὰ γράφεται πάντα. ἀπὸ τοῦ ὀφείλω ὤφειλον καὶ ἐκβολῇ τοῦ ι ὤφελον· τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου· ἀφ' οὗ ὤφελες ἐπὶ β· καὶ ὤφελεν ἐπὶ τρίτου· λαμβάνεται δὲ ἀντὶ τοῦ ἔπρεπε· καὶ μά· ἐξ ἀνάγκης γράφεται· ὄφειλε δὲ ἐπίρρημα ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο μικροῦ· καὶ μετὰ εὐκτικοῦ ἀεὶ τάττεται ἢ μετὰ παρεληλυθότος. —

(Jam fubfequi videntur alia: — Ima pag. m. recent. κατα τάλλα· ἄλλη τέπη· Λιβάνιος· τῇτε ἄλλη τὸν ἀβλάβιον ἡδέως εἶδον· καὶ ὅτι μοι παρὰ σοῦ γράμματα ἧκεν· Ξενοφῶν· ἀργυράδεις τόπον) ῥυθμός ἐστι ποιὸς ἦχος τοῦ λόγου ὑπὸ συνθήκης καὶ ἀναπαύσεως συνιστάμενος, ἄλλοτι ὢν περὶ ταῦτα· ὥσπερ οἰκοδομίας ἐκ ξύλων ἢ λίθων συντεθείσης, ἄλλοτι παρὰ ταῦτα τὸ εἶδος γίνεται. λιπαρόν· εὐτραφὲς λαμπρόν· βαθύ σε γῆρας καὶ λιπαρὸν περιμείνειεν. (fupraſc. m. rec. ὥστε νεάζειν· τῶν νέων γὰρ τοῦτο·) ἐκλέγειν τὸ φόρους ἀπαιτεῖν· ἀφ' οὗ καὶ φόρων ἐκλογεὺς ὁ φορολόγος. καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν· καὶ τὰ τέλη τοὺς καταπλέοντας ἐξέλεγον. καὶ χρυσῶν τεττίγων ἐνέρσει κρώβυλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. (in marg. κρώβυλον Θουκυδίδου ὁρμαθός· m. recent. ὡς τὸ φθείρω· φθέρσω φθερσίμβροτος·) ἀπὸ τοῦ ἐνείρω ὁ μέλλων ἐνέρσει Αἰολικῶς, ἔνερσις ἡ συμπλοκή. τὸ πόστον ἐπὶ ἀριθμοῦ λέγεται τάξιν δηλοῦντος (fpatium vacuum) Δημοσθένης· ἐν οἷς οὐδαμοῦ σὺ φανήσῃ γεγονώς. οὐ πρῶτος· οὐ δεύτερος οὐ τρίτος οὐ τέταρτος· οὐ πέμπτος· οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν· τουτέστιν οὐδεμιᾷ τάξει ἀριθμοῦ δυνάμενος ἐξετάζεσθαι. — ὅτι τὸ τριήμερον· καὶ πενθήμερον καὶ ἑπταήμερον, ἀπὸ τοῦ τριάς· καὶ πεντὰς καὶ ἑπτάς· ἀλλ' οὐκ ἀπὸ τοῦ τρία καὶ πέντε καὶ ἑπτὰ γίνεται· καὶ δῆλον, ἀπὸ τοῦ τετραημέρου· καὶ ἑξαημέρου· καὶ ὀκταημέρου· ἐφ' οἷς ἡ συνθήκη ἐξ ἀνάγκης ἀπὸ τοῦ τετρὰς καὶ ἑξὰς καὶ ὀκτὰς δείκνυται. ὁ δὲ Πίνδαρος πεμπταμέροις ἁμίλλαις ἐν πέντε ἡμέραις ἁμιλληθείσαις φησίν, ἀπὸ τοῦ πέμπτου τοῦτο συνθείς· καὶ ἀμετάβλητα τὰ ψιλὰ δασέος ἐπαγομένου Ἰωνικοῦ τρόπῳ ἐάσας. εἶδος ἡ μορφὴ καὶ ἡ διαφορά· (fpatium vacuum.)

ἀπαίδευτον τὸ ἄτακτον καὶ ἀκόλαστον· καὶ ἀπαίδευτος ὁ ἀμαθής. Δημοσθένης· καὶ τοὺς τοιαῦτα λέγοντας παραδείγματα, ὡς ἄρ' ἐκεῖνοι μεγάλα εὖ παθόντες οὐδὲν ἐτίμησαν, καὶ πονηροὺς καὶ ἀπαιδεύτους ἡγεῖσθε εἶναι· πονηροὺς μέν, διότι καταψεύδονται τῶν προγόνων ἡμῶν ὡς ἀχαρίστων· ἀμαθεῖς δὲ διότι ἐκεῖνο ἀγνοοῦσιν, ὅτι εἴτε μάλιστα ταῦθ' οὕτως εἶχεν, ἀρνεῖσθαι μᾶλλον ἢ λέγειν αὐτοῖς προσῆκε.

ὅτι καὶ ἐγκύκλιοι ἀρχαὶ καὶ ἐγκύκλιοι λειτουργίαι

Δημοσθένης· ἀλλὰ μὴν γέγραπται ἀτελεῖς εἶναι αὐτούς· τίνος· ἢ τοῦ μετοικίου· τοῦτο γὰρ λοιπόν· οὐδήπου· ἀλλὰ τῶν ἐγκυκλίων λειτουργιῶν, ὡς ἥτε στήλη δηλοῖ καὶ σὺ προώρισας ἐν τῷ νόμῳ. —

προβολὴ κατηγορία τὶς κατὰ τῶν περὶ τὰς ἑορτὰς ἀδικούντων· ἢ εὐστάσεις ἑορτῆς κατὰ τῶν τοὺς ὑπερημέρους εἰσπραττόντων ἢ καὶ ἄλλο ὁτιοῦν τινὸς λαμβανόντων ἢ βιαζομένων· ὑπερήμεροι δέ εἰσιν οἱ μὴ ἀποδιδόντες ἐν ταῖς ταχταῖς προθεσμίαις τοῖς ἑλοῦσι τὰ ἐπιτίμια. τῷ μανῷ ἐναντίον τὸ πυκνόν· τῷ ἀραιῷ τὸ συμπεπιλημένον· τῷ μαλακῷ τὸ σκληρόν· τῷ λείῳ τὸ τραχύ.

Ex eodem Cod. (fec. XV. manu non ineleganti fcripta.)

Τὸ ὁρᾶν ὃ σὴ τὸ βλέπειν, εἰ προσλάβοι τὴν ὑπὸ πρόθεσιν, τὸ ὑποπτεύειν δηλοῖ· ὅπερ σημαίνει μὲν τὸ ὑπονοῶ· σημαίνει δὲ καὶ τὸ φοβοῦμαι· ὡς παρὰ Συνεσίῳ· τὰς ἀκάνθας ὑποπτεύοντες. οὕτω γίνεται καὶ τὸ ὑπειδόμην ἀπὸ τοῦ εἶδον. ἥττημαι καὶ γενικῇ καὶ δοτικῇ· ἥττημαι ταῖς φαύλαις ἡδοναῖς. παρέλκει ἀντὶ τοῦ ἔξω τείναι τοῦ κειμένου· καὶ παραπόλλυσε τίς τί. ἀντὶ τοῦ ἔξω τοῦ πρέποντος ἀναλίσκει. κέρας τὸ τῶν ζώων· καὶ ἀπὸ τούτου ἡ ἰσχύς· καὶ ἡ βασιλεία· διότι τὸ ἔλαιον ὃ οἱ βασιλεῖς ἐχρίοντο, ἐν κέρασιν ἐφυλάττετο, κέρας καὶ μέρος τὶ τοῦ στρατεύματος· καὶ ἡ κεραία κέρας λέγεται. ἐξέδωκέ τις λόγον ἀντὶ τοῦ ἐξήνεγκεν. ἤτοι εἰς φῶς προήγαγε, τὸν συντεθέντα· λόγον, ἤγουν τὸν δημιουργηθέντα ἐξέδωκε λόγον τὶς ἤτοι φήμην· ὡς παρὰ Συνεσίῳ· ἐκδεδομένου λόγου· καὶ ἐξέδωκέ τις τινὰ τινί· ἀντὶ τοῦ ἄδειαν ἔδωκεν αὐτῷ κατ' αὐτοῦ. μαίνομαι ἐγὼ παθητικῶς· ἐκμαίνω δὲ ἐνεργητικῶς μετὰ προθέσεως ἀντὶ τοῦ ἐκμαίνεσθαι ποιῶ, ὡς τὸ ἐξέμηνε τὸν Ἡρακλέα, τὸ τῆς Ἥρας ζηλότυπον· περὶ παντὸς καὶ περὶ πλείστου ποιοῦμαι τὰ σά· ἀντὶ τοῦ κρείττω πολλοῦ καὶ παντὸς ἡγοῦμαι·

τοιοῦτόν ἐστι καὶ τὸ περιεγένετο. ἁρπάζω τὸ βιαίως λαμβάνω· καὶ ἁρπάζω τὸ ὀξέως νοῶ (m. rec. add.) ὡς παρὰ Σοφοκλεῖ· καὶ ξυναρπάζω φρενί. ἄποπτον, ἀφ' οὗ δύναταί πόρρω τις βλέπειν· καὶ ἄποπτον τὸ ἀθέατον. ἀντέχω τὸ ἀντιβαίνω· τὸ κοινῶς ἀντιπατῶ· ἀντέχομαι δὲ τὸ ἀντιποιοῦμαι. — πνεῖ τις θυμοῦ καὶ θυμόν· ἀναπνεῖ δὲ ἀέρα· οὐχὶ πνεῖ· ἔξωθεν γὰρ ἀντιλαμβανόμεθα τοῦ ἀέρος. (ſqq. m.rec. interpolita: ἐχάρην παρὰ Λιβανίῳ· κἂν τῇ ταραχῇ τῆς θαλάττης ἔδεισα· καὶ πάλιν λείας γενομένης ἐχάρην.) πράττω (m. rec. add. καὶ εἰςπράττω) τὸ ἀπαιτῶ· ἀφ' οὗ πρᾶξις ἡ ἀπαίτησις, (m. rec. adj. καὶ εἴσπραξις) πράττω τὸ πωλῶ ἀφ' οὗ πρᾶξις καὶ πατήριον· καὶ πατὴρ ὁ πωλῶν· Λιβάνιος· ἀλλ' οἱ τῶν ὠνίων πρατῆρες ἐπαινοῦντες ἃ πωλοῦσιν· (m. rec. add. καὶ) πράττω τὸ ἐνεργῶ· ἀφ' οὗ πρᾶξις. ὁμολογῶ τὸ μαρτυρῶ· (ſeqq. ex marg. ὡς παρὰ Δημοσθένει· οὐδ' ὅτι οὖν ὡμολόγει δίκαιον·) ὅθεν ὁμολογητής· (uncinis incl.) ὁμολογῶ τὸ συντίθεμαι· ὡμολόγησε καὶ οὐκ ἠρνήσατο· ὁμολογῶ τὸ τὰ ὅμοια λέγω· καὶ ὁμολογῶ τὸ συμφωνίας καὶ συμβάσεις συντίθημι· ὡς παρὰ Δημοσθένει· πάλιν ὡμολόγει χάριτι. — τραγῳδοὶ καὶ κωμῳδοὶ οἱ ὑποκριταὶ τραγῳδοδιδάσκαλοι· καὶ κωμῳδοδιδάσκαλοι οἱ τῶν δραμάτων ποιηταί. (in marg. ὅθεν καὶ τραγῳδὸν δια πλάττει Λουκιανὸς χρώμενον τραγικοῖς ἔπεσι, κατὰ τοὺς τῶν δραμάτων ὑποκριτάς·) ἐπισκοτῶ δοτικῇ· σπανίως καὶ αἰτιατικῇ· ἐπισκιάζω αἰτιατικῇ· καὶ τὸν ἑκάστου βίον ἐπισκιάζουσα· καὶ τὸ γενόμενον, ἀφορμὴν οὐκ ἐλαχίστην εἰς τὴν ἐνεστῶσαν ὑπόθεσιν παρέσχηται. — καὶ παῖδες κατὰ τῶν γειναμένων ἐξεμάνησαν. (Ima pag. m. recentiſſima. ὁμολογῶ τὸ ὑπισχνοῦμαι· ὡς παρὰ Λιβανίῳ· ἐγὼ μὲν οὖν ὡμολόγηκα πρὸς ἐκεῖνον, ὡς παντὸς ἂν παρὰ σοῦ τύχοι· σὺ δ' ἂν εἴης κύριος ἢ ἀλαζόνα με δεῖξαι τῇ ὑποσχέσει, ἢ μή;) διαβολή ἐστι, κατηγορία, ἐξ ἐρημίας γινομένη τὸν κατηγορούμενον λεληθυῖα ἐκ τοῦ μονομεροῦς ἀναντιλέκτως πεπιστευμένη. — ὅτι Θησεὺς ἐκ Τροιζῆνος εἰς Ἀθήνας ἰών, ὁδοῦ πάρεργον ἐξέκοψε τοὺς κακούργους ἐντρυφῶντας ταῖς τῶν ὁδῷ βαδιζόντων σφαγαῖς· τὸν Σκείρωνα καὶ Πιτυοκάμπτην καὶ Κερκύονα. — (In marg. ὅτι τὸ Σκείρω κατὰ παράδοσιν διφθογγίζεται ὁ δε Μοσχόπουλος ἰωτίζει περιφανῶς·) τὸ μὲν ἐγκαλέσαι καὶ μέμψασθαι καὶ ἐπιτιμῆσαι, ῥᾴδιον καὶ παντός· τὸ δὲ ὅπως τὰ παρόντα βελτίω γένηται συμβουλεῦσαι, τοῦτ' ἔμφρονος ὡς ἀληθῶς συμβούλου. — ἔστι δαιμόνια τινα ὑποβρύχια τοῦ βυθῷ ἐμπολιτευόμενα· γηρηΐδας αὐτὰ καλεῖν εἰώθασιν Ἕλληνες· ἀπολλύντα τοὺς πλέοντας· καὶ τὰ πλοῖα εἰς σκοπέλους τινὰς καὶ ῥαχίας καταράπτοντα· καὶ τοὺς ἀνέμους ἐξαγριαίνοντα· καὶ θυέλλας ὅλας αὐτοῖς καταρρηγνύντα· αἰτιώτατοι δὲ πάντων τούτων ἡμεῖς, σφᾶς αὐτοὺς αὐτοῖς ἐγχειρίζοντες· καὶ τυράννους ἐπιγραφόμενοι καὶ χειροτονοῦντες, τῇ συχνῇ παραβάσει φεῦ τῶν θεοῦ ἐντολῶν. — συνίασιν συνέρχονται· συνιᾶσι νοοῦσιν αἰσθάνονται. ἵν' οὖν μὴ π^ει^ τὸν λόγον σοι λέγω· μὴ δὲ ἃ γίγνωσκω περὶ τούτων αὐτὸς διαξίω, τῶν γὰρ ἄλλων ἐπὶ μὲν τῆς πρᾳότητος ταπεινῶν· (in marg. Δημοσθένης) ἐπεὶ δὲ τῆς σεμνότητος αὐθαδῶν ὑπολαμβανομένων, καὶ διὰ μὲν τὴν ἀνδρίαν θρασυτέρων, διὰ δὲ τὴν ἡσυχίαν ἀβελτέρων εἶναι δοκούντων, τοσαύτας ὑπεναντιώσεις πρὸς ἄλληλα λαβοῦσα ἡ τύχη, πρὸς τὸ δέον ἅπανθ' ὁμολογούμεν' ἀπέδειξεν, ὥσπερ εὐχὴν ἐπιτελοῦσα ἢ παράδειγμα τοῖς ἄλλοις ὑποδεῖξαι βουληθεῖσα·

ἀλλ' οὐ θνητὴν ὡς εἴθιστο φύσιν ἱστᾶσα. — νῦν δὲ δέδοικα μὴ πρὸς τὰ λοιπὰ ἀπειρηκόσι χρησώμεθα τοῖς ἀκροαταῖς καὶ παρὰ (corr. περὶ) τοῦτο μάτην τερθρευώμεθα. (in marg. τερατευώμεθα) ὠδῖνες οἱ ἐν τοῖς τόκοις πόνοι· ὠδὶν καὶ ἡ σύλληψις· Πίνδαρος· κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις· ἤτοι συνέλαβε παρθενικὴν ἐν τοῖς κόλποις καὶ τοῖς μυχοῖς τῆς γαστρὸς ὠδῖνα καὶ σύλληψιν· ἐγκυμόνησιν· διότι ἡ σύλληψις αἰτία τῶν ὠδίνων ἐστί, ὠδὶν καὶ αὐτὴ λέγεται. ἦλθε δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνος τ' ἐρατῆς Ἴαμα· ἤγουν ἐντὸς τῶν σπλάγχνων ὑπ' ὠδῖνος· τουτέστιν ὑπὸ τῆς ἐγκυμονήσεως· κατεγγύη ὁ ἀρραβών· Εὐριπίδης· ἣν σου κατηγγύησι ἑταιρίαν σέβων. Δημοσθένης· πρὸς κατεγγύην γραμματεῖον ἔχοντος. ὁ δὲ ξυρεῖ τὴν κεφαλὴν καὶ τὸ γένειον λαθεῖν θέλων· καὶ σκευὴν Αἰγυπτίαν ἀναλαβὼν ἥνπερ οἱ τῆς Ἴσιδος θεραπευτῆρες ἤσθηνται, καὶ σεῖστρον ἐπισείων ἠλᾶτο. — καταγλωττίσματα λέγεται τὰ ἐπὶ συνουσίᾳ φιλήματα· καὶ καταγλωττίζομαι παθητικῶς γραφόμενον· ἐπιγλωττίζομαι δὲ τὸ ἐπιγελῶ καὶ διαπαίζω. τίθεμαι ἐπὶ ὀνόματος παθητικῶς· ἐξ οὗ καὶ ὀνοματοθέτης· τίθεμαι καὶ τὸ κυρῶ καὶ βεβαιῶ· (in marg. τίθεμαι τὸ ἡγοῦμαι ἐξ οὗ καὶ νομοθέτης· τίθεμαι τῷ δόγματι ἤγουν προσέχω τὸν νοῦν τῷ δόγματι. κορίζομαι (in marg. κορύζομαι) καὶ ὑποκορίζομαι ἀεὶ παθητικῶς τὸ κολακεύω. ὑποκορίζομαι καὶ ὑποκοριστικῶς λέγειν· ἰδίως δὲ παρὰ τῷ Δημοσθένει ἀντὶ τοῦ εὐφήμως ὀνομάζω· καὶ παρὰ τῷ Ἀριστείδῃ· ὑποκοριζόμενοι τὴν ἑαυτῶν φαυλότητα· Πλούταρχος· καὶ προθυμίας τὰς ἐπιθυμίας ὑποκορίζονται. φροντὶς παρὰ τοῖς φιλοσόφοις ἡ θεωρία· καὶ τὸ ἐξετάζειν περί τινων ἀπόρων· ὅθεν καὶ φροντιστήριον ἡ σχολὴ τῶν φιλοσόφων. (in marg. ἣν περσίκην καλεῖ Νίκανδρος ἀπὸ Περσέως) περσικὴ εἶδος δένδρου· καὶ ὁ καρπὸς περσικὰ μῆλα· τὰ κοινῶς δωρακ^αι^ενα ἢ δωράκηνα· περσικὴ καὶ εἶδος ὑπὸ δήματος. πούς τὸ μέρος τοῦ σώματος· πούς καὶ ὁ τύπος τοῦ ποδὸς ἤτοι τὸ ἴχνος· καὶ ἀπὸ τούτων ὁ μετρικὸς πούς. γνώμη ἡ βουλὴ καὶ ἡ κρίσις (in marg. add. m. rec. καὶ ἡ ἀπόφασις Συνέσιος γνώμην δὲ ἀποφαίνομαι περὶ Ἀχιλλέως·) καρδιωγμὸς ἡ τοῦ στομάχου ὀδύνη. εὐφημῶ τὸ εὔφημα λέγω· καὶ εὐφημῶ τὸ σιωπῶ· καὶ παρ' Ὁμήρῳ εὐφημῶ καὶ εὐφήμησα, τὸ μετ' εὐφημίας ἐνθουσιαστικῶς εἶπον· δικάζω τὸν δεῖνα ἀντὶ τοῦ κρίνω καὶ δικάζομαι ἐγὼ ἀντὶ τοῦ κρίνομαι· δικάζομαι δέ σοι ἀντὶ τοῦ μετὰ σοῦ εἰς δικαστήριον πορεύομαι. νεωτερίζει ἀντὶ τοῦ μωραίνει ἤτοι μωρά τινα ποιεῖ· καὶ νεωτερίζει ἀντὶ τοῦ καινὰ ποιεῖ. σκώμματα αἱ μετὰ χάριτος παιδιαί· καὶ σκώπτω τὸ μετὰ χάριτος ὑβρίζω. κορδακίζειν τὸ ἀσέμνως ὀρχεῖσθαι· ὁ κόρδαξ καὶ ἡ κόρδαξ ᾗ ἐχρῶντο οἱ κωμικοί. ὁρῶ καὶ θεῶμαι διαφέρει· τὸ μὲν γὰρ δηλοῖ τὸ τῶν (m. recent.) ὁρατῶν ἀντιλαμβάνεσθαι· τὸ δέ, ἐπὶ θεάτρου λέγεται· οἷον θεῶμαι τὸ τοὺς συνειλεγμένους ἐν θεάτρῳ ὁρῶ· καὶ θεατὴς ἐν θεάτρῳ καθήμενος· γράφεται δὲ ἀεὶ παθητικῶς τὸ θεῶμαι· τὸ γὰρ ἐνεργητικὸν ἄχρηστον· εὕρηται δὲ παρά τισι σπανίως καὶ ἐνεργητικῶς (corr. ἐνεργητικὸν) Συνεσίῳ ἐπιβατεύειν ἐπὶ ὀχείας τῶν ζώων· (in marg. καὶ τῷ θείῳ· καὶ παρ' ἑτέρους) καὶ ἐπὶ νηός· ἄγω καὶ φέρω διαφέρει· ἄγω ἐπὶ τοῦ συρομένου· φέρω ἐπὶ τοῦ βασταζομένου. πέττειν τὸ χωνεύειν ὅθεν τὸ ἀπεπτεῖν ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ πέττειν τρεπομένου τοῦ ἑνὸς τ εἰς π· καὶ τοῦ τόνου μετατιθεμένου κατὰ περίστασιν· πέττειν καὶ τὸ φυρᾶν ἄλευρον ὕδατι· ὅπερ οἱ Ἀττικοὶ μάττειν λέγουσι. στενάζω ἀμεταβάτως

τὸ στεναγμὸν ἀναπέμπω· καὶ στενάζω τὸν ἄνθρωπον ἀντὶ τοῦ μετὰ στεναγμοῦ θρηνῶ ὅπερ στένειν οἱ ποιηταὶ λέγουσιν· ὡσαύτως καὶ τὸ δακρύω καὶ τὸ θρηνῶ· ἄσχολος ὁ ἐμμέριμνος. καλὸς ἐπὶ σώματος· ἀγαθὸς καὶ σοφὸς (suprasc. h. vv.) ἐπὶ ψυχῆς· ἀπροσδιορίστως λεγόμενα· ὡς τὸ καλὸς ἐπὶ σώματος μετὰ δὲ προσδιορισμοῦ καὶ ἐπὶ σώματος καὶ τεχνῶν καὶ τῶν ἄλλων λέγεται· οἷον ἀγαθὸς τὴν ὄψιν ἀγαθὸς τὴν τέχνην κατὰ τοὺς ἀγαθοὺς τῶν δρομέων· ἀνδρεῖος, ἐπὶ τοῦ συναμφοτέρου. ὁμοῦ, ἐπὶ τόνου· Δημοσθένης· πονηροῖς οὖσιν ὁμοῦ συνδιατρίβομεν· ἐπὶ χρόνου· Σοφοκλῆς· πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων, ἀντὶ τοῦ ἐν τῷ αὐτῷ χρόνῳ· δηλοῖ καὶ ἐγγύτητα· Ξενοφῶν· ὁμοῦ εἶεν οἱ πολέμιοι· καὶ Δημοσθένης· καὶ ἀριθμόν· Δημοσθένης· ταῦτα δὲ ὁμοῦ σχεδὸν ἔτη ἀπὸ Σόλωνος. — ἔμμορε κανόνισον· μείρω μερῶ· ὁ μέσος· παρακείμενος· μέμορα καὶ ἐν ὑπερθέσει τοῦ μ ἔμμορα· τὸ δεύτερον, ὤφειλε μὲν εἶναι διὰ τοῦ α· ἀλλὰ μεταπλασμὸς γέγονε τοῦ α εἰς ε· οὕτω Ζηνόβιος καὶ Ἡρωδιανός. ἄλλοι δὲ οὕτως· μορῶ μόρησω· ἐμόρησα· ὁ δεύτερος ἔμορον ὡς τὸ, ὤλίσθησα, ὤλισθον· καὶ προσθήκη τοῦ μ Αἰολικῶς ἔμμορον. ἐμπνεῖ ἀντὶ τοῦ ζῇ· Εὐριπίδης· ἔτι μὲν ἐμπνέει· βραχὺ δ' ἀναστένει· καὶ ἐμπνεῖ μεταβατικῶς· ὡς τὸ ἐμπνεῖ ὁ θεὸς τοῖς προφήταις καὶ ἐνέπνευσε τοῖς ἀποστόλοις· καὶ ὁ αὐλήτης ἐμπνεῖ τῷ αὐλῷ. ζῇ τὸ ἁπλῶς ζῇ· διαζῇ καὶ ἀποζῇ ἤτοι ἐστενωμένως ζῇ· ἐπιζῇ ἤτοι ἐκτεταμένως ζῇ ζωήν. — τὸ φροντίζειν καὶ ἡ φροντὶς κυρίως ἐπὶ ψυχῆς· τὸ μεριμνᾶν καὶ ἡ μέριμνα, ἐπὶ τῶν σωματικῶν. ἀρέσκω ἀντὶ τοῦ ἀρεστός εἰμι· ἀρέσκομαι δὲ τὸ ἀποδέχομαι ᾧ ἐναντίον τὸ ἀπαρέσκομαι. καταλείπει ἀντὶ τοῦ ἀφίησιν· ἐπιλείπει ἀντὶ παρέρχεται καὶ ἀναλοῦται· ἀπολείπεσθαι ἐπὶ τῶν ὑστερισάντων δρομέων· ὑπελείφθη ἀντὶ τοῦ ἀπέμεινε κοινῶς. ἐγὼ δὲ ὑπελείφθην Ἀθήνησι. θεόλογος· βίος ἡ τέχνη· ὁ τρόπος· ὁ παρὼν κόσμος· ὁ χρόνος τῆς ζωῆς ἑκάστης· ἡ περιουσία· καὶ αἱ πρὸς τὸ ζῆν συντείνουσαι τροφαί. χολοῦσθαι κοινόν· χολᾶν Ἀττικόν. μεθίημι ἐνεργητικῶς τὸ ἀπολύω αἰτιατικῇ· Συνέσιος· μεθῆκεν οὖν ὁ κυβερνήτης ἐκ τῶν χειρῶν τὸ πηδάλιον. παθητικῶς, γενικῇ· μέθεσθόν μου. καὶ ἐκέλευσε, τούτου μὴ μεθίεσθαι μ' ἔτι· ὡσαύτως καὶ τὸ ἀφίημι. φθόνος τὸ ζηλότυπον· καὶ φθονῶ· φθόνος καὶ ἡ νέμεσις· ὅθεν καὶ ἐπίφθονον· ὅπερ ῥῆμα οὐ κέκτηται. — (Ima pag. φύξιμος ὀδμὴ ἡ φυγὴν ἐμποιοῦσα· Σιμωνίδης ὁ Τήϊος ἀπὸ τῆς Τέω·) ὃν λόγον ἔχει τὸ ἐπίθετον πρὸς τὸ ὄνομα, οἷον ἰῶ ὁ καλὸς, τοῦτον ἔχει τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα· οἷον ἀνέγνω τὶς καλῶς. τὰ ἄρθρα ἐὰν χωρισθῶσι τοῦ ὀνόματος, εἰς ἀντωνυμίαν μεταβαίνουσιν· οἷον ὅδε ἦδε. τὸ οὔπω ἄρνησίς ἐστι παρεληλυθότος· οἷον, οὔπω τόδε πεποίηκα· τὸ δὲ οὐκέτι μέλλοντος· οἷον οὐκέτι ποιήσω τόδε. ἡ ἐν πρόθεσις δηλοῖ στάσιν ἀεί· τὸ δὲ κατα ἔστιν ὅτε καὶ κίνησιν. ἡ δὲ εις καὶ ἡ προς αἰτιατικῇ συνταττόμεναι, κίνησιν ἀεί. τὰ συγκριτικὰ, γενικῇ. ἢ μετὰ τοῦ ἢ τιμιώτερος ὁ δεῖνα ἢ ὁ δεῖνα· ἢ παραλαμβανομένης τῆς κατα, αἰτιατικῇ ἐπιφέρεται· τιμιώτερον ὁ δεῖνα ἢ κατὰ τὸν δεῖνα· καὶ μεῖζον τὸ ἔργον ἢ κατὰ τὴν ἐμὴν δύναμιν. τὸ δὲ ὑπερθετικὸν ἀεὶ γενικῇ. — τὸ ἕτερον γενικῇ· ἕτερον τὸ λευκὸν τοῦ μέλανος· ἢ προστεθέντος τοῦ ἢ, εὐθεῖα ἐφέλκεται· ἄλλο τοῦτο ἢ ἐκεῖνο. πειρᾶ αἰτιατικῇ· πειρᾶται γενικῇ. τὸ πρῶτον συνουσίας ἀπόπειρα, ἢ τρόπων ἁπλῶς δοκιμασία· θεόλογος· ἄλλον δή τινα πειρᾶν τῶν ἀγεννεστέρων. ἔμπειρος ὁ ἐντριβὴς πείρα, διφθόγγου· ἔμπηρος ὁ παρασεσημασμένος τὶ μέλος, ὁ καὶ ἀνάπηρος, ἢ· ἔμπυρος δὲ ἥλιος ἢ λέβης ὁ πεπυρακτωμένος, ψιλόν. ἀπωθοῦμαι καὶ διωθοῦμαι τὸ ἀποπέμπομαι· ἀποσείομαι δὲ βάρος· ἤτοι ἀποσκευάζομαι· τουτέστι σειόμενος ἀποτίθεμαι. φοιτᾶν τὸ συνεχῶς ἀφικνεῖσθαι ποῦ· καὶ φοιτᾶ τὶς ἐς διδασκάλου· καὶ φοιτᾶ ἀντὶ τοῦ μαίνεται. τὸ πεζεύειν ἐπὶ ξηρᾶς λέγεται καὶ ἐπὶ θαλάττης· οἷον, πεζεύοντι τὴν θάλατταν τῷ Ποσειδῶνι· τὸ στέλλεσθαι δὲ ἐπὶ πλοίου· οἷον ἐστείλατο τόνδε τὸν πλοῦν. αἰσθάνομαι ἀντὶ τοῦ νοῶ ἀμεταβάτως μετοχὴν ἐφελκόμενον· οἷον αἰσθάνομαι ἔξω τοῦ καιροῦ φερόμενος· μεταβατικῶς δὲ συντάσσεται αἰτιατικῇ· Λιβάνιος κἂν γὰρ αἴσθωμαί τινα ἐν πενίᾳ· ὅταν δὲ ἐπὶ αἰσθήσεως λαμβάνηται, γενικῇ· οἷον αἰσθάνομαι τῆς γλυκύτητος· ὥσπερ τὸ γεύομαι καὶ τὸ ὀσφραίνομαι. τὸ στέλλομαι τὸ πορεύομαι καὶ ὅσα δηλοῦσι πορείαν, μετοχῇ μέλλοντος συντάσσονται· οἷον πορεύομαι καταστήσων τἀμὰ πράγματα· τὸ ἀλλήλων οὔτε ἑνικὰ ἔχει, οὔτε εὐθεῖαν ἐν τοῖς πληθυντικοῖς οὔτε ἐν τοῖς δυϊκοῖς· οὔτε ἄρθρον ἐπιδέχεται· ἀλλ' οὐδὲ τὸ ἀμφότεροι ἐπιδέξαιτο ἂν ἄρθρον ποτὲ οὔτε μὴν ἑνικὰ ἔχει. τὸ πνεῖ· τὸ ῥεῖ· τὸ ζεῖ· καὶ ὅσα τοιαῦτα διαλελυμένα οὐκ εὔχρηστα παρὰ τοῖς κοινοῖς. αἱ δεικτικαὶ ἀντωνυμίαι δέχονται τὸν προσχηματισμὸν τοῦ ι διὰ πλείονα δεῖξιν· διὰ τοῦτο καὶ ἕτερον ι οὐκ ἐφέλκονται· οἷον ἐκεινοσί· οὑτοσί· αὑτηί καὶ τουτί ὡσαύτως καὶ διὰ πάσης αὐτῶν τῆς κλίσεως· τὸ δὲ αὐτὸς· ἀναφορικόν ἐστι· καὶ οὐ δέχεται τὸ ι. ἐμπεσεῖν ἐπὶ πεδίου· εἰσπεσεῖν ἐπὶ οἰκίας· εἰσπαίει ἀντὶ τοῦ εἰσέρχεται· ἐκπαίει ἀντὶ τοῦ ἐξέρχεται· συμπαίει ἀντὶ τοῦ συγκρούει· ἡ ἐμαυτοῦ ἀντωνυμία· καὶ ἡ σαυτοῦ· καὶ ἡ ἑαυτοῦ· εὐθείας οὐκ ἔχουσι διότι ταυτοπάθειαν δηλοῦσιν ἤγουν ὅταν τὸ αὐτὸ πρόσωπον καὶ ποιῇ καὶ πάσχῃ πρὸς ὅδε φέρεται ἡ ἐνέργεια ἐκεῖνο πλαγίως λέγεται, ἀεὶ, τὸ δὲ ἐνεργοῦν ἔχει τὴν εὐθεῖαν· οἷον τύπτω ἐγὼ σὲ οὐχὶ σύ· οὕτως καὶ τύπτω ἐμαυτὸν καὶ κατηγορῶ ἐμαυτοῦ οὐχὶ κατηγορῶ ἐμαυτός· καὶ οὐ λέγομεν ὅτι τύπτω ἐγὼ σαυτὸν οὔτε σὺ τύπτεις ἐμαυτὸν ἢ ἑαυτόν· ἀλλ' ἐγὼ ἐμαυτὸν καὶ σὺ σαυτόν· καὶ ἐκεῖνος ἑαυτὸν καὶ ὥσπερ τὸ ἐμαυτὸν οὐ λαμβάνεται εἰς β^ον^ πρόσωπον ἢ εἰς γ^ον^, οὕτως οὐδὲ τὸ σαυτοῦ εἰς α^ον^ ἢ γ^ον^· οὐδὲ τὸ ἑαυτοῦ εἰς β^ον^ ἢ εἰς α^ον^· οἷον τύπτεις σὺ ἑαυτόν· ἢ ἐγὼ ἑαυτὸν ἄτοπον γάρ· ἐν δὲ τοῖς πληθυντικοῖς ἐπεὶ ἐλλείπουσιν ἡ τοῦ α^ου^ προσώπου· καὶ ἡ τοῦ β^ου^, ἔχει χώραν ἡ τοῦ τρίτου προσώπου, λέγεσθαι ἐν τοῖς τρισὶ προσώποις. (in marg. Δημοσθένους· οὐ μόνον ἡμῖν ἱκανὸν σῖτον ἀπέστειλεν, ἀλλὰ τοσοῦτον· ὥστε πεντεκαίδεκα ἀργυρίου τάλαντα ἃ Καλλισθένης διώκησε προσπεριγενέσθαι·) τὸ ὡς μετὰ ἀπαρεμφάτου συντάσσεται· οἷον ὡς καὶ τὸν Ἀγαμέμνονα θαρσῆσαι τὸ ἔργον· ὅτε δὲ ἔχει καὶ τὸν τε σύνδεσμον, μετὰ ὁριστικοῦ συντάσσεται· οἷον ἦλθεν ὁ δεῖνα ὥστε καὶ ἐποίησε τόδε. ἐξετάζω τὸ ἐρευνῶ· καὶ ἐξετάζω τὸ ἀπαριθμῶ ἀφ' οὗ καὶ ἐξέτασις ἡ ἀπαρίθμησις· ὡς τὸ ποιουμένῳ περὶ Πτολεμαΐδα· τὴν τῆς δυνάμεως ἐξέτασιν. ὄψις καὶ ἡ πρόσοψις καὶ ἡ ὁρατικὴ δύναμις· καὶ ὄψις τὸ θεαθέν. — ἡ οὐδεμία κλίνεται τῆς οὐδεμιᾶς ὥσπερ καὶ τὸ μία μιᾶς. κόπτω τὸ τέμνω καὶ κόπτω τὸ κρούω· ὡς τὸ τίς ἔσθ' ὁ κόψας τὴν θύραν. τὸ κύμβαχος ποιητικόν· γράφεται δὲ τὸ εἰς ὤμους καὶ κεφαλὴν κεῖται. — αἴρω τὸ ὑψῶ καὶ αἴρω τὸ ἀφανίζω· ὡς τὸ ἦρεν ὄνειδος ἐξ υἱῶν Ἰσλ· ἤρατο δὲ νίκην καὶ κλέος ἀντὶ τοῦ ἔλαβεν. δέδοικα ἀντὶ τοῦ φοβοῦμαι· δεδίττομαι δὲ καὶ δειματῶ ἕτερον· Ἀριστοφάνης· μή με δειμάτου. Φρὺξ ὁ ἀπὸ Κρήτης· Λίβυς ὁ

απο Λιβύης· Μάγνης ὁ ἀπὸ Μαγνησίας· Θρᾷξ ὁ ἀπὸ Θράκης· Κὰρ ὁ ἀπὸ Καρίας· Κρὴς ὁ ἀπὸ Κρήτης· Καρδιανὸς ὁ ἀπὸ Καρδίας πόλεως ἐν Χερρονήσω· Σηλυβριανὸς χωρὶς τοῦ μ· ἔστι γὰρ πόλις Σήλυος τινὸς τῶν ἐν Θράκη βαρβάρων οἵτινες βρίας τὰς πόλεις ἔλεγον· οὕτω καλεῖται καὶ μεσηβρία· (m. recent. corr. οὕτως ἐκαλεῖτο καὶ ἡ νῦν μεσημβρία μενναβρία) ἡ τοῦ μέννα βρία (add. m. recent. ἤτοι μεννάπολις). τὸ ἥκω χωρὶς προθέσεως λέγεται· ἐν δὲ τοῖς παθητικοῖς διὰ τοῦ ι προσλαμβανομένης προθέσεως· οἷον, ἀφικόμην· ἀφικνούμην ἀφίξομαι· ἐπανίξομαι καθικόμην· καθίξομαι· τὸ μέντοι ἱκνοῦμαι χωρὶς προθέσεως δηλοῖ τὸ παρακαλῶ. ῥίπτω τὸ ἁπλῶς ἀφίημι· ῥίπτω δὲ μετὰ σφοδρότητος. ὀσφραινόμενον τὸ δεχόμενον τὴν ὀσμήν. τὶ ὀσφραίνη κακόδαιμον· ὀσφρώμενον δὲ τὸ ἀγγεῖον τὸ πέμπον τὴν ὀσμήν. οὐδέποτε λέγεται Ἑλλενικῇ ἁπλῇ ἀκίνητος ὑπερβαίνειν φιλεῖ τὴν δισυλλαβίαν. ἡδύς ἁπλοῦν· ἡδίων συγκριτικόν· ἥδιστος ὑπερθετικόν. τὰ θηλυκὰ, ἡδυῖα· ἡδίων· ἡδίστη· τὰ οὐδέτερα, ἡδύ· ἥδιον· ἥδιστον. ὡσαύτως, ῥάδιον· ῥᾶον ῥᾶστον. κατέγνωσαν ἀντὶ τοῦ κατενόησαν αἰτιατικῇ· ἐπὶ δὲ καταγνώσεως, ἀπὸ γενικῆς εἰς αἰτιατικήν· Ἀριστείδης· ὥσπερ σκεῦος ἀχρηστίαν καταγνωσθέν· καταγινώσκω σου ῥαθυμίαν. οὐ μόνον εὔπαιδες οἱ καλλίπαιδες, ἀλλὰ καὶ οἱ πολύπαιδες. πολιορκεῖν τὸ πόλιν περικυκλοῦν τὸ πινόμενον· ὡς τὸ ἐξέπιε τὴν κύλικα. τὸ ἐργάζομαι καὶ παθητικὴν σημασίαν καὶ ἐνεργητικήν. οἷον ἐργάζομαι τὴν γῆν· ἀντὶ τοῦ ἐνέργῶ· ἀλλὰ καὶ ἡ γῆ ἐργάζεται ἀντὶ τοῦ ἐργασίαν δέχεται. ἐνεαρίζειν καὶ ἐγχειμάζειν καὶ ἐνθερίζειν λέγεται· μετοπωρίζειν δ' οὐ λέγεται. Φόβος ἐστὶν ἐλπὶς κακῶν· ἐλπὶς δὲ προσδοκία ἀγαθῶν· προσδοκία δὲ καὶ ἐπ' ἀμφοτέρων, ὡς ἐπιτοπλεῖστον καὶ τὰ τρία μέλλοντι (Cod. με$^{λλ'}$) συντάσσονται πρώτω. κρᾶσις ἀπὸ τοῦ κεράω κερῶ μακρὸν τὸ α· ἐγκράτεια ἐξ οὗ ὁμαίμων καὶ ὅμαιμος· καὶ ὁ χυμός· τουτέστι τῶν Π στοιχείων τῶν ἐν ἀνθρώπων ἔν· σύναιμος ἄχρηστον. ὄκνος ὀκνῶ καὶ ἐπὶ ῥαθυμίας καὶ ἐπὶ φόβου· Σοφοκλῆς· μέγαν ὄκνον ἔχω· ὀκνία δὲ εὐτελές. τὸ αὐτὸ ὅταν λάβη ἄρθρον καὶ γένηται ταὖτον, μετὰ τοῦ ν γράφεται· τὸ γὰρ συντεθὲν ἄρθρον, διαστέλλει αὐτὸ ἀπὸ τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ· εἰ δὲ σύμφωνον ἐπάγοιτο, ἀποβάλλει αὐτὸ, ὡς τὸ τοιοῦτο. τὰ ἐνεργητικὰ ἃ καὶ δραστήρια καὶ μεταβατικὰ ῥήματα λέγεται· αἰτιατικῇ συντάσσονται· οἷον μεθῆκα εἰς θάλατταν· ἐμαυτὸν δηλονότι· τύπτωσε· ἕλκωσε· καὶ τὰ τοιαῦτα· τὰ δὲ παθητικὰ δοτικῇ· οἷον τύπτομαί σοι· εἰ δὲ προσλάβης πρόθεσιν, γενικῇ· οἷον τύπτομαι ὑπὸ σοῦ· τὸ δὲ φεύγω σε καὶ φοβοῦμαι εἰ καὶ μὴ δραστήρια, ἀλλ' ὅμως αἰτιατικῇ συντάσσεται· νοεῖται δὲ ἐν τούτοις, τὸ διά· οἷον φεύγω διὰ σέ· καὶ φοβοῦμαι διὰ σέ. τὰ ἐπισταλτικὰ καὶ ἀποσταλτικὰ δοτικῇ· ὡσαύτως καὶ τὰ τῆς σχέσεως· οἷον τύπτω σοι τὸν ἄνθρωπον· ἀντὶ τοῦ χάριν σοῦ· καὶ ποιῶ οἴκημα τῷ δεῖνι ἀντὶ τοῦ ἕνεκα τοῦ δεῖνος· θηρῶμαι λέξιν καὶ θηρῶμαι δόξαν παθητικῶς γράφεται· (in marg. Λιβάνιος· καὶ νῦν ἀπὸ γραμμάτων τὴν φιλίαν θηρεύω) ἐπὶ δὲ ἄγρας ἐνεργητικῶς θηρῶ θηρᾶται δὲ τὸ θηρίον ἀντὶ του ἀγρεύεται. ἄγρα λέγεται καὶ τὸ θηρώμενον· καὶ αὐτὸ τὸ θηρᾶν. γινώσκω τινά· γνωρίζω δὲ ἕτερον ἑτέρω ἀντὶ τοῦ γνώριμον ποιῶ. ὁ δὲ θεόλογος φησὶν ἢ ὡς πῦρ ἰδεῖν ὂν ὡς φῶς οὐκ ἐγνώρισαν^{εν} ἀντὶ τοῦ ἔγνωσαν. οὐδεὶς Ἀττικόν· οὔτις ποιητικόν· θηλικῶς καὶ ἀρρενικῶς· τὸ οὐδεὶς καὶ ἐν τοῖς πληθυντικοῖς γράφεται· οἷον οὐδένες οὐδένων· οὐδέσιν. ἡ μετοχὴ ὅταν οὐ μετέχη ὀνόματος καὶ ῥήματος οὐκ ἔστι κυρίως μετοχή· τὸ γοῦν ἐρωμένη καὶ εἱμαρμένη, οὐκ εἰσὶ μετοχαί· ἀλλὰ μετοχικὰ ὀνόματα· ἐπειδὴ οὐκ ἔχουσι τὸ ἰδίωμα τοῦ ῥήματος· τὰ γὰρ παθητικὰ τῶν ῥημάτων δοτικῇ συντάσσονται· οἷον τύπτομαί σοι· τὸ δὲ ἐρωμένη οὐ λέγεται τινί· ἀλλὰ τινός· ὑπέστη ἀντὶ τοῦ ὑπέμεινε· καὶ ἀντὶ τοῦ ὑπέσχετο· ἔστι δὲ τὸ δεύτερον ποιητικόν· τὸ παύω καὶ ἀμετάβατον οἷον παύω τοῦ λόγου· γενικῇ μόνῃ· καὶ παύω μεταβατικῶς ἀπὸ αἰτιατικῆς εἰς γενικήν· οἷον παύω σε τοῦ ἔργου. τὸ ἴθι εἴ μεν ἔστι ῥῆμα, συντάσσεται μετοχῇ μέλλοντος· οἷον ἴθι καταστήσων τὴν ὑπόθεσιν· εἰ δὲ ἐπίρρημα ὡς τὸ ἄγε, συντάσσεται μετὰ προστακτικοῦ· οἷον ἴθι φράσον.

Ex eodem cod. margini Pindaricorum carminum quotquot in hoc libro exſtant, adſcripta ſunt haec: (Ex Maximi Planudis grammatica inedita.)

ὁ καὶ κρέσσων Αἰολικῶς καὶ ἀμείνων· καὶ τὸ μὲν καλός· τὸ δὲ κακὸς, ποιεῖ μὲν καὶ οἴμοθεν τὸ δὲ κακίων κάκιστος· ἔχει δὲ καὶ ἔξωθεν τὸ χείρων χείριστος· καὶ τὸ χεῖρον οἱ ποιηταὶ χερείων καὶ χερειότερος λέγουσι· τὸ δὲ μέγας, τὸ μεῖζον καὶ μέγιστος· τὸ δὲ μικρός· τὸ ἐλάττων καὶ ἔτι τὸ ἥσσων ὑπερθετικοῦ δίχα· τὸ πολὺς δὲ, τὸ πλείων πλεῖστος· καὶ τὸ ὀλίγος τὰ αὐτὰ τῷ μικρῷ· εἰ καὶ τὸ μὲν, τοῦ συνεχοῦς ἦν πόσου, τοῦ δὲ, διωρισμένου λαμβάνεται γὰρ ὡς τὰ πολλὰ θάτερον ἀντὶ θατέρου· ὥσπερ δὴ καὶ τὸ πολὺ ἀντὶ τοῦ μέγα· πολλὸς γάρ τις φησὶν, ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα· τουτέστι μέγας· οὐ μόνον δὲ ἀπὸ ὀνομάτων συγκριτικὰ γίνεται, ἀλλ' ἤδη καὶ προθέσεων· ὥσπερ ἀπὸ μὲν τῆς προ, πρότερός τε καὶ πρότατος· ὃ καὶ πρῶτος γίνεται· καὶ ἀπὸ τῆς ὑπερ ὑπέρτερος καὶ ὑπέρτατος, καὶ ἔτι ἀπὸ ἐπιρρημάτων· ἐκ προθέσεων καὶ αὐτῶν παρηγμένων· ἀπὸ τοῦ ἄνω μὲν ἀνώτερος· καὶ ἀνώτατος· ἀπὸ τοῦ κάτω δὲ, κατώτερον καὶ κατώτατον· καὶ τοῦ πάρος παροίτερον παροίτατον καὶ ἔτι ἀπὸ τοῦ ἄπω ἀπώτερον καὶ ἀπωτάτω· καὶ ἔτι ἀπὸ τοῦ μάλα, τότε μᾶλλον καὶ μάλιστα· καὶ ταῦτα μέντοι ταύτη ποιηταὶ δὲ τῇ ἑαυτῶν ἀδείᾳ καὶ πρὸς ταῦτα καταχρησάμενοι καὶ συγκριτικὰ συγκριτικῶν ἔπλασαν· καὶ ἐξ ὑπερθετικῶν ὑπερθετικά· καὶ τότε ἄρειον ἀρειότερον προσεῖπον καὶ τὸ λώιον λωίτερον καὶ τὸ μεῖζον μειζότερον καὶ μειζονώτερον Αἰσχύλος καὶ τὸ ὑπέρτερον ὑπερτερώτερον καὶ χερειότερον. καὶ πλειότερον· καὶ τὸ ῥᾶον ῥηΐτερον ἔτι δὲ πρὸς τούτοις καὶ ἀπὸ τοῦ πρώτως ὑπερθετικοῦ ὄντος, ἕτερον ὑπερθετικὸν τὸ πρώτιστος εἵλκυσε· τούτοις δὴ πᾶσι τοῖς συγκριτικοῖς τε καὶ ὑπερθετικοῖς τὴν ἀνάλυσιν εἰς τε τὸ μᾶλλον καὶ τὸ μάλιστα γενομένου ἴσμεν· σοφώτερον γὰρ ἕτερον ἑτέρου λέγομεν· τὸν μᾶλλον ἐκεῖνον σοφὸν καὶ σοφώτατον, τὸν μάλιστα πάντων σοφὸν ὅθεν δὴ καὶ ταυτόν ἐστιν εἰπεῖν σοφώτερος ὅδε τοῦδε· καὶ σοφὸς μᾶλλον ὅδε τοῦδε· καὶ ἔτι σοφώτατος ὅδε πάντων, καὶ σοφὸς μάλιστα πάντων ὅδε· ἔτι γε μὴν ὅτε οἱ λογογραφοῦντες· οὐ παρῃτήσαντο πρὸς τῷ συγκριτικῷ καὶ τὸ μᾶλλον τιθέναι· ὡς Εὐριπίδης, θανὼν δ' ἂν· εἴη μᾶλλον εὐτυχέστερος ἢ ζῶν· καὶ ἐν τοῖς ὑπερθετικοῖς Ὅμηρος, ὑπερθετικὰ ἐπιρρήματα τίθησιν· ὡς τὸ οἰωνοπόλων ὄχ' ἄριστος· καὶ πολλὸν ἄριστος· ἐνίοτε δὲ καὶ τὸ συγκριτικὸν καὶ τὸ ὑπερθετικὸν ἀντὶ τοῦ ἀπολύτου τιθέασιν· ὡς Εὐριπίδης· εἰ μὲν γὰρ εἰς γυναῖκα σωφρονέστερον· ἀντὶ

τοῦ σύμφρασιν· καὶ ὅταν λέγω συνετώτατον λόγον εἶπεν ὁ δεῖνα· οὐ γὰρ πάντων συνετώτατον λέγω· ἀλλὰ συνετὸν δηλονότι· δεῖ δὲ τήν τε σύγκρισιν καὶ τὴν ὑπέρθεσιν ἐν ἐκείνοις προβαίνειν, ἔνθα καὶ ἄμφω τὰ παρατιθέμενα πρόσωπα τοῦ αὐτοῦ μετέχει· περὶ οὗ τὴν παραβολὴν ποιούμεθα· ἀμέλει καὶ κακῶς ἔχει τὸν Νέστορα γηραιότερον λέγειν τοῦ Ἀχιλλέως· ὁ μὲν γὰρ γέρων· ὃ δ' οὐδ' εἰς ἀνδρῶν πω ἡλικίαν ἀφίκετο· οὐδὲ δεῖ τὸν ἥλιον λαμπρότερον λέγειν τῆς γῆς· ὃ μὲν γὰρ φῶς ὅλος ἐστὶν, ἡ δὲ, οὐκ ἔστιν ὅπου φωτὸς οἴκοθεν ἀπολαύει· οὐδὲ κῆτος παιδὸς μειζον μέγιστον· ἀστέρα μέντοι ἀστέρος λαμπρότερον καὶ μάλα ἐροῦμεν τὸν τῆς Ἀφροδίτης ἴσως τοῦ Ἑρμοῦ· καὶ γὰρ καὶ ἄμφω λαμπροί· καὶ κῆτος κητέων μέγιστον· μεγάλα γὰρ πάντα· συντάσσεται τοίνυν τὸ μὲν συγκριτικὸν ἢ γενικῇ ἑνικῇ· ὡς ὅταν λέγωμεν σοφώτερος ὅδε τοῦ δε ἢ τοῦ ἢ μεταξὺ τιθεμένου· καὶ μετὰ τοῦτο πάλιν πτώσεως ἧς ἦν καὶ τὸ συγκριτικον· ὡς τὸ σοφώτερος ὁ δεῖνα ἢ ὁ δεῖνα· καὶ τὸ Ὁμηρικὸν, ἀρείοσιν ἠέπερ ὑμῖν ἀνδράσιν ὡμίλησα· ἢ ὅπερ καὶ Ἀττικώτερον, μετὰ τὸ ἢ τῆς κατὰ προθέσεως σὺν αἰτιατικῇ κειμένης· ὡς ὅταν λέγωμεν, γυνὴ μείζων ἢ κατὰ γυναῖκα· καὶ ἔτι τὰ τῶν συγκριτικῶν ἐπιρρήματα μετὰ τοῦ ἢ καὶ ἀπαρεμφάτου συντάσσεται· χαλεπώτερα ὕβρισται, ἢ ὥστε δύνασθαι φέρειν (suprasc. καλῶς ζῆν)· ἔστι δ' ὅτε καὶ τοῦ ὥστε λείποντος, οὐδὲν παρατοῦτο ἡ σύνταξις βλάπτεται· ὡς τὸ, ὁ Σοφοκλῆς· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν· τὸ δὲ, ὑπερθετικὸν ἀεὶ γενικῇ πληθυντικῶν συντάσσεται· ὡς τὸ Ἀτρείδη κύδιστε φιλοκτεανώτατε πάντων· πρὸς τὸ ὁμογενῆ μέντοι τῷ ὑπερτιθεμένῳ δεῖ τὴν ὑπέρθεσιν γίνεσθαι· ὥσπερ ἐνταῦθα ὁ Ἀτρείδης ἄνθρωπος ὢν, πάντων ἀνθρώπων φιλοχρημάτων ὑπερτίθεται· ὡς ἔνθα ἂν μὴ ὁμογενῆ τὰ παρατιθέμενα ᾖ, ἀλλ' ἓν πολλῶν μὴ ὁμογενῶν ὑπερτίθεται συγκριτικῶς τοῦτο προφέρομεν· ὡς ὅταν τις φῇ δεινότατον· ὅτι μὴ δ' ὁμογενῆ τῷ ἀνθρώπῳ ἐστὶ τὰ θηρία· τοιοῦτο καὶ τὸ οὐδὲν ἀκιδνότερον ἢ γαῖα τρέφει ἀνθρώποιο· προσεπινοεῖται γὰρ πάντων τῶν ἐν τῇ γῇ ζώων· τοῦτο μέντοι τὸ ὑπερθετικὸν ἐνίοτε καὶ γενικῇ συντάσσεται· ὅπερ ἐστὶ καινοπρεπὲς, ὅταν ἐμφαντικὸν πλήθους ᾖ· οἷον πρεσβύτατος τοῦ Ἑλληνικοῦ ὁ Νέστωρ· τὸ γὰρ Ἑλληνικοῦ πλήθους ἢ στρατοῦ δηλοῖ ὃ πλῆθος ἐμφαίνει· καὶ ἄλλως δὲ, ὅταν μὴ πρόσωπον, ὥσπερ ἡ γενική ἐστι παραβάλληται· ἀλλὰ πρὸς ἄλλα τινὰ τῶν περὶ αὐτό· οἷον καὶ τότε ἄριστα ἑαυτοῦ διειλέχθη ὁ Νέστωρ· τὸ γὰρ ἄριστα, οὐ πρὸς αὐτὸν τὸν Νέστορα παραβάλλεται· ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ δημηγορίας πάσας· ὡσανεὶ ἔλεγε, τότε ἄριστα τῶν ἄλλων ἑαυτοῦ δημηγοριῶν διειλέχθη ὁ Νέστωρ· ἔστι δ' ὅτε τὸ ὑπερθετικὸν οὐδὲ πρὸς γενικήν τινα ἀποδίδοται· οἷον ἕσπερος· ὃς κάλλιστος· ἐν οὐρανῷ ἵσταται ἵσταται ἀστήρ· ἀντὶ τοῦ γὰρ εἰπεῖν κάλλιστος τῶν ἀστέρων κάλλιστος ἀστὴρ εἶπε· ἀπὸ τοῦ αὐτοῦ ὀνόματος ἀντὶ γενικῆς τὴν εὐθεῖαν μεταβαλών· ἔστι δὲ τῇ ἐννοίᾳ ταυτόν· ὁ γὰρ κάλλιστος τῶν ἀστέρων ἀστήρ ἐστιν. ἔστιν δὲ καί τινα προέχοντα ἀπολύτως λεγόμενα· ἃ τοσαύτην οἴκοθεν ἔχει τὴν ὑπεροχὴν, ὥστε οὐδὲ δεῖται γενικῆς πρὸς ὑπέρθεσιν ἐλθεῖν· ἀλλ' αὐτόθεν γενικῇ πληθυντικῇ συντάσσεται· ὡς τὸ δῖα θεάων· καὶ ἔξοχος καὶ κορυφαῖος ἁπάντων· καὶ μόνος ἁπάντων ὢν, τό, τε κορυφαῖος καὶ τὸ μόνος, ὑπερθετικά ἐστιν, ὅτε ποιεῖ κορυφαιότατος καὶ μονώτατος· οὔκουν ἀναγκαίως· οὔτε γὰρ τῆς κορυφῆς ἀνώτερόν τι εὑρίσκεται, οὔτε μόνου μονώτερον· διὰ τοῦτο γὰρ οὐδὲ συγκριτικὰ ποιοῦσιν· ἀλλ' ὑπερθετικὰ μόνα· ὅτι ἐπὶ πάσης συγκρίσεως τρία ἐμφαίνεταί τινα ἢ πρόσωπα ἢ πράγματα· καίτοι τῆς συγκρίσεως ὁλοσχερῆ λόγῳ ἐπὶ δύο γινομένης· οἷον ἂν λέγω. οὗτος γνωριμώτερός ἐστιν ἐμοὶ ἢ σὺ τρία φημὶ πρόσωπα· ἂν δὲ λέγω οὗτος σοφώτερος ἐστιν ἐμοῦ· οὐδὲν ἕτερον λέγω· ἢ ὅτι οὗτος μᾶλλον ἔχει τὴν σοφίαν ἢ ἐγώ· καὶ ἐμφαίνω κἀνταῦθα τρία τινά· τοῦτον καὶ ἐμέ· καὶ τρίτον τὴν σοφίαν· ἐπεὶ δὲ καὶ τὰ μὲν ὀνόματα καὶ συγκριτικῶς προφέρονται· ὡς τὸ σοφὸς σοφώτερος, τὰ δὲ ῥήματα οὐ δύνανται συγκριτικῶς προφέρεσθαι, ἔνθα καὶ τὸ μᾶλλον τῷ ῥήματι συντάσσομεν, ἀντελέγω οὗτος μᾶλλον φιλεῖ ἐμὲ ἢ σὲ, τρία πρόσωπα λέγω· τόντε ἄνθρωπον· καὶ τὴν φιλίαν καὶ τὸ μῖσος· δυνάμεθα μὲν οὖν ἐν τῷ οὗτος γνωριμώτερός ἐστιν ἐμοὶ ἢ σοί, τότε συγκριτικὸν ὄνομα καὶ τὸ ῥῆμα εἰς ἓν ῥῆμα συνάψαι· καὶ τὸ μᾶλλον προσθεῖναι καὶ εἰπεῖν οὗτος ἔγνωσται μᾶλλον ἐμοὶ ἢ σοί· καὶ αὖθις ἐν τῷ οὗτος μᾶλλον φιλεῖ ἐμὲ ἢ σὲ, τὸ ῥῆμα εἰς ὄνομα καὶ ῥῆμα ἀναλῦσαι καὶ τὸ μᾶλλον ἀποβαλεῖν· οἷον οὗτος προσφιλέστερός ἐστιν ἐμοὶ ἢ σοί· δυνάμεθα δὲ καὶ τὸ συγκριτικὸν ὄνομα καὶ τὸ μᾶλλον ὁμοῦ θεῖναι· οἷον οὗτος σοφώτερός ἐστιν ἐμοῦ μᾶλλον ἢ σοῦ ἔνθα καὶ δύο συγκρίσεις (Cod. interscript. [symbol]) γίνονται· μία μὲν ἡ τούτου πρὸς ἡμᾶς ἀμφοτέρους· ἑτέρα δὲ ἡ ἐμοῦ πρὸς σέ· ἔνθα καὶ οὐ δυνάμεθα τό, τε συγκριτικὸν καὶ τὸ, ἐστὶν ἓν ῥῆμα ποιῆσαι· καὶ μετὰ τοῦ μᾶλλον εἰπεῖν· οὗτος σεσόφισται μᾶλλον ἐμοῦ ἢ σοῦ, διὰ τὸ προυποκεῖσθαι τὸ ἕτερον μᾶλλον· καὶ σύγχυσιν ἐν τῷ λόγῳ καὶ ἀσάφειαν γίνεσθαι.

περὶ διπλασιασμοῦ στοιχείων ἐν ποιηταῖς.

Διπλασιάζουσιν οἱ ποιηταὶ τὰ σύμφωνα· ἀλλ' οὔτε πανταχοῦ· οὔτε πάντα· ἐν μὲν γὰρ τοῖς ῥήμασι τοῖς ἀπὸ τοῦ δ ἢ σ ἢ τῶν δ' ἀρχομένοις ἀμεταβόλων κατὰ τοὺς παρεληλυθότας αὐτοῦ παρατατικοὺς λέγω καὶ ἀορίστους τοὺς ἀπὸ τοῦ ε ἀρχομένους, τὸ καταρχὰς τοῦ ἐνεστῶτος διπλασιάζουσι σύμφωνον ἔστιν ὅτε· οἷον τὸ ἔδδεισε· καὶ ἔσσυτο· καὶ ἔλλαχε καὶ ἔμμορε· καὶ ἔννεπε· καὶ ἔρρειν· τὸ μέντοι ρ ἐν τοῖς τοιούτοις, οὐ ποιηταὶ μόνον, ἀλλὰ καὶ πᾶσαι διάλεκτοι διπλοῦν λέγουσι· τὸ κάββαλε δὲ καὶ κάππεσιν οὐ διπλασιάζεται ὥσπερ ἐν ἐκείνοις ἕνεκα μέτρου· ἀλλὰ το τ ἦν ἐν ἑκατέροις· ὃ πρὸς τὸ μετ' αὐτὸ σύμφωνον ἐτράπη ἀποκοπέντος τοῦ α· οὐ γὰρ ἐνεχώρει τὸ τ, τοῦ β ἢ π προηγεῖσθαι· τραχεῖα γὰρ ἐν τούτοις ἦν ἡ ἐκφώνησις, καὶ Ἑλληνικῇ διαλέκτῳ οὐδόλως προσήκουσα· ἐν δὲ τοῖς εἰς ω λήγουσι μέλλουσι τῶν ῥημάτων τοῖς βραχεία παραληγομένοις καὶ τοῖς ἐξ αὐτῶν ἀορίστοις ἔνθα χρὴ τὴν παραλήγουσαν ἐκταθῆναι, τὸ σ μόνον διπλασιάζουσιν· ὡς τὸ σβέσσω ἔσβεσσα· καὶ γελάσσω ἐγέλασσα· ἐρύσσω εἴρυσσα· ἐν δὲ τοῖς ὀνόμασι μόνα τὰ δ' διπλασιάζουσιν ἀμετάβολα καὶ τὸ σ ὥσπερ τὸ ἄληκτον καὶ δυσάμμορον· καὶ ἐννοσίγαιος· καὶ ἀννέφελος καὶ παρελίη· καὶ ἀρραβίη· καὶ ὅσσον· καὶ μέσσον, καὶ ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν ταῖς ἀπὸ τῶν εὐθειῶν τῶν πληθυντικῶν παρεσχηματισμέναις, μόνον τὸ σ· ὡς τὸ Δημοσθενέεσσι καὶ Αἰάντεσσι· καὶ ἐν τῷ ἀνδρὰς (Cod. corr. ἀνδράσιν), ἐκτεῖναι βουληθέντες τὴν παραλήγουσαν, οὐκ ἐν τούτῳ τῷ σ ἐδιπλασίασαν ἀνδράσσειν· ἀλλ' ἀπὸ τοῦ ἄνδρες, ἄνδρεσι ποιήσαντες· εἶτα προήνεγκαν ἄνδρεσσιν· ἐν δὲ δὴ τοῖς ἐπιρρήμασι, τέσσαρα ταυτὶ μόνα ἐδιπλασίασαν· σπανίως μέντοι καὶ ταῦτα· κἂν μόνοις καὶ οἶμαι τοῖς ῥηθησομένοις· τότε δ ἐν τῷ ἄδδην· καὶ τὸ κ Δωριεῖς ἐν τῷ ὄκκα· καὶ τὸ π ἐν τῷ ὅππότε· καὶ ὅππως καὶ ὁππόσα· καὶ τὸ τ ἐν τῷ ὅττι, διπλοῦν μέντοι ἢ δασὺ, οὐδέποτε κατὰ τὴν τῶν Ἑλλήνων διπλασιάζεται

γλῶσσαν· ἐκ δὴ τούτων πάντων καταλαμβάνεται· ὡς ἐπεὶ τότε Ἀχιλλεὺς καὶ τὸ Ὀδυσσεύς· ἔστι μὲν οὖ δι' ἑνὸς συμφώνου προφέρει ὁ ποιητής· ἔστι δ' οὗ διὰ β τὸ δι' ἑνὸς μᾶλλον δεῖν λέγειν πρωτότυπον· τὸ δὲ διὰ δύο, προθέσει τοῦ ἑτέρου συμφώνου γίγνεσθαι, καὶ οὐκ ἀφαιρέσει τοῦ λ' λέγομεν κειμένου καὶ ἕτερον ἐπιφέρουσιν· καὶ ὡς πολλάκις δὴ ἀποδέδεικται· δύο δὲ οὐκ ἔστιν ὅτε θάτερον ἀποβάλλουσιν· οὔτε γὰρ τὸν ἀλλὰ σύνδεσμον· ἢ τὸ πολλὰ ὄνομα· ἢ τὸ μᾶλλον οὔτε τὸ θάλασσα ἢ τὸ γλῶσσα, δι' ἑνὸς συμφώνου προήνεγκαν· εἰ μήπου φυσικῶς· ἀλλὰ κατά τινα παραγωγὴν ἢ συνθήκην δύο τῶν αὐτῶν ὄντων συμφώνων ἐν λέξει τινὶ, θάτερον μὲν ἀφεῖλον ὃ δὴ καὶ ὕστερον προσεγένετο· θάτερον δὲ τὸ ἐξαρχῆς προσὸν εἴασαν· ὡς ἐν τῷ Γανυμήδης καὶ Ἀμφιρύτη· ἐν ἐκείνῳ μὲν γὰρ, οὐκ εἶχε τὸ γάνος τὰ δύο νν· ἀλλ' ἀπὸ παραγωγῆς τοῦ γάννυμαι θάτερον προσελήφθη· ἐν δὲ τῷ ἀμφιρύτῃ τὸ ῥυτὴ δι' ἑνὸς ρ προυφέρετο· ἐκ δὲ τῆς συνθήκης τὸ δεύτερον ἐπλεόνασεν· ὃ δὴ καὶ ἐν ἁπάσαις συνθέσεσι πάσχει τὸ ρ· ὥσπερ δὴ τὸ ἐπίρρημα καὶ τὸ ἄρρητον· καὶ εἰ τοῦθ' οὕτως ἔχει, πῶς τὸ εὔριπος διπλασιάζει τὸ ρ. — ἄλλα ἀντ' ἄλλων ὀνόματα. πολλὴν ἀσπίδα καὶ ἵππον καὶ χεῖρα καὶ δύναμιν τὴν στρατιὰν λέγουσι· δόρυ δὲ καὶ αἰχμὴν καὶ ἔγχος, τὸν πόλεμον· τὰ πρότερα καὶ λογογράφοι τὰ δεύτερα οὔ.

περὶ περιττῶν ἐν πᾶσιν. ἔν τισι καὶ περιττὰς λέξεις τιθέασιν· ὡς Εὐριπίδης οἰωνίσματ' ὀρνίθων καὶ περιττῶς κεῖται τὸ ὀρνίθων· τί γὰρ ἂν εἴη τὸ οἰώνισμα, ὅτι μὴ διὰ τῶν ὀρνίθων ἢ τὸ οἰωνίσματα ἀντὶ τοῦ ἁπλῶς μαντεύματα· εἶδος ἀντιγένους.

περὶ σύνδεσμον. τὸ τί δαὶ ποιηταὶ μέτρου ἕνεκεν διφθόγγῳ γράφουσιν· οὐχ ὥς τινες οἴονται ἀντὶ τοῦ καὶ τοῦτο δεχόμενοι· ἀλλὰ ταυτὸν ὂν τῷ διὰ ε ψιλοῦ γραφομένῳ· τούτῳ δὲ καὶ οἱ πεζῇ γράφοντες· ἔστιν ἐν οἷς χρῶνται· ὅταν εἰπόντες τὸ τί δαὶ, εὐθέως στίζωσι· στιγμῆς γὰρ μὴ πιπτούσης. (in Cod. lacuna parva.)

Τὸ ἐὰν καὶ τὸ βαρύτονον ἂν τὸ ἀεὶ προτασσόμενον τοῦ ῥήματος, ἀεὶ μετὰ ὑποτακτικοῦ· τὸ δὲ ἂν τὸ ὀξυτονούμενον καὶ δυνάμενον καὶ προηγεῖσθαι τοῦ ῥήματος καὶ ἕπεσθαι αὐτῷ ἀεὶ μετὰ εὐκτικοῦ· καὶ τὸ ἵνα μετά τε ὑποτακτικοῦ καὶ εὐκτικοῦ· καὶ τὸ εἰ ἀντὶ τοῦ ἐὰν μετά τε εὐκτικοῦ καὶ ὁριστικοῦ· ἀλλ' ἔνθα μὲν ἂν ᾖ τὸ πρᾶγμα ὁμολογούμενον, τὸ, τε ἐὰν καὶ τὸ ἵνα, μετὰ ὑποτακτικοῦ· τὸ δὲ εἰ μετὰ ὁριστικοῦ· ἔνθα δὲ ἀμφίβολοι καὶ ἐν δισταγμῷ, πάντα μετὰ εὐκτικοῦ. — Οἱ σύνδεσμοι ἀεὶ τὰ ὅμοια συνάπτουσιν· οἷον ὄνομα ὀνόματι· καὶ εὐθεία πτώσει εὐθεῖαν· καὶ γενικὴ γενικήν· καὶ ῥῆμα· ῥήματι· καὶ χρόνον τὸν αὐτὸν χρόνῳ· καὶ ἐγκλίσει ἔγκλησιν τὴν αὐτήν· καὶ πρόσωπον προσώπῳ τῷ αὐτῷ· ὅταν οὖν λέγομεν Ἴων ὁ ξένος ἢ πόθεν, ζητεῖται πῶς ὁ ἢ διαζευκτικὸς τῷ Ἴων ὀνόματι οὐ συνδεῖ ὄνομα ἀλλ' ἐπίρρημα τὸ πόθεν· ἔδει γὰρ εἰπεῖν ὅτι Ἴων ὁ ξένος· ἢ Φοίνιξ ἢ τοιοῦτον· πρὸς τοῦτο γοῦν ἐπάγεται· ὡς εἰ μὲν δύο γένη μόνα ἦν ἐν τῷ κνάμῳ ἀνθρώπων Ἰώνων τυχὸν καὶ Φοινίκων, ἔδει πάντως οὕτως εἰπεῖν· Ἴων ὁ ξένος ἢ Φοίνιξ· ὡς ὡρισμένων τῶν γενῶν ὄντων· ἐπεὶ δὲ μυρία τῶν ἀνθρώπων ἐστὶ γένη, ἓν μόνον τοῦτο θεὶς ὅπερ ᾤετο μάλιστα πάντων εἶναι· ἐπεὶ μὴ καὶ τὰ ἄλλα πάντα δηλῶσαι εἶχεν, ἀντὶ ὀνόματος ἑτέρου τὸ τοπικὸν ἐπίρρημα τέθεικεν τὸ πόθεν· πάντα τὰ γένη διὰ τούτου περιλαμβάνων. Ἡ διαζευκτικὸς σύνδεσμος ὡς τὸ ἢ οὗτος· ἢ ἐκεῖνος· ἢ ἀντὶ τοῦ παρὰ ἐπὶ τῶν συγκριτικῶν κείμενον· ὡς τὸ βελτίων οὗτος ἢ ἐκεῖνος ἢ ἐρωματικόν· καὶ Ὅμηρος· ἤτοι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις· τὸ δὲ ἦ ἀντὶ τοῦ ἆρα περισπᾶται.

περὶ διαφορᾶς καὶ συντάξεων ῥημάτων. φιλεῖν μὲν τὸ ἁπλῶς φιλεῖν· ἐρᾶν δὲ τὸ διαπύρως φιλεῖν· ποθεῖν δὲ, τὸ τοῦ πρότερον παρόντος· νῦν δὲ ἀπόντος εἰς ἐπιθυμίαν ἔρχεσθαι· τὸ εὐνοεῖν, εὐφρονέειν Ὅμηρος λέγει. —

διαλλάττεσθαι ἐστὶ τὸ ὑπὸ μέσου τινὸς πρὸς τὴν προτέραν ἐπανιέναι φιλίαν· καταλλάττεσθαι δὲ τὸ καὶ χωρὶς μέσου· ὅθεν καὶ διαλλακτὴς μέν ἐστιν καταλλακτὴς δὲ οὔ. — (alibi in eodem Cod. οὐκέτι·) Ἔχω τὸ κέκτημαι καὶ τὸ ἐλαύνω ποιητικῶς αἰτιατικῇ συντάσσεται· ἔχω τὸ δύναμαι ἀπαρεμφάτῳ· ὡς τὸ οὐκ ἔχω λέγειν· ἔχω τὸ διάκειμαι ἐπιρρήματι ὡς τὸ καλῶς ἔχω ἐνίοτε δὲ καὶ ἡ γενικὴ προστίθεται νοουμένου ἔξωθεν τοῦ οἵνεκα οἷον καλῶς ἔχω τοῦ σώματος ἢ δοτικῇ ὡς τὸ ὁ δεῖνα ἐπιτηδέως μοι ἔχει· ἢ αἰτιατικῇ (in Cod. parva lacuna) ἔχομαι δὲ τὸ ἅπτομαι γενικῇ. χαίρω τὸ εὐφραίνομαι ἀμεταβάτως συντάσσεται· χαίρω δὲ τὸ ἐνασμενίζω δοτικῇ· ὡς τὸ χαίρω τῇ φιλοσοφίᾳ. Τὸ οἶμαι καὶ τὸ βούλομαι καὶ τὰ τοιαῦτα ἀπαρεμφάτῳ συντάσσεται· τὸ δὲ ὡς οἶμαι ἢ ὡς βούλομαι· ἢ μετὰ ὁριστικοῦ ἢ μετὰ εὐκτικοῦ σὺν τῷ ἂν συνδέσμῳ. μεθύει ὁ προπεπωκώς· μεθύσκεται ὁ ἤδη πίνων· μεθύσκει δὲ ἄλλος ἄλλον.

μέλει ἐπὶ φροντίδος, δι' ἑνὸς λ· συντάσσεται δὲ διπλῶς· Ἰωνικῶς μὲν, ἀπὸ δοτικῆς εἰς εὐθεῖαν· οἷον μέλει μοι ὁ ἄνθρωπος· ἀντὶ διὰ φροντίδος ἔστιν· Ὅμηρος· μέλουσί μοι ὀλλύμενοί περ· Ἀττικῶς δὲ ἀπὸ δοτικῆς εἰς γενικήν· οἷον μέλει μοι τοῦ ἀνθρώπου· ἀντὶ τοῦ φροντίς ἐστι· τὸ μὲν οὖν μέλει μοι τοῦ ἀνθρώπου, οὐδέποτε πληθυντικῶς εὑρίσκεται· ἀλλὰ καὶ πληθυντικοῦ ὀνόματος ἐπαγομένου· οἷον μέλει μοι τῶν ἀνθρώπων, ἢ μέλει ἡμῖν τῶν ἀνθρώπων, ἀλλ' ἑνικῶς προφέρεται· τὸ δὲ μέλει μοι ὁ ἄνθρωπος καὶ πληθυντικῶς προφέρεται· μέλουσί μοι οἱ ἄνθρωποι· μέλλει δὲ ἀντὶ τοῦ βραδύνει διὰ β λλ· καὶ ἔστιν ἀμετάβατον· καὶ μέλλει ὡσαύτως ἐπὶ μέλλοντος χρόνου· καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου ἤτοι ἐνεστῶτος· οἷον μέλλει μοι ποιεῖν τόδε τι· ἢ μετὰ μέλλοντος πρώτου· οἷον μέλλει ποιήσειν· οὐδέποτε δὲ μετὰ ἀορίστου· οἷον ποιῆσαι· μέλλει δὲ ἀντὶ τοῦ ὀφείλει μετὰ ἀορίστου· καὶ Ὅμηρος· καὶ μέν δήπου τις μέλλει ἀνδρὶ τετέσαι· καὶ μετ' ὀλίγα σαφὲς τοῦτο ποιῶν ὅτι μέλλει ἀντὶ τοῦ ὀφείλει κεῖται, φησίν· οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι. Τὰ παθητικῶς προφερόμενα ῥήματα ἐνεργητικὴν σημασίαν ἔχοντα, οἷον τὸ δέχομαι· λυτροῦμαι· ῥύομαι· ἐν μόνοις γὰρ ἀορίστοις καὶ παθητικὴν ἔχουσι τὴν σημασίαν· οἷον ἐδέχθη· ἐθεάθη· ἐλυτρώθη· ἐρρύσθη. — Ὅμηρος τὰ γνωστικὰ ῥήματα γενικῇ συντάσσει· οἷον τόξων εὖ εἰδώς· καὶ Ζεὺς δ' οὔτε δολοφροσύνης ἠγνοίησεν· ἀντὶ τοῦ ᾔσθετο· ἀρνεῖται καὶ ὁ λέγων μὴ πεποιηκέναι τόδε τι· ἀρνεῖται καὶ ὁ μὴ θέλων ποιῆσαι τόδε τι· οἷον λισσόμενος δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στοναχίζων· ἀντὶ τοῦ ἀπηγόρευεν. Τρία ταῦτά ἐστι ῥήματα· ὧν ἑνὸς οὑτινοσοῦν λείποντος, οὐ δύναται κατασκευάσαι τι ὁ ἄνθρωπος. τὸ ἐπίστασθαι· τὸ βούλεσθαι καὶ τὸ δύνασθαι· οὔτε γὰρ ὁ ἐπιστάμενος καὶ δυνάμενος μὴ βουλόμενος δὲ εὐεργῆσαί τι· οὔτε ὁ ἐπιστάμενος καὶ βουλόμενος· μὴ δυνάμενος δὲ οὔτε ὁ βουλόμενος καὶ δυνάμενος· μὴ ἐπιστάμενος δέ· ἐνίοτε μέντοι τὸ ἐπίστασθαι ἀντὶ τοῦ δύναται λαμβάνεται· οἷον τὸ μὲν, οὐ δύνατ' ἄλλος Ἀχαιῶν πάλλειν· ἀλλά μιν οἶος ἠπίστατο πῆλαι Ἀχιλλεύς. τὸ ὀκνεῖν, ὅτε μὲν τὸ

αἰτίας τινός ἐστιν. ἀναβάλλεσθαι· οἷον, τὸ, ἀρχο-
δὲ δυσηλεγέος πολέμοιο, ὤνσον ἀμφότεροι· ὅτε δὲ
ἄγω καὶ ἀναιτίω, ῥαθυμίᾳ κατέχεσθαι· ὅθεν καὶ
ἰς. —

ῥτέ τι λίην πρός· μήτε τι τάρβει· σόλοικόν ἐστι· τὸ
μήτε καὶ μήτι (sic f. leg. Alibi in eodem Cod. μή-
ἐναντία βούλεται δηλοῦν· ὥσπερ ὅταν λέγῃ, μήτε
ις, μήτε λυποῦ, εἰ μήπου τὸ μὲν ἐπὶ τοῦ ἄγαν Φο-
ται· τὸ δὲ, ἐπὶ τοῦ μέτρου (alibi μετρίως) κεῖται·
πολὺ τῷ ὀλίγῳ ἐναντίον· ἀγόμεθα ἐγὼ καὶ σύ·
πληθυντικὸν ῥῆμα ἑνικαῖς πτώσεσι· διότι αἱ δύο ἑνι-
μιᾶς εἰσὶ πληθυντικῆς· ἀντὶ τοῦ ἡμεῖς· ἃ ἀπὸ
λαμβανόμενα ῥήματα, ὁτὲ μὲν ἄνωθεν κάτω λαμ-
ται· ὡς το (lacuna) ὁτὲ δὲ κάτωθεν ἄνω· οἷον,
ἀδελφῶν οἱ ἀδελφοὶ περὶ τὰς βοῦς ἥμαρτον, μη-
ν ἥμαρτον δηλονότι· καὶ ὅτε μὲν τοῦ αὐτοῦ προ-
καὶ ἀριθμοῦ, καὶ ἐγκλίσεως ῥῆμα λαμβάνεται· ὡς
n Cod. lacuna), ὁτὲ δὲ ἑτέρων· οἷον οὐδὲν εἶπεν
ι· λαμβάνεται γὰρ τὸ εἰπεῖν· ἐξ ὁριστικοῦ ἀπα-
του· ὅτι τὰ διηγηματικὰ διὰ τῶν ὁριστικῶν γρα-
ὑπτιώτερον ποιεῖ τὸν λόγον· διὰ δὲ τῶν απα-
ἑτων, εὐτονώτερον· οἷον λέγει τόδε γενέσθαι· ἢ
εἶτε τὸ καὶ τὸ γενέσθαι· καὶ τὰ τοιαῦτα. ἢ
ὁριστικὸν, ὡς τὸ ἀπήγγειλεν ὁ δεῖνα, ὅτι τὸ καὶ τὸ
ἢ γένοιτο ἢ ἔσοιτο· Ὁ ἐνεστὼς, ἢ μετὰ τοῦ νῦν
σεται, οἷον νῦν (alibi omiss.) γράφει. ἢ μετὰ τοῦ
οἷον ἀεὶ γράφω· ὅτε (alibi ὅταν) οὖν λέγει (alibi
Ἀριστείδης, ὦ Ζεῦ· (omiss.) πότερον σιωπῶ Σμύρ-
μένης, οὐ τὸ νῦν σιωπᾷ λέγει· τοῦτο γὰρ ἀνόη-
ἐρωτᾶν εἰ νῦν σιωπᾷ· ἀλλὰ τὸ ἀεὶ σιωπᾶν ἐρω-
ἔστι δὲ ὑποτακτικόν· πότερον (alib. ἤγουν πό-

βούλει (βούλει) ἵνα (omiss.) σιωπῶ· ἐντεῦθεν γὰρ
, δόξα πρέπει πατρὶ· καὶ υἱῷ. καὶ ἁγίῳ πνεύ-
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν·
ἔσται μετὰ τοῦ νῦν καὶ ἀεὶ συντάσσοντες· (alib. τάτ-
;) ἐπεὶ δὲ τὸ ἀεὶ (alibi omiss.) τὸ ἀνθρωπίνου τέλος
τοτὲ, προστίθεται καὶ εἰς τοὺς αἰῶνας· ἵνα δηλώ-
ἀθάνατον· ἐγὼ μενῶ καὶ οἱ ἄλλοι· ἐγὼ καὶ τὸ
μου διαλευσόμεθα· ἐγὼ διαλευσόμεθα καὶ τὸ παι-
· προσπίζευξις δύο ὀνομάτων ἑνὶ συναπτομένων ῥή-
ὁτὲ μὲν πρὸ ἀμφοτέρων τὸ ῥῆμα κεῖται· ὁτὲ δὲ
ὺ αὐτῶν· ὅτε δὲ μετ' ἀμφότερα· ἐν πᾶσι δὲ καὶ
; καὶ πληθυντικῶς· καὶ τοῦτο ἢ κατὰ φύσιν ἢ κα-
ῆμα· ἑνικῶς μὲν καὶ κατὰ φύσιν ὅτε προηγεῖται
το μεσολαβεῖται· οἷον ἐμάχετο Ἀχιλλεύς τε καὶ
μήδης· Ἀχιλλεὺς τε ἐμάχετο καὶ Παλαμήδης πλη-
κῶς δὲ κατὰ σχῆμα προσπιζεύξεως· οἷον ἐμάχοντο
λεὺς τε καὶ Παλαμήδης· καὶ Ἀχιλλεύς ἐμάχοντο
Παλαμήδης· καὶ πάλιν πληθυντικῶς μὲν καὶ κατὰ
, ὅταν ὕστερον τιθῆται, οἷον Ἀχιλλεὺς καὶ Παλα-
ἐμάχοντο· ἑνικῶς δὲ καὶ κατὰ σχῆμα οἷον Ἀχιλ-
καὶ Παλαμήδης ἐμάχετο· πρὸ μὲν γὰρ τῶν ὀνομά-
καὶ μετὰ θατέρων τῶν ὀνομάτων, ἑνικὸν χρὴ ῥῆμα
ι· μετὰ δὲ τὰ δύο ὀνόματα, πληθυντικόν· τοῦ
ὕψαιμι τύψαις πάντα τὰ πρόσωπα ἐπὶ παντὸς ἀριθ-
ν χρῆσαι εἰσί· τοῦ δὲ τύψειας Αἰολικοῦ, δεύτερον
ὕτου ἐν ἑνικοῖς· καὶ τρίτον μόνον ἐν πληθυντικοῖς·
ἀριθμῶν.

Τὸ ὅτου καὶ τῷ, ὅτῳ, ἀντὶ τοῦ οὗτινος καὶ ᾧτινι καὶ
τοῦ καὶ τῷ, ἃ καὶ ἐγκλίνονται, ἀντὶ τοῦ τινὸς καὶ τινὶ
ἀορίστως καὶ Ἀττικοὶ χρῶνται· ἐπὶ δὲ τῆς αἰτιατικῆς,
οὔτε ὅτον· οὔτε τὸν, λέγουσι· ποιηταὶ μέντοι τὸν ἀντὶ
τοῦ τοῦτον μετὰ τόνου λέγουσι· καὶ δὴ καὶ ἐπὶ τῶν πλη-
θυντικῶν ὅτων ἀντὶ τοῦ ὧντινων· — ἀνθρώπους τίννυν-
ται ὅστις ἐπίορκον ὀμόσσῃ· οὐκ εἶπεν οἵτινες· ἀλλ'
ὅστις· ἢ ὅστις αὐτοῦ ἐλλειπτικῶς, ἢ ἐπειδὴ καὶ τὸ ὅστις
ἂν, ἀόριστον ἀναφορικὸν ὄν, διὰ τὸ ἂν ἐπὶ πάντων φέρε-
ται· κἀνταῦθα μὲν ἀπὸ πληθυντικοῦ ὀνόματος εἰς ἑνι-
κὸν ἄρθρον μετῆλθεν· ἀλλαχοῦ δὲ τοὐναντίον ποιεῖ· ἀπὸ
ἑνικοῦ εἰς πληθυντικόν· ὡς τὸ μήτις Ἀχαιῶν ἐνθάδ' ἐπέλ-
θῃ βουληφόρος· οἵ τέ μοι ἀεὶ βουλὰς βουλεύουσι παρή-
μενοι. —

Οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος· ἐνῆν
γὰρ εἰπεῖν καὶ ἕκαστοι· ταυτὸ δὲ τὸ ἕκαστος καὶ τὸ ἕκα-
στοι· ὥσπερ τὸ πᾶς καὶ πάντες· ταυτὸ γὰρ εἰπεῖν πᾶς
ἄνθρωπος ἀναπνεῖ· καὶ πάντες ἄνθρωποι ἀναπνέουσι·
Οἱ τὴν τῶν ἀπόντων φροντίδα κεκτημένοι· ὅρα ὅπως, οὐχ
ὡς τὰ ἄρθρα οὕτω καὶ τὰ ὀνόματα ὧν εἰσὶν ἕκαστα κεῖν-
ται· ἀλλ' ἀντιστρόφως· δύνανται μέντοι τὰ τελευταῖα
δύο ὀνόματα πεσεῖν, ὡς καὶ τὰ αὐτῶν ἄρθρα· οἷον οἱ τὴν
τῶν ἀπόντων κεκτημένοι φροντίδα· εἰ δὲ τὴν τῶν ἀπόν-
των ἐξαιρεθείη ἀδύνατον ἄλλως γραφῆναι, ἢ ὡς ἐξαρχῆς·
οἷον οἱ τὴν φροντίδα κεκτημένοι· οὐ γὰρ δυνατὸν εἰπεῖν
οἱ τὴν κεκτημένοι φροντίδα· ἀναγκὴ γὰρ ἐν ταῖς τοιαύ-
ταις συντάξεσι, τῷ μὲν τελευταίῳ ἄρθρῳ τὸ οἰκεῖον ὄνο-
μα συνάπτεσθαι· ἐπεὶ μηδὲν τὸ κωλύον· τὰ δ' ἄλλα
ὀνόματα, ἐπειδήπερ ἅπαξ τῶν οἰκείων διεζεύχθησαν ἄρ-
θρων, ὡς ἐν γραφῶσιν, ὁπότερον δηλονότι πρότερον θά-
τερον, καλῶς ἔχουσιν. —

Περὶ διαφορᾶς ὀνομάτων· ὁ μὲν πολὺ, ἐστὶ τοῦ
διωρισμένου πόσου· τὸ δὲ μέγα, τοῦ συνεχοῦς· ὅπερ
οὖν ἐστι (alibi δὲ ἐστὶ) συνεχὲς πρὸς τὸ μέγα, τοῦτο
συχνὸν πρὸς πολύ. δοκεῖ δὲ καὶ τὸ συχνὸν ἀπὸ τοῦ συ-
νεχὲς γίνεσθαι μετατιθέντος τοῦ ν· λαμβάνεται δὲ ἐνίοτε
καὶ ἑκάτερον (καὶ om. θάτερον) ἀντὶ ἑκατέρου (θατέ-
ρου· καὶ) iterum om.) Ὅμηρος· πολλὸς γάρ τις ὄκειτο· ἀν-
τὶ τοῦ μέγας· καὶ (alib. omiss.) τὸ μακρὸν ἤτοι ἐπίμη-
κες καὶ τὸ ὑψηλὸν τοῦ συνεχοῦς· καὶ ταῦτα ποσοῦ. ἀλ-
λὰ μακρὸν μὲν λέγεται, τὸ παραλλήλως τῷ τοῦ ὁρίζοντος
ἐπιπέδῳ κείμενον· ὑψηλὸν δὲ τὸ πρὸς ὀρθὰς, τῷ τοιού-
τῳ ἱστάμενον ἐπιπέδῳ· ὥσπερ δὴ καὶ κίονα κείμενον μὲν
μακρὸν ἂν λέγοιμεν· ἀνεστῶτα δὲ ὑψηλόν· μακρὸν μὲν
οὖν καὶ τὸ ὑψηλὸν δύναται λέγεσθαι (alibi inverſ.) τὸ
μέντοι μακρὸν, οὐδέποτ' ἂν ὑψηλόν. τριῶν ὄντων ἐν οἷς
λογισμοῦ καὶ αἰσθήσεως ἐστέρηται ἄνθρωπος ζῶν μανίας·
μέθης· καὶ ὕπνου, μανίᾳ μὲν ἀντικεῖται σωφροσύνη· μέ-
θῃ δὲ τὸ νήφειν[1]) ὕπνῳ δὲ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν·
ἵλαος καὶ ἵλεως ὁ εὐμενὴς ἱλαρὸς ὁ προσηνής· ἄνομον
μὲν καὶ παράνομον, ἡ τῶν ἀνθρωπίνων νόμων παράβασις·
ἀθέμιτον δὲ ἡ τῶν θείων· ὁ πρέσβυ κατὰ ἀποκοπὴν
(alibi συγκοπὴν)· γίνεται ἤτοι (ἀπὸ) τοῦ πρεσβύτα-
τος (πρεσβυτάτη) διὰ τοῦτο γὰρ καὶ συνεσταλμένον τὸ α·

δυοῖν ἐναντίων ὀνομάτων ὄντων, οἷον τοῦ πολὺς καὶ ὀλί-
γος, ὁποτέρῳ ἂν αὐτῶν προσέλθοι τὸ οὐ, ἀποφαντικὸν
ἐπίρρημα ταυτὸ τῷ ἑτέρῳ γίνεται· τό, τε γὰρ οὐ πολὺς,
ταυτόν ἐστι τῷ ὀλίγος· καὶ τὸ οὐκ ὀλίγος, τῷ πολύς·

---

[1]) alias Cod. νήφειν.

ἑκάτεροι καὶ ἀμφότεροι ἐπὶ δύο· ἕκαστοι καὶ πάντες ἐπὶ πολλῶν· διαφορὰ δὲ, ὅτι τὸ μὲν ἑκάτεροι καὶ ἕκαστοι, ἐπὶ τῶν διῃρημένως ἐνεργούντων τὶ νοεῖται· τὸ δὲ ἀμφότεροι καὶ πάντες ἐπὶ τῶν συνημμένως· Ἀττικῷ ἔθει φησὶν Ὅμηρος· ἀλλὰ (alibi om.) θεῶν ὤριστος (ὠριστὸς) τὸν, ἠΰκομος τέ κε Λητώ· περὶ τοῦ Ἀπόλλωνος λέγων· καίτοι τοῦ Διὸς ἀρίστου τῶν θεῶν ὄντος· (add. alib.) οἱ γὰρ Ἀττικοὶ πρὸς ἅπαντα ἄνδρα λέγουσι, βέλτιστε ἀνδρῶν· καίτοιγε οὐ πάντες βέλτιστοι· περὶ διαφορᾶς ἐνεργητικῶν καὶ παθητικῶν ῥημάτων· —

Ἀγάλλω τὸ τιμῶ· Εὐριπίδης· γαμηλίους εὐνὰς ἀγῆλαι ἐξ οὗ καὶ ἄγαλμα· ἀγάλλομαι δὲ τὸ χαίρω· αἱρῶ τὸ κατέχω· καὶ γὰρ λόγον αἱρεῖν οὕτω φαμέν· αἱροῦμαι δὲ τὸ προκρίνω· αἱρετίζω τὸ αἱρέσει πρόσκειμαι· αἱρετίζομαι δὲ τὸ βούλομαι καὶ προκρίνω (Alibi adduntur) προσέχει μέν τις τοῖς λεγομένοις, προσίσχεται δὲ, τὸ προσπέφυκε καὶ προσκολλᾶται· βάλλει μέν τις τινὰ βέλει ἢ λίθω· καὶ βάλλει ὕδωρ εἰς ἄγγος· βάλλεται δὲ τόδε ἐπὶ νοῦν ὁ ἐνθυμούμενος· προσβάλλει τῳ τὸ προστίθησι (alib. τόδε ἤτοι προστίθησι· προσβάλλεται δὲ μάρτυρα ἢ αἰτίαν (alib. μάρτυρας) καταβάλλει τίς τινὰ (alib. inverſ.) καθαιρῶν· καταβάλλεται δὲ (τις) θεμέλιον ἢ ἀρχὴν· ἢ σπόρον· ἢ χρέος· ἢ χρεος· ἢ φόρον ἢ τίμημα· ὑποβάλλει τίς τινὶ λόγον ἀντὶ τ οῦ (alib. τουτέστιν) ὑποτίθεται· ὑποβάλλεται δὲ τὰ ἀλλότρια ὡς (alib. ὁ) ἴδια ποιούμενος· ὅθεν καὶ ὑποβολιμαῖος (alib. ſequuntur· παραβάλλει τίς, τόδε· τῷδε, ἀντὶ τοῦ συγκρίνει· παραβάλλεται δὲ. ῥιψοκινδύνως τὶ ποιῶν) ἐπιβάλλει τίς· ἐπιτιθεὶς· ἢ νοῶν· ἐπιβάλλεται δὲ τινι· ἀντὶ ἐπιχειρεῖ· Συνέσιος· π (lacuna) φέρει μὲν τις βιβλίον· φέρεται δὲ ἐπὶ τινα πρᾶξιν· ἐκφέρει μέν τις νεκρὸν ἢ ψῆφον· ἐκφέρεται δὲ τοῦ δέοντος· προσφέρει μέν τις τινὶ δῶρα· προσφέρεται δέ τις τινὶ πρᾴως· ἢ τοὐναντίον· ὃ δὴ καὶ σημαίνει διάθεσιν· διαφέρει μὲν ἥλιος σελήνης· διαφέρεται δέ τις πρὸς τὸν ἀδελφὸν περὶ πατρῴου κλήρου· προτρέπει τίς τινὰ ἐπειδὰν εἰς ἔργον αὐτὸν διεγείρῃ· προτρέπεται δέ τις θεὸν ἀντὶ τοῦ ἱκετεύει· ἀποτρέπει μὲν ὁ κωλύων τινὰ· ἀποτρέπεται δέ τις τὰ ἐξ ὀνείρων δείματα· τουτέστιν ἀπεύχεται· ἀποδιοπομπεῖται· συστρέφει μέν τις ἑτέρου χεῖρα ἢ τράχηλον· συστρέφονται δὲ οἱ στρατιῶται, ἐπειδὰν ὑπὸ τῶν πολεμίων σκεδασθέντες, αὖθις συσπειραθῶσιν· ὅθεν καὶ συστροφὴ καὶ σύστρεμμα· ἀναστρέφει μὲν ὁ ὑποστρέφων· ἀναστρέφεται δέ τις πρὸς ἡμᾶς ἀντὶ τοῦ διάγει· ἐπιστρέφει μέν τις ἐκ κακίας εἰς ἀρετὴν· ἢ αὐτός· ἢ ἕτερον· ἐπιστρέφεται δέ τινος ὁ κηδόμενος αὐτοῦ· ἀποστρέφει μέν τις εἰς τοὐπίσω τὸ πρόσω· ἢ τὰς χεῖρας· ἢ αὐτοῦ ἢ ἑτέρου· ἀποστρέφεται δέ τινα ὁ μισῶν· προάγει τίς τινά· τουτέστι προφθάνει· προάγεται δὲ τὸ εἰς ἀνάγκην καθίσταται τόδετι ποιεῖν ἢ λέγειν· παράγει μὲν ὁ παριών· παράγεται δὲ κατὰ γραμματικοὺς λέξεις ἐκ λέξεως· δέω μὲν τὸ ἐλλείπω· δέομαι δὲ τὸ χρήζω καὶ ἱκετεύω· ἀμείβει τὶς οἰκίαν ἢ ἱμάτιον· ἀμείβεται δέ τινα χρυσίω ἢ τοιούτω τινί· προνοεῖ μέν τις τὸ ἁπλῶς πρότερον νοεῖ· προνοεῖται δὲ τινὸς ὁ προμηθούμενος· ἀμύνει τὶς τινὶ βοηθῶν· ἀμύνεται δέ τινα τιμωρῶν καὶ μαχόμενος· ἀρκεῖ μὲν καὶ ἐπαρκεῖ τίς τινὶ βοηθῶν· ἀρκεῖται δὲ τῷδε ὁ ἅλις ἔχων αὐτοῦ· —

παραγράφει τὶς ὡς ἐν βιβλίῳ περὶ τὴν σελί[…] φεται· παραγράφεται δὲ τὸν μάρτυρα ἀντὶ τοῦ […] εται· ἐπιγράφει τὶς ἐπιγράμματα γράφων· ἐπ[…] ται δὲ τὸν δεσπότην ἤτοι ὁμολογεῖ· συγγράφει […] κοινωνῶν αὐτῷ τοῦ γράφειν· συγγράφεται δὲ ὁ τ[…] ἑαυτὸν γινόμενα γραφῇ παραδιδούς· πλάττει μὲ[ν …] μιον κεραμεύς· καὶ λόγους ὁ ψευδόμενος· πλ[…] δὲ ὁ προσποιούμενος· καταλλάττει μὲν ὁ ἀμοιβ[…] ούμενος· καὶ διαλάττει ὁ διαφέρων· καταλλάττετα[ι …] διαλλάττεται ὁ φιλιούμενος· ὀρέγει τις τινὶ χεῖρα […] γεται δέ τινος ὁ ἐφιέμενος· —

Φαίνει τὶς τὶ ἀντὶ τοῦ δείκνυσι· φαίνεται […] τινὶ ἀντὶ τοῦ δοκεῖ· ἀποφαίνει τίς τόδε, ἀποδεικνύ[…] φαίνεται δὲ περὶ τοῦδε τόδε ἀπόφασιν καὶ ψῆφο[ν …] ρων· ἀνακαλεῖ τὶς τινὰ ὑποστρέφειν αὐτὸν πρ[…] μενος· ἀνακαλεῖται δέ τι ὁ ἀνακτώμενος· ἐνίστ[ησι …] ἀρχὴν ποιούμενος· ἐνίσταται δέ τινι ὁ ἐναντι[…] συνίστησι· συνίστησί τις[1]) τινὰ μαρτυρῶν αὐτῷ α[…] χρηστά· συνίσταται δὲ τὸ ὕπαρξιν ἔχον καὶ φύσι[ν …] εἶναι· παρίστησί τις· τὶ ὃ ἀποδείκνυσι· παρ[ίσταται] δέ τινι τόδε, ἀντὶ τοῦ δοκεῖ· καὶ παρίσταται ὁ […] τινὸς ἱστάμενος· ἐφίστησί τις τοῖς ἀναγινωσκομέν[οις] ἐπιστασίας αὐτὰ διιών· ἐφίσταται δὲ ὁ ἐλθών· […] σι μὲν ὁ θεὸς τὰ πάντα ὑπόστασιν τούτοις διδοὺς […] σταται δὲ λυπηρὰ ὁ πάσχων. —

συμβάλλει ὁ συναρμόζων· καὶ συμβάλλει τ[…] συμβάλλεται δὲ τόδε τι ἀντὶ τοῦ στοχάζεται· […] τὶς εἰς ἀγγεῖον οἶνον· οὕπερ (ſeqq. folio acciſ[…] lata leguntur: ἐνανη τὸ ἐκφορ· ἐμφορ δέπλου […] πλησμένος· περὶ ἐλλείψεως ὀνομάτων καὶ ῥημά[των …] προθέσεων. —

πάντα μὲν λόγον ἐξ ὀνόματος καὶ ῥήματος συνίστασθαι· ἀλλ' οἱ Ἀττικοὶ συντομίας χάριν ἐνί[οτε …] τερον τούτων ἔξωθεν νοεῖσθαι διδόασιν· ἐπὶ μὲν […] τος, οἷον, τὸ σπείρειν δὲ ὅπου χρὴ προσκείμενον ἐνταῦθα πωλεῖν τέ χρὴ καὶ ὠνεῖσθαι· λείπει […] ἄνθρωπον δηλόνοτι· ἐπὶ δὲ ῥήματος, οἷον τῶν τ[…] λεγομένων θατέρου φαμένου, τὰ γὰρ ὑπὲρ εὔπλοι[ας …] τουτονὶ τὸν σκοπὸν θεωροῦσι Φοίνικες ὁ ἕτερος ἐ[…] σοφοί γε τὰ ναυτικὰ ὄντες· λείπει γὰρ τὸ θε[…] ἀπὸ κοινοῦ λαμβανομένου· τοὐμὸν δὲ πολλῷ ἐπιεικ[…] ἢ μακρῷ· λείπει τὸ χρῆμα· τὸ, μέτρω· τὸ, ἐστ[…] μὴ πρὸς τοῖς φυτοῖς εἶ, διελθέ μοι ταῦτα τὸ ι[…] τοῦ Πρωτεσίλεω γινώσκεις· λείπει καὶ ἄλλα πρ[…] ἐν καλῷ τοῦ χωρίου ἡ πόλις ἔκτισται· λείπει τὸ […] νεκρὸς μείζων ἢ ἀνθρώπου νεκρὸς εἶναι δόξαι· ταῦτα, οἷα ἀπιστεῖσθαι διὰ τὸν χρόνον, οὗ τὰ ἐντ[…] δὲ ταῦτα τοιαῦτα ἐστὶν, οἷα δίκαια εἶναι ἀπιστεῖσ[θαι …] τὸν χρόνον· Ὅμηρος· ἑστεῶτος μὲν καλὸν ἀκούεμ[εν …] τὶ τοῦ καθεστηκότως λείπει ἡ κατα· ἔφρ' εἴπω, θυμὸς ἐνὶ στήθεσσι κελεύει· λείπει εἰπεῖν· αἰ[…] ἀγγελέουσα Διὰ Κρονίωνα προσηύδα· οἷον, αὐτίκα […] θον ἀγγελέουσα· καὶ Δία Κρονίωνα προσηύδα. —

ἀλλὰ χρὴ τὸν μὲν, καταθάπτειν ὅς κε θάνησ[ι …] πει τὸ ἄνδρα· ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖ[ο λίπων]ται, μεμνῆσθαι πόσιος καὶ ἐδητύος· λείπει τὸ, τ[…] ῥίψ ἐπιδινήσας βέσιν ἰχθύσι· λείπει τὸ εις. ἴ[τε] ἐπὶ δεῖπνον· ἀντὶ τοῦ ἀπέρχεσθε· περὶ χρόνω[ν …] των ἢ μακρῶν ἢ βραχέων· τὰ τινὰ τοῦ ἀναι ἢ ὑ[…]

---

1) in altero Cod. haec duo verba omiſſa.

αι μὲν ἐνεστῶτος ἐστὶ χρόνου, τοῦτο δὲ γίνεται ἐπὶ μόνων τῶν εἰς μι· βραχεῖαν τὴν παραλήγουσαν ἔχει· οἷον ἐστὶ τὸ ἱστάναι· καὶ ἱστάναι· καὶ ζευγνύναι καὶ δεικνύναι· καὶ τὰ τοιαῦτα· καὶ τοῦτο δῆλον ἐκ τοῦ τιθέναι τὰ καὶ διδόναι· καὶ ταῦτα γὰρ ἐνεστῶτος ὄντα βραχεῖαν αὐτὴν καθαρωτάτην ἔχει· καὶ μὴν τὸ εἶναι ἐνεστῶτος ὄν, οὐ βραχύνεται κατὰ τὴν παραλήγουσαν· μᾶλλον μὲν οὖν καὶ βραχεῖαν οὖσαν ἐξέτεινε. οὐδὲν τοῦτο πρὸς τὸν λόγον νεόφρον. ἐπεὶ γὰρ ἐνεστῶτος μὲν ἀπαρέμφατον οὐδὲν ἔστιν εὑρεῖν δισύλλαβον· ὅσα δὲ τοιαῦτα ἀορίστων καὶ ταῦτα μακρᾷ παραλήγεται τούτου χάριν καὶ τὸ ἕναι τοῖς δισυλλάβοις τῶν ἀορίστων ἀκολουθῆσαν, ἐξέτεινε τὴν ἑαυτοῦ παραλήγουσαν· οὐ μὴν τόγε ἰέναι (fic) τοῦτ' ἔπαθεν· οὔτε τὸ ψιλούμενον· οὔτε τὸ δασυνόμενον, ἐπειδήπερ ἅπαξ ὑπερβέβηκε τὴν δισυλλαβίαν· ὅσα δ' ἐξ ἀορίστου γίνεται, τοῦτο δ' ἐπί τε τῆς πέμπτης τῶν βαρυτόνων καὶ τῶν εἰς μι πάντων γίνεται, μακρὰν αὐτὴν ἔχει· καὶ τῆς μὲν πέμπτης ἐστὶ, τὸ σημᾶναι δὲ καὶ ὑφᾶναι· σεμνῦναι δὲ καὶ καλλῦναι· καὶ ἔτι κρῖναι καὶ πλῦναι· καὶ γὰρ ἐπὶ ταύτης δὴ τῆς συζυγίας, ἀεὶ φύσει μακρὰν τὴν παραλήγουσαν ὁ ἀόριστος ἔχει· τῶν δὲ εἰς μι, τότε φᾶναι καὶ τεθνᾶναι· καὶ διαδρᾶναι· καὶ φῦναι· καὶ μαρτυρησι (fic) τὸ θεῖναι καὶ δοῦναι· καὶ ταῦτα ἀορίστου ὄντα, ἐκφανέστατα μακρὰν αὐτὴν ἔχει. καὶ πόθεν ὦ παλαίτιμε τουτὶ γίνεται, τὰ μὲν τῶν ἐνεστώτων ἀπαρέμφατα βραχεῖαν ἔχει τὴν παραλήγουσαν, τὰ δὲ τῶν ἀορίστων μακράν. ἐντεῦθεν νεόφρον· ἐπεὶ γὰρ πασῶν συζυγιῶν οἱ παρακείμενοι τὰ ἑαυτῶν ἀπαρέμφατα διὰ βραχείας τῆς παραληγούσης ἐκφέρουσι, τυπτέμεναι λέγοντες καὶ τυψέμεναι· καὶ ἐλθέμεναι καὶ ποιησέμεναι· καὶ θησέμεναι καὶ θέμεναι· τὸ γὰρ τύπτειν καὶ τ' ἄλλα τυπτέναι ποιοῦντες, καὶ τὴν με συλλαβὴν ἐπεντιθέντες, καὶ τὸν τόνον ἐπὶ τῆς προτέρας παραληγούσης· καὶ τὸν τόνον ἐπὶ τῆς προτέρας παραληγούσης αὖθις φυλάττοντες, ἵνα καὶ ταύτην τὴν διαφορὰν προπαροξυνόμενα πρὸς τῇ ἐπενθέσει τῆς μὲν πρὸς τὰ τῶν ἀναδιπλασιασμένων χρόνων ἔχοιεν ἀπαρέμφατα, οὕτω ποιοῦσι τὰ ἀπαρέμφατα· οἱ δ' αὐτοὶ δοκοῦν αὐτοῖς ἔστιν ὅτε καὶ τὸ τελευταῖον δίφθογγον ἀποκόπτοντες, τύπτεμεν προφέρουσι, τότε μὴν ἕναι δ' καὶ εἶναι γίνεται ἔμεναι ποιοῦντες, τὸ μ διπλασιάζουσιν ἔστιν ἐν οἷς· καὶ τοῦτο ποιοῦσιν ἐνταυθοῖ μόνον ἐπείπερ ἀπὸ φωνήεντος ἄρχεται· ἐν γὰρ τοῖς ἀπὸ συμφώνου ἀρχομένοις· οὐδαμοῦ πεποιήκασιν· ὡς ἐν τῷ θέμεναι καὶ δόμεναι· ἐπεντιθέασι δὲ τὴν μέ συλλαβὴν, ἐν οἷς ἀπαρεμφάτοις ἀναδίπλωσις οὐχ εὑρίσκεται· ὡς ἐν τῷ τύπτειν τυπτέμεναι ποιοῦντες· καὶ δοῦναι δόμεναι· καὶ ζευγνύναι ζευγνύμεναι· ἐν οἷς δ' ἔστιν ἀναδίπλωσις, οὐδαμῶς· οὔτε γὰρ διδόμεναι λέγουσιν, οὔτε τετυφέμεναι· καὶ τὰ μὲν ἐνεστώτων ἀπαρέμφατα, οὕτω βραχεῖαν ἔχει τὴν παραλήγουσαν· τὰ δὲ τῶν ἀορίστων μακράν· ἐπεὶ ὥσπερ ὡς τα πολλὰ πάντες ἀόριστοι πάντε φύσει πάντε θέσει μακρᾷ παραλήγονται, πλὴν μετρίων τινῶν τῶν ἀπὸ τῆς τρίτης καὶ τετάρτης καὶ ἕκτης συζυγίας τῶν βαρυτόνων· ὡς τὸ ἤνυσα· καὶ ἔφρασα· καὶ ἔπτυσα· καί τινων τῶν ἐκ τῶν περισπωμένων ὡς τὸ ἐπήνεσα· ἐγέλασα· ἤρεσα. σίγα, τὸ μὲν προστακτικὸν σπουδαιακὸν ὂν παροξύνεται· Σοφοκλῆς· σίγα, νῦν ἑστώς· τὸ δ' ἐπίρρημα τροχαικὸν ὂν περισπᾶται ὡς ὁ αὐτός. οὐ σιγᾶν ἔξῃ; περὶ μέτρων.

Τὸ ἔμμετρον εἶδος τοῦ λόγου, πρότερον ἤνθησε τοῦ πεζοῦ· ὡς τοῦτ' εἰδέναι δίδωσιν, Ὅμηρός τε καὶ Ὀρφεὺς καὶ Ἡσίοδος· καὶ ἄλλοι ὅσοις πρώτοις ἁπάντων Ἑλλήνων τοῦ συγγράμματα καταλιπεῖν ἐμέλησε τοῖς ἐσύστερον· ὅθεν καὶ πολλῆς αἰδοῦς ἠξίωται, καὶ πρὸς τῶν μετ' ἐκείνους μέν· οὐδὲν δὲ ἧττον ἀρχαίων κἀκείνων· πᾶν γὰρ ὅτε ἂν παραλαβὸν τὸ μέτρον ἐκόσμησε, τοῦτο πᾶσιν ἁπλῶς νόμος· τοῦτο δόγμα· τοῦτο χρησμὸς ἀπὸ τρίποδος· καὶ ὅσοι δὴ δόξαν ἐπὶ σοφίᾳ παρ' Ἕλλησι ἀπηνέγκαντο, μικροῦ πάντας ἂν ἴδοις (fic forte leg.) φιλοτιμουμένους, τοῖς τῶν μέτρῳ γραψάντων ἔπεσι, τὰς ἑαυτῶν γραφὰς ἐν πολλοῖς ὡραΐζειν· ὥσπερ σώματι καλῷ κάλλιστον κόσμον περιτιθέντας· (ante περιτιθέντας inferenda, et fupra lineam notatum: προστιθέντας τέ καὶ· καὶ μὴν οὐδ' ὁ Πύθιος ἀπηξίου, τοῖς ἐρωτῶσιν ἑτέρως χρᾶν· μέτρον δὲ τιμῶν ἐν ἅπασι διετέλεσεν· ὥσπερ δεδοικὼς μὴ ἄπιστα δόξῃ λέγειν, εἰ μὴ πρὸς ταυτὶ τὸ μέτρον ὑπηρετούμενον ἔχοι· οὕτως ἡ μαρτυρία μεγίστη πανταχόθεν τῷ μέτρῳ· καὶ τὸν Φωκυλίδην πᾶν μέτρον ἄριστον ἐπὶ φάμενον. οὐ μᾶλλον ἂν ἐπὶ τῆς ἐν ἔργοις συμμετρίας, οἰηθείην τὸ ἔπος λέγειν, ἢ τοὺς πρὸς μέτρον οἷα δὴ κάνονα συντεθέντας τῶν λόγων, ἄριστα πάντων ἔχειν· ποιηταὶ μὲν οὖν οὕτω καὶ χρησμοὶ τοῖς μέτροις ἔχαιρον· ἐπεὶ δ' εἰς πλῆθος τότε τῶν ἀνθρώπων πραγματ' ἐξηνέχθη, καὶ πολλοὶ περὶ πολλῶν ἐνεστήσαντο γράφειν, χαλεπὸν τὸ ἔργον ἐφάνη· καὶ ἥκιστα πάντων εὐμεταχείριστον· τῶν οὖν μηδὲν ἄλλο ποιεῖν ἐχόντων ἦν, πρὸς τὸ λογοειδὲς τὰ γραφόμενα μεθαρμόσαι οὐ πόρρω τῆς ἐκ λόγοις ὁμιλίας ἢ πρὸς ἀλλήλους ἐκέχρηντο· ἀλλὰ γὰρ ἔδει τιθῆναι καὶ ὄνομα τῷ ἔδει· καὶ τέθειται· τὸ πεζόν· ἀληθείας φίλοι γὰρ ὄντες οἱ τοῦ το θέμενοι, οὐκ ἐπισχύνθησαν ἐξαγγεῖλαι, ὡς ἐκ τοῦ μέτρου κατενεχθέντες, πρὸς τοῦτο τὸν λόγον ἤρεισαν· οὐ μέντοι παντάπασιν ἄχρηστον σφίσιν τὸ μέτρον καὶ ἀργὸν κατεσάπη· ἀλλ' ἐπιγράμματα πάντα στηλῶν τε καὶ ἀνδριάντων καὶ εἰκόνων καὶ τάφων καὶ ναῶν καὶ τῶν ἄλλων, τὸ, μέτρων ἄριστον ἡρῷον ἢ ἐλεγεῖον διέταττε· τούς τε πρὸς τὸ κρεῖττον ὕμνους αὐτὸ διετίθει· καὶ γνῶμαι πᾶσαι ἐθαυμάσθησαν δια τοῦτο μᾶλλον· τοῖς τε ὑμεναίοις καὶ ὅσα ᾄσματά τε καὶ ἔπαινοι, τοῦτο κόσμος ὑπῆρξε· καὶ τοῦτο μὲν ἐνομίζετο ἐξ οὗ μέτρον· χθὲς δὲ καὶ πρὸ τρίτης οὐκ οἶδ' ὅθεν εἰς τόδε κατέπεσον ἄνθρωποι· καὶ μέτρον μὲν ἐκεῖνο ἡρωικοῖς ἔργοις ἁρμόζων καὶ διηγήσεσι καὶ ὁ χρόνος τοσοῦτο ἐτίμησεν ὅσον οὐδ' ἂν ἀριθμήσαι τις. ἢ παρεῖδον· ἢ κατασχεῖν οὐχ οἷοί τ' ἐγένοντο· οὐ γὰρ ἔχω λέγειν ὁπότερον· ἐῶ δὲ τοῦτ' ἐν κοινῷ σκοπεῖν Εὐριπίδης φησίν· ἴαμβον δ' ἀντὶ τῶν ἐπῶν εἵλοντο καὶ τοῖς τῶν διχρόνων μηδὲν διαστέλλοντες ἐχρήσαντο χρόνοις, πάντα καὶ συστολῆς ἐνταῦθα καὶ ἐκτάσεως μετέχειν νομοθετήσαντες· ἐντεῦθεν δὴ καὶ πόλεων πασῶν· καὶ ἀνθρώπων ὀνόματα μηδὲν μετρήσαντες τοῖς ἐμμέτροις ἐνήρμοσαν· καὶ ταῦτα πάντα τολμήσαντες σεμνοὶ δοκεῖν βούλονται, ὡς ἔμμετρα γράφουσιν (fuprafc. γράφοντες) ἄμετρα ὡς ἀληθῶς καὶ μηδὲν προσήκοντα μέτρῳ συνείροντες· καὶ ἦν ἂν οὔπω τουτὶ τοσοῦτο δεινόν· ἤδη δὲ καὶ ἐφ' ἕτερον πολὺ τοῦ προτέρου χεῖρον ἐτράποντο· ὃ τοὺς εἴ τι πιστεύεται μέτρον εἶδος· εἰς ἀνάγκην καθίστησιν εὔχεσθαι, μηδ' ἂν γεγενῆσθαι τὴν ἀρχὴν μέτρον· μὴ δ' ἐν ἀνθρώποις ἀκμάσαι, εἴγε μὴ δ' ἐν τούτοις χαμαὶ πεσεῖν ἔμελλε τὰ τῆς παροιμίας, ὡς νικῆσαι ἐπ' αὐτῶν τὰ χείρονα· ἀλλὰ γὰρ αἰσχύνη καὶ γλώττῃ ταυτὶ προφέρειν, πολιτικούς τινας αὐτοῖς καλουμένους στίχους ποιοῦσι· μέτρον μὲν ἅπαν ἐν τούτοις λῆρον ἡγούμενοι· τόνους δὲ δύο περί που τὰ μέσα καὶ τὸ τέλος τηροῦντες, καλῶς ἔχειν σφίσι τὸν στίχον φασι· τόνους ὦ γῆ καὶ ἥλιε πρὸ τῶν

στοιχείων ἐξ ὧν τὰ μακρὰ βραχέα, τῶν δ' αὖθις τὸ μέτρον τιθέντες· ὥσπερ εἰ τόνοις ἐγράφομεν καὶ μὴ γράμμασι καὶ ἤδηγε τὸ κακὸν ἐξενίκησεν· ἐκείνων μὲν οὖν ἄν τις ἐπιτωθάζων τῷ ἐγχειρήματι, ἐξ Ἰωνικῶν γυναικαρίων εἶπεν αὐτοὺς τὸ τοιοῦτο γε ὑφελέσθαι· τῷδε γὰρ τῷ ῥυθμῷ κἀκεῖνα θρηνεῖ τοὺς τῶν ἐκφερομένων νεκρούς ἐγὼ δὲ τοσούτου δέω τουτὶ τὸ βλάσφημον τῶν τῆς αὐτῆς μοι μετεχόντων τέχνης κατασκευάσαι, ὥστε κἂν ἐπιτιμήσαιμι τῷ τολμήσαντί τι παραφθέγξασθαι κατὰ τάδε. σοίγε μὴν ὦ νεόφρον καὶ τοῦτο μὴ ἂν ἐρραθυμηκότα μαθεῖν οὐκ ἀποκρύψομαι πόθεν αὐτοῖς παρείκυσται[1]· οὐ γὰρ ἐξεύρηται καί σοι συμβουλεύσαιμ' ἂν τοὐντεῦθεν, ὡς ἂν ἐγὼ τἀληθὲς ἀνορύξας εὕρω κεχρῆσθαι· διττὰς δέ σοι δείξω χρυσίου φλέβας· ὧν ὁποτέρας βούλῃ λαμβάνειν, διάφορα σαυτῷ καὶ τοῖς ἄλλοις σκεύη κατασκευάσεις τοῖς εἰς τὸ πολιτικὸν ἄρτι μεταναστᾶσιν ὄνομα στίχοις· καὶ τραγικοὶ πάντες· καὶ ὁ κωμικὸς δέ· καὶ ἰάμβους· ἑκάτεροι μέντοι τετράμετρον καταληκτικὸν αὐτοῖς ὅρον ἐστήσαντο· ἥκιστα μὲν οὖν ἔστιν ἄδηλον, ὡς οὐκ ἔστιν ὅτε τοῦ κρότου καὶ ῥυθμοῦ τῶν τόνων γέγονεν ἐκείνοις φροντίς· μόνης δὲ τόγε εἰς μέτρον ἧκον τῆς ἀκριβείας, τούτου πολὺν τὸν λόγον (fic corr. pro πόν) τιθέμενοι, ὅπου περ ἂν τῶν συλλαβῶν ὁ τόνος πεσὼν ἐτύγχανεν οὐδ' ὁτιοῦν ἐπεστρέφοντο· ἀλλ' οὕτω τούτοις ποιοῦσιν, ἔν τισι συνηνέχθη τῶν στίχων καὶ ῥυθμόν τινα τοῦ τόνου εὔτροχον προχωρῆσαι· καὶ λαμυρὰν κρότου συνθήκην· ὡς Εὐριπίδην μὲν ἔγνως λέγοντα· συγκατασκάπτοις ἂν ἡμᾶς. κοινὰ γὰρ τὰ τῶν φίλων· Αἰσχύλου δὲ, ὦ βασιλίδων ἄνασσα Περσίδων ὑπερτάτη μῆτερ ἡ Ξέρξου γεραιὰ χαῖρε Δαρείου γύναι· Σοφοκλῆ δὲ, ὦ πάτρας Θήβης ἔνοικοι· λεύσσετ' Οἰδίπους ὅδε· καὶ μετὰ στίχον, ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων· καὶ Ἀριστοφάνη· ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι· καὶ μιμούμενος· καὶ τοῖν ποδοῖν ὧδὶ παρασαλεύων· τινὲς δὲ δόξαν τὴν τοιάνδε τῶν στίχων ζηλῶσαι πλοκήν, τάχα μὲν ἐν προοιμίοις καὶ τὸ μέτρον περιέπειν οὐδενὸς δεύτερον ἐδοκίμαζον· ἠρέμα δὲ καὶ κατολίγον ὕστερον πρὸς τὰ χείρω καὶ εὐτελῆ πάντες εὐολισθότεροι, τὸ μὲν μέτρον ὡς πορρωτάτω ἐξετόξευσαν, ὡς μὴ δ' ἴχνος παρὰ τοῖς στίχοις ἐμφαίνεσθαι· μόνου δὲ τοῦ εἱρμοῦ τῶν τόνων ἀντεποιήσαντο· καὶ νῦν οὐδὲν ἀποδεῖν δοκοῦσι σώματος ἐρήμου ψυχῆς· ψυχὴ γὰρ στίχου τὸ μέτρον, μόναις κειρίαις (fic) ἐνειλημμένον· τῆς γὰρ τούτων εἰκόνος τοὺς τόνους αὐτῶν ἀξιῶ· τίνι μὲν οὖν δικαίᾳ προφάσει, λόγου ὑπηρέταις ἀνδράσι πρὸς τόδε τὸ τῆς ὁρμῆς γέγονεν, ἐγὼ μὲν οὖν οὐχ ὁρῶ· ἀλλ' οὐδ' ἐκεῖνοι λέγειν ἂν ἔχοιεν ὡς ἐμαυτὸν πείθω· πλὴν ἴστωσαν ἀδικώτατα πάντων εἰργασμένοι, εἴγε ἡρῷον μὲν ἔπος καὶ τρίμετρον ἴαμβον, οὔπω μὴ σὺν μέτρῳ προενεγκεῖν αὐτοῖς ἐτολμήθη, τὸ δ' ἰαμβαῖα τε καὶ τροχαῖα τετράμετρα οὐδὲν δεινὸν ἔδοξεν, εἰ τοῦ μέτρου ψιλώσαιτο (fic folio accifo, ut apices verborum vix dignosci queant) καὶ δέος δὴ φίλε νεόφρον, μήπο (fic) παίδοντες καὶ τὸν τόνον ὡς τὸ μηδὲν ὄντα δι' ὀλιγωρίας ποιήσωνται· καὶ πᾶν ὅτι οὖν λόγου κῶλον ψηφίσωνται στίχον εἶναι· σὺ δ' ἂν βελτίων πολλῷ· τῷ μέσῳ σαυτοῦ γένοιο, καὶ τοὺς δὲ τοὺς στίχους ὁποτέρῳ τῶν μέτρων βούλει συντιθείς, ἐπεὶ τοῦτο τοῖς καθ' ἡμᾶς ἀποτέλεσε τὸ καλὸν ἡγεῖσθαι μηδαμῶς τὴν τῶν τόνων περιορᾶν ἁρμονίαν· ἔσῃ γὰρ δύο καλῶς συνάψας εἰς ἓν· ποδῶν τε μέτρον· καὶ τόνου ῥυθμόν· πόνημα δὲ στίχῳ τοιόνδε ὁμοιότατον ἂν εἴη, δένδρῳ καρποῖς τε βρίθοντι· καὶ φύλλῳ πρὸς κόσμον περικειμένῳ· χρὴ δὲ μηδὲν ἐπαχθὲς οἴεσθαι, εἰ τῶν ἄλλων πολλὰ καὶ ἄμετρα συνειρόντων, αὐτὸς ὑπὸ τοῦ μέτρου πως ἐνεχόμενος, ἧττων ἐκείνων περὶ στίχων δόξεις συνθήκας εἶναι τὰ βραχύτατα γράφειν· πότερον γάρ σοι φαίνοντ' ἂν βέλτιον εἷς ζῶν, ἢ πεντεκαίδεκα τεθνεῶτες· καὶ χρυσοῦς ἀνδριὰς εἷς, δώδεκα χάλκεοι· ἔγωγε οἶμαι καὶ δίκαιον πάντα νοῦν ἔχειν, εἰδότα τὰ κρείττω πρὸ τῶν χειρόνων αἱρεῖσθαι κἂν βραχύτερα ᾖ· ὁρᾷς γὰρ δήπου καὶ αὐτὸς ὡς ἐν πᾶσι τοῖς οὖσι καὶ περὶ ἡμᾶς στρεφομένοις, πλεονεκτεῖ τὰ χείρω τῶν βελτιόνων· ὡς σοφῶν ἄσοφοι· καὶ φρονίμων ἀνόηται· καὶ χοῦς χρυσίου· οὐ μὴν παρατοῦτο ὑποβέβηκε τὰ ἀμείνω τῶν κακιόνων· μᾶλλον μὲν οὖν καὶ ἐπίπροσθεν ἄγεται. — Ex iis, quae huic disputationi fubjecta funt, haec memorabiliora adfcribam: ἔτι μετατίθενται στοιχεῖα· οἷον κραδία καρδία· ἀτραπὸς ἀταρπός· σφάγανον φάσγανον· ὄλιγος λοιγός· ἀλλὰ καὶ συλλαβαί· οἷον λακέρυζα ἢ κελάρυζα· καὶ κεκρύφαλος ὁ κρυπτοκέφαλος· οὐ μὴν δὲ ἀλλὰ καὶ λέξεις μετατίθενται· οἷον εἴ τις τὰς σεμνὰς θεὰς, θεὰς σεμνὰς λέγει· καὶ τὸ θεῖον ἄπυρον, ἄπυρον θεῖον· ἡ γὰρ καθωμιλημένη συνήθεια ἐν ἐκείνῳ μὲν, τὸ σεμνὰς προτάττει· ἐν δὲ τούτοις τὸ θεῖον· τὸν ἴσον δὲ τρόπον καὶ λόγοι μετατίθενται· ὡς τὸ καλούμενον σχῆμα προθύστερον· οἷον, οἳ δ' ἄνεσάν τε πύλας· καὶ ἀπῶσαν ὀχῆας· μετὰ γὰρ τὸ ἀπωσθῆναι τοὺς μοχλοὺς, ἀνίενται ἤγουν ἀνοίγονται αἱ πύλαι.

Ex eodem Cod.

τὸ εἰς ρα εἰ μὲν μονοφθόγγῳ παραλήγονται, ὀξύνεται· εἰ δὲ διφθόγγῳ περισπᾶται· πλὴν τοῦ σαύρα· αὖρα· λαύρα· (in marg. φαίδρα· Ἀριστοφάνης· αὔρα τίς εἰσέπνευσε μυστικωτάτη· καὶ παρ' εὐπίδῃ (fic τὸ φαίδρα) τὰ ἐξ ὀνομάτων γινόμενα θηλυκὰ τὸ α μηκύνουσι· δικαία· σεληναία· εὐκταία· ἀπευκταία· περικεφαλαία δειλαία· κεραία· τούτοις ἠκολούθησεν, ἐλαία νεολαία. τὸ εὐκαιρεῖν οἱ Ἀττικοὶ, εὖ σχολῆς ἔχειν λέγουσι.

Ex eodem Cod.

ποθεν τὸ ἤμβροτον ὃ σημαίνει τὸ ἥμαρτον· ἀπὸ τοῦ ἁμάρτω ἁμαρτήσω καὶ ὁ δεύτερος ἀόριστος ἥμαρτον· καθ' ὑπερβιβασμὸν τοῦ ρ καὶ τροπῇ τοῦ α εἰς ο· καὶ πλεονασμῷ τοῦ β γίνεται ἤμβροτον· καὶ διατὶ ἐπλεόνασε τὸ β καὶ οὐ τὸ μ· ἐπειδὴ τὸ μ πρὸ τοῦ ρ, οὔτε ἐν συλλήψει δύναται εἶναι, οὔτε ἐν διαστάσει· ἐν συλλήψει μὲν, ὅτι ἐπειδὴ ἀμετάβολον ἀμεταβόλου οὐ προηγεῖται, εἰ μὴ τὸ μ τοῦ ν· οἷον μνᾶ· μνημεῖον· ἐν διαστάσει δὲ οὐκ ἠδύνατο εἶναι τὸ μ πρὸ τοῦ ρ· ἐπειδὴ τὸ ρ οὐ θέλει ἔχειν ἕτερον σύμφωνον πρὸ ἑαυτοῦ, εἰ μὴ τὸ ρ· οἷον ἔρριπτο· ἐπίρρημα· ἄρρωστος· καὶ διὰ τοῦτο ἐπλεόνασε τὸ β καὶ γίνεται ἤμβροτον. πότε δεῖ λέγειν ἔπληγον καὶ τὸ ἔπλαγον· εἰ μὲν σωματικῶς ᾖ, δεῖ λέγειν ἔπληγον διὰ τοῦ η· ἐξ οὗ καὶ τὸ ἐπλήγην· εἰ δὲ ψυχικῶς ᾖ, δεῖ λέγειν ἔπλαγον· ἐξ οὗ καὶ τὸ ἐπλάγην καὶ ἐξεπλάγην· καὶ κατεπλάγην· ὁ δὲ ποιητὴς ἐπὶ τῆς ψυχικῆς διαθέσεως κατεπλήγην εἶπε δι' ἀνάγκην τοῦ μέτρου· τὸ αὐτὸ δὲ ἐπὶ τοῦ πονῶ πονήσω πονέσω δεῖ λέγειν· ψυχικῶς μὲν διὰ τοῦ η· σωματικῶς δὲ διὰ τοῦ ε. (in marg. Cod. σεσημείωται τὸ παρ' Ἀριστοφάνῃ· πεπόνηκα κομιδῇ τὼ σκέλη.)

---

1) alter cod. παρέλκυσται.

Πόθεν τὸ ἔπεφνον· παρὰ τὸ φῶ τὸ φονεύω· γίνεται φένω διὰ τοῦ ε· καὶ ὁ ἀόριστος ἔφενον· καὶ ἐπέφενον καὶ κατὰ συγκοπὴν ἔπεφνον· Πόθεν τὸ ἅδε τὸ σημαῖνον τὸ ἤρεσκε· ἀπὸ τοῦ ἥδω τοῦ σημαίνοντος τὸ ἀρέσκω· ὁ δεύτερος ἀόριστος λόγῳ μὲν παραληγούσης γίνεται ἅδον· ἐξ ου τὸ ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων· λόγῳ δὲ ἀρχαιούσης γίνεται ἧδον· τὸ τρίτον ἧδε· καὶ κατὰ διάλυσιν ἕαδε· ὥσπερ ἥλω εάλω· — τὸ ἔπεσον ὥς φησιν Ἡρωδιανὸς, ἀπὸ τοῦ πεσῶ περισπωμένου γίνεται πεσήσω· ἐξ οὗ καὶ ῥηματικὸν ὄνομα πέσημα· καὶ ὁ β ἀόριστος ἔπεσον· ὥσπερ καὶ ἀπὸ τοῦ χραισμῶ ἔχρεσμον· καὶ κτυπῶ· ἔκτυπον· καὶ διατὶ μὴ ἀπὸ τοῦ πέσω βαρυτόνου γέγονε τὸ ἔπεσον· ἐπειδὴ οὐ δύναται τὸ ἓν σ χαρακτηριστικὸν εἶναι βαρυτόνου ἐνεστῶτος· ἡ γὰρ δ συζυγία τῶν βαρυτόνων διὰ τοῦ ζ ἢ δύο σσ ἐκφέρεται· οὐ μὴν δι' ἑνὸς σ· οἷον φράζω ὀρύσσω· ὅτι ἐπὶ τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων, τὰ τρίτα πρόσωπα τῶν ἐνεργητικῶν· δεύτερα τῶν παθητικῶν γίνεται· — διατὶ τὸ εἰπέ· ἐλθέ· καὶ εὑρέ ἀορίστου ὄντα ... ὀξύνεται τῶν ἄλλων βαρυνομένων· ἐπειδὴ τὰ ἄλλα βραχεία παραλήγεται· ταῦτα δὲ μακρᾷ· καὶ ὡς διαλλάξαντα κατὰ τὴν παραλήγουσαν, διήλλαξαν καὶ τ ͤ τὴν τόνον· διατὶ οἱ Ἀθηναῖοι τὰ δεύτερα πρόσωπα καὶ τρίτα τῶν ὑποτακτικῶν παθητικῶν τῆς τρίτης συζυγίας τῶν περισπωμένων διὰ τοῦ ω προφέρουσιν· οἷον ἐὰν χρυσῶται· ἐὰν στεφανῶται· ἐπειδὴ τὰ εἰς μαι ῥήματα θέλουσι καὶ ἐν τῷ α καὶ τρίτῳ προσώπῳ τὰ ἴσα φωνήεντα φυλάττειν κατὰ τὴν παραλήγουσαν· καὶ διὰ τοῦτο φυλάττουσι τὸ ω καὶ ἐν τῷ τρίτῳ προσώπῳ· ἵνα εὑρεθῇ φυλάττον τὴν παραλήγουσαν του α ου προσώπου· Πόθεν τὸ ὄσσω καὶ πέσσω· παρὰ τὸ ὄπτω καὶ πέπτω ὅθεν τὸ ἀπεπτῶ· Αἰολικῶς γὰρ ἐτράπη τὸ πτ εἰς δύο σσ· καὶ γέγονε ὄσσω καὶ πέσσω ἐξ οὗ τὸ κακ' ὀσσόμενος προσέειπεν· τὸ ἔρρω, ἀπὸ τοῦ φθείρω γέγονε εἴρω· καὶ Αἰολικῶς ἀποβολῇ τοῦ ι καὶ κατὰ διπλασιασμὸν τοῦ ρ γίνεται ἔρρω· ὡς κείρω κέρρω· δείρω δέρρω· ἐξ οὗ τὸ δέρρις· τὸ ἐλαύνω παρὰ τὸ ἐλάω καὶ Αἰολικῶς προσθέσει τοῦ υ ἐλαύω· καὶ κατὰ Δωριέας προσθέσει τοῦ ν γέγονε ἐλαύνω· οἱ γὰρ Δωριεῖς τὰ εἰς ω καθαρὸν λήγοντα ῥήματα διὰ τοῦ ν προφέρονται· οἷον δύω δύνω· θύω θύνω· ὡς παρ' Ὁμήρῳ· θῦνε γὰρ ἀμπεδίον ποταμῷ πλήθοντι ἐοικώς.

Πόθεν τὸ καθίζω· ἐκ τοῦ ἕζω τὸ καθέζομαι· καὶ Σικελικῶς ἐτράπη τὸ ε εἰς ι· καὶ γέγονε ἵζω· οὗτοι γὰρ τὸ ἀρκτικὸν ν ἐν ᾧ ἕπεται σ εἰς ι μετατιθέασιν· οἷον ἔχω ἴσχω· ἕπω ἴσπω· οὕτως οὖν καὶ ἕζω ἵζω καθίζω· τὸ γὰρ ζ ἐκ τοῦ δ καὶ σ σύγκειται.

Πόθεν τὸ γινώσκω, ἐκ τοῦ νοῶ· καὶ πλεονασμῷ τοῦ γ Αἰολικῶς γνοῶ, ἐξ οὗ τὸ κατὰ στέρησιν ἀγνοῶ· καὶ κατὰ συγκοπὴν, γνῶ, ὁ μέλλων γνώσω· καὶ προσθέσει τοῦ κ καὶ ἀναδιπλασιασμῷ Ἰωνικῷ, γινώσκω· πιφάσκω· φῶ τὸ λέγω καὶ κατὰ Δωριέας φάζω· καὶ Αἰολικῶς κατὰ πλεονασμὸν τοῦ υ φαύζω· οἱ γὰρ Αἰολεῖς εἰώθασι τῷ α προστιθέναι τῷ υ· ὡς ἀτὰρ αὐτάρ. καὶ Σικελικῶς, διαλύσει τοῦ ζ εἰς κ, γέγονε φάσκω· καὶ κατὰ ἀναδιπλασιασμὸν Ἰωνικὸν γίνεται πιφάσκω· οἱ γὰρ Ἴωνες τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα ἀναδιπλασιάζουσι· λελάχασι· κεκάμασι.

τὸ γέντο, ἐκ τοῦ ἕλω οὗ τὸ παθητικὸν ἕλομαι· ὁ παρατατικὸς ἑλόμην· ἕλετο· καὶ κατὰ συγκοπὴν Αἰολικὴν ἕλτο· καὶ κατὰ μετάθεσιν τοῦ λ εἰς τὸ ν Δωρικῶς, ἕντο· καὶ ἐν πλεονασμῷ τοῦ γ Αἰολικῶς, γέντο· —

Πόθεν τὸ πεφυζότες· ἀπὸ τοῦ φύγω τροπῇ Ἰωνικῇ τοῦ γ εἰς ζ· ὡς ὀλίγον, ὀλίζον, φύζω· ὁ μέσος παρακείμενος πέφυγα· ἡ μετοχὴ ὁ πεφυζώς· καὶ πεφυζότος. πόθεν τὸ εἰλύλουθμεν· ἐλεύθω· ὁ παρακείμενος ἤλευκα· ὁ μέσος ἤλευθα· καὶ Ἀττικῶς ἐλήλυθα· καὶ Ἰωνικῶς εἰλήλυθα· καὶ Βοιωτικῶς εἰλήλουθα. οἱ γὰρ Βοιωτοὶ προστιθέασι τῷ υ τὸ ο· τὸ πρῶτον τῶν πληθυντικῶν εἰληλούθαμεν· καὶ κατὰ Αἰολικὴν εἰλήλουθμεν· — τὸ εἶ ἀντὶ τοῦ ὑπάρχεις, ὁ μὲν Ἀπολλώνιος ἀπὸ τοῦ ἔω προάγει ἔομαι ἔῃ καὶ Ἀττικῶς ἔει· ὡς βούλει· εἶτα κατὰ συναίρεσιν εἶ, οἱ δὲ μεταγενέστεροι τοῦτον ἀνατρέποντες, οὐδέποτε φασὶ τὰ ὑπαρκτικὰ εἰς πάθος λαμβάνονται· οὐδὲ γὰρ ἐρεῖ τις ποτε τὸ ὑπάρχομαι· δεῖν οὖν φασι λέγειν ὡς κατὰ πάθος γέγονε ἀπὸ τοῦ εἰμὶ εἰς ἀποβολῇ τοῦ σ· περιεσπάσθη δὲ τοῦ εἰς ὀξυνομένου, εἰς χαρακτῆρα ἔμπεσον· πᾶσα γὰρ λέξις εἰς ει λήγουσα ἔχουσα ἐπὶ τέλους τὸν τόνον περισπᾶται· οἷον νοεῖ ποιεῖ· οὕτω καὶ εἶ· ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων· ἐκ τοῦ ἔω, ἐμί· καὶ ἐπειδὴ τὰ εἰς μι μακρᾷ παραλήγονται προσέλαβε τὸ σ· τὸ δεύτερον εσσ διὰ δύο σσ· καὶ ἐπειδὴ οὐ δύναται δύο τὰ αὐτὰ σύμφωνα ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι προσέλαβε τὸ ι· καὶ ἐγένετο ἐσσί· ὅθεν καὶ τὰ τρίτον γενόμενον ἐσσὶ καὶ συμπίπτον τῷ δευτέρῳ, ἔτρεψε τὸ ἓν σ εἰς τ· καὶ γίνεται ἐστὶ καθ' ὁμοιότητα τῶν Δορικῶν τοῦ δίδωτι· καὶ φατί· τῶν εἰς μι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν κατὰ τοὺς Ἀττικοὺς φησὶν ὁ Ἀπολλώνιος συστέλλουσι τὴν παραλήγουσαν· καὶ προσλαμβάνουσι τὸ α πρὸ τοῦ σ καὶ ἐκτείνουσιν αὐτὸ τὰ εἰς ι γὰρ λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι· ὁ δὲ Ἡρωδιανὸς ἀδοκίμως (Schol. ad hanc vocem in marg. πῶς γὰρ δύναται τοῦ ζεύγνυσι τὸ ν, εἰς τὸ ι καὶ α διαλύεσθαι·) φησὶ κατὰ διαίρεσιν τῆς μακρᾶς τὰ τοιαῦτα γίνεσθαι· αἱ γὰρ διαιρέσεις εἰς ταῦτα ἀναλύονται ἐξ ὧν συνίστανται· ἐσχηματίσθησαν δὲ οὕτως, ἵνα ὁμοτονῶσι τοῖς ἰδίοις πρώτοις καὶ δευτέροις· τίθεμεν τίθετε· δίδομεν δίδοτε· ζεύγνυμεν ζεύγνυτε· ὅτι ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου τῶν πληθυντικῶν οὐ ποιοῦσιν οἱ Ἀττικοὶ διάλυσιν ἐπὶ τῆς παραληγούσης, ὡς ἐπὶ τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν, ἐπειδὴ ταῦτα προπαροξύνονται· ὅθεν τινὲς ἀττικίζειν νομίζοντες ἁμαρτάνουσιν, ἐν τῷ λέγειν τιθέαμεν τιθέατε· διδόαμεν διδόατε· ζευγνύαμεν ζευγνύατε. τὰ εἰς ας κατὰ ἀποβολὴν τοῦ σ κλινόμενα ἢ διὰ τοῦ ντ, περισπῶνται· Βορρᾶς· Βορρᾶ· Θωμᾶς Λουκᾶς ἀλλᾶς ἀλλάντος· ὅσα δὲ οὐ κατὰ ἀποβολὴν τοῦ σ οὐδὲ διὰ τοῦ ντ κλίνονται, ὀξύνονται· ἐθάς· φυγάς καὶ τὰ θυλυκὰ, τριὰς λαμπάς.

Excerpta ex grammaticis disputationibus.

διάτι τὸ χλούνων· χρήστων· ἐτησίων· καὶ ἀφυίων βαρύνεται· ἐπειδὴ τὸ μὲν χλούνων, ἀπὸ τοῦ χλωεῦναι· χλωεύνων ἐγένετο, χλοῦναι χλούνων· καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· τὰ δὲ χρῆσται χρήστων, πρὸς ἀντιδιαστολὴν, τοῦ οἱ χρηστοὶ τῶν χρηστῶν· τὸ δὲ ἐτήσιαι ἐτησίων, λέγουσιν ὅτι συνέδραμον (Cod. συνέδρ^μ) κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, τὸ ἐτήσιοι ἐτησίων ἐτήσιαι (sic) δὲ εἰσὶν ἄνεμοι, οἱ κατ' ἔτος πνέοντες ἀπαρκτίαι καὶ ζέφυροι κατ' Ἀριστοτέλη· τὸ δὲ ἀφυίων, πρὸς διαστολὴν τοῦ οἱ ἀφυεῖς τῶν ἀφυῶν ἐβαρύνθη.

Πόθεν τὸ εἱστήκειν· π^ε | τὸ ἑστήκω· ἐξ οὗ τὸ ἑστήξειν τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις π^ει Καλλιμάχῳ.

ΠορΦυρίου εἰς τὸ τί ἐστιν ἐμπειρία·

Πολλοὶ τῷ Διονυσίῳ ψόγον προσάπτουσι λέγοντες κα-
κῶς αὐτὴν εἰρηκέναι τὴν γραμματικὴν, ἐμπειρίαν. οὐ-
δὲν γὰρ ἄλλο ἐστὶν ἐμπειρία, ἀλλ᾽ ἢ ἡ τῆς ἀλόγου τέ-
χνης κατόρθωσις· ὥσπερ πεῖρα ἡ εἰςάπαξ τινὸς ἀλόγου
τριβῆς δοκιμασία· ἡ δὲ γραμματικὴ οὐκ ἄλογος ἐστὶ τέχ-
νη· ἀλλὰ μικτὴ· ἀγνοοῦντες ὅτι, ἐπεὶ μικτὴ ἐστὶν ἡ
γραμματικὴ λογική τε καὶ πρακτικὴ, διὰ τοῦτο ἐμπειρίαν
τὸ πρακτικὸν αὐτῆς μέρος ἀΦορίζεται· τί οὖν μὴ ἀπὸ
τοῦ κρείττονος ὁρισάμενος, τὸ χεῖρον διέλαβε· κρεῖττον
γάρ ἐστι τὸ λογικὸν τοῦ πρακτικοῦ· πρὸς οὓς Φαμὲν,
ὅτι κακῶς Φατὲ, ἀγνοοῦντες ὅτι πάντα τοῦ εἶναι ἐΦίεται·
εἰ δὲ ὡρίσατο τὸ κρεῖττον, ἐλάνθανεν ἄρα τὸ χεῖρον· ὡς
μὴ ὄν· διατοῦτο τὸ χεῖρον ὁρισάμενος, τὸ κρεῖττον διέ-
λαβεν· ἔνθεν καὶ ἡμίονος ἀπὸ τοῦ χείρονος ὠνομάσθη,
οὐχ ἡμίιππος· τινὲς δὲ λέγουσιν ὅτι ἐμπειρία ἐπὶ ἀμ-
Φοτέρων τῶν σημαινομένων λαμβάνεται· ἐπί τε τοῦ λο-
γικοῦ καὶ τοῦ πρακτικοῦ· λέγουσι γὰρ ὅτι ἐμπειρία ἐστὶν
ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἀγνοοῦντες ὅτι τὸ
προκατάρχον τῆς λέξεως αἴτιον· τὸ πεῖρα οὐδὲν ἄλλο
δηλοῖ, ἀλλ᾽ ἢ τὴν ἅπαξ δοκιμασίαν ἀλόγου τέχνης ὡς εἴ-
πομεν· παρὰ τὸ πεῖρα γὰρ ἐν σχηματισμῷ καὶ συνθέσει
τῆς ἐν προθέσεως ἐγένετο ἔμπειρος· καὶ τὸ θηλυκὸν ἐμ-
πειρία· τῶν παρὰ ποιηταῖς τε καὶ συγγραΦεῦσιν· οὐκ
ἔστι μόνον παρὰ τοῖς ποιηταῖς τε καὶ συγγραΦεῦσιν χρει-
ώδης ἡ γραμματικὴ· ἀλλὰ καὶ παρὰ ῥήτορσι καὶ ἱστοριο-
γράΦοις· δα γὰρ εἰσι ταῦτα ἀλλήλοις ἀντιπαρακείμενα·
ἐξεκατέρας τε ἀντιθέσεως ἓν εἰπὼν, καὶ τὸ ἕτερον παρε-
δήλωσεν· ἀντίκειται δὲ, τῇ μὲν ποιητικῇ, ἡ ἱστοριογρα-
Φικὴ· ἡ μὲν γὰρ ποιητικὴ τέχνη· ἡ δὲ ἱστοριογραΦικὴ
οὐ τέχνη· τὸ δὲ τέχνη καὶ οὐ τέχνη, ἀντίκειται· ὡς-
αύτως πάλιν ἀντικεῖται ἡ ῥητορικὴ τῇ συγγραΦικῇ· (cf.
Anecdd. Graec. ad Villoif. p. 172. Tom. II. qui omnia
usque ad χαρακτηριστικοῖς evulgavit.) συγγραΦεὺς μὲν
γὰρ ὁ τὰ ἐΦ᾽ ἑαυτοῦ γενόμενος συγγραψάμενος, ὡς Θου-
κυδίδης ὁ Ἀθηναῖος τὸν Πελοποννησιακὸν πόλεμον συνέγρα-
ψεν ἐπὶ αὐτοῦ γεγονότα· ἱστοριογράΦος δὲ ὁ τὰ πρὸ αὐ-
τοῦ γράΦων· ὡς Ἡρόδοτος· ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτι-
κὰ ἠσχολημένος· ὡς Δημοσθένης καὶ οἱ κατ᾽ αὐτὸν· ποι-
ηταὶ δὲ κεκόσμηνται τοῖς δ᾽ τούτοις· μέτρῳ· μύθῳ·
ἱστορίᾳ καὶ ποιᾷ λέξει· καὶ πᾶν μὴ μετέχον τῶν δ᾽ τού-
των, οὐκ ἔστι ποίημα· ἀμέλει τὸν Ἐμπεδοκλέα καὶ Τυρ-
ταῖον οὐ καλοῦσι ποιητὰς εἰ καὶ μέτρῳ ἐχρήσαντο, διὰ τὸ
μὴ χρήσασθαι αὐτοὺς τοῖς τῶν ποιητῶν χαρακτηριστι-
κοῖς· ὡς ἐπιτοπολύ λεγομένων· τουτέστι τῶν ὑπο πολλῶν
ἀρχαίων διὰ μνήμης ἀξίως ἐνεχθέντων· λείπει δὲ τὸ λέ-
ξεων· ἵν᾽ ᾖ τοιοῦτο νόημα· χρειώδης μὲν ἡ γραμματι-
κὴ, ἐμπειρία οὖσα τῶν ὡςεπιτοπολύ λεγομένων λέξεων
παρά τε τοῖς ποιηταῖς καὶ τοῖς συγγραΦεῦσι· μέρη δὲ
αὐτῆς εἰσὶ ἕξ· τί δήποτε τῆς γραμματικῆς μέρη λέγο-
μεν, τῆς δὲ ῥητορικῆς εἴδη· καὶ τίνι διαΦέρει μέρος εἴ-
δους καὶ ὀργάνου· εἶδος μὲν γὰρ τέλειον τί ἐστιν· ὡς
λέγομεν εἶδος ζώου ὁ ἄνθρωπος· μέρος δέ ἐστιν, ὃ μεθ᾽
ἑτέρων συναγωγ^c, τέλειον τί ἀπεργάζεται· ὄργανον δὲ
τὸ, καὶ ἑτέραις τέχναις πεποιημένον ἀντιπεποιθότως τῷ
μέρει· τὸ γὰρ μέρος, αὐτῷ μόνον πεποίηται, οὗ ἐστι
μέρος, τὸ δὲ ὄργανον, καὶ ἑτέροις ἁρμόζει· οἷον, τὸ σμι-
λίον οὐκ ἐστὶ ἑνὶ ἔργῳ ἐστὶ χρήσιμον, ἀλλ᾽ ἐν πολλοῖς
ἔργοις· ἰστέον δὲ, ὅτι ἡ γραμματικὴ εἶδος οὐκ ἔχει· οὐ
γὰρ τὸ ἀναγνωστικὸν, ἢ τὸ ἐξηγητικὸν, τέλειον ἀποτελεῖ
γραμματικὸν· ὥσπερ τὸ συμβουλευτικὸν ῥήτορα τέλειον·
διατί δὲ τῶν ἓξ τούτων μὴ ὄντων μόνως μερῶν ἀλλὰ
ὀργάνων, τὰ πάντα μέρη ἐκάλεσε· καὶ λέγομεν ὅτι
εἰσαγομένους οὐκ ἀκριβολογεῖται· ἰστέον δὲ ὅτι·
γραμματικῆς μέρη εἰσί· τὸ ἀναγνωστικὸν μετὰ τῆς
οὔσης προσῳδίας· καὶ τὸ ἐξηγητικὸν ὡς Φησιν αὐτὸς,
τὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους· τουτέστι
ἐγκειμένους· ὄργανα δὲ τὰ λοιπὰ· καὶ γὰρ ἄλλαις
ναις ἁρμόζει οἷον τὸ γλωσσημαντικὸν, καὶ ῥήτορσι καὶ
τροῖς· (in marg. γλωσσημαντικαὶ λέξεις εἰσὶν αἱ ἐπ
10 ριάζουσαι τουτέστιν αἱ καθ᾽ ἑκάστην χώραν ἢ πόλιν
τινες λέξεις) πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳ
πρῶτον λέγει τὴν ἀνάγνωσιν ἀναγκαίως· πρῶτον
Φοιτῶντες εἰς γραμματικοῦ τὸ ἀναγινώσκειν μανθάνο
ἐντριβὴς δὲ, ἡ τετριμμένη καὶ ἐκ παλαιῶν παραδεδο
ἀνάγνωσις· δεύτερον, ἐξήγησις κατὰ τοὺς ἐνυπάρχο
ποιητικοὺς τρόπους· μετὰ τὸ διδαχθῆναι τὸν καλῶς
αγόμενον τὸ ἀναγινώσκειν, ἀναγκαῖον ἐκλέγεσθαι καὶ
καλῶς ἀνεγνωσμένης λέξεως τὴν σημασίαν ἥτις ἐστὶν
γησις εἰς τὰ ἑξῆς ἡμᾶς τοῦ νοῦ ἄγουσα· τρίτον γλω
20 τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις· πρῶτον τὸν
γόμενον διδάσκει, ὅτι μῆνιν βαρυτόνως δεῖ ἀναγινώσ
διδαχθέντα δὲ ἀπαιτεῖν ποιεῖ τὴν ἐξήγησιν· μαθόντ
ὅτι ὀργὴν ἐπίμονον σημαίνει, ἀπαιτεῖν, ποιεῖ τὴν δια
τον, ἥτις ἐστὶ τῶν Ἰώνων· πρόχειρος δὲ ἀντὶ τοῦ
μος ἀπόδοσις ἢ ἀπολογία· δεῖ οὖν τὸν γραμματικὸν
σὶν ἐρωτώμενον· ἢ περὶ σημασίας· ἢ περὶ ἱστορίας
χείρως ἀποδιδόναι τὴν αἰτίαν· τέταρτον, ἐτυμολογία
ρεσις, μετὰ τὸ ἀναγνῶναι ἡμᾶς τὴν ἱστορίαν, ἀναγ
τρέχομεν πρὸς ἐτυμολογίαν· ἐτυμολογία δὲ ἐστὶν,
30 πτυξις τῶν λέξεων κατὰ τὸ δυνατὸν· εἴρηται δὲ παρ
ἔτυμον ὅ ἐστι τὸ ἀληθὲς· καὶ πιθανὸν οἷον θάλ
θάλασσα· δήλιος ὁ ἥλιος· ἐκ τοῦ εἶναι δῆλος τοῖς
σιν. ἢ ἐκ τοῦ θερμαίνειν· ἕλη γὰρ ἡ θερμασία·
θίοψ παρὰ τὸ τὴν ὄψιν αἴθουσαν ἔχειν· δεινὸς
τὸ δέος ἐμποιεῖν· αἰνὸς, παρὰ τὸ ἐστερῆσθαι δυνά
αἰνὸς τίς ὤν· πέμπτον ἀναλογίας ἐκλογισμὸς· μ
ὁ εἰςαγόμενος τὰ προειρημένα καὶ ἔμΦρων γενόμενος
χεται καὶ περὶ τὰ τεχνικὰ καταγίνεσθαι καὶ πυν
σθαι· τί δήποτε μῆνιν λέγομεν, καὶ οὐχὶ μηνίδα·
40 λογία δὲ ἐστὶ, λόγος ἀπὸ δεικτικὸς καθ᾽ ὁμοίου παρά
τῆς ἐν ἑκάστῳ μέρει λόγου Φυσικῆς ἀναλογίας· εἰ
δὲ ἀναλογία δὲ ἡ τὸν αὐτὸν λόγον συλλαβὰς καὶ τὰ
ξεις· καὶ ἰδίῳ κάνονι ἀπονέμουσα· ἕκτον, κρίσις
μάτων, ὅταν γάρ τις ἀκριβῶς μαθὼν τὸ καταπροσ
ἀναγίνωσκειν κατὰ (deletum videtur) πρὸς ποιη
τρόπους, καὶ τὴν γλῶσσαν τὴν ἱστορίαν τὴν ἐτυμολ
διδαχθῇ ἱκανὸς ἐστὶν ὁ τοιοῦτος κρίνειν· κρίνει
ποιήματα οὐχ ὅτι καλὰ ἐστιν ἢ κακὰ ποιητοῦ γὰρ
τοῦτο· ἀλλ᾽ ἐπειδὴ πᾶν μέτρον ὑπὸ τὴν τέχνην
50 ἀνάγκη πάντα τὸν γραμματικὸν διακρίνειν εἰ τοῦ
ἐστὶ ποιητοῦ· ὃ δὴ κάλλιστον ἐστὶ πάντων τῶν
τέχνῃ· κάλλιστον εἶπε τοῦτο τὸ μέρος οὐχ ὅτι τὰ
ἀσθενέστερα εἰσὶν, ἀλλ᾽ ἐπειδὴ συμπέρασμα τῆς
τέχνης τὸ κριτικὸν, καὶ τρόπον τινὰ στέΦανος· διὰ
κάλλιστον εἶπε· πόσα θεωρούμενα περὶ τὴν γρα
κὴν ὀκτώ· αἴτιον· ἀρχὴ· ἔννοια· ὕλη· μέρη ὅ
ἔργα καὶ τέλος· τὸ αἴτιον, κατὰ πᾶσαν γὰρ λέξιν
τιον ὁρᾶται καὶ αἰτιατικὸν ἀρχὴ· ὅτι περ ὥσπερ
καὶ τέλος· ἀρχὴν γὰρ ἔχει, στοιχεῖα· ἔννοιαν
60 γει, τὸν σκοπὸν· σκοπὸς γὰρ ὁρᾶται περὶ τὴν γρ
τικὴν· ὡς καὶ περὶ τὴν διαλεκτικὴν καὶ εἰς ὅλας τα
στήμας καὶ τέχνας· ὕλην δὲ ἔχει, πᾶσαν Ἑλληνίδ

τὰ μέρη δὲ λέγει, ἢ ὅτι πᾶσα Ἑλληνικὴ φωνὴ εἰς ὀκτὼ μέρη διαιρεῖται, ἢ ὅτι τῆς γραμματικῆς μέρη κυρίως τέσσαρα· ἀναγνωστικόν· ἐξηγητικόν· διορθωτικόν· κριτικόν· ὄργανα δὲ εἰσὶ τέσσαρα περὶ τὴν γραμματικὴν ὄντα· γλωσσηματικόν· μετρικόν· ἱστορικόν· καὶ τεχνικόν· ἔργα τὸ, τὸν ἔμμετρον λόγον τεχνᾶσθαι· τέλος, τὸ μὴ ἁμαρτάνειν μήτε περὶ μίαν λέξιν, μήτε περὶ πλείονας· τὸ γὰρ περὶ μίαν λέξιν ἁμαρτάνειν βαρβαρισμὸς ἐστί· τὸ δὲ περὶ πλείονας σολοικισμός· σολοικισμὸς δὲ ἐστὶν, ὁ τοῦ σώου λόγου αἰκισμός. ἀνάγνωσις ἐστὶ, ποιημάτων, ἢ συγγραμμάτων, ἀδιάπτωτος προφορὰ, ἄλλο προφορὰ, καὶ ἄλλος προσφορὰ, προφορὰ μὲν γὰρ ἐστὶν, ἡ πρόεκξις, καὶ προοδήγησις· προσφορὰ δὲ, ἡ προσφερομένη τινί. ποιημάτων, τῶν ἐμμέτρως γεγραμμένων· συγγραμμάτων, τῶν ἀμέτρως γεγραμμένων· ἀδιάπτωτος· ἀπταιστος· προφορά· πρόεκξις· οὗτος ἐστὶν ὁ ὅρος τῆς ἀναγνώσεως· μετὰ δὲ τὸν ὅρον λοιπὸν θέλεις ἡμᾶς δεῖξαι, τίνα προφυλαττόμενοι ἢ πόσα τὴν ἀρίστην ἀνάγνωσιν ποιησόμεθα· ἀναγνωστέον καθ' ὑπόκρισιν. δεῖ ἀναγινώσκειν καθ' ὑπόκρισιν· κατὰ μίμησιν κατὰ προσῳδίαν· κατὰ τέχνην· τουτέστι κατὰ τόνους· χρόνους· πνεύματα· πάθη· κατὰ διαστολήν· κατὰ στιγμήν· τι δὲ ἐξ ἑκάστου τούτων ὠφελούμεθα, αὐτὸς ἐπιφέρει· ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετήν· νόει τὸ, ὁρῶμεν· τίνος δὲ τὴν ἀρετὴν ὁρῶμεν τῶν ἀναγινωσκομένων· ἐκ τῆς μιμήσεως γὰρ ἐνάρετα δείκνυται· τὰ ἀναγινωσκόμενα· δεῖ μὲν γὰρ τὰ εἰρωικὰ συντόνῳ τῇ φωνῇ ἀναγινώσκειν· καὶ μὴ ἐκλελυμένως· τὰ δὲ βιωτικὰ τουτέστι μιμένους γυναῖκας· νέας ἢ γραίδας, ἢ ὀργιζομένους ἢ ὅσα πρέπει τοῖς ἐναγομένοις προσώποις· παρὰ Μενάνδρῳ, ἢ Ἀριστοφάνει· ἢ παρὰ τοῖς ἄλλοις κωμικοῖς· ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην· ἐνταῦθα κατακοινοῦ ὡς προείρηται τὸ, ὁρῶμεν δεῖ ἐκδέξασθαι· τίνα δὲ τὴν τέχνην ὁρῶμεν, τοῦ ἀναγινώσκοντος, ἐκ γὰρ τοῦ παραφυλάττεσθαι· τόνους· χρόνους· πνεύματα· πάθη· ἐν τῷ ἀναγινώσκειν, τὴν τέχνην ὁρῶμεν τοῦ ἀναγινώσκοντος· ἐκ δὲ τῆς διαστολῆς, τὸν περιεχόμενον νοῦν ὁρῶμεν· ἀποδέδωκεν ἐνταῦθα τὸ, ὁρῶμεν ὅπερ προείπομεν ἐπὶ τῶν δύο λείπειν τῶν προκειμένων· διαστολὴ δὲ λέγεται ἡ στιγμή· ἡ διαστέλλουσα καὶ διαχωρίζουσα· ἢ λέξεις ἀπὸ τῶν ἐπιφερομένων λέξεων, ἢ στοιχεῖα ἀπὸ στοιχείων. τὸν περιεχόμενον νοῦν ὁρῶμεν. τὸν ὄντα καὶ ἐγκείμενον νοῦν ἐν τοῖς ἀναγινωσκομένοις διὰ στιγμῆς· ὡς ἐπὶ παραδείγματι εἰπεῖν τὸ ἐστὶν, ἄξιος· εἰ μὴ τόνον (sic) διαστείλας καὶ διαχωρίσας μεταξὺ ὂν τοῦ ἔστι καὶ τοῦ ἄξιος προσνείμῃ ἢ τῷ ἐστιν ἢ τῷ ἄξιος, οὐ ποιεῖ τὸ λεγόμενον τοῖς ἀκούουσι δῆλον· δύο γὰρ τινὰ νοεῖται, ἢ τὸ ἄξιος ἐστίν· ὁ δεῖνα τοῦ δεῖνος, ἢ ἀπὸ τῆς νήσου ἐστὶ τῆς Νάξου· ὡς προείρηται οὖν ἢ τὸ ν προσνείμας τῇ δευτέρᾳ λέξει καὶ εἰς αὐτὸ τὸ ν ὑποστίξας ποιήσεις διαστολὴν· καὶ τὴν προτέραν λέξιν ἀπὸ τοῦ α προσφερόμενος σαφὲς ποιήσεις· τὸ λεγόμενον. ὁμοίως δὲ καὶ τὸ ἐπὶ τοῦ ἔστιν οὖς ἢ ὅτι νοῦς ἐστὶν, ἢ ὅτι οὖς ἐστιν· εἰπὼν τὰ τρία τὰ διδάσκοντα ἡμᾶς καλῶς ἀναγινώσκειν, ὑπόκρισιν· τέχνην· στιγμήν· διαλαμβάνει πρῶτον περὶ τῆς διαφορᾶς τῆς ὑποκρίσεως, καὶ φησὶν, ἵνα τὴν μὲν τραγῳδίαν ἡρωικῶς ἀναγνῶμεν. τραγῳδία λέγεται, τὰ τῶν τραγικῶν ποιήματα· ὡς Εὐριπίδου· καὶ Σοφοκλέους· καὶ Αἰσχύλου καὶ τῶν τοιούτων (Haec et ea quae deinceps in Cod. sequuntur, edita sunt a Villoisono Anecd. Graec. Tom. II. p. 178.) . . . τῆς πόλεως sine τοὺς . . . ἡρώων . . . . τοῦ ἁμαρτάνειν . . .

οἱ γὰρ οἱ τηλικοῦτοι . . . ἐπ' ὠφέλεια ἡ τραγικῶν ποίησις εἰσήγετο . . . τὰ τῶν ἡρώων ὥσπερ τοῖς ἑαυτῶν προσώποις . . . ἄνδρας τοὺς μείζονα φωνὴν ἔχοντας . . . παθήρι . . . ἡ δὲ ἐτυμολογία τῆς τραγῳδίας ἐστιν αὕτη ἢ ὅτι τράγον ἐλάμβανον ἔπαθλον οἱ νικῶντες . . . ἢ ὅτι τοῦ γ τρεπομένου εἰς χ, νοεῖται τραχῳδία ἡ τραχεῖα ᾠδή· τραχύτερον γὰρ καὶ φευκτέον . . . . οἱονεί τε τραγῳδία· οἱ γὰρ χορευταὶ αὐτῶν, ... τετραγόνῳ . . . . τῶν μὲν τραγικῶν . . . . ποιητὴς κωμικὸς καὶ τραγικὸς εἶχε τούτους . . . . τὰ αὐτῶν . . . . ἐκ τοῦ δημοσίου· τὴν δὲ κωμῳδίαν, βιωτικῶς· κωμῳδία λέγεται· τὰ τῶν κωμικῶν ποιήματα, ὡς τοῦ Μενάνδρου, καὶ Ἀριστοφάνους, καὶ Κρατίνου· καὶ τῶν ὁμοίων· εὑρέθη δὲ ἡ κωμῳδία ὥς φασιν ἐκ τινος τοιαύτης αἰτίας· βλαπτόμενοί τινες γεωργοὶ παρὰ τῶν πολιτῶν τῶν Ἀθήνησι καὶ θέλοντες ἐλέγχειν αὐτοὺς, κατῄεσαν ἐν τῇ πόλει· καὶ περὶ τὸν καιρὸν τοῦ καθεύδειν περιιόντες περὶ τὰς αὐγείας, ἔλεγον· ἀνωνυμὶ τὰς βλάβας· ἃς ἔπασχεν ὑπ' αὐτῶν· ἵνα δὲ σαφέστερον εἴπωμεν, τοιαῦτά τινα ἐβόων· ἐνταῦθα μένει τίς· τάδε καὶ τάδε ποιῶν τισὶ τῶν γεωργῶν· καὶ οὐ μετρίας βλάβας ἐπιφέρων αὐτοῖς. ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γινομένης πρὸς ἀλλήλους λέγειν, ἃ νύκτωρ περὶ τῶν γεωργῶν ἤκουσαν· ἐπονείδιστον δὲ ἦν τῷ ἀδικοῦντι τὸν δὲ ἐμφανιζόμενον τοῖς τῆς πόλεως, αἰδεῖσθαι καὶ παύεσθαι τῆς τοιαύτης ἀδικίας· τούτοις πολλάκις παρακολουθήσαντες· πολλοὶ τῶν ἀδικούντων ἀνέστειλαν· ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν κωμικῶν καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου τοῦτο ποιεῖν· οἱ δὲ αἰδούμενοι μᾶλλον δὲ φοβούμενοι τρυγὶ περιχρίοντες αὐτῶν τὰς ὄψεις, οὕτως εἰσῄεσαν· καὶ ἔτι μᾶλλον ἐλεγχομένων τῶν ἀδικούντων· ἐπὶ θεάτρου, ἀνοχὴ τῶν ἀδικιῶν ἐγίνετο· τῆς αἰδοῦς ἔτι συνοικούσης τῆς ἀνδράσιν· ἔδοξεν οὖν τῆς πόλεως τὸ ἐγχείρημα καλὸν ὑπάρχειν καὶ λογίους ἄνδρας αὐτὸ μετιέναι· πρῶτον οὖν Σουσαρίων τὶς τῆς ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο· οὗ τὰ μὲν δράματα, λήθη κατενεμήθη· δύο δὲ ἢ τρεῖς ἴαμβοι ἐπὶ μνήμης φέρονται· εἰσὶ δὲ οὗτοι· ἀκούεται λέξεως· Σουσαρίων τάδε λέγει· υἱὸς Φιλίσκου μεγαρόθεν τριποδίσκης κακὸν γυναῖκες· ἀλλ' ὅμως ὦ δημόται, οὐκέστιν οἰκεῖν οἰκίαν· ἄνευ κακοῦ ἀρχὴν οὖν δεξαμένου τοῦ πράγματος, πολλοὶ γεγόνασι κωμῳδοὶ ἐλέγχοντες τοὺς κακῶς βιοῦντας, καὶ τοὺς ταῖς ἀδικίαις χαίροντας· ἀνα-

β α

στέλλοντες τὰς ἀδίκους καὶ ἀκαίρους αὐτῶν πράξεις, καὶ ὠφέλουν κοινῇ τὴν πολίτειαν τῶν Ἀθηναίων ἐπεὶ δὲ τὸ μὲν παράνομον ἐπικρατές· ὅτι τὰ χερείονα νικᾷ· τὸ δὲ καλὸν δικαίας ἀφίπταται τῆς τῶν ἀνθρώπων πολιτείας, οὐ μετὰ πολὺν χρόνον οἱ ἄρχοντες Ἀθήνησιν ἤρξαντο κωφλύειν (sic) τοὺς κωμικοὺς τῶν φανερῶς οὕτω καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας· αὐτοὶ γὰρ θέλοντες ἀδικεῖν καὶ μὴ ἐλέγχεσθαι, τούτου χάριν ἐπετίμων αὐτοῖς· ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ἀπὸ τῶν κωμικῶν· ἔτι δὲ καὶ ἐπὶ τὸ πλεῖον προϊούσης καὶ κρατούσης τῆς κακίας, ἐκωλύσθησαν τοῦ καὶ αἰνιγματωδῶς ἐλέγχειν καὶ ὑβρίζειν· τοὺς κρατοῦντας καὶ ἄρχοντας τῆς πόλεως· διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία· καὶ ἡ μὲν, καλεῖται παλαιά· ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα· ἡ δὲ, μέση καὶ αἰνιγματώδης· ἡ δὲ, νέα· μηδ' ὅλως τοῦτο ποιοῦσα· πλὴν ἐπὶ δούλων ἢ ξένων καὶ τῆς μὲν παλαιᾶς· πολλοὶ γεγόνασιν· ἐπίσημος δὲ Κρατῖνος ὁ καὶ πραττόμενος· μετέσχον δέ τι-

νος χρόνου τῆς παλαιᾶς κωμωδίας, Εὔπολις τε καὶ Ἀριστοφάνης· τῆς δὲ μέσης, καὶ αὐτῆς μὲν πολλοὶ γεγόνασι· ἐπίσημος δὲ Πλάτων τίς· οὐχ ὁ Φιλόσοφος· ἀλλ' ἕτερός τις· ὁμοίως κἀκείνου τὰ δράματα οὐ Φαίνονται· τῆς δὲ νέας, πολλοὶ ὁμοίως γεγόνασιν· ἐπίσημος δὲ Μένανδρος· ὃς ἄστρον ἐστὶ τῆς νέας κωμωδίας ὡς μεθήκαμεν· εἴρηται δὲ κωμωδία, οἱονεὶ ἐπὶ τῷ κώματι ᾠδή· καὶ γὰρ περὶ τὸν καιρὸν τοῦ ὕπνου ἐΦευρέθη· κῶμα γὰρ ὁ ὕπνος· ἢ ἡ τῶν κωμιτῶν ᾠδή· κῶμαι γὰρ λέγονται οἱ μίζονες ἀγροί· ταύτην οὖν τὴν κωμωδίαν δεῖ ἀναγινώσκειν βιωτικῶς τουτέστιν ὡς ἐν τῷ βίῳ· μιμουμένους τὸ παρεισάγον πρόσωπον· καὶ τὴν ἐκείνου σχέσιν ἀναματτομένους τὰ δὲ ἐλεγεια λιγυρῶς. — ἐλεγεῖον, ἔμμετρός τι στίχος· ἐλλείπων ἑνὶ ποδὶ τοῦ ἡρωικοῦ στίχου· εἰς δύο (cf. Villoisoni Anecd. Graec. pag. 179. Tom. II.) πενθημερεῖς τεμνόμενος· οἷον νηίδες αἳ μούσης οὐκ ἐγένοντο Φίλοι· οὗ τὸ μὲν πρῶτον τμῆμα, ἀδισΦόρος· καὶ σπονδεῖον· καὶ δάκτυλον δέχεται· τῆς δὲ μετὰ τοὺς δύο πόδας περιττευούσης συλλαβῆς καὶ τὴν πενθημιμερίδα τομὴν ἀποτερματιζούσης πάντως μικρᾶς Φύσει οὔσης ἡ θέσης τὸ δεύτερον τμῆμα, τοὺς μὲν δύο πόδας πάντως δακτύλους θέλει ἔχειν· τὴν δὲ τελευταῖαν συλλαβὴν, ἀδιάΦορον τῷ λόγῳ τῶν μέτρων ὡς μεμαθήκαμεν· παντὸς γὰρ μέτρου, ἀδιάΦορος ἐστὶν ἡ τελευταῖα συλλαβῆ· τούτῳ οὖν τῷ μέτρῳ, πολλοὶ ποιηταὶ τινὰ γεγραΦήκασιν· ἅτινα ἐπικαλεῖται ἐπικήδειαι πρὸς γὰρ παραμυθίαν. τοῦ τετελευτηκότος τῶν καλῶν τοῦτο μνημονεύοντες· καὶ τῶν 10 συγγενῶν τούτου καὶ Φίλων τῇ παραινέσῃ, τὴν λύπην ἀνέστελλον διὸ καὶ ἐλέγεια λέγεται οἱονεὶ ἐλεγεῖα, τοῦ γ ἐκθλιβομένου· παρὰ τὸ ἐλεεῖν τὸν τελευτήσαντα· ἢ εὐλογεῖα, παρὰ τὸ εὖ λέγειν· τὸν ἀποβιώσαντα· ταῦτα οὖν τὰ ἐλεγεῖα, πῶς δεῖ ἀναγινώσκειν· λυγιρῶς τουτέστιν ὀξυΦώνως· ἡ γὰρ λύπη τῇ παρατροπῇ τῆς Φωνῆς ἐκ τοῦ παρακλαυθμοῦ, ὀξυτονά τινα παρεισάγει. τὸ δὲ ἔπος, εὐτόνως· ἔπος λέγεται, πῶς στίχος ἰαμβικὸς καὶ τροχαϊκός· καὶ ἀπαπαιστικός· καὶ δακτυλικός.

GRAMMATICA DESCRIPTA OPERA BIRNBAVMII BAMBERGENSIS (BAVARI) EX CODICE LIB. BARONIS SCHELLERSHEIMII. QVI CODEX HESIODVM, THEOCRITVM ET DIONYSIVM DE SITV ORBIS HABET.

Μέλλοντας ἡμᾶς περὶ προσῳδιῶν καὶ στοιχείων καὶ συλλαβῶν καὶ λέξεων διδάξαι, ἔτι τε καὶ περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου, ἀναγκαῖον ἐστὶ πρῶτον περὶ προσῳδιῶν εἰπεῖν, εἶτα καὶ περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου διαλαβεῖν. δεῖ τοίνυν τὸν ὁρισμὸν τῆς προσῳδίας εἰπεῖν· ὥσπερ καὶ γραμματικῆς ἀρχόμενοι τὸν ὁρισμὸν [1]) πρῶτον ἐμάθομεν· ὅτι γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων. Ὁμοίως δὲ καὶ ῥητορικῆς ἀρχόμενοι τὸν ὁρισμὸν πρῶτον ἐμάθομεν, ὅτι Ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου. ἐν [2]) πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. ὡσαύτως καὶ Φιλοσοφίας ἀρχόμενοι τὸν ὁρισμὸν ἐμάθομεν· ὅτι Φιλοσοφία ἐστι γνῶσις τῶν ὄντων, ἢ [3]) ὄντα ἐστὶ, τουτ᾽ἔστι γνῶσις τῆς τῶν ὄντων Φύσεως. ἡ Φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, τουτ᾽ἔστιν· ὁρατῶν τε καὶ ἀοράτων· ἡ Φιλοσοφία ἐστὶ μελετὴ θανάτου τοῦ τε προαιρετικοῦ καὶ τοῦ Φυσικοῦ, ἡ Φιλοσοφία ἐστιν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ὁμοιούμεθα δε θεῷ κατὰ τὸ σοφὸν, ἤτοι τὴν τοῦ ἀγαθοῦ γνῶσιν τὴν ἀληθῆ, καὶ κατὰ τὸ δίκαιον, ὅ ἐστι τὸ τοῦ ἴσου διανεμητικὸν καὶ ἀπροσαπολήπτον ἐν κρίσει· καὶ κατὰ τὸ ὅσιον δὲ τὸ ὑπὲρ το δίκαιον ἤτοι τὸ ἀγαθὸν τὸ εὐεργετεῖν τοὺς αὐτὸν ἀδικοῦντας. ἡ Φιλοσοφία ἐστὶ τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν. δι᾽ αὐτῆς γὰρ πᾶσα τέχνη εὕρηται, καὶ πᾶσα ἐπιστήμη. ἡ Φιλοσοφία αὖθις ἐστι Φιλία σοφίας, σοφία δὲ ἀληθὴς ὁ θεός ἐστι, ἡ γοῦν πρὸς τον θεὸν ἀγάπη αὕτη ἐστὶν ἀληθὴς σοφία [4]).

Προσῳδία τοίνυν ἐστὶν, ὡς ὁ πολυμαθὴς Φησὶν Ἡρωδιανὸς [5]) ποιὰ τάσις ἐγγραμμάτου Φωνῆς ὑγιούσης, κατὰ τὸ ἐπαγγελτικὸν της λέξεως ἐκΦερομένη, μετὰ τινὸς τῶν συνεζευγμένων περὶ μίαν συλλαβὴν, ἢ κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένην, ἢ κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ λόγον, ὅθεν συνίσταται ὁ ὁρισμὸς; ἀπὸ γένους, καὶ συστατικῶν διαΦορῶν, ὥσπερ κανταῦθα. τὸ μὲν ποιὰ τάσις ἀντὶ γένους ἐστὶ, καὶ γὰρ καθολική ἐστιν ἡ τάσις. λέγεται γὰρ ἐπὶ χειρὸς, καὶ ποδῶν, καὶ λίθων, καὶ ξύλων, καὶ ἄλλων πολλῶν. τὸ δε ἐγγραμμάτου καὶ τὰ λοιπὰ ἀντὶ συστατικῶν διαΦορῶν. τί ἐστι ποιὰ τάσις, ἢ ποῖον τίνα ἦχον δηλοῦσα τῶν τόνων; ἢ ὀξύτονον ἢ παροξύτονον, ἢ προπαροξύτονον. ἤγουν ἐπιτεταμένον, ἀνειμένον, καὶ μέσον. Διατί εἶπεν ἐγγραμμάτου Φωνῆς; Διότι τῶν Φωνῶν αἱ μὲν εἰσὶν ἐγγράμματοι καὶ σημαντικαὶ, οἷον ἄνθρωπος, αἱ δὲ ἐγγράμματοι καὶ ἀσημαντικαὶ, οἷον κνάξ· βλίτηρι. ἔστι δὲ καὶ τούτων ἑκατέρα διττή· ἢ γὰρ σημαντική ἐστιν, ἢ ἀσήμαντος, καὶ ἄναρθρος μὲν σημαντικὴ, ὡς ἡ τοῦ κυνὸς ὑλακή· σημαίνει γὰρ παρουσίαν τινὸς ἐπιδημήσαντος. Ἄναρθρος δὲ ἀσήμαντος, ὡς ὁ ἐκ λίθων ἦχος γινόμενος. Ἔναρθρος δὲ ἀσήμαντος, ὡς τό σκινδαψὸς, βλίτηρι καὶ ἕτερα. Ἔναρθρος δε σημαντικὴ, ὡς ὕδωρ, θάλασσα, καὶ ὅσαι κατὰ πραγμάτων Φωναὶ τίθενται, Διὰ τὶ εἶπεν ὑγιούσης; ἤγουν σημαινούσης τί. Οἷον πεποιημένον Φησι τάσις οὐκ ὀφείλει, ὡς ἔτυχεν, ἐκΦέρεσθαι, ἀλλὰ παντὴ ὑγιῶς

---

1) cf. Villoisoni Anecdd. grr. p. 102. 103. (Creuser.)

2) in cod. pict. p. 137, a, lin. 7. Sup.

3) ἢ p. ead. lin. 10. Sup.

4) Haec eadem leguntur in Porphyrii libello περὶ προσῳδίας, quem ex cod. Marc. edidit Villoisonus in Anecdotis grr. T. II. p. 103. qui liber cum his conferri debet. (Creuz.)

5) Non leguntur in Porphyrio. (Creuz.)

καὶ ὀρθῶς, καὶ κατὰ τὸ ἐπαγγελτικὸν τῆς λέξεως, ἤγουν
κατὰ τὴν σημασίαν τῆς λέξεως. οἷον το· ἀγνός· εἰ μὲν
σημαίνει τὸν καθαρὸν, ὀξύνεται, εἰ δὲ την βοτάνην,
παροξύνεται. πάλιν τὸ ἀργός· εἰ μὲν σημαίνει τον ῥά-
θυμον, ὀξύνεται, εἰ δὲ βαρύνεται, ὄνομα πόλεως. καὶ
κυνὸς, καὶ ἀνδρός. Πρέπει οὖν Φησί. τὴν ποιὰν ταύτην
τάσιν τὴν ἐγγράμματον, τὴν σημαίνουσάν τι, ὡς ἡ ση-
μασία τῆς λέξεως ἀπαιτεῖ. ἐκΦέρεσθαι, καὶ μὴ βουλο-
μένῳ σοι τὸ ἄργος τὴν πόλιν εἰπεῖν, ἀργὸς ἡ τάσις ἀπο-
δοθήτω, ἀλλὰ κατὰ τὴν σημασίαν τῆς λέξεως. τὸ δὲ
μετὰ τινὸς τῶν συνεζευγμένων τοῦτο Φησί· ἐπεὶ συνεζευ-
γμένα λέγονται τὰ στοιχεῖα, συμπλεκομένων γὰρ αἱ συλ-
λαβαὶ, καὶ αἱ λέξεις γίνονται, οὐκ ἔστι δε συλλαβὴ
κατὰ τοὺς παλαιοὺς τῶν γραμματικῶν μη ἐπιδεχομένη
τόνον, πρέπει, Φησὶ, μήτε τόνον χωρὶς χρόνου εὑρί-
σκεσθαι, μήτε χρόνον χωρὶς τόνου, ἀλλ᾽ οὐ πνεῦμα πά-
λιν αὐτὸ καθ᾽ αὐτὸ ἐκΦέρεσθαι, ἀλλ᾽ ἢ μετά τινος χρό-
νου, ἢ μέσον χρόνου καὶ τόνου. ὥσπερ καὶ ὁ τόνος, ἢ
μετὰ χρόνου μόνου εὑρίσκεται, ἢ μετὰ χρόνου καὶ πνεύ-
ματος. ἐπεὶ λέγονται συνεζευγμένα κατά τινα οὐ τὰ
στοιχεῖα μόνον, ἀλλὰ καὶ οἱ τόνοι, καὶ οἱ χρόνοι. Οἷον
τὸ ἥλιος ὄνομα ἔχει καὶ μακρὸν χρόνον τὸ μὲν, καὶ
πνεῦμα τὸ δασὺ, καὶ τόνον τὴν ὀξεῖαν· ἰδοὺ, καὶ πνεῦ-
μα, καὶ τόνος καὶ χρόνος. τὸ δὲ ἢ κατὰ συνήθειαν δια-
λέκτου ὁμολογουμένην, ἢ κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ
λόγον εἰπὲν τοὺς τρόπους διδάσκει, καθ᾽ οὓς αἱ προσῳδίαι
ἐκΦέρονται. καὶ γὰρ Φησιν, ἢ κατὰ διάλεκτον προάγον-
ται, ἢ κατὰ ἀναλογίαν. Ἀναλογίαν δέ Φημι τὴν τῶν
ὁμοίων παράθεσιν, οἷον τὸ μὲν ὁμοῖος κατὰ ἀναλογίαν
ἐκΦέρεται; τὰ γὰρ διὰ τοῦ οιου ἅπαντα περισπῶμεν.
οἷον ἑτεροῖος, παντοῖος, γελοῖος. διὰ τοῦτο καὶ Ὅμηρος
τῃ ἀναλογίᾳ χρησάμενος ἔφη· ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει
θεὸς ἐς τὸν ὁμοῖον. Οἱ δ᾽ Ἀττικοὶ ὅμοιος λέγουσι. καὶ
πάλιν ἡμεῖς ἀναλόγως τρόπαιον λέγομεν, ὡς ἔλαιον, σπή-
λειον. οἱ δ᾽ Ἀττικοὶ τροπαῖον. καὶ τὸ Ἀχιλλεὺς, καὶ
Πηλεὺς, καὶ τὰ ὅμοια ἡμεῖς μὲν ὀξύνομεν, οἱ δ᾽ Αἰολεῖς
βαρύνουσιν. Οὕτω καὶ το εἱρκτή· οἱ μὲν Ἀττικοὶ δασύ-
νουσιν, ἡμεῖς δε ψιλοῦμεν. καὶ τὸ Ἀπόλλων· ἡμεῖς μὲν
ἀναλόγως τὸ α̃ συστέλλομεν, οἱ δ᾽ Ἀττικοὶ ἐκτείνουσιν.
ὡς τό· Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ.
Ἰστέον δὲ ὅτι οὐ τοὺς τόνους μόνον, ὡρίσατο, καὶ τού-
τους προσῳδίας ἐκάλεσεν, ὥς τισιν ἔδοξε πλανηθεῖσιν ἐκ
τοῦ εἰπεῖν ποιὰ τάσις, ἀλλὰ καὶ τοὺς χρόνους, καὶ τὰ
πνεύματα. καὶ γὰρ καὶ οἱ χρόνοι τάσιν ἔχουσι, καθ᾽ ὃ
ὁ μὲν ἐκτείνεται, ὁ δὲ συστέλλεται. καὶ τὰ πνεύματα δὲ,
ἐπεὶ τὸ μὲν ἐκ τοῦ θώρακος πρόεισιν ἐπιτεταμένον, τὸ
δὲ ἐξ ἄκρων τῶν χειλέων συνεσταλμένον. καὶ ἄλλως εἴ-
ρηται ὁ τῆς προσῳδίας ὅρος· προσῳδία ἐστὶ τόνος, πρὸς
ὃν ᾄδομεν, καὶ τὴν Φωνὴν εὐρυτέραν ποιοῦμεν, ἢ τόνος
Φωνῆς κατὰ διάλεκτον, ἢ κατὰ ἀναλογίαν κατορθούμε-
νος, ἢ τὸ ἐν τῇ ἐκΦωνήσει γινόμενον κροῦμα. Ποσαχῶς
αἱ προσῳδίαι; τριχῶς, προσῳδία καὶ ὁ τόνος, προσῳδία
καὶ ἡ χειρονομία, προσῳδία καὶ ἡ τοῦ ὀργάνου Φωνή. —
πόθεν προσῳδίαι; παρὰ τὴν πρὸς πρόθεσιν καὶ τοῦ ᾠδή·
τὸ δε ᾠδὴ παρὰ τὸ ἀείδω, τὸ ἐμμελῶς λέγω· ποιητικόν·
καὶ ἐξ αὐτῶν ὄνομα ἀοιδής· ποιητικὸν καὶ αὐτὸ, καὶ
κράσει τοῦ α̃ ὀ μικροῦ εἰς ω̃ μέγα ᾠδή, καὶ ἐξ αὐτοῦ
ᾠδία καὶ προσῳδία. πόθεν ἐτυμολογεῖται προσῳδία;
παρὰ τὸ προσᾴδειν καὶ ἁρμόζειν τῇ ὑποκειμένῃ λέξει, ἢ
παρὰ τὸ πρὸς αὐτὴν ᾄδεσθαι τὰ ποιήματα, ᾠδὰς γὰρ οἱ
παλαιοὶ τα ποιήματα ἐκάλουν. τὸ προ μικρὸν, διατί;
πᾶσα πρόθεσις βραχυκαταληκτεῖ, πλὴν τῆς εἰς, καὶ ἐξ,

αἵτινες ἀναλογώτεραί εἰσιν ἐς καὶ ἐκ λεγόμεναι· τὸ σῳ
μέγα, διατί; τὰ παρὰ τὸν ᾠδὴν γινόμενα ἅπαντα διὰ
τοῦ ω μεγάλου γράΦεται οἷον· ὑμνῳδία, τραγῳδία, ψαλ-
μῳδία, προσῳδία, καὶ τὰ ὅμοια; τὰ δὲ παρὰ τὴν ὁδὸν,
διὰ τοῦ ὁ μικροῦ, οἷον εὐοδία. ἡ καλὴ ὁδός. κακοδία ἡ
κακὴ ὁδός. εὐωδία δε ἡ μυρωδία, καὶ δυσωδία, ἡ ὀσμὴ,
μεγάλα. τὸ δι. ι̃. διατί; τὰ διὰ τοῦ „ία" παροξύτονα
θηλυκὰ διὰ τοῦ ι γράΦεται, οἷον κοιλία, καρδία, σωτη-
ρία, ἀδοκία, πελαγία, προσῳδία. πλὴν τοῦ θεία, χρεία,
μνεία, ὑγεία, καὶ σιτοδεία. σιτοδεία δὲ ι̃. τὸ τι βραχὺ,
καὶ τὸ α μακρόν. Διατί; τὰ διὰ τοῦ ια παροξύτονα θη-
λυκὰ, τῷ ι̃ μόνῳ παραληγόμενα ἐκτείνουσι τὸ α, καὶ
συστέλλουσι τὸ ι. πόσαι προσῳδίαι; δέκα, ὀξεῖα, βα-
ρεῖα, περισπωμένη, μακρὰ, βραχεῖα, δασεῖα, ψιλὴ,
ἀπόστροΦος, ὑΦὲν, καὶ ὑποδιαστολή· πόσαι κυρίως προς-
ῳδίαι; ἑπτὰ, ἡ γὰρ ἀπόστροΦος, ἡ ὑΦὲν, καὶ ἡ ὑπο-
διαστολὴ οὔκ εἰσι κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστι-
κῶς. εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; εἰς τέσ-
σαρα. εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς
πάθη. καὶ διατὶ διαιροῦνται εἰς τέσσαρα; διότι καὶ τὸ
τέταρτος ἀριθμὸς γεννητικός ἐστι τοῦ δεκάτου. καὶ πῶς
ἐστὶ γεννητικός; μετρεῖς γὰρ ἀπὸ τοῦ πρώτου ἕως τοῦ
τετάρτου, καὶ τελειοῦται ὁ δέκατος ἀριθμός. καὶ πῶς
μετρεῖς; μία καὶ δύο τρεῖς, δὶς τρεῖς ἕξ, μεθ᾽ ὧν τέσ-
σαρες, καὶ ἰδοὺ δέκα. πόσοι τόνοι; τρεῖς, ὀξὺς, βαρὺς,
περισπώμενος. καὶ διατὶ εἰσὶ τρεῖς τόνοι; διότι καὶ τρεῖς
τροποί εἰσι τῶν τεινόντων ἑαυτοὺς πρὸς δρομόν· εἰ γὰρ
ὀρθῶς τις τρέχει, μιμεῖται τὴν ὀξεῖαν. εἰ δὲ συγκεκυ-
Φὼς, μιμεῖται τὴν βαρεῖαν, εἰ δὲ ἡνιοχευτικῶς, μιμεῖ-
ται τὴν περισπωμένην· πόσοι τόνοι κυρίως; δύο, ἡ ὀξεῖα,
καὶ ἡ περισπωμένη. ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος
ἐστὶ, καὶ οὐ κυρίως. Τὶ ἐστὶ τόνος; ἐπίτασις, ἢ ἄνε-
σις, ἢ μεσότης συλλαβῶν, εὐΦωνίαν ἔχουσα. πόθεν τό-
νος; παρὰ τὸ τείνειν τὴν Φωνήν· τί ἐστιν ὀξεῖα; ποιό-
της συλλαβῆς τεταμένον ἔχουσα Φθόγγον. πόθεν ὠνό-
μασται ὀξεῖα; ἐκ μεταΦορᾶς τῶν ὀξέων δοράτων, ἢ διὰ
τὸ τοὺς ὀξεῖας ἥλους μιμεῖσθαι. τὶ ἐστὶ βαρεῖα; ποιότης
συλλαβῆς, ὑΦειμένον ἔχουσα Φθόγγον. πόθεν ὠνόμασται
βαρεῖα: ἐκ μεταΦορᾶς τῶν τὰ Φορτικὰ βασταζόντων,
καὶ εὐθεῖαν τρίβον ἀνυόντων. τὶ ἐστὶ περισπωμένη; ποι-
ότης συλλαβῆς κεκλασμένον ἔχουσα Φθόγγον. πόθεν
ὠνόμασται περισπωμένη; ἐκ τοῦ περισπᾶσθαι, ἤγουν
περικεκλᾶσθαι διὰ τὴν ἐξ ὀξείας καὶ βαρείας συναίρεσιν.
πόσοι τόποι τῆς ὀξείας; τρεῖς, ὀξύτονος, παροξύτονος,
καὶ προπαροξύτονος. τί ἐστιν ὀξύτονον; τὸ ἐπὶ τέλους
ἔχον τὴν ὀξεῖαν. οἷον· καλὸς, σοΦὸς, δυνατός· τί ἐστὶ
παροξύτονον; τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν
ὀξεῖαν. οἷον λόγος, βίος. τί ἐστὶ προπαροξύτονον; τὸ
πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν. γρηγό-
ριος, βασίλειος. ὅσοι τόποι τῆς περισπωμένης; δύο, πε-
ρισπώμενος, καὶ προπερισπώμενος. τί ἐστὶ περισπώμε-
νον; τὸ ἐπὶ τέλους ἔχον τὴν περισπωμένην. οἷον Θωμᾶς,
Λουκᾶς· τί ἐστὶ προπερισπώμενον; τὸ πρὸ μιᾶς συλλα-
βῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην. οἷον κῆπος, δῆ-
μος. Πόσοι χρόνοι; δύο, μακρὸς καὶ βραχύς. διατί λέ-
γονται χρόνοι; διὰ τὸ ἐν ἐκτάσει καὶ συστολῇ παραλαμ-
βάνεσθαι. καὶ διατί εἰσὶ δύο χρόνοι; διότι καὶ τῷ ἀν-
θρώπῳ δύο χρόνοι παρέπονται· ὁ μὲν εἷς πολυχρόνιος,
ὁ δὲ ἕτερος ὀλιγοχρόνιος. καὶ ἄλλως· διατί εἰσὶ δύο χρό-
νοι; διότι πᾶν Φωνῆεν ἢ ἕνα χρόνον ἐπιδέχεται, ἢ δύο,
οὐδέποτε δε πλείονα. τί ἐστὶ μακρὸς χρόνος; σημείωσις
ἐκτεινομένου Φωνήεντος. τί ἐστὶ βραχὺς χρόνος; ση-

μαίωσις συστελλομένου φωνήεντος. Πόσα πνεύματα; δύο, ἡ δασεῖα, καὶ ἡ ψιλή. τί ἐστι δασεῖα; ποιότης συλλαβῆς, καθ' ἣν ἐκ βάθους τὸ πνεῦμα προφέρεται, καὶ ἄλλως, ποιότης συλλαβῆς τρέπουσα τὰ ψιλὰ σύμφωνα εἰς δασέα ἐν τῇ συνθέσει. ἔστι δὲ τὸ πνεῦμα λίαν ὁρμητικόν. πόθεν δασεῖα; παρὰ τὸ δα ἐπιτατικὸν μόριον, καὶ τοῦ σθένω τὴν ὁρμὴν [1]). τί ἐστι ψιλή; ποιότης συλλαβῆς, καθ' ἣν ἄκροις τοῖς χείλεσι τὸ πνεῦμα προφέρεται. πόθεν ψιλή; παρὰ τὸ ρῆμα τὸ λεπτύνω. ἐξ οὗ καὶ ψιλὸν τὸν στρατιώτην λέγομεν τὸν ἄοπλον καὶ γυμνόν· ἢ ὅτε λεπτῶς καὶ ἀμαυρῶς ἠχεῖ τὸ πνεῦμα. Πόθεν ὠνόμασται ἀπόστροφος; ἐξ αὐτῆς τῆς θέσεως· ἐπὶ τὰ ἔσω γὰρ νεύει, καὶ ἐπὶ τὰς στρεφομένας λέξεις τίθεται. Πόσα πάθη; τρία. Ἀπόστροφος, ὑφὲν, καὶ ὑποδιαστολή. Διατί λέγονται πάθη; διὰ τὸ ἐν ταῖς πεπονθυίαις λέξεσι τίθεσθαι. Τί ἐστι πάθος; φωνῆς πεπονθυίας σημεῖον, τὰ ἡνωμένα καὶ διακεχωρισμένα διακρῖνον. Τί ἐστιν ἀπόστροφος; σημεῖον ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων· οἷον· ὡς ἔφατ' εὐχόμενος. Καὶ βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι. Ἀντὶ πόσων φωνηέντων τίθεται ἡ ἀπόστροφος; ἀντὶ τεσσάρων· ἀντὶ τοῦ α, ἀντὶ τοῦ ε, ἀντὶ τοῦ ι, καὶ ἀντὶ τοῦ ο, τοῦ μικροῦ. Ἀντὶ τοῦ α· ὡς τὸ ἆρα οὗτος-ἆρ' οὗτος. Ἀντὶ τοῦ ε· ὡς οὔτε εἶδον-οὔτ' εἶδον. Ἀντὶ τοῦ ι, ὡς τὸ οὐχὶ οὕτως-οὐχ' οὕτως, καὶ ἀντὶ τοῦ ο μικροῦ· ὡς τὸ ἄλλο ἐμὸν-ἄλλ' ἐμόν. Τί ἐστιν ὑφέν; σημεῖον συναφείας δύο λέξεων συγκειμένων ἢ παρακειμένων. Πόθεν ὑφέν; παρὰ τὴν ὑπὸ πρόθεσιν, καὶ τοῦ ἕν, ἢ ὑπὸ ἓν δύο λέξεις συνάγουσα· οἷον ἀρχίφωτος, καὶ· ἀρηίφιλος. Τί ἐστιν ὑποδιαστολή; σημεῖον διαστάσεως γράμματος ἀμφιβαλλομένου περὶ τὴν σύνταξιν· οἷον· ἔστιν, οὗς ἤγουν ὑπάρχω αἴτιον· εἰς γὰρ τὸ ἔστιν ὑποδιαστολὴ τίθεται, ἵνα μὴ συντεθῇ τὸ „ν" μετὰ τὸ οὗς, καὶ νοηθῇ, ὅτι νοῦς ἐστι. Οὕτω καὶ· ἔστιν, ἄξιος εἰς τὸ „ν" τίθεται ὑποδιαστολή, ἵνα μὴ νοηθῇ, ὅτι νάξιός ἐστιν, ἤγουν ἀπὸ Νάξου τῆς νήσου, ἀλλὰ ἄξιος. πόθεν ὑποδιαστολή; παρὰ τὴν ὑπὸ πρόθεσιν, καὶ τοῦ διαστέλλω, τὸ διαχωρίζω, ἡ διαστέλλουσα, καὶ διαχωρίζουσα τὰς λέξεις ἀπ' ἀλλήλων. Τί διαφέρει ἡ διαστολὴ τῆς ὑφέν; διαφέρει, ὅτι ἡ μὲν διαστολὴ τὰ δοκοῦντα ἡνῶσθαι, διαιρεῖ, ἡ δὲ ὑφὲν τὰ δοκοῦντα διαιρεῖσθαι, συνάπτει. Τί ἐστι τέχνη; μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον· καὶ ἄλλως· κτῆμα τιμιώτατον, καὶ κατὰ πολὺ χρησιμώτατον, πᾶσιν ἀνθρώποις, τοῖς ἐν τῷ βίῳ· καὶ ἄλλως. σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένον πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. τί ἐστιν ἐκ καταλήψεων; τὸ ἐξ ἐφευρέσεων. οὐ γὰρ ἀθρόως αἱ τέχναι εὕρηνται. Ἀλλ' ἄλλος ἄλλο τι εὗρεν, ὁ μὲν πρίονας ὁ δὲ τὸ εἰς κάλλος ἀποξέειν τὰ ξύλα, καὶ ταῦτα πάντα ὁμοῦ συνελθόντα ἀπετέλεσαν τὴν τέχνην. τί ἐστιν ἐγγεγυμνασμένον, οἱονεὶ τὸ φανερὸν καὶ δεδοκιμασμένον. Πόθεν Τέχνη; παρὰ τὸ τεύχω, τὸ κατασκευάζω γίγνεται τευχάνη, καὶ ἐν συγκοπῇ τέχνη. καὶ ἄλλως· παρὰ τὸ ἔχω, καὶ τὸ νοῦς· ἐχονόη· καὶ ἐν συγκοπῇ πλεονασμῷ τοῦ τ τέχνη. ποσαχῶς ἡ τέχνη; διχῶς, λογικὴ καὶ πρακτική. τί διαφέρει ἡ λογικὴ τῆς πρακτικῆς; διαφέρει, ὅτι τὴν μὲν λογικὴν μόνος ὁ ἄνθρωπος ἐπίσταται, τὴν δὲ πρακτικὴν καί τινα τῶν ἀλόγων ζώων. τίς καλεῖται λογικός; ὅστις μετὰ λόγου πράττει. τίς καλεῖται πρακτικός; ὅστις μετὰ τῶν λοιπῶν μερῶν τοῦ σώματος καὶ τῆς χειρὸς πράττει. Ποῖαι λέγονται λογικαὶ τέχναι; Ἡ γραμματική, ἡ ῥητορική. καὶ ἡ ἰατρική. ποῖαι λέγονται πρακτικαί; ἡ τεκτονική, ἡ χαλκευτική, καὶ πᾶσαι, αἱ χειρωνακτικαὶ καὶ βάναυσοι. Τί ἐστι γραμματική; τέχνη θεωρητικὴ καὶ πρακτικὴ τὸ εὖ γράφειν διδάσκουσα ἡμᾶς. Οὐ γὰρ πᾶς ὁ γράφων ἢ ὁ 10 ἀναγινώσκων λέγεται γραμματικός, ἀλλ' ὁ τὸν κανόνα καὶ τὸν ὅρον ἀποδιδούς. καὶ ἄλλως· γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων. τί ἐστιν ἐμπειρία; ἡ ἄλογος τριβή, καὶ ἡ λογικὴ γνῶσις. τί οὖν ἡ γραμματικὴ ἄλογός ἐστιν; οὐχὶ, ἀλλ' ἐνταῦθα καταχρηστικῶς εἶπεν ἀντὶ τοῦ γνῶσις. Τίνες λέγονται ποιηταί; οἱ τὰ ἔμμετρα γράψαντες. Τίνες λέγονται συγγραφεῖς; οἱ τὰ ἐφ' ἑαυτῶν γεγονότα συγγραψάμενοι. Τί ἐστι γραμματικός; ἐπιστήμων λέξεων ἢ εἰδήμων. πόθεν γραμματική; παρὰ τὸ γράμμα, ὃ δη- 20 λοῖ τὸ ποίημα, γίνεται γραμματικὸς, καὶ γραμματική, ὥσπερ παρὰ τὸ πρᾶγμα γίνεται πραγματικὸς καὶ πραγματική. Τί ἐστι γραμματική; τέχνη λογική, περὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου καταγινομένη. πόθεν γράμμα; παρὰ τὸ γράφω, γράψω, γέγραφα, γέγραμμαι, γράμμα. πόσα σημαίνει γράμμα; ἑπτά. γράμμα, ὁ τόνος, γράμμα ὁ χαρακτήρ, γράμμα ἡ ἐπιστολή, γράμμα τὸ σύγγραμμα, γράμμα τὸ ψήφισμα, γράμμα τὸ ζωγράφισμα, γράμμα καὶ αὐτὸ τὸ γράμμα. πόσα εἴδη τῆς γραμματικῆς; δύο, ἀναγνωστικὸν, ἐξηγητικόν· διορθωτικὸν καὶ κριτικόν. 30 πόσα ὄργανα φωνητικά; τρία, γλῶσσα, ὀδόντες καὶ χείλη. τί τὸ τέλος τῆς γραμματικῆς; τὸ μηδέποτε ἁμαρτάνειν περὶ μίαν λέξιν, μήτε περὶ πλείονας· τὸ γὰρ ἁμαρτάνειν περὶ μίαν λέξιν βαρβαρισμός ἐστι, τὸ δὲ περὶ πλείονας σολοικισμός. τί ἐστι βαρβαρισμός; λέξις περὶ τὰ στοιχεῖα ἢ τὰς προσῳδίας ἡμαρτημένη. Τί ἐστι σολοικισμός; ὁ τοῦ σώου λόγου αἰκισμὸς, ἤγουν ἡ ὕβρις. τι διαφέρει ὁ βαρβαρισμὸς τοῦ σολοικισμοῦ; Διαφέρει, ὅτι ὁ μὲν βαρβαρισμὸς ἐν λέξει γίνεται, ὁ δὲ σολοικισμὸς ἐν λόγῳ. Καὶ ἄλλως· τί ἐστι βαρβαρισμός; διαμαρτία 40 περὶ λέξιν, ἢ κατὰ στοιχεῖον, ἢ κατὰ προσῳδίαν. Κατὰ πόσους τρόπους γίνεται ὁ βαρβαρισμός; κατὰ τέσσαρας· κατὰ ἐναλλαγὴν στοιχείου, κατὰ πλεονασμὸν, κατὰ ἔνδειαν, καὶ κατὰ προσῳδίαν. τί ἐστι σολοικισμός; ἡ κατάλληλος συμπλοκὴ τῶν λέξεων. κατὰ πόσας τρόπους γίνεται ὁ σολοικισμός; κατὰ ια. κατὰ πλεονασμὸν λέξεων, κατὰ ἔνδειαν, κατὰ ἐναλλαγὴν, κατὰ γένος, κατὰ εἶδος, κατὰ ἀριθμόν, κατὰ πρόσωπον, κατὰ χρόνον, κατὰ διάθεσιν, κατὰ ἔγκλισιν, καὶ κατὰ σχῆμα. πόσα [2]) γλῶσσα; τὸ τοῦ λόγου ὄργανον, καὶ ἀπὸ τού- 50 του τοὺς λόγους· ὡς· πολύγλωσσον λέγομεν τὸν πολύλογον, τὴν διάλεκτον, καὶ τὴν τῶν ἐθνῶν ἐνηλλαγμένην ὁμιλίαν [3]). τί ἐστι διάλεκτος; ἰδίωμα γλώττης. πόσαι διάλεκτοι; πέντε· Ἰὰς, Ἀτθὶς, Δωρὶς, Αἰολὶς καὶ κοινή. καὶ Ἀτθὶς μὲν ἐκλήθη ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ θυγατρός. Δωρὶς δὲ ἀπὸ Δώρου τοῦ ἕλληνος. Ἰὰς δὲ ἀπὸ Ἴωνος τοῦ σκύθου [4]), καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρός·

1. cf. cod. p. 139, a. inde a lin. 6. inf. 2. [abbreviation] (σημαίνει) pict. in Cod. p. 140, b, lin. 4. sup. 3) Conf. Grammaticus Meerm. p. 642. ed. Schaefero et relegg. Excerpta praesertim ex Cod. August. p. 667. ibid. (Creuz.) 4) cf. Koen. ad Gregor. p. 10. Schaef. (Creuz.)

κοινὴ δὲ ἡ ἐκ τεσσάρων συνισταμένη. ἔχει δὲ ἑκάστη διάλεκτος οἰκεῖον ἰδίωμα· ἡ Ἀτθὶς τρέπει τὸ σ πῆ μὲν εἰς τ, πῆ δὲ εἰς τὸ ξ. τὴν γὰρ θάλασσαν θάλατταν λέγει, καὶ τὸ σεῦτλον τεῦτλον. τὴν συμφορὰν ξυμφορὰν, καὶ τὸν σύμβουλον ξύμβουλον. τρέπει δὲ εἰς το ξ ἐπὶ τῆς συν προθέσεως καὶ μόνης. τὰς εἰς „εἰς“ πληθυντικὰς εὐθείας ἀπὸ τῶν εἰς εὺς ἀρσενικῶν γινομένας διὰ τοῦ ῆ προφέρεται. οἷον γονεῖς, γονῆς, βασιλεῖς, βασιλῆς. τὰ εἰς αος λήγοντα ἀρσενικὰ προπαροξύτονα, ἢ ὀξύτονα διὰ τὸ εως προσφερόνται. Οἷον Μενέλαος Μενέλεως. λαός. λεώς. τὸ ι ταῖς λέξεσι προστίθησιν. οἷον νυνὶ, τουτωνὶ, πρινί, οὑτωσί. ἡμεῖς δε τοῦτο, οὕτως, πρίν. τὰ εἰς εὺς ὀνόματα διὰ τοῦ εως ἐπὶ γενικῆς ἐκφέρεται. οἷον Ἀριστεὺς Ἀριστέως, Πηλεὺς, Πηλέως. Αἱ συναλοιφαὶ Ἀττικῶν εἰσὶν ἴδιαι. οἷον τοὐμὸν ἀντὶ τοῦ τὸ ἐμόν. Ἔρχομ' ἔχων, ἀντὶ τοῦ ἔρχομαι ἔχων. Αἱ ἐξαιρέσεις τοῦ ι τῶν Ἀττικῶν εἰσὶν ἴδιαι, καὶ Δωριέων, καὶ Αἰολέων. ἑτάρων ἀντὶ τοῦ ἑταίρων. ἐς χρύσην, ἀντὶ τοῦ εἰς χρύσην. Αἱ παραλήψεις τῶν κλητικῶν (τινῶν καὶ)[1] ὀνομαστικῶν Ἀττικῶν εἰσὶν ἴδιαι· νεφεληγερέτα Ζεὺς, ἀντὶ τοῦ νεφεληγερέτης, καὶ ἱππότα Νέστωρ ἀντὶ τοῦ ἱππότης, καὶ εὐρύοπα Ζεὺς ἀντὶ τοῦ εὐρυόπης· οἷον αἱ εὐθεῖαι ἀντὶ κλητικῶν, καὶ αἱ κλητικαὶ ἀντὶ εὐθειῶν. τοῦτο δὲ μόνον ἀθηναῖον τὸ σχῆμα. Αἱ παραλήψεις τῶν γενικῶν πληθυντικῶν πτώσεων ἀντὶ γενικῶν, Ἀττικῶν εἰσίν· οἷον· Μήτε σὺ τῶνδ' ἀγαθός περ ἐὼν ἀποαίρεον κούρην, ἀντὶ τοῦ τούτου. Ἀεὶ παθητικοῖς ῥήμασιν ἀντὶ τῶν ἐνεργητικῶν χρῆται· οἷον γράφομαι ἀντὶ τοῦ γράφω, ποιοῦμαι ἀντὶ τοῦ ποιῶ. ποιείσθων καὶ νοείσθων λέγει ἀντὶ τοῦ ποιείτωσαν καὶ νοείτωσαν. Τὰ εἰς ῶς ἐπιῤῥήματα ἀντὶ μεσότητος εἰς ὸν περατοῖ. Οἷον καλῶς, καλόν. Ὀνόμασιν ἀντὶ ἐπιῤῥημάτων χρῆται. οἷον δέον, πρέπον ἀντὶ τοῦ δεόντως, πρεπόντως. Τὰς εἰς ες λῃγούσας εὐθείας τῶν [illegible] [2] εἰς οὺς περατοῖ. οἷον μείζους, χείρους, καλλίους, ἀντὶ τοῦ μείζονες, χείρονες, καλλίονες. ταῖς συναλοιφαῖς κατὰ κόρον χρῆται. τὸ γὰρ ἱμάτιον θοἰμάτιον λέγει, καὶ τὸ ἔλαιον τοὔλαιον. τὸ σ ἀντὶ τοῦ ρ χρῆται. τὸ γὰρ θάῤῥος θάρσος, θαῤῥαλέον θαρσαλέον, καὶ τὸ ἄῤῥην ἄρσην· τῇ ου χρῆται, ὡς ὅταν λέγῃ τοὔνδυμα, τοὔγκλημα, τοὖπος ἀντὶ τοῦ· τὸ ἔνδυμα, το ἔγκλημα, τὸ ἔπος. Εὐθείαις ἀντὶ κλητικῶν χρῆται· ὦ φίλος ἀντὶ τῦ ὦ φίλε. Ὑπερθετικῷ ἀντὶ τῶν συγκριτικῶν πολλάκις κέχρηται, ἀντὶ εἰπεῖν θηριωδέστερος πάντων, θηριωδέστατος λέγει. τῷ η ἀντὶ τοῦ ε κέχρηται. τρέπει γὰρ τὸ ε εἰς η ὡς ὅταν λέγῃ ἠδυνάμην, ἠβουλόμην. τὸ β τὸ ρ προσνέμει, ἤγουν προσφέρει, ὅταν το ρ ἐπιφέρηται κ, ἢ τ, ἢ δ. οἷον βρυτὴρ ἀντὶ τοῦ ῥυτήρ. βράκος ἀντὶ τοῦ ῥάκος, βρόδον ἀντὶ τοῦ ῥόδον. —

Αἰολὶς τὰς ἀπὸ τῶν εἰς α εὐθείων γενικὰς διαιρεῖ, καὶ διὰ τοῦ α προσφέρεται. νύμφαι νυμφάων, θυράων, μελισσάων, ἐρχομενάων, πυλάων, καὶ τὰ ὅμοια. συγκοπαὶ Αἰολέων εἰσὶν ἴδιαι. Γίγνονται δὲ κατὰ τὸ μέσον. (οἷον ὦρσεν ἀντὶ τοῦ ὠρούσην, καὶ ὥρμησεν.)[3] προσθέσεις τῆς θα συλλαβῆς ἐπὶ τῶν ὑποτακτικῶν ῥημάτων β' προσώπων εἰς σ ληγόντων Αἰολέων εἰσί. εἴπησθα ἀντὶ τοῦ εἴπῃς, καὶ εὕδησθα ἀντὶ τοῦ εὕδῃς. προσθέσεις τοῦ ε ἐν τῷ υ ἐπιφερομένου φωνήεντος Αἰολέων εἰσί. χεύσαντες ἀντὶ τοῦ χύσαντες. — τὰ εἰς αις μονοσύλλαβα ὀνόματα διαιρεῖ. παῒς, δαῒς ἀντὶ τῦ παῖς καὶ δαῖς. τῷ ω ἀντὶ τοῦ οῦ διφθόγγου χρῆται. Μῶσα ἀντὶ τοῦ μοῦσα, λειπῶσαι ἀντὶ τοῦ λειποῦσαι. τῷ υ ἀντὶ τοῦ ο στοιχείου χρῆται· το ὅμοιον ὕμοιον λέγει. τῷ ῆ ἀντὶ τοῦ ει διφθόγγου χρῆται· ἐλθῆν γὰρ λέγει. τὰ ἀμετάβολα διπλασιάζει· ἐγείρω ἐγέῤῥω, ἐγείνατο ἐγέννετο, πενθήσῃς πενθέσσῃς, τόσον τόσσον, τοσοῦτον τοσσοῦτον. τὸ ὅπη ἀντὶ τοῦ ὅππα, (κοινόνια)[4]. Ἡ γὰρ κοινὴ τὰ ἀναφορικὰ διπλασιάζει. οἷον ὁποῖος, ὁππoῖος, ὅσος ὅσσος· τῷ π ἀντὶ μ χρῆται. ὄππατα ὄμματα λέγει. τῆς β̄[5] συζυγίας τῶν περισπωμένων τὸ ι ἀνεκφώνητον ὂν παρὰ ταῖς ἄλλαις διαλέκτοις ἐκφωνεῖ. οἷον βοάεις βοαεῖς. τὰς κλητικὰς τῶν εἰς ω ληγόντων ἑνικῶν συστέλλει. χελιδὼν, χελιδόν. μακεδὼν μακεδόν. Ἄπολλον· [illegible] [6] τῆς αῖ διφθόγγου το ι ἐκβάλλει, ὅταν αὐτῇ μὴ ἐπιφέρηται σύμφωνον. Οἷον Ἀλκαῖος Ἀλκάος. —

Δωρὶς τῷ α ἀντὶ τοῦ η κέχρηται, τὸν γὰρ ἥλιον ἅλιον λέγει, καὶ τὴν ἡμέραν ἀμέραν, καὶ τὴν μητέρα ματέρα καὶ τὰ τοιαῦτα. τῷ ᾱ ἀντὶ τοῦ ω χρῆται ἐπὶ τῶν γενικῶν πτώσεων. Μουσᾶν λέγει, καὶ θυρᾶν, καὶ θεᾶν ἀντὶ τοῦ Μουσῶν καὶ θυρῶν καὶ θεῶν. τὰς εἰς ους ληγούσας γενικὰς ἀπὸ τῶν εἰς ῆς εὐθείων γινομένας εἰς εῦς τρέπει· Οἷον διογενεὺς ἀντὶ τοῦ διογενούς. τῷ ω στοιχείου ἀντὶ τοῦ ου διφθόγγου χρῆται. τὰς γὰρ μούσας μώσας λέγει. τῷ ῆ στοιχείου ἀντὶ τῆς εῖ διφθόγγου χρῆται. ὡς, ὅταν λέγῃ ἰδῆν, ἀντὶ τοῦ ἰδεῖν. τῷ σ ἀντὶ τοῦ θ χρῆται, τοὺς γὰρ θεοὺς σεοὺς λέγει.[7] τῶν λέξεων ἀεὶ τὸ ι ὑπεξαιρεῖται. λαβᾶ γὰρ καὶ ἐλθᾶ ἀντὶ τοῦ λαβεῖν καὶ ἐλθεῖν λέγει. διπλασιασμοῖς τῶν αὐτῶν συμφώνων χρῆται. Οἷον ὅττι, καὶ ὁππόθι καὶ ὅσσον. καὶ ἡ Αἰολὶς δὲ χρῆται τούτοις. Ἐκτάσεις τῶν διχρόνων στοιχείων ἴδιαι τῆς Δωρίδος. οἷον Ἶσος ἐν βραχείᾳ συλλαβῇ. Ἀποκοπαὶ Δωριέων εἰσὶν ἴδιαι, γίνονται δὲ κατὰ τὸ τέλος. δῶ ἀντὶ τοῦ δῶμα. Προσθέσεις τῆς „με“ συλλάβης ἐπὶ τῶν (παρ' ἡμῖν)[8] εἰς ναι ληγόντων αἱ παρ' εμφάτων ῥημάτων Δωριέων εἰσίν. Οἷον βήμεναι ἀντὶ τοῦ βῆναι. Ἐξαιρέσεις τοῦ δ καὶ τῶν πλαγίων πτώσεων ἑνικῶν Δωριέων εἰσίν· οἷον πάριος

1) ([illegible] in cod. pict.) p. 140, b. lin. 9. inf. 2) ita pict. in cod. p. 141, a, lin. 2. sup. 3) ? Cf. cod. p. 141, a, lin. 12. inf. 4) (κοινόν [illegible] (κοινόν ἐστιν) pict. in cod.) p. 141, a, lin. 5, inf. 5) ([illegible]) cod. p. 141. a) lin. 3. inf. 6) ita pict. in cod. pag. 141, a. lin. vlt. 7) Cf. Gramm. Leidens. pag. 634. ed. Schaef. 8) ([illegible] pict. in cod.) pag. 141, b. lin. 18. sup.

ἐκ θυοῦς ἀκλήρος ἄρυσεν [1]) ἀντὶ τοῦ πάριδος. Ὁμοίως καὶ τὸ κέραος ἀντὶ τοῦ κέρατος.

Ἰὰς τὰ εἰς ας λήγοντα ὀνόματα εἰς ης τρέπει, ἐὰν μὴ ὦσι δώρια [2]). Οἷον ἐρμῆ, ἐρμείης. σωσίας, σωσίης. ταῦτα γὰρ οἱ Ἴωνες τρέπουσιν, ὅταν μὴ ᾖ τετραμμένον ἐκ Δωριέων ὡς εἴρηται. Ἑρμείας Ἑρμείης, οὐδὲ γὰρ οἱ Δωριεῖς ἐκτρέπουσιν αὐτά. πᾶν εἰς ης λῆγον οὗ ἡ γενικὴ περατοῦται εἰς ου παρ' αὐτοὺς εἰς εω λήγει. οἷον Πέρσης Πέρσεω, Ξέρξης Ξέρξεω, Πηληιάδης Πηληιάδεω. τὰ εἰς ης ἀρσενικά, ὧν ἡ γενικὴ εἰς ους, διὰ τὸ εος προφέρεται οἷον Δημοσθένης Δημοσθένεος, ἀμαθὴς ἀμαθέος· τὴν δὲ αἰτιατικὴν εἰς εα ποιεῖται. Δημοσθένεα, ἀμαθέα. τὰς εἰς οῦς ληγούσας γενικὰς ἀπὸ τῶν εἰς ες εὐθειῶν οὐδετέρων γινομένας διαιρεῖ. εὐσεβὲς, εὐσεβέος. εὐσεβοῦς δυσγενέος δυσεβέος. πᾶσα εὐθεῖα εἰς ευς λήγουσα διὰ τοῦ η ἐκφέρεται ἐπὶ γενικῆς παρ' Ἴωσιν. οἷον βασιλεὺς βασιλῆος. Ἀχιλλεὺς Ἀχιλλῆος. τὰ εἰς ος οὐδέτερα, κατὰ τὴν γενικὴν εἰς εος ποιοῦσιν οἱ Ἴωνες. πλῆθος πλήθεος. τὰς εἰς εις εὐθείας πληθυντικὰς ἀπὸ τῶν εἰς ευς ἑνικῶν γινομένας εἰς ηες διαιροῦνται οἱ Ἴωνες· οἷον βασιλῆες ἀντὶ τοῦ βασιλεῖς. τὰ εἰς αι πληθυντικὰ διαιρεῖ ἐπὶ γενικῆς διὰ τοῦ εων. οἷον Πέρσαι Περσέων, νύμφαι νυμφέων, τὸ δὲ νυμφάων Αἰολίων.

